·ΕΥΕΡΓΕΤΙΝΟΣ·

ἬΤΟΙ

ΣΥΝΑΓΩΓῊ

ΤΩΝ ΘΕΟΦΘΟΓΓΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΙΩΝ
ΤΩΝ ΘΕΟΦΟΡΩΝ ΚΑΙ ἉΓΙΩΝ ΠΑΤΕΡΩΝ·—
Ἀπὸ πάσης Γραφῆς θεοπνεύστου συναθροισθεῖσα

ΟἸΚΕΙΩΣ ΤΕ ΚΑῚ ΠΡΟΣΦΟΡΩΣ ἘΚΤΕΘΕΙΣΑ ΠΑΡΑ

ΠΑΥΛΟΥ ΤΟΥ ὉΣΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ

καὶ κτήτορος Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος,

ΚΑῚ ΕὐΕΡΓΕΤΙΝΟΥ ἘΠΙΚΑΛΟΥΜΕΝΟΥ.

Ἐκδιδομένη τὸ πρῶτον μετὰ πλήρους ἑρμηνείας εἰς τὴν ἁπλῆν Ἑλληνικὴν τῶν ἐμπεριεχομένων κειμένων
Εἰκονογραφημένη κατὰ τὴν παράδοσιν
Πεπλουτισμένη διὰ πλείστων ὑπομνημάτων




Ἔκδοσις ἕκτη

·ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ·


ἐκδίδεται
ἀναλώμασι καὶ ἐπιμελείᾳ
ὑπὸ τοῦ Ἐπισκόπου Οἰνόης
ΜΑΤΘΑΙΟΥ ΛΑΓΓΗ

αϡπε Ἀθῆναι 1985



Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

(Φιλιπ. Κεφ. Β' 5—8).



Ὥσπερ οὖν ἐστι τῆς κλίμακος πρώτη ἀνάβασις ἡ τῆς γῆς ἀναχώρησις, οὕτως ἐπὶ τῆς κατὰ Θεὸν πολιτείας ἀρχὴ προκοπῆς ὁ χωρισμὸς τοῦ κακοῦ. (Ἰουστ. ἐν Ψαλ. α΄).

(Βλέπε ἑρμηνείαν ἐν τῷ τέλει τοῦ ἀνὰ χεῖρας Τόμου).



ΕΥΕΡΓΕΤΙΝΟΥ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΥΠΟΘΕΣΙΣ Α΄

Ὅτι οἱ εὐτελίζοντες ἑαυτοὺς ἔντιμοί εἰσι παρὰ τῷ Θεῷ.

Ὅσοι αὐτοεξευτελίζονται θεωροῦνται ἄξιοι τιμῆς ἀπὸ τὸν Θεόν.

Α΄. Τοῦ Ἁγίου Παλλαδίου

ΕΝ ΤΑΒΕΝΝΗι ἔστι Μοναστήριον γυναικῶν ὡσεὶ τετρακοσίων, ἀντίπερα τῶν ἀνδρῶν, ἐν ᾧ παρθένος τις ἦν διὰ τὸν Χριστὸν ὑποκρινομένη μωρίαν, ὀνόματι Ἰσιδώρα, ταπεινοῦσα ἑαυτὴν καὶ κατευτελίζουσα. Ταύτην ἐπὶ τοσοῦτον ἐβδελύξαντο πᾶσαι αἱ ἀδελφαί, ὡς μηδὲ συνεσθίειν αὐτῇ, καὶ τοῦτο μετὰ χαρᾶς ἐδέξατο. Ἦν γὰρ ἡ ἀρετὴ αὐτῆς ἐν τῷ Μοναστηρίῳ λίαν ὠφέλιμος· πᾶσαν γὰρ ἐποίει ὑπηρεσίαν, πάσαις ὡς δούλη ὑπείκουσα εἰς πᾶσαν χρείαν αὐτῶν καὶ μετὰ πραότητος πάσης δουλεύουσα αὐταῖς· καὶ ἦν αὕτη σπόγγος τῆς συνοδείας, καθὼς ὁ Κύριος ἔφη· «ὁ θέλων εἶναι μέγας, ἔστω πάντων δοῦλος»· καὶ «εἴ τις δοκεῖ σοφὸς εἶναι, μωρὸς γινέσθω».

Τῶν μὲν οὖν ἄλλων πασῶν τὸ σχῆμα ἦν κεκαρμένον, κουκούλια ἐπὶ κεφαλῆς ἐχουσῶν· αὕτη δὲ ῥάκος ἀναδήσασα τὴν κεφαλήν, οὕτως ἐποίει πᾶσαν τὴν ὑπηρεσίαν. Οὐδεμία δὲ τῶν τετρακοσίων εἶδε αὐτὴν ἐσθίουσάν ποτε, οὐδὲ κλάσμα ἄρτου λαβοῦσαν, ἀλλὰ τὰς ψίχας σπογγολογοῦσα τῶν τραπεζῶν καὶ τὰς χύτρας περιπλύνουσα, τούτοις ἠρκεῖτο. Μηδέποτε ὑποδησαμένη, οὐχ ὕβρισέ ποτέ τινα, οὐκ ἐγόγγυσεν, οὐκ ἐλάλησε μικρὸν ἢ μέγα ῥῆμα, καίπερ ὑβριζομένη καὶ κονδυλιζομένη καὶ κατάρας δεχομένη καὶ ὑπὸ πολλῶν μυσαττομένη.

Περὶ ταύτης τῆς ὁσιωτάτης τῷ Ἁγίῳ Πιτηροῦν παρέστη Ἄγγελος, ἀνδρὶ δοκιμωτάτῳ καὶ ἐναρέτῳ ἀναχωρητῇ, καὶ λέγει αὐτῷ· διατί μέγα φρονεῖς ἐπὶ τοῖς κατορθώμασί σου ὡς εὐλαβής, καὶ ἐν τοιούτῳ καθεζόμενος τόπῳ; θέλεις ἰδεῖν

εὐλαβεστέραν σου γυναῖκα; Ἄπελθε εἰς τὸ Μοναστήριον τὸ γυναικεῖον τῶν Ταβεννησιωτῶν, καὶ εὑρήσεις ἐκεῖ μίαν, διάδημα ἔχουσαν ἐπὶ τῆς κεφαλῆς· ἐκείνη σοῦ ἀμείνων ἐστί. Τοσούτῳ γὰρ ὄχλῳ πυκτεύουσα καὶ διαφόρως πάσαις δουλεύουσα, οὐδέποτε τὸν νοῦν αὐτῆς εἴασεν ἀποστῆναι τοῦ Θεοῦ, καίπερ παρὰ πασῶν βδελυσσομένη· σὺ δὲ καθεζόμενος ὧδε, τὰς πόλεις τῇ διανοίᾳ φαντάζῃ, ὁ μηδέποτε οἰκουμένην ἰδών.

Ἀναστὰς οὖν ὁ Μέγας Πιτηροῦν ἦλθεν ἐπὶ Ταβέννην, καὶ παρεκάλει τοὺς διδασκάλους διαβῆναι εἰς τὸ Μοναστήριον τῶν γυναικῶν. Ὡς οὖν ἔντιμον τῶν Πατέρων ὄντα καὶ ἐν ἀσκήσει γηράσαντα, θαρροῦντες εἰσήγαγον αὐτόν, διαπεράσαντες τὸν ποταμόν· καὶ μετὰ τὸ εὔξασθαι αὐτούς, ἐπεζήτησεν ὁ μέγας πάσας τὰς παρθένους ἰδεῖν κατὰ πρόσωπον.

Πασῶν οὖν ἐλθουσῶν ἐν τῷ μέσῳ, ἐκείνη οὐ παρεφαίνετο. Λέγει αὐταῖς ὁ μέγας· φέρετέ μοι πάσας· τῶν δὲ λεγουσῶν, πάρεσμεν πᾶσαι, λέγει αὐταῖς· λείπει μία, ἣν ἔδειξέ μοι ὁ Ἄγγελος· λέγουσιν αὐτῷ· μίαν ἔχομεν ἐν τῷ μαγειρείῳ, σαλήν· λέγει ὁ μέγας· ἀγάγετε κἀκείνην· ἄφετε ἴδω αὐτήν· ἡ δὲ οὐχ ὑπήκουσεν, αἰσθομένη τὴν αἰτίαν (ἴσως γὰρ καὶ ἀπεκαλύφθη αὐτῇ). Σύρουσιν οὖν αὐτὴν μετὰ βίας, ἄγουσαι καὶ λέγουσαι· ὁ Ἅγιος Πιτηροῦν ἰδεῖν σε θέλει (ἦν γὰρ ὀνομαστὸς οὗτος).

Ἀχθείσης οὖν ἐθεάσατο ὁ μέγας τὸ πρόσωπον αὐτῆς, καὶ τὸ ράκος τὸ ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ μετώπου· καὶ πεσὼν ἐπὶ τοὺς πόδας αὐτῆς λέγει αὐτῇ· εὐλόγησόν με, Ἀμμᾶ· πεσοῦσα δὲ καὶ αὐτὴ εἰς τοὺς πόδας αὐτοῦ, ἔλεγε· σύ με εὐλόγησον, κύριέ μου Πάτερ. Ἰδοῦσαι δὲ τοῦτο πᾶσαι ἐξέστησαν καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, μὴ πάσχε ὕβριν· σαλὴ γάρ ἐστι. Λέγει αὐταῖς πάσαις ὁ Ἅγιος· ὑμεῖς ἐστε σαλαί· αὕτη δὲ καὶ ὑμῶν καὶ ἐμοῦ ἀμείνων οὖσα, Ἀμμάς ἐστιν, ὅ ἐστι πνευματικὴ μήτηρ· καὶ εὔχομαι σὺν αὐτῇ ἄξιος εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ταῦτα ἀκούσασαι προσέπεσον αὐτῷ πᾶσαι κλαίουσαι καὶ ἐξομολογούμεναι, πῶς διαφόρως τὴν ἁγίαν ταύτην ἐλύπουν· καὶ ἡ μὲν ἔλεγεν· ἐγὼ αὐτὴν ἀεὶ ἐχλεύαζον· ἡ δέ, ἐγὼ τὸ σχῆμα αὐτῆς τὸ ταπεινὸν κατεγέλων· καὶ ἄλλη, ἐγὼ τοῦ πίνακος τὸ ἀπόπλυμα πολλάκις ἐπάνω αὐτῆς κατέχεα· ἄλλη πάλιν, ἐγὼ αὐτῇ πληγὰς δέδωκα· καὶ ἑτέρα, ἐγὼ αὐτῇ κονδύλους ἐνέτριψα· ἄλλη, ἐγὼ τὴν ρῖνα αὐτῆς πολλάκις ἐσινάπισα· καὶ ἁπαξαπλῶς πᾶσαι διαφόρους ὕβρεις ἀπήγγειλαν πεποιηκέναι εἰς αὐτήν. Δεξάμενος οὖν αὐτῶν τὴν ἐξομολόγησιν ὁ Ἅγιος Πιτηροῦν καὶ εὐξάμενος ὑπὲρ αὐτῶν ἅμα αὐτῇ, καὶ ἐπὶ πολὺ παρακαλέσας τὴν τιμίαν τοῦ Χριστοῦ δούλην εὔχεσθαι ὑπὲρ αὐτοῦ, οὕτως ἐξῆλθεν.

Ἐκείνη δὲ ἡ ἔντιμος τῷ Θεῷ καὶ Ὁσία μετὰ ἡμέρας ὀλίγας, ὑπὸ πασῶν τιμωμένη μεγάλως καὶ θεραπευομένη, μὴ ἐνεγκοῦσα τὴν δόξαν καὶ τὴν τιμὴν τὴν παρὰ πάσης τῆς ἀδελφότητος καὶ τὰς ἀπολογίας, λάθρᾳ ἐξῆλθε τοῦ Μοναστηρίου· καὶ ποῦ ἀπῆλθεν, ἢ ποῦ κατέδυ, ἢ ποῦ ἐτελεύτησεν, οὐδεὶς ἔγνω.

Ἑρμηνεία

ΕΙΣ τὴν Ταβέννην* ὑπάρχει ἕνα γυναικεῖον Μοναστήρι μὲ τετρα-

---

* Ἡ Ταβέννη (ἢ Τάβεννα ἢ Ταβέννησος) εἶναι νησὶς τοῦ Νείλου ποταμοῦ

κοσίας περίπου μοναχάς, ἀπέναντι ἀπὸ τὸ ἀνδρικόν. Εἰς αὐτὸ ἔζη μία παρθένος, ὀνομαζομένη Ἰσιδώρα, ἡ ὁποία διὰ τὸν Χριστὸν ὑπεκρίνετο τὴν χαζήν, ἐταπείνωνε τὸν ἑαυτόν της καὶ αὐτοεξευτελίζετο. Αὐτὴν τόσον πολὺ τὴν ἀπεστράφησαν ὅλαι αἱ ἀδελφαί, ὥστε δὲν ἤθελον οὔτε νὰ τρώγουν μαζί της· αὐτὸ δὲ ἐκείνη τὸ ἐδέχθη μὲ χαράν.

Ἦτο λοιπὸν ἡ ἀρετή της πάρα πολὺ ὠφέλιμος δι' ὁλόκληρον τὸ Μοναστήρι· διότι ἐκτελοῦσε ὅλας τὰς ὑπηρεσίας, εἰς ὅλας ὑπήκουεν ὡς νὰ ἦτο δούλη, εἰς κάθε ἀνάγκην των καὶ μὲ καλωσύνην ὑπηρετοῦσεν ὅλας. Καὶ ἦτο διὰ τὴν ἀδελφότητα ὁ σπόγγος ποὺ καθαρίζει τὰ πάντα (ὅπως δηλαδὴ τὸ σφουγγάρι καθαρίζει πᾶσαν ἀκαθαρσίαν ἔτσι καὶ αὐτὴ ἔκαμνε κάθε ταπεινὴν ὑπηρεσίαν), ὅπως εἶπε καὶ ὁ Κύριος· «ὅποιος θέλει νὰ εἶναι μεγάλος, νὰ γίνῃ δοῦλος ὅλων» (Ματθ. κ΄ 26—27) καὶ «ἂν κανεὶς νομίζῃ ὅτι εἶναι σοφός, ἂς γίνεται μωρὸς» (Α΄ Κορ. 6΄ 18).

Ὅλων τῶν ἄλλων καλογραιῶν τὰ μαλλιὰ τῆς κεφαλῆς ἦσαν κουρευμένα καὶ ἐφοροῦσαν κουκούλια· ἐνῷ αὐτή, ἀφοῦ ἔδεσεν ἕνα κουρέλι γύρω ἀπὸ τὴν κεφαλήν της, ἐκτελοῦσεν ἔτσι ὅλας τὰς ὑπηρεσίας. Ποτὲ καμμιὰ ἀπὸ τὰς τετρακοσίας μοναχὰς δὲν τὴν εἶδε νὰ τρώγῃ, ἢ νὰ παίρνῃ ἕνα κομμάτι ψωμί· ἀλλὰ ἀφοῦ ἐμάζευεν ἀπὸ τὰ τραπέζια τὰ ψίχουλα καὶ ἐξέπλυνε τὰς χύτρας ἀπὸ τὰ ὑπολείμματα τῶν φαγητῶν ἠρκεῖτο εἰς αὐτά. Οὐδέποτε ἐφόρεσεν ὑποδήματα, ποτὲ δὲν ὕβρισε κανένα, ποτὲ δὲν ἐγόγγυσε, ποτὲ δὲν ἐπρόφερε τὸ στόμα της λέξιν ὑβριστικὴν ἢ ὑπερήφανον, ἂν καὶ ὑβρίζετο καὶ ἐκτυπᾶτο καὶ πολλὰς φορὰς ἐδέχετο κατάρας καὶ πολλαὶ τὴν ἀπεστρέφοντο.

Δι' αὐτὴν λοιπὸν τὴν ὁσιωτάτην Ἰσιδώραν παρουσιάσθη Ἄγγελος Κυρίου εἰς τὸν ἅγιον Πιτηροῦν, ὁ ὁποῖος ἦτο δοκιμώτατος καὶ ἐνάρετος ἀναχωρητὴς καὶ τοῦ λέγει: «Διατί ἔχεις μεγάλην ἰδέαν διὰ τὰ κατορθώματά σου, ὅτι εἶσαι εὐλαβὴς καὶ ὅτι κάθεσαι εἰς τέτοιον τόπον; Θέλεις νὰ ἴδῃς γυναῖκα περισσότερον εὐλαβῆ ἀπὸ ἐσένα; Πήγαινε εἰς τὸ γυναικεῖον Μοναστήρι τῶν Ταβεννησιωτῶν καὶ ἐκεῖ θὰ εὕρῃς μίαν μοναχήν, ἡ ὁποία ἔχει στέμμα ἐπάνω εἰς τὴν κεφαλήν της· ἐκείνη εἶναι πολὺ καλύτερη ἀπὸ ἐσένα. Διότι ἂν καὶ ὑπηρετεῖ τόσον πλῆθος καὶ ἐξυπηρετεῖ ὅλας μὲ διαφορετικὸν τρόπον κάθε μιάν, ἐν τούτοις ποτὲ δὲν ἄφησε τὸν νοῦν της νὰ ἀπομακρυνθῇ ἀπὸ τὸν Θεόν, ἂν καὶ ὅλαι τὴν ἀποστρέφονται· ἐνῷ σὺ κάθεσαι ἐδῶ καὶ μὲ τὴν σκέψιν σου φαντάζεσαι τὰς πολιτείας, σὺ ποὺ δὲν εἶδες ποτὲ κόσμον.

Ἀμέσως ὁ Μέγας Πιτηροῦν ἐξεκίνησε καὶ ἦλθεν εἰς τὴν Ταβέννην καὶ παρεκάλει τοὺς διδασκάλους νὰ τὸν περάσουν εἰς τὸ γυναικεῖον Μοναστήρι. Ἐπειδὴ λοιπὸν ἐξετιμᾶτο ἀπὸ τοὺς Πατέρας καὶ τοῦ εἶχον ἐμ-

εἰς τὴν ἄνω Αἴγυπτον πλησίον τῆς Δέσνας. Ἐπὶ τῆς νησῖδος αὐτῆς ὁ Ἅγιος Παχώμιος ἵδρυσε Μοναστήριον κατὰ τὰς ἀρχὰς τοῦ 4ου αἰῶνος. Εἰς αὐτὸ συνεκεντρώθησαν χιλιάδες μοναχῶν, οἱ ὁποῖοι ἀπὸ τοῦ ὀνόματος τῆς νήσου ἐκαλοῦντο Ταβεννησιῶται.

πιστοσύνην, διότι εἶχε γηράσει εἰς τὴν ἄσκησιν, τὸν ἐπέρασαν εἰς τὴν ἀντικρυνὴν ὄχθην τοῦ ποταμοῦ καὶ τὸν ὡδήγησαν εἰς τὸ Μοναστήρι. Καὶ ἀφοῦ ἔκαμαν τὰς συνηθισμένας εὐχάς, ὁ Μέγας Πιτηροῦν ἐζήτησε νὰ ἴδῃ ὅλας τὰς μοναχὰς μίαν πρὸς μίαν.

Ἀφοῦ λοιπὸν ἦλθον ὅλαι, ἐκείνη δὲν ἐφαίνετο πουθενά. Λέγει πρὸς αὐτὰς ὁ Μέγας: Νὰ φέρετε ἐμπρός μου ὅλας. Ὅλαι εὑρισκόμεθα ἐδῶ, ἀπαντοῦσαν ἐκεῖνοι. Καὶ ὅμως λείπει μία — ἐπέμενεν ὁ Ἅγιος— αὐτή, ποὺ μοῦ ὑπέδειξεν ὁ Ἄγγελος. Τότε τοῦ λέγουν· ἔχομεν εἰς τὸ μαγειρεῖον· μίαν ἀλλὰ εἶναι ὀλίγον χαζή. Φέρετέ την ἐδῶ καὶ ἐκείνην —εἶπεν ὁ Μέγας— ἀφήσατε νὰ τὴν ἴδω· ἐκείνη ὅμως δὲν ὑπήκουσεν, ἀντιληφθεῖσα προφανῶς τὴν αἰτίαν (ἴσως μάλιστα καὶ νὰ τῆς τὸ ἀπεκάλυψεν ὁ Θεός). Τὴν σῦρουν λοιπὸν διὰ τῆς βίας καὶ καθὼς τὴν ἔφερναν τῆς ἔλεγαν: ὁ Ἅγιος Πιτηροῦν θέλει νὰ σὲ ἴδῃ (διότι ἦτο ὀνομαστός).

Μόλις τὴν ἔφεραν, τὴν ἐκοίταξε μὲ προσοχὴν εἰς τὸ πρόσωπον ὁ Μέγας καθὼς καὶ τὸ κουρέλι, ποὺ εἶχε γύρω ἀπὸ τὴν κεφαλήν της καὶ ἐπάνω ἀπὸ τὸ μέτωπόν της· καὶ ἀφοῦ ἔπεσεν εἰς τὰ πόδια της, τῆς λέγει: Ὁσία, Μητέρα, εὐλόγησέ με. Τότε πίπτουσα καὶ ἐκείνη εἰς τοὺς πόδας του, τοῦ λέγει: Σὺ νὰ μὲ εὐλογήσῃς, κύριέ μου Πάτερ.

Ὅταν εἶδαν αὐτὸ τὸ πρᾶγμα, ὅλαι παρεξενεύθησαν καὶ τοῦ λέγουν: Ἀββᾶ, μὴ ταπεινώνῃς τὸν ἑαυτόν σου· διότι αὐτὴ εἶναι «κουτή». Καὶ τότε ὁ Ἅγιος λέγει πρὸς ὅλας αὐτάς· Σεῖς εἶσθε ἀνόητες· αὐτὴ καὶ ἀπὸ σᾶς καὶ ἀπὸ ἐμὲ εἶναι καλυτέρα, εἶναι Ἀμμᾶς, δηλαδὴ πνευματικὴ μητέρα· καὶ εὔχομαι ὁ Θεὸς νὰ μὲ ἀξιώσῃ νὰ εὑρεθῶ μαζί της, κατὰ τὴν ἡμέραν τῆς Κρίσεως.

Μόλις αἱ μοναχαὶ ἤκουσαν αὐτά, ἔπεσαν ἀμέσως ὅλαι εἰς τοὺς πόδας του καὶ μὲ δάκρυα ἐξωμολογοῦντο, ὅτι μὲ διαφόρους τρόπους ἡ κάθε μιὰ ἐπροξενοῦσαν λύπην εἰς ἐκείνην τὴν Ἁγίαν. Καὶ ἄλλη ἔλεγε· ἐγὼ πάντοτε τὴν ἐχλεύαζα. Ἄλλη, ἐγὼ τὴν ἐπεριγελοῦσα διὰ τὸ ταπεινὸν παρουσιαστικόν της. Ἄλλη, πάλιν, ἐγὼ πολλὲς φορὲς ἔχυσα ἐπάνω της τὸ ἀπόπλυμα ἀπὸ τὰ πιάτα. Ἄλλη· ἐγὼ τῆς ἐπροξένησα πληγάς. Καὶ ἄλλη· ἐγὼ τὴν ἐκτύπησα. Ἄλλη· ἐγὼ πολλὲς φορὲς τῆς ἔβαλα σιναπισμὸν εἰς τὴν μύτην. Καὶ γενικῶς ὅλαι ἀνέφεραν ὅτι τῆς εἶχον κάμει διαφόρους προσβολάς. Ἀφοῦ λοιπὸν ἤκουσεν ὁ Ἅγιος Πιτηροῦν τὴν ἐξομολόγησιν ὅλων αὐτῶν καὶ προσηυχήθη, μαζὶ μὲ τὴν Ἰσιδώραν, δι' αὐτὰς καὶ παρεκάλεσε πολὺ τὴν τιμίαν δούλην τοῦ Χριστοῦ νὰ εὔχεται δι' αὐτόν, ἀνεχώρησεν.

Ἐκείνη δὲ ἡ ἀπὸ τὸν Θεὸν τιμημένη καὶ Ὁσία, μετ' ὀλίγας ἡμέρας ἔφυγε κρυφὰ ἀπὸ τὸ Μοναστήρι, ἐπειδὴ ὅλαι τὴν ἐτιμοῦσαν καὶ τὴν ἐπεριποιοῦντο καὶ δὲν ἠμποροῦσε νὰ δέχεται τὰς τιμὰς αὐτὰς καὶ τὰς ἀπολογίας τῆς ἀδελφότητος διὰ τὴν προηγουμένην συμπεριφορὰν καὶ ποτὲ δὲν ἔμαθε κανεὶς ποῦ ἔφυγεν, ἢ ποῦ ἐκρύβη ἢ ποῦ ἀπέθανεν.

Β'. Γρηγορίου τοῦ Διαλόγου

Ο ΑΓΙΟΣ Αἰκύτιος, ὁ μεγάλων παρὰ Θεοῦ χαρισμάτων ἀξιωθεὶς καὶ πολλὰς ψυχὰς τῷ Κυρίῳ προσενεγκὼν διὰ τῆς διδασκαλίας αὐτοῦ καὶ τοῦ κηρύγματος, ὃ ἐκ Θεοῦ ἐπετράπη, οὗτος πάνυ εὐτελεστάτοις ἐνδύμασιν ἐκέχρητο, ὥς τε τοὺς μὴ γινώσκοντας αὐτόν, προσκυνουμένους ὑπ' αὐτοῦ, βδελύττεσθαι τοῦτον ἀντιπροσκυνῆσαι. Εἴς τινα δὲ τόπον ἕτερον πορευθῆναι αὐτῷ μέλλοντι, ἔθος ἦν τῷ εὐτελεστάτῳ πάντων τῶν ἐν τῷ Μοναστηρίῳ ἵππων ἐπιβαίνειν· καπιστρίῳ δὲ ἀντὶ χαλιναρίου καὶ ἀντὶ σέλλας, δέρματι προβάτου ἐκέχρητο· τὰς δὲ ἱερὰς βίβλους ἐν δερματίνῳ δισακκίῳ ἐβάσταζε· καὶ ὅπου δ' ἂν ἀπήρχετο, τὴν τῆς γραφῆς ἀνοίγων πηγήν, τὴν τῶν νοημάτων ἐπότιζε γῆν.

Ἔφθασεν οὖν ἡ περὶ αὐτοῦ φήμη καὶ μέχρι τῆς Ῥώμης· καί τινες, φθόνῳ φερόμενοι, κατεῖπον αὐτοῦ πολλὰ πρὸς τὸν Πατριάρχην, καὶ οὐ πρότερον τοῦ κατηγορεῖν ἐπαύσαντο, ἕως παρέπεισαν αὐτόν, τὸν δεφένσωρα Ἰουλιανὸν ἀποστεῖλαι, ὥς τε αὐτὸν τὸν Ἅγιον ἀγαγεῖν. Ὁ δέ, διὰ τάχους τὸ τοῦ Αἰκυτίου καταλαβὼν Μοναστήριον, εὗρε τοὺς τῶν ἀδελφῶν προὔχοντας καλλιστραφοῦντας, οὓς ἐπηρώτα ποῦ ὁ ἡγούμενος ὑπάρχει· οἱ δὲ ἀποκριθέντες εἶπον· ἐν τῇ ὑποκειμένῃ κοιλάδι χόρτον θερίζει.

Ἀπέστειλεν οὖν τὸν παῖδα αὐτοῦ ὁ δεφένσωρ, πάνυ ἐπηρμένον ὄντα καὶ ὑπερήφανον, ἵνα πρὸς αὐτὸν καλέσῃ τὸν Ἅγιον· ὁ δὲ παῖς, πρὸς τοὺς θερίζοντας ἀπελθών, ἐπεζήτει τίς ἐστιν ὁ Αἰκύτιος· ὡς δὲ παρ' αὐτῶν διέγνω τὸν ἄνδρα, αναριθμήτῳ φόβῳ ληφθείς, ἤρξατο τρέμειν καὶ ἀγωνιᾶν καὶ μόλις βαδίζειν δυνάμενος. Ἐλθὼν οὖν πρὸς τὸν Ἅγιον καὶ τοῖς αὐτοῦ ποσὶ προσπεσών, τὴν τοῦ κυρίου αὐτοῦ παρουσίαν ἐμήνυσεν· ὑποδησάμενος οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος καὶ δεσμήσας τὰ ὑποδήματα αὐτοῦ, ἐπὶ τοῦ ὤμου βαστάζων τὸ δρέπανον παρεγένετο.

Ὁ οὖν Ἰουλιανός, μαθὼν παρὰ τοῦ παιδὸς ὅτι οὗτός ἐστιν ὁ Αἰκύτιος, ἐξ αὐτοῦ τοῦ σχήματος αὐτὸν ἐβδελύξατο, καὶ ηὐτρέπιζε πῶς αὐτῷ διαλεχθῇ σοβαρῶς. Πλησιάσαντος δὲ τοῦ Ἁγίου, ἀνυπόστατος φόβος κατέλαβε τὸν Ἰουλιανόν, καὶ τρέμων μόλις ἀναγγεῖλαι ἠδυνήθη τὸ διατὶ ἐλήλυθε· καὶ οὕτω ταπεινωθείς, τοῖς γόνασι τῷ Ἁγίῳ προσέπεσε καὶ εὐχὴν ὑπὲρ ἑαυτοῦ ποιῆσαι ᾐτεῖτο. Ὁ δέ, ἀναστήσας αὐτόν, ἐπηύξατο, καὶ εὐθὺς τῆς πρὸς τὸν Πατριάρχην φερούσης ὁδοῦ σὺν αὐτῷ ἅψασθαι παρεκάλει· ἔλεγε γάρ, ὅτι ἐὰν τῇ σήμερον ἡμέρᾳ μὴ πορευθῶμεν, αὔριον λοιπὸν ἀδύνατόν ἐστιν ἡμᾶς ἀπελθεῖν. Ὁ δὲ Ἰουλιανὸς ἔφη· ἐσιάνθην ἐκ τῆς ὁδοῦ, Πάτερ, καὶ σήμερον ἐξελθεῖν οὐ δύναμαι. Ἀναγκασθεὶς οὖν παρὰ τοῦ δεφένσωρος, τὴν νύκτα ἐκείνην ἐν τῷ Μοναστηρίῳ σὺν αὐτῷ ἔμεινεν.

Τῇ δὲ ἐπιούσῃ, ἤδη ὑπαυγαζούσης ἡμέρας, παῖς ἐκ τοῦ Πατριάρχου πρὸς Ἰουλιανὸν κατέλαβε, παραγγέλλων αὐτῷ ἵνα τὸν τοῦ Θεοῦ δοῦλον μὴ τολμήσῃ κινῆσαι ἐκ τῆς μονῆς αὐτοῦ· ἐρωτώμενος δὲ τὴν αἰτίαν εἴρηκεν, ὅτι τῇ διελθούσῃ νυκτὶ δι' ὀπτασίας θείας ὁ Πατριάρχης ἔμφοβος γέγονεν, ὅτι ἀποστεῖλαι ἐτόλμησεν ἵνα τὸν τοῦ Θεοῦ δοῦλον ἀγάγῃ. Παρευθὺς οὖν ἀναστὰς ὁ Ἰουλιανὸς ἔφη πρὸς τὸν Αἰκύτιον· παρακαλεῖ ὁ πατὴρ ἡμῶν ὁ Πατριάρχης τοῦ μὴ κοπωθῆναι ὑμᾶς· ὁ δέ, πάνυ λυπηθείς, εἶπεν· οὐ χθὲς εἶπόν σοι, ὅτι εἰ μὴ εὐθὺς πορευθῶμεν οὐδα-

μῶς ἀπελθεῖν δυνησόμεθα; Ἔτι οὖν διὰ τὴν ἀγάπην παρακατασχὼν αὐτόν, καὶ ὑπὲρ τοῦ κόπου μισθόν τινα αὐτῷ παρασχών, καίτοι μὴ θέλοντι, ἀπέστειλεν ἐν εἰρήνῃ.

Γνῶθι οὖν, Πέτρε, ἐν ποίᾳ δόξῃ ὑπάρχουσιν οἱ ἑαυτοὺς ἐν τῷ παρόντι βίῳ βδελυκτοὺς εἶναι ἑλόμενοι· μετὰ γὰρ τῶν τῆς ἐπουρανίου πατρίδος πολιτῶν ἀριθμοῦνται. Ὅσοι δὲ διὰ τῆς ὑψηλοφροσύνης ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων δικαιοῦσι καὶ διὰ τῆς κενοδοξίας φυσιοῦνται, ἀπεναντίας τῶν τοῦ Θεοῦ ὀφθαλμῶν κεῖνται οὗτοι· διὸ καὶ διελέγχων αὐτοὺς ὁ Χριστὸς λέγει· «ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτούς», καὶ τὰ ἑξῆς.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Αἰκύτιος, ὁ ὁποῖος ἠξιώθη νὰ λάβῃ ἀπὸ τὸν Θεὸν μεγάλα χαρίσματα καὶ ὡδήγησεν εἰς τὸν Κύριον, μὲ τὴν διδασκαλίαν καὶ τὸ κήρυγμά του, πολλὰς ψυχάς, σύμφωνα μὲ τὴν ἐντολὴν ποὺ τοῦ ἔδωσεν ὁ Θεός, ἐφοροῦσε πάρα πολὺ πτωχικὰ ἐνδύματα, ὥστε νὰ σιχαίνωνται νὰ τοῦ ἀνταποδώσουν τὸν καλογηρικὸν ἀσπασμόν, αὐτοὶ τοὺς ὁποίους ἐχαιρετοῦσεν. Ὅταν δὲ ἐπρόκειτο νὰ μεταβῇ εἰς ἄλλο μέρος, εἶχε τὴν συνήθειαν νὰ ἱππεύῃ τὸ χειρότερον ἀπὸ τὰ ἄλογα τοῦ Μοναστηρίου· ἐχρησιμοποιοῦσε δὲ καπίστρι ἀντὶ νὰ χρησιμοποιῇ χαλινάρι καὶ ἕνα δέρμα προβάτου ἀντὶ σέλλας. Μαζί του ἐβαστοῦσε πάντοτε ἕνα δερμάτινον δισάκκι μὲ τὰ ἱερὰ βιβλία, καὶ ὁπουδήποτε καὶ ἂν ἐπήγαινεν, ἤνοιγε τὴν πηγὴν τῆς Ἁγίας Γραφῆς καὶ ἐπότιζε τὴν γῆν τῶν νοημάτων.

Ἡ φήμη του λοιπὸν ἔφθασε καὶ μέχρι τῆς Ρώμης. Μερικοί, τότε, ἀπὸ φθόνον, εἶπον πολλὰ ἐναντίον του εἰς τὸν Πατριάρχην· καὶ δὲν ἔπαυσαν νὰ τὸν κατηγοροῦν, μέχρις ὅτου τὸν ἔπεισαν νὰ στείλῃ τὸν φρούραρχον Ἰουλιανὸν διὰ νὰ φέρῃ ἐνώπιόν του τὸν Ἅγιον. Ὁ φρούραρχος μετέβη ἀμέσως εἰς τὸ Μοναστήρι τοῦ Αἰκυτίου, ὅπου εὗρε τοὺς πλέον σπουδαίους μεταξὺ τῶν Μοναχῶν νὰ συζητοῦν καὶ τοὺς ἠρώτησε ποῦ εὑρίσκεται ὁ Ἡγούμενος. Ἐκεῖνοι τοῦ ἀπήντησαν· εἰς τὴν κοιλάδα, ὀλίγον πάρα κάτω, καὶ θερίζει χορτάρι.

Ἀμέσως ὁ φρούραρχος στέλλει τὸν ὑπηρέτην του, πάρα πολὺ φαντασμένον καὶ ὑπερήφανον, διὰ νὰ φωνάξῃ τὸν Ἅγιον. Ὁ ὑπηρέτης, ἀφοῦ μετέβη εἰς τοὺς θεριστάς, ἐζητοῦσεν ἀπὸ αὐτοὺς νὰ πληροφορηθῇ ποῖος εἶναι ὁ Αἰκύτιος. Μόλις ὅμως ἀπὸ τὰς πληροφορίας τῶν θεριστῶν ἀνεγνώρισε τὸν Ἅγιον, ἤρχισε νὰ τρέμῃ καὶ νὰ αἰσθάνεται ἀγωνίαν καὶ μόλις νὰ ἠμπορῇ νὰ βαδίζῃ. Ἀφοῦ λοιπὸν ἐπλησίασε τὸν Ἅγιον καὶ ἔπεσεν εἰς τοὺς πόδας του, τοῦ ἐφανέρωσε τὴν παρουσίαν τοῦ κυρίου του εἰς τὸ Μοναστήρι.

Χωρὶς χρονοτριβὴν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐφόρεσε τὰ ὑποδήματά του, τὰ ἔδεσε καὶ ἀφοῦ ἔβαλε τὸ δρεπάνι εἰς τὸν ὦμον του ἐπέστρεψεν εἰς τὸ Μοναστήρι.

Μόλις ὁ Ἰουλιανὸς ἔμαθεν ἀπὸ τὸν ὑπηρέτην του ὅτι αὐτὸς εἶναι

ὁ Αἰκύτιος, ᾐσθάνθη ἀηδίαν ἀπὸ τὴν ἐμφάνισίν του καὶ ἐδίσταζε νὰ ὁμιλήσῃ μαζί του σοβαρά. Ὅταν ὅμως τὸν ἐπλησίασεν ὁ Ἅγιος, ἕνας ἀπερίγραπτος φόβος κατέλαβε τὸν Ἰουλιανὸν καὶ μὲ δυσκολίαν, τρέμων, ἠμπόρεσε νὰ τοῦ εἴπῃ διατὶ ἦλθε. Ταπεινωμένος ἔτσι μὲ τὸν τρόπον αὐτὸν ὁ Ἰουλιανός, ἐγονάτισεν ἐμπρὸς εἰς τὸν Ἅγιον καὶ τοῦ ἐζήτει νὰ κάμῃ εὐχὴν δι' αὐτόν. Ὁ Ἅγιος, ἀφοῦ τὸν ἐσήκωσε, τὸν ηὐλόγησε καὶ τὸν παρεκάλει νὰ ξεκινήσουν ἀμέσως διὰ τὸν Πατριάρχην. Διότι —ἔλεγεν ὁ Αἰκύτιος— ἂν δὲν ὑπάγωμεν σήμερον, αὔριον θὰ εἶναι ἀδύνατον. Τότε ὁ Ἰουλιανὸς τοῦ ἀπήντησε· Πάτερ, ἐκουράσθηκα ἀπὸ τὴν ὁδοιπορίαν καὶ σήμερον δὲν ἠμπορῶ νὰ ξεκινήσω πάλιν. Ἐξαναγκασθεὶς λοιπὸν ἀπὸ τὸν φρούραρχον παρέμεινεν ἐκεῖνο τὸ βράδυ μαζί του εἰς τὸ Μοναστήρι.

Τὴν ἄλλην ἡμέραν, μόλις ἤρχισε νὰ χαράζῃ ἡ ἡμέρα, ἦλθεν εἰς τὸν Ἰουλιανὸν ἕνας ὑπηρέτης ἀπὸ τὸν Πατριάρχην καὶ τοῦ παρήγγειλε νὰ μὴ τολμήσῃ νὰ μετακινήσῃ ἀπὸ τὸ Μοναστήρι του τὸν δοῦλον τοῦ Θεοῦ. Ἐρωτώμενος δὲ ὁ ὑπηρέτης ἀπὸ τὸν Ἰουλιανὸν διὰ τὴν αἰτίαν αὐτῆς τῆς μεταβολῆς, ἀπήντησεν ὅτι τὴν περασμένην νύκτα ὁ Πατριάρχης κατετρόμαξε ἀπὸ μίαν θεϊκὴν ὀπτασίαν, διότι ἐτόλμησε νὰ στείλῃ (ἄνθρωπον) διὰ νὰ συλλάβῃ καὶ ὁδηγήσῃ ἐνώπιόν του τὸν δοῦλον τοῦ Θεοῦ. Ἀμέσως λοιπόν, τὴν ἰδίαν στιγμήν, ἐσηκώθη ὁ Ἰουλιανὸς καὶ εἶπε πρὸς τὸν Αἰκύτιον· Ὁ Πατὴρ ἡμῶν, ὁ Πατριάρχης, παρακαλεῖ νὰ μὴ ὑποβληθῆτε εἰς τὸν κόπον. Τότε ἐκεῖνος, πάρα πολὺ λυπημένος, τοῦ εἶπε: Δὲν σοῦ εἶπα χθές, ὅτι ἂν δὲν ξεκινήσωμεν ἀμέσως, δὲν θὰ ἠμπορέσωμεν πλέον νὰ ὑπάγωμεν; Ἀφοῦ λοιπὸν ἐκράτησεν εἰς τὸ Μοναστήρι, χάριν ἀγάπης, τὸν Ἰουλιανὸν καὶ τοῦ προσέφερε κάποιο φιλοδώρημα διὰ τὸν κόπον του, ἂν καὶ δὲν ἤθελε νὰ τὸ δεχθῇ ὁ Ἰουλιανός, τὸν κατευώδωσεν, ἀφοῦ τὸν ηὐλόγησε.

Μάθε λοιπόν, Πέτρε, πόσον δοξάζονται ὅσοι προτιμοῦν εἰς τὴν παροῦσαν ζωὴν νὰ τοὺς ἀποστρέφωνται οἱ ἄλλοι· συγκαταλέγονται, δηλαδή, μαζὶ μὲ τοὺς πολίτας τῆς ἐπουρανίου πατρίδος. Ἀντιθέτως, ὅσοι μὲ τὴν ὑψηλοφροσύνην των παρουσιάζονται ὡς δίκαιοι ἐνώπιον τῶν ἀνθρώπων καὶ καμαρώνουν διὰ τὴν κενοδοξίαν των, αὐτοὶ εὑρίσκονται μακρὰν ἀπὸ τοὺς ὀφθαλμοὺς τοῦ Θεοῦ. Δι' αὐτὸ καὶ ἐλέγχων αὐτοὺς ὁ Χριστὸς λέγει· «σεῖς εἶσθε, ποὺ ἀπὸ μόνοι σας δικαιώνεσθε» (Λουκ. ιστ', 15) καὶ τὰ ἑπόμενα.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγ. Γρηγορίου τοῦ θαυματουργοῦ

ΠΟΤΕ τῶν ἐκ τῆς πόλεως Κομάνων τῆς ἀστυγείτονος πανδημεὶ προσελθόντων τῷ θαυμαστῷ Γρηγορίῳ, καὶ ἀξιούντων ἐλθεῖν πρὸς αὐτοὺς καὶ τὴν παρ' αὐτοῖς Ἐκκλησίαν διὰ τῆς ἱερωσύνης συστήσασθαι, ὑπακούσας ὁ μέγας, ἐγένετο παρ' αὐτοῖς. Καὶ τῶν μὲν ἐν τέλει πάντων αἱ γνῶμαι, τοὺς προέχειν δοκοῦντας λό-

γῳ τε καὶ γένει καὶ τῇ λοιπῇ περιφανείᾳ περιειργάζοντο, καὶ πολλαχῇ ταῖς ψήφοις ἐμερίζοντο, ἄλλων ἄλλον προαιρουμένων.

Ὁ δὲ μέγας, θεόθεν αὐτῷ τινα ἀνέμενε πρὸς τὸ προκείμενον συμβουλήν· καὶ καθὼς ὁ Σαμουὴλ μνημονεύεται μὴ ἐκπλαγῆναι κάλλος σωμάτων καὶ μέγεθος ἐπὶ τῇ τῆς Βασιλείας χρίσει, ἀλλὰ ψυχὴν ζητεῖν βασιλικήν, κἂν ἐν καταφρονουμένῳ σώματι τύχῃ, τὸν αὐτὸν τρόπον κἀκεῖνος, τὰς περὶ ἑκάστου τῶν ἐψηφισμένων σπουδὰς παραβλέπων, πρὸς ἓν ἀφεώρα μόνον, εἴ τις καὶ πρὸ τῆς ἀνακηρύξεως δι' ἐπιμελείας βίου καὶ ἀρετῆς ἐν τρόπῳ τὴν ἱερωσύνην φέρει.

Ὡς οὖν οἱ μὲν μετ' ἐγκωμίων παρῆγον οὓς ἐψηφίσαντο, ὁ δέ, καὶ πρὸς τοὺς εὐτελεστέρους κατὰ τὸ τοῦ βίου βλέπειν ἐνεκελεύετο·. δυνατὸν γὰρ εἶναι καὶ ἐν τοῖς τοιούτοις εὑρεθῆναί τινα τῶν περιφανῶν ἐκείνων κατὰ τὸν πλοῦτον τῆς ψυχῆς ὑψηλότερον. Ὕβριν ᾠήθη τις τῶν περιεστηκότων τῆς ψήφου καὶ χλευασμὸν τὴν τοιαύτην τοῦ μεγάλου κρίσιν εἰ τῶν λόγῳ καὶ ἀξιώματι καὶ τῇ φαινομένῃ τοῦ βίου μαρτυρίᾳ προκεκριμένων τῶν ἄλλων, μηδενὸς ἐπὶ τὴν ἱερωσύνην παραδεχθέντος, ἐκ τῶν βαναύσων πρὸς τὴν τοιαύτην χάριν νομίζοιντό τινες ἀξιώτεροι. Καὶ ἅμα κατειρωνευόμενος πρὸς αὐτόν, εἰ ταῦτα κελεύεις, φησί, τούτους μὲν τοιούτους ὄντας περιοφθῆναι τοὺς πάσης ἐξειλεγμένους τῆς πόλεως, ἐκ δὲ τῶν συρφετῶν εἰς προστασίαν τῆς ἱερωσύνης ἀναχθῆναί τινα, ὥρα σοι λοιπὸν τὸν ἀνθρακέα καλεῖν ἐπὶ τὴν ἱερωσύνην Ἀλέξανδρον, καὶ μεταβάντες, εἰ δοκεῖ, συμφωνήσωμεν πρὸς ἀλλήλους ἡ πόλις πᾶσα.

Ταῦτα μὲν οὖν ἐφθέγγετο, τὴν γνώμην διαβάλλων αὐτοῦ διὰ τῆς εἰρωνικῆς ταύτης ψήφου, καὶ τὴν ἐπὶ τοῖς προλαβοῦσιν ἀκρισίαν καταμεμφόμενος. Τῷ δὲ μεγάλῳ γίνεται διὰ τῶν εἰρημένων ἐνθύμιον, μὴ ἀθεεὶ τὸν Ἀλέξανδρον ἐν μνήμῃ τῶν ψηφιζομένων γενέσθαι. Καὶ τίς, φησιν, οὗτος ὁ Ἀλέξανδρος, οὗ τὴν μνήμην πεποίησθε;

Εἶτά τινος τῶν συμπαρόντων ἐν γέλωτι παραγαγόντος εἰς μέσον τὸν μνημονευθέντα, ρακίοις πιναροῖς ἠμφιεσμένον οὐδὲ ὅλῳ τῷ σώματι, καὶ ἅμα δεικνῦντα τῷ φαινομένῳ τὴν ἐργασίαν, χερσί τε καὶ προσώπῳ καὶ τῷ λοιπῷ τοῦ σώματος κατησβολωμένον τοῖς ἄνθραξι, τοῖς μὲν λοιποῖς γέλωτος ἦν ὑπόθεσις ἐν μέσῳ τοιοῦτος ἑστὼς ὁ Ἀλέξανδρος, τῷ δὲ διορατικῷ ἐκείνῳ ὀφθαλμῷ πολλὴν παρεῖχεν ἔκπληξιν τὸ γινόμενον· ἀνὴρ ἐν τοσαύτῃ πενίᾳ καὶ ἀτημελημένῳ τῷ σώματι πρὸς ἑαυτὸν βλέπων, καὶ οἷον ἐπαγαλλόμενος τούτοις, ὃ τοῖς ἀπαιδεύτοις ὀφθαλμοῖς ἦν καταγέλαστον, καὶ οὕτως εἶχεν. Οὐκ ἀνάγκῃ πενίας ἐπὶ τὸν τοιοῦτον ἐληλύθει βίον, ἀλλὰ φιλόσοφος ἦν ὁ ἀνήρ, ὡς ὁ μετὰ ταῦτα βίος ἐγνώρισεν, ὡς καὶ μέχρι τοῦ μαρτυρίου φθάσαι διὰ πυρὸς τελειώσας τὸν δρόμον· τὸ δὲ λανθάνειν ἐπετήδευε, κρείττων ὑπάρχων τῆς ἐσπουδασμένης παρ' αὐτῶν εὐκληρίας καὶ ἀντ' οὐδενὸς τὸν βίον ποιούμενος τῆς ὑψηλοτέρας καὶ ἀληθοῦς ζωῆς τὴν ἐπιθυμίαν ἔχων, ὡς ἂν μάλιστα τὸν πρὸς ἀρετὴν κατορθώσῃ σκοπὸν λανθάνειν ἐμηχανᾶτο.

Τοιοῦτος ὤν, τῷ ἀτιμωτέρῳ τῶν ἐπιτηδευμάτων οἷον εἰδεχθεῖ τινι τῷ προσωπείῳ ὑπεκρύπτετο· ἄλλως τε καὶ ὑπερανθῶν τῇ νεότητι, σφαλερὸν ἡγεῖτο τῷ τῆς σωφροσύνης σκοπῷ φανερὸν ποιεῖν τὸ κάλλος τοῦ σώματος· ᾔδει γὰρ χαλεπῶν καταπτωμάτων ἀφορμὴν τοῖς πολλοῖς τὸ τοιοῦτον γινόμενον. Ὡς ἂν οὖν μήτε πάθοι

τι τῶν ἀβουλήτων, μήτε πάθους ὑπόθεσις ἀλλοτρίοις ὀφθαλμοῖς κατασταίη, καθάπερ τι προσωπεῖον εἰδεχθές, τὴν ἀνθρακοποιίαν ἑκουσίως ἑαυτῷ περιτίθησι, δι' ἧς τό τε σῶμα τοῖς πόνοις πρὸς ἀρετὴν ἐγυμνάζετο, καὶ τὸ κάλλος τῷ ρύπει τῶν ἀνθράκων ἐπεκαλύπτετο· καὶ ἅμα τὸ ἐκ τῶν πόνων αὐτῷ προσγινόμενον, εἰς ἐντολῶν ὑπηρεσίαν ᾠκονομεῖτο.

Ἐπειδὴ οὖν μεταστήσας αὐτὸν τοῦ συνεδρίου, πάντα τὰ κατ' αὐτὸν δι' ἀκριβείας ἐπύθετο, τὸν μὲν δίδωσι τοῖς περὶ αὐτόν, ἐντειλάμενος ἃ χρὴ πράττειν, αὐτὸς δὲ πάλιν καταλαβὼν τὸ συνέδριον, ἐκ τῶν ἐν χερσὶ τοὺς συνειλεγμένους ἐπαίδευε, τοὺς περὶ τῆς ἱερωσύνης λόγους αὐτοῖς παρατιθέμενος, καὶ διὰ τούτων τὸν κατ' ἀρετὴν ὑπογράφων βίον. Καὶ διήγαγεν ἐν τοῖς τοιούτοις λόγοις παρακατέχων τὸν σύλλογον, ἕως ἐκπληρώσαντες οἱ ὑπηρετοῦντες τὸ προσταχθέν, ἐπέστησαν ἔχοντες μεθ' ἑαυτῶν τὸν Ἀλέξανδρον, λουτρῷ τε τὴν ἐκ τῆς ἀσβόλης ἀηδίαν ἀποκλυσάμενον, καὶ τοῖς τοῦ μεγάλου ἱματίοις ἠμφιεσμένον (ταῦτα γὰρ ἦν αὐτοῖς ἐντειλάμενος ποιῆσαι).

Πάντων δὲ πρὸς τὸν Ἀλέξανδρον ἐπιστραφέντων καὶ θαυμαστικῶς πρὸς τὸ φαινόμενον διακειμένων, οὐδὲν κοινὸν πεπόνθατε, φησὶ πρὸς αὐτοὺς ὁ διδάσκαλος, ὀφθαλμοῖς ἀπατηθέντες, καὶ τῇ αἰσθήσει μόνῃ τὴν κρίσιν τοῦ καλοῦ ἐπιτρέψαντες. Σφαλερὸν γὰρ κριτήριον τῆς τῶν ὄντων ἀληθείας ἡ αἴσθησις, τὴν πρὸς τὸ βάθος τῆς ἀληθείας εἴσοδον δι' ἑαυτῆς ἀποκλείουσα, ἅμα δὲ καὶ τῷ τῆς εὐσεβείας ἐχθρῷ δαίμονι τοῦτο φίλον ἦν πάντως, ἀργῆσαι τὸ τῆς ἐκλογῆς σκεῦος τῇ ἀγνοίᾳ συγκαλυπτόμενον, μηδὲ παρελθεῖν εἰς μέσον ἄνδρα, τῆς ἐκείνου δυναστείας καθαιρέτην ἐσόμενον.

Ταῦτα εἰπών, προσάγει τῷ Θεῷ διὰ τῆς ἱερωσύνης τὸν ἄνδρα, κατὰ τὸν νενομισμένον τρόπον τελειώσας τῇ χάριτι. Πάντων δὲ πρὸς τὸν νέον ἱερέα ἀποβλεπόντων, προτραπείς τινα λόγον πρὸς τὴν Ἐκκλησίαν ποιήσασθαι, ἔδειξεν εὐθὺς ἐν προοιμίοις τῆς ἀρχῆς ὁ Ἀλέξανδρος ἄψευστον ἐπ' αὐτῷ τοῦ Γρηγορίου τὴν κρίσιν· ἦν γὰρ αὐτῷ πλήρης διανοίας ὁ λόγος, ἧττον τῷ ἄνθει κεκαλλωπισμένος τῆς λέξεως.

Ὅθεν τις τῶν νέων ἀγέρωχος, ἐκ τῆς ἀτθίδος αὐτοῖς ἐπιχωριάζων, τὸ ἀκαλλὲς τῆς λέξεως ἐπεγέλασεν, ὅτι μὴ τῇ περιεργείᾳ τῆς ἀττικῆς κεκαλλώπιστο· ὅν φασιν ἐκ θειοτέρας ὄψεως σωφρονισθῆναι, περιστερῶν ἀγέλην ἰδόντα ἀμηχάνῳ τινὶ κάλλει διαλαμπουσῶν καί τινος ἀκηκοέναι λέγοντος· Ἀλεξάνδρου τὰς περιστερὰς εἶναι ταύτας, ἃς ἐν γέλωτι ἐκεῖνος ἐπεποίητο.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἀπὸ τὴν γειτονικὴν πόλιν Κόμανα* ὅλοι οἱ κάτοικοι

---

*Ὑπὸ τὸ ὄνομα Κόμανα φέρονται δύο ἀρχαῖαι πόλεις εἰς τὴν Μικρὰν Ἀσίαν, ἡ μία εἰς τὴν Καππαδοκίαν, ἡ ὁποία ἐκαλεῖτο Κόμανα τὰ Καππαδοκικά, καὶ ἡ ἄλλη εἰς τὸν Πόντον, καλουμένη Κόμανα τὰ Ποντικά. Εἰς τὴν τελευταίαν ταύτην πόλιν ἐξορισθεὶς ὑπὸ τῆς αὐτοκρατείρας Εὐδοξίας ἐτελεύτησεν ὁ θεῖος Ἰωάννης ὁ Χρυσόστομος. Ἐνταῦθα πρόκειται περὶ τῶν Κομάνων τῶν Ποντικῶν,

ἐξεκίνησαν καὶ ἐπῆγαν νὰ συναντήσουν τὸν θαυμαστὸν Γρηγόριον· τὸν ἐπαρακαλοῦσαν δὲ νὰ ἔλθῃ εἰς τὴν πόλιν των καὶ νὰ στερεώσῃ τὴν Ἐκκλησίαν των διὰ χειροτονίας ἱερέως. Ὁ Μέγας, πράγματι, ὑπήκουσε καὶ ἦλθε πρὸς αὐτούς. Τῶν ἀρχόντων αἱ προτιμήσεις ἐστρέφοντο πρὸς ἐκείνους, ποὺ ἐθεωροῦντο ἀνώτεροι καὶ κατὰ τὴν μόρφωσιν καὶ κατὰ τὴν καταγωγὴν καὶ κατὰ τὴν λοιπὴν κοσμικὴν ἀξίαν καὶ ἔτσι αἱ ψῆφοι, διὰ τοὺς ὑποψηφίους, ἐμοιράζοντο εἰς πολλούς, διότι ἄλλοι ἐπροτιμοῦσαν τὸν ἕνα καὶ ἄλλοι τὸν ἄλλον.

Ὁ Μέγας Γρηγόριος ὅμως ἐπερίμενεν ἀπὸ τὸν Θεὸν κάποιαν συμβουλὴν διὰ τὸ ζήτημα αὐτό. Καὶ ὅπως ὁ Σαμουήλ, καθὼς ἀναφέρεται εἰς τὴν Ἁγίαν Γραφήν, δὲν ἐξεπλάγη ἀπὸ τὴν ὡραιότητα καὶ τὸ μέγεθος σωμάτων, ὅταν ἐπρόκειτο νὰ χρίσῃ βασιλέα τῶν Ἑβραίων, ἀλλὰ ἀναζητοῦσε ψυχὴν βασιλικήν, ἔστω καὶ ἂν ὑπῆρχε εἰς ταπεινὸν ἄνθρωπον, ἔτσι καὶ ἐκεῖνος· παραβλέπων τὰ προσόντα ἑνὸς ἑκάστου ἐξ ἐκείνων, ποὺ εἶχον προτιμηθῆ διὰ ψήφου, εἰς ἕνα πρᾶγμα μόνον ἐπρόσεχεν· ἂν κάποιος ἀπὸ τοὺς ὑποψηφίους, καὶ πρὶν ἀκόμη χειροτονηθῇ ἱερεύς, ἔφερεν εἰς τὴν ψυχήν του τὸ χάρισμα τῆς ἱερωσύνης, μὲ τὴν ἐπιμέλειαν τοῦ βίου του καὶ τὸν τρόπον τῆς ἀρετῆς του.

Ὅταν λοιπὸν οἱ ἄρχοντες παρουσίαζαν, μὲ ἐπαίνους, ἐκείνους ποὺ ἐψήφισαν δι' ἱερεῖς, ὁ ἅγιος Γρηγόριος παρήγγελλεν εἰς αὐτοὺς νὰ προσέξουν καὶ τὸν βίον τῶν ταπεινοτέρων, ἐκ τῶν κατοίκων πόλεως, διότι —ὡς ἔλεγεν— ἦτο δυνατὸν νὰ εὑρεθῇ μεταξὺ αὐτῶν κάποιος, ποὺ νὰ ἀξίζῃ περισσότερον, κατὰ τὸν πλοῦτον τῆς ψυχῆς, ἀπὸ ἐκείνους ποὺ αὐτοὶ ἐθεωροῦσαν σπουδαίους. Κάποιος ἀπὸ τοὺς παρευρισκομένους ἐθεώρησεν ὡς περιφρόνησιν τῆς ἀποφάσεώς των καὶ ὡς χλευασμὸν τὴν κρίσιν τοῦ Μεγάλου, νὰ μὴ γίνῃ δηλαδὴ κανεὶς δεκτὸς εἰς τὴν ἱερωσύνην ἀπὸ ὅσους εἶχαν προκριθῆ διὰ τὴν μόρφωσίν των, τὸ ἀξίωμά των καὶ τὸν τρόπον τῆς ζωῆς των, καὶ νὰ προτιμηθοῦν, διὰ τὴν χάριν τῆς ἱερωσύνη, ἄλλοι ἀμόρφωτοι καὶ ἄξεστοι. Καί, εἰρωνευόμενος τὸν Ἅγιον, προσέθεσεν: ἂν διατάσσῃς αὐτά, τότε ἂς περιφρονήσωμεν αὐτούς, ποὺ ἐξέλεξεν ὁλόκληρος ἡ πόλις, καὶ ἂς ἀνυψωθῇ εἰς τὸ ἀξίωμα τῆς ἱερωσύνης κάποιος ἄξεστος ἀπὸ τὸν ὄχλον. Ὥρα, λοιπόν, εἶναι νὰ καλέσῃς εἰς τὴν ἱερωσύνην καὶ τὸν Ἀλέξανδρον τὸν καρβουνιάρην καὶ ἂν

διότι ταῦτα γειτονεύουν μὲ τὴν Νεοκαισάρειαν τοῦ Πόντου ἀπὸ τῆς ὁποίας ἀπέχουν περὶ τὰ 70 χ.λ.μ. πρὸς νότον καὶ ὑπὸ τὴν ὁποίαν ὑπόκεινται. Εἰς τὴν Νεοκαισάρειαν ἐγεννήθη ὁ Ἅγιος Γρηγόριος ὁ θαυματουργὸς κατὰ τὸ 213 μ.Χ. εἰς τὴν πόλιν δὲ ταύτην ἔγινεν ὁ πρῶτος Ἐπίσκοπος (κατὰ τὸ 240) καὶ ἐποίμανε τὴν ἐκκλησίαν ταύτης ἐπὶ 30 ἔτη. Εἰργάσθη ὑπερανθρώπως διὰ τὴν διάδοσιν τοῦ Χριστιανισμοῦ μὲ τόσην αὐταπάρνησιν, ὥστε ὁ Γρηγόριος Νύσσης διηγεῖται περὶ αὐτοῦ, ὅτι ὅτε ἔγινεν ἐπίσκοπος εἰς τὴν Νεοκαισάρειαν ὑπῆρχον μόνον 17 χριστιανοὶ καὶ κατὰ τὸν θάνατόν του εἶχον ἀπομείνει μόνον 17 εἰδωλολάτραι.

τὸ νομίζῃς καλόν, ἀφοῦ συναθροισθῶμεν, νὰ συμφωνήσωμεν ὁλόκληρος ἡ πόλις μεταξύ μας.

Αὐτά, λοιπόν, ἔλεγε, κατηγορῶν τὸν Ἅγιον μὲ τὴν εἰρωνικὴν αὐτὴν πρότασίν του, διὰ τά, δῆθεν, ἀπερίσκεπτα λόγια, ποὺ ἀνέφερε προηγουμένως. Εἰς τὸν Ἅγιον ὅμως ἐγεννήθη ἡ σκέψις, ἀπὸ τὰ λεχθέντα, μήπως τὸ ὄνομα τοῦ Ἀλεξάνδρου, μεταξὺ τῶν ὑποψηφίων διὰ τὴν ἱερωσύνην, ἀνεφέρθη κατὰ φώτισιν Θεοῦ. Καὶ ποῖος εἶναι —ἐρωτᾷ τοὺς παρισταμένους— αὐτὸς ὁ Ἀλέξανδρος, ποὺ τώρα τὸν ἐθυμηθήκατε;

Κατόπιν αὐτοῦ κάποιος ἀπὸ τοὺς παρισταμένους, γελῶν εἰρωνικά, ἔφερεν εἰς τὸ μέσον αὐτὸν τὸν Ἀλέξανδρον, ποὺ ἐφοροῦσεν ἐλεεινὰ κουρέλια, χωρὶς νὰ σκεπάζουν κἂν ὁλόκληρον τὸ σῶμα του καὶ ἐφανέρωνε, μὲ τὴν ἐμφάνισίν του, τὸ ἐπάγγελμά του. Τὰ χέρια του καὶ τὸ πρόσωπόν του καὶ τὸ ὑπόλοιπον σῶμα του, ποὺ δὲν ἐκαλύπτετο ἀπὸ τὰ κουρέλια, ἦσαν σκεπασμένα ἀπὸ τὴν μουντζούρα. Τὸ θέαμα ἑνὸς τέτοιου Ἀλεξάνδρου, ὁ ὁποῖος ἐστέκετο εἰς τὸ μέσον, εἰς ὅλους μὲν τοὺς ἄλλους ἔδωσεν ἀφορμὴν νὰ γελάσουν· διὰ τὸν διορατικὸν ὅμως ὀφθαλμὸν τοῦ Ἁγίου Γρηγορίου, αὐτὸ ποὺ συνέβαινεν, ἐγεννοῦσεν εἰς τὴν ψυχήν του ἔκπληξιν καὶ θαυμασμόν.

Ἕνας ἄνθρωπος μὲ τόσην φτώχειαν καὶ τόσον ἀπεριποίητον τὸ σῶμα του ἦτο συγκεντρωμένος εἰς τὸν ἑαυτόν του καὶ ἐφαίνετο ὡσὰν νὰ ἔχαιρε δι' αὐτά, ποὺ διὰ τοὺς ἀπαίδευτους ἦσαν καταγέλαστα. Καὶ ἔτσι ἦτο. Δὲν κατήντησεν εἰς αὐτὸν τὸν βίον ἀπὸ τὴν ἀνάγκην τῆς φτώχειας, ἀλλὰ διότι ὁ ἄνθρωπος ἦτο φιλόσοφος, ὡς ἀπέδειξεν ἡ μετέπειτα ζωή του, ἀφοῦ ἔφθασε καὶ μέχρι τοῦ μαρτυρίου καὶ ἐτελείωσε τὸν ἐπίγειον δρόμον του διὰ πυρός. Ἐπεδίωκε νὰ ζῇ χωρὶς ἐπίδειξιν, ἐπειδὴ ἦτο ἀνώτερος ἀπὸ τὴν προσποιητὴν σπουδαιότητα τῶν ἄλλων. Καὶ ἐπειδὴ δὲν ἀντήλλασσε μὲ τίποτα τὴν ὑψηλοτέραν καὶ ἀληθινὴν ζωήν, ποὺ ἐπιθυμοῦσεν, ἐπροσπαθοῦσε μὲ κάθε τρόπον νὰ ἀποφεύγῃ τὴν προσοχὴν τῶν ἀνθρώπων, διὰ νὰ ἐπιτύχῃ τὸν σκοπὸν τῆς ἀρετῆς.

Ἐπειδὴ λοιπὸν εἶχε τοιοῦτον ὑψηλὸν φρόνημα ἐκρύπτετο μὲ τὸ πλέον ταπεινὸν ἐπάγγελμα, ὡς νὰ ἐφόρει ἄσχημον προσωπίδα, ἐνῷ μάλιστα εὑρίσκετο εἰς τὸ ἄνθος τῆς νεότητος. Ἐνόμιζεν ἐπικίνδυνον, διὰ τὸν σκοπὸν τῆς σωφροσύνης, νὰ ἐπιδεικνύῃ τὴν ὡραιότητα τοῦ σώματός του· διότι ἐγνώριζεν, ὅτι ἕνα τέτοιο πρᾶγμα ἐγένετο ἀφορμὴ διὰ σοβαρὰ παραπτώματα εἰς τοὺς πολλούς. Διὰ νὰ μὴ πάθῃ λοιπὸν κάτι ἀνεπιθύμητον καὶ διὰ νὰ μὴ γίνῃ ἀφορμὴ πάθους εἰς ξένα μάτια, ἐχρησιμοποίει, ὡς κάποιαν ἄσχημον μάσκαν, τὸ ἐπάγγελμα τοῦ καρβουνιάρη· ἔτσι καὶ τὸ σῶμα του ἐγύμναζεν εἰς τὴν ἀρετὴν μὲ τοὺς τόπους τῆς ἐργασίας καὶ τὴν ὡραιότητα τῆς νεότητος ἐσκέπαζε μὲ τὴν ἀσβόλην (καπνιὰ) ἀπὸ τὰ κάρβουνα. Ἐν τῷ μεταξὺ ὅσα ἐκέρδιζεν ἀπὸ τὸν κόπον τῆς ἐργασίας του διέθετε διὰ νὰ ἐκτελῇ τὰς ἐντολὰς τοῦ Κυρίου.

Ἀφοῦ λοιπὸν ὁ ἅγιος Γρηγόριος ἐκάλεσεν ἰδιαιτέρως ἀπὸ τὸ Συ-

νέδριον τὸν Ἀλέξανδρον ἐζήτει νὰ πληροφορηθῇ ἀπὸ αὐτόν, μετὰ πάσης ἀκριβείας, τὰ τοῦ βίου του. Ἐν συνεχείᾳ τὸν παραδίδει εἰς τὴν συνοδίαν του καὶ δίδει ἐντολὴν νὰ κάμουν ὅ,τι ἔπρεπεν. Ὁ ἴδιος ὁ Ἅγιος ἐπανελθὼν πάλιν εἰς τὸ Συνέδριον ἐδίδασκε τοὺς παρισταμένους ἐκ τοῦ προχείρου περὶ τῆς ἱερωσύνης καὶ περιέγραφεν ἔτσι τὸν ἐνάρετον βίον. Καὶ παρέτεινε τὴν διδασκαλίαν ἐπὶ πολύ, διὰ νὰ συγκρατήσῃ τὸ Συνέδριον, νὰ μὴ φύγουν οἱ Σύνεδροι, μέχρις ὅτου ἐπέστρεψαν οἱ ὑπηρέται, ποὺ ἀνέλαβαν νὰ ἐκπληρώσουν τὴν ἐντολὴν τοῦ Ἁγίου. Μαζί των εἶχον τὸν Ἀλέξανδρον, ἀφοῦ ἐκαθαρίσθη μὲ λουτρὸν ἀπὸ τὴν ἀσβόλην (καπνιὰ) καὶ εἶχε φορέσει τὰ ἄμφια τοῦ Ἁγίου (διότι αὐτὴ ἦτο ἡ ἐντολή του).

Ἐνῷ δὲ ὅλοι ἔστρεψαν τὰ μάτια των πρὸς τὸν Ἀλέξανδρον καὶ τὸν ἐθαύμαζαν ἔτσι ὅπως τὸν ἔβλεπαν, εἶπε πρὸς αὐτοὺς ὁ Διδάσκαλος· δὲν ἐπάθατε τίποτε τὸ παράδοξον μὲ τὸ νὰ ξεγελασθῆτε ἀπὸ τὰ μάτια καὶ νὰ στηρίξετε τὴν κρίσιν σας διὰ τὸ καλὸν μόνον εἰς τὴν αἴσθησιν τῆς ὁράσεως· διότι, πράγματι, ἡ αἴσθησις εἶναι κριτήριον σφαλερὸν διὰ τὴν ἐκτίμησιν τῆς ἀληθείας τῶν πραγμάτων, ἐπειδὴ ἐμποδίζει τὴν διείσδυσιν εἰς τὸ βάθος τῆς ἀληθείας· συνάμα αὐτὸ ἦτο ὁπωσδήποτε ἀγαπητὸν εἰς τὸν ἐχθρὸν τῆς εὐσεβείας, τὸν δαίμονα, νὰ παραμείνῃ ἀχρησιμοποίητον τὸ σκεῦος τῆς ἐκλογῆς σκεπασμένον μὲ τὴν ἄγνοιαν, καὶ νὰ μὴ παρουσιασθῇ εἰς τὸν μέσον ἄνθρωπος, ποὺ πρόκειται νὰ καταλύσῃ τὴν τυραννίαν του.

Ἀφοῦ εἶπεν αὐτά, ἀφιερώνει τὸν Ἀλέξανδρον διὰ τῆς ἱερωσύνης εἰς τὸν Θεόν, σφραγίσας αὐτὸν διὰ τῆς Θείας Χάριτος, σύμφωνα μὲ τὸν τρόπον, ποὺ ὑποδεικνύουν οἱ Ἱεροὶ Κανόνες. Καὶ ἐνῷ ὅλοι ἐπαρατηροῦσαν τὸν νέον ἱερέα, τὸν προέτρεψαν νὰ ὁμιλήσῃ πρὸς τὸ ἐκκλησίασμα· ἔδειξε δὲ ἀμέσως τότε ὁ Ἀλέξανδρος πόσον ἀληθινὴ ἦτο ἡ κρίσις, ποὺ ἔκαμε δι' αὐτὸν ὁ Ἅγιος Γρηγόριος. Διότι ὁ λόγος, ποὺ ἐξεφώνησεν, ἦτο γεμᾶτος ἀπὸ ὑψηλὰ νοήματα, χωρὶς ὅμως πολλὰ ῥητορικὰ ἄνθη.

Δι' αὐτὸ κάποιος ὑπερήφανος νέος, ποὺ ἐγνώριζε τὴν ἀττικὴν διάλεκτον καὶ εὑρέθη ἐκεῖ, ἐσχολίασεν εἰρωνικῶς τὸ ἄτεχνον τῆς ὁμιλίας, ἐπειδή, τάχα, δὲν εἶχε στολισθῇ μὲ τὰ ῥητορικὰ σχήματα τῆς ἀττικῆς διαλέκτου. Λέγουν δέ, ὅτι ὁ νέος ἐκεῖνος ἐσυνετίσθη ἀπὸ κάποιαν θεϊκὴν ὀπτασίαν· εἶδε, δηλαδή, σμῆνος περιστεριῶν, νὰ λάμπουν ἀπὸ ἀπερίγραπτον ὡραιότητα καὶ ἤκουσε κάποιον νὰ τοῦ λέγῃ: αὐτὰ τὰ περιστέρια εἶναι τοῦ Ἀλεξάνδρου, ποὺ σὺ περιγέλασες.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Μαρκέλλου

Ο ΘΕΙΟΣ Μάρκελλος ἐξ Ἀπαμείας ἕλκων τὸ γένος, ἐν τῇ μονῇ τῇ λεγομένῃ τῶν Ἀκοιμήτων, διὰ τὸ ἀπαύστους ἐν αὐτῇ γίνεσθαι ἐκ διαδοχῆς τὰς εἰς Θεὸν δοξολογίας, προσέρχεται· καὶ εἰσδεχθείς, μετὰ χρόνον τινὰ ὑπὸ Ἀλε-

ξάνδρου τοῦ προεστῶτος αὐτῆς τὰ τῶν Μοναχῶν ἀμφιέννυται. Ἦν δὲ πρὸ αὐτοῦ ἐκεῖσε ἀποκειράμενος καὶ Ἰάκωβός τις, ὃς συνήθης μὲν πρότερον ἐγεγόνει Μαρκέλλῳ· Ἀλεξάνδρου δὲ φοιτήσας, πρῶτος αὐτῷ ἐν μαθηταῖς ἦν. Οὐ πολλοῦ οὖν διαγεγονότος χρόνου, ὁ Μάρκελλος οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ αὐτὸν τὸν Ἰάκωβον ἀσκήσει καὶ ἀρεταῖς ὑπερέβαλλε· διὸ καὶ σφόδρα τῷ Ἀλεξάνδρῳ καταθύμιος ἦν.

Εἶτα καθάρσει νοὸς τὴν τοῦ καθηγητοῦ προγνοὺς τελευτήν, ὁμοίως δὲ καὶ τὸ μέλλειν ἐπ' αὐτὸν πίπτειν τὴν τῆς ἀρχῆς ψῆφον προεγνωκώς, καὶ δείσας μὴ καὶ νέος ἄρξῃ γερόντων καὶ τὴν φίλην ἀποβάλῃ ὑποταγήν, ᾗ λίαν ἔχαιρε, διὰ μετριοφροσύνης ὑπερβολήν, τῆς μονῆς οὐδενὸς αὐτῷ συνειδότος ὑποχωρεῖ. Ἔπειτα μετὰ βραχὺ μεταστάντος τοῦ ἱεροῦ Ἀλεξάνδρου, Μάρκελλος εὐθὺς ἐν τοῖς ἁπάντων στόμασιν ἦν, καὶ ὅτι μὴ παρῆν λίαν ἐλύπει. Ὡς οὖν ψηφισθεὶς οὐχ ηὑρίσκετο, Ἰωάννης ἄρχειν ἐκρίθη, ἀνὴρ καὶ τὴν τρίχα πολιός, καὶ τὴν σύνεσιν. Ταῦτα δὲ οὕτω προβάντα Μάρκελλος μαθών, καὶ αὐτὸς ἐπανῆκεν εἰς τὴν μονήν, καὶ τῷ Ἰωάννῃ συνέμισγε, χεὶρ αὐτῷ δεξιὰ γινόμενος καὶ συνδιαφέρων ἄριστα τὴν ἀρχήν.

Ποτὲ οὖν ἀποδημοῦντος Μαρκέλλου, λόγοι τινὲς ἐγίνοντο πρὸς Ἰωάννην περὶ αὐτοῦ. Τῶν Μοναχῶν οὖν οἱ μὲν σπουδαιότεροι τ' ἄλλα τε τοῦ ἀνδρὸς θαυμάζοντες ἦσαν, καὶ ὅτι τῆς ἀρχῆς ἐξέστη καὶ τὸν θρόνον οὕτω ῥᾳδίως ἀπέλιπεν. Οἱ ῥάθυμοι δὲ καὶ τὸ μέγεθος ἀγνοοῦντες τῆς τοῦ Μαρκέλλου ψυχῆς, αὐτὸ τοῦτο τὸ δόξαν φυγεῖν ἐκ φιλοδοξίας αὐτὸν πρᾶξαι ἔλεγον· εἰδὼς γὰρ ὡς ὁ Ἰωάννης αὐτοῦ μᾶλλον προτιμηθήσεται, καὶ μὴ θέλων ἑαυτὸν ἐκείνου φανῆναι δεύτερον, διὰ τοῦτο τῆς μονῆς ἀπεδήμησε.

Τοῦτο ὁ Ἰωάννης ἀκούσας, καὶ θέλων τοὺς Μοναχοὺς πεῖσαι μὴ ῥᾳδίως καταγινώσκειν, ἅμα δὲ καὶ δεῖξαι τὸν Μάρκελλον εἰς ὅσον ὕψος ταπεινοφροσύνης ἀφίκετο, ἔργοις, ἔφη, ὦ τέκνα, τὴν κρίσιν ἐπιτρεπτέον· καὶ μηδὲν πλέον φθεγξάμενος, ἔστρεφε κατὰ νοῦν, ἐπανήκοντι τῷ Μαρκέλλῳ, τὴν ἀτιμωτάτην τῆς ὑπηρεσίας τάξιν, τοῦ ὄνου τὴν ἐπιμέλειαν αὐτῷ ἐγχειρίσαι. Ἐπεὶ οὖν ἐκεῖνος ἐπανῆκε καὶ τὸ ἐφύβριστον τοῦτο δοκοῦν ἐπ' ὄψει πάντων ἐπέταττεν ὁ καθηγητής, ἐνταῦθα ὁ Μάρκελλος ἔδειξε σαφῶς τῆς μετριοφροσύνης αὐτοῦ τὴν ὑπερβολήν· οὐ μόνον γὰρ χαίρων ἐδέξατο τὸ ἐπίταγμα, ἀλλά τι καὶ μεῖζον καὶ χαριέστερον ὑπεδείκνυτο.

Οὕτω γάρ φησιν ἀσμένως τὴν λειτουργίαν ὑπήρχετο, ὅσῳ καὶ εὐεργεσίαν αὐτὴν ἐλογίζετο, καὶ γραμματείῳ τὸ ἀσφαλὲς ἠξίου λαβεῖν, ὥς τε μηδέποτε ταύτης ἐκστῆναι αὐτόν. Καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἔπραξε δέ. Οὐδὲ ἔπραξε μέν, ἐπ' ὀλίγον δέ· ἀλλὰ πολὺ μὲν θερμότερος ἐπὶ τῶν ἔργων ὡρᾶτο· ἐπὶ τοσοῦτον δὲ καὶ τὴν ὑπηρεσίαν παρέτεινεν, ἕως καὶ πολλὰ δεηθέντες, ἱκέται πάντες αὐτοῦ γεγόνασιν, ὥς τε αὐτοῖς μὲν συγγνῶναι, τῆς δὲ τοιαύτης ἐκστῆναι δουλείας. Ἄτοπον γὰρ ἄνδρα τοιόν δε, τὸν καὶ ποίμνης λογικῆς ἄρχειν ἄξιον, καὶ εἰς μεγάλα τούτους εὐεργετεῖν, εἰς τὴν εὐτελῆ ἐκείνην ὑπηρεσίαν καταγίνεσθαι, ἣν καὶ ὁ τυχὼν τελεῖν ἠδύνατο.

Ἑ ρ μ η ν ε ί α


Ο ΘΕΙΟΣ Μάρκελλος, ποὺ κατήγετο ἀπὸ τὴν Ἀπάμειαν*, ἔρχεται νὰ γίνῃ μοναχὸς εἰς τὴν μονὴν τῶν Ἀκοιμήτων**· ὠνομάζετο δὲ ἔτσι ἡ Μονή, ἐπειδὴ μέσα εἰς αὐτὴν ἡ δοξολογία τοῦ Θεοῦ ἦτο ἀκατάπαυστος ἀπὸ τοὺς Μοναχοὺς ἡμέραν καὶ νύκτα. Ἀφοῦ ἔγινεν ἀδελφός, μετ' ὀλίγον χρόνον ἐνδύεται τὸ Μοναχικὸν σχῆμα ἀπὸ τὸν Ἡγούμενον τῆς Μονῆς Ἀλέξανδρον. Πρὶν ἀπὸ αὐτόν, εἰς τὸ ἴδιον Μοναστήρι εἶχε καρῆ μοναχὸς καὶ κάποιος Ἰάκωβος, γνωστὸς τοῦ Μαρκέλλου ἀπὸ πρίν. Ὁ Ἰάκωβος αὐτός, ἀφοῦ παρέμεινε κοντὰ εἰς τὸν Ἀλέξανδρον, ἀνεδείχθη πρῶτος μεταξὺ τῶν μαθητῶν του. Ἀφοῦ ἐπέρασεν ὅμως ὀλίγος χρόνος ὁ Μάρκελλος, ὄχι μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ αὐτὸν τὸν Ἰάκωβον ἐξεπέρασεν εἰς τὴν ἄσκησιν καὶ τὰς ἀρετάς. Δι' αὐτὸ καὶ ἠγαπήθη πάρα πολὺ ἀπὸ τὸν Ἀλέξανδρον.

Μετὰ ἀρκετὸν καιρόν, λόγῳ τῆς καθαρότητος τοῦ νοός, προεῖδε τὸν θάνατον τοῦ καθηγητοῦ· ἀκόμη, ὡς προορατικός, προέβλεψεν ὅτι εἰς αὐτὸν ἐπρόκειτο νὰ πέσῃ ἡ ἐκλογὴ διὰ τὴν θέσιν τοῦ Ἡγουμένου. Καὶ ἐπειδὴ ἐφοβήθη μήπως, ἐνῷ ἦτο ἀκόμη νέος, γίνῃ προϊστάμενος γερόντων καὶ ἔτσι χάσῃ τὴν ἀγαπημένην του ὑποταγήν, διὰ τὴν ὁποίαν ἦτο πάρα πολὺ εὐχαριστημένος, ἀπὸ ὑπερβολικὴν μετριοφροσύνην φεύγει ἀπὸ τὸ Μοναστήρι, χωρὶς νὰ τὸ γνωρίζῃ κανείς. Ἔπειτα, ἀφοῦ μετ' ὀλίγον ἀπέθανεν ὁ ἱερὸς Ἀλέξανδρος, τὸ ὄνομα Μάρκελλος ἦτο εἰς τὰ στόματα ὅλων καὶ τὸ ὅτι δὲν ἦτο παρὼν τοὺς ἐπροξενοῦσε μεγάλην λύπην. Ἐπειδὴ λοιπὸν ἐψηφίσθη ἡγούμενος, ἀλλὰ δὲν ἀνευρίσκετο, ἐ-

---

* Ἡ Ἀπάμεια ἦτο πόλις τῆς Συρίας, εὑρισκομένη νοτίως τῆς Ἀντιοχείας ἐπὶ τοῦ ποταμοῦ Ὀρόντη. Προηγουμένως ἡ πόλις ἐκαλεῖτο Φουρνάκη, ὠνομάσθη δὲ Ἀπάμεια ὑπὸ τοῦ βασιλέως Σελεύκου τοῦ Νικάνορος πρὸς τιμὴν τῆς συζύγου του Ἀπάμας, εἶχε δὲ περὶ τὰς 120.000 κατοίκους. Ταύτην κατέστρεψεν ὁ βασιλεὺς τῶν Περσῶν Χοσρόης ὁ Β' (590—628 μ.Χ.). Οὗτος κατέλαβε καὶ ἐλεηλάτησε καὶ τὴν Ἱερουσαλήμ, μετέφερε δὲ καὶ τὸν Τίμιον Σταυρὸν εἰς τὴν Περσίαν. Πλησίον τῶν ἐρειπίων της εὑρίσκεται σήμερον τὸ χωρίον Καλάτ—ελ—Μουδίκ.

** Ἡ Μονὴ τῶν Ἀκοιμήτων εὑρίσκετο εἰς τὸν Βόσπορον πρὸς τὸ στόμιον τοῦ Εὐξείνου Πόντου, ἔγινε δὲ περίφημος, διότι εἰς αὐτὴν ἡ ψαλμῳδία καὶ ἡ προσευχὴ τῶν Μοναχῶν δὲν ἔπαυεν ἡμέραν καὶ νύκτα. Πρῶτος ἱδρυτὴς τῆς Μονῆς τῶν Ἀκοιμήτων ἦτο ὁ Ἀλέξανδρος, ἀλλ' ἐκεῖνος ὁ ὁποῖος ἐσυστηματοποίησε τὸ ἀκοίμητον ψαλμώδημα τῶν Μοναχῶν αὐτῆς ἦτο ὁ Μάρκελλος. Ἐπὶ τῆς ἡγουμενείας του τὸ Μοναστήριον εἶχε 300 Μοναχούς, τοὺς ὁποίους ὁ Μάρκελλος εἶχε διαιρέσει εἰς 3 (ἢ κατ' ἄλλους 6) τάξεις, καὶ κάθε τάξις διεδέχετο τὴν ἄλλην μετὰ ὡρισμένον χρόνον, οὕτως ὥστε ἡ προσευχὴ νὰ εἶναι ἀδιάκοπος ἡμέραν καὶ νύκτα. Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν Μάρκελλος ἤκμασε κατὰ τὸ δεύτερον ἥμισυ τοῦ Ε' μ.Χ. αἰῶνος. (Βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος ΙΒ', σελ. 736).


Ο ΟΣΙΟΣ
ΜΑΡΚΕΛΛΟΣ

κρίθη ἄξιος διὰ τὸ ἀξίωμα αὐτὸ ὁ Ἰωάννης, ἄνθρωπος λευκομάλλης, σεβαστὸς καὶ συνετός.

Μόλις ὁ Μάρκελλος ἐπληροφορήθη, ὅτι ἔτσι συνέβησαν τὰ πράγματα, ἐπέστρεψε καὶ αὐτὸς εἰς τὸ Μοναστήρι καὶ συνειργάζετο μὲ τὸν Ἰωάννην, σωστὸ δεξί του χέρι, συμβάλλων εἰς τὴν ἀρίστην διοίκησιν.

Κάποτε, ὅταν ἀπουσίασεν εἰς ταξείδι ὁ Μάρκελλος, ἔγιναν ὡρισμέναι διαβολαὶ πρὸς τὸν Ἰωάννην δι' αὐτόν. Οἱ σπουδαιότεροι ἀπὸ τοὺς Μοναχοὺς ἐθαύμαζον τὸν Μάρκελλον, διότι, ὅπως ἔλεγαν, καὶ τὴν ἡγουμενείαν ἀπέφυγε καὶ τὸν θρόνον τοῦ Ἡγουμένου τόσον εὔκολα ἐγκατέλειψεν. Οἱ ἀδιάφοροι ὅμως καὶ ὀκνηροί, ποὺ ἀγνοοῦσαν τὴν ἀξίαν τῆς ψυχῆς τοῦ Μαρκέλλου, ἔλεγαν ὅτι τὸ ὅτι ἀπέφυγε τὴν δόξαν, τὸ ἔκαμεν ἀκριβῶς ἀπὸ φιλοδοξίαν· διότι —ὅπως ἰσχυρίζοντο— ἐγνώριζε καλὰ ὅτι θὰ προτιμηθῇ ὁ Ἰωάννης ἀπὸ τὴν ἀδελφότητα ὡς Ἡγούμενος καὶ ἐπειδὴ δὲν ἤθελε νὰ φανῇ κατώτερος ἀπὸ ἐκεῖνον, δι' αὐτὸ ἀπεμακρύνθη ἀπὸ τὸ Μοναστήρι.

Ὅταν ἤκουσεν αὐτὸ ὁ Ἰωάννης καὶ θέλων νὰ πείσῃ τοὺς Μοναχοὺς νὰ μὴ κατηγοροῦν τόσον εὔκολα καὶ συγχρόνως νὰ φανερώσῃ εἰς ποῖον ὕψος ταπεινοφροσύνης ἔφθασεν ὁ Μάρκελλος, εἶπε πρὸς τοὺς Μοναχούς· Τέκνα μου, ἀπὸ τὰ ἔργα πρέπει νὰ κρίνωμεν τὸν ἄλλον. Καὶ χωρὶς νὰ εἴπῃ τίποτε ἄλλο, ἐσκέπτετο, ὅταν θὰ ἐπέστρεφεν ὁ Μάρκελλος, νὰ τοῦ ἀναθέσῃ τὴν πλέον ἐξευτελιστικὴν ὑπηρεσίαν, τὴν φροντίδα δηλαδὴ τοῦ ὄνου. Πράγματι, λοιπόν, μόλις, ἐπέστρεφεν ἐκεῖνος, τοῦ ἀνέθεσεν ὁ Ἡγούμενος, ἐνώπιον ὅλων, τὸ θεωρούμενον ὡς προσβλητικὸν διακόνημα τῆς φροντίδος τοῦ ὄνου· τότε ὁ Μάρκελλος ἔδειξεν ὁλοκάθαρα τὴν ὑπερβολικήν του μετριοφροσύνην. Διότι ὄχι μόνον ἐδέχθη μὲ χαρὰν τὴν ἐντολὴν τοῦ Ἡγουμένου, ἀλλὰ παρουσίασε καὶ κάτι ἀκόμη μεγαλύτερον καὶ χαριτωμένον.

Μὲ τόσην εὐχαρίστησιν —καθὼς λέγεται— ἐξετέλει τὴν ὑπηρεσίαν, καὶ τὴν ἐθεωροῦσεν ὡς εὐεργεσίαν, ὥστε νὰ ζητῇ καὶ ἔγγραφον διαβεβαίωσιν, ὅτι ποτὲ δὲν θὰ τὸν ἀπομακρύνουν ἀπὸ αὐτὴν τὴν ὑπηρεσίαν. Καὶ δὲν τὸ εἶπε μὲν διὰ λόγων, τὸ ἔδειξεν ὅμως ἐμπράκτως. Καὶ οὔτε ἐξετέλει τὸ διακόνημα δι' ὀλίγον χρόνον· ἀπ' ἐναντίας ἐφαίνετο νὰ ἔχῃ θερμότερον τὸν ζῆλον διὰ τὸ ἔργον τοῦτο. Τόσον δὲ πολὺ παρέτεινε τὸ διακόνημά του αὐτό, ὥστε τὸν παρεκάλεσαν πάρα πολύ, αὐτοὺς μὲν νὰ συγχωρήσῃ, νὰ ἐγκαταλείψῃ δὲ αὐτὴν τὴν ταπεινὴν ἐργασίαν. Διότι ἦτο πολὺ ἄτοπον ἕνας τέτοιος ἄνθρωπος, ὁ ὁποῖος ἦτο ἄξιος νὰ εἶναι ποιμὴν τοῦ λογικοῦ ποιμνίου καὶ ἀπὸ τῆς θέσεως αὐτῆς νὰ τοὺς ὠφελῇ πάρα πολύ, νὰ καταγίνεται μὲ ἕνα τέτοιο εὐτελὲς διακόνημα, ποὺ καὶ ὁ πρῶτος τυχὼν μοναχὸς ἠμποροῦσε νὰ ἐκτελέσῃ.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΛΕΓΕΤΑΙ δὲ περὶ τοῦ Ἀββᾶ Παμβῶ, ὅτι τρία ἔτη ἔμεινεν αἰτούμενος τὸν Θεὸν καὶ λέγων· μὴ δοξάσῃς με ἐπὶ τῆς γῆς· καὶ οὕτως ἐδόξασεν αὐτὸν ὁ Θεός,

ὥστε μὴ δύνασθαί τινα ἀτενίσαι εἰς τὸ πρόσωπον αὐτοῦ ἐκ τῆς δόξης ἧς εἶχεν· ἔλαμπε γὰρ λίαν· τὸ δὲ αὐτοῦ χάρισμα ἔσχε καὶ ὁ Ἀββᾶς Σισώης καὶ ὁ Ἀββᾶς Σιλουανός.

2. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι γέρων τις πνευματικὸς ἀπέκλεισεν ἑαυτὸν καὶ ἦν ἐπίσημος ἐν τῇ πόλει καὶ δόξαν ἔχων πολλήν. Ἐδηλώθη δὲ αὐτῷ, ὅτι μέλλει τις τῶν ἁγίων ἀναλύειν καὶ δεῦρο ἄσπασαι αὐτὸν πρὶν κοιμηθῆναι. Καὶ ἐνεθυμήθη ἐν ἑαυτῷ, ὅτι ἐὰν ἐξέλθω ἡμέρας, ἐπιτρέχουσιν οἱ ἄνθρωποι, καὶ πολλή μοι δόξα γίνεται, καὶ οὐκ ἀναπαύομαι ἐν τούτοις· ἀπέλθω οὖν ὀψὲ ἐν τῇ σκοτίᾳ, καὶ λανθάνω πάντας. Ἐξελθὼν οὖν ὀψὲ τοῦ κελλίου, ὡς θέλων λαθεῖν, καὶ ἰδοὺ ἐκ τοῦ Θεοῦ καταπέμπονται δύο Ἄγγελοι μετὰ λαμπάδων, παραφαίνοντες αὐτῷ· ἰδοῦσα δὲ πᾶσα ἡ πόλις τὴν δόξαν, κατέδραμεν ὄπισθεν αὐτοῦ· καὶ ὅσον ἠθέλησε φυγεῖν τὴν δόξαν, τοσοῦτον ἐδοξάσθη, κατὰ τὸ γεγραμμένον· «πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται».

3. Εἶπεν ὁ Ἀββᾶς Ἰσαάκ· ὅτε ἤμην νεώτερος, ἐκαθήμην μετὰ τοῦ Ἀββᾶ Κρονίου, καὶ οὐδέποτε εἶπέ μοι ποιῆσαι ἔργον, καί περ γέρων ὢν καὶ τρέμων, ἀλλ' αὐτὸς ἠγείρετο καὶ παρεῖχε τὸ βαυκάλιον* ἐμοὶ καὶ πᾶσιν ὁμοίως. Καὶ μετὰ τοῦ Ἀββᾶ Θεοδώρου τῆς Φέρμης ἐκάθισα, καὶ οὐδὲ αὐτὸς ἔλεγέ μοι ποιῆσαι τίποτε, ἀλλὰ καὶ τὴν τράπεζαν δι' ἑαυτοῦ ἐτίθει καὶ ἔλεγεν· ἀδελφέ, ἐὰν θέλῃς, δεῦρο φάγε· ἐγὼ δὲ πρὸς αὐτὸν ἔλεγον· Ἀββᾶ, ἦλθον πρὸς σὲ ἵνα ὠφεληθῶ· καὶ πῶς οὐ λέγεις μοι τίποτε ποιῆσαι; ὁ δὲ γέρων πάντοτε ἐσιώπα.

Ἀπῆλθον οὖν καὶ ἀνήγγειλα τοῖς γέρουσι· καὶ ἐλθόντες ἐκεῖνοι πρὸς αὐτὸν εἶπον· Ἀββᾶ, ἦλθεν ὁ ἀδελφὸς πρὸς τὴν ἁγιωσύνην σου ὠφεληθῆναι· καὶ διατί οὐ λέγεις αὐτῷ ἵνα ποιήσῃ τίποτε; Ἀπεκρίθη δὲ αὐτοῖς ὁ γέρων· μὴ γὰρ κοινοβιάρχης εἰμί, ἵνα διατάξωμαι αὐτῷ; ἐγὼ τέως οὐδὲν λέγω αὐτῷ· ἐὰν δὲ θέλῃ, ὃ βλέπει με ποιοῦντα, ποιείτω καὶ αὐτός. Ἀπὸ τότε οὖν προελάμβανον καὶ ἐποίουν εἴ ἔμελλεν ὁ γέρων ποιεῖν· αὐτὸς δὲ εἴ τι ἐποίει, σιωπῶν ἐποίει· καὶ τοῦτό με ἐδίδαξε, τὸ ποιεῖν σιωπῶντα.

4. Ἔλεγεν ὁ Ἀββᾶς Πέτρος, ὅτι ἐν ἀκακίᾳ τοῦ Ἀββᾶ Μακαρίου πολιτευομένου πρὸς πάντας τοὺς ἀδελφούς, καὶ πᾶσιν ἑαυτὸν ταπεινοῦντος, ἔλεγον αὐτῷ τινες· διατί οὕτως σεαυτὸν ποιεῖς; Ὁ δὲ ἀπεκρίνατο· δώδεκα ἔτη ἐδούλευσα τῷ Χριστῷ μου, ἵνα μοι χαρίσηται τοῦτο καὶ ἄρτι βουλεύετέ μοι ἀποθέσθαι αὐτό;

5. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ἐὰν σεαυτὸν εὐτελίσῃς, ἕξεις ἀνάπαυσιν εἰς οἷον δ' ἂν τόπον καθίσῃς.

6. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Πέτρου καὶ τοῦ Ἀββᾶ Ἐπιμάχου, ὅτι συμφωνηταὶ ἦσαν εἰς Ραϊθώ· ἐσθιόντων δὲ αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ, ἐβιάσαντο αὐτοὺς εἰσελθεῖν εἰς τὴν τράπεζαν τῶν γερόντων, καὶ μετὰ πολλοῦ κόπου ἀπῆλθεν ὁ Ἀββᾶς Πέτρος μόνος· καὶ ὡς ἀνέστησαν, λέγει αὐτῷ ὁ Ἀββᾶς Ἐπίμαχος· πῶς ἐτόλμησας ἀπελθεῖν εἰς τὴν τράπεζαν τῶν γερόντων; λέγει αὐτῷ ὁ Ἀββᾶς Πέτρος· εἰ ἐκάθισα μεθ' ὑμῶν, ὡς γέροντα οἱ ἀδελφοὶ ἔμελλον προτρέπεσθαί με εὐλογεῖν πρῶ-

---

* Τὸ βαυκάλιον ἦτο δοχεῖον ὕδατος συνήθως πήλινον.

τον καὶ ὡς μείζων ὑμῶν εἶχον εἶναι· νῦν δέ, ἀπελθὼν ἐγγὺς τῶν Πατέρων, μικρότερος πάντων ἤμην καὶ ταπεινότερος τῷ λογισμῷ.

7. Πέτρος ὁ τῶν Δίου πρεσβύτερος, εἴ ποτε ηὔχετο μετά τινος, ἐπειδὴ διὰ τὴν ἱερωσύνην ἔμπροσθεν ἵστασθαι ἠναγκάζετο, τῇ ταπεινοφροσύνῃ αὐτῶν ὀπίσω ἵστατο ἐξομολογούμενος, ὡς εἰς τὸν βίον τοῦ Ἀββᾶ Ἀντωνίου γέγραπται, καὶ τοῦτο ἐποίει μηδένα λυπῶν.

8. Εἶπε γέρων· ἢ φεύγων φεῦγε τοὺς ἀνθρώπους, ἢ ἐμπαίζων ἔμπαιζε τῷ κόσμῳ, μωρὸν σεαυτὸν ὡς τὰ πολλὰ ποιῶν.

Ἑρμηνεία

ΛΕΓΕΤΑΙ διὰ τὸν Ἀββᾶν Παμβώ, ὅτι ἐπὶ τρία ἔτη ἐπιμόνως παρεκάλει τὸν Θεὸν καὶ ἔλεγε· μὴ μὲ δοξάσῃς ἐπάνω εἰς τὴν γῆν. Καὶ τόσον πολὺ τὸν ἐδόξασεν ὁ Θεός, ὥστε νὰ μὴ ἠμπορῇ κανεὶς νὰ τὸν κοιτάξῃ εἰς τὸ πρόσωπον, ἀπὸ τὴν δόξαν, ποὺ εἶχε, διότι ἔλαμπε πάρα πολύ. Τὸ χάρισμα τοῦ Ἀββᾶ Παμβῶ εἶχαν ἀποκτήσει καὶ ὁ Ἀββᾶς Σισώης καὶ ὁ Ἀββᾶς Σιλουανός.

2. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς διηγήθη ὅτι κάποιος πνευματικὸς Γέρων ἐκλείσθη μέσα εἰς τὸ κελλίον του, καὶ ἦτο ὀνομαστὸς εἰς ὅλην τὴν πόλιν, ἔχων πολλὴν δόξαν. Κάποτε λοιπὸν τὸν ἐπληροφόρησαν ὅτι κάποιος Ἅγιος ἐπλησίαζε νὰ ἀποθάνῃ· πήγαινε νὰ τὸν χαιρετίσῃς —τοῦ εἶπον— πρὶν νὰ κοιμηθῇ. Ἐσκέφθη ὅμως ἀμέσως μέσα του ὅτι, ἐὰν ἐξέλθω ἀπὸ τὸ κελλί μου κατὰ τὸ διάστημα τῆς ἡμέρας, θὰ τρέχουν ἀπὸ πίσω μου οἱ ἄνθρωποι καὶ θὰ μὲ δοξάζουν πολύ· ἐγὼ ὅμως δὲν ἀναπαύομαι εἰς αὐτά. Ἂς ὑπάγω λοιπὸν ἀργά, ὅταν θὰ σκοτεινιάσῃ, ὁπόταν κανεὶς δὲν θὰ μὲ προσέξῃ.

Πράγματι ἐξῆλθεν ἀργὰ ἀπὸ τὸ κελλί του, διότι ἤθελε νὰ ἀποφύγῃ τοὺς ἀνθρώπους. Ἀλλὰ ἰδού τί συνέβη· δύο Ἄγγελοι στέλλονται ἀπὸ τὸν Θεόν, νὰ τοῦ φέγγουν μὲ λαμπάδας, διὰ νὰ περιπατῇ ἀσφαλῶς. Μόλις εἶδεν αὐτὴν τὴν δόξαν ἡ πόλις, ἔτρεξαν ὅλοι πίσω του.

Ἔτσι ὅσον ἐκεῖνος ἤθελε νὰ ἀποφύγῃ τὴν δόξαν, τόσον περισσότερον ἐδοξάσθη, κατὰ τὸ ρητὸν τῆς Ἁγίας Γραφῆς. «Ὅποιος ὑπερηφανεύεται, θὰ ταπεινωθῇ· ἐκεῖνος, ὅμως ποὺ θεληματικὰ ταπεινώνεται, θὰ ὑψωθῇ» (Ματθ. κγ', 12).

3. Ὁ Ἀββᾶς Ἰσαὰκ διηγήθη τὰ ἑξῆς· Ὅταν ἤμουν νεώτερος, ἐκαθήμην μαζὶ μὲ τὸν Ἀββᾶν Κρόνιον καὶ ποτὲ δὲν μοῦ εἶπε νὰ κάνω κάποιαν ἐργασίαν, ἂν καὶ ἦτο γέρων καὶ ἔτρεμε· ὁ ἴδιος ἐσηκώνετο καὶ ἔδιδε τὸ δοχεῖον μὲ τὸ νερὸ καὶ εἰς ἐμένα καὶ εἰς τοὺς ἄλλους. Ἐπίσης παρέμεινα κοντὰ καὶ εἰς τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης καὶ οὔτε αὐτὸς μοῦ ἔλεγε νὰ κάνω τίποτε. Μόνος του ἑτοίμαζε τὸ τραπέζι τοῦ φαγητοῦ καὶ μοῦ ἔλεγεν· ἀδελφέ, ἂν θέλῃς, ἔλα νὰ φᾶς. Ἐγώ, τότε, τοῦ ἔλεγα· Ἀββᾶ, ἦλθα κοντά σου νὰ ὠφεληθῶ· διατί, λοιπόν, δὲν μοῦ λέγεις νὰ κάνω κάτι; Ὁ Γέρων ὅμως ἐσιωποῦσε πάντοτε.

Ἐπῆγα καὶ τό εἶπα αὐτὸ εἰς τοὺς Γέροντας. Καὶ ἀφοῦ ἦλθαν ἐκεῖνοι τοῦ εἶπαν· Ἀββᾶ, ὁ ἀδελφὸς ἦλθε κοντὰ εἰς τὴν ἁγιωσύνην σου, διὰ νὰ ὠφεληθῇ· διατὶ δὲν τοῦ λέγεις νὰ κάνῃ κάτι καὶ αὐτός; Ὁ Γέρων τοὺς ἀπήντησε· Μήπως εἶμαι Κοινοβιάρχης, διὰ νὰ τὸν διατάξω; Ἐγὼ τοὐλάχιστον δὲν πρόκειται νὰ τοῦ εἴπω τίποτε. Ἂν θέλῃ, ἂς κάνῃ καὶ αὐτὸς αὐτὸ ποὺ βλέπει νὰ κάνω ἐγώ.

Ἀπὸ τότε ἐπρόφθανα καὶ ἔκανα ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ κάμῃ ὁ Γέρων. Αὐτὸς δὲ ὅ,τι ἔκανε, τὸ ἔκανε σιωπηλά. Καὶ μὲ ἐδίδαξεν αὐτό, νὰ ἐκτελῶ τὴν ἐργασίαν μου σιωπηλός.

4. Ὁ Ἀββᾶς Πέτρος ἔλεγε τὰ ἑξῆς· Μερικοί, ποὺ ἔβλεπαν τὸν Ἀββᾶν Μακάριον νὰ εἶναι ἄκακος ἀπέναντι ὅλων τῶν ἀδελφῶν, καὶ νὰ ταπεινώνεται ἐμπρὸς εἰς ὅλους, τὸν ἐρωτοῦσαν: Διατί κάμνεις ἔτσι τὸν ἑαυτόν σου, Ἀββᾶ;

Ἐκεῖνος ἀπαντοῦσε· Δώδεκα χρόνια ἐδούλευα τὸν Χριστόν μου, διὰ νὰ μοῦ δώσῃ αὐτὸ τὸ χάρισμα καὶ τώρα μὲ συμβουλεύετε νὰ τὸ ἐγκαταλείψω;

\+ 5. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, πῶς ἂν ταπεινώσῃς τὸν ἑαυτόν σου, θὰ ἔχῃς ἀνάπαυσιν εἰς ὁποιονδήποτε τόπον καὶ ἂν καθήσῃς.

6. Διὰ τὸν Ἀββᾶν Πέτρον καὶ τὸν Ἀββᾶν Ἐπίμαχον διηγοῦντο τὰ ἀκόλουθα· Ἦσαν συνασκηταὶ εἰς τὴν Ραϊθώ*. Κάποτε λοιπόν, ἐνῷ ἔτρωγον εἰς τὴν Ἐκκλησίαν, τοὺς ἐπίεσαν νὰ εἰσέλθουν εἰς τὴν τράπεζαν τῶν γερόντων. Κατόπιν δὲ πολλοῦ κόπου, ἐπῆγε μονάχα ὁ Ἀββᾶς Πέτρος.

Ὅταν ἐσηκώθησαν διὰ νὰ φύγουν ἐρωτᾷ ὁ Ἀββᾶς Ἐπίμαχος·

— Πῶς ἐτόλμησες νὰ ὑπάγῃς εἰς τὴν τράπεζαν τῶν γερόντων;

Ὁ Ἀββᾶς Πέτρος τοῦ ἀπήντησεν·

— Ἂν ἐκαθόμουν μαζί σας, ἐπειδὴ εἶμαι γέρων, οἱ ἀδελφοὶ θὰ μὲ παρεκίνουν νὰ εὐλογήσω πρῶτος καὶ θὰ μὲ εἶχον ὡς τὸν μεγαλύτερον ἀπὸ ὅλους σας· τώρα ὅμως ποὺ ἐπῆγα κοντὰ εἰς τοὺς Πατέρας, ἤμουν μικρότερος ἀπὸ ὅλους καὶ περισσότερον ταπεινὸς κατὰ τὴν σκέψιν.

7. Ὁ Πέτρος, ποὺ ἦτο πρεσβύτερος εἰς τὸ Μοναστήρι τοῦ Δίου**, ἂν κάποτε ἐτύχαινε νὰ συμπροσεύχεται μὲ κάποιον, ἐπειδὴ ἦτο ἠναγκασμένος, λόγῳ τοῦ ἀξιώματος τῆς ἱερωσύνης, νὰ στέκεται ἐμπρός, αὐτὸς ἀπὸ ταπεινοφροσύνην παρέμενεν ὀπίσω ἀπὸ ὅλους ἐξομολογούμενος,

---

* Ἡ Ραϊθὼ ἦτο περίφημος Μονὴ εἰς τὴν χερσόνησον τοῦ Σινᾶ, πλησίον τῆς Ἀνατολικῆς ἀκτῆς τῆς Ἐρυθρᾶς θαλάσσης, ὀνομαστὴ διὰ τὴν σφαγὴν τῶν Πατέρων, ἡ ὁποία ἔγινεν εἰς αὐτὴν ὑπὸ τῶν Βλεμμύων. Σήμερον ἡ περιοχὴ καλεῖται ἀραβιστὶ Ἐλ Τώρ, εὑρίσκεται δὲ εἰς αὐτὴν μετόχιον τῆς Μονῆς τοῦ Σινᾶ. (Βλ. καὶ ἐν Τόμῳ Α' σελ. 470 ὑποσημείωσιν).

** Τὸ Δῖον ἦτο κατὰ πᾶσαν πιθανότητα ὀνομασία τοποθεσίας εἰς τὴν ὁποίαν εἶχε κτισθῆ Μοναστήριον λαβὸν τὸ ὄνομα τοῦτο.

ὅπως εἶναι γραμμένον εἰς τὸν βίον τοῦ Ἀββᾶ Ἀντωνίου. Καὶ αὐτὸ τὸ ἔκανε, χωρὶς νὰ στενοχωρῇ κανένα.

† 8) Γέρων ἔλεγεν· ἢ νὰ ἀποφεύγῃς, διὰ τῆς φυγῆς, τοὺς ἀνθρώπους, ἢ νὰ ἐμπαίζῃς τὸν κόσμον, μὲ τὸ νὰ παρουσιάζῃς τὸν ἑαυτόν σου τὰς περισσοτέρας φορὰς ὡς μωρόν.

ΣΤ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΝΕΟΣ τις κατὰ κόσμον περιφανὴς ὢν καὶ πλούσιος, καὶ γονέων ἐνδόξων υἱός, ἔτι δὲ καὶ ἀναγνώσμασι σπουδαίοις ἐγγεγυμνασμένος, καταλείψας τὸν ἴδιον πατέρα καὶ πᾶσαν τὴν κοσμικὴν περιφάνειαν, πρὸς τὸν μονήρη βίον ὥρμησε· καὶ δὴ πρὸς δοκιμὴν τῆς αὐτοῦ πίστεως καὶ ταπεινώσεως, προστάσσεται ὑπὸ τοῦ Ἀββᾶ δέκα σπυρίδας βαστάσαι, καὶ εἰς τὴν ἰδίαν πόλιν πωλῆσαι, καὶ μὴ πάσας ὁμοῦ, ἀλλὰ κατὰ μίαν αὐτὰς πωλεῖν. Ὅπερ ἐκεῖνος μετὰ πάσης ὑπομονῆς καὶ ταπεινώσεως ἐπλήρωσεν, ἐπιθεὶς τοῖς ὤμοις τὰς σπυρίδας, καὶ ταύτας κατὰ μίαν πωλήσας, οὐδαμῶς λογισάμενος τὴν εὐτέλειαν τοῦ πράγματος, καὶ τοῦ γένους τὴν λαμπρότητα, καὶ τὴν δοκοῦσαν ἀτιμίαν τῆς πράσεως· ἐσπούδαζε γὰρ ἑαυτὸν μιμητὴν ἀναδεῖξαι τῆς τοῦ Χριστοῦ ταπεινώσεως.

2. Καὶ ἄλλον δέ τινα τῶν Πατέρων ἐθεασάμεθα, τὸν Ἀββᾶν Πινούφριον, ἄνδρα πάσαις ἀρεταῖς κατακεκοσμημένον, ὅς τις ἦν Πρεσβύτερος καὶ Ἀββᾶς Κοινοβίου μεγάλου, ὅ ἐστιν ἐν Αἰγύπτῳ, ἐγγὺς τῆς Πανεφὼ πόλεως.

Οὗτος ὁρῶν ἑαυτὸν καὶ διὰ τὴν προσοῦσαν αὐτῷ πολιτείαν καὶ διὰ τὸ γῆρας, καὶ διὰ τὴν ἡγουμενείαν ὑπὸ πάντων δοξαζόμενον καὶ τιμώμενον, καὶ μὴ δυνάμενος ἐγγυμνάζεσθαι τοῖς τῆς ταπεινοφροσύνης ἐπιτηδεύμασιν, οἷς περ ἐξ ἀρχῆς διὰ τῆς αὐτῷ περιποθήτου ὑποταγῆς ἐνησκήθη, λάθρα φυγὼν ἀπὸ τοῦ ἰδίου Κοινοβίου, ἀνεχώρησε μόνος εἰς τὰ ἔσχατα μέρη τῆς Θηβαΐδος. Καὶ ἐπάρας τὸ σχῆμα τοῦ Μοναχοῦ καὶ ἐνδυσάμενος κοσμικὰ ἱμάτια, ἀπῆλθεν εἰς τὸ Κοινόβιον τῶν Ταβεννησιωτῶν, νομίζων ἐν τούτῳ λανθάνειν τὶς ἂν εἴη, διά τε τὸ πλῆθος τῶν ἀδελφῶν καὶ διὰ τὸ ἀπέχειν πολὺ τοῦ κλίματος, ἐν ᾧ ἦν τὸ αὐτοῦ Κοινόβιον.

Ἐπὶ πολλὰς οὖν ἡμέρας παρακαλῶν δεχθῆναι, ὕστερον διὰ τὴν πολλὴν αὐτοῦ ὑπομονὴν καὶ καρτερίαν ὑπὸ τοῦ Ἀββᾶ προσεδέχθη· ὃς παραδίδωσιν αὐτῷ ὡς γέροντι καὶ εἰς μηδὲν ἄλλο χρησιμεῦσαι δυναμένῳ τὴν τοῦ κήπου φροντίδα καὶ ἐπιμέλειαν, μετὰ καὶ ἄλλου ἀδελφοῦ, ᾧ τινι ὑποτασσόμενος, τὴν περιπόθητον αὐτῷ ταπείνωσιν καὶ ὑπακοὴν ἐξετέλει· καὶ οὐ ταύτῃ μόνῃ τῇ διακονίᾳ ἠρκεῖτο, ἀλλὰ καὶ ὅσα τῶν ἔργων δυσχερῆ ἄλλοις ἐδόκει, αὐτὸς προθύμως ἐποίει.

Διατελέσας οὖν οὕτω λανθάνων τριετῆ χρόνον, τῶν μαθητῶν αὐτοῦ ἐπιζητούντων αὐτὸν κατὰ πᾶσαν τὴν Αἴγυπτον, μόλις ὑπό τινος ἐγνώσθη ἀδελφοῦ, ὅς τις ἦν παραγενόμενος ἐκεῖσε· ὃν θεασάμενος καὶ ἐπιγνοὺς τὸν χαρακτῆρα τοῦ προσώπου, καὶ ἔτι ἀμφιβάλλων, ἐπειρᾶτο καὶ φωνῆς τούτου ἀκούειν. Οὐ γὰρ εἶχε τὸ ἀσφαλὲς ἐκ μόνης τῆς ὄψεως, θεωρῶν τὸν τοιοῦτον ἄνδρα γεγηρακότα καὶ δίκελλαν κρατοῦντα, καὶ γῆν ἐργαζόμενον, καὶ κόπρον τοῖς οἰκείοις ὤμοις βαστάζοντα, καὶ ταῖς ῥίζαις τῶν λαχάνων ἐπιβάλλοντα.

Ὅτε τοίνυν τὸν τῆς φωνῆς ἦχον ἐπιμελῶς ἐξιχνεύων ἠδυνήθη καταλαβεῖν ὅς τις ἐστί, ῥίψας ἑαυτὸν πρὸ τῶν ποδῶν αὐτοῦ μεγίστην ἔκπληξιν τοῖς πα-

ροῦσι παρεῖχε· διότι τοῦτο ἐποίησεν ἀνθρώπῳ, ὃς παρ' αὐτοῖς ἀρχάριος, καὶ ὃς οὐ πρὸ πολλοῦ τὸν κόσμον καταλείψας, ἔσχατος ἐνομίζετο. Ἔτι δὲ κατεπλάγησαν μάλιστα, ὅτε τὸ ὄνομα τούτου ἔμαθον, ὃ πρὸ τούτου μέγα παρ' αὐτοῖς ἠκούετο καὶ συγγνώμην ᾔτουν, διότι τοῦτον ἀγνοήσαντες μετὰ τῶν ἐσχάτων ἔταξαν. Παρακαλέσαντες δὲ αὐτὸν πολλά, εἰς τὸ ἴδιον κοινόβιον ἐξέπεμψαν ἄκοντα καὶ ὀδυρόμενον, ἅτε δὴ μὴ συγχωρηθέντα ἐκτελέσαι τὴν αὐτῷ φίλην ταπείνωσίν τε καὶ ὑπακοήν.

Ποιήσας οὖν ὀλίγον χρόνον ἐν τῷ αὐτοῦ Μοναστηρίῳ, πάλιν πυρωθεὶς τῷ πόθῳ τῆς αὐτοῦ ταπεινώσεως καὶ ὑποταγῆς, ἐπιτηρήσας καιρόν, νυκτὸς ἔφυγεν, οὐκέτι μὲν εἰς Θηβαΐδα, ἀλλ' εἰς ἀλλοτρίαν καὶ ξένην χώραν. Ἐμβὰς γὰρ εἰς πλοῖον, ἦλθεν εἰς τὰ μέρη τῆς Παλαιστίνης, ἐλπίζων ἐκεῖ εἰς τέλος διαλαθεῖν· καὶ παραγενόμενος ἐν τῷ Μοναστηρίῳ τῷ πλησίον τοῦ σπηλαίου ἔνθα ὁ δεσπότης Χριστὸς ἐκ τῆς Παρθένου ἐτέχθη, ἐδέχθη· ἔτυχον δὲ τότε ἐγὼ ἐκεῖ διατρίβων. Ἀλλ' οὐδὲ ἐν ἐκείνῳ ἐπὶ πολὺν χρόνον ἠδυνήθη λαθεῖν, κατὰ τὴν δεσποτικὴν φωνὴν τὴν λέγουσαν· «οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη».

Ἐλθόντες γὰρ οἱ ἀδελφοὶ ἀπὸ τῶν μερῶν τῆς Αἰγύπτου εἰς προσκύνησιν τῶν ἁγίων τόπων καὶ ἐπιγνόντες αὐτόν, πολλαῖς δεήσεσι καὶ ἱκεσίαις καὶ ὀδυρμοῖς πείσαντες, ἀπήγαγον πάλιν εἰς τὸ ἴδιον κοινόβιον. Τούτῳ δὲ τῷ ἁγίῳ ἀνδρὶ κἀγὼ συνοικήσας ὀλίγον χρόνον ἐν Αἰγύπτῳ, ἅπερ ἀκήκοα αὐτοῦ νουθετοῦντος ἕνα ἀδελφόν, ὃν παρουσίᾳ ἐμῇ ἐδέξατο, διηγήσομαι, ὡς ἂν ἐκ τούτων καταμάθητε τὸν ἄνδρα, οἵας παρὰ Θεοῦ ἠξίωται γνώσεως καὶ ἀσκητικῆς πάσης πολιτείας ἰδέαν εἰς ἄκρον ἐκ πείρας ἠπίστατο. Καὶ λοιπὸν ὁ συγγραφεὺς ἐκτίθησι τὴν τοῦ ἁγίου παραίνεσιν, ἣν ὁ βουλόμενος γνῶναι, ἐν τῷ βιβλίῳ ἐκείνῳ ζητήσας εὑρήσει· καὶ ἀναγνούς, ἐκπλαγήσεται.

Ἑρμηνεία

ΕΖΗ κάποτε ἕνας νέος, σπουδαῖος κατὰ κόσμον, πλούσιος καὶ υἱὸς ἐνδόξων γονέων· ἐπὶ πλέον δὲ καὶ ἀρκετὰ μελετημένος.

Αὐτός, λοιπόν, ἐγκατέλειψε τὸν πατέρα του καὶ ὅλην τὴν κοσμικὴν δόξαν καὶ ἀφωσιώθη εἰς τὸν μοναχικὸν βίον. Διὰ νὰ δοκιμασθῇ δὲ ἡ πίστις του καὶ ἡ ταπεινοφροσύνη του, τὸν προστάζει, μίαν ἡμέραν, ὁ Ἀββᾶς νὰ σηκώσῃ εἰς τὸν ὦμον του δέκα ζεμπίλια καὶ νὰ ὑπάγῃ νὰ τὰ πωλήσῃ εἰς τὴν πόλιν ἀπὸ τὴν ὁποίαν κατήγετο. Καὶ ὄχι ὅλα μαζί, ἀλλὰ ἕνα - ἕνα ξεχωριστά. Πράγματι ἐκεῖνος, μὲ ὅλην τὴν ὑπομονὴν καὶ τὴν ταπείνωσιν, ἐξετέλεσε τὴν ἐντολήν· ἐπῆρε, δηλαδή, εἰς τοὺς ὤμους του τὰ ζεμπίλια, τὰ ἐπώλησεν ἕνα - ἕνα, χωρὶς νὰ λογαριάσῃ καθόλου τὸν ταπεινωτικὸν χαρακτῆρα τοῦ πράγματος, τὴν λαμπρὰν καταγωγήν του καὶ τὴν προσβολήν, ποὺ θὰ τοῦ ἐγίνετο ἀπὸ τὴν πώλησιν. Διότι ἐφρόντιζε συνεχῶς νὰ ἀποδείξῃ τὸν ἑαυτόν του μιμητὴν τῆς ταπεινώσεως τοῦ Χριστοῦ.

2. Καὶ κάποιον ἄλλον Πατέρα ἐγνωρίσαμεν, τὸν Ἀββᾶν Πινούφριον, ἄνθρωπον στολισμένον μὲ ὅλας τὰς ἀρετάς, ποὺ ἦτο ἱερεὺς καὶ

'Αββᾶς Μεγάλου Κοινοβίου εἰς τὴν Αἴγυπτον, κοντὰ εἰς τὴν πόλιν Πανεφώ*.

Αὐτὸς λοιπὸν ἐπειδὴ ἔβλεπε νὰ τὸν δοξάζουν καὶ νὰ τὸν τιμοῦν ὅλοι καὶ διὰ τὴν ἐνάρετον ζωήν του, καὶ διὰ τὴν μεγάλην ἡλικίαν του καὶ διὰ τὸ ἀξίωμα τοῦ Ἡγουμένου ποὺ εἶχε καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἀσκῆται εἰς τὰ ἔργα τῆς ταπεινοφροσύνης, εἰς τὰ ὁποῖα ἐξ ἀρχῆς ἐπεδόθη διὰ τῆς ἀγαπητῆς του ὑποταγῆς, ἔφυγε κρυφὰ ἀπὸ τὸ Κοινόβιόν του. 'Ανεχώρησε μονάχος του εἰς ἀπομακρυσμένα μέρη τῆς Θηβαΐδος* καὶ ἀφοῦ ἔβγαλε τὸ σχῆμα τοῦ Μοναχοῦ καὶ ἐφόρεσε κοσμικὰ ἐνδύματα, ἐν συνεχείᾳ μετέβη εἰς τὸ Κοινόβιον τῶν Ταβεννησιωτῶν. 'Ενόμιζεν ὅτι ἔτσι θὰ διέφευγε τὴν προσοχὴν ποῖος ἦτο, καὶ λόγῳ τοῦ πλήθους τῶν Μοναχῶν τοῦ Κοινοβίου καὶ διότι τὸ Κοινόβιον αὐτὸ τῶν Ταβεννησιωτῶν εὑρίσκετο πολὺ μακρὰν ἀπὸ τὸν τόπον τοῦ ἰδικοῦ του Κοινοβίου.

'Αφοῦ ἐπὶ πολλὰς ἡμέρας παρεκάλει νὰ γίνῃ δεκτός, ἐπὶ τέλους τὸν ἐδέχθη ὁ 'Αββᾶς, κατόπιν τῆς ὑπομονῆς καὶ τῆς καρτερίας του. 'Επειδὴ δὲ ἦτο γέρων καὶ εἰς τίποτε ἄλλο δὲν ἠμποροῦσε νὰ χρησιμεύσῃ, τοῦ ἀναθέτει τὴν φροντίδα καὶ καλλιέργειαν τοῦ κήπου, μαζὶ μὲ κάποιον ἄλλον Μοναχόν, εἰς τὸν ὁποῖον ἔγινε ὑποτακτικός· καὶ ἔτσι ἐφήρμοζε τὴν ἀγαπημένην του ταπείνωσιν καὶ ὑπακοήν. Δὲν ἠρκεῖτο δὲ εἰς αὐτὸ μονάχα τὸ διακόνημα, ἀλλὰ καὶ ὅσα ἄλλα ἔργα ἐφαίνοντο δύσκολα εἰς τοὺς ἄλλους, αὐτὸς τὰ ἐξετέλει μὲ προθυμίαν.

Ἔτσι ἐπέρασαν τρία χρόνια, χωρὶς νὰ γίνῃ ἀντιληπτὸς ἀπὸ κανένα. 'Εν τῷ μεταξὺ οἱ μαθηταί του τὸν ἀναζητοῦσαν εἰς ὅλην τὴν Αἴγυπτον καὶ μόλις, μετὰ τὴν τριετίαν, ἀνεγνωρίσθη ἀπὸ κάποιον ἀδελφόν, ποὺ εἶχεν ἔλθει ἐκεῖ. Ὅταν τὸν εἶδεν ὁ ἀδελφὸς ἐκεῖνος, τὸν ἀνεγνώρισεν ἀπὸ τὰ χαρακτηριστικὰ τοῦ προσώπου του· καὶ ἐπειδὴ ἀκόμη ἀμφέβαλλε, προσεπάθει νὰ ἀκούσῃ καὶ τὴν φωνήν του. Διότι δὲν ἦτο βέβαιος μονάχα ἀπὸ τὴν ὄψιν τοῦ προσώπου, ἐπειδὴ ἔβλεπεν ἕνα τέτοιον ἄνδρα νὰ ἔχῃ γηράσει, νὰ κρατῇ δίκελλαν, νὰ καλλιεργῇ τὴν γῆν, νὰ σηκώνῃ τὴν κόπρον εἰς τοὺς ὤμους του καὶ νὰ τὴν βάζῃ εἰς τὰς ῥίζας τῶν λαχάνων.

Ὅταν λοιπόν, μετὰ προσεκτικὴν παρακολούθησιν τῆς φωνῆς ἠμπόρεσε νὰ καταλάβῃ ποῖος ἦτο, ἀμέσως ἔπεσεν εἰς τὰ πόδια του, πρὸς μεγίστην ἔκπληξιν τῶν παρόντων· διότι τοιαύτας ἐκδηλώσεις ἔκαμνεν εἰς ἄνθρωπον, ὁ ὁποῖος δι' αὐτοὺς ἦτο ἀκόμη ἀρχάριος, ὁ ὁποῖος πρὸ ὀλίγου καιροῦ ἐγκατέλειψε τὸν κόσμον, καὶ ἐθεωρεῖτο τελευταῖος. 'Ακόμη ὅμως περισσότερον ἐξεπλάγησαν, ὅταν ἔμαθον καὶ τὸ ὄνομα αὐτοῦ, τὸ

---

* Ἡ Πανεφὼ ἢ Πανέφυσις ἦτο πόλις ἀρχαία εἰς τὴν κάτω Αἴγυπτον. Σήμερον καλεῖται Μενζάλα ἐλ Χαγίτ.

** Ἡ Θηβαΐς ἦτο νομὸς τῆς ἀρχαίας Αἰγύπτου μὲ πρωτεύουσαν τὰς Θήβας, τὰ σημερινὰ Λοῦξορ καὶ Κάρναχ. Ἡ Θηβαΐς ἔγινε καταφύγιον τῶν καταδιωκομένων χριστιανῶν καὶ εἰς αὐτὴν ἤκμασεν ὁ 'Αναχωρητισμός.

ὁποῖον προηγουμένως ἠκούετο ἀπὸ αὐτοὺς μὲ μεγάλον θαυμασμόν. Καὶ ἐζητοῦσαν συγγνώμην, διότι, χωρὶς νὰ τὸν γνωρίσουν, τὸν κατέταξαν μὲ τοὺς τελευταίους. Ἀφοῦ δὲ τὸν παρεκάλεσαν πάρα πολύ, τὸν ἔστειλαν εἰς τὸ Κοινόβιόν του, χωρὶς νὰ θέλῃ καὶ ἐνῷ ὠδύρετο, διότι δὲν τὸν ἄφησαν νὰ κατορθώσῃ τὴν ἀγαπημένην του ταπείνωσιν καὶ ὑπακοήν.

Ἀφοῦ ἔμεινεν ὀλίγον χρόνον εἰς τὸ Μοναστήρι του, ἐκυριεύθη καὶ πάλιν ἀπὸ τὸν πόθον τῆς ταπεινώσεως καὶ τῆς ὑποταγῆς. Δι' αὐτὸ ἀφοῦ ἐκοίταξε νὰ εὕρῃ τὴν κατάλληλον εὐκαιρίαν ἔφυγε νύκτα, ὄχι πλέον εἰς τὴν Θηβαΐδα, ἀλλὰ εἰς ξένην καὶ ἄγνωστον χώραν. Ἀφοῦ, δηλαδή, ἐπεβιβάσθη εἰς πλοῖον, ἦλθεν εἰς τὴν Παλαιστίνην, ἐλπίζων ὅτι ἐκεῖ θὰ παραμείνῃ, μέχρι τέλους, ἄγνωστος. Κατήντησε δὲ εἰς τὸ Μοναστήρι, ποὺ εἶναι κοντὰ εἰς τὸ Σπήλαιον, ὅπου ὁ Δεσπότης Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου καὶ ἔγινε δεκτὸς ἀπὸ τὸν Ἡγούμενον. Τὴν ἐποχὴν ἐκείνην ἤμουν καὶ ἐγὼ ἐκεῖ. Ἀλλ' οὔτε καὶ ἐκεῖ ἠμπόρεσε νὰ παραμείνῃ ἄγνωστος ἐπὶ πολὺν χρόνον, σύμφωνα μὲ τὴν φωνὴν τοῦ Δεσπότου μας Χριστοῦ· «δὲν ἠμπορεῖ μία πόλις, κτισμένη ἐπάνω εἰς ἕνα βουνόν, νὰ κρυφθῇ» (Ματθ. ε', 14).

Ἦλθον, δηλαδή, οἱ ἀδελφοὶ ἀπὸ τὰ μέρη τῆς Αἰγύπτου, διὰ νὰ προσκυνήσουν τοὺς Ἁγίους Τόπους καὶ ἀναγνωρίσαντες αὐτόν, τὸν ἔπεισαν μὲ πολλὰς παρακλήσεις καὶ ἱκεσίας καὶ θρήνους καὶ τὸν ὡδήγησαν πίσω εἰς τὸ Κοινόβιόν του.

Μὲ αὐτὸν τὸν Ἅγιον ἄνθρωπον συγκατῴκησα καὶ ἐγὼ δι' ὀλίγον χρόνον εἰς τὴν Αἴγυπτον· ἐκεῖνα δὲ ποὺ ἤκουσα, ὅταν ἐνουθετοῦσεν ἕνα ἀδελφόν, τὸν ὁποῖον ἐνώπιόν μου ἐδέχθη ὡς δόκιμον εἰς τὸ Κοινόβιον, θὰ τὰ διηγηθῶ, διὰ νὰ ἠμπορέσετε νὰ γνωρίσετε καλῶς τὸν ἄνδρα, ποίας γνώσεως ἠξιώθη ἀπὸ τὸν Θεὸν καὶ πῶς εἰς τὸ ἔπακρον ἐγνώριζεν ἐκ πείρας τὸ ἰδεῶδες τῆς ἀσκητικῆς πολιτείας.

Ἐν συνεχείᾳ ὁ συγγραφεὺς ἐκθέτει τὴν παραίνεσιν τοῦ Ἁγίου, τὴν ὁποίαν αὐτὸς ποὺ ἐπιθυμεῖ νὰ τὴν μάθῃ, θὰ τὴν εὕρῃ εἰς ἐκεῖνο τὸ βιβλίον· καὶ πράγματι θὰ ἐκπλαγῇ ὅταν τὴν ἀναγνώσῃ.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΣΜΙΚΡΥΝΟΝ σεαυτὸν ἐν πᾶσι πρὸς πάντας ἀνθρώπους, καὶ ὑψωθήσῃ ἐπάνω τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου· ἐξευτέλισον σεαυτόν, καὶ ὄψει τὴν δόξαν τοῦ Θεοῦ ἐν σεαυτῷ· ὅπου γὰρ βλαστάνει ἡ ταπείνωσις, ἐκεῖ ἡ τοῦ Θεοῦ βρύει δόξα. Ἐὰν φανερῶς ἐξουδενωθῆναι ἀγωνίσῃ, ὑπὸ πάντων ἀνθρώπων ποιεῖ σε δοξασθῆναι ὁ Θεός· ἐὰν δὲ ἐν τῇ καρδίᾳ σου ἔχῃς τὴν ταπείνωσιν, ἐν τῇ καρδίᾳ σου δείκνυσί σοι ὁ Θεὸς τὴν δόξαν αὐτοῦ. Γενοῦ εὐκαταφρόνητος ἐν τῇ δικαιοσύνῃ σου· σπούδασον τοῦ καταφρονηθῆναι, καὶ τῆς τιμῆς τοῦ Θεοῦ ἐμπλησθήσῃ. Μίσησον τὴν τιμήν, ἵνα τιμηθῇς· ὁ τρέχων ὄπισθεν τῆς τιμῆς, φεύγει ἔμπροσθεν αὐτοῦ· καὶ ὁ φεύγων αὐτήν, καταδιώκει αὐτὸν καὶ κήρυξ γίνεται πᾶσιν ἀνθρώποις τῆς ταπεινώσεως αὐτοῦ. Εἰ καταφρονεῖς ἑαυτοῦ, ἵνα τιμηθῇς, ὁ Θεὸς δημοσιεύσει σε· εἰ δὲ διὰ τὸν Θεὸν ἐπ' ἀληθείας σεαυτὸν εὐτελίζεις, ἐπιτρέπει ὁ Θεὸς πᾶσι τοῖς κτί-

σμασιν αὐτοῦ ἐπαινέσαι σε· καὶ ἀνοίξουσιν ἔμπροσθέν σου τὴν θύραν τῆς δόξης τοῦ πλαστουργοῦ σου, καὶ ἐπαινέσουσί σε· διότι σὺ ἐν ἀληθείᾳ, κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ ὑπάρχεις. Ἄνθρωπον ταῖς μὲν ἀρεταῖς διαλάμποντα, τοῖς δὲ ἀνθρώποις εὐτελῆ φαινόμενον, καὶ φωτεινὸν μὲν τῷ βίῳ, σοφὸν δὲ τῇ γνώσει, καὶ ταπεινὸν τῷ φρονήματι, τίς τεθέαται;

Ἑ ρ μ η ν ε ί α

ΜΙΚΡΥΝΕ τὸν ἑαυτόν σου εἰς ὅλα ἐνώπιον ὅλων τῶν ἀνθρώπων καὶ θὰ ὑψωθῇς ἐπάνω ἀπὸ τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου· ταπείνωσε τὸν ἑαυτόν του καὶ θὰ ἴδῃς τὴν δόξαν τοῦ Θεοῦ ἐντός σου. Διότι ὅπου βλαστάνει ἡ ταπείνωσις, ἐκεῖ ἀναβλύζει καὶ ἡ δόξα τοῦ Θεοῦ.

Ἐὰν ἀγωνίζεσαι φανερὰ νὰ ταπεινωθῇς, ὁ Θεὸς σὲ κάμνει νὰ δοξασθῇς ἀπὸ ὅλους τοὺς ἀνθρώπους· ἂν ἔχῃς τὴν ταπείνωσιν εἰς τὴν καρδίαν σου, εἰς τὴν καρδίαν σου φανερώνει ὁ Θεὸς τὴν δόξαν Του. Ὅταν ἐργάζεσαι διὰ τὴν ἀρετήν, νὰ φροντίζῃς νὰ σὲ καταφρονοῦν οἱ ἄνθρωποι καὶ τότε θὰ τιμηθῇς ὑπὸ τοῦ Θεοῦ.

Μίσησε τὴν τιμήν, διὰ νὰ τιμηθῇς· ἐκεῖνος ποὺ τρέχει ὀπίσω ἀπὸ τὴν τιμήν, φεύγει ἡ τιμὴ ἀπὸ ἐμπρός του. Καὶ ἐκεῖνος ποὺ ἀποφεύγει τὴν τιμήν, τὸν καταδιώκει ἡ τιμὴ καὶ γίνεται κήρυξ τῆς ταπεινώσεώς του εἰς ὅλους τοὺς ἀνθρώπους. Ἂν καταφρονῇς ὑποκριτικὰ τὸν ἑαυτόν σου, διὰ νὰ ταπεινωθῇς, θὰ σὲ φανερώσῃ ὁ Θεός· ἂν ὅμως πραγματικὰ ἐξευτελίζῃς τόν ἑαυτόν σου, τότε ὁ Θεὸς ἐπιτρέπει εἰς ὅλα τὰ κτίσματά Του νὰ σὲ ἐπαινέσουν· καὶ τότε θὰ ἀνοίξουν ἐμπρός σου τὴν θύραν τῆς δόξης τοῦ Πλαστουργοῦ σου, καὶ θὰ σὲ ἐπαινοῦν. Διότι σὺ ὑπάρχεις πραγματικά, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ.

Ἄνθρωπον, ποὺ νὰ διαλάμπῃ ἀπὸ τὰς ἀρετάς του, καὶ νὰ φαίνεται ἀσήμαντος εἰς τοὺς ἀνθρώπους, καὶ φωτεινὸν μὲν εἰς τὴν ζωήν του, σοφὸν δὲ κατὰ τὰς γνώσεις καὶ ταπεινὸν κατὰ τὸ φρόνημα, ποῖος εἶδεν ἕως τώρα;

Η'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησέ τινα γέροντα λέγων· πῶς τις μωρὸς γίνεται διὰ τὸν Κύριον; ἀπεκρίθη ὁ γέρων· παιδίον ἦν ἐν Κοινοβίῳ τινί· καὶ παρεδόθη γέροντι ἀσκητῇ, ἵνα ἀγάγῃ αὐτὸ καλῶς καὶ διδάξῃ τὸν λόγον τοῦ Θεοῦ. Ἔλεγεν οὖν τῷ παιδίῳ ὁ γέρων· τέκνον, ὅταν ὑβρίσῃ σέ τις, εὐλόγησον αὐτόν· καὶ ὅταν καθίσῃς εἰς τὴν τράπεζαν, φάγε τὰ σαπρὰ καὶ ἄφες τὰ καλά· καὶ ὅταν πρόκειται ἱμάτιον ἐκλέξασθαι, ἄφες τὸ καλὸν καὶ λάβε τὸ σαπρόν. Λέγει αὐτῷ τὸ παιδίον· *τάχα, Ἀββᾶ, μωρός εἰμι* ὅτι λέγεις μοι ταῦτα ποιεῖν; Ἔφη ὁ γέρων· τέκνον, διὰ τοῦτο λέγω σοι ποιεῖν ταῦτα· *ἵνα γένῃ μωρὸς διὰ τὸν Κύριον,* καὶ σοφίσει σε ὁ Κύριος. Ἰδού, ἔδειξεν ὁ γέρων τί ποιῶν τις μωρὸς γίνεται διὰ τὸν Κύριον.

2. Ἔλεγεν ὁ Ἀββᾶς Δανιὴλ περὶ τοῦ Ἀββᾶ Δουλᾶ, ὅτι τὰ πρῶτα ἐν Κοινοβίῳ ἐκάθητο ἐπὶ ἔτη τεσσαράκοντα· εἶτα ἐν τῇ Σκήτει ἡσύχασε, καὶ ἐν τοῖς με-

γάλοις τῶν Πατέρων ἐλογίσθη. Οὗτος οὖν φησιν ἔλεγεν, ὅτι διαφόρως δοκιμάσας, εὗρον ὅτι οἱ ἐν τοῖς Κοινοβίοις ὑπὲρ τοὺς ἡσυχαστὰς πλεῖον μᾶλλον καὶ ταχύτερον προκόπτουσιν εἰς ἐργασίαν ἀρετῶν, ἐ ὰ ν τ ὴ ν ὑ π ο τ α γ ὴ ν ἐ ξ ἀ λ η θ ι ν ῆ ς κ α ρ δ ί α ς μ ε τ έ ρ χ ω ν τ α ι.

Ἀδελφὸς γάρ τις ἦν ἐν Κοινοβίῳ, τῷ μὲν σχήματι εὐτελής τε καὶ ἐξουδενωμένος ὑπὲρ πάντας τοὺς ἐν αὐτῷ, τῇ δὲ διανοίᾳ μέγας καὶ ἔντιμος. Οὗτος ὑπὸ πάντων ὑβριζόμενός τε καὶ χλευαζόμενος, πολλάκις δὲ καὶ τυπτόμενος ἀδίκως, ἔφερε γενναίως, μηδενὶ μηδὲν ἐγκαλῶν. Ἕτερος δέ τις τῶν ἐκεῖ ἀδελφῶν, ὑπὸ τοῦ διαβόλου ἐνεργηθείς, τὰ ἐν τῷ ναῷ ἱερὰ σκεύη ἐσύλησε, πάντας διαλαθών. Εἶτα ἐξετάσεως γενομένης περὶ τῶν συληθέντων, πάντες τῷ ἀδελφῷ ἐκείνῳ τῷ ἑαυτὸν εὐτελίζοντι προσῆπτον τὸ ἔγκλημα καὶ τοῦτον ἐνεργῆσαι τὴν ἱεροσυλίαν ἐξ ὑπονοίας κατέκρινον.

Ὡς δὲ ἐκεῖνος ἀγνοεῖν ὅλως περὶ τοῦ πράγματος ἔλεγε, προτροπῇ τοῦ προεστῶτος τὸ σχῆμα ἐξ αὐτοῦ ἀφελόμενοι, σίδηρα περιτιθέντες, παραδιδοῦσιν αὐτὸν εἰς ἐξέτασιν τῷ οἰκονόμῳ τῆς Λαύρας· ὃς καὶ βουνεύροις μαστίξας αὐτὸν ἱκανῶς, καὶ ἄλλαις τιμωρίαις ἐκδούς, ὡς οὐδὲν ἔσχεν ὁμολογοῦντα, ἀλλ' ἐπίσης τὴν ἄγνοιαν τοῦ γενομένου σαφῶς προβαλλόμενον, τῷ ἄρχοντι τῆς χώρας τοῦτον παρέπεμψεν ἵνα πλειόνως ὑπ' αὐτοῦ κολασθῇ.

Ὁ δὲ παντοίας βασάνους εἰς αὐτὸν ἐνδειξάμενος, καὶ πυρὶ τὰς σάρκας καταφλέξας αὐτοῦ, καὶ πολυημέρῳ ἀσιτίᾳ καὶ εἱρκτῇ ζοφώδει καὶ πνιγηρᾷ τὸν ἄνδρα ἐκδούς, ὡς τὴν ἱεροσυλίαν ὁμοίως εὕρισκεν ἀπαρνούμενον, συναινέσει τοῦ προεστῶτος καὶ τῶν ἀδελφῶν, θανάτῳ αὐτὸν κατεδίκασε κατὰ τὴν τοῦ νόμου διάταξιν· τῆς γὰρ ἱεροσυλίας τὸ ἐπιτίμιον, θάνατος· ἤγετο οὖν ἀποκεφαλισθῆναι.

Ἰδὼν δὲ ὁ τὰ ἱερὰ συλήσας ἀδελφὸς καὶ παθὼν τὴν ψυχήν, προσελθὼν τῷ Ἀββᾷ, λέγει· ἔμαθον ὡς εὑρέθησαν τὰ ἱερὰ σκεύη· διὸ σπούδασον μὴ ἀποκεφαλίσαι τὸν ἀδελφόν· ὁ δὲ ἀναφέρει τῷ ἄρχοντι· καὶ ἀπολυθεὶς ὁ ἀδελφός, ἦλθεν εἰς τὸ Κοινόβιον· ἐπιζήσας δὲ τρεῖς ἡμέρας, πρὸς Κύριον ἐκδημεῖ ἐν τῷ προσεύχεσθαι καὶ ἐπὶ γόνυ πεσεῖν ἀποδοὺς τὴν ψυχήν. Ἐλθόντες οὖν πάντες οἱ τῆς μονῆς καὶ εὑρόντες τὸ σῶμα αὐτοῦ οὕτω κείμενον εἰς μετάνοιαν, ἔλαβον αὐτὸ καὶ ἤνεγκαν εἰς τὴν Ἐκκλησίαν, ὡς ἂν ἐκεῖσε κατατεθῇ. Κρουσθέντος δὲ τοῦ ξύλου, συνήχθη πᾶσα ἡ Λαύρα· καὶ πάντες προσέτρεχον τῷ σώματι, μέρος τι τῶν ἀμφίων ἢ τῶν τριχῶν ἀφελεῖν βουλόμενος ἕκαστος εὐλογίας χάριν.

Ὁ δὲ Ἀββᾶς, φοβηθεὶς μήπου καὶ τὸ σῶμα διασπασθῇ, εἰς τὸ ἱερατεῖον τοῦτο εἰσενεγκών, τῷ κλειδίῳ ἠσφαλίσατο τὸ οἴκημα, προσδεχόμενος καὶ τὸν Ἀββᾶν τῆς Λαύρας παραγενέσθαι. Μετὰ δὲ βραχὺ ἐλθόντος κἀκείνου, ὡς ἀνάψαντες πάντες κηροὺς καὶ ἀνακαύσαντες θυμιάματα, ἐζήτουν τὸ σῶμα τοῦ ἱερατείου προαγαγεῖν καὶ τὸν τῆς Μονῆς προεστῶτα ἀνοῖξαι τὸ τάχος κατήπειγον.

Ἀνοίξας ἐκεῖνος καὶ εἰσελθὼν μετὰ καὶ ἄλλων πολλῶν, τὰ μὲν ἱμάτια καὶ σανδάλια τοῦ ἀπελθόντος εὗρον, τὸ δὲ σῶμα ἦν οὐδαμοῦ. Ἤρξαντο οὖν πάντες δοξάζειν τὸν Θεὸν καὶ κράζειν πρὸς ἀλλήλους μετὰ δακρύων καὶ λέγειν· βλέπετε, ἀδελφοί, οἷα προξενεῖ ἡμῖν ἡ μακροθυμία καὶ ἡ ταπείνωσις; Ἀγωνισώμεθα οὖν καὶ ἡμεῖς ὑπομένειν πειρασμόν τε καὶ ἐξουδένωσιν διὰ Κύριον, καὶ ἐσόμεθα δεδοξασμένοι καὶ τίμιοι καὶ αὐτῷ εἰς αἰῶνας συμβασιλεύσομεν.

3. Παῦλός τις ὀνόματι, τὴν ἀξίαν Ἰλλούστριος, ἔχων γυναῖκα καὶ τέκνα καὶ πλοῦτον πολύν, ἠθέλησε γενέσθαι Μοναχός· καὶ καλέσας τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα, ἐξεῖπεν αὐτοῖς τὸν οἰκεῖον σκοπόν· ὁ δὲ εὑρὼν καὶ αὐτοὺς προθύμους εἰς τοῦτο καὶ τῆς μοναδικῆς πολιτείας ἐρῶντας ὁμοίως αὐτῷ, εἶπεν αὐτοῖς· εἰ τῷ ὄντι ὠφεληθῆναι βούλεσθε, ὡς δούλους ὑμᾶς ἐν Μοναστηρίοις πωλήσω· οἱ δὲ καὶ τοῦτο μετὰ χαρᾶς κατεδέξαντο.

Λαβὼν οὖν τὴν γυναῖκα αὐτοῦ, εὐτελὲς σχῆμα ἠμφιεσμένην καὶ δουλικόν, καὶ τὸ ἀνῆκον αὐτῇ τῶν πραγμάτων μέρος, ἀπέρχεται σὺν αὐτῇ εἰς Μοναστήριον γυναικῶν· καὶ παραδίδωσιν αὐτὴν τῇ ἡγουμένῃ, οἷα δούλην εἶναι ἐν τῇ μονῇ, συμπαραδοὺς αὐτῇ καὶ τὰ πράγματα. Ὁμοίως δὲ καὶ τοὺς παῖδας αὐτοῦ ἀπαγαγὼν εἰς ἕτερον Μοναστήριον, τῷ ἡγουμένῳ ὡς δούλους παρέδωκε καὶ τὰ ἐπιβάλλοντα αὐτοῖς πράγματα. Ἔσχατον δὲ ἀπελθὼν καὶ αὐτὸς εἰς ἄλλο Μοναστήριον, ἐποίησεν ὁμοίως καὶ ὡς δοῦλον παρέδωκεν ἑαυτόν. Εἶτα λέγει τῷ Ἀββᾷ· εἰ κελεύεις, βούλομαι μόνος εἰσελθεῖν εἰς τὸ εὐκτήριον· τοῦ δὲ ἐπιτρέψαντος, εἰσῆλθε· καὶ τῶν θυρῶν ἀσφαλισθεισῶν, διαπετάσας τὰς χεῖρας αὐτοῦ, ἔκραξε λέγων· ὁ Θεός, σὺ γινώσκεις ὅτι ἐξ ὅλης καρδίας προσῆλθόν σοι. Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· κἀγὼ ἔγνων καὶ ὁλοκαρδίως προσεδεξάμην σε.

Διατρίψας οὖν ἐν τῷ Κοινοβίῳ συχνόν, καὶ ὡς δοῦλος πᾶσαν μετελθὼν εὐτελῆ διακονίαν, καὶ ὑποκάτω πάντων γεγονώς, ὑψώθη ὑπὸ Θεοῦ διὰ τῆς ταπεινώσεως· καὶ μετὰ τὴν τελευτὴν τὸ μνῆμα αὐτοῦ μύρον ἔβλυσε καὶ πολλὰ σημεῖα καὶ τέρατα ἐν αὐτῷ γέγονεν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα· — Πῶς ἠμπορεῖ κάποιος νὰ γίνῃ μωρὸς διὰ τὸν Κύριον;

Καὶ ὁ γέρων τοῦ ἀπήντησεν·

— Εἰς ἕνα Κοινόβιον ἦτο κάποιο παιδί. Καὶ τὸ παρέδωσαν εἰς ἕνα Γέροντα ἀσκητήν, διὰ νὰ τὸ διαπαιδαγωγήσῃ καὶ νὰ τοῦ διδάξῃ τὸν λόγον τοῦ Θεοῦ. Ἔλεγε λοιπὸν ὁ Γέρων εἰς τὸ παιδί· παιδί μου, ὅταν σὲ ὑβρίσῃ κάποιος, σὺ εὐλόγησέ τον· καὶ ὅταν καθίσῃς εἰς τὸ τραπέζι, νὰ τρώγῃς τὰ χαλασμένα φαγητὰ καὶ νὰ ἀφήσῃς τὰ καλά. Καὶ ὅταν πρόκειται νὰ διαλέξῃς ἔνδυμα, ἄφησε τὸ καλὸ καὶ προτίμησε τὸ ἄσχημο. Τὸ παιδί, τότε, λέγει πρὸς αὐτόν· Μήπως, Ἀββᾶ, εἶμαι ἀνόητος, καὶ μοῦ λέγεις νὰ κάμω αὐτά; Καὶ ὁ Γέρων τοῦ ἀπαντᾷ· δι' αὐτὸ σοῦ λέγω νὰ τὰ κάνῃς αὐτά, διὰ νὰ γίνῃς, πρὸς χάριν τοῦ Κυρίου, ἀνόητος καὶ ὁ Κύριος θὰ σὲ ἀναδείξῃ σοφόν. Νὰ πῶς ἔδειξεν ὁ Γέρων τὸν τρόπον, διὰ νὰ γίνῃ κανεὶς μωρὸς χάριν τοῦ Κυρίου.

2. Ὁ Ἀββᾶς Δανιὴλ ἔλεγε διὰ τὸν Ἀββᾶν Δουλᾶν, ὅτι ἀρχικὰ παρέμεινεν εἰς τὸ Κοινόβιον ἐπὶ σαράντα χρόνια· μετὰ ἡσύχασεν εἰς Σκήτην καὶ ἐθεωρήθη ὡς ἕνας ἀπὸ τοὺς μεγάλους Πατέρας. Αὐτὸς λοιπὸν —συνεχίζει ὁ Ἀββᾶς Δανιὴλ— ἔλεγεν, ὅτι ἀφοῦ ἐδοκίμασα καὶ τοὺς δύο τρόπους ζωῆς, εὑρῆκα ὅτι εἰς τὰ Κοινόβια προκόπτουν πολὺ περισ-

σότερον εἰς τὴν ἐργασίαν τῶν ἀρετῶν, ἀπὸ τοὺς ἡσυχαστάς, ἂν βέβαια ἐφαρμόζουν τὴν ὑποταγὴν μὲ ὅλην τους τὴν καρδιά.

Εἰς κάποιο Κοινόβιον ἔζη ἕνας ἀδελφός, ὁ ὁποῖος κατὰ μὲν τὴν ἐμφάνισιν καὶ τὸ ἐξωτερικὸν σχῆμα ἐφαίνετο καταφρονεμένος καὶ ἀσήμαντος περισσότερον ἀπὸ ὅλους, κατὰ τὴν γνῶσιν ὅμως ἦτο ἀξιόλογος καὶ σπουδαῖος. Αὐτὸς λοιπὸν ὑβρίζετο καὶ ἐχλευάζετο ἀπὸ ὅλους καὶ πολλάκις τὸν ἔδερναν ἄδικα· τὰ ὑπέφερεν ὅμως μὲ γενναιότητα, χωρὶς νὰ κατηγορῆ κανένα διὰ τίποτε.

Ἕνας ἄλλος ἀδελφός, ἀπὸ τὸ ἴδιον Κοινόβιον, ἀπὸ διαβολικὴν ἐνέργειαν, ἔκλεψε τὰ ἱερὰ σκεύη τοῦ Ναοῦ, χωρὶς νὰ τὸν ἀντιληφθῇ κανείς. Μετά, ἀφοῦ ἔγινεν ἔρευνα διὰ τὰ κλαπέντα σκεύη, ὅλοι ἀπέδιδον τὸ ἔγκλημα εἰς ἐκεῖνον τὸν ἀδελφόν, ποὺ ἐταπείνωνε τὸν ἑαυτόν του καὶ τὸν κατέκριναν ὅτι αὐτὸς ἔκαμε τὴν ἱεροσυλίαν.

Ἐπειδὴ δὲ ἐκεῖνος ἰσχυρίζετο ὅτι ἀγνοεῖ τελείως τὸ ζήτημα, τοῦ ἀφήρεσαν τὸ μοναχικὸν σχῆμα, κατὰ προτροπὴν τοῦ Ἡγουμένου, καὶ ἀφοῦ τὸν ἔδεσαν μὲ ἁλυσίδας, τὸν παρέδωσαν εἰς τὸν οἰκονόμον τῆς Λαύρας διὰ νὰ τὸν ἐξετάσῃ. Ὁ οἰκονόμος τὸν ἐμαστίγωσε μὲ βούνευρα καὶ τοῦ ἐπέβαλε καὶ ἄλλας τιμωρίας. Παρὰ ταῦτα τίποτε δὲν ὡμολόγησεν, ἀλλ' ἐξηκολούθει, χωρὶς περιστροφάς, νὰ προβάλλῃ ἄγνοιαν τῶν γενομένων. Κατόπιν αὐτοῦ τὸν παραπέμπουν εἰς τὸν ἄρχοντα τῆς χώρας, διὰ νὰ τιμωρηθῇ ἀπὸ ἐκεῖνον σκληρότερον.

Ὁ ἄρχων τὸν ὑπέβαλεν εἰς διάφορα βασανιστήρια, ἔκαψε μὲ πυρωμένον σίδηρον τὰς σάρκας του καὶ τὸν ἔκλεισεν, ἐπὶ πολλὰς ἡμέρας τελείως νηστικόν, εἰς μίαν σκοτεινὴν καὶ ἀποπνικτικὴν φυλακήν. Ἐπειδὴ ὅμως ἐξηκολούθει νὰ ἀρνῆται τὴν ἱεροσυλίαν, δι' αὐτό, μὲ τὴν σύμφωνον γνώμην τοῦ Ἡγουμένου καὶ τῶν ἀδελφῶν, τὸν κατεδίκασεν εἰς θάνατον, κατὰ τὰς διατάξεις τοῦ Νόμου. Διότι ἡ ποινή, ποὺ ἐπιβάλλεται εἰς τὴν ἱεροσυλίαν, εἶναι ὁ θάνατος. Κατόπιν αὐτοῦ ὡδηγεῖτο νὰ ἀποκεφαλισθῇ.

Μόλις εἶδεν αὐτὸ τὸ πρᾶγμα ἐκεῖνος ποὺ ἔκλεψε τὰ ἱερά, ἐπόνεσεν ἡ ψυχή του καὶ ἀφοῦ ἐπλησίασε τὸν Ἀββᾶν τοῦ λέγει· ἔμαθα πῶς εὑρέθησαν τὰ ἱερὰ σκεύη· δι' αὐτὸ φρόντισε νὰ μὴ ἀποκεφαλίσουν τὸν ἀδελφόν.

Ὁ Ἀββᾶς τὸ ἀναφέρει εἰς τὸν Ἄρχοντα. Ἀφοῦ δὲ ὁ ἀδελφὸς ἀπελύθη, κατόπιν αὐτοῦ, ἐπέστρεψεν εἰς τὸ Κοινόβιον. Μετὰ ταῦτα ἐπέζησε τρεῖς ἡμέρας καὶ ἐξεδήμησε πρὸς Κύριον τὴν ὥραν ποὺ προσηύχετο καὶ παρέδωσε τὴν ψυχήν του, καθὼς ἦτο γονατιστός.

Ἦλθον τότε ὅλοι οἱ Μοναχοὶ καὶ ἀφοῦ εὗρον τὸ σῶμα τοῦ μεταστάντος εἰς αὐτὴν τὴν στάσιν τῆς μετανοίας, τὸ παρέλαβον καὶ τὸ μετέφεραν εἰς τὴν Ἐκκλησίαν, διὰ νὰ τὸ ἐνταφιάσουν ἐκεῖ.

Ἀμέσως ἐκτύπησε τὸ ξύλον (ἐννοεῖ τὸ τάλαντον) καὶ συνεκεντρώθη ὁλόκληρος ἡ Λαύρα. Ἀπὸ σεβασμὸν δὲ ὅλοι οἱ πατέρες προσέτρεχαν εἰς

τὸ λείψανον, ἐπιθυμοῦντες νὰ ἀφαιρέσουν ἐξ αὐτοῦ, χάριν εὐλογίας, ἕνα τεμάχιον ἀπὸ τὰ ἄμφια ἢ ἀπὸ τὰς τρίχας τους χάριν εὐλογίας.

Ὁ Ἀββᾶς, ἀπὸ φόβον μήπως κομματιάσουν καὶ τὸ λείψανον, τὸ μεταφέρει εἰς τὸ ἱερὸν καὶ τὸ ἐκλείδωσε καλά, περιμένων νὰ ἔλθῃ καὶ ὁ Ἀββᾶς τῆς Λαύρας. Μετ' ὀλίγον ἦλθε καὶ ἐκεῖνος καὶ ἀφοῦ ἤναψαν ὅλοι κεριὰ καὶ ἡτοίμασαν θυμίαμα, ἐζητοῦσαν νὰ βγάλουν τὸ λείψανον ἀπὸ τὸ ἱερὸν καὶ δι' αὐτὸ ἐβίαζον τὸν προεστῶτα νὰ ἀνοίξῃ γρήγορα.

Μόλις ὅμως ἐκεῖνος ἤνοιξε καὶ εἰσῆλθεν εἰς τὸ ἱερὸν μαζὶ μὲ πολλοὺς ἄλλους, εὑρῆκαν μὲν τὰ φορέματα καὶ τὰ ὑποδήματα τοῦ μεταστάντος, ὄχι ὅμως καὶ τὸ σῶμα, τὸ ὁποῖον τελικῶς δὲν εὗρον πουθενά.

Τότε ὅλοι ἤρχισαν νὰ δοξάζουν τὸν Θεόν, νὰ φωνάζουν καὶ νὰ λέγουν μεταξύ των μὲ δάκρυα· Βλέπετε, ἀδελφοί, ποῖα ἀξιοθαύμαστα πράγματα μᾶς προξενεῖ ἡ μακροθυμία καὶ ἡ ταπείνωσις; Ἂς ἀγωνισθῶμεν λοιπὸν καὶ ἡμεῖς νὰ ὑπομείνωμεν πειρασμοὺς καὶ ἐξευτελισμὸν διὰ τὸν Κύριον, καὶ πράγματι θὰ δοξασθῶμεν καὶ θὰ τιμηθῶμεν καὶ θὰ συμβασιλεύσωμεν μαζί Του εἰς τοὺς αἰῶνας.

3. Ἔζη κάποτε κάποιος Παῦλος, Ἰλλούστριος* κατὰ τὸ ἀξίωμα, ποὺ εἶχε γυναῖκα, παιδιὰ καὶ πλούτη πολλά· αὐτὸς ἠθέλησε νὰ γίνῃ Μοναχός. Ἀφοῦ ἐκάλεσε τὴν γυναῖκα του καὶ τὰ τέκνα του, τοὺς ἐφανέρωσε τὸν σκοπόν του. Τοὺς εὑρῆκε προθύμους εἰς αὐτὸ καὶ νὰ ἐπιθυμοῦν καὶ αὐτοὶ τὸν μοναχικὸν βίον, ὅπως καὶ αὐτός. Κατόπιν αὐτοῦ τοὺς εἶπεν· ἂν πραγματικὰ θέλετε νὰ ὠφεληθῆτε, θὰ σᾶς πωλήσω ὡς δούλους εἰς τὰ Μοναστήρια. Αὐτοὶ δὲ ἐδέχθησαν καὶ αὐτὸ μετὰ χαρᾶς.

Ἀφοῦ λοιπὸν ἐπῆρε τὴν γυναῖκα του, ἡ ὁποία ἐν τῷ μεταξὺ εἶχε φορέσει πτωχικὴν ἐνδυμασίαν καὶ εἶχε πάρει τὴν ἐμφάνισιν δούλης, καθὼς καὶ τὸ μερίδιόν της ἀπὸ τὰ πράγματα τοῦ σπιτιοῦ, φεύγει μαζί της εἰς Μοναστήριον γυναικῶν καὶ τὴν παραδίδει εἰς τὴν Ἡγουμένην διὰ νὰ εἶναι ὡς δούλη εἰς τὸ Μοναστήρι· μαζὶ παρέδωσε καὶ τὰ πράγματά της. Ἐν συνεχείᾳ μὲ τὸν ἴδιον τρόπον ὡδήγησεν εἰς ἄλλο Μοναστήρι καὶ τὰ παιδιά του, καὶ τὰ παρέδωσεν ὡς δούλους εἰς τὸν Ἡγούμενον, μαζὶ μὲ τὰ πράγματά των. Τελευταῖα, ἀφοῦ μετέβη καὶ ὁ ἴδιος εἰς ἄλλο Μοναστήρι, ἔκαμε τὸ ἴδιον καὶ παρέδωσε τὸν ἑαυτόν του ὡς δοῦλον.

Μετὰ ταῦτα λέγει εἰς τὸν Ἀββᾶν· ἂν μοῦ τὸ ἐπιτρέπῃς, θέλω νὰ εἰσέλθω μόνος μου εἰς τὸν Ναόν. Ἀφοῦ τοῦ τὸ ἐπέτρεψεν, εἰσῆλθεν. Ἀμέσως τότε ἔκλεισε καλὰ τὰς θύρας τοῦ Ναοῦ καὶ ἀφοῦ ὕψωσε τὰς χεῖρας του πρὸς τὸν οὐρανὸν ἀνέκραξε· «Θεέ μου, σὺ γνωρίζεις, ὅτι μὲ ὅλην μου τὴν καρδίαν ἀφωσιώθην εἰς Σέ». Καὶ εἰς ἀπάντησιν ἠκούσθη

---

* Ἰλλούστριος ἦτο τίτλος, ὁ ὁποῖος ἐδίδετο εἰς τοὺς ἀνωτάτους ὑπαλλήλους τοῦ ρωμαϊκοῦ κράτους ἀπὸ τὴν ἐποχὴν τοῦ Διοκλητιανοῦ. Ὁ τίτλος αὐτὸς δὲν ἀντιστοιχοῦσε πρὸς ὡρισμένον ἀξίωμα. Ἀποδίδεται σήμερον μὲ τὸ «Ἐκλαμπρότατος» ἢ «Ἐξοχώτατος».

φωνὴ ἡ ὁποία ἔλεγε· Καὶ ἐγὼ τὸ γνωρίζω· καὶ σὲ ἐδέχθην μὲ ὅλην μου τὴν καρδίαν.

Παρέμεινε λοιπὸν εἰς τὸ Κοινόβιον πολὺν καιρὸν καὶ ἐξετέλει, ὡς δοῦλος, ὅλας τὰς ταπεινωτικὰς ὑπηρεσίας ὑποτασσόμενος ἀγογγύστως εἰς ὅλους. Ἔτσι ἀνυψώθη ἀπὸ τὸν Θεὸν διὰ τῆς ταπεινώσεως· καὶ μετὰ τὸν θάνατόν του, τὸ μνῆμα του ἀνέβλυσε μύρον καὶ ἔγιναν εἰς αὐτὸ πολλὰ θαύματα.

Θ'. Περὶ Εὐφροσύνου τοῦ Μαγείρου

ΕΝ ΤΙΝΙ Κοινοβίῳ ἀδελφός τις ἦν, νέος τὴν ἡλικίαν, Εὐφρόσυνος ὀνόματι· ὑπηρέτει δὲ τοῖς ἀδελφοῖς ἐν τῷ μαγειρίῳ· καὶ ἐλάνθανε τοὺς πολλούς, τῇ συνεχεῖ πρὸς τὴν τέφραν καὶ τὴν ἀσβόλην διατριβῇ, τὸ τῆς ἀρετῆς αὐτοῦ λαμπρὸν ὑποκρύπτων. Ἀεὶ γὰρ κατηθαλωμένος ὢν καὶ ρυπῶν, γέλως καὶ παίγνιον τοῖς τῶν ἀδελφῶν ἀμελεστέροις προὔκειτο, οἳ καὶ ὀνειδισμοῖς αὐτὸν καὶ ὕβρεσι καὶ χλευασμοῖς διηνεκῶς ἔπλυνον, πρὸς τὸ εὐτελὲς τοῦ ἐνδύματος καὶ τὸ τοῦ προσώπου αὐτοῦ πρᾷον καὶ σιωπηλὸν καὶ ἀνεξίκακον ἀφορμὴν εἰς τὸ ἀδεῶς αὐτὸν μυκτηρίζειν τε καὶ ἐξουθενεῖν, πολλάκις δὲ καὶ τύπτειν εὑρίσκοντες. Ἐκεῖνος δὲ τοιαῦτα παρὰ πολλῶν καθ' ὥραν ἀκούων καὶ πάσχων, ἔφερε γενναίως, μηδενὶ μηδέποτε ἀντειπὼν ἢ ἐγκαλέσας, ἢ ὅλως στυγνάσας ἐφ' οἷς ἀδίκως ὑβρίζετο ἢ καὶ ἐτύπτετο.

Ὁ οὖν πατὴρ τῆς τοιαύτης μονῆς κατὰ Θεὸν ἐν πᾶσι πολιτευόμενος καὶ πολλὴν ἐντεῦθεν πλουτῶν τὴν πρὸς Θεὸν οἰκειότητα, ποτὲ παρηνωχλήθη ὑπό τινος λογισμοῦ τοιούτου· ἐπεθύμησε διαγνῶναι τίς ἐκ τῆς κατ' αὐτὸν μονῆς ἢ ποίμνης τῇ ἀρετῇ κρατεῖ τῶν λοιπῶν ἀδελφῶν, καὶ ἔστιν ἐν τοῖς κατὰ Θεὸν τῶν ἄλλων διαφορώτερος; Ἐνδελεχοῦντος δὲ αὐτῷ τοιούτου λογισμοῦ, ἐδεήθη τοῦ Θεοῦ εἰς ἔργον αὐτῷ τὴν ἐπιθυμίαν ἐκβῆναι καὶ ἀποκαλυφθῆναι αὐτῷ τὸν ἐν τοῖς ἀδελφοῖς τὰ τῆς ἀρετῆς πρωτεῖα ἀποφερόμενον.

Προσευχόμενος οὖν ἐν νυκτὶ κατὰ μόνας, γέγονεν ἐν ἐκστάσει καὶ ἡρπάγη εἴς τινα τόπον, ἄρρητον τὴν τέρψιν καὶ ἡδονὴν ἔχοντα· εὐωδίᾳ τε γὰρ θαυμαστῇ τινι κατεπνέετο καὶ δένδρεσι παντοίοις πάντοθεν ἐκεκόσμητο. Οἱ δὲ ἐν τούτοις καρποὶ οὐδενὶ τῶν παρ' ἡμῖν ἦσαν ὅμοιοι, ἀλλὰ τῷ κάλλει καὶ μεγέθει πολλῷ τούτων διέφερον, ἀνθρωπίνην πᾶσαν νικῶντες διήγησιν. Ὕδωρ τε διειδέστατον κάτωθεν τῶν δένδρων ὑπέρρεε, καὶ ὅλως ἐξαίσιός τις ἦν ἡ τοῦ τόπου θέα καὶ καλλονή.

Ηὐχαρίστει οὖν τῷ τῶν ἀγαθῶν αἰτίῳ Θεῷ ὁ ταῦτα θεώμενος καὶ ἑαυτὸν ἐμακάριζεν, ὡς τοιαύτης ἀξιωθέντα τιμῆς. Εἶτα ὀρεγόμενος τῶν θαυμασίων ἐκείνων καρπῶν, ὥρμησε λαβέσθαι τινὰς ἐξ αὐτῶν καὶ οὐκ ἴσχυσεν, εἰς ὕψος σὺν τοῖς κλάδοις αἰρομένων αὐτῶν. Ὡς δὲ πολλάκις τοῦτο προθέμενος καὶ ἐπιχειρήσας ὁμοίως κεναῖς κάτωθεν τῶν δένδρων ἐναπέμενε ταῖς χερσίν, ὁρᾷ τὸν ἀδελφὸν ἐκεῖνον τὸν νέον, τὸν τῆς Εὐφροσύνης ἐπώνυμον, ἐν ἐκείνῳ τῷ τερπνοτάτῳ παραδείσῳ ἔμπροσθεν αὐτοῦ πορευόμενον, καὶ πάντων τῶν ἐκεῖ τὴν ἀπόλαυσιν ἄφθονον ἔχοντα, ὑποκατακλινομένων τῶν κλάδων αὐτῷ, καὶ τῶν ἐν αὐτοῖς καρπῶν ἕτοιμον παρεχομένων ὧν βούλεται τὴν μετάληψιν.

Ἐκπλαγεὶς οὖν ἐπὶ τῷ παραδόξῳ θαύματι, ἔφη αὐτῷ· τέκνον Εὐφρόσυνε, τίς σε ἐνταῦθα ἤγαγε καὶ διάγειν ἐπέτρεψεν; ὁ δὲ μειδιῶντι προσώπῳ φησὶ πρὸς

αὐτόν· ὦ Πάτερ, τούτων ὧν ὁρᾷς ἀγαθῶν τὴν ἀπόλαυσιν καὶ τὴν ἐξουσίαν ὁ μόνος φιλάνθρωπος ἐμοὶ κατεπίστευσεν. Ὁ δὲ Πατὴρ εἶπε· καὶ δύνασαί μοι νῦν ἐκ τούτων τι παρασχεῖν; λέγει ἐκεῖνος· λάβε, Πάτερ, ὅσα καὶ βούλει· καὶ ὁ Πατὴρ πάλιν· οὔ, φησι, τέκνον· πολλάκις γὰρ τοῦτο ποιῆσαι θελήσας οὐκ ἠδυνήθην. Τότε ὁ Εὐφρόσυνος ἑνὶ τῶν ἐκεῖσε δένδρων προσελθὼν μετὰ θάρσους, καὶ ἐκ τῶν ἐν αὐτῷ καρπῶν λαβὼν τῇ χειρί, μῆλα δὲ ἦν, ἐξαίσια οἷα καὶ τὴν ὅρασιν καὶ τὴν εὐωδίαν, τρία τούτων τῷ γέροντι δίδωσιν.

Ὁ δὲ μετὰ πολλῆς αὐτὰ δεξάμενος τῆς χαρᾶς, εἰς ἑαυτὸν ἐκ τῆς ὀπτασίας εὐθὺς ἐπανῆλθε καὶ εὗρεν ἐπ' ἀληθείας τὰ τρία μῆλα ἐν ταῖς οἰκείαις χερσί. Φρίξας δὲ ὅλος, καὶ γενόμενος σύντρομος, ἐκέλευσε παραχρῆμα κρουσθῆναι τὸ ξύλον· καὶ τότε μὲν σὺν τοῖς ἀδελφοῖς τοὺς ἑωθινοὺς ὕμνους τελέσας ἡσύχασε μηδενὶ μηδὲν εἰρηκὼς ὧν ἐθεάσατο. Τοῦ δὲ καιροῦ τῆς θείας μυσταγωγίας ἐνστάντος καὶ τῶν ἀδελφῶν ἐν τῷ ναῷ συναχθέντων, ἱερουργήσας αὐτὸς καὶ σὺν τοῖς ἀδελφοῖς τελέσας τὴν θείαν μυσταγωγίαν, μετὰ τὴν ἐκπλήρωσιν, στὰς πρὸ τοῦ θυσιαστηρίου, ἔτι τὴν ἱερατικὴν στολὴν περικείμενος, τὸν ἀδελφὸν Εὐφρόσυνον κληθῆναι προσέταττεν.

Τινὲς οὖν τῶν ἀδελφῶν πρὸς τὸ μαγειρεῖον ἀποδραμόντες, ἤγαγον αὐτὸν ἐν σπουδῇ καὶ τῷ προεστῶτι παρέστησαν, ὅλον κατησβολωμένον ὄντα ἐκ τῆς τέφρας τοῦ μαγειρείου καὶ ῥύπου πεπληρωμένον, τά τε ἱμάτια καὶ τὸ πρόσωπον. Ἔφη οὖν πρὸς αὐτὸν ὁ πατήρ· ποῦ, τέκνον, ἐν ταύτῃ διέτριβες τῇ νυκτί; ὁ δὲ πρὸς γῆν νεύσας, οὐδὲν τὸ σύνολον ἀπεκρίνατο. Τοῦ δὲ προεστῶτος ἐπὶ πολὺ προτείνοντος τὴν ἐρώτησιν καὶ εἰπεῖν ἐκβιαζομένου, σύνδακρυς ὁ νέος γενόμενος, πρᾳείᾳ καὶ συνεσταλμένῃ τῇ φωνῇ πρὸς αὐτὸν ἀπεκρίνατο· οὐ γινώσκεις, ὦ πάτερ, ὅπου ἀμφότεροι διετρίβομεν;

Τότε φρίκῃ ὁ γέρων κατασχεθείς, τὰ τρία μῆλα παρευθὺς ἐκβαλὼν εἶπε· καὶ ἐπιγινώσκεις ταῦτα; ὁ δὲ ναί, φησι, πάτερ, οἶδας γὰρ ὡς ἐγώ σοι ταῦτα παρέσχον ὑπὸ σοῦ κελευσθείς. Λέγει οὖν πρὸς αὐτὸν ὁ πατὴρ ἐπὶ πάντων· μακάριος εἶ, τέκνον Εὐφρόσυνε, ἀγαθῶν τοιούτων ἠξιωμένος· διὸ δέομαι σὲ προστάτην γενέσθαι καὶ τῆς ἐμῆς ἀθλίας ψυχῆς· καὶ ἑξῆς διηγεῖτο τοῖς ἀδελφοῖς, ἃ ἐν τῇ ὀπτασίᾳ τεθέαται. Εἶτα, μετὰ τὴν διήγησιν, τοῖς τοῦ Εὐφροσύνου προσπίπτει ποσίν, ἐκείνου δυσχεραίνοντος λίαν τῷ γινομένῳ, καὶ ὡς τὰ δεινότατα πάσχοντος οὕτως ὀλοφυρομένου ἐπὶ τῷ τῆς τιμῆς ὑπερβάλλοντι καὶ θρήνοις ἑαυτὸν συνταράσσοντος.

Μετὰ δὲ τοῦτο ὁ προεστώς, κρατήσας αὐτὸν τῆς χειρός, ἐν τῷ θυσιαστηρίῳ εἰσήγαγε· καὶ μελίσας τὰ τρία ἐκεῖνα μῆλα ἐν ἱερῷ σκεύει, πᾶσι τοῖς ἀδελφοῖς τούτων μετέδωκεν· ὁ δὲ νέος, μὴ φέρων τὰς ἐξ ἁπάντων τιμάς τε καὶ εὐφημίας, λάθρᾳ ἐκ τῆς Μονῆς ἐξελθών, ἀφανὴς γέγονε, τοὺς ἐξ ἀνθρώπων ἐπαίνους ψόγους ἀληθῶς καὶ ψυχῆς βλάβας μεγίστας εἰδώς, καὶ διὰ τοῦτο πόρρω αὐτῶν γενέσθαι νουνεχῶς τῷ ὄντι καὶ σωτηρίως αἱρετισάμενος.

Ἑρμηνεία

ΕΙΣ κάποιο Κοινόβιον ἐζοῦσεν ἕνας νέος Μοναχὸς ὀνομαζόμενος Εὐφρόσυνος. Αὐτὸς ὑπηρετοῦσε τὴν ἀδελφότητα ὡς μάγειρος εἰς τὸ μαγειρεῖον. Ἐπειδὴ δὲ εὑρίσκετο συνεχῶς ἀνακατωμένος μὲ τὴν στάκτην

καὶ τὴν ἀσβόλην (καπνιάν), οἱ πολλοὶ δὲν ἔδιδον εἰς αὐτὸν καμμίαν προσοχήν· ἔτσι κατώρθωνε νὰ ἀποκρύπτῃ τὴν λαμπρὰν ἀρετήν του. Διότι μὲ τὸ νὰ εἶναι πάντοτε γεμᾶτος στάκτην καὶ μαυρισμένος ἀπὸ τὴν καπνιάν, ἐγελοῦσαν μαζί του καὶ τὸν ἐνέπαιζαν οἱ ἀμελέστεροι ἀδελφοί, οἱ ὁποῖοι τὸν περιέλουαν συνεχῶς μὲ πειράγματα, ὕβρεις καὶ χλευασμούς· ἐλάμβανον δὲ ἀφορμὴν πρὸς τοῦτο ἀπὸ τὰ εὐτελῆ ἐνδύματά του, τὸ ἤρεμον πρόσωπόν του, τὴν σιωπήν του καὶ τὴν ἀνεξικακίαν του καὶ ἔτσι χωρὶς φόβον τὸν ἐνέπαιζαν, τὸν ἐξηυτέλιζαν καὶ τὸν ἐκτυποῦσαν ἀκόμη.

Ἐκεῖνος ὅμως μολονότι ἤκουε καὶ ὑφίστατο αὐτὰ κάθε ὥραν ἀπὸ τοὺς πολλούς, τὰ ὑπέμενε μὲ γενναιότητα, χωρὶς νὰ ἀντιμιλήσῃ ποτὲ σὲ κανένα, ἢ νὰ κατηγορήσῃ κανένα, ἢ νὰ θυμώσῃ δι' ὅσα ἐντελῶς ἄδικα τὸν ὕβριζαν καὶ τὸν ἐκτυποῦσαν ἀκόμη.

Ὁ Ἡγούμενος λοιπὸν τοῦ Μοναστηριοῦ ἐκείνου, ὁ ὁποῖος εἰς ὅλα ἐπολιτεύετο ὅπως ἤθελεν ὁ Θεὸς καὶ ἔτσι εἶχεν ἀποκτήσει μεγάλην παρρησίαν πρὸς τὸν Θεόν, ἐβασανίσθη κάποτε ἀπὸ τὸν ἑξῆς λογισμόν: Ἐπεθύμησε, δηλαδή, νὰ μάθῃ ἀκριβῶς, ποῖος ἀπὸ τὸ Μοναστήρι του, ἢ τὸ πνευματικόν του ποίμνιον εἶναι ἀνώτερος, κατὰ τὴν ἀρετήν, ἀπὸ τοὺς ὑπολοίπους ἀδελφοὺς καὶ διαφέρει ἀπὸ τοὺς ἄλλους κατὰ τὴν ἐφαρμογὴν τῶν ἐντολῶν τοῦ Θεοῦ.

Ἐπειδὴ δὲ διαρκῶς ἐβασανίζετο ἀπὸ αὐτὸν τὸν λογισμόν, παρεκάλεσεν ἐπιμόνως τὸν Θεὸν νὰ πραγματοποιηθῇ ἡ ἐπιθυμία του καὶ νὰ τοῦ φανερωθῇ ἐκεῖνος ποὺ ἔχει τὰ πρωτεῖα τῆς ἀρετῆς μεταξὺ τῶν ἀδελφῶν.

Καθὼς λοιπὸν προσηύχετο μόνος του μίαν νύκτα, περιέπεσεν εἰς ἔκστασιν καὶ ἀνηρπάγη εἰς κάποιον τόπον, ὁ ὁποῖος εἶχεν ἀπερίγραπτον χάριν καὶ ἐπροκαλοῦσε μεγάλην εὐχαρίστησιν· ἦτο δηλαδὴ γεμᾶτος ἀπὸ κάποιαν θαυμαστὴν εὐωδίαν καὶ ἐστολίζετο ἀπὸ κάθε εἴδους δένδρα. Οἱ καρποὶ τῶν δένδρων αὐτῶν δὲν ἦσαν ὅμοιοι μὲ κανένα ἀπὸ τοὺς καρποὺς τῶν γνωστῶν δένδρων, ἀλλὰ τελείως διαφορετικοὶ κατὰ τὴν ὡραιότητα καὶ τὸ μέγεθος, ἀνώτεροι ἀπὸ κάθε περιγραφήν. Ἔτρεχε δὲ κάτω ἀπὸ τὰ δένδρα αὐτὰ καθαρώτατον νερὸν καὶ ἦτο πράγματι ἐξαισία ἡ θέα καὶ ἡ ὡραιότης τοῦ τόπου.

Ὁ Ἡγούμενος, ὁ ὁποῖος ἔβλεπεν ὅλα αὐτά, εὐχαριστοῦσε τὸν αἴτιον τῶν ἀγαθῶν Θεὸν καὶ ἐκαλοτύχιζε τὸν ἑαυτόν του, διότι ἠξιώθη μιᾶς τόσον μεγάλης τιμῆς. Ἐπιθυμήσας κατόπιν τοὺς θαυμασίους ἐκείνους καρπούς, ἔτρεξε νὰ πιάσῃ μερικοὺς ἀπὸ αὐτούς, ἀλλὰ δὲν ἠμπόρεσε· διότι οἱ καρποί, μαζὶ μὲ τὰ κλαδιά, ἐπήγαιναν ὑψηλά. Ἀφοῦ δὲ ἐδοκίμασε πολλὰς φορὰς νὰ πραγματοποιήσῃ τὴν ἐπιθυμίαν του, χωρὶς ἀποτέλεσμα, καὶ ἔμεινε μὲ ἄδεια τὰ χέρια κάτω ἀπὸ τὰ δένδρα, βλέπει τὸν νέον ἐκεῖνον ἀδελφόν, τὸν ὠνοματισμένον μὲ τὸ ὄνομα τῆς χαρᾶς, τὸν Εὐφρόσυνον, μέσα εἰς ἐκεῖνον τὸν τερπνότατον Παράδεισον νὰ πο-

ρεύεται ἐμπρὸς ἀπὸ αὐτὸν καὶ νὰ ἀπολαμβάνῃ ἄφθονα ὅλα ὅσα εὑρίσκοντο ἐκεῖ, νὰ γέρνουν ἐμπρός του τὰ κλαδιὰ καὶ νὰ τοῦ προσφέρουν ἑτοίμους τοὺς καρπούς των, διὰ νὰ κόψῃ καὶ νὰ φάγῃ ὅποιον ἤθελε.

Ἔκπληκτος λοιπὸν ἀπὸ αὐτὸ τὸ παράδοξον θέαμα, τοῦ λέγει:

— Παιδί μου, Εὐφρόσυνε, ποῖος σέ ἔφερε καὶ σοῦ ἐπέτρεψε νὰ μένῃς ἐδῶ;

Καὶ ἐκεῖνος μὲ γελαστὸν πρόσωπον τοῦ ἀπαντᾷ:

— Πάτερ, ὁ μόνος φιλάνθρωπος, ὁ Θεός, μοῦ ἐνεπιστεύθη αὐτὰ τὰ ἀγαθὰ ποὺ βλέπεις, νὰ τὰ ἀπολαμβάνω καὶ νὰ τὰ ἔχω ὑπὸ τὴν ἐξουσίαν μου.

Ὁ Ἡγούμενος εἶπεν ἐκ δευτέρου:

— Καὶ ἠμπορεῖς τώρα νὰ μοῦ δώσῃς κάτι ἀπὸ αὐτά;

— Πάρε, Πάτερ, ὅσα θέλεις, ἀπήντησεν ὁ Εὐφρόσυνος.

— Ὄχι, παιδί μου, εἶπεν ὁ Ἡγούμενος· διότι, ἂν καὶ πολλάκις τὸ ἐδοκίμασα, δὲν ἠμπόρεσα.

Τότε ὁ Εὐφρόσυνος, ἀφοῦ ἐπλησίασεν ἕνα δένδρον μὲ θάρρος καὶ ἐπῆρε, μὲ τὸ χέρι του, ἀπὸ τοὺς καρπούς του, ἦσαν δὲ μῆλα ἐξαίσια, πράγματι, νὰ τὰ βλέπῃς καὶ νὰ τὰ μυρίζῃς, ἔδωσε τρία ἀπὸ αὐτὰ εἰς τὸν Γέροντα.

Ὁ Ἡγούμενος, ἀφοῦ τὰ παρέλαβε μὲ πολλὴν χαράν, συνῆλθεν ἀμέσως ἀπὸ τὴν ὀπτασίαν, καὶ εὑρῆκε πραγματικὰ εἰς τὰ χέρια του τὰ τρία ἐκεῖνα μῆλα. Γεμᾶτος δὲ φρίκην καὶ τρέμων ὁλόκληρος, διέταξεν ἀμέσως νὰ κτυπήσῃ τὸ τάλαντον· καὶ τότε μέν, ἀφοῦ ἔκαμε τὴν πρωϊνὴν ἀκολουθίαν μαζὶ μὲ τοὺς ἀδελφούς, δὲν εἶπεν εἰς κανένα τίποτε ἀπὸ ὅσα εἶδεν. Ὅταν ὅμως ἔφθασεν ἡ ὥρα τῆς Θείας Λειτουργίας καὶ εἶχαν συγκεντρωθῆ εἰς τὸν Ναὸν οἱ ἀδελφοὶ καὶ ἀφοῦ ἐλειτούργησεν ὁ ἴδιος καὶ ἐτέλεσε μαζὶ μὲ τοὺς ἀδελφοὺς τὴν θείαν Μυσταγωγίαν, μετὰ τὴν ἀπόλυσιν, ἐστάθη ἐμπρὸς εἰς τὴν Ἁγίαν Τράπεζαν καὶ φέρων ἀκόμη τὴν ἱερατικήν του στολήν, διέταξε νὰ καλέσουν τὸν ἀδελφὸν Εὐφρόσυνον.


Μερικοὶ τότε ἀπὸ τοὺς ἀδελφοὺς ἔτρεξαν εἰς τὸ μαγειρεῖον καὶ γρήγορα - γρήγορα τὸν ἔφεραν καὶ τὸν ὡδήγησαν ἐμπρὸς εἰς τὸν Ἡγούμενον ἔτσι καθὼς ἦτο μουντζουρωμένος εἰς τὸ πρόσωπον καὶ τὰ ἐνδύματά του γεμᾶτα ἀπὸ τὴν στάκτην καὶ τὴν ἀσβόλην (μουντζούρα) τοῦ μαγειρείου.

Τὸν ἐρωτᾷ λοιπὸν ὁ Ἡγούμενος·

— Παιδί μου, ποῦ εὑρίσκεσο αὐτὴν τὴν νύκτα;

Ἐκεῖνος ἐχαμήλωσε τὴν κεφαλὴν πρὸς τὴν γῆν καὶ δὲν ἀπαντοῦσε καθόλου.

Ἐπειδὴ ὅμως ὁ Ἡγούμενος ἐπέμενε πολὺ εἰς τὴν ἐρώτησιν καὶ τὸν ἐβίαζε νὰ ἀπαντήσῃ, ὁ νέος, γεμᾶτος δάκρυα, μὲ ἤρεμον καὶ ταπεινὴν φωνὴν τοῦ ἀπήντησε:


Ὁ ὅσιος Εὐφρό-
συνος:
Ράλλης
Κοψίδης
1962

— Δὲν γνωρίζεις, Πάτερ, ποῦ εὑρισκόμεθα καὶ οἱ δύο;

Τότε ὁ Ἡγούμενος, κυριευθεὶς ἀπὸ φρίκην, παρουσίασεν ἀμέσως τὰ τρία μῆλα καὶ τὸν ἐρωτᾷ:

— Μήπως τὰ ἀναγνωρίζεις αὐτά;

— Ναί, Πάτερ, ἀπαντᾷ ὁ Εὐφρόσυνος· διότι γνωρίζεις, ὅτι ἐγὼ σοῦ τὰ ἔδωσα, ἐπειδὴ μὲ διέταξες.

Λέγει λοιπὸν πρὸς αὐτόν, ἐνώπιον ὅλων ὁ Ἡγούμενος:

— Παιδί μου, Εὐφρόσυνε, εἶσαι μακάριος, διότι ἔχεις ἀξιωθῆ νὰ ἀπολαμβάνῃς τέτοια ἀγαθά· δι' αὐτό σὲ παρακαλῶ νὰ γίνῃς προστάτης καὶ τῆς ἰδικῆς μου ἀθλίας ψυχῆς. Ἐν συνεχείᾳ διηγήθη εἰς τοὺς ἀδελφοὺς ἐκεῖνα ποὺ εἶδεν εἰς τὴν ὀπτασίαν.

Κατόπιν ἔπεσεν εἰς τοὺς πόδας τοῦ Εὐφροσύνου, ἐνῷ ἐκεῖνος ἐστενοχωρεῖτο πάρα πολὺ δι' αὐτὸ ποὺ ἐγίνετο καί, ὡσὰν νὰ ἔπαθε μεγάλον κακόν, ἔκλαιε μὲ στεναγμούς, διὰ τὴν ὑπερβολικὴν τιμὴν καὶ ὁλόκληρος συνεταράσσετο ἀπὸ τοὺς θρήνους καὶ τὰ δάκρυα.

Κατόπιν ὁ Ἡγούμενος τὸν ἔπιασεν ἀπὸ τὸ χέρι καὶ τὸν ὡδήγησεν εἰς τὸ ἱερόν. Ἐκεῖ ἀφοῦ ἔκοψεν εἰς μικρὰ τεμάχια, μέσα εἰς ἕνα ἱερὸν σκεῦος, τὰ τρία ἐκεῖνα μῆλα, ἔδωσεν ἀπὸ αὐτὰ εἰς ὅλους τοὺς ἀδελφούς.

Ὁ δὲ νέος, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ δέχεται τὰς τιμὰς καὶ τὰ ἐγκώμια ἐκ μέρους ὅλων, ἔφυγεν κρυφὰ ἀπὸ τὸ Μοναστήρι καὶ ἐξηφανίσθη, διότι ἐθεωροῦσε τοὺς ἐπαίνους τῶν ἀνθρώπων ὡς κατηγορίας καὶ μεγίστην βλάβην τῆς ψυχῆς. Διὰ τοῦτο ἐπροτίμησε, μὲ πολλὴν σύνεσιν, διὰ νὰ ἐπιτύχῃ τὴν σωτηρίαν του, νὰ φύγῃ μακρὰν ἀπὸ αὐτὰς τὰς τιμάς.





ΥΠΟΘΕΣΙΣ Β΄

Ὅτι ἡ μὲν ἐξουδένωσις τὴν ταπείνωσιν, ἡ δὲ τιμὴ τὴν ὑπερηφανίαν προξενεῖν πέφυκε, διὸ καὶ οἱ ταπεινόφρονες ἐξουδενούμενοι μὲν χαίρουσι, τιμώμενοι δὲ λυποῦνται.

Ἐκ φύσεως ἡ μὲν ἐξουδένωσις προξενεῖ ταπείνωσιν, ἡ δὲ τιμὴ τὴν ὑπερηφάνειαν· δι᾽ αὐτὸ καὶ οἱ ταπεινόφρονες ὅταν μὲν περιφρονοῦνται χαίρουν, ἐνῷ ὅταν τιμῶνται λυποῦνται.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΚΩΝΣΤΑΝΤΙΝΟΣ τις, ἀνὴρ εὐλαβέστατος, πλησίον τῆς πόλεως Ἀγκώνων κατοικῶν, ἐν τῷ ναῷ διηκόνει Στεφάνου τοῦ Πρωτομάρτυρος. Καί ποτε ἐκλιπόντος αὐτῷ τοῦ ἐλαίου μὴ ἔχων ὅθεν τὰς κανδήλας σκευάσει, ὕδατος αὐτὰς πλήσας καὶ ὡς ἔθος ἑκάστῃ ἐνθέμενος τὸ ἀπτρίν, προσαγαγὼν τὸ πῦρ ἧψεν, οὕτω δὲ τὸ ὕδωρ ἐν ταῖς κανδήλαις ἧψεν ὥς περ ἔλαιον. Ὁ οὖν τοιοῦτος ἀνήρ, ἄκουσον καὶ ποίαν εἶχε ταπείνωσιν. Τῆς γὰρ περὶ αὐτοῦ φήμης μέχρι πολλοῦ διαδραμούσης, διὰ τὰς δυνάμεις ἃς ἐνήργει δι᾽ αὐτοῦ ὁ Θεός, καὶ πολλῶν ἐκ διαφόρων τόπων συντρεχόντων ἵνα αὐτὸν ἴδωσι, γεωργός τις μήκοθεν καὶ αὐτὸς παραγέγονεν ἐπὶ τῷ τοῦτον θεάσασθαι.

Ἔτυχε δὲ τότε τὸν ἅγιον ἐν ξυλίνῳ τετραποδίῳ ἱστάμενον τὰς κανδήλας σκευάζειν· πάνυ δὲ βραχὺς ὑπῆρχε τῇ ἡλικίᾳ καὶ τὸ σῶμα ἰσχνὸς καὶ ἀειδὴς τῇ μορφῇ. Ὁ οὖν γεωργὸς ζητῶν ἐπιμελῶς δειχθῆναι αὐτῷ τίς ἐστιν ὁ εὐλαβέστατος ἀνὴρ Κωνσταντῖνος, οἱ παρόντες τῷ γεωργῷ τοῦτον ὑπέδειξαν. Ὁ δέ, ὥς περ ἐκ τῆς τοῦ σώματος κατασκευῆς τὴν ἀρετὴν ὁριζόμενος, ἰδὼν αὐτὸν οὕτω βραχὺν καὶ ἰσχνὸν ὄντα, διελογίζετο ἐν ἑαυτῷ μὴ τοῦτον εἶναι, ὃν διὰ τῆς φήμης μέγαν εἶναι ἀκήκοεν.

Ὡς δὲ παρὰ πολλῶν ἔμαθε τοῦτον εἶναι ἀληθῶς καὶ οὐκ ἄλλον τὸν εὐλαβῆ Κωνσταντῖνον, ἀπὸ τοῦ σχήματος αὐτὸν καὶ τοῦ εἴδους τοῦ σώματος βδελυξάμενος, καταγελῶν ἔφη· ἐγὼ ἄνθρωπον προσεδόκων ἰδεῖν, οὗτος δὲ ἀνθρώπου οὐδὲν ἔχει. Τοῦτο οὖν ἀκούσας ὁ τοῦ Θεοῦ ἄνθρωπος, τὰς κανδήλας καταλιπών, μετὰ σπουδῆς εἰς τὸν τοῦ γεωργοῦ ἀσπασμὸν ἔδραμε· καὶ περιχυθεὶς αὐτῷ, ἤρξατο

καταφιλεῖν τοῦτον γνησίως καὶ μεγάλας ὁμολογεῖν αὐτῷ χάριτας, ὅτι περὶ αὐτοῦ οὕτως ἔκρινεν· ἔλεγε γὰρ αὐτῷ, ὅτι σὺ μόνος τοὺς ὀφθαλμούς σου ἔχεις ἀνεῳγμένους εἰς ἐμέ.

Καταβόησον οὖν, Πέτρε, πόσην ὁ θαυμαστὸς οὗτος ἀνὴρ εἶχε ταπείνωσιν, ὅς τις τὸν βδελυσσόμενον αὐτὸν γεωργὸν περισσοτέρως μᾶλλον ἠγάπησεν· ἑκάστου γὰρ τὴν ἔνδον κεκρυμμένην διάθεσιν ἡ προσαγομένη ἐκτὸς ὕβρις δοκιμάζει. Ὡς γὰρ οἱ ὑπερήφανοι ταῖς τιμαῖς, οὕτως οἱ ταπεινόφρονες ταῖς ἀτιμίαις καὶ ἐξουδενώσεσι χαίρουσι καὶ μᾶλλον εὐφραίνονται, εἰ ὑπὸ πολλῶν ὀφθαλμοῖς τὰ τῶν ἀτιμιῶν πάσχουσιν. Ἐξουδενούμενοι γάρ, τότε τὴν ἰδίαν κρίσιν, ἣν περὶ ἑαυτῶν εἶχον, βεβαίαν εἶναι πιστεύουσιν, ὅτι ὁποίους ἑαυτοὺς εἶχον, τοιοῦτοι καὶ παρὰ τοῖς ἀνθρώποις ἐνομίσθησαν.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ Κωνσταντῖνος, ἄνθρωπος πάρα πολὺ εὐλαβής, ὁ ὁποῖος κατοικοῦσε κοντὰ εἰς τὴν πόλιν Ἀγκῶνα*, ὑπηρέτει εἰς τὸν ναὸν τοῦ Πρωτομάρτυρος Στεφάνου. Κάποτε τοῦ ἐτελείωσε τὸ λάδι καὶ ἐπειδὴ δὲν εἶχε μὲ τί νὰ ἀνάψη τὰ κανδήλια, ἀφοῦ τὰ ἐγέμισε μὲ νερὸν καὶ ἔβαλε τὸ συνηθισμένον φιτίλι εἰς τὸ καθένα ἀπ' αὐτά, τὰ ἤναψε ὡς ἐὰν εἶχαν λάδι.

Αὐτὸς λοιπὸν ὁ ἄνθρωπος, ὁ ὁποῖος ἔκανε τέτοια θαύματα, ἄκουσε πόσην ταπείνωσιν εἶχεν. Ἐπειδὴ ἡ φήμη του εἶχε φθάσει μακράν, διὰ τὰ θαύματα ποὺ ἔκανε δι' αὐτοῦ ὁ Θεός, καὶ ἀρκετοὶ προσέτρεχαν ἀπὸ διάφορα μέρη διὰ νὰ τὸν ἴδουν, ἦλθε καὶ κάποιος γεωργὸς ἀπὸ πολὺ μακρὰν διὰ νὰ τὸν ἴδη.

Ἔτυχε δὲ τότε ὁ Ἅγιος νὰ εἶναι ἀνεβασμένος ἐπάνω εἰς ἕνα τετράποδον ξύλινον σκαμνὶ καὶ νὰ ἑτοιμάζη τὰ κανδήλια· ἦτο δὲ πολὺ κοντὸς εἰς τὸ ἀνάστημα, μὲ ἀδύνατον σῶμα καὶ ἄσχημον πρόσωπον. Ὁ γεωργὸς λοιπὸν ἀνεζήτει ἐπιμόνως νὰ τοῦ δείξουν ποῖος εἶναι ὁ εὐλαβέστατος ἄνθρωπος Κωνσταντῖνος· οἱ παρευρισκόμενοι ἔδειξαν εἰς τὸν γεωργὸν ἐκεῖνον (ποὺ ἦτο ἀνεβασμένος εἰς τὸ σκαμνί).

Ὁ γεωργὸς τότε, ὡς νὰ ἔκρινε τὴν ἀρετὴν τοῦ ἀνθρώπου ἀπὸ

---

* Ὁ Ἀγκὼν εἶναι πόλις τῆς Ἰταλίας ἐπὶ τῆς ἀκτῆς τῆς Ἀδριατικῆς θαλάσσης, κτισθεῖσα ὑπὸ Ἑλλήνων ἐκ Σικελίας κατὰ τὸ 394 π.Χ. Ὑπὸ τῶν Ἰταλῶν καλεῖται σήμερον Ἀνκόνα (Ancona), ἔχει δὲ περὶ τὰς 85.000 κατοίκων. Ὁ πρῶτος ναὸς τῆς πόλεως εἶναι ὁ τοῦ Ἁγίου Στεφάνου, κτισθεὶς ἐπὶ τοῦ Ἀσκανίου λόφου (ἰταλιστὶ Capodimonte), ὀνομαστὸν χριστιανικὸν προσκύνημα. Κατὰ τὴν παράδοσιν, τὴν ὁποίαν ἀναφέρει ὁ ἱερὸς Αὐγουστῖνος, ὁ ναὸς αὐτὸς ἐκτίσθη ἐπὶ λίθου, ἐξ ἐκείνων οἱ ὁποῖοι ἐρρίφθησαν κατὰ τοῦ Πρωτομάρτυρος Στεφάνου κατὰ τὸν λιθοβολισμὸν αὐτοῦ ὑπὸ τῶν Ἑβραίων. Τὸν λίθον αὐτὸν μετέφερεν ἀπὸ τὰ Ἱεροσόλυμα κάποιος εὐσεβὴς ἄνθρωπος, ὁ ὁποῖος παρίστατο κατὰ τὸν λιθοβολισμόν, ἔγινε δὲ ἀπόστολος τοῦ Χριστιανισμοῦ εἰς τὸν Ἀγκῶνα.

τὴν κατασκευὴν τοῦ σώματος, μόλις τὸν εἶδε τόσον κοντὸν καὶ ἀδύνατον, ἐσκέπτετο μήπως δὲν εἶναι αὐτός, ποὺ εἶχεν ἀκούσει, ἀπὸ τὴν φήμην του, ὅτι ἦτο μεγάλος.

Ὅταν ὅμως ἔμαθεν ἀπὸ πολλούς, ὅτι αὐτὸς πραγματικὰ εἶναι ὁ εὐλαβὴς Κωνσταντῖνος καὶ ὄχι ἄλλος, τὸν ἐσιχάθηκεν ἀπὸ τὸ σχῆμα του καὶ τὴν σωματικήν του κατασκευὴν καὶ εἶπεν εἰρωνικά:

— Ἐγὼ ἐπερίμενα νὰ ἴδω ἄνθρωπον· αὐτὸς ὅμως δὲν ἔχει καμμίαν ὁμοιότητα μὲ ἄνθρωπον. Μόλις ἤκουσε τοὺς λόγους αὐτοὺς ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἄφησε τὰ κανδήλια καὶ τρέχει γρήγορα νὰ ἀσπασθῇ τὸν γεωργόν. Ἀφοῦ τὸν ἀγκάλιασεν, ἤρχισε νὰ τὸν φιλῇ εἰλικρινὰ καὶ νὰ διακηρύσσῃ ὅτι τοῦ χρεωστεῖ μεγάλην χάριν, διὰ τὴν κρίσιν ποὺ ἔκαμε δι' αὐτόν. Ἔλεγε δὲ πρὸς τὸν γεωργόν:

— Σὺ μονάχα ἔχεις ἀνοικτὰ τὰ μάτια, γιὰ νὰ ἴδῃς ποιὸς εἶμαι.

Σκέψου λοιπόν, Πέτρε, πόσην ταπείνωσιν εἶχεν ὁ ἀξιοθαύμαστος ἐκεῖνος ἄνθρωπος, ὥστε ἠγάπησε, μὲ περισσὴν ἀγάπην, τὸν γεωργὸν ἐκεῖνον, ὁ ὁποῖος τὸν ἐσιχάθη. Διότι τὴν διάθεσιν, ποὺ ἔχει ὁ καθένας κρυμμένην μέσα του, φανερώνει ἡ προσβλητικὴ ὕβρις, ποὺ τοῦ γίνεται ἀπ' ἔξω.

Ὅπως δηλαδὴ οἱ ὑπερήφανοι ἱκανοποιοῦνται εἰς τὰς τιμάς, ἔτσι καὶ οἱ ταπεινόφρονες χαίρουν καὶ ἐξαιρετικῶς εὐχαριστοῦνται εἰς τὰς προσβολὰς καὶ τὴν περιφρόνησιν ποὺ τοὺς γίνονται, ἐὰν δηλαδὴ διὰ τὰ μάτια τῶν πολλῶν θεωροῦνται ἀξιοκαταφρόνητοι.

Ὅταν, δηλαδή, ἐξουθενώνωνται ἀπὸ τοὺς ἄλλους, τότε τὴν γνώμην, ποὺ ἔχουν οἱ ἴδιοι διὰ τὸν ἑαυτόν των, τὴν θεωροῦν ὡς ὀρθήν· διότι ὅπως ἐθεώρουν τοὺς ἑαυτούς των, ἔτσι καὶ ἀπὸ τοὺς ἄλλους νομίζονται.

Β'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Ἐφραὶμ

ΤΩι ΘΑΥΜΑΣΤΩι Ἐφραὶμ πρὸς ταῖς ἄλλαις αὐτοῦ ἀρεταῖς καὶ τοῦτο προσῆν, τὸ πρὸς τοὺς ἐπαίνους λίαν εὐλαβῶς ἔχειν καὶ τοὺς εὐφημοῦντας αὐτὸν οὐ μόνον οὐχὶ προσίεσθαι, ἀλλὰ καὶ φανερῶς αὐτοῖς ἄχθεσθαι, ὥς περ τοῖς κωμῳδοῦσιν ἕτερος καὶ λοιδορουμένοις, ἐρυθριᾶν τε καὶ εἰς γῆν βλέπειν, καὶ χρόαν μὲν ἄλλοτε ἄλλην τῆς ὄψεως ἀμείβειν, ἱδρῶτι δὲ λεπτῷ στάζεσθαι καὶ παντελῶς ἄφωνον μένειν, καθάπερ τῆς αἰσχύνης αὐτῷ τὴν φωνὴν ἐπεχούσης.

Ἑρμηνεία

Ο ΘΑΥΜΑΣΙΟΣ Ἐφραὶμ κοντὰ εἰς τὰς ἄλλας ἀρετάς του εἶχεν ἀκόμη καὶ αὐτὸ τὸ προτέρημα· τὸ νὰ φοβᾶται, δηλαδή, καὶ νὰ ἀποφεύγῃ τοὺς ἐπαίνους καὶ ὄχι μόνον νὰ μὴ πλησιάζῃ αὐτοὺς ποὺ τὸν ἐπαινοῦσαν, ἀλλὰ καὶ φανερὰ νὰ δυσαρεστῆται μαζί των, ὅπως ἕνας ἄλλος θὰ ἐστενοχωρεῖτο ἐναντίον ἐκείνων, ποὺ τὸν γελοιοποιοῦν καὶ τὸν περιπαίζουν. Ὅταν τὸν ἐπαινοῦσαν ἐκοκκίνιζεν, ἤλλασσε χρώματα τὸ

πρόσωπόν του, περιλούετο ἀπὸ λεπτὸν ἱδρῶτα καὶ ἔμενε τελείως ἄφωνος, ὡς ἐὰν ἡ ἐντροπὴ νὰ τοῦ ἔκοβε τὴν φωνήν.

Γ´. Ἐν τῷ βίῳ τῆς Ὁσίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς ἐλθούσας πρὸς αὐτήν, ὅτι ὥς περ ὁ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ἡ ψυχὴ ὑπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν ἑαυτῆς τόνον. Τὸ δὲ ἐναντίον, ὥς περ ἡ ψῦξις τὸν ὑπὸ τῆς θερμότητος διαλυθέντα κηρὸν πεπηγότα καὶ συνεστῶτα ἀπεργάζεται, οὕτω καὶ ὕβρις καὶ ἐξουδένωσις συσφίγγει αὐτήν, καὶ στερεὰν ἀποδείκνυσιν· «χαίρετε γάρ, φησι, καὶ ἀγαλλιᾶσθε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι», καὶ τὰ ἑξῆς· καὶ ἀλλαχοῦ· «ἐν θλίψει ἐπλάτυνάς με».

Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ κεφάλαιον τῶν ἀρετῶν, τὴν ταπεινοφροσύνην ἡ ἐξουδένωσις μάλιστα ἐμποιεῖν πέφυκε τῇ ψυχῇ. Νεῦρα γὰρ ὄντως τῆς ταπεινοφροσύνης εἰσὶν οἱ ὀνειδισμοί, αἱ ὕβρεις, αἱ πληγαί, αἱ ἐξουδενώσεις, ἵνα ἀκούσῃ τις, ἄφρων, πένης, εὐτελής, ἀσθενής, ἀπρόκοπος ἐν ἔργοις, ἄλογος ἐν προφορᾷ, ἄτιμος ἐν εἴδει.

Ταῦτα καὶ τὰ τοιαῦτα ἰσχυροποιοῦσι τὴν ταπείνωσιν· καὶ ὁ Κύριος ἡμῶν ...ἰ ἤκουσε καὶ ἔπαθε· Σαμαρείτην γὰρ αὐτὸν εἶπον καὶ δαιμόνιον ἔχοντα· ἐρραπίσθη, πληγαῖς ᾐκίσθη, κακοῦργος καὶ πλάνος ἐκλήθη. Δεῖ οὖν καὶ ἡμᾶς μιμεῖσθαι τὴν ἔμπρακτον ταύτην ταπεινοφροσύνην· εἰσὶ γάρ τινες καὶ διὰ μὲν τῶν ἐκτὸς σχημάτων ὑποκρίνονται τὴν ταπείνωσιν, καὶ ἐκ τούτου δόξαν θηρώμενοι, ἐκ δὲ τῶν καρπῶν ἐπιγινώσκονται. Καὶ γὰρ ἐπιπολαίως ὑβρισθέντες οὐκ ἤνεγκαν, ἀλλ᾽ εὐθύς, ὥς περ ὄφεις, τὸν ἑαυτῶν ἰὸν ἐξήμεσαν.

Ἑ ρ μ η ν ε ί α

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγε πρὸς ἐκείνας ποὺ τὴν ἐπεσκέφθησαν, ὅτι ὅπως τὸ κερὶ λειώνει κοντὰ εἰς τὴν φωτιάν, ἔτσι καὶ ἡ ψυχὴ παραλύει ἀπὸ τοὺς ἐπαίνους καὶ χάνει τὴν δύναμίν της. Ἀντιθέτως ὅπως ἡ ψῦξις τὸ κερί, ποὺ διελύθη ἀπὸ τὴν θερμότητα, τὸ πήζει καὶ τὸ κάνει στερεόν, ἔτσι καὶ ἡ ὕβρις καὶ ἡ καταφρόνησις συσφίγγουν τὴν ψυχὴν καὶ τὴν στερεώνουν. Διότι, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφὴ «νὰ χαίρετε καὶ νὰ εὐχαριστῆσθε, ὅταν σᾶς ὀνειδίσουν καὶ σᾶς καταδιώξουν» (Ματθ. ε´, 11) καὶ τὰ ὑπόλοιπα. Καὶ εἰς ἄλλο, πάλιν, μέρος· «μὲ τὴν θλῖψιν μὲ ἔκανες μεγάλον» (Ψαλμ. δ´, 1).

Ὄχι δὲ μόνον αὐτὸ ἀλλὰ καὶ τὴν σπουδαιοτέραν τῶν ἀρετῶν, τὴν ταπεινοφροσύνην δηλαδή, ἡ ἐξουδένωσις εἶναι ἐκείνη ποὺ τὴν ἐμφυτεύει, ἐκ φύσεως, μέσα εἰς τὴν ψυχήν. Διότι, πραγματικά, νεῦρα τῆς ταπεινοφροσύνης εἶναι οἱ χλευασμοί, αἱ ὕβρεις, τὰ κτυπήματα, ἡ περιφρόνησις, ποὺ μᾶς κάνουν· τὸ νὰ ἀκούσῃ κανεὶς νὰ τοῦ λέγουν εἶσαι ἄμυαλος, πτωχός, τιποτένιος, ἀρρωστιάρης, ἀπρόκοπτος εἰς τὴν ἐργασίαν, λέγεις ἀνοησίας, ἔχεις ἐλεεινὴν μορφήν.

Αὐτὰ καὶ τὰ παρόμοια δυναμώνουν τὴν ταπείνωσιν· αὐτὰ ἤκουσε

καὶ αὐτὰ ἔπαθε καὶ ὁ Κύριός μας. Τὸν εἶπαν, δηλαδή, Σαμαρείτην, ὅτι ἔχει δαιμόνιον (Ἰωάν. η', 48)· ἐρραπίσθη, ἐπληγώθη, τὸν εἶπαν πλάνον καὶ κακοῦργον. Πρέπει λοιπὸν καὶ ἡμεῖς νὰ μιμούμεθα αὐτὴν τὴν ἔμπρακτον ταπεινοφροσύνην τοῦ Κυρίου. Διότι ὑπάρχουν καὶ μερικοί, ποὺ ὑποκρίνονται τοὺς ταπεινοὺς μὲ ἐξωτερικὰ σχήματα, καὶ ἐπιδιώκουν μὲ αὐτὸ τὴν δόξαν τῶν ἀνθρώπων, ἀπὸ τοὺς καρποὺς ὅμως γνωρίζονται ὅτι δὲν εἶναι ταπεινοί· ἐπειδὴ καὶ ὅταν ὀλίγον ὑβρίσθησαν, δὲν τὸ ἠνέχθησαν, ἀλλ' ἀμέσως ὡς ὄφεις ἔχυσαν τὸ δηλητήριόν των.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΤΩι ΘΑΥΜΑΣΤΩι Ἰωάννῃ τῷ Πατριάρχῃ ἀνεψιὸς ἦν Γεώργιος τοὔνομα· οὗτος, ὑβρισθεὶς παρά τινος τῶν καπήλων τῆς πόλεως, ἰσχυρῶς τε ἐδήχθη καὶ χαλεπώτατα ἤνεγκε· τοῦτο γὰρ ἐποίει τὸ πολὺ εἶναι τὸ μεταξὺ ἀμφοτέρων, ἢ τε πρὸς τὸν μέγαν αὐτοῦ ἀγχιστεία, καὶ τὸ πάνυ τοῦ ὑβρίσαντος αὐτὸν ἐξουδενωμένον. Προσέρχεται τοίνυν κατὰ μόνας τῷ μακαρίῳ δάκρυσιν ὁ νέος καὶ συνοχῇ καρδίας τὴν ὕβριν ἀνακλαιόμενος.

Ὁ δὲ οὕτως ἰδὼν ἡττηθέντα τοῦ πάθους, καταψᾷν αὐτὸν ὥς περ καὶ ἀναλαμβάνειν βουλόμενος, καὶ ὅλως ἐτόλμησε, φησί, κατὰ σοῦ στόμα διᾶραι; ὅλως καθυβρίσαι τὸν ἐμοὶ φίλτατον; Εὐλογητὸς Κύριος· πρᾶγμα ἐπ' αὐτῷ ποιήσω, ὥς τε πᾶσαν ἐκπλαγῆναι τὴν Ἀλεξάνδρειαν. Ὡς δὲ εἶδεν ἐπὶ τῷ λόγῳ βραχύ τι ἀνεθέντα τῆς ἀθυμίας, τέκνον, εἶπεν, ἐμοὶ ποθεινότατον· εἰ ταῖς ἀληθείαις βούλει ἐμὸς ἀνεψιὸς καὶ εἶναι καὶ ὀνομάζεσθαι, παρασκεύασον σαυτὸν οὐ πρὸς ὕβρεις μόνον, ἀλλ' εἰ δεῖ τι καὶ πλέον εἰπεῖν, καὶ πρὸς αὐτὰς τὰς μάστιγας. Ἡ γὰρ ἀληθὴς εὐγένεια οὐκ ἐξ αἵματος καὶ σαρκός, ἀλλ' ἐκ τῆς ψυχικῆς ἀρετῆς οἶδε χαρακτηρίζεσθαι.

Τὸ τάχος οὖν τὸν τῶν καπήλων ἐξάρχοντα μετακαλεσάμενος, παραγγελίᾳ παρήγγειλε μηδέποτε τοῦ λοιποῦ παρὰ τοῦ ἐξυβρικότος εἰς τὸν ἀνεψιὸν τὸ σύνηθες τέλος λαβεῖν ἢ ἄλλο τι τῶν κατὰ συνήθειαν τῇ Ἐκκλησίᾳ παρ' αὐτοῦ διδομένων· ἐφ' οἷς ἐκπλαγέντες τὸ ἀπαράβλητον τῆς τοῦ ἀνδρὸς ἀνεξικακίας, συνῆκαν ἅπαντες ταύτην εἶναι τὴν τιμωρίαν, ἣν πᾶσα ἡ Ἀλεξάνδρεια ἐκπλαγήσεσθαι ἔμελλεν.

Ἑρμηνεία

Ο ΘΑΥΜΑΣΤΟΣ Ἰωάννης ὁ Πατριάρχης εἶχεν ἕνα ἀνεψιόν, τὸν ὁποῖον ἔλεγον Γεώργιον. Αὐτὸς λοιπὸν ὑβρίσθη κάποτε ἀπὸ κάποιον ταβερνιάρην τῆς πόλεως· ἀπὸ αὐτὸ προσεβλήθη πάρα πολὺ καὶ τὸ ἔφερε βαρέως. Αἰτία ἦτο ἡ μεγάλη κοινωνικὴ διαφορά, ποὺ ὠφείλετο ἀφ' ἑνὸς μὲν εἰς τὴν συγγένειάν του πρὸς τὸν μεγάλον Πατριάρχην, ἀφ' ἑτέρου δὲ εἰς τὴν ἀσημαντότητα αὐτοῦ ποὺ τὸν ὕβρισε. Παρουσιάζεται λοιπὸν μόνος του εἰς τὸν μακάριον καὶ τοῦ παραπονεῖται, μὲ δάκρυα καὶ σφιγμένην τὴν καρδίαν, διὰ τὴν προσβολὴν ποὺ τοῦ ἔγινε.

Ὁ Πατριάρχης Ἰωάννης, ὅταν εἶδε τὸν ἀνεψιόν του νὰ ἔχῃ νικηθῆ ἀπὸ τὸ πάθος καὶ ἐπιθυμῶν νὰ τὸν παρηγορήσῃ καὶ νὰ τοῦ δώσῃ θάρρος, τοῦ λέγει· ἐτόλμησεν αὐτὸς νὰ ἀνοίξῃ τὸ στόμα του καὶ νὰ προσβάλῃ τόσον πολὺ τὸν πολυαγαπημένον μου ἀνεψιόν; Ἂς εἶναι εὐλογημένος ὁ Κύριος· θὰ τοῦ κάνω κάτι, ποὺ νὰ ξαφνιασθῇ ὅλη ἡ Ἀλεξάνδρεια. Μόλις δὲ τὸν εἶδεν ὅτι παρηγορήθη ὀλίγον ἀπὸ τὴν στενοχωρίαν του μὲ τοὺς λόγους αὐτούς, προσέθεσε· περιπόθητον παιδί μου, ἂν πραγματικὰ θέλῃς νὰ εἶσαι καὶ νὰ ὀνομάζεσαι ἀνεψιός μου, νὰ εἶσαι προετοιμασμένος ὄχι μόνον νὰ δέχεσαι ὕβρεις, ἀλλά, ἂν πρέπει καὶ κάτι παραπάνω νὰ εἰπῶ, ἀκόμη καὶ μαστιγώσεις. Διότι ἡ πραγματικὴ εὐγένεια δὲν χαρακτηρίζεται ἀπὸ τὴν σαρκικὴν συγγένειαν, ἀλλὰ ἀπὸ τὴν ἀρετὴν τῆς ψυχῆς.

Ἐν συνεχείᾳ ἐκάλεσεν ἀμέσως τὸν ἐπόπτην τῶν ταβερνιάρηδων καὶ τοῦ παρήγγειλε ποτὲ πλέον νὰ μὴ δεχθῇ τὴν συνηθισμένην συνδρομὴν ἢ ὁποιανδήποτε ἄλλην εἰσφορὰν διὰ τὴν Ἐκκλησίαν, ἀπὸ αὐτόν, ὁ ὁποῖος ἐξύβρισε τὸν ἀνεψιόν του. Μὲ αὐτὸ ἐθαύμασαν τὴν ἀσύγκριτον ἀνεξικακίαν τοῦ Ἁγίου ὅλοι καὶ ἠννόησαν ὅτι αὐτὴ ἦτο ἡ τιμωρία τοῦ ταβερνιάρη, διὰ τὴν ὁποίαν ἐπρόκειτο νὰ ἀπορήσῃ ὁλόκληρος ἡ Ἀλεξάνδρεια.

Ε'. Ἐν τῇ διηγήσει τῶν περιόδων τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου

Ο ΑΠΟΣΤΟΛΟΣ Ἰωάννης διασωθεὶς ἐκ τοῦ φοβεροῦ ἐκείνου ναυαγίου μετὰ τεσσαράκοντα ἡμέρας καὶ ἐκβρασθεὶς ὑπὸ τῆς θαλάσσης πλησίον Ἐφέσου, ὡς εὗρε κἀμὲ τὸν Πρόχορον ἐν τῷ αἰγιαλῷ ἐκείνῳ ἱστάμενον, καθὼς μοι πρὸ τοῦ ναυαγίου παρήγγειλε, περιχυθείς μοι καὶ εὐχαριστήσας τῷ Θεῷ, εἶτα παραλαβών με, εἰσήλθομεν εἰς Ἔφεσον καὶ κατελύσαμεν πρὸς τῷ καλουμένῳ τῆς Ἀρτέμιδος τόπῳ, ἔνθα καὶ βαλανεῖον ἦν Διοσκορίδους τινὸς πρώτου τῆς πόλεως. Εἶπεν οὖν μοι ὁ Ἰωάννης· τέκνον Πρόχορε, μηδεὶς τῶν ἐν τῇ πόλει ταύτῃ γνώτω τίνες ἐσμέν, καὶ δι' ἥν τινα αἰτίαν ἐνταῦθα ἤλθομεν, ἕως ἂν ὁ Κύριος ἀποκαλύψῃ ἡμᾶς καὶ σχῶμεν παρρησίαν.

Ταῦτα δὲ αὐτοῦ λαλοῦντος, ἐπέστη Ῥωμάνα, γύναιόν τι σοβαρὸν ὑπὸ τὴν ἐξουσίαν τοῦ Διοσκορίδους τελοῦν καὶ τὴν τοῦ βαλανείου αὐτοῦ ποιούμενον πρόνοιαν· ἦν δὲ τοῖς πᾶσι φευκτόν, διὰ τὴν ὑπερβολὴν τῆς ὠμότητος. Αὕτη προνοοῦσα τοῦ βαλανείου, εἶδεν ἡμᾶς· καὶ λογισαμένη ὅσον ἀπὸ τῆς εὐτελείας τοῦ σχήματος, ἄρτου τε εἶναι ἐπιδεεῖς καὶ τῷ βαλανείῳ ταύτης γενέσθαι χρησίμους διὰ τὴν ἀπορίαν, μηδὲ μεγάλους μισθοὺς ἀπαιτήσοντας, παραυτίκα λέγει τῷ Ἰωάννῃ· πόθεν ἐστέ, ἄνθρωπε; καὶ ποίας θρησκείας; Ὁ δὲ ἔφη· ἐξ ἀλλοδαπῆς τυγχάνομεν γῆς, Ἰουδαῖοι τὴν ῥίζαν, Χριστιανοὶ τὴν χάριν, ναυαγίου ἄρτι διασωθέντες. Ἡ δὲ πρὸς αὐτόν· θέλεις μοι καίειν αὐτὸς μὲν τὴν κάμινον τοῦ βαλανείου, ὁ σὸς δὲ ἑταῖρος τὸ ἔνδον ἔργον τοῦ λουτροῦ ἐπιτελεῖν; καὶ ὁ Ἰωάννης κατέθετο.

Εἰσήγαγεν οὖν ἡμᾶς εὐθὺς εἰς τὸ βαλανεῖον καὶ ἐν τοῖς τοιούτοις κατέτα-

ξεν ἔργοις· ἐπεχορήγει δὲ ἡμῖν εἰς τροφὴν ἡμερήσιον λίτρας ἄρτου τρεῖς καὶ ὀβολοὺς τέσσαρας. Τῇ οὖν τετάρτῃ ἡμέρᾳ τῆς ἐκεῖσε διατριβῆς ἡμῶν ἀτεχνότερόν πως ὁ Ἰωάννης περὶ τὸ ἔργον τῆς καμίνου διατεθείς, τῆς συμμετρίας ἐξέπεσε τῆς ἐκκαύσεως.

Ἐλθοῦσα δὲ ἡ Ῥωμάνα καὶ κατανοήσασα τοῦτο, ἀναίδην τὸν Ἰωάννην αὐτοχειρίᾳ ἐτύπτησε καὶ τῷ ἐδάφει προσρήξασα διελοιδορεῖτο βοῶσα· πελάτα, φυγόπολι, κακὴ τύχη, ἐξόριστε, εἰς οὐδὲν χρησιμεύειν δυνάμενος, διατὶ τοιούτου ἔργου ὑπῆλθες τὴν πρόνοιαν; ἐπιθέτης εἶ ὡς ἔοικεν· ἐγὼ διελέγξω τὰς μηχανάς σου· Ῥωμάνῃ δουλεύεις, τῇ καὶ μέχρι Ῥώμης διαβοήτῳ· δοῦλος ἐμὸς εἶ τοῦ λοιποῦ. Μὴ οἴου διαφυγεῖν τῆς σῆς κυρίας τὰς χεῖρας, εὐμαρῶς δυναμένης σε συλλαβεῖν, εἴ ποτε τοῦτο τολμήσειας, καὶ κακηγκάκως ἐξαναλῶσαι· ἄμειψαι οὖν σου τὴν κακότροπον γνώμην, καὶ ὥς περ τῇ τῆς τροφῆς χρείᾳ ἡδέως οὕτω καὶ τῷ ἔργῳ σου πρόσεχε, πρὶν οἰκτιρμῶν δίχα διαφθαρῇς.

Ὁ δὲ Ἰωάννης πρὸς αὐτήν· κυρία, νεωστὶ ἀπηρξάμην τοῦ ἔργου, ἀμαθὴς ὢν τούτου τὸ πρότερον· ὁ χρόνος δέ, πιστεύσας τὴν πεῖραν, καὶ τὸ χρησιμεύειν χαρίσεται. Ἐπὶ τούτοις ἀπῆλθε τὸ γύναιον· ἐμοὶ δὲ βαρυτάτη ἀθυμίας ἀχλὺς κατεσκεδάσθη ἐπὶ τοῖς τῷ Ἰωάννῃ ἀθρόον οὕτω συναχθεῖσι καὶ ἀπηνῶς· καὶ ταῦτα, μηδὲ τέτταρας ὅλας ἡμέρας ἡμῶν ἐν τῷ τόπῳ διηνυκότων.

Γνοὺς δὲ ὁ Ἰωάννης τῷ πνεύματι, εἶπε πρός με· τέκνον Πρόχορε, διστάσαντός μου τοῦ λογισμοῦ, ὅτε μοι ἡ Ἀσία ἀπεκληρώθη, γινώσκεις οἵῳ ναυαγίῳ περιπεπτώκαμεν· οὐ μόνον δὲ ἡμεῖς, ἀλλὰ καὶ οἱ ἀναίτιοι οἱ ἐν τῷ πλοίῳ, τῆς καταδίκης συμμετέσχον τῆς ἐμῆς, ναυαγήσαντες κἀκεῖνοι κἂν προνοίᾳ τοῦ Θεοῦ διεσώθησαν. Ὅπως τε ἐποίησα τεσσαράκοντα ἡμέρας ἐν τῇ θαλάσσῃ, παιδευόμενος πείθεσθαι Θεῷ μᾶλλον ἢ λογισμοῖς ἀνθρωπίνοις, ἕως ὁ Θεὸς οἰκείοις σπλάγχνοις ἐπικαμφεὶς ἀπέδωκε τῇ ξηρᾷ. Ταῦτ' οὖν εἰδότα σε, οὐκ ἀδημονεῖν, ἀλλ' εὐχαριστεῖν δεῖ ἐπὶ τοῖς πειρασμοῖς, καὶ μηδὲ πειρασμὸν ἡγεῖσθαι γυναίου ἑνὸς ψυχρὰς ἀπειλάς· ἄπελθε οὖν εἰς τὸ πιστευθέν σοι ἔργον, καὶ ποίει αὐτὸ μετὰ πάσης ἐπιμελείας· ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ποιητὴς τῶν ἁπάντων, ἡμῖν γενόμενος ὑπογραμμὸς καὶ τύπος καὶ τῆς ὑπομονῆς τὸ κέρδος παραδεικνύων, ἔφη· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν».

Τούτοις τοῖς λόγοις ἀπαντλήσας τὸ τῆς ἀθυμίας πάθος, ἀνεκτήσατό με. Τῇ οὖν ἐπαύριον ἦλθεν ἡ Ῥωμάνα καὶ λέγει τῷ Ἰωάννῃ· πολλὰ πάλιν ἤκουσα κατὰ σοῦ, λεγόντων ὅτι τῷ ἔργῳ σου οὐ προσέχεις καὶ ὡς κακοθελῶς τοῦτο ποιεῖς, ὅπως ἀπολύσω· ἀλλ' εἰς μάτην ταῦτα διανοῇ καὶ κατὰ τῆς σαυτοῦ τεχνάζῃ κεφαλῆς. Εἰ γὰρ ἀληθῶς ταῦτα οὕτως ἔχοντα διαγνῶ, οὐδὲ ἓν τῶν μελῶν σου χρησιμεύειν σοι καταλείψω, ἄρδην δὲ πάντα συντρίψω καὶ τέλεον ἀχρειώσω.

Ἐπὶ τούτοις οὐκ ἀντεῖπεν ὁ Ἰωάννης· ἡ δὲ περιδεὲς μᾶλλον καὶ ἰδιωτικὸν τὸ πρᾶον καὶ ἡσύχιον λογισαμένη τοῦ Ἰωάννου, καταπληκτικώτερον αὐτῷ προσεφέρετο, διαπειλοῦσα καὶ λέγουσα· οὐκ εἶ μου δοῦλος, κακότροπε; τί λέγεις; οὐχ ὁμολογεῖς τὴν σὴν τύχην; εἰπέ· ἀποκρίθητί μοι. Καὶ ὁ Ἰωάννης· ναί, δοῦλοι ὑπάρχομεν ἐγώ τε καὶ ὁ σὺν ἐμοὶ Πρόχορος. Ἐπιλαβομένη δὲ τούτων τῶν ῥημάτων, εὐθὺς κατὰ τῆς ἐλευθερίας ἡμῶν ἐχώρησε· καὶ δικολόγῳ τινὶ προσελθοῦσα τὰ τῆς ἐπιβουλῆς ἐξηρτύετο λέγουσα. Δύο καταλειφθέντες μοι δοῦλοι παρὰ τῶν

γονέων ἀπέδρασαν ἐπὶ πολλὰ ἔτη, ὧν δὴ τῷ χρόνῳ καὶ τὰς ὠνὰς προσαπώλεσα· νῦν δὲ παρεγένοντο πρός με καὶ ὁμολογοῦσι δοῦλοί μου ὑπάρχειν· δύναμαι οὖν ἑτέρας ὠνὰς ποιήσασθαι; Ὁ δὲ δικολόγος ἔφη· ἐὰν δοῦλοί σου τυγχάνειν ἐκ προγόνων ὁμολογήσωσιν ἐπὶ μαρτύρων, δύνασαι τοῦτο ποιῆσαι.

Γνοὺς δὲ ταῦτα ὁ Ἰωάννης τῷ πνεύματι, εἶπε πρός με· τέκνον Πρόχορε, γίνωσκε ὅτι τὸ γύναιον τοῦτο ὁμολογίαν ἔγγραφον ἀπαιτεῖ ἡμᾶς, δούλους ταύτης εἶναι μηχανωμένη ἐπὶ μαρτύρων κυρῶσαι. Μὴ οὖν σχῇς λύπην ἐν τῇ καρδίᾳ σου τούτου ἕνεκεν, μᾶλλον δὲ χαῖρε· διὰ γὰρ τούτου ὁ Θεὸς δοξασθήσεται καὶ τάχιον δείξει τίνες ἐσμέν.

Ταῦτα λαλοῦντος τοῦ Ἰωάννου, ἰδοὺ ἡ Ῥωμάνα εἰσῆλθε· καὶ λαβομένη τῆς χειρὸς Ἰωάννου ἤρξατο ῥαπίζειν αὐτὸν καὶ λέγειν· δοῦλε κακέ, διατὶ ὅτε εἰσέρχεται ἡ κυρία σου οὐ προσαπαντᾷς καὶ προσκυνεῖς; μὴ δοκεῖς ἐλεύθερος εἶναι; δοῦλος εἶ Ῥωμάνας· καὶ εὐθέως ἐπηρώτα διαπειλοῦσα· οὐχ ἦτε μου δοῦλοι; Ἔφη αὐτῇ ὁ Ἰωάννης· καὶ ἅπαξ καὶ δὶς εἰπόν σοι, ὅτι δοῦλοι ὑπάρχομεν· ἡ δὲ πρὸς αὐτόν· τίνος δοῦλοι, κακότροπε; ὁ δὲ ἔφη· οὗ τινος τὸ ἔργον ποιοῦμεν. Ἡ δὲ εἶπεν· ὄντως, ἐπεὶ καὶ τὸ ἔργον ἡμέτερον, ἡμέτεροι καὶ αὐτοί ἐστε· ὁ δὲ Ἰωάννης εἶπε· καὶ ἐγγράφως καὶ ἀγράφως ὁμολογοῦμεν ὅτι δοῦλοι ὑπάρχομεν· ἡ δέ φησιν· ἐγγράφως θέλω ἐπὶ μαρτύρων· Ὁ δέ· καὶ εἰ βούλει, φησίν, μὴ μέλε, ἀλλὰ ποίει τὸ δοκοῦν σοι.

Τότε λαβοῦσα ἡμᾶς ἤγαγεν ἔγγιστά που τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος, ἐν δημοσίῳ τόπῳ, καὶ ἐπὶ μαρτύρων ἐγγράφως ἐποίησε τὰς καταθέσεις ἡμῶν. Εἶθ' οὕτως ἤγαγε πάλιν ἕκαστον εἰς τὸ ἤδη πιστευθὲν ἔργον τοῦ βαλανείου, ἐν ᾧ τις ἐξ ἀρχῆς ἐφήδρευε δαίμων καὶ τρὶς τοῦ ἐνιαυτοῦ τοὺς ἀφυλάκτως λούεσθαι εἰσιόντας ἀπέπνιγε.

Δόμνος οὖν, ὁ τοῦ Διοσκορίδους υἱός, τῆς ὥρας φροντίσας τοῦ σώματος, ἐν μιᾷ ἀωρὶ τῶν νυκτῶν μόνος εἰσῆλθε λουσόμενος, ὁ δαίμων δέ, ἐφορμήσας ἐξαίφνης, τοῦτον ἀπέπνιξεν. Εἰσελθόντες δὲ οἱ παῖδες αὐτοῦ καὶ εὑρόντες αὐτὸν τεθνηκότα, ἐξήεσαν κλαίοντες καὶ λέγοντες· οὐαὶ ἡμῖν, ὅτι ὁ κύριος ἡμῶν ἀπέθανε· τί ποιήσομεν; Ἡ δὲ Ῥωμάνα, ἀκούσασα τοῦτο, διαρρήξασα καὶ αὐτὴ τῆς κεφαλῆς τὸν ἐπίδεσμον καὶ τὰς τρίχας ἐκτίλλουσα ἔκλαιε, καὶ κοπτομένη ἐβόα· Οἴμοι! τί εἴπω ἢ τί ἀποκριθήσομαι τῷ κυρίῳ μου Διοσκορίδει, περὶ τούτου διαπυνθανομένῳ; ἀπαρηγόρητός ἐστιν ἡ συμφορά· τάχα που καὶ ἀποψύξει πεσών, τῆς ἀκοῆς τὸ βάρος οὐκ ἐνεγκών· μονογενὴς γὰρ ἦν ὁ κύριός μου Δόμνος· ἀλλ' ἡ μεγάλη Ἄρτεμις Ἐφεσίων βοήθει.

Ταῦτα καὶ πλείονα τούτων λέγουσα, κατέτεμνε τοὺς βραχίονας αὐτῆς καὶ τὸ πρόσωπον ἔτυπτε· ὁ δὲ Ἰωάννης τοῦ ἰδίου προελθὼν ἔργου λέγει πρός με· τέκνον Πρόχορε, τί ἐστι τὸ θρυλούμενον; καὶ τί πέπονθε τὸ γύναιον; Ἡ δὲ Ῥωμάνα, ὡς εἶδεν ἡμᾶς ὁμιλοῦντας ἀλλήλοις, δραμοῦσα ἐκράτησε τὸν Ἰωάννην λέγουσα· μάγε, εὑρέθησαν αἱ μαγεῖαι σου, ἃς ἐποίεις· ἀφ' ἧς γὰρ ἡμέρας εἰσῆλθες ὧδε καὶ ἡ ἡμετέρα θεὰ ἐγκατέλιπεν ἡμᾶς· ἢ τοίνυν ἀνάστησον τὸν υἱὸν τοῦ κυρίου μου, ἢ τὴν ψυχήν σου τῇ ὥρᾳ ταύτῃ ἀπὸ τοῦ σώματός σου χωρίζω. Εἶπε δὲ αὐτῇ ὁ Ἰωάννης· κυρία, τὸ λυποῦν σε τί ἐστιν; ἀπάγγειλόν μοι· ἡ δέ, ἀσχέτῳ κατειλημ-

μένη θυμῷ, κουφίζει τὴν χεῖρα καὶ ραπίζει τὸν Ἰωάννην λέγουσα· Δοῦλε πονηρὲ καὶ διὰ τοῦτο ἐξόριστε, πᾶσα ἡ Ἐφεσίων πόλις ἤδη ἔγνω τὸ γεγονός, καὶ σὺ ὡς ἀγνοῶν ἐρωτᾷς; ὁ υἱὸς τοῦ κυρίου μου Διοσκορίδους τέθνηκεν ἐν τῷ βαλανείῳ.

Ἀκούσας ταῦτα ὁ Ἰωάννης, χαρίεις πως ἐμοὶ τέως ὡράθη γενόμενος· καὶ μικρὸν ὑπαναχωρήσας εἰς εὐχήν, ἐν τῷ βαλανείῳ εἰσῆλθε· καὶ τὸν ἀκάθαρτον δαίμονα ἐξοικήσας ἐκεῖθεν, εἰσοικίζει τὴν ψυχὴν τοῦ παιδίου ἐν τῷ σώματι. Καὶ λαβόμενος αὐτοῦ τῆς χειρός, προήγαγε βαδίζοντα ἔξω καὶ πρὸς Ῥωμάναν εἶπε· λάμβανε τὸν υἱὸν τοῦ κυρίου σου ζῶντα καὶ μὴ χαλέπαινε. Ἡ δὲ Ῥωμάνα, ἰδοῦσα τὸ γεγονός, ἐξέστη· καὶ προσπεσοῦσα τοῖς ποσὶν Ἰωάννου, ἐδέετο αὐτοῦ συγχωρηθῆναι αὐτῇ ἅπερ εἰς αὐτὸν δεινὰ διεπράξατο. Ὁ δὲ ἔφη· γύναι, πίστευσον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὗ ἐγὼ μαθητής εἰμι καὶ Ἀπόστολος, καὶ ταῦτα πάντα συγχωρηθήσεταί σοι· ἡ δὲ εἶπε· πιστεύω, ἄνθρωπε τοῦ Θεοῦ, ἀπὸ τοῦ νῦν πᾶσι τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματός σου.

Ἐν δὲ τῷ μεταξύ, δραμών τις τῶν παίδων Διοσκορίδους, ἀπήγγειλεν αὐτῷ περὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ. Ὁ δὲ τῷ ἀπροσδοκήτῳ τῆς συμφορᾶς, οἷα ρομφαίᾳ πληγείς, παραυτίκα πεσὼν ἐξέψυξεν. Ὁ δὲ Ἰωάννης, μαθὼν τοῦτο, ἐλθὼν ἤγειρε καὶ αὐτόν, καὶ πάντας αὐτοὺς πιστεύσαντας, ἐβάπτισε· πολλοὶ δὲ καὶ τῶν λοιπῶν Ἐφεσίων ἐκ τούτου τῇ πίστει προσέθεντο.

Ἑρμηνεία

ΟΤΑΝ ὁ Ἀπόστολος Ἰωάννης διεσώθη ἀπὸ ἐκεῖνο τὸ φοβερὸν ναυάγιον*, καὶ μετὰ σαράντα ἡμέρας τὸν ἔβγαλεν ἡ θάλασσα κοντὰ εἰς τὴν Ἔφεσον, εὗρῆκε καὶ ἐμένα, τὸν Πρόχορον, νὰ στέκωμαι εἰς τὴν παραλίαν, ὅπως ἀκριβῶς μοῦ τὸ εἶχε μηνύσει πρὶν ἀπὸ τὸ ναυάγιον. Ἀφοῦ λοιπὸν μὲ ἐνηγκαλίσθη καὶ ηὐχαρίστησε τὸν Θεόν, κατόπιν μὲ ἐπῆρε μαζί του· ἀπὸ κοινοῦ δὲ εἰσήλθομεν εἰς τὴν Ἔφεσον καὶ ἐκαθίσαμεν κοντὰ

---

* Μετὰ τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντες οἱ θεῖοι Ἀπόστολοι ἔβαλον κλήρους περὶ τοῦ τόπου εἰς ὃν θὰ ἐπορεύετο ἕκαστος νὰ κηρύξῃ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Εἰς τὸν Ἰωάννην ἔλαχεν ὁ κλῆρος τῆς Ἀσίας· ἐπειδὴ ὅμως βαρέως ἐδέχθη τοῦτο, κατὰ παραχώρησιν Θεοῦ ταξιδεύων πρὸς τὴν Ἀσίαν ἐναυάγησε καὶ τὸ μὲν πλοῖον κατεποντίσθη, οἱ ἐπιβάται ὅμως μεταξὺ τῶν ὁποίων καὶ ὁ μαθητὴς τοῦ Ἁγίου Ἀπόστολος Πρόχορος διεσώθησαν χάριτι θείᾳ ἐκβληθέντες ὑπὸ τῶν κυμάτων εἰς τὴν ξηράν. Ἐξ ὅλων τῶν ναυαγῶν μόνος ὁ θεῖος Ἰωάννης ἐταλαιπωρήθη ἐπὶ πολὺ παραμείνας ἐν τῇ θαλάσσῃ δερόμενος ὑπὸ τῶν κυμάτων ἐπὶ τεσσαράκοντα ἡμερονύκτια.

Τὰ περὶ τοῦ ναυαγίου τούτου καθὼς καὶ τὰ ἐν συνεχείᾳ ἐνταῦθα ἀναφερόμενα περὶ Ρωμάνας κ.λπ. βλεπέτωσαν οἱ ἐπιθυμοῦντες κατὰ πλάτος εἰς τὰς Περιόδους τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου μεταφρασμένας παρ' ἡμῶν ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος Θ' σελ. 556—623.

εἰς ἕνα τόπον, ὁ ὁποῖος ἐλέγετο τόπος τῆς 'Αρτέμιδος. 'Εκεῖ ὑπῆρχε καὶ τὸ λουτρὸν ἑνὸς Διοσκορίδου, ἄρχοντος τῆς πόλεως.

Τότε μοῦ εἶπεν ὁ 'Ιωάννης· παιδί μου Πρόχορε, ἂς μὴ μάθη κανεὶς ἀπὸ τοὺς κατοίκους τῆς πόλεως ποῖοι εἴμεθα καὶ διὰ ποίαν αἰτίαν ἤλθομεν ἐδῶ, μέχρις ὅτου ὁ Κύριος φανερώσῃ εἰς ἡμᾶς τὸ θέλημά του καὶ ἀποκτήσωμεν τὴν ἐν Θεῷ παρρησίαν.

'Ενῷ ἔλεγεν ὁ 'Απόστολος ἀκόμη αὐτά, παρουσιάσθη ἡ Ρωμάνα, ἕνα ἀναιδέστατον γύναιον, δούλη τοῦ Διοσκορίδου, ἡ ὁποία ἐφρόντιζε διὰ τὸ λουτρόν. Αὐτὴν τὴν γυναῖκα τὴν ἀπέφευγον ὅλοι διὰ τὴν ὑπερβολικὴν σκληρότητά της. Καθὼς λοιπὸν ἐφρόντιζε διὰ τὸ λουτρὸν μᾶς εἶδεν· ἀμέσως λοιπὸν ἐσκέφθη, συμπεραίνουσα ἀπὸ τὴν πτωχικὴν ἐμφάνισίν μας, ὅτι εἴχομεν ἀνάγκην καὶ ἀπὸ τὸ ψωμὶ καὶ ὅτι, ἐξ αἰτίας τῆς πτωχείας μας, θὰ εἴμεθα χρήσιμοι διὰ τὴν ὑπηρεσίαν τοῦ λουτροῦ, χωρὶς νὰ ἔχωμεν ἀξιώσεις διὰ μεγάλους μισθούς· δι' αὐτὸ καὶ λέγει εἰς τὸν 'Ιωάννην:

— Ἄνθρωπε, ἀπὸ ποῦ εἶσθε; ποία εἶναι ἡ θρησκεία σας;

'Ο 'Απόστολος 'Ιωάννης ἀπήντησεν·

— Εἴμεθα ξένοι· 'Ιουδαῖοι κατὰ τὴν καταγωγήν, μὲ τὴν χάριν τοῦ Θεοῦ Χριστιανοί, οἱ ὁποῖοι μόλις πρὸ ὀλίγου διεσώθημεν ἀπὸ ναυάγιον.

'Η Ρωμάνα προσέθεσε:

— Θέλεις νὰ μοῦ ἀνάβῃς σὺ τὸ λουτρὸν καὶ ὁ σύντροφός σου νὰ ἀσχολῆται εἰς τὸ ἐσωτερικὸν ἔργον τοῦ λουτροῦ;

'Ο 'Απόστολος 'Ιωάννης ἐδέχθη τὴν πρότασιν καὶ συνεφώνησε.

'Αμέσως λοιπὸν μᾶς ὡδήγησεν εἰς τὸ λουτρὸν καὶ μᾶς ἐτακτοποίησεν εἰς διάφορα ἔργα. Μᾶς ἔδιδε δὲ καθημερινῶς, διὰ τὴν τροφήν μας, τρεῖς λίτρας ἄρτου καὶ τέσσαρας ὀβολούς*. Κατὰ τὴν τετάρτην ἡμέραν τῆς παραμονῆς μας ἐκεῖ ὁ 'Ιωάννης, ἀπὸ κάποιαν ἀδεξιότητα εἰς τὸ ἄναμμα τῆς ἑστίας, δὲν κατώρθωσε νὰ θερμάνῃ τὸ λουτρὸν ὅσον ἐχρειάζετο.

Μόλις ἦλθεν ἡ Ρωμάνα καὶ τὸ ἀντελήφθη, ἐκτύπησεν ἀναιδέστατα τὸν 'Ιωάννην, μὲ τὰ ἴδια της τὰ χέρια, καὶ ἀφοῦ τὸν ἔρριψε κατὰ γῆς, τὸν ὕβριζε μὲ ὑστερικὰς φωνάς·

— 'Ελεεινέ, ἐρημοσπίτη, —τοῦ ἔλεγεν— ἐξόριστε, ποὺ δὲν εἶσαι ἱκανὸς νὰ κάνῃς τίποτε, διατὶ ἀνέλαβες τὴν φροντίδα ἑνὸς τέτοιου ἔργου; Εἶσαι, ὅπως φαίνεται, ἀπατεών· ἐγὼ θὰ φανερώσω τὰ τεχνάσματά

---

* 'Η λίτρα ἦτο μέτρον βάρους τῆς ρωμαϊκῆς ἐποχῆς καὶ ἰσοδυναμοῦσε πρὸς 320 σημερινὰ γραμμάρια περίπου. 'Ο ὀβολὸς ἦτο τὸ 1/6 τῆς ἀρχαίας δραχμῆς καὶ εἶχεν ἀξίαν ἴσην μὲ ἕνα καὶ ἥμισυ σημερινὸν γραμμάριον ἀργύρου (ἀσήμι). Ἦτο δηλαδὴ ὁ ὀβολὸς τὸ μικρότερον εἰς ἀξίαν ἀπὸ τὰ ἀρχαῖα νομίσματα.

σου. Εἰς τὴν Ρωμάναν δουλεύεις, ἡ ὁποία εἶναι ὀνομαστὴ μέχρι τῆς Ρώμης. Ἀπ' ἐδῶ καὶ πέρα θὰ εἶσαι δοῦλος μου. Μὴ σοῦ περάσῃ ἀπὸ τὸν νοῦν, ὅτι ἠμπορεῖς νὰ ξεφύγῃς ἀπὸ τὰ χέρια τῆς κυρίας σου· διότι πολὺ εὔκολα τῆς εἶναι δυνατὸν νὰ σὲ ξαναπιάσῃ, ἂν τολμήσῃς ἕνα τέτοιο πρᾶγμα, καὶ νὰ σὲ ἀποτελειώσῃ κακὴν κακῶς. Ἄλλαξε λοιπὸν τὴν κακὴν γνώμην σου καὶ ὅπως ἔχεις τὸν νοῦν σου εἰς τὸ φαγητόν, ἔτσι νὰ προσέχῃς καὶ τὴν δουλειά σου, πρὶν θανατωθῇς ἀσπλάγχνως.

Ὁ Ἰωάννης μὲ καλωσύνην τῆς ἀπήντησε·

— Κυρία, τώρα, πρὸ ὀλίγου ἀκόμη, ἤρχισα τὴν ἐργασίαν αὐτήν, τὴν ὁποίαν δὲν ἐγνώριζα προηγουμένως· ὁ χρόνος ὅμως, ποὺ πλουτίζει τὸν ἄνθρωπον μὲ πεῖραν, ἀσφαλῶς θὰ μὲ καταστήσῃ χρήσιμον καὶ δι' αὐτὴν τὴν ἐργασίαν.

Ὕστερα ἀπὸ αὐτὰ ἀνεχώρησε τὸ γύναιον. Ἐμένα ὅμως μὲ κατέλαβε πολὺ βαρεῖα στενοχωρία δι' ὅσα συνέβησαν μὲ τόσην σκληρότητα εἰς τὸν Ἰωάννην καὶ τόσα πολλά, ἐνῷ ἀκόμη δὲν εἶχον περάσει οὔτε τέσσαρες ἡμέραι ἀπὸ τότε ποὺ ἐφθάσαμεν εἰς ἐκεῖνον τὸν τόπον.

Μόλις ὁ Ἀπόστολος Ἰωάννης ἀντελήφθη, μὲ τὸ πνευματικὸν χάρισμά του, τὰς σκέψεις μου, μοῦ εἶπε·

— Παιδί μου Πρόχορε, γνωρίζεις εἰς ποῖον ναυάγιον εἴχομεν περιπέσει, ἐπειδὴ ἐδίστασεν ὁ λογισμός μου, ὅταν ἐκληρώθη εἰς ἐμὲ ἡ Ἀσία. Ὄχι μονάχα δὲ ἡμεῖς, ἀλλὰ καὶ οἱ ἄλλοι ἐπιβάται τοῦ πλοίου, οἱ ὁποῖοι δὲν ἔπταιον καθόλου, ὑπέστησαν τὰς συνεπείας τῆς καταδίκης μου, μὲ τὸ νὰ ναυαγήσουν καὶ ἐκεῖνοι, ἔστω καὶ ἄν, τελικῶς, διεσώθησαν ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ· καὶ ὅτι ἐταλαιπωρούμην σαράντα ἡμέρας, εἰς τὴν θάλασσαν διὰ νὰ μάθω ὅτι πρέπει νὰ πείθωμαι εἰς τὸν Θεὸν καὶ ὄχι εἰς τοὺς ἀνθρωπίνους λογισμούς, ἕως ὅτου ὁ Θεὸς ἀπὸ εὐσπλαγχνίαν Του μὲ ἔβγαλεν εἰς τὴν ξηράν. Ἀφοῦ λοιπὸν τὰ γνωρίζεις αὐτά, δὲν πρέπει νὰ στενοχωρῆσαι, ἀλλὰ νὰ εὐχαριστῇς τὸν Θεὸν διὰ τοὺς πειρασμούς· καὶ οὔτε κἂν νὰ θεωρῇς πειρασμὸν τὰς ψυχρὰς ἀπειλὰς μιᾶς γυναικούλας. Πήγαινε λοιπὸν εἰς τὴν ἐργασίαν, ποὺ ἀνέλαβες καὶ νὰ τὴν ἐκτελῇς μὲ περισσὴν φροντίδα. Διότι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ποὺ εἶναι ὁ δημιουργὸς ὅλων, ὅταν ἔγινε δι' ἡμᾶς πρότυπον καὶ ὁδηγὸς διὰ τὴν τελειότητα, δεικνύων εἰς ἡμᾶς τὸ κέρδος τῆς ὑπομονῆς, εἶπε: «μὲ τὴν ὑπομονὴν θὰ κερδήσετε τὰς ψυχάς σας» (Λουκ. κα΄, 19).

Ἀφοῦ μὲ τὰ λόγια αὐτὰ ἀπεδίωξεν ἀπὸ τὴν ψυχήν μου τὴν λύπην, μοῦ ἔδωσε θάρρος. Τὴν ἄλλην λοιπὸν ἡμέραν ἦλθεν ἡ Ρωμάνα καὶ λέγει εἰς τὸν Ἰωάννην· πολλὰ ἤκουσα νὰ λέγουν πάλιν ἐναντίον σου, ὅτι δὲν προσέχεις εἰς τὴν ἐργασίαν σου καὶ ὅτι χωρὶς ὄρεξιν τὴν ἐκτελεῖς, διὰ νὰ σὲ ἀπολύσω· ἀνώφελα ὅμως σκέπτεσαι αὐτὰ καὶ κακὸν τοῦ κεφαλιοῦ σου κάμνεις· διότι ἂν πραγματικὰ διαπιστώσω ὅτι αὐτὰ εἶναι ἀληθινά, δὲν θὰ σοῦ ἀφήσω οὔτε ἕνα ἀπὸ τὰ μέλη σου χρήσιμον, ἀλλὰ θὰ σοῦ τὰ συντρίψω ὅλα.

Εἰς αὐτὰ δὲν ἀντιμίλησε καθόλου ὁ Ἰωάννης· ἡ δὲ Ρωμάνα, θεωρήσασα ὡς δειλίαν καὶ βλακείαν τὴν πραότητα καὶ ἠρεμίαν τοῦ Ἰωάννου, τοῦ συμπεριεφέρετο ἀκόμη αὐθαδέστερον, φοβερίζουσα καὶ λέγουσα· δὲν εἶσαι δοῦλος μου, μοχθηρέ; Τί λέγεις; Δὲν ἀποδέχεσαι τὴν τύχην σου; Μίλησε· ἀπάντησέ μου. Ναί, ἀπήντησε ὁ Ἰωάννης· εἴμεθα δοῦλοι σου καὶ ἐγὼ καὶ ὁ σύντροφός μου ὁ Πρόχορος.

Στηριζόμενη τότε ἐκείνη εἰς τὰ λόγια αὐτά, ἀμέσως ἐπροχώρησεν ἐναντίον τῆς ἐλευθερίας μας. Ἐπεσκέφθη, χωρὶς ἀναβολήν, κάποιον δικολάβον καὶ τοῦ ἐξέθεσε τὸ πονηρὸν σχέδιόν της, λέγουσα· Δύο δοῦλοι, τοὺς ὁποίους ἐκληρονόμησα ἀπὸ τοὺς γονεῖς μου, εἶχαν ἀποδράσει ἐπὶ πολλὰ ἔτη· μαζὶ μὲ αὐτούς, μὲ τὴν πάροδον τοῦ χρόνου, ἔχασα καὶ τὰ ἔγγραφα τῆς ἰδιοκτησίας. Τώρα ὅμως ἐπέστρεψαν κοντά μου καὶ ὁμολογοῦν ὅτι εἶναι δοῦλοι μου· ἠμπορῶ λοιπὸν νὰ κάνω νέα ἔγγραφα ἀγορᾶς καὶ ἰδιοκτησίας; Εἰς αὐτὰ ὁ δικολάβος τῆς ἀπήντησεν· Ἂν ὁμολογήσουν ἐνώπιον μαρτύρων ὅτι εἶναι δοῦλοι σου ἐκ προγόνων, τότε ἠμπορεῖς νὰ τὸ κάνῃς αὐτό.

Μόλις ἀντελήφθη ὁ Ἰωάννης, διὰ τοῦ πνευματικοῦ χαρίσματος, αὐτά, μοῦ εἶπε· Τέκνον μου Πρόχορε, νὰ ξέρῃς ὅτι αὐτὸ τὸ γύναιον θὰ ζητήσῃ, ἐντὸς ὀλίγου, ἀπὸ ἡμᾶς γραπτὴν ὁμολογίαν, ἐπειδὴ θέλει νὰ ἐπικυρώσῃ, μὲ μάρτυρας, τὴν πονηρίαν της νὰ εἴμεθα δοῦλοι της. Πρόσεξε λοιπὸν νὰ μὴ δοκιμάσῃς λύπην εἰς τὴν καρδίαν σου ἐξ αἰτίας αὐτοῦ, ἀλλὰ μᾶλλον νὰ χαίρῃς· διότι μὲ αὐτὴν τὴν δοκιμασίαν μας θὰ δοξασθῇ ὁ Θεὸς καὶ γρήγορα θὰ φανερώσῃ ποῖοι εἴμεθα.

Ἐνῷ ἀκόμη ἔλεγεν αὐτὰ ὁ Ἰωάννης, ἰδοὺ καὶ παρουσιάζεται ἡ Ρωμάνα· καὶ ἁρπάζουσα ἀπὸ τὸ χέρι τὸν Ἰωάννην, ἤρχισε νὰ τὸν κτυπᾷ εἰς τὸ πρόσωπον καὶ νὰ τοῦ λέγῃ· διατί, δοῦλε κακέ, ὅταν εἰσέρχεται ἡ κυρία σου δὲν τὴν ὑποδέχεσαι καὶ δὲν τὴν προσκυνεῖς; Εἶσαι δοῦλος τῆς Ρωμάνας. Καὶ ἀμέσως τὸν ἠρώτα ἀπειλητικά· δὲν εἶσθε δοῦλοι μου; Ὁ Ἰωάννης τῆς ἀπήντησε· καὶ μίαν καὶ δύο φορὰς σοῦ εἶπα, ὅτι εἴμεθα δοῦλοι. Καὶ τίνος δοῦλοι, μοχθηρέ; ἠρώτησε πάλιν. Αὐτοῦ εἰς τὴν ἐργασίαν τοῦ ὁποίου δουλεύομεν, ἀπήντησεν ἐκεῖνος. Σωστά, εἶπε συμπερασματικὰ ἡ Ρωμάνα, ἀφοῦ ἡ ἐργασία εἶναι ἰδική μου καὶ σεῖς εἶσθε δοῦλοι μου. Καὶ ὁ Ἰωάννης πάλιν· καὶ ἀγράφως καὶ γραπτῶς ὁμολογοῦμεν ὅτι εἴμεθα δοῦλοι. Γραπτῶς θέλω, λέγει ἐκείνη, ἐνώπιον μαρτύρων. Ἂν θέλῃς, ἀπήντησεν ὁ Ἰωάννης, μὴ καθυστερῇς, ἀλλὰ κάνε ὅπως νομίζεις.

Τότε, ἀφοῦ μᾶς ἐπῆρε, μᾶς ἔφερε κάπου κοντὰ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, εἰς ἕνα δημόσιον τόπον καὶ ἐνώπιον μαρτύρων μᾶς ὑπεχρέωσε νὰ ὁμολογήσωμεν γραπτῶς ὅτι εἴμεθα δοῦλοι της. Ὕστερα ὡδήγησε πάλιν τὸν καθένα εἰς τὴν ἐργασίαν τοῦ λουτροῦ, τὴν ὁποίαν μᾶς εἶχεν ἤδη ἀναθέσει. Μέσα εἰς αὐτὸ τὸ λουτρὸν ἐκατοικοῦσεν ἀπὸ τὴν ἀρχὴν κάποιος δαίμων, ὁ ὁποῖος τρεῖς φορὰς τὸν χρόνον ἐκαιροφυλα-

κτοῦσε καὶ ἔπνιγεν ἐκείνους ποὺ εἰσήρχοντο νὰ λουσθοῦν, χωρὶς προφύλαξιν.

Ὁ Δόμνος, λοιπόν, ὁ υἱὸς τοῦ Διοσκορίδη, φροντίζων διὰ τὴν σωματικήν του ὡραιότητα, εἰσῆλθε μόνος εἰς τὸ λουτρόν, περασμένα μεσάνυκτα, διὰ νὰ λουσθῇ· ὁ δαίμων τότε ὥρμησεν ἐξαφνικὰ ἐναντίον του καὶ τὸν ἔπνιξεν. Ὅταν εἰσῆλθον εἰς τὸ λουτρὸν οἱ ὑπηρέται του καὶ τὸν εὗρον νεκρόν, ἐξῆλθον κλαίοντες καὶ λέγοντες· ἀλλοίμονόν μας, διότι ἀπέθανεν ὁ κύριός μας· τί θὰ κάμωμεν τώρα; Μόλις ἤκουσεν αὐτὸ τὸ πρᾶγμα ἡ Ρωμάνα, ἀφοῦ κατεξέσχισε τὸν κεφαλόδεσμόν της, ἐτραβοῦσε τὰ μαλλιά της, ἔκλαιε καὶ ἐβόα μὲ θρήνους· Ἀλλοίμονον εἰς ἐμέ, τί νὰ εἴπω ἢ τί νὰ ἀποκριθῶ εἰς τὸν κύριόν μου τὸν Διοσκορίδην, ὅταν θὰ τὸ μάθῃ; Δὲν ὑπάρχει παρηγορία δι' αὐτὴν τὴν συμφοράν. Ἴσως μάλιστα καὶ νὰ ἀποθάνῃ, διότι δὲν θὰ ἀντέξῃ τὸ βάρος τῆς θλιβερᾶς εἰδήσεως. Διότι ὁ κύριός μου ὁ Δόμνος ἦτο μοναχογυιός. Μεγάλη Ἄρτεμις τῶν Ἐφεσίων, βοήθησέ μας.

Λέγουσα αὐτὰ καὶ ἄλλα περισσότερα, κατεξέσχιζε τὰς σάρκας της καὶ ἐκτύπα τὸ πρόσωπόν της. Ὁ Ἰωάννης, ἐξερχόμενος ἀπὸ ἐκεῖ ποὺ εἰργάζετο, μοῦ λέγει· Τέκνον Πρόχορε, τί συμβαίνει; Τί ἔχει πάθει αὐτὴ ἡ γυναίκα; Μόλις ἡ Ρωμάνα μᾶς εἶδε νὰ συνομιλοῦμεν, ἔτρεξε καὶ ἥρπασε σφικτὰ τὸν Ἰωάννην λέγουσα· μάγε, εὑρέθησαν τὰ μάγια ποὺ ἔκανες· διότι ἀπὸ τὴν ἡμέραν ποὺ ἦλθες ἐδῶ μέσα καὶ ἡ θεά μας μᾶς ἐγκατέλειψε· ἢ λοιπὸν ἀνάστησε τὸν υἱὸν τοῦ κυρίου μου, ἢ τὴν ἰδίαν αὐτὴν στιγμὴν χωρίζω τὴν ψυχὴν ἀπὸ τὸ σῶμα σου. Ὁ Ἰωάννης τῆς εἶπε· κυρία, ἐξήγησέ μου, τί εἶναι ἐκεῖνο, ποὺ σοῦ προξενεῖ λύπην; Ἐκείνη τότε, κυριευμένη ἀπὸ ἀσυγκράτητον θυμόν, σηκώνει τὸ χέρι καὶ κτυπᾷ τὸν Ἰωάννην λέγουσα· πονηρὲ δοῦλε, ἐξόριστε διὰ τὴν πονηρίαν σου, ὁλόκληρος ἡ Ἔφεσος ἔμαθεν ἤδη αὐτὸ ποὺ ἔγινε καὶ σὺ ἐρωτᾷς, ὡς νὰ μὴ γνωρίζῃς τίποτε; Ὁ υἱὸς τοῦ κυρίου μου Διοσκορίδη ἀπέθανε μέσα εἰς τὸ λουτρόν.

Μόλις ἤκουσεν αὐτὰ ὁ Ἰωάννης, μοῦ ἐφάνη κάπως χαρούμενος. Καὶ ἀφοῦ ἀπεσύρθη εἰς προσευχὴν χωρὶς νὰ τὸν ἀντιληφθῇ κανείς, εἰσῆλθεν εἰς τὸ λουτρόν. Ἀμέσως ἐξεδίωξε τὸν ἀκάθαρτον δαίμονα ἀπὸ ἐκεῖ καὶ ἐπαναφέρει τὴν ψυχὴν τοῦ παιδιοῦ εἰς τὸ νεκρὸν σῶμα. Καὶ ἀφοῦ τὸ ἐπῆρεν ἀπὸ τὸ χέρι, τὸ ὡδήγησεν ἔξω καὶ εἶπε πρὸς τὴν Ρωμάναν· πάρε ζωντανὸν τὸν υἱὸν τοῦ κυρίου σου καὶ μὴ στενοχωρεῖσαι. Ὅταν ἡ Ρωμάνα εἶδεν αὐτὸ τὸ γεγονός, ἔμεινε κατάπληκτος· καὶ ἀφοῦ ἔπεσεν εἰς τοὺς πόδας τοῦ Ἰωάννου, τὸν παρεκάλει νὰ τὴν συγχωρήσῃ δι' ὅσα κακὰ τοῦ εἶχε κάμει. Ἐκεῖνος τότε τῆς ἀπήντησε· γυναίκα, νὰ πιστεύσῃς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦ Ὁποίου εἶμαι μαθητὴς καὶ ἀπόστολος καὶ ὅλα αὐτὰ θὰ σοῦ συγχωρηθοῦν. Ἐκείνη τοῦ εἶπε· πιστεύω, ἄνθρωπε τοῦ Θεοῦ, ἀπὸ τώρα εἰς ὅλα ὅσα ἐξέρχονται ἀπὸ τὸ στόμα σου.

Ἐν τῷ μεταξὺ ἔτρεξε κάποιος ὑπηρέτης τοῦ Διοσκορίδου καὶ τοῦ

ἀνήγγειλε τὸν θάνατον τοῦ υἱοῦ του. Ὁ Διοσκορίδης, ἀπὸ τὴν ἀπροσδόκητον συμφοράν, ὡς νὰ τὸν ἐκτύπησε ρομφαία, ἔπεσεν ἀμέσως κάτω καὶ ἐξεψύχησεν. Ὅταν ἔμαθεν αὐτὸ τὸ πρᾶγμα ὁ Ἰωάννης ἦλθε καὶ ἀνέστησε καὶ αὐτόν· ὅλους δὲ αὐτούς, ποὺ ἐπίστευσαν, τοὺς ἐβάπτισε. Πολλοὶ δὲ καὶ ἀπὸ τοὺς ἄλλους κατοίκους τῆς Ἐφέσου, ἐξ αἰτίας τοῦ γεγονότος αὐτοῦ, ἠσπάσθησαν τὴν Χριστιανικὴν πίστιν καὶ προσετέθησαν εἰς τὴν Ἐκκλησίαν.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΑΠΗΛΘΟΝ ποτέ τινες πρὸς τὸν Ἀββᾶν Ἀγάθωνα· ἤκουσαν γὰρ ὅτι μεγάλην ἔχει διάκρισιν· καὶ θέλοντες δοκιμάσαι αὐτὸν εἰ ὀργίζεται, λέγουσιν αὐτῷ· σὺ εἶ Ἀγάθων; ἀκούομεν περὶ σοῦ ὅτι πόρνος εἶ καὶ ὑπερήφανος· ὁ δὲ εἶπε· ναί, οὕτως ἔχει. Λέγουσι πάλιν αὐτῷ· σὺ εἶ Ἀγάθων ὁ φλύαρος καὶ κατάλαλος; ὁ δὲ εἶπεν· ἐγώ εἰμι· οἱ δὲ πάλιν· σὺ εἶ Ἀγάθων ὁ αἱρετικός; καὶ ἀπεκρίθη· οὐκ εἰμὶ αἱρετικός. Καὶ παρεκάλεσαν αὐτὸν λέγοντες· εἰπὲ ἡμῖν, διατί τοσαῦτα εἴπομέν σοι καὶ κατεδέξω, τοῦτον δὲ τὸν λόγον οὐκ ἐβάστασας; Λέγει αὐτοῖς· τὰ πρῶτα ἐμαυτῷ ἐπιγράφω· ὄφελος γάρ ἐστι τῇ ψυχῇ μου· τὸ δὲ αἱρετικός, χωρισμός ἐστιν ἀπὸ Θεοῦ. Οἱ δὲ ἀκούσαντες τὴν διάκρισιν αὐτοῦ ἐθαύμασαν καὶ ἀπῆλθον οἰκοδομηθέντες.

2. Εἶπε γέρων· ὁ ἐπαινῶν Μοναχόν, παραδίδωσιν αὐτὸν τῷ σατανᾷ.

3. Ἔλεγον οἱ γέροντες, ὅτι ἐδόθη ποτὲ εἰς σκῆτιν πρὸς ὀλίγον ἰσχάδια· καὶ ὡς εὐτελῆ ὄντα, οὐκ ἀπέστειλαν τῷ Ἀββᾷ Ἀρσενίῳ, ἵνα μὴ ὕβριν πάθῃ· ὁ δὲ γέρων ἀκούσας οὐκ ἦλθεν εἰς τὴν σύναξιν λέγων· ἀφωρίσατέ μοι τοῦ μὴ δοῦναι τὴν εὐλογίαν, ἣν ἔπεμψεν ὁ Θεὸς τοῖς ἀδελφοῖς, ἣν οὐκ ἤμην ἄξιος λαβεῖν. Καὶ ἀκούσαντες πάντες ὠφελήθησαν εἰς τὴν ταπείνωσιν τοῦ γέροντος· καὶ ἀπελθὼν ὁ πρεσβύτερος, ἀπήνεγκεν αὐτῷ τὰ ἰσχάδια, καὶ ἤνεγκεν αὐτὸν εἰς τὴν σύναξιν μετὰ χαρᾶς.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀμμωνᾶ, ὅτι τινὲς ἦλθον δικασθῆναι παρ' αὐτῷ· ὁ δὲ γέρων ἐμωροποίει. Καὶ ἰδοὺ γυνή τις ἔστη πλησίον αὐτοῦ καὶ εἶπεν· οὗτος ὁ γέρων σαλός ἐστιν. Ἤκουσεν οὖν αὐτῆς ὁ γέρων· καὶ φωνήσας αὐτὴν λέγει· πόσους κόπους ἐκοπίασα ἐν τῇ ἐρήμῳ ἵνα κτήσωμαι τὴν σαλότητα ταύτην καὶ διὰ σὲ ἔχω ἀπολέσαι αὐτὴν σήμερον; οὐχί.

5. Ἐγένετό ποτε συνέδριον εἰς τὰ κελλία περὶ πράγματος, καὶ ἐλάλησεν ὁ Ἀββᾶς Εὐάγριος. Λέγει οὖν αὐτῷ ὁ πρεσβύτερος· οἴδαμεν, Ἀββᾶ, ὅτι εἰ ἦς εἰς τὴν χώραν σου ἴσως καὶ Ἐπίσκοπος καὶ κεφαλὴ πολλῶν εἶχες εἶναι· νῦν δὲ ὡς ξένος καθέζῃ ὧδε. Ὁ δὲ κατανυγεὶς οὐκ ἐταράχθη, ἀλλὰ κινήσας τὴν κεφαλὴν λέγει αὐτῷ· ἀληθῶς ἐστι, Πάτερ· πλὴν ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.

6. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης, ὅτι ἡ πύλη τοῦ οὐρανοῦ ἐστιν ἡ ταπείνωσις· καὶ οἱ Πατέρες ἡμῶν, διὰ πολλῶν ὕβρεων, χαίροντες εἰσῆλθον εἰς τὴν πόλιν τοῦ Θεοῦ.

7. Ὁ αὐτὸς εἶπε τῷ ἀδελφῷ αὐτοῦ· εἰ καὶ πάνυ εὐτελεῖς ἐσμεν ἐνώπιον

τῶν ἀνθρώπων, ἀλλὰ χαρῶμεν ἐν τούτῳ, ὅπως τιμηθῶμεν ἐνώπιον τοῦ Θεοῦ. Οὗτος ζέων ἦν ἀεὶ τῷ πνεύματι. Παραβαλὼν οὖν τις αὐτῷ, ἐπήνεσεν αὐτοῦ τὸ ἔργον (ἦν δὲ ἐργαζόμενος τὴν σειρὰν) καὶ ἐσιώπησε· πάλιν ἐκεῖνος ἐκίνησεν αὐτῷ λόγον ἐπαινῶν τὸ ἔργον· καὶ πάλιν οὗτος ἐσιώπα. Ὡς δὲ καὶ τρίτον ἐκεῖνος ἐπήνεσε, λέγει αὐτῷ ὁ Ἀββᾶς Ἰωάννης· ἀφ᾽ οὗ εἰσῆλθες ἐνταῦθα, ἔβαλες τὸν Θεὸν ἀπ᾽ ἐμοῦ.

8. Ὁ αὐτὸς ἐκάθητό ποτε ἐν τῇ σκήτει καὶ οἱ ἀδελφοὶ κύκλῳ αὐτοῦ, ἐρωτῶντες τοὺς λογισμοὺς ἑαυτῶν· καὶ λέγει αὐτῷ εἷς τῶν γερόντων· Ἰωάννη, ὡς πόρνη καλλωπίζουσα ἑαυτὴν οὕτως εἶ, ἥτις πληθύνει τοὺς ἐραστὰς αὐτῆς. Καὶ περιπτυξάμενος αὐτὸν ὁ Ἀββᾶς Ἰωάννης λέγει· ἀλήθειαν λέγεις, Πάτερ. Καὶ μετὰ τοῦτο ἠρώτησεν αὐτόν τις τῶν μαθητῶν αὐτοῦ λέγων· ἆρα οὐ ταράσσῃ ἔνδον, Ἀββᾶ; καὶ λέγει· οὐχί, ἀλλ᾽ ὡς εἰμὶ ἔξωθεν, οὕτω καὶ ἔσωθεν.

9. Εἶπεν ὁ Ἀββᾶς Ἰάκωβος, ὅτι ὁ ἐπαινούμενος λογιζέσθω τὰς ἁμαρτίας αὐτοῦ καὶ ἐννοείτω ὅτι οὐκ ἔστιν ἄξιος τῶν λεγομένων, καὶ οὐ τοσοῦτον ἐκ τῶν ἐπαίνων βλαβήσεται.

10. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι εἰ προσήρχετό τις αὐτῷ ἀδελφὸς ὡς ἁγίῳ γέροντι καὶ μεγάλῳ μετὰ φόβου, οὐδὲν ἐλάλει αὐτῷ. Εἰ δὲ ἔλεγέ τις τῶν ἀδελφῶν αὐτῷ, ὡς ἐξουθενῶν αὐτόν· Ἀββᾶ, ἆρα ὅταν ἦς καμηλίτης καὶ ἔκλεπτες νίτρον καὶ ἐπώλεις αὐτό, οὐκ ἔδερόν σε οἱ τηρηταί; Εἰ ταῦτά τις ἔλεγεν αὐτῷ, ἐλάλει αὐτῷ μετὰ χαρᾶς εἴ τι ἂν ὑπ᾽ αὐτοῦ ἠρωτήθη.

11. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μωϋσέως, ὅτι ἐγένετο κληρικὸς καὶ ἐπέθηκαν αὐτῷ τὴν ἐπωμίδα· καὶ λέγει αὐτῷ ὁ Ἀρχιεπίσκοπος· ἰδοὺ γέγονας ὁλόλευκος, Ἀββᾶ Μωϋσῆ· ἐκεῖνος δὲ ἀπεκρίθη· ἆρα τὰ ἔξω κείρει ὁ Πάπας ἢ καὶ τὰ ἔσω; Θέλων δὲ ὁ Ἀρχιεπίσκοπος δοκιμάσαι αὐτόν, λέγει τοῖς κληρικοῖς· ὅταν εἰσέρχεται ὁ Ἀββᾶς Μωϋσῆς εἰς τὸ ἱερατεῖον, διώξατε αὐτὸν καὶ ἀκολουθήσατε αὐτῷ, ἵνα ἀκούσητε τί λέγει. Εἰσῆλθεν οὖν ὁ γέρων καὶ ἐπετίμησαν αὐτῷ καὶ ἐδίωξαν λέγοντες· ὕπαγε ἔξω αἰθίοψ· ὁ δὲ ἐξερχόμενος ἔλεγεν ἑαυτῷ· καλῶς σοι ἐποίησαν, σποδόδερμε μελανέ· μὴ ὢν ἄνθρωπος, τί ἔρχῃ μετὰ ἀνθρώπων;

12. Εἶπε γέρων· ὁ πλέον τῆς ἀξίας τιμώμενος, πολλὰ ζημιοῦται· ὁ δὲ μηδὲ ὅλως τιμώμενος ὑπὸ τῶν ἀνθρώπων, ἄνωθεν δοξασθήσεται.

13. Ἠρώτησεν ἀδελφὸς γέροντα λέγων· εἰπέ μοι πρᾶγμα, ἵνα τηρήσω καὶ ζήσω δι᾽ αὐτοῦ· καὶ εἶπεν ὁ γέρων· ἐὰν δυνηθῇς ὑβρισθῆναι καὶ βαστάσαι, μέγα ἐστὶ τοῦτο ὑπὲρ πάσας τὰς ἀρετάς.

14. Εἶπε γέρων· οὐχ ὁ ἑαυτὸν εὐτελίζων οὕτως ἐστὶ ταπεινόφρων, ἀλλ᾽ ὁ μετὰ χαρᾶς τὰς παρὰ τοῦ πλησίον ὕβρεις καὶ ἀτιμίας καταδεχόμενος.

15. Εἶπε πάλιν· ἐὰν ἐπαινέσῃ σε ἄνθρωπος εἰς πρόσωπόν σου, ἐννόησον εὐθὺς τὰς ἁμαρτίας σου καὶ παρακάλεσον αὐτὸν λέγων· διὰ τὸν Κύριον, ἀδελφέ, παῦσαι ἐπαινῶν με, ὅτι ταλαίπωρός εἰμι καὶ οὐ βαστάζω. Εἰ δὲ ὁ ἐπαινῶν σε μέγας ἄνθρωπός ἐστιν, εὖξαι τῷ Θεῷ ἐν τῇ καρδίᾳ σου λέγων· Κύριε, σκέπασόν με ἐκ τοῦ ἐπαίνου καὶ ψόγου τῶν ἀνθρώπων.

16. Καθημένου ποτὲ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ἔμπροσθεν τῆς Ἐκκλησίας ἐκύκλωσαν αὐτὸν οἱ ἀδελφοὶ καὶ ἐξήταζον αὐτῷ τοὺς λογισμοὺς αὐτῶν. Ἰδὼν δέ τις τῶν γερόντων καὶ πολεμηθεὶς εἰς φθόνον, λέγει αὐτῷ· τὸ βαυκάλιόν

σου, Ἰωάννη, φαρμάκου γέμει. Ἀπεκρίθη αὐτῷ ὁ Ἰωάννης· οὕτως ἐστίν, Ἀββᾶ, καὶ τοῦτο εἶπας, ὅτι τὰ ἔξω βλέπεις μόνον· εἰ δὲ ἔβλεπες τὰ ἔσω, τί εἶχες εἰπεῖν;

17. Γέγονέ ποτε συνέδριον ἐν τῇ σκήτει· καὶ θέλοντες οἱ Πατέρες δοκιμάσαι τὸν Ἀββᾶν Μωϋσῆν, ἐξουδένωσαν αὐτὸν λέγοντες· τί καὶ ὁ αἰθίοψ οὗτος ἔρχεται εἰς τὸ μέσον ἡμῶν; ὁ δὲ ἀκούσας ἐσιώπησε. Μετὰ δὲ τὸ ἀπολυθῆναι αὐτούς, λέγουσιν αὐτῷ· Ἀββᾶ, ἄρτι οὐκ ἐταράχθης; ὁ δέ, ἐταράχθην, φησίν, ἀλλ' οὐκ ἐλάλησα.

18. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· πᾶς κόπος ὃς ἐὰν ἐπέλθῃ σοι, ἡ νίκη αὐτοῦ ἐστὶ τὸ σιωπᾶν.

19. Ἔλεγον περί τινος γέροντος, ὅτι ὅσῳ ἐάν τις αὐτὸν ὕβριζεν ἢ ἐδόκει παροξύνειν, τοσούτῳ μᾶλλον καὶ μᾶλλον πρὸς ἐκεῖνον ἔτρεχε λέγων, ὅτι οἱ τοιοῦτοι αἴτιοι κατορθωμάτων γίνονται τοῖς προσέχουσιν· οἱ δὲ μακαρίζοντες πλανῶσι καὶ ταράσσουσι τὴν ψυχήν· γέγραπται γάρ· «οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς».

Ἑρμηνεία

ΕΠΕΣΚΕΦΘΗΣΑΝ, κάποτε, μερικοὶ ἀδελφοὶ τὸν Ἀββᾶν Ἀγάθωνα, διότι ἐπληροφορήθησαν ὅτι ἔχει μεγάλην διάκρισιν. Καὶ θέλοντες νὰ τὸν δοκιμάσουν ἂν ὀργίζεται, τοῦ λέγουν· σὺ εἶσαι ὁ Ἀγάθων; ἀκούομεν δι' ἐσὲ ὅτι εἶσαι πόρνος καὶ ὑπερήφανος. Ἐκεῖνος ἀπήντησε· ναί, ἔτσι εἶναι. Τοῦ λέγουν, πάλιν· σὺ εἶσαι ὁ Ἀγάθων, ὁ φλύαρος καὶ φιλοκατήγορος; Ἐγὼ εἶμαι, ἐπανέλαβεν ἐκεῖνος. Οἱ ἐπισκέπται ἐκ τρίτου τοῦ λέγουν· σὺ εἶσαι ὁ Ἀγάθων, ὁ αἱρετικός; Εἰς αὐτὸ ἐκεῖνος ἀπήντησε· δὲν εἶμαι αἱρετικός. Μετὰ ἀπὸ αὐτὴν τὴν ἀπάντησιν, τὸν παρεκάλεσαν νὰ τοὺς ἐξηγήσῃ· διατί, ὅταν σοῦ εἴπαμεν τόσα πράγματα, τὰ παρεδέχθης, ἐνῷ τὴν κατηγορίαν ὅτι εἶσαι αἱρετικὸς δὲν τὴν ἄντεξες; Καὶ ὁ Ἀββᾶς τοὺς εἶπε· τὰ πρῶτα τὰ παραδέχομαι, διότι εἶναι ὄφελος διὰ τὴν ψυχήν μου· τὴν κατηγορίαν ὅμως ὅτι εἶμαι αἱρετικὸς ὄχι, διότι ἡ αἵρεσις εἶναι χωρισμὸς ἀπὸ τὸν Θεόν. Οἱ ἐπισκέπται μόλις ἤκουσαν τὴν ἀπάντησιν αὐτὴν ἐθαύμασαν διὰ τὴν διάκρισιν τοῦ Ἀββᾶ καὶ ἀνεχώρησαν ὠφεληθέντες ψυχικῶς.

2. Εἶπεν ἕνας Γέρων· αὐτός, ποὺ ἐπαινεῖ Μοναχόν, τὸν παραδίδει εἰς τὸν Σατανᾶν.

3. Διηγοῦντο οἱ Γέροντες, ὅτι κάποτε ἔδωσαν εἰς τὴν σκῆτιν ὀλίγα ξηρὰ σῦκα καὶ ἐπειδὴ δὲν ἦσαν καλῆς ποιότητος, δὲν ἔστειλαν ἀπ' αὐτὰ εἰς τὸν Ἀββᾶν Ἀρσένιον, διὰ νὰ μὴ τὸν προσβάλουν. Ὅταν τὸ ἐπληροφορήθη αὐτὸ ὁ Γέρων Ἀρσένιος, δὲν προσῆλθεν εἰς τὴν σύναξιν, λέγων· μὲ ἀπεκόψατε ἀπὸ τὴν ἀδελφότητα μὲ τὸ νὰ μὴ μοῦ δώσετε τὴν εὐλογίαν, ποὺ ἔστειλεν ὁ Θεὸς εἰς τοὺς ἀδελφοὺς καὶ τὴν ὁποίαν δὲν ἤμουν ἄξιος νὰ πάρω. Ὅλοι ὅσοι ἤκουσαν αὐτὰ ὠφελήθησαν ἀπὸ τὴν ταπείνωσιν τοῦ Γέροντος. Ἀμέσως δὲ τότε ἐπῆγεν ὁ ἱερεὺς τῆς σκήτης καὶ τοῦ προσέφερε τὰ σῦκα καὶ μὲ μεγάλην χαρὰν τὸν ἐπανέφερεν εἰς τὴν σύναξιν.

4. Διὰ τὸν Ἀββᾶν Ἀμμωνᾶν διηγοῦντο, ὅτι κάποιοι ἦλθον πρὸς αὐτόν, διὰ νὰ τοὺς δικάσῃ. Ὁ Γέροντας ὅμως ἔκαμνεν ἀνοησίας (προσποιούμενος τὸν μωρόν). Μία γυναίκα ἐστάθη πλησίον του καὶ εἶπεν· αὐτὸς ὁ Γέροντας εἶναι ἀνόητος. Ὅταν λοιπὸν τὴν ἤκουσεν ὁ Γέρων, τὴν ἐκάλεσε κοντά του καὶ τῆς λέγει· πόσους κόπους κατέβαλα εἰς αὐτὴν ἐδῶ τὴν ἐρημίαν διὰ νὰ ἀποκτήσω αὐτὴν τὴν μωρίαν καὶ τώρα, ἐξ αἰτίας σου, σήμερα θὰ τὴν χάσω; Ὄχι.

5. Κάποτε ἔγινε σύναξις εἰς τὰ κελλία διὰ μίαν ὑπόθεσιν. Κατ' αὐτὴν ὡμίλησε καὶ ὁ Ἀββᾶς Εὐάγριος. Τοῦ λέγει λοιπὸν ὁ Πρεσβύτερος· Ἀββᾶ, γνωρίζομεν, ὅτι ἂν ἦσουν εἰς τὴν πατρίδα σου, ἴσως θὰ εἶχες γίνει ἐπίσκοπος καὶ ἀρχηγὸς πολλῶν· τώρα ὅμως ὡς ξένος κάθεσαι ἐδῶ. Ὁ Ἀββᾶς ἔνοιωσε συγκίνησιν ἀπὸ αὐτά, χωρὶς νὰ ταραχθῇ, κινῶν ὅμως τὴν κεφαλὴν τοῦ εἶπε· Πράγματι ἔτσι εἶναι, Πάτερ· μίαν φορὰν ἐλάλησα, δευτέραν φορὰν δὲν θὰ ὁμιλήσω.

6. Ὁ Ἀββᾶς Ἰωάννης εἶπεν, ὅτι ἡ πύλη τοῦ οὐρανοῦ εἶναι ἡ ταπείνωσις· καὶ οἱ Πατέρες μας εἰσῆλθον εἰς τὴν πόλιν τοῦ Θεοῦ, ἀφοῦ ἐδοκίμασαν πολλὲς περιφρονήσεις.

7. Ὁ ἴδιος εἶπεν εἰς τὸν ἀδελφόν του· ἂν καὶ εἴμεθα πάρα πολὺ ἀσήμαντοι ἐνώπιον τῶν ἀνθρώπων, ἂς χαίρωμεν δι' αὐτό, διὰ νὰ μᾶς τιμήσῃ ὁ Θεός. Αὐτὸς ἦτο πάντοτε θερμὸς κατὰ τὸ πνεῦμα. Κάποτε λοιπὸν κάποιος ποὺ τὸν ἐπεσκέφθη, τὸν ἐπήνεσε διὰ τὸ ἐργόχειρόν του (ἠσχολεῖτο μὲ τὸ πλέξιμον σχοινιῶν)· ἐκεῖνος ἐσιώπησεν. Ὁ ἐπισκέπτης καὶ πάλιν ἐπήνεσε τὸ ἐργόχειρον· καὶ πάλιν ἐκεῖνος ἐσιώπησεν. Ὅταν καὶ τρίτην φορὰν τὸν ἐπήνεσε, τοῦ λέγει ὁ Ἀββᾶς Ἰωάννης· ἀπὸ τὴν στιγμὴν ποὺ εἰσῆλθες ἐδῶ, ἀπεμάκρυνες ἀπὸ κοντά μου τὸν Θεόν.

8. Ὁ ἴδιος ἐκάθητο κάποτε εἰς τὴν σκήτην καὶ οἱ ἀδελφοὶ τὸν εἶχον περικυκλώσει ἐξομολογούμενοι τοὺς λογισμούς των. Κάποιος ἀπὸ τοὺς Γέροντας τοῦ λέγει· Ἰωάννη, ὅπως τὴν πόρνην, ποὺ καλλωπίζεται, διὰ νὰ αὐξήσῃ τοὺς ἐραστάς της, ἔτσι εἶσαι. Ἀφοῦ τὸν ἐνηγκαλίσθη ὁ Ἀββᾶς Ἰωάννης τοῦ λέγει· Ἀληθινὰ λέγεις, Πάτερ. Μετὰ τὸ γεγονὸς αὐτὸ τὸν ἠρώτησε κάποιος μαθητής του· ἄραγε δὲν ταράσσεσαι μέσα σου, Ἀββᾶ; καὶ ἐκεῖνος ἀπήντησεν· ὄχι, ἀλλὰ ὅπως φαίνομαι ἐξωτερικῶς, ἔτσι εἶμαι καὶ ἐσωτερικῶς.

9. Ὁ Ἀββᾶς Ἰάκωβος εἶπεν, ὅτι ἐκεῖνος, ποὺ ἐπαινεῖται, ἂς σκέπτεται τὰς ἁμαρτίας του καὶ ἂς βάζῃ καλὰ εἰς τὸν νοῦν του ὅτι δὲν εἶναι ἄξιος δι' αὐτὰ ποὺ τοῦ λέγουν, ὁπόταν δὲν θὰ ζημιωθῇ τόσον πολὺ ἀπὸ τοὺς ἐπαίνους.

10. Διὰ τὸν Ἀββᾶν Μακάριον ἔλεγον ὅτι ὅταν κάποιος ἀδελφὸς τὸν ἐπεσκέπτετο, μὲ μεγάλον σεβασμόν, ὡς ἅγιον καὶ μεγάλον γέροντα, δὲν τοῦ ὡμίλει καθόλου. Ἂν ὅμως κάποιος ἀπὸ τοὺς ἀδελφοὺς τοῦ ἔλεγε, τάχα διὰ νὰ τὸν ταπεινώσῃ· Ἀββᾶ, ὅταν ἦσουν καμηλιέρης καὶ

ἔκλεβες νίτρον* καὶ τὸ ἐπώλεις, δὲν σὲ ἔδερναν οἱ φύλακες; Ἂν λοιπὸν κανεὶς τοῦ ὡμίλει ἔτσι, τότε μὲ χαρὰν τοῦ ἀπαντοῦσεν εἰς ὅ,τι θὰ τὸν ἠρώτα.

11. Διηγοῦντο διὰ τὰν Ἀββᾶν Μωϋσῆν τὸ ἑξῆς· Ὅταν ἔγινε κληρικὸς καὶ τοῦ ἐφόρεσαν τὰ ἄμφια, τοῦ λέγει ὁ Ἀρχιεπίσκοπος· νὰ ποὺ ἔγινες ὁλόλευκος τώρα, Ἀββᾶ Μωϋσῆ. Ἐκεῖνος τότε τοῦ ἀπήντησεν· Ἄραγε ὁ Πάπας** τὸ ἐξωτερικὸν χειροτονεῖ ἢ καὶ τὸ ἐσωτερικόν; Θέλων ὁ Ἀρχιεπίσκοπος νὰ τὸν δοκιμάσῃ λέγει εἰς τοὺς κληρικούς· ὅταν ὁ Ἀββᾶς Μωϋσῆς εἰσέρχεται εἰς τὸ ἱερὸν βῆμα, νὰ τὸν διώξετε καὶ νὰ τὸν παρακολουθήσετε, διὰ νὰ ἀκούσετε τί θὰ εἴπῃ. Πράγματι λοιπόν, ὅταν εἰσῆλθεν εἰς τὸ ἱερόν, τὸν ἐμάλωσαν καὶ τὸν ἔδιωξαν. Πήγαινε ἔξω —τοῦ εἶπαν— ἀράπη. Ἐκεῖνος, καθὼς ἐξήρχετο, ἐμονολόγει· καλὰ σοῦ ἔκαμαν, ἀράπη, χελωνόδερμε· ἐνῷ δὲν εἶσαι ἄνθρωπος, τί γυρεύεις μὲ τοὺς ἀνθρώπους;

† 12. Ἕνας Γέρων εἶπεν· ἐκεῖνος, τὸν ὁποῖον τιμοῦν οἱ ἄνθρωποι περισσότερον ἀπὸ ὅσον ἀξίζει, ζημιώνεται· ἐκεῖνος ὅμως, ποὺ δὲν τὸν τιμοῦν καθόλου οἱ ἄνθρωποι, θὰ δοξασθῇ εἰς τοὺς οὐρανοὺς ὑπὸ τοῦ Θεοῦ.

13. Ἕνας ἀδελφὸς παρεκάλεσε κάποιον Γέροντα· εἰπέ μου κάτι, νὰ τὸ ἐφαρμόσω καὶ νὰ ἐπιτύχω, μὲ αὐτό, τὴν αἰώνιον ζωήν. Καὶ ὁ Γέρων ἀπήντησεν· Ἂν ἠμπορέσῃς νὰ σὲ ὑβρίσουν καὶ νὰ ἀνεχθῇς αὐτὴν τὴν προσβολήν, αὐτὸ εἶναι μεγάλο κατόρθωμα, ἀνώτερον ἀπὸ ὅλας τὰς ἀρετάς.

†† 14. Ἕνας Γέρων εἶπε· ταπεινόφρων δὲν εἶναι ἐκεῖνος, ποὺ αὐτοεξευτελίζεται καὶ ταπεινολογεῖ, ἀλλὰ ἐκεῖνος, ποὺ ὑπομένει μὲ χαρὰν τοὺς ἐξευτελισμοὺς καὶ τὰς ἀτιμίας, ποὺ προέρχονται ἀπὸ τὸν πλησίον.

15. Ὁ ἴδιος πάλιν εἶπεν· ἂν ἕνας ἄνθρωπος σὲ ἐπαινέσῃ κατὰ πρόσωπον, σκέψου ἀμέσως τὰς ἁμαρτίας σου καὶ παρεκάλεσέ τον νὰ σταματήσῃ. Δι' ὄνομα τοῦ Θεοῦ —εἰπέ του— ἀδελφέ, σταμάτησε νὰ μὲ ἐπαινῇς, διότι εἶμαι ταλαίπωρος καὶ δὲν ἀντέχω. Ἂν πάλιν αὐτός, ποὺ σὲ ἐπαινεῖ, εἶναι σημαντικὸν πρόσωπον, μὲ ἀξίωμα, τότε προσευχήσου μέσα ἀπὸ τὴν καρδίαν σου πρὸς τὸν Θεόν. Σκέπασέ με, Κύριε —νὰ λέγῃς— ἀπὸ τὸν ἔπαινον καὶ τὴν κατηγορίαν τῶν ἀνθρώπων.

16. Ἐκάθητο κάποτε ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ἐμπρὸς εἰς τὴν Ἐκκλησίαν καὶ τὸν περιεκύκλωσαν οἱ ἀδελφοὶ ἐξομολογούμενοι εἰς

---

* Τὸ νίτρον εἶναι ὀρυκτόν, τὸ ὁποῖον εἰς τὰς χώρας ἐκείνας ἀνεμίγνυον μὲ ἔλαιον καὶ κατεσκεύαζον εἶδος σάπωνος.

** Πρόκειται περὶ τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας ὅστις φέρει καὶ τὸν τίτλον Πάπας ἀπὸ τοῦ 3ου μ.Χ. αἰῶνος. Ἡ χρῆσις τοῦ τίτλου Πατριάρχης εἶναι μεταγενεστέρα (5ος αἰών). (Βλέπε καὶ ἐν Τόμῳ Α' τὰς ὑποσημειώσεις εἰς τὰς σελίδας 374 καὶ 650.

αὐτὸν τοὺς λογισμούς των. Ὅταν εἶδεν αὐτὴν τὴν σκηνὴν κάποιος Γέρων, ἐνικήθη ἀπὸ τὸν φθόνον καὶ τοῦ λέγει· Τὸ κανάτι σου, Ἰωάννη, εἶναι γεμᾶτον δηλητήριον. Ἤρεμα ὁ Ἰωάννης τοῦ ἀπήντησεν· Ἔτσι εἶναι, Ἀββᾶ, καὶ τοῦτο τὸ εἶπες, διότι εἶδες μόνον τὸ ἐξωτερικόν· ἂν ἔβλεπες καὶ τὸ ἐσωτερικὸν καὶ τί δὲν θὰ ἠμποροῦσες νὰ εἰπῇς.

17. Κάποτε ἔγινε σύναξις εἰς τὴν σκήτην. Καὶ οἱ Πατέρες, θέλοντες νὰ δοκιμάσουν τὸν Ἀββᾶν Μωϋσῆν, τὸν προσέβαλαν μὲ τὰ ἑξῆς λόγια. Τί γυρεύει μεταξύ μας καὶ αὐτὸς ὁ ἀράπης; Ὁ Ἀββᾶς Μωϋσῆς, ἂν καὶ τὸ ἤκουσε, δὲν εἶπε τίποτα. Ὅταν ἐτελείωσεν ἡ σύναξις καὶ διελύθησαν, τοῦ λέγουν μερικοί· Ἀββᾶ, δὲν ἐταράχθηκες καθόλου μὲ τὰ ὅσα ἤκουσες; Ἐταράχθηκα —ἀπήντησεν ἐκεῖνος— ἀλλὰ δὲν ὡμίλησα.

† 18. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν· Ὁποιαδήποτε στενοχωρία καὶ ἂν σοῦ συμβῇ, θὰ τὴν νικήσῃς μὲ τὴν σιωπήν.

† 19. Διηγοῦντο δι' ἕνα Γέροντα, ὅτι, ὅσον κανεὶς τὸν ὕβριζε ἢ ἐνόμιζεν ὅτι τὸν θυμώνει, τόσον περισσότερον ὁ Γέροντας ἔτρεχε κοντά του. Αὐτοί, συνήθιζε νὰ λέγῃ, γίνονται πρόξενοι κατορθωμάτων δι' ἐκείνους, ποὺ προσέχουν· ἀντιθέτως, ἐκεῖνοι ποὺ μᾶς ἐπαινοῦν παραπλανοῦν καὶ ταράσσουν τὴν ψυχήν, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή· «ὅσοι σᾶς μακαρίζουν, σᾶς παραπλανοῦν» (Ἡσαΐας γ', 12).

Ζ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· ἐὰν ἀπὸ μικροψυχίας ἀποκριθῇ σοι ὁ ἀδελφός σου λόγον, βάσταξον αὐτὸν μετὰ χαρᾶς· καὶ ἐὰν ἐκζητήσῃς τὸν λογισμόν σου ἐν κρίματι Θεοῦ, εὑρήσεις ἑαυτὸν ἁμαρτήσαντα.

2. Τὸ ἀπορρίψαι τὴν ψυχὴν ἐνώπιον τοῦ Θεοῦ, τίκτει τὸ ὑποφέρειν ὕβριν ἀταράχως· καὶ τὰ δάκρυα αὐτῆς σῳά ἐστιν ἀπὸ πάντων τῶν ἀνθρωπίνων. Τὸ μὴ μέμφεσθαι ἑαυτὸν φέρει καὶ τὸ μὴ ὑπομένειν τὴν ὀργήν.

3. Τῷ ἔχοντι ταπείνωσιν οὐ μέλει περὶ ὀνειδισμοῦ ἀνθρώπων· αἱ γὰρ ἴδιαι ἁμαρτίαι μνημονευόμεναι πανοπλία αὐτῷ γίνονται καὶ φυλάττουσιν αὐτὸν ἀπὸ ὀργῆς καὶ ἀνταποδόσεως, καὶ ὑποφέρει τὰ ἐπερχόμενα. Ποῖον γάρ τις ὄνειδος ἔχει προσάψαι αὐτῷ, οἷον ἔχει ἐνώπιον τοῦ Θεοῦ, πρὸ προσώπου αὐτοῦ τῶν ἰδίων ἁμαρτημάτων;

4. Ὁ δυνάμενος φέρειν ῥῆμα σκληρὸν δυσχεροῦς καὶ ἀσυνέτου διὰ τὸν Θεὸν καὶ διὰ τὸ εἰρηνεύειν τοὺς λογισμούς, οὗτος δυνατός ἐστι κτήσασθαι εἰρήνην σώματος, ψυχῆς καὶ πνεύματος. Καὶ ἐὰν τὰ τρία ταῦτα συμφωνήσωσι καὶ παύσωνται οἱ ὡπλισμένοι κατὰ τοῦ νόμου τοῦ νοός, καὶ καταργηθῇ ἡ τῆς σαρκὸς αἰχμαλωσία, ὁ τοιοῦτος κληθήσεται υἱὸς τῆς εἰρήνης καὶ ἐνοικήσει ἐν αὐτῷ τὸ Πνεῦμα τὸ Ἅγιον· ὅτι αὐτοῦ ἐγένετο καὶ οὐ χωρισθήσεται ἀπ' αὐτοῦ.

5. Μέγα κέρδος, ἀδελφέ, καὶ σωτηρίαν ψυχῆς σου πίστευε εἶναι τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, τὰς διὰ Κύριον γινομένας εἰς σέ, καὶ βάσταξαι αὐτὰς προθύμως καὶ ἀταράχως, λογιζόμενος ὅτι ἄξιός εἰμι καὶ πλείονα παθεῖν διὰ τὰς ἁμαρτίας μου, καὶ ὅτι ὅλως καταξιοῦμαι παθεῖν τι διὰ τὸν Κύριον, ἴσως διὰ πολλῶν θλίψεων

καὶ ἀτιμιῶν, κἂν ῥοπήν τινα μιμητὴς γενήσομαι τοῦ πάθους τοῦ Θεοῦ μου. Καὶ ὁσάκις μνησθῇς τῶν θλιψάντων σε, ὡς μεγάλα σοι κέρδη προξενησάντων ὑπερεύχου αὐτῶν ἀπὸ ψυχῆς μετὰ ἀληθείας, μὴ γογγύζων κατ' αὐτῶν τὸ σύνολον.

6. Πάλιν δὲ ὡς μέγαν θάνατον καὶ ἀπώλειαν τῆς ψυχῆς σου καὶ κόλασιν αἰώνιον μίσησον καὶ βδέλυξαι τελείως πᾶσαν φιλαρχίαν καὶ φιλοξενίαν, καὶ τὸ θέλειν τινὰς ἐπαίνους παρὰ ἀνθρώπων.

7. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα ἐάν τίς σε ἐν οἱῳδήποτε πράγματι θλίψῃ, καὶ γένηται ἐν σοὶ λύπη ἢ θυμός, σιωπήσῃς καὶ μὴ λαλήσῃς τίποτε παρὰ τὸ πρέπον, ἕως οὗ πρῶτον τῇ προσευχῇ πραϋνθῇ σου ἡ καρδία καὶ οὕτω λοιπὸν παρακάλει τὸν ἀδελφόν.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Ἠσαΐας εἶπεν· ἂν ἀπὸ μικροψυχίαν ὁ ἀδελφός σου σοῦ ἀπαντήσῃ λόγον, ὑπόμεινέ τον χαρούμενα· καὶ ἐὰν ἐρευνήσῃς τὸν λογισμόν σου, ὡς νὰ σὲ ἔκρινεν ὁ Θεός, τότε θὰ εὕρῃς ὅτι σὺ ἔχεις ἁμαρτήσει.

2. Τὸ νὰ ταπεινώσῃς τὴν ψυχήν σου ἐνώπιον τοῦ Θεοῦ σὲ καθιστᾷ ἱκανὸν νὰ ὑπομείνῃς προσβολὴν χωρὶς νὰ ταραχθῇς· καὶ τὰ δάκρυα αὐτῆς σῴζουν ἀπὸ ὅλα τὰ ἀνθρώπινα. Τὸ νὰ μὴ κατηγορῇς τὸν ἑαυτόν σου ὁδηγεῖ εἰς τὸ νὰ μὴ ὑπομένῃς τὴν ὀργήν.

† 3. Ὅποιος ἔχει ταπείνωσιν, δὲν ἐνδιαφέρεται διὰ τὸν χλευασμὸν ποὺ τοῦ κάνουν οἱ ἄνθρωποι· ἐπειδὴ τὰ ἴδια τὰ ἁμαρτήματά του, καθὼς τὰ ἐνθυμεῖται, τοῦ γίνονται πανοπλία καὶ τὸν προφυλάσσουν ἀπὸ τὴν ὀργὴν καὶ τὴν διάθεσιν ἀνταποδόσεως, διὰ νὰ ὑποφέρῃ ἀγογγύστως ὅσα τοῦ συμβαίνουν. Διότι ποίαν κατηγορίαν θὰ ἠμπορέσῃ κανεὶς νὰ τοῦ προσάψῃ, χειροτέραν ἀπὸ ἐκείνην ποὺ αἰσθάνεται ὁ ἴδιος ἀπέναντι τοῦ Θεοῦ ἀπὸ τὴν ἐνθύμησιν τῶν ἁμαρτημάτων του;

4. Ἐκεῖνος ποὺ ἠμπορεῖ νὰ ὑποφέρῃ τὸν σκληρὸν λόγον ἑνὸς κακοτρόπου καὶ ἀνοήτου ἀνθρώπου, διὰ τὸν Θεὸν καὶ διὰ νὰ ἡσυχάζουν οἱ λογισμοί του, αὐτὸς εἶναι ἱκανὸς νὰ ἀποκτήσῃ τὴν εἰρήνην τοῦ σώματος, τῆς ψυχῆς καὶ τοῦ πνεύματος. Καὶ ἂν αὐτὰ τὰ τρία συμφωνήσουν καὶ σταματήσουν νὰ στρέφουν τὰ ὅπλα τους ἐναντίον τοῦ νόμου τοῦ νοὸς καὶ καταργηθῇ ἡ αἰχμαλωσία τῆς σαρκός, τότε αὐτὸς θὰ ὀνομασθῇ υἱὸς εἰρήνης καὶ θὰ κατοικήσῃ μέσα του τὸ Ἅγιον Πνεῦμα, διότι ἔγινε πλέον ἰδικός του καὶ δὲν θὰ χωρισθῇ ἀπὸ αὐτόν.

5. Ἀδελφέ, νὰ πιστεύῃς ὅτι εἶναι μεγάλο κέρδος καὶ σωτηρία ψυχῆς αἱ ὕβρεις καὶ αἱ ἀτιμίαι, ποὺ γίνονται εἰς βάρος σου, διὰ τὸν Κύριον· δι' αὐτὸ καὶ νὰ τοὺς ἀνέχεσαι προθύμως καὶ ἀταράχως, μὲ τὴν σκέψιν, ὅτι εἶμαι ἄξιος καὶ περισσότερα νὰ πάθω, ἐξ αἰτίας τῶν ἁμαρτιῶν μου, καὶ ὅτι παίρνω μεγάλην ἀξίαν μὲ τὸ νὰ ὑποστῶ κάτι διὰ τὸν Κύριον. Ἴσως —νὰ σκέπτεσαι ἀκόμη— μὲ τὰς πολλὰς θλίψεις καὶ ἀτιμίας ποὺ δοκιμάζω, γίνω, ἔστω καὶ διὰ μίαν στιγμήν, μιμητὴς τοῦ

πάθους τοῦ Θεοῦ μου. Ὅσας φορὰς δὲ ἐνθυμηθῇς ἐκείνους ποὺ σὲ ἐστενοχώρησαν, νὰ εὔχεσαι δι' αὐτοὺς μὲ ὅλην σου τὴν ψυχὴν καὶ εἰλικρινά, ὡς νὰ σοῦ ἐπροξένησαν μεγάλα κέρδη, χωρὶς νὰ γογγύζῃς καθόλου ἐναντίον αὐτῶν.

6. Ἀντιθέτως τελείως νὰ ἀποστραφῇς καὶ νὰ μισήσῃς, ὡς φοβερὸν θάνατον καὶ ἀπώλειαν τῆς ψυχῆς σου καὶ κόλασιν αἰώνιον, κάθε φιλαρχίαν καὶ φιλοδοξίαν καὶ τὸ νὰ θέλουν μερικοὶ ἐπαίνους ἀπὸ τοὺς ἀνθρώπους.

7. Πρόσεχε τὸν ἑαυτόν σου μὲ αὐστηρότητα, ἂν κανεὶς σὲ στενοχωρήσῃ δι' ὁποιοδήποτε πρᾶγμα καὶ γεννηθῇ μέσα σου λύπη ἢ θυμός, νὰ σιωπήσῃς καὶ νὰ μὴ εἴπῃς τίποτε περισσότερον ἀπὸ αὐτὸ ποὺ πρέπει, μέχρις ὅτου ἠρεμήσῃ πρῶτα ἡ καρδιά σου μὲ τὴν προσευχὴν καὶ κατόπιν ἐξηγήσου μὲ τὸν ἀδελφόν σου.

Η'. Τοῦ Ἀββᾶ Μάρκου

ΟΝΕΙΔΙΣΜΟΣ ἀνθρώπων θλῖψιν παρέχει τῇ καρδίᾳ, ἁγνείας δὲ γίνεται αἰτία τῷ ὑπομένοντι. Ἐὰν θέλῃς ἀκατακρίτως παρὰ ἀνθρώπων ἔπαινον λαμβάνειν, πρότερον ὑπὲρ ἁμαρτημάτων σου ἀγάπησον ἔλεγχον. Ὅσην ἂν τις ὑπὲρ ἀληθείας Χριστοῦ καταδέξηται ἐντροπήν, ἑκατονταπλασίως ὑπὸ πλήθους δοξασθήσεται· κρεῖσσον δὲ πᾶν ἀγαθὸν ἐργάζεσθαι διὰ τὰ μέλλοντα. Ὅταν ἴδῃς λογισμὸν ἀνθρωπίνην σοι δόξαν ὑπαγορεύοντα, γίνωσκε σαφῶς ὅτι αἰσχύνην σοι κατασκευάζει.

2. Ρίζα αἰσχρᾶς ἐπιθυμίας, ἀνθρώπινος ἔπαινος, ὥς περ καὶ σωφροσύνης ὁ περὶ κακίας ἔλεγχος· καὶ οὐχ ὅταν ἀκούωμεν, ἀλλ' ὅταν αὐτὰ καταδεχώμεθα. Ζημιωθεὶς ἢ ὀνειδισθεὶς ἢ διωχθεὶς παρά τινος, μὴ λογίζου τὸ παρόν, ἀλλὰ τὸ μέλλον ἐκδέχου καὶ εὑρήσεις ὅτι πολλῶν σοι ἀγαθῶν γέγονε πρόξενος, οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

3. Ἐὰν ἴδῃς τινὰ καθ' ὑπόκρισιν ἐπαινοῦντά σε, ἐν ἰδίῳ καιρῷ παρ' ἐκείνου ψόγον ἐκδέχου. Ὅταν ἀτιμίαν τινὰ παρὰ ἀνθρώπων πάθῃς, εὐθὺς τὴν ἐπιφορὰν τῆς παρὰ Θεοῦ δόξης ἐννόησον· καὶ ἐπὶ μὲν τῇ ἀτιμίᾳ ἄλυπος καὶ ἀτάραχος ἔσῃ· ἐπὶ δὲ τῇ δόξῃ, πιστὸς καὶ ἀκατάκριτος εὑρεθήσῃ, ὅταν ἐλεύσηται.

4. Ἐπαινούμενος ὑπὸ πλήθους κατ' εὐδοκίαν Θεοῦ, ἐπιδεικτικὸν μηδὲν ἐπιμίξῃς τῇ κυριακῇ οἰκονομίᾳ, ἵνα μὴ πάλιν ἐκκαταβαλείς, εἰς τὸ ἐναντίον ἐκπέσῃς. Ὅταν ἴδῃς τινὰ ἐν πολλαῖς ἀτιμίαις ὀδυνώμενον, γίνωσκε ὅτι λογισμοῦ κενοδοξίας ἐμφορηθείς, ἀηδῶς τῶν καρδιακῶν σπερμάτων θερίζει τὰ δράγματα. Ὁ φιλήδονος λυπεῖται ἐν ψόγοις καὶ κακοπαθείαις, ὁ δὲ φιλόθεος ἐν ἐπαίνοις καὶ πλεονεξίαις.

Ἑρμηνεία

Ο ΧΛΕΥΑΣΜΟΣ τῶν ἀνθρώπων προξενεῖ θλῖψιν εἰς τὴν καρδίαν, γίνεται ὅμως αἰτία ἐξαγνισμοῦ δι' ἐκεῖνον, ποὺ ὑπομένει. Ἂν θέλῃς νὰ ἐπαινῆσαι ἀπὸ τοὺς ἀνθρώπους, χωρὶς κατάκρισιν, προηγουμένως νὰ ἀγαπήσῃς τὸν ἔλεγχον διὰ τὰ ἁμαρτήματά σου. Ὅσην ἐντροπὴν ἠμπορεῖ νὰ ἀνεχθῇ κανεὶς διὰ τὴν ἀλήθειαν τοῦ Χριστοῦ, ἑκατονταπλα-

σίως θὰ δοξασθῇ ἀπὸ τὸν κόσμον· εἶναι καλύτερον νὰ ἐργάζεσαι τὸ κάθε ἀγαθόν, διὰ νὰ κληρονομήσῃς τὰ μέλλοντα. Ὅταν ἀντιληφθῇς ἐντός σου σκέψιν νὰ σοῦ ὑπαγορεύῃ δόξαν ἀνθρώπων, νὰ γνωρίζῃς καλῶς, ὅτι ἡ σκέψις αὐτὴ σοῦ προετοιμάζει ἐντροπήν.

2. Ρίζα αἰσχρᾶς ἐπιθυμίας εἶναι ὁ ἀνθρώπινος ἔπαινος, ὅπως ἀκριβῶς καὶ τῆς σωφροσύνης ὁ ἔλεγχος διὰ τὴν κακίαν· καὶ ὄχι ἁπλῶς ὅταν τὰ ἀκούωμεν, ἀλλ' ὅταν τὰ παραδεχώμεθα. Ὅταν ζημιωθῇς ἢ χλευασθῇς, ἢ διωχθῇς ἀπὸ κάποιον, νὰ μὴ σκέπτεσαι τὸ παρόν, ἀλλὰ νὰ περιμένῃς τὴν μέλλουσαν ζωὴν καὶ θὰ εὕρῃς ὅτι αὐτὸ σοῦ ἐπροξένησε πολλὰ ἀγαθά, ὄχι μόνον εἰς τὸν παρόντα, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα αἰῶνα.

3. Ἂν ἴδῃς κάποιον νὰ σὲ ἐπαινῇ ὑποκριτικά, νὰ περιμένῃς τὴν ἰδίαν στιγμὴν καὶ κατηγορίαν ἐκ μέρους του. Ὅταν ὑποστῇς κάποιαν προσβολὴν ἀπὸ τοὺς ἀνθρώπους, φέρε ἀμέσως εἰς τὸν νοῦν σου τὴν ἀνταπόδοσιν τῆς δόξης ἐκ μέρους τοῦ Θεοῦ· καὶ εἰς μὲν τὴν περίπτωσιν τῆς προσβολῆς θὰ παραμένῃς ἀτάραχος, χωρὶς νὰ λυπῆσαι· εἰς τὴν περίπτωσιν, πάλιν, τῆς δόξης, ὅταν θὰ ἔλθῃ, θὰ εὑρεθῇς πιστὸς καὶ ἀκατάκριτος.

† 4. Ὅταν ἐπαινῆσαι ἀπὸ τὸ πλῆθος, κατ' εὐδοκίαν Θεοῦ, πρόσεξε νὰ μὴ ἀναμίξῃς καμμίαν ἐπιδεικτικότητα εἰς τὴν οἰκονομίαν τοῦ Κυρίου ποὺ σοῦ παρεχώρησε τὸν ἔπαινον, διὰ νὰ μὴ ὑπερηφανευθῇς καὶ πέσῃς πάλιν εἰς τὸ ἀντίθετον. Ὅταν ἴδῃς κάποιον νὰ κλαίῃ καὶ νὰ ὑποφέρῃ διὰ πολλὰς προσβολὰς ποὺ τοῦ γίνονται, νὰ γνωρίζῃς ὅτι, ἐπειδὴ ἐκυριεύθη ἀπὸ λογισμὸν κενοδοξίας, θερίζει, χωρὶς νὰ τὸ καταλαβαίνῃ, τὰ χειρόβολα ἀπὸ τὰ κακὰ σπέρματα τῆς καρδίας του. Ὅποιος ἀγαπᾷ τὴν ἡδονήν, λυπεῖται διὰ τὰς κατηγορίας καὶ τὴν κακομεταχείρισιν· ἀντιθέτως, ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν Θεὸν λυπεῖται διὰ τοὺς ἐπαίνους καὶ τὰς λοιπὰς πλεονεξίας.

Θ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΥΠΟΜΕΙΝΟΝ τὴν ἐξουδένωσιν καὶ τὴν ταπείνωσιν χρηστῷ θελήματι, ἵνα σχῇς παρρησίαν πρὸς Θεόν. Πάντα λόγον σκληρὸν ὑπομένων ἄνθρωπος ἐν γνώσει, ἄνευ προηγησαμένης ἁμαρτίας ὑπ' αὐτοῦ εἰς τὸν λαλήσαντα, στέφανον μὲν ἀκάνθινον ἐπιτίθησι τότε τῇ ἑαυτοῦ κεφαλῇ, μακάριος δέ ἐστιν ὅτι ἐν καιρῷ, ᾧ οὐκ οἶδεν, ἀφθάρτως στεφανοῦται. Τῆς ταπεινώσεως ἡ τελειότης ἐστὶ τὸ φέρειν ἐξουδένωσιν μετὰ χαρᾶς καὶ πᾶσαν ψευδῆ κατηγορίαν· καὶ γὰρ ὁ ταπεινόφρων ἐν ἀληθείᾳ ἀδικούμενος οὐ ταράττεται, οὐδὲ ἀπολογίαν ποιεῖ ὑπὲρ τοῦ πράγματος, οὗ ἠδικήθη, ἀλλὰ δέχεται τὴν συκοφαντίαν ὡς ἀλήθειαν καὶ οὐ μεριμνᾷ πεῖσαι τοὺς ἀνθρώπους ὅτι ἐσυκοφαντήθη, ἀλλὰ συγχώρησιν αἰτεῖται.

Τινὲς γὰρ τὸ ὄνομα τῆς ἀκολασίας ἑαυτοῖς ἑκουσίως ἐπεσπάσαντο, μὴ ὄντες τοιοῦτοι. Ἕτεροι τὸ τῆς μοιχείας, πόρρω τούτου ὄντες ὑπέμενον· καὶ ἐπικαρπίαν ἁμαρτίας, ἣν οὐκ εἰργάσαντο, διὰ τῶν δακρύων ἑαυτοῖς ἐπεφόρτιζον καὶ συγχώρησιν ἁμαρτίας ἣν οὐκ ἐποίησαν μετὰ κλαυθμοῦ παρὰ τῶν ἠδικηκότων καὶ συ-

κοφαντούντων ἐξητοῦντο, πάσῃ καθαρότητι καὶ ἁγνείᾳ ὄντες ἐστεφανωμένοι τὴν ψυχήν. Ἄλλοι δὲ ἵνα μὴ δοξασθῶσιν ἐν τῇ ἐναρέτῳ αὐτῶν καταστάσει, οὔσῃ αὐτοῖς κεκρυμμένῃ, ἐν σχήματι παραπλήγων ἑαυτοὺς τοῖς ἀνθρώποις ἐδείκνυον, τῷ θείῳ ἅλατι ἠρτυμένοι ὄντες καὶ τῇ ἐντὸς γαλήνῃ πάγιοι, ὥς τε διὰ τὴν ἄκραν αὐτῶν τελειότητα τοὺς Ἁγίους Ἀγγέλους ἀνακηρύττειν τὰ τούτων ἀνδραγαθήματα. Σὺ δὲ ταπείνωσιν μὲν νομίζεις ἔχειν, ἁπλῶς δὲ κατηγορούμενος οὐ φέρεις. Εἰ οὖν βούλει γνῶναι εἰ ταπεινόφρων εἶ, δοκίμασον ἐν τοῖς εἰρημένοις.

Ἑρμηνεία

ΝΑ ΥΠΟΜΕΙΝΗΣ τὸν ἐξευτελισμὸν καὶ τὴν ταπείνωσιν μὲ καλὴν θέλησιν, διὰ νὰ ἀποκτήσῃς τὸ θάρρος τῆς ἀνεμποδίστου ἀναφορᾶς πρὸς τὸν Θεόν. Ὅταν ὁ ἄνθρωπος ὑπομένῃ θεληματικὰ κάθε σκληρὸν λόγον, χωρὶς ὅμως προηγουμένως νὰ ἔχῃ ἁμαρτήσει πρὸς ἐκεῖνον ὁ ὁποῖος τοῦ τὸν εἶπε, φορεῖ μὲν εἰς τὴν κεφαλήν του ἀκάνθινον στέφανον, γίνεται ὅμως μακάριος, διότι εἰς καιρόν, τὸν ὁποῖον δὲν γνωρίζει, στεφανώνεται ἄφθαρτα. Ἡ τελειότης τῆς ταπεινώσεως εἶναι τὸ νὰ ἠμπορῇς νὰ ὑποστῇς μὲ χαρὰν ἐξευτελισμὸν καὶ πᾶσαν ψευδῆ κατηγορίαν. Διότι πραγματικὰ ἐκεῖνος ποὺ εἶναι ἀληθινὰ ταπεινόφρων, ὅταν ἀδικεῖται δὲν ταράσσεται, οὔτε ἀπολογεῖται διὰ τὴν ὑπόθεσιν, ποὺ ἠδικήθη, ἀλλὰ δέχεται σὰν ἀλήθεια τὴν συκοφαντίαν καὶ δὲν φροντίζει νὰ πείσῃ τοὺς ἀνθρώπους ὅτι ἠδικήθη, ἀλλὰ ζητεῖ συγχώρησιν.

Μερικοί, δηλαδή, ἔγιναν οἱ ἴδιοι αἰτία νὰ χαρακτηρισθοῦν ὡς ἀκόλαστοι, χωρὶς νὰ εἶναι τοιοῦτοι. Ἄλλους τοὺς εἶπαν μοιχοὺς καὶ τὸ ὑπέμειναν, ἐνῷ ἦσαν τελείως ἀθῷοι ἀπ' αὐτό· καὶ τὸν καρπὸν ἁμαρτίας, τὴν ὁποίαν δὲν διέπραξαν, ἐφόρτωναν, μὲ τὰ δάκρυα, εἰς τοὺς ἑαυτούς των καὶ ἐζήτουν, ἀπὸ τοὺς συκοφάντας των συγγνώμην δι' ἁμαρτίαν, ποὺ δὲν διέπραξαν, ἐνῷ εἶχον στεφανώσει τὴν ψυχήν των μὲ κάθε καθαρότητα καὶ ἁγνείαν. Ἄλλοι, πάλιν, διὰ νὰ μὴ δοξασθοῦν διὰ τὴν ἀρετήν των, ἡ ὁποία εἶχεν ἀποκρυβῆ μέσα των, παρουσιάζοντο εἰς τοὺς ἀνθρώπους ὡς τρελλοί, ἐνῷ ἦσαν ἁλατισμένοι μὲ τὸ θεϊκὸν ἁλάτι καὶ ἀμετακίνητοι εἰς τὴν ἐσωτερικήν των γαλήνην, ὥστε, ἐξ αἰτίας τῆς μεγάλης τελειότητός των, νὰ διακηρύσσουν τὰ κατορθώματά των οἱ Ἅγιοι Ἄγγελοι. Σὺ ὅμως νὰ μὴ νομίζῃς ὅτι ἔχεις ταπείνωσιν, ὅταν δὲν ἀνέχεσαι νὰ κατηγορῆσαι δι' ἀσήμαντα πράγματα. Ἂν λοιπὸν θέλῃς νὰ μάθῃς ἂν εἶσαι πραγματικὰ ταπεινόφρων, δοκίμασε τὸν ἑαυτόν σου μὲ ὅσα ἐλέχθησαν.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΑΠΗΛΘΕ ποτε ἀπὸ σκήτεως ἀδελφὸς δόκιμος εἰς τὸ Κοινόβιον τῶν Ταβεννησιωτῶν· ἦσαν δὲ οἱ ἐν αὐτῷ ἄνδρες πάντες σχεδὸν ἅγιοι καὶ ἀκριβεῖς ἀσκηταί. Ὁ οὖν ἀδελφός, μετὰ ἡμέρας τριάκοντα, προσελθὼν τῷ ἀρχιμανδρίτῃ λέγει· ποίησόν μοι εὐχήν, Ἀββᾶ, καὶ ἀπόλυσόν με· οὐ γὰρ δύναμαι μεῖναι ὧδε. Λέγει αὐτῷ ὁ Πατήρ· διατί, τέκνον; ἀπεκρίθη ὁ ἀδελφός· διότι ὧδε κάματος οὐκ ἔστιν, οὐ-

δὲ μισθός· πάντες γὰρ οἱ Πατέρες ἀγωνισταί εἰσιν, ἐγὼ δὲ ἀνὴρ ἁμαρτωλός εἰμι καὶ ὑπάγω μᾶλλον ὅπου ὑβρισθῆναι εὑρίσκω καὶ ἐξουδενωθῆναι· ταῦτα γάρ εἰσι τὰ σώζοντα ἄνθρωπον ἁμαρτωλόν. Ἀκούσας δὲ ὁ γέρων ἐθαύμασε· καὶ εἰδὼς ὅτι ἐργάτης ἐστίν, ἀπέλυσεν αὐτὸν εἰπών· πορεύου, τέκνον· ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου καὶ ὑπόμεινον τὸν Κύριον.

Ἑρμηνεία

ΚΑΠΟΤΕ κάποιος δόκιμος Μοναχὸς ἐπῆγεν ἀπὸ τὴν σκήτην εἰς τὸ Κοινόβιον τῶν Ταβεννησιωτῶν· οἱ δὲ Μοναχοὶ τοῦ Κοινοβίου ἦσαν ὅλοι σχεδὸν ἄνδρες ἅγιοι καὶ ἀκριβολόγοι ἀσκηταί.

Ὕστερα ἀπὸ τριάντα ἡμέρας ὁ δόκιμος Μοναχὸς ἦλθεν εἰς τὸν Ἀρχιμανδρίτην τοῦ Κοινοβίου καὶ τοῦ λέγει: Ἀββᾶ, εὐλόγησέ με καὶ ἀπόλυσέ με, διότι δὲν ἠμπορῶ νὰ μείνω ἐδῶ. Διατί, τέκνον μου; τὸν ἐρωτᾷ ὁ Πατήρ. Διότι —ἀπήντησεν ὁ δόκιμος Μοναχός,— ἐδῶ δὲν ὑπάρχει κόπος, οὔτε μισθός· ἐπειδὴ ὅλοι οἱ Πατέρες εἶναι ἀγωνισταί, ἐνῷ ἐγὼ εἶμαι ἄνθρωπος ἁμαρτωλὸς καὶ θὰ προτιμήσω νὰ ὑπάγω ἐκεῖ, ὅπου θὰ εὕρω ἀνθρώπους νὰ μὲ ὑβρίζουν καὶ νὰ μὲ ἐξευτελίζουν· διότι αὐτὰ εἶναι ποὺ σώζουν ἕνα ἄνθρωπον ἁμαρτωλόν. Μόλις ἤκουσεν αὐτὰ ὁ Γέρων ἐθαύμασε καὶ ἐπειδὴ ἐγνώριζεν ὅτι εἶναι πραγματικὸς ἐργάτης τῶν ἐντολῶν τοῦ Θεοῦ τὸν ἀπέλυσε, λέγων πρὸς αὐτόν· πήγαινε, τέκνον, νὰ ἐνδυναμώνεσαι καὶ νὰ ἰσχυροποιῆται ἡ καρδία σου καὶ νὰ ὑπομένῃς τὸν Κύριον.

ΙΑ'. Τοῦ Ἀββᾶ Ζωσιμᾶ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ζωσιμᾶς· προαιρέσεων ὁρμαὶ διάφοροί εἰσιν· καὶ δύναται προαίρεσις θερμὴ ἐν μιᾷ ὥρᾳ προσενέγκαι τῷ Θεῷ, ἅπερ οὐ προσφέρει ἄλλη προαίρεσις, νωθρὰ οὖσα, εἰς πεντήκοντα ἔτη. Οἷον, ἐὰν ἴδωσιν οἱ δαίμονες ὅτι ὑβρίσθη τις ἢ ἠτιμάσθη ἢ ἐζημιώθη ἢ πᾶν ὁτιοῦν ἔπαθε καὶ θλίβεται, οὐχ ὅτι ἔπαθε κακῶς, ἀλλ' ὅτι μὴ ὑπήνεγκε γενναίως τὴν τοιαύτην ὁρμήν, λίαν φοβοῦνται οἱ δαίμονες· γινώσκουσι γὰρ ὅτι ἥψατο τῆς ὁδοῦ τῆς ἀληθείας καὶ βούλεται περιπατεῖν κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ.

2. Ἔλεγεν ὁ αὐτός, ὅτι ἐὰν μνησθῇ τις τοῦ θλίψαντος αὐτὸν ἢ λοιδορήσαντος ἢ ζημιώσαντος ἢ ἄλλο τι δεινὸν ποιήσαντος, ὀφείλει οὕτω μεμνῆσθαι αὐτοῦ ὡς ἰατροῦ, καὶ ἐκ ψυχῆς αὐτοῦ ὑπερεύχεσθαι. Εἰ δὲ πλέκει λογισμοὺς κατ' αὐτοῦ, ἐπιβουλεύει τῇ ἰδίᾳ ψυχῇ ὡς οἱ δαίμονες. Μᾶλλον δὲ αὐτὸς ἑαυτῷ δαίμων καὶ πολέμιος γίνεται, μὴ ἐπιθυμῶν ἀπαλλαγῆναι κακίας, ἀλλὰ νοσεῖν ἀνίατα· καὶ γὰρ εἰ μὴ ἐνόσει, οὐκ ἂν ἔπασχε πρὸς τὸν θλίψαντα αὐτὸν ἢ λοιδορήσαντα, ὃς ἰατρὸς ἐπέμφθη αὐτῷ ὑπὸ Χριστοῦ, διὰ τῆς ὕβρεως ἢ ζημίας φανερῶν τὸ πάθος αὐτοῦ.

Εἰ οὖν ἐπιθυμῇ τῷ ὄντι ἰαθῆναι, ὀφείλει ἔχειν αὐτὸν ὡς εὐεργέτην καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ ὡς φάρμακα ἰαματικὰ πεμφθέντα αὐτῷ παρὰ τοῦ Ἰησοῦ, καὶ εὐχαριστεῖν ἐπ' αὐτοῖς, κἂν πρὸς τὸ παρὸν τὸ ἀλγεινὸν ἔχωσιν. Οὐδὲ γὰρ ὁ νοσῶν ἡδέως ἔχει τοῦ τέμνεσθαι ἢ καίεσθαι ἢ πίνειν καθάρσια, ἀλλὰ καὶ μετὰ ἀηδίας τῶν τοιούτων μέμνηται· ὅμως πείσας ἑαυτὸν ὅτι ἀδύνατον χωρὶς τούτων ἀπαλλα-

γῆναι τῆς νόσου, ἐκδίδωσιν ἑαυτὸν λοιπὸν τῷ ἰατρῷ, ἐπιστάμενος ὅτι διὰ μικρᾶς ἀηδίας ἀπαλλάσσεται πολλῆς κακοχυμίας καὶ πολυχρονίας νόσου.

Καυτὴρ τοῦ Ἰησοῦ ἐστιν ὁ ἐπιφέρων σοι ζημίαν ἢ ὕβριν, ἀλλ' ἀπαλλάσσει σε πλεονεξίας ἢ ὑπερηφανείας. Εἰ δὲ μὴ ἀνέχῃ τῶν τοιούτων καὶ οὐ μόνον οὐκ εὐχαριστῇς, ἀλλὰ καὶ πλέκῃς λογισμοὺς κατὰ τοῦ ἀδελφοῦ, δυνάμει λέγεις τῷ Ἰησοῦ, οὐ θέλω ἰαθῆναι παρὰ σοῦ· οὐ θέλω δέξασθαι τὰ φάρμακά σου· σαπῆναι βούλομαι ἐν τοῖς τραύμασί μου· καὶ τί σοι λοιπὸν ποιήσει ὁ ἀγαθὸς Κύριος; Γίνωσκε οὖν, ἀδελφέ, ὅτι ὁ φεύγων πειρασμὸν ἐπωφελῆ, φεύγει ζωὴν αἰώνιον.

Ἔλεγε γὰρ καὶ ὁ Εὐάγριος, ὅτι ἐγὼ τοὺς ἐμὲ κακολογοῦντας οὐκ αἰτιῶμαι, ἀλλὰ καὶ εὐεργέτας καλῶ· καὶ οὐκ ἀπωθοῦμαι τὸν ἰατρὸν τῶν ψυχῶν, φάρμακον ἀτιμίας προσάγοντα κενοδόξῳ ψυχῇ· δέδοικα οὖν μήποτε καὶ περὶ τῆς ἐμῆς ψυχῆς εἴπῃ· ἰατρεύσαμεν τὴν Βαβυλῶνα καὶ οὐκ ἰάθη· καὶ γὰρ ἀγαθὸς ὢν ὁ Κύριος ἡμῶν, ἔδωκεν ἡμῖν ἐντολὰς ἁγίας πρὸς τὰς κακίας ἡμῶν, καθαιρούσας αὐτὰς διὰ καυτήρων καὶ καθαρσίων. Ἀδύνατον οὖν ἄλλως ἀπαλλαγῆναι τῆς νόσου, εἰ μὴ διὰ τῶν προσφυῶν καὶ καταλλήλων ἰατρειῶν.

4. Ἔλεγε πάλιν, ὅτι οὐδεὶς ψεύδεται, εἰμὴ οἱ ἐπαινοῦντες καὶ μακαρίζοντές με· καὶ οὐδεὶς ἀληθεύει, εἰμὴ οἱ ψέγοντες καὶ ἐξουθενοῦντές με. Καὶ οὐδὲ πᾶσαν τὴν ἀλήθειαν λέγουσιν οὐδὲ ἀκριβῶς ἐπίστανται πάντα τὰ τῆς καρδίας μου. Εἰ δὲ ἠξιώθησαν, οὐ λέγω πάντα, ἀλλὰ μέρος τι τῶν ἐμῶν κακῶν κατιδεῖν, ἀπεστράφησαν ἂν ἀπ' ἐμοῦ ὡς ἀπὸ βορβόρου ἢ δυσωδίας ἢ ὡς ἀπὸ ἀκαθάρτου πνεύματος· καὶ ἐὰν γένωνται τὰ σώματα τῶν ἀνθρώπων γλῶσσαι εἰς τὸ λοιδορεῖν τὰ ἐμά, πέπεισμαι, ὅτι οὐδεὶς ἱκανὸς ἔσται ἀξίως εἰπεῖν τὴν ἐμὴν ἀτιμίαν.

Εἰ γὰρ Ἰὼβ ὁ δίκαιος εἶπε· πλήρης ἀτιμίας εἰμί, τὸ δὲ πλήρης προσθήκην οὐκ ἐπιδέχεται, ἐγὼ δὲ τί εἴπω, πέλαγος ὢν πάσης κακίας; Ἐν παντὶ ἁμαρτήματι ἐταπείνωσεν ἡμᾶς ὁ διάβολος καὶ οὐκ ὀφείλομεν ἐπιγνώμονες εἶναι τῆς ἡμῶν ταπεινώσεως; Οἱ οὖν ἑαυτῶν ἐπιγνώμονες συντρίβουσι τὸν σατανᾶν τὸν αὐτοὺς συντρίψαντα· καὶ καθὼς εἶπον οἱ Ἅγιοι Πατέρες, ὅταν κατενεχθῇ ἡ ταπείνωσις εἰς τὸν ἅδην, εἰς τὸν οὐρανὸν ἀνάγεται, ὥσπερ καὶ ἡ ὑπερηφανία, ὅταν ὑψωθῇ ἕως τῶν οὐρανῶν, εἰς τὸν ἅδην κατάγεται. Καὶ ἔλεγε· τίς πείθει ποτὲ ταπεινὸν πλέξαι λογισμοὺς κατά τινος;

Πᾶν γὰρ ὃ ἂν πάθῃ λυπηρὸν ὁ ταπεινὸς ἢ ἀκούσῃ, ἀφορμὴν αὐτῷ ποιεῖται εἰς τὸ ἐξυβρίζειν ἑαυτὸν καὶ ἀτιμάζειν, καθὼς καὶ ὁ Ἀββᾶς Μωϋσῆς, ὅτε ἐξέβαλον αὐτὸν οἱ κληρικοὶ ἐκ τοῦ ἱερατείου ὑβρίζοντες, πλέον ἐκείνων ὕβριζεν αὐτὸς ἑαυτόν. Εἰ δὲ συμβῇ καὶ ταραχθῆναι ποτὲ ταπεινὸν ἐκ τῆς ὕβρεως ἢ ἀδικίας, ἣν ὑφίσταται, εὐθέως εἰς προσευχὴν τρέπεται, δι' ἧς καὶ συντόμως τὴν καρδίαν πραΰνεται. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ ταράττεσθαι σφοδρῶς ἑαυτὸν ἐπιπλήττει ἀεὶ καὶ ἐλέγχει, λέγων πρὸς τὴν ἰδίαν ψυχήν· τί μαίνῃ, ἀθλία ψυχή; τί ταράσσῃ ὡς οἱ ἀφρίζοντες; αὐτῷ τούτῳ τῷ ταράττεσθαι δεικνύεις ὅτι νοσεῖς· εἰ μὴ γὰρ ἐνόσεις, οὐκ ἂν ἔπασχες· τί ἀφεῖσα, ταλαίπωρε, τὸ ἑαυτὴν μέμφεσθαι, ἐγκαλεῖς τῷ ἀδελφῷ, ὅτι ἔδειξέ σοι τὴν νόσον σου τὴν ἐν σοὶ κεκρυμμένην καὶ ἀγνοουμένην ἄχρι τοῦ νῦν;

Μίμησαι τὸν Χριστόν, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· ἀκούεις αὐτοῦ λέγοντος καὶ πράγματι δείξαντος· «τὸν νῶτον μου δέδωκα

εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ραπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων». Καὶ σύ, ἀθλία, διὰ μίαν ὕβριν κάθῃ πλέκουσα μυρίους λογισμοὺς κατὰ τοῦ ἀδελφοῦ τοῦ εὐεργετήσαντός σε διὰ τῆς μικρᾶς ἀτιμίας καὶ οὐκ αἰσθάνῃ, ἐπιβουλεύουσα σεαυτῇ ὡς οἱ δαίμονες; Τί γὰρ πλέον σοι ἔχει ποιῆσαι ὁ δαίμων, ὧν σὺ ποιεῖς σεαυτῇ, ἄφρον καὶ ταλαίπωρε; Καὶ ἐπέφερεν ὁ γέρων, ὅτι τὸν σταυρὸν τοῦ Χριστοῦ βλέπομεν, καὶ τὰ πάθη αὐτοῦ ἀναγινώσκομεν καθ' ἑκάστην ἡμέραν, ἃ ἔπαθε δι' ἡμᾶς, καὶ ἡμεῖς οὐδεμίαν ὕβριν φέρομεν· ὄντως ἐξετράπημεν τῆς εὐθείας ὁδοῦ.

5. Ἔλεγε πάλιν, ὅτι ἐὰν ζήσῃ τις τὰ ἔτη τοῦ Μαθουσάλα καὶ μὴ ὁδεύσῃ ταύτην τὴν εὐθεῖαν ὁδόν, ἣν ὥδευσαν πάντες οἱ ἅγιοι, λέγω δὴ τὴν τοῦ ἀτιμάζεσθαι καὶ ζημιοῦσθαι καὶ φέρειν γενναίως, οὐ μὴ προβῇ εἴς τι ἀγαθὸν μικρὸν ἢ μέγα, ἀλλὰ μόνον τὰ ἔτη ἀναλώσει.

6. Ἔλεγε πάλιν, ὅτι ποτὲ ἀδελφός τις ἠρώτησέ με λέγων· Ἀββᾶ, πολλαί εἰσιν αἱ ἐντολαὶ τοῦ Χριστοῦ, καὶ σκοτίζεταί μου ὁ νοῦς καὶ οὐ δύναμαι πάσας κατέχειν· εἰπὲ οὖν τί ποιήσω; καὶ ἀπεκρίθην αὐτῷ. Ἀδελφέ, μὴ θορυβηθῇς ἐκ τούτου· τοῦτο δὲ λόγισαι καὶ ὡς δυνατὸν κάτεχε, τὸ πάντα τὰ ἐπερχόμενά σοι εὐχαρίστως φέρειν, καὶ διὰ τούτου πάσας τὰς ἀρετὰς κατορθοῖς εὐκόλως. Ποῖον γὰρ κόπον ἔχει τὸ ὑπὲρ τοῦ λυπήσαντος εὔχεσθαι; Σκάψαι ἐστὶ τὴν γῆν; ἢ ὁδεῦσαι ὁδόν; ἢ περάσαι θάλασσαν ἢ ζημίαν ὑποστῆναι χρημάτων;

Εὐχαρίστει οὖν ἀτιμαζόμενος καὶ γέγονας μαθητὴς τῶν Ἁγίων Ἀποστόλων, οἵτινες ἐπορεύοντο χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Καὶ ἐκεῖνοι μὲν ὡς καθαροὶ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἡμεῖς δὲ διὰ τὰς ἁμαρτίας ἡμῶν χρεωστοῦμεν ἀτιμάζεσθαι· καὶ κἂν μηδεὶς ἀτιμάσῃ ἡμᾶς, ἄτιμοί ἐσμεν καὶ ἐπικατάρατοι· «ἐπικατάρατοι γάρ φησιν οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου». Οὐ γὰρ πάντων ἐστὶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι, ἀλλὰ μόνον τῶν Ἁγίων καὶ καθαρῶν, ὡς εἶπον· τῶν δὲ καθ' ἡμᾶς ἐστι τὸ εὐγνωμόνως ἐπὶ ταῖς προσφερομέναις ἀτιμίαις καὶ ὕβρεσι φέρειν καὶ ὁμολογεῖν, ὅτι δικαίως ἀτιμαζόμεθα διὰ τὰ φαῦλα ἔργα ἡμῶν.

Ἀλλ' ἡ ἀθλία αὕτη ψυχή, καίπερ γινώσκουσα τὰ ἔργα αὐτῆς τὰ ἀκάθαρτα, καὶ ὅτι ἀξίως πάσχει, εἴ τι ἂν καὶ πάσχῃ, κάθηται παραλογιζομένη τὴν ἰδίαν συνείδησιν καὶ πλέκουσα λογισμοὺς κατὰ τοῦ ἀδελφοῦ καὶ λέγουσα, ὅτι εἶπέ μοι καὶ ἠτίμασέ με καὶ ἐλοιδόρησέ με, καὶ ἀναισθητεῖ ἡ μωρὰ καὶ ἀσύνετος, ἐπιβουλεύουσα ἑαυτῇ καὶ τὸ τῶν δαιμόνων ἔργον ποιοῦσα.

Ὡς γὰρ ἐπὶ τῶν τεχνῶν ὁ ἐπιστάτης παραδίδωσι τὴν τέχνην τῷ μαθητῇ καὶ ἐᾷ αὐτὸν λοιπὸν καθ' ἑαυτὸν ἐργάζεσθαι καὶ οὐκέτι ἔχει χρείαν διηνεκῶς αὐτῷ παρακαθέζεσθαι, μόνον δὲ ἐκ διαλειμμάτων ἐπισκέπτεται αὐτὸν μήπως ἠμέλησεν ἢ ἠφάνισεν. Οὕτω καὶ οἱ δαίμονες· ἐὰν ἴδωσι ψυχὴν ὑπείκουσαν αὐτοῖς καὶ εὐχερῶς δεχομένην πονηροὺς λογισμούς, παραδιδόασιν αὐτῇ τὴν σατανικὴν τέχνην, ἤτοι τὴν ἑαυτῶν κακίαν καὶ πονηρίαν, καὶ οὐ χρείαν ἔχουσι λοιπὸν παρακαθῆσθαι αὐτῇ, εἰδότες ὅτι ἀρκεῖ ἑαυτῇ πρὸς ἐπιβουλὴν καὶ ἀπώλειαν· μόνον δὲ παραβάλλουσι διὰ χρόνου ἐπισκεπτόμενοι μήπως ἠμέλησε τοῦ ἔργου, οὗ ἐξ ἐκείνων παρέλαβεν.

7. Ἔλεγε πάλιν· τί εὐκολώτερον τοῦ ἀγαπᾶν πάντας καὶ ἀγαπᾶσθαι ὑπὸ

πάντων; Ποίαν ἀνάπαυσιν οὐκ ἔχουσιν αἱ ἐντολαὶ τοῦ Χριστοῦ; ἀλλ' οὐχ ὁρμᾷ ἡ προαίρεσις· εἰ γὰρ ὥρμα, τῇ χάριτι τοῦ Θεοῦ πάντα ἂν αὐτῇ εὔκολα ἦν καὶ μικρὰ ῥοπὴ τοῦ θελήματος ἡμῶν ἐπισπᾶται τὸν Θεὸν εἰς βοήθειαν, ὡς πολλάκις εἶπον. Καὶ ἡ ἀρετὴ τ ο ῦ θ έ λ ε ι ν ἡμῶν μόνου χρείαν ἔχει, ὡς ὁ θεῖος ἔφη Ἀντώνιος· καὶ οὐ χρεία κόπου τινός, εἰς πάντα τῆς χάριτος συνεργούσης. Ὁ οὖν πρᾶος καὶ ταπεινός, ποίαν οὐκ ἔχει ἀνάπαυσιν· «ὄντως οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης».

8. Ἔλεγεν ὁ αὐτός, ὅτι ποτέ τις ἀδελφὸς μείνας μετ' ἐμοῦ καὶ λαβὼν παρ' ἐμοῦ τὸ σχῆμα, πολλά τε συγκροτηθεὶς παρ' ἐμοῦ εἰς τὸ ἀγαθὸν (καὶ γὰρ τῶν τρυφερῶν ἦν καὶ ἔχρῃζε πολλῆς ἐπιμελείας καὶ συμπαθείας διὰ τὴν αὐτοῦ ἀσθένειαν). Οὗτος οὖν μιᾷ προσελθών, λέγει μοι· Ἀββᾶ μου, πολλὰ ἀγαπῶ σε. Καὶ λέγω αὐτῷ· ἐγὼ ἀκμὴν οὐχ εὗρόν τινα ἀγαπῶντά με, ὡς ἀγαπῶ αὐτόν· ἰδοὺ νῦν λέγεις ὅτι ἀγαπῶ σε καὶ πείθομαι· ἐὰν δὲ συμβῇ τίποτε μὴ ἀρέσκον σοι, οὐ μενεῖς ὁ αὐτός· ἐγὼ δὲ πᾶν ὃ ἂν πάθω παρὰ σοῦ, μενῶ πρὸς σὲ ὁ αὐτὸς καὶ οὐδὲν δύναται ἀποστῆναί με τῆς ἀγάπης σου.

Μικρὸς χρόνος παρῆλθε καὶ οὐκ οἶδα τί συνέβη αὐτῷ (οὐ γὰρ ἔτι εἶχε τὴν οἴκησιν μετ' ἐμοῦ), καὶ ἤρξατο λέγειν κατ' ἐμοῦ πολλὰ δεινά, ἕως καὶ αὐτῶν τῶν αἰσχρῶν. Ἐγὼ οὖν ἀκούων πάντα ἃ ἔλεγε κατ' ἐμοῦ, ἔλεγον ἐν ἐμαυτῷ· οὗτος καυτήρ ἐστι τοῦ Ἰησοῦ καὶ ἐπέμφθη ἰατρεῦσαι τὴν κενόδοξόν μου ψυχήν· οὗτος ἀληθῶς εὐεργέτης μού ἐστιν. Καὶ ἐμεμνήμην αὐτοῦ ὡς ἰατροῦ καὶ εὐεργέτου, καὶ γνησίως ὑπερηυχόμην αὐτοῦ, πρὸς δὲ τοὺς ἀπαγγέλλοντάς μοι τὰ παρ' αὐτοῦ λεγόμενο, ἔλεγον· ὁ ἀδελφὸς τὰ φανερά μου κακὰ οἶδε καὶ οὐδὲ αὐτὰ ὅλα, ἀλλὰ μέρος τι· καὶ μόνα ἐκεῖνα λέγει, ἃ οἶδεν, ἐπεὶ τὰ αὐτὸν λανθάνοντα καὶ τὰ κεκρυμμένα ἀναρίθμητά εἰσι.

Μετὰ οὖν καιρὸν ἀπαντᾷ μοι εἰς Καισάρειαν· καὶ ἔρχεται κατὰ τὸ ἔθος καὶ περιπτύσσεται καὶ καταφιλεῖ με κἀγὼ αὐτὸν ὁμοίως, ὡς μηδενὸς καινοῦ γεγονότος· καὶ τοῦτο οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ πολλάκις γέγονε. Καὶ οὕτως ἐν τῷ λέγειν τοιαῦτα κατ' ἐμοῦ, ὅτε ὑπήντα μοι περιεπτύσσετό με πολλά, ἐμοῦ μηδὲ μίαν ὑποψίαν παρέχοντος αὐτῷ, μηδὲ λύπης τι λείψανον δεικνύοντος, καί περ, ὡς εἶπον, μηδενὸς τῶν παρ' αὐτοῦ λεγομένων τὰς ἐμὰς ἀκοὰς διαφεύγοντος.

Ὕστερον οὖν ὁμοίως ὑπαντήσας καὶ προσδραμών μοι, πίπτει πρὸς τοὺς ἐμοὺς πόδας καὶ τούτους κατέχων λέγει μοι· συγχώρησόν μοι, Ἀββᾶ μου, διὰ τὸν Κύριον, ὅτι πολλὰ δεινὰ ἐλάλησα κατὰ σοῦ· ἐγὼ δὲ ἀναστήσας αὐτὸν καὶ καταφιλήσας, ἔφην αὐτῷ μετὰ χαριεντισμοῦ. Μέμνηται ἡ θεοφίλειά σου, ὅτι ὅτε εἰπές μοι πολλὰ ἀγαπῶ σε, ἀπεκρίθην σοι ἐγώ, ὅτι οὔπω εὗρόν τινα ἀγαπῶντά με ὡς ἀγαπῶ αὐτόν; καὶ τὰ ἑξῆς οἶδας, ἅπερ εἶπόν σοι. Πληροφορήθητι οὖν, ὅτι οὐδέν με ἔλαθεν ὧν ἐλάλεις, ἀλλὰ καὶ ποῦ καὶ τίσι πάντα ἐμάνθανον, καὶ οὐδέποτε εἶπον, ὅτι οὐκ ἔστιν οὕτως ὡς λέγει ὁ ἀδελφός, οὐδὲ ἔπεισέ μέ τις εἰπεῖν κατὰ σοῦ τι κακόν, ἀλλ' ἔλεγον πρὸς τοὺς ἀπαγγέλλοντας, ὅτι, ἅπερ λέγει ἀληθῆ εἰσι καὶ ἀπὸ ἀγάπης λέγει ἰδιοποιούμενός με καὶ οὐ διέλιπον μεμνημένος σου ἐν ταῖς προσευχαῖς. Καὶ τεκμήριον τῆς πρὸς σέ μου ἀγάπης, ποτὲ ἐπόνεσα τὸν ὀφθαλμόν μου σφοδρῶς καὶ μνησθείς σου ἐποίησα τὸ σημεῖον τοῦ σταυροῦ καὶ εἶπον· Κύριε Ἰησοῦ Χριστέ, διὰ τῶν εὐχῶν τοῦ ἀδελφοῦ τοῦ δε ἴασαί με καὶ εὐθέως ἰάθην.

Ἔκτοτε οὖν ἔσχε πίστιν τελείαν εἰς ἐμὲ ὁ ἀδελφός, καὶ τοῦ κατ' ἐμοῦ λέγειν ἐπαύσατο, ὑπερετίμα τε καὶ ἠγάπα με. Καὶ ἐπέφερεν ὁ γέρων· ὅτι ἡμεῖς οὐκ οἴδαμεν ἀγαπᾶσθαι οὐδὲ τιμᾶσθαι, ἀλλὰ ἀπωλέσαμεν τὴν φρόνησιν ἡμῶν. Εἰ γάρ τις βαστάσει τὸν ἀδελφὸν αὐτοῦ, ὅταν ὑπὸ τοῦ ἐχθροῦ ἐπηρεαζόμενος θυμοῦται καὶ κινῆται κατ' αὐτοῦ, ἐκεῖνος μετὰ μικρὸν εἰς ἑαυτὸν ἐπανέρχεται· καὶ γνοὺς τὴν ἀνεξικακίαν τοῦ ἀδελφοῦ καὶ ὅπως ἐβάστασεν αὐτόν, εὐχαριστεῖ αὐτῷ μεγάλως καὶ εἰς τοιαύτην αὐτοῦ ἀγάπην ἔρχεται, ὡς ἑτοίμως ἔχειν καὶ τὴν ψυχὴν αὐτοῦ θῆναι ὑπὲρ αὐτοῦ.

9. Διηγεῖτο δὲ καὶ περί τινος γέροντος λέγων, ὅτι γέρων τις ἦν, πάνυ πρᾶότατος, ὃν διὰ τὴν μεγάλην αὐτοῦ ἀρετὴν καὶ τὰ σημεῖα ἃ ἐποίει, ὡς Ἄγγελον Θεοῦ ἡ περίχωρος πᾶσα ἐσέβετο. Ποτε οὖν ἀδελφός τις, ἔγγιστα αὐτοῦ οἰκῶν καὶ αὐτῷ ἡγεμόνι πρὸς Θεὸν ὡς τὰ πολλὰ χρώμενος, ἐνεργηθεὶς ὑπὸ τοῦ ἐχθροῦ, μεταξὺ πολλῶν ἑστῶτι τῷ γέροντι προσελθών, ἐσχάτως αὐτὸν ὕβρισεν. Ὁ δὲ γέρων ἵστατο μόνῳ προσέχων αὐτοῦ τῷ στόματι καὶ λέγων· χάρις Θεοῦ εἰς τὸ στόμα σου, ἀδελφέ μου. Ἐκείνου δὲ πλέον μαινομένου καὶ λέγοντος, ναί, φαῦλε, φαγοπόλιε· ταῦτα λέγεις ἵνα δόξῃς πρᾶος φαίνεσθαι· λέγει αὐτῷ ὁ γέρων· ὄντως ἃ λέγεις, ἀδελφέ μου, ἀληθῆ λέγεις.

Εἶτά τις τῶν παρεστώτων ἠρώτησεν αὐτὸν λέγων· ἄρτι οὐκ ἐταράχθης, καλόγηρε; ὁ δὲ ἀπεκρίθη· οὐχ, ἀλλ' οὕτως ᾐσθόμην τῆς ψυχῆς μου, ὡς ὑπὸ Χριστοῦ σκεπόμενος. Καὶ γὰρ ἀληθῶς εὐχαριστεῖν ὀφείλει τοῖς τοιούτοις, ὡς πολλάκις εἶπον, καὶ ἔχειν αὐτοὺς εἰ μὲν ἐμπαθής ἐστιν, ὡς ἰατροὺς θεραπεύοντας τὰ τραύματα τῆς ψυχῆς αὐτοῦ, εἰ δὲ ἀπαθής, ὡς εὐεργέτας προξενοῦντας αὐτῷ τὴν Βασιλείαν τῶν οὐρανῶν.

10. Εἶπε γέρων, ὅτι εἰ τέκνα ἐσμὲν τῶν Ἁγίων Ἀποστόλων, Παῦλος γὰρ βοᾷ καὶ λέγει «ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα», ὀφείλομεν τὰ τέκνα τοὺς γονεῖς μιμεῖσθαι. Καὶ ὥς περ ἐκεῖνοι μαστιζόμενοι ἔχαιρον, συκοφαντούμενοι ἀτάραχοι ἔμενον, ἤκουον γὰρ παρ' Ἑλλήνων καὶ Ἰουδαίων, ὅτι οὗτοί εἰσιν οἱ τὴν οἰκουμένην ἀναστατοῦντες ταῖς μαγείαις καὶ φαρμακείαις αὐτῶν καὶ ἐν πᾶσι τούτοις καὶ τοῖς τοιούτοις οὐ μόνον οὐκ ἐλυποῦντο, ἀλλὰ καὶ ἔχαιρον. Διὸ καὶ καυχώμενοι ἔλεγον· «λοιδορούμενοι εὐλογοῦμεν, βλασφημούμενοι παρακαλοῦμεν» καὶ τὰ ἑξῆς.

Ταῦτα δὲ διὰ τοῦτο ἐγράφη, ἵνα καὶ ἡμεῖς μιμησώμεθα. Ὅταν οὖν τι τοιοῦτο πάθωμεν ἢ ἀκούσωμεν, ὀφείλομεν χαίρειν ὡς μέγα κερδαίνοντες καὶ κοινωνοὶ τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν Μαρτύρων γινόμενοι καὶ μείζονα τούτων προσδοκᾶν, ἵνα καὶ γνησιωτέραν τὴν πρὸς αὐτοὺς ἀγχιστείαν φανῶμεν ἀποσώζοντες καὶ κερδήσωμεν μείζονα, τῆς ἐν οὐρανοῖς ἀϊδίου δόξης γεγονότες αὐτῶν συμμέτοχοι.

11. Ἐπῃνέθη τις Μοναχὸς ὑπὸ τῶν ἀδελφῶν πρὸς τὸν Ἀββᾶν Ἀντώνιον· ὁ δὲ παραβαλόντα αὐτὸν ἐπείρασεν εἰδέναι, εἰ φέρει ἀτιμίαν· καὶ γνοὺς ὅτι οὐ βαστάζει, εἶπεν αὐτῷ· ἔοικας κώμῃ, τὰ μὲν ἔμπροσθεν κεκαλλωπισμένῃ, τὰ δὲ ὄπισθεν ὑπὸ λῃστῶν συλουμένῃ.

12. Ἔλεγον περί τινος γέροντος ἐν τοῖς κάτω μέρεσιν, ὅτι ἐκάθητο ἡσυ-

χάζων· κοσμικός δέ τις πιστὸς διηκόνει αὐτῷ ἔχων υἱόν. Συνέβη οὖν τὸν υἱὸν αὐτοῦ ἀσθενῆσαι, καὶ πολλὰ παρακαλέσας τὸν γέροντα ἠξίου ὥστε ἐλθεῖν καὶ ποιῆσαι εὐχὴν περὶ τοῦ παιδίου· καὶ ἀναστὰς ὁ γέρων ἐξῆλθε σὺν αὐτῷ. Προδραμὼν δὲ ὁ κοσμικὸς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκάλεσε πάντας τοὺς ἐν αὐτῷ καὶ τοὺς γείτονας λέγων· δεῦτε εἰς τὴν ἀπάντησιν τοῦ ἀναχωρητοῦ. Καὶ ὥρμησαν πολλοί. Ἰδὼν δὲ αὐτοὺς ὁ γέρων ἐρχομένους ἀπὸ μακρόθεν μετὰ λαμπάδων, ἐνόησε καὶ ἐκδυσάμενος τὰ ἱμάτια αὐτοῦ, ἔβαλεν εἰς τὸν ποταμὸν καὶ ἤρξατο πλύνειν, στήκων γυμνός. Ὁ δὲ διακονητὴς αὐτοῦ ἰδὼν ᾐσχύνθη, καὶ παρεκάλεσε τοὺς ἀνθρώπους λέγων· ὑποστρέψατε, ὁ γὰρ γέρων ἐξέστη. Καὶ ἐλθὼν πρὸς αὐτόν, εἶπεν αὐτῷ· Ἀββᾶ, τί τοῦτο ἐποίησας καὶ ἐσκανδάλισας πάντας; πάντες γὰρ οἱ θεωροῦντές σε ἔλεγον, ὅτι δαιμόνιον ἔχει ὁ γέρων· ὁ δὲ λέγει αὐτῷ· κἀγὼ τοῦτο ἤθελον ἀκοῦσαι.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Ζωσιμᾶς εἶπεν· ὑπάρχουν πολλῶν εἰδῶν κίνητρα τῶν ψυχικῶν διαθέσεων. Εἶναι δὲ δυνατὸν μία θερμὴ ψυχικὴ διάθεσις νὰ προσφέρῃ εἰς τὸν Θεόν, εἰς μίαν καὶ μόνην ὥραν, ὅσα δὲν προσέφερεν ἄλλη ψυχικὴ διάθεσις, εἰς διάστημα πεντήκοντα ἐτῶν, ὅταν εἶναι ψυχρὰ καὶ χαλαρά. Ἔτσι, π.χ., ἐὰν οἱ δαίμονες ἰδοῦν ὅτι κάποιος ὑβρίσθη ἢ ἠτιμάσθη ἢ ἐζημιώθη ἢ κάτι παρόμοιον ἔπαθε, καὶ στενοχωρεῖται, ὄχι διότι ἔπαθε κάτι κακόν, ἀλλὰ διότι δὲν ὑπέφερε μὲ γενναιότητα, χωρὶς νὰ λυπηθῇ, τὸν πειρασμόν, αὐτὴν τὴν ψυχικὴν διάθεσιν φοβοῦνται πάρα πολὺ οἱ δαίμονες· διότι γνωρίζουν, ὅτι ὁ ἄνθρωπος αὐτὸς εὑρῆκε τὴν ὁδὸν τῆς ἀληθείας καὶ θέλει νὰ περιπατῇ σύμφωνα μὲ τὰς ἐντολὰς τοῦ Θεοῦ.

2. Ἔλεγε, πάλιν, ὁ ἴδιος, ὅτι ἐὰν κάποιος ἐνθυμηθῇ ἐκεῖνον ποὺ τὸν ἐστενοχώρησεν ἢ τὸν ἐνέπαιξεν ἢ τὸν ἐζημίωσεν ἤ, ὁπωσδήποτε, τοῦ ἐπροξένησε κάποιο κακόν, πρέπει νὰ τὸν ἐνθυμηθῇ ὡς ἰατρὸν καὶ ἀπὸ τὰ βάθη τῆς ψυχῆς του νὰ εὔχεται δι' αὐτόν. Ἄν, ὅμως, ὑφαίνῃ εἰς τὸν νοῦν του λογισμοὺς ἐναντίον του, τότε σκέπτεται κακὸν ἐναντίον τῆς ψυχῆς του, ὅπως οἱ δαίμονες. Μᾶλλον ὁ ἴδιος γίνεται δαίμων καὶ ἐχθρὸς τοῦ ἑαυτοῦ του, ἀφοῦ δὲν ἐπιθυμεῖ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν κακίαν του, ἀλλὰ νὰ ὑποφέρῃ ἀθεράπευτα. Διότι ἂν δὲν ἦτο ἄρρωστος, δὲν θὰ ἠνωχλεῖτο ἀπὸ τὸ πάθος ἐναντίον αὐτοῦ ὁ ὁποῖος τὸν ἐλύπησεν ἢ τὸν ἐστενοχώρησε καὶ τὸν ὁποῖον τοῦ ἔστειλεν ὁ Χριστὸς ὡς ἰατρὸν διὰ νὰ τοῦ φανερώσῃ τὴν πάθησίν του μὲ τὴν προσβολὴν καὶ τὴν ζημίαν.

Ἂν λοιπόν, πραγματικά, ἐπιθυμῇ νὰ θεραπευθῇ, ὀφείλει νὰ θεωρῇ αὐτὸν ποὺ τὸν ἐπείραξεν ὡς εὐεργέτην του καὶ νὰ δέχεται ὅλα τὰ κακὰ ποὺ προέρχονται ἀπὸ αὐτὸν ὡς φάρμακα θεραπευτικά, ποὺ τοῦ ἐστάλησαν ἀπὸ τὸν Ἰησοῦν, καὶ νὰ εὐχαριστῇ δι' αὐτὰ ἔστω καὶ ἂν πρὸς στιγμὴν τὸν κάνουν νὰ λυπῆται. Διότι οὔτε καὶ ὁ ἄρρωστος εὐχαριστεῖται, ὅταν ἐγχειρίζεται, ἢ καυτηριάζεται, ἢ πίνῃ καθαρτικά· ἀπ' ἐναντίας μάλιστα ἀηδιάζει καὶ ὅταν ἁπλῶς τὰ σκέπτεται. Ἐπειδὴ ὅμως ἔπεισε τὸν ἑαυτόν του, ὅτι δὲν ἠμπορεῖ χωρὶς αὐτὰ νὰ θεραπευθῇ ἀπὸ τὴν ἀσθένειάν του, παραδίδεται πλέον εἰς τὸν ἰατρόν, διότι γνωρίζει καλῶς ὅτι


μὲ ὀλίγην ἀηδίαν ἀπαλλάσσεται ἀπὸ ἐνοχλητικὴν καὶ πολυχρόνιον ἀσθένειαν.

Εἶναι καυτήριον τοῦ Ἰησοῦ αὐτός, ποὺ σὲ ζημιώνει ἢ σὲ ὑβρίζει, ἀλλὰ σὲ ἀπαλλάσσει ἀπὸ τὴν πλεονεξίαν ἢ τὴν ὑπερηφάνειαν. Ἂν ὅμως δὲν ἀνέχεσαι αὐτὰ καὶ ὄχι μονάχα δὲν εὐχαριστεῖς, ἀλλὰ καὶ ἐξυφαίνεις εἰς τὸν νοῦν σου λογισμοὺς ἐναντίον τοῦ ἀδελφοῦ σου, εἶναι ὡς νὰ λέγῃς πρὸς τὸν Ἰησοῦν: δὲν θέλω νὰ θεραπευθῶ ἀπὸ Ἐσένα· δὲν θέλω νὰ δεχθῶ τὰ φάρμακά Σου, θέλω νὰ σαπίσω ἀπὸ τὰς πληγάς μου. Καὶ τότε τί θὰ σοῦ κάμῃ ὁ ἀγαθὸς Κύριος; Γνώριζε λοιπόν, ἀδελφέ, ὅτι αὐτὸς ποὺ ἀποφεύγει ὠφέλιμον πειρασμόν, ἀποφεύγει αἰώνιον ζωήν.

3. Ἔλεγεν καὶ ὁ Εὐάγριος, ὅτι ἐγὼ δὲν κατηγορῶ ἐκείνους, ποὺ μὲ κακολογοῦν· ἀπ' ἐναντίας τοὺς ὀνομάζω καὶ εὐεργέτας μου· καὶ δὲν ἀποδιώκω τὸν ἰατρὸν τῶν ψυχῶν ὅταν προσφέρῃ εἰς τὴν κενόδοξον ψυχήν, ὡς φάρμακον, τὴν ἐξουθένωσιν. Φοβοῦμαι λοιπὸν μήπως καὶ διὰ τὴν ἰδικήν μου ψυχὴν εἰπῇ τὸ πνεῦμα τοῦ Θεοῦ· «ἠθελήσαμεν νὰ ἰατρεύσωμεν τὴν Βαβυλῶνα καὶ δὲν ἐθεραπεύθη» (Ἱερεμ. κη' (να') 9). Ἐπειδὴ δηλαδὴ εἶναι ἀγαθὸς ὁ Κύριός μας, μᾶς ἔδωσεν ἁγίας ἐντολάς, ἀναλόγους πρὸς τὰς κακίας μας, ποὺ τὰς ἐξαφανίζουν μὲ καυτηριάσεις καὶ καθάρσια. Εἶναι λοιπὸν ἀδύνατον κατ' ἄλλον τρόπον νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν ἀσθένειαν, παρὰ μόνον μὲ τὰς ἁρμοδίας καὶ καταλλήλους θεραπείας.

4. Ἔλεγε, πάλιν, ὁ ἴδιος, ὅτι κανεὶς δὲν ψεύδεται, παρὰ μονάχα ὅσοι μὲ ἐπαινοῦν καὶ μὲ μακαρίζουν· καὶ ὅτι κανεὶς δὲν λέγει τὴν ἀλήθειαν, παρὰ μόνον ἐκεῖνοι ποὺ μὲ κατηγοροῦν καὶ μὲ περιφρονοῦν. Καὶ δὲν τὴν λέγουν ὁλόκληρον τὴν ἀλήθειαν, διότι δὲν γνωρίζουν ἐπακριβῶς ὅλα τὰ ἀπόκρυφα τῆς καρδίας μου. Ἂν ἀποκτοῦσαν τὴν ἱκανότητα, νὰ γνωρίσουν δὲν λέγω ὅλας, ἀλλὰ ἕνα ἐλάχιστον μέρος τῶν κακιῶν μου, ἀσφαλῶς θὰ μὲ ἀπεστρέφοντο, ὅπως τὸν βόρβορον, τὴν δυσωδίαν ἢ τὸ ἀκάθαρτον πνεῦμα. Καὶ ἂν ἀκόμη τὰ σώματα τῶν ἀνθρώπων γίνουν γλῶσσαι, διὰ νὰ κατηγοροῦν τὰ ἐλαττώματά μου, ἔχω τὴν πεποίθησιν, ὅτι κανεὶς δὲν θὰ εἶναι ἱκανὸς νὰ περιγράφῃ, ὅσον ἀξίζει, τὴν ἀτιμίαν μου.

Διότι ἂν ὁ δίκαιος Ἰὼβ εἶπε· «εἶμαι γεμᾶτος ἀπὸ ἀτιμίαν», (Ἰὼβ ι', 15), καὶ τὸ «γεμᾶτος» δὲν παίρνει καμμιὰ προσθήκη, τί νὰ εἴπω ἐγώ, ποὺ εἶμαι ὁλόκληρον πέλαγος ἀπὸ κάθε κακίαν; Μὲ κάθε λογῆς ἁμάρτημα μᾶς ἐταπείνωσεν ὁ διάβολος καὶ δὲν ἔχομεν ὑποχρέωσιν νὰ γνωρίζωμεν ὅτι ἐταπεινωθήκαμεν; Ὅσοι λοιπὸν γνωρίζουν καλὰ τὸν ἑαυτόν των συντρίβουν τὸν σατανᾶν, ὁ ὁποῖος τοὺς συνέτριψε. Καὶ ὅπως εἶπον οἱ Ἅγιοι Πατέρες, ὅταν ἡ ταπείνωσις κατέλθῃ μέχρι τοῦ Ἅδου ὁ ταπεινὸς ἀνυψώνεται μέχρι τοῦ οὐρανοῦ· ὅπως, ἀντιθέτως, καὶ ἡ ὑπερηφάνεια, ὅταν ὑψωθῇ μέχρι τῶν οὐρανῶν, ὁ ὑπερήφανος κατακρημνίζεται μέχρι τοῦ Ἅδου. Καὶ ἔλεγε συμπερασματικά· ποιός ἠμπορεῖ νὰ


Ὁ ἈΒΒΑϹ ΖΩϹΙΜΑϹ
Ράλλης Κοψίδης

πείση τὸν ταπεινὸν νὰ ἐξυφάνῃ εἰς τὸν νοῦν του λογισμοὺς ἐναντίον κάποιου;

Διότι ὅ,τιδήποτε λυπηρὸν πάθῃ ἢ ἀκούσῃ ὁ ταπεινός, τὸ θεωρεῖ ὡς ἀφορμὴν διὰ νὰ ἐξυβρίζῃ τὸν ἑαυτόν του καὶ νὰ τὸν ἐξευτελίζῃ, ὅπως ἔκαμεν ὁ Ἀββᾶς Μωϋσῆς· ὅταν, δηλαδή, κάποτε οἱ κληρικοὶ τὸν ἐξεδίωξαν ἀπὸ τὸ ἱερὸν βῆμα καὶ τὸν ὕβριζαν, αὐτὸς ὕβριζε περισσότερον ἀπὸ ἐκείνους τὸν ἑαυτόν του*. Ἂν δὲ κάποτε συμβῇ νὰ ταραχθῇ ὁ ταπεινὸς ἀπὸ τὴν προσβολὴν ἢ ἀδικίαν ποὺ ὑφίσταται, ἀμέσως καταφεύγει εἰς τὴν προσευχήν, μὲ τὴν ὁποίαν σύντομα καταπραΰνει τὴν καρδίαν του. Ὄχι δὲ μόνον αὐτό, ἀλλὰ καὶ κατὰ τὴν ὥραν ποὺ ταράσσεται, ἐπιπλήττει μὲ σφοδρότητα συνεχῶς τὸν ἑαυτόν του καὶ τὸν ἐλέγχει, λέγων πρὸς τὴν ψυχήν του· διατὶ κάνεις σὰν τρελλή, ἀθλία ψυχή μου; Διατί ταράσσεσαι, ὅπως ἐκεῖνοι, ποὺ βγάζουν ἀφροὺς ἀπὸ τὸ στόμα των; Μὲ αὐτὴν ἀκριβῶς τὴν ταραχήν σου φανερώνεις ὅτι εἶσαι ἄρρωστη· διότι, ἂν δὲν ἤσουν ἄρρωστη, δὲν θὰ ἔπασχες. Διατί, δυστυχισμένη, ἄφησες τὴν αὐτοκατηγορίαν καὶ κατηγορεῖς τὸν ἀδελφόν σου, ἐπειδὴ σοῦ ἐφανέρωσε τὴν ἀρρώστια σου, ἡ ὁποία ἦτο κρυμμένη μέσα σου καὶ τὴν ἀγνοοῦσες ἕως τώρα;

Νὰ μιμηθῇς τὸν Χριστόν, ὁ Ὁποῖος ὅταν ἐχλευάζετο δὲν ἀνταπέδιδε τὸν χλευασμόν, ἐνῷ ἔπασχεν ἀπὸ τοὺς Φαρισαίους καὶ Ἀρχιερεῖς δὲν ἀπειλοῦσε. Τὸν ἀκούεις νὰ λέγῃ καὶ νὰ τὸ ἔχῃ πραγματοποιήσει. «Ἔδωσα τὰ νῶτα μου εἰς μαστίγωσιν, τὰ σιαγόνας μου εἰς ραπίσματα καὶ δὲν ἐγύρισα τὸ πρόσωπόν μου ἀλλοῦ, διὰ νὰ ἀποφύγω τὴν ἐντροπὴν τῶν ἐμπτυσμάτων» (Ἡσαΐας ν', 6). Καὶ σύ, ἀθλία, ἐξ ἀφορμῆς μιᾶς προσβολῆς κάθεσαι καὶ πλάττεις ἀναριθμήτους λογισμοὺς ἐναντίον τοῦ ἀδελφοῦ σου, ὁ ὁποῖος σὲ ηὐεργέτησε μὲ ἕνα μικρὸ κτύπημα τῆς φιλοτιμίας σου καὶ δὲν καταλαβαίνεις πῶς ἔτσι κάμνεις κακὸν εἰς τὸν ἑαυτόν σου, ὅπως οἱ δαίμονες; Διότι τί περισσότερον ἠμπορεῖ νὰ σοῦ κάμῃ ὁ δαίμων, ἀπὸ ὅσα σὺ ζημιώνεις τὸν ἑαυτόν σου, ἀπερίσκεπτη καὶ δυστυχισμένη; Καὶ προσέθετε συμπερασματικὰ ὁ Γέρων· Βλέπομεν τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ καθημερινῶς μελετῶμεν τὰ Πάθη ποὺ ὑπέφερε δι' ἡμᾶς, ἡμεῖς ὅμως δὲν ὑποφέρομεν καμμίαν προσβολήν· πραγματικὰ ἔχομεν παρεκκλίνει ἀπὸ τὸν ἴσιον δρόμον.

5. Ἔλεγε πάλιν καὶ τοῦτο, ὅτι ἂν ζήσῃ κανεὶς ὅσα χρόνια ἔζησεν ὁ Μαθουσάλας** καὶ δὲν βαδίσῃ αὐτὸν τὸν ἴσιον δρόμον ποὺ ἐπορεύθησαν ὅλοι οἱ Ἅγιοι, νὰ δέχεται δηλαδὴ ἀτιμίαν καὶ ζημίαν καὶ νὰ ὑπο-

---

* Βλέπε σελίδα 60 εδ. 11 τοῦ ἀνὰ χεῖρας τόμου.

** Ὁ Μαθουσάλας εἶναι πρόσωπον τῆς Παλαιᾶς Διαθήκης, ἔζησε δὲ οὗτος περισσότερον ἀπὸ κάθε ἄλλον ἄνθρωπον ἐπὶ τῆς γῆς, φθάσας εἰς ἡλικίαν ἐννεακοσίων ἑξήκοντα ἐννέα ἐτῶν (Γεν. κεφ. Ε', 25). Ὑπερέβη δηλαδὴ καὶ αὐτὸν τὸν πρωτόπλαστον Ἀδὰμ ὅστις ἔζησεν ἐννεακόσια τριάκοντα ἔτη.

φέρῃ μὲ γενναιότητα, δὲν θὰ προχωρήσῃ σὲ κανένα καλόν, μικρὸν ἢ μεγάλο, ἀλλὰ μονάχα θὰ ἐξοδεύσῃ ἄσκοπα τὰ χρόνια του.

6. Ἔλεγε πάλιν, ὅτι κάποτε μὲ ἠρώτησεν ἕνας ἀδελφός· Ἀββᾶ, εἶναι πολλαὶ αἱ ἐντολαὶ τοῦ Χριστοῦ καὶ σκοτίζεται ὁ νοῦς μου καὶ δὲν ἠμπορῶ νὰ τὰς γνωρίζω ὅλας· εἰπέ μου, λοιπόν, τί νὰ κάμω; Εἰς αὐτὸ τοῦ ἀπήντησα· ἀδελφέ, μὴ ἀνησυχήσῃς ἀπ' αὐτό· μονάχα αὐτὸ νὰ σκέπτεσαι καὶ ὅσον ἠμπορεῖς νὰ τὸ τηρῇς· νὰ ὑπομένῃς, δηλαδή, μὲ εὐχαρίστησιν ὅλα ὅσα σοῦ συμβαίνουν καὶ μὲ τὸν τρόπον αὐτὸν εὔκολα θὰ κατορθώσῃς ὅλας τὰς ἀρετάς. Διότι ποῖον κόπον ἔχει τὸ νὰ προσεύχεσαι δι' ἐκεῖνον ποὺ σὲ ἐλύπησε; Μήπως εἶναι τὸ ἴδιον μὲ τὸ νὰ σκάψῃς τὴν γῆν; ἢ νὰ βαδίσῃς δρόμον; ἢ νὰ περάσῃς θάλασσαν ἢ νὰ ὑποστῇς χρηματικὴν ζημίαν;

Νὰ αἰσθάνεσαι λοιπὸν εὐχαρίστησιν, ὅταν ἐξευτελίζεσαι καὶ ἔγινες μαθητὴς τῶν Ἁγίων Ἀποστόλων, ποὺ ἐπορεύοντο μὲ χαράν, διότι ἠξιώθησαν νὰ ἀτιμασθοῦν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Καὶ ἐκεῖνοι μὲν ὡς καθαροὶ ἔπασχον διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, ἐνῷ ἡμεῖς χρεωστοῦμεν νὰ ἀτιμαζώμεθα διὰ τὰς ἁμαρτίας μας. Διότι ἀκόμη καὶ ἂν κανεὶς δὲν θίξῃ τὴν τιμήν μας, εἴμεθα ἄτιμοι καὶ ἐπικατάρατοι. Διότι —λέγει— εἶναι κατηραμένοι ὅλοι ὅσοι παρεκκλίνουν ἀπὸ τὰς ἐντολάς Σου (Ψαλμ. ριη΄, 21). Δὲν εἶναι ὅλοι ἱκανοὶ νὰ ἀτιμασθοῦν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, ἀλλὰ μονάχα οἱ Ἅγιοι καὶ καθαροί, ὅπως εἶπα. Ἐκεῖνο δὲ ποὺ ἠμποροῦμεν νὰ κάμωμεν ἡμεῖς εἶναι νὰ ὑπομένωμεν μὲ εὐγνωμοσύνην τὰς προσβολὰς καὶ τὰς ὕβρεις ποὺ μᾶς προξενοῦν καὶ νὰ ὁμολογοῦμεν, ὅτι δικαίως ἐξευτελιζόμεθα διὰ τὰ ἐλεεινὰ ἔργα μας.

Ἀλλ' ἡ ἀθλία αὐτὴ ψυχή, ἂν καὶ γνωρίζει τὰ ἀκάθαρτα ἔργα της καὶ ὅτι δίκαια πάσχει ἂν κάτι παθαίνῃ, ἐν τούτοις κάθεται καὶ παραπλανᾷ τὴν συνείδησίν της καὶ ἐξυφαίνει λογισμοὺς ἐναντίον τοῦ ἀδελφοῦ της, λέγουσα ὅτι μοῦ εἶπε καὶ μὲ προσέβαλε καὶ μὲ κακολογεῖ· καὶ παραμένει ἀναίσθητη ἡ ἀνόητος καὶ ἀσύνετος, ἐχθρευομένη τὸν ἑαυτόν της καὶ ἐκτελοῦσα τὰ ἔργα τῶν δαιμόνων.

Ὅπως δηλαδὴ εἰς τὴν περίπτωσιν τῶν τεχνῶν, ὁ ἀρχιτεχνίτης παραδίδει εἰς τὸν μαθητήν του τὴν τέχνην καὶ τὸν ἀφήνει πλέον νὰ ἐργάζεται μόνος του καὶ δὲν ἔχει ἀνάγκην νὰ κάθεται κοντά του συνεχῶς διὰ νὰ τὸν καθοδηγῇ, ἀλλὰ μονάχα ἐκ διαλειμμάτων τὸν ἐπισκέπτεται, μήπως παρημέλησε τὴν ἐργασίαν του ἢ κάτι κατέστρεψεν ἀπὸ τὰ ἔργα του, ἔτσι ἀκριβῶς κάνουν καὶ οἱ δαίμονες· ἂν ἴδουν μίαν ψυχὴν νὰ τοὺς ὑπακούῃ καὶ νὰ δέχεται εὔκολα πονηροὺς λογισμούς, παραδίδουν εἰς αὐτὴν τὴν σατανικήν των τέχνην, δηλαδὴ τὴν κακίαν των καὶ τὴν πονηρίαν των καὶ δὲν ἔχουν πλέον ἀνάγκην νὰ παραμένουν κοντά της, ἐπειδὴ γνωρίζουν ὅτι εἶναι ἀρκετὴ μοναχή της νὰ αὐτοκαταστραφῇ καὶ νὰ χαθῇ. Μόνον δὲ κάπου - κάπου τὴν ἐπισκέπτονται μήπως παρημέλησε τὴν ἐργασίαν ποὺ παρέλαβεν ἀπὸ ἐκείνους.

7. Ἔλεγε πάλιν ὁ Ἀββᾶς Ζωσιμᾶς· ὑπάρχει εὐκολώτερον πρᾶγ-

μα ἀπὸ τὸ νὰ ἀγαπᾷς ὅλους καὶ νὰ ἀγαπᾶσαι ἀπὸ ὅλους; Ποίαν ἀνάπαυσιν δὲν ἔχουν αἱ ἐντολαὶ τοῦ Χριστοῦ; Ἀλλὰ δὲν μᾶς παρακινεῖ πρὸς αὐτὰς ἡ προαίρεσις· διότι ἂν μᾶς παρεκίνει, τότε, μὲ τὴν χάριν τοῦ Θεοῦ, θὰ ἦσαν ὅλα εὔκολα διὰ τὴν ψυχὴν καὶ ἡ παραμικροτέρα κίνησις τῆς θελήσεώς μας θὰ ἔφερνε κοντά μας τὸν Θεὸν πρὸς βοήθειαν, ὅπως εἶπα πολλάκις. Ἡ ἀρετὴ χρειάζεται μονάχα τὴν θέλησίν μας, ὅπως εἶπεν ὁ ἱερὸς Ἀντώνιος· καὶ δὲν ὑπάρχει ἀνάγκη κανενὸς κόπου, ἀφοῦ εἰς ὅλα συνεργεῖ ἡ Χάρις. Ποίαν ἀνάπαυσιν, λοιπόν, δὲν ἔχει ὁ ἥσυχος καὶ ταπεινός; Πραγματικὰ «οἱ πρᾶοι θὰ κληρονομήσουν τὴν γῆν καὶ ἀδιακόπως θὰ εὐχαριστοῦνται μέσα εἰς ἀτελείωτον εἰρήνην» (Ψαλμ. λστ', 11).

8. Ὁ ἴδιος ὁ Ἀββᾶς Ζωσιμᾶς μᾶς ἔλεγε· κάποιος ἀδελφός, ἀφοῦ ἔμεινε κοντά μου καὶ μὲ πολλὴν προσπάθειαν κατηρτίσθη εἰς τὸ ἀγαθὸν τοῦ μοναχισμοῦ (διότι ἦτο καλομαθημένος καὶ εἶχεν ἀνάγκην ἀπὸ πολλὴν φροντίδα καὶ κατανόησιν, λόγῳ τῆς ἀδυναμίας του αὐτῆς) ἔλαβεν ἀπὸ ἐμὲ τὸ Μοναχικὸν σχῆμα. Αὐτός, λοιπόν, μίαν ἡμέραν μοῦ λέγει:

— Ἀββᾶ, σὲ ἀγαπῶ πάρα πολύ.

Ἐγὼ τοῦ ἀπήντησα:

— Ἀκόμη δὲν εὐρῆκα κάποιον, ποὺ νὰ μὲ ἀγαπᾷ, ὅπως τὸν ἀγαπῶ. Τώρα μοῦ λέγεις σὲ ἀγαπῶ καὶ σὲ πιστεύω· ἂν ὅμως συμβῇ κάτι, ποὺ νὰ μὴ σοῦ ἀρέσῃ, δὲν θὰ παραμείνῃς ὁ ἴδιος. Ἐγὼ ὅμως ὅ,τι καὶ νὰ πάθω ἀπὸ σένα, θὰ παραμείνω ἀπέναντί σου ὁ ἴδιος καὶ τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ μὲ ἀπομακρύνῃ ἀπὸ τὴν ἀγάπην σου.

Ἐπέρασε, πραγματικά, ὀλίγος χρόνος καὶ δὲν γνωρίζω τί τοῦ συνέβη (διότι δὲν συγκατοικοῦσε πλέον μαζί μου) καὶ ἤρχισε νὰ λέγῃ ἐναντίον μου πολλὰ φοβερά, ἀκόμη καὶ αἰσχρά. Ἐγὼ μόλις ἐπληροφορήθηκα ὅλα ὅσα ἔλεγεν ἐναντίον μου, εἶπα ἀπὸ μέσα μου· αὐτὸς εἶναι καυτήριον τοῦ Ἰησοῦ καὶ ἐστάλη διὰ νὰ θεραπεύσῃ τὴν κενόδοξον ψυχήν μου· αὐτὸς πραγματικὰ εἶναι εὐεργέτης μου. Καὶ τὸν ἐθεώρουν ὡς ἰατρὸν καὶ εὐεργέτην καὶ προσηυχόμουν εἰλικρινῶς δι' αὐτόν. Πρὸς ἐκείνους δὲ ποὺ μοῦ ἀνέφεραν ὅσα ἔλεγεν ἐναντίον μου, ἀπαντοῦσα: ὁ ἀδελφὸς γνωρίζει τὰ φανερὰ ἐλαττώματά μου καὶ αὐτὰ ὄχι ὅλα, ἀλλὰ ἐλάχιστα. Καὶ λέγει μόνον αὐτὰ ποὺ γνωρίζει, διότι αὐτὰ ποὺ διαφεύγουν τὴν προσοχήν του καὶ παραμένουν κρυφὰ εἶναι ἀναρίθμητα.

Μετά, λοιπόν, ἀπὸ ἀρκετὸν καιρὸν μὲ συναντᾷ εἰς τὴν Καισάρειαν*· ἔρχεται, κατὰ τὴν συνήθειάν του, μὲ ἀγκαλιάζει καὶ μὲ φιλεῖ θερ-

* Ἡ Καισάρεια ἦτο πόλις μεγάλη τῆς Καππαδοκίας καὶ πρωτεύουσα αὐτῆς. Ἔγινε γνωστὴ εἰς τοὺς Χριστιανικοὺς λαούς, ἐπειδὴ ἦτο πατρὶς τοῦ Μεγάλου Βασιλείου. Εὑρίσκεται ΝΑ τῆς Ἀγκύρας ἀπὸ τὴν ὁποίαν ἀπέχει 256 χλμ. Κεῖται εἰς ὕψος 1.095 μέτρων ὑπὲρ τὴν ἐπιφάνειαν τῆς θαλάσσης ἐπὶ τῶν βορείων ὑπωρειῶν τοῦ ἐσβεσμένου ἡφαιστείου τοῦ ὄρους Ἀργαίου. Τοῦτο εἶναι ὀνομαστὸν τραχειτικὸν ὄρος τῆς Καππαδοκίας καὶ εἶναι τὸ ὑψηλότερον τῆς Μικρᾶς Ἀσίας

μά. Καὶ ἐγώ, ἐπίσης, τὸ ἴδιον ἔκαμα, ὡς νὰ μὴ συνέβαινε τίποτα. Καὶ αὐτὸ ὄχι μίαν ἢ δύο, ἀλλὰ πολλὰς φορὰς ἔγινεν. Ἐνῷ, δηλαδή, ἔλεγε τέτοια ἐναντίον μου, ὅταν μὲ συναντοῦσε, μὲ ἀγκάλιαζε θερμά, χωρὶς ἐγὼ νὰ τοῦ δίδω καμμίαν ὑποψίαν, οὔτε ἴχνος λύπης νὰ τοῦ φανερώνω, ἂν καί, ὅπως εἶπα, τίποτε ἀπ' ὅσα ἔλεγεν ἐναντίον μου δὲν ἐξέφευγεν ἀπὸ τὰ αὐτιά μου.

Κάποιαν ἡμέραν, λοιπόν, ὕστερα ἀπὸ αὐτά, ὅταν μὲ συνήντησε καὶ ἔτρεξεν, ὡς συνήθως, κοντά μου, πίπτει εἰς τοὺς πόδας μου καὶ ἀφοῦ τοὺς ἐκράτησε, μοῦ λέγει:

— Συγχώρησέ με, Ἀββᾶ, διὰ τὴν ἀγάπην τοῦ Κυρίου, διότι πολλὰ φοβερὰ ἐλάλησα ἐναντίον σου.

Ἐγὼ τότε, ἀφοῦ τὸν ἐσήκωσα καὶ τὸν κατεφίλησα, τοῦ εἶπα χαριεντιζόμενος:

— Θυμᾶται ἡ θεοφιλία σου, ὅτι ὅταν μοῦ εἶπες ὅτι σὲ ἀγαπῶ πολύ, ἐγὼ σοῦ ἀπήντησα ὅτι δὲν εὗρῆκα ἀκόμη ἐκεῖνον ποὺ μὲ ἀγαπᾷ, ὅπως τὸν ἀγαπῶ; Γνωρίζεις καὶ τὰ ὑπόλοιπα, ὅσα σοῦ εἶπα. Μάθε, λοιπόν, ὅτι τίποτα δὲν μοῦ διέφυγεν ἀπὸ ὅσα ἔλεγες ἐναντίον μου· ἐμάθαινα ὅλα καὶ τὸ μέρος καὶ σὲ ποιοὺς τὰ ἔλεγες. Οὐδέποτε δὲ εἶπα ὅτι δὲν εἶναι ἔτσι, ὅπως λέγει ὁ ἀδελφός, οὔτε κανεὶς μὲ ἔπεισε νὰ εἴπω ἐναντίον σου κακὸν λόγον, ἀλλὰ ἔλεγα πρὸς αὐτοὺς ποὺ μοῦ μετέφεραν τὰ καταλαλήματά σου, ὅτι αὐτὰ ποὺ λέγει εἶναι ἀληθινὰ καὶ ὅτι τὰ λέγει ἀπὸ ἀγάπην διὰ νὰ μὲ ἔχῃ φίλον καὶ δὲν παρέλειπα νὰ σὲ ἐνθυμοῦμαι εἰς τὰς προσευχάς μου. Ἀπόδειξις τῆς ἀγάπης ποὺ αἰσθάνομαι ἀπέναντί σου, εἶναι καὶ αὐτό· κάποτε ἐπόνεσε πάρα πολὺ τὸ μάτι μου καὶ ἀμέσως, ἀφοῦ σὲ θυμήθηκα, ἔκαμα τὸ σημεῖον τοῦ σταυροῦ καὶ εἶπα: Κύριε Ἰησοῦ Χριστέ, μὲ τὰς εὐχὰς τοῦ ἀδελφοῦ τάδε, κάνε με καλά, καὶ ἀμέσως ἐθεραπεύθηκα.

Ἀπὸ τότε ὁ ἀδελφὸς ἐκεῖνος ἀπέκτησε τελείαν ἐμπιστοσύνην εἰς ἐμέ, ἐσταμάτησε νὰ μὲ κατηγορῇ, μὲ ὑπερεκτιμοῦσε καὶ μὲ ἠγάπα. Καὶ κατέληξεν ὁ Γέρων· ἡμεῖς δὲν γνωρίζομεν οὔτε νὰ ἀγαπώμεθα, οὔτε νὰ ἐκτιμώμεθα, ἀλλὰ ἐχάσαμεν τὴν φρόνησίν μας. Διότι ἂν κάποιος ἀνεχθῇ τὸν ἀδελφόν του, ὅταν θυμώνῃ ἀπὸ σατανικὴν ἐνέργειαν καὶ κινῆται ἐναντίον του, τότε ἐκεῖνος μετ' ὀλίγον θὰ συνέλθῃ. Ὅταν λοιπὸν συναισθανθῇ τὴν ἀνεξικακίαν τοῦ ἀδελφοῦ καὶ μάθῃ ὅτι τὸν ἠνέχθηκε, τὸν εὐχαριστεῖ πάρα πολὺ καὶ καταλαμβάνεται ἀπὸ τόσον ἰσχυρὰν ἀγάπην πρὸς αὐτόν, ὥστε εἶναι ἕτοιμος νὰ θυσιασθῇ πρὸς χάριν του.

9. Διηγεῖτο, ἀκόμη, καὶ διὰ κάποιον Γέροντα. Αὐτὸς ὁ Γέροντας —ἔλεγε— ἦτο πάρα πολὺ πρᾶος καὶ διὰ τὴν μεγάλην του ἀρετὴν καὶ διὰ τὰ θαύματα ποὺ ἔκανε, τὸν ἐσέβοντο ὅλοι εἰς τὴν περιοχήν. Κάποτε λοιπὸν κάποιος ἀδελφός, ποὺ κατοικοῦσε πολὺ κοντά του καὶ εἰς πολλὰς

(4.000 μ.). Μάλιστα λέγουσιν ὅτι ὅταν ὁ καιρὸς εἶναι αἴθριος ἐκ τῆς κορυφῆς του φαίνεται ὁ Εὔξεινος Πόντος καὶ ἡ Μεσόγειος θάλασσα.

περιπτώσεις τὸν εἶχεν ὡς ὁδηγόν του πρὸς τὸν Θεόν, ἀπὸ σατανικὴν ἐνέργειαν, τὸν ὕβρισεν ἐμπρὸς εἰς πολλοὺς ποὺ ἔτυχε νὰ εὑρίσκωνται κοντὰ εἰς τὸν Γέροντα. Ὁ Γέρων ἐστέκετο καὶ μόνον τὸ στόμα του ἐπρόσεχε καὶ τοῦ εἶπε: ἡ χάρις τοῦ Θεοῦ εἰς τὸ στόμα σου, ἀδελφέ. Ἐνῷ δὲ ἐκεῖνος ἐξεμάνη περισσότερον καὶ τοῦ ἔλεγε· ναί, ἐλεεινὲ καὶ χαραμοφάη, τὰ λέγεις αὐτά, διὰ νὰ δείξῃς ὅτι εἶσαι πρᾶος, ὁ Γέρων τοῦ ἀπήντησε· πραγματικά, ἀδελφέ, ὅσα λέγεις εἶναι ἀληθινά.

Μετὰ ταῦτα, κάποιος ἀπὸ ἐκείνους οἱ ὁποῖοι παρευρίσκοντο εἰς τὸ ἐπεισόδιον, λέγει εἰς τὸν Γέροντα: πραγματικὰ δὲν ἐταράχθηκες, καλόγηρε; Ὄχι —ἀπήντησεν ὁ Γέρων— ἀλλὰ ᾐσθανόμουν ἔτσι τὴν ψυχήν μου, ὡσὰν νὰ μὲ ἐσκέπαζεν ὁ Χριστός. Πραγματικὰ πρέπει νὰ εὐχαριστῇ κανεὶς αὐτοὺς ποὺ τοῦ δημιουργοῦν κάτι τέτοια ἐπεισόδια, ὅπως πολλάκις εἶπα, καὶ νὰ τοὺς θεωρῇ ὡς ἰατροὺς ποὺ θεραπεύουν τὰ τραύματα τῆς ψυχῆς του, ἂν εἶναι ἐμπαθής, ἤ, πάλιν, ἂν εἶναι ἀπαθής, ὡς εὐεργέτας, ποὺ τὸν διευκολύνουν νὰ κερδίσῃ τὴν Βασιλείαν τῶν Οὐρανῶν.

10. Ἕνας Γέρων εἶπεν.

—Ἂν εἴμεθα παιδιὰ τῶν Ἁγίων Ἀποστόλων, ὅπως φωνάζει καὶ λέγει ὁ Ἀπόστολος Παῦλος, «διότι μὲ τὴν χάριν τοῦ Ἰησοῦ Χριστοῦ ἐγὼ μὲ τὸ Εὐαγγέλιον σᾶς ἐγέννησα» (Α΄ Κορ. δ΄, 15), τότε ἔχομεν ὑποχρέωσιν, ὡς παιδιά, νὰ μιμούμεθα τοὺς γονεῖς. Καὶ ὅπως ἐκεῖνοι ἐδοκίμαζαν χαράν, ὅταν ἐμαστιγώνοντο καὶ παρέμεναν ἀτάραχοι ὅταν ἐσυκοφαντοῦντο, διότι ἤκουον ἀπὸ Ἕλληνας καὶ Ἰουδαίους ὅτι αὐτοὶ εἶναι ποὺ ἀναστατώνουν τὴν Οἰκουμένην μὲ τὰς μαγείας καὶ τὰς φαρμακείας αὐτῶν, ἔτσι καὶ ἡμεῖς νὰ αἰσθανώμεθα εἰς παρομοίας περιπτώσεις. Οἱ Ἀπόστολοι εἰς ὅλα αὐτὰ καὶ τὰ παρόμοια ὄχι μονάχα δὲν ἐλυποῦντο, ἀλλὰ ἀπ' ἐναντίας ἐδοκίμαζαν χαράν. Δι' αὐτὸ καὶ ἔλεγαν μὲ ἱκανοποίησιν· «ὅταν μᾶς ἐμπαίζουν, ἡμεῖς εὐλογοῦμεν, ὅταν μᾶς βλασφημοῦν, ἡμεῖς παρακαλοῦμεν δι' αὐτοὺς» (Α΄ Κορ. δ΄, 12—13) καὶ τὰ ὑπόλοιπα. Δι' αὐτὸ δὲ ἐγράφησαν ὅλα αὐτά, διὰ νὰ τοὺς μιμηθῶμεν καὶ ἡμεῖς. Ὅταν λοιπὸν πάθωμεν κάτι τέτοιο ἢ ἀκούσωμεν πικρὰ λόγια, πρέπει νὰ χαίρωμεν ὡσὰν νὰ κερδίζωμεν θησαυρὸν καὶ νὰ ἐπικοινωνῶμεν εἰς τὰς θλίψεις καὶ τὰς στενοχωρίας τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν Μαρτύρων· ἀλλὰ καὶ μεγαλύτερα νὰ περιμένωμεν, διὰ νὰ δείξωμεν ὅτι παραμένομεν οἱ γνησιώτεροι συγγενεῖς των καὶ διὰ νὰ κερδήσωμεν τὰ σπουδαιότερα, μὲ τὸ νὰ γίνωμεν συμμέτοχοι τῆς ἀτελειώτου δόξης τῶν οὐρανῶν.

11. Κάποτε οἱ ἀδελφοὶ ἐπήνεσαν ἕνα Μοναχὸν εἰς τὸν Ἀββᾶν Ἀντώνιον. Ὅταν λοιπὸν ἦλθε πρὸς αὐτὸν ὁ Ἀντώνιος ἐδοκίμασε νὰ ἴδῃ ἂν ἀνέχεται ἀτιμωτικὴν προσβολήν. Καὶ ὅταν ἐκατάλαβεν ὅτι δὲν ἀνέχεται, τοῦ λέγει:

— Ὁμοιάζεις μὲ χωρίον, ποὺ εἶναι στολισμένον ἐμπρός, ἐνῷ ἀπὸ πίσω λεηλατεῖται ἀπὸ λῃστάς.

12. Ἔλεγον διὰ κάποιον Γέροντα, ποὺ ἔμενεν εἰς τὰ κάτω μέρη, ὅτι ἔζη μὲ ἀσκητικὴν ἡσυχίαν. Τὸν ἐξυπηρέτει δὲ ἕνας κοσμικὸς ποὺ εἶχεν υἱόν. Κάποτε ἠσθένησεν ὁ υἱὸς τοῦ κοσμικοῦ καὶ παρεκάλεσε θερμὰ τὸν Γέροντα νὰ ἔλθῃ καὶ νὰ προσευχηθῇ ἐπάνω εἰς τὸ ἄρρωστον παιδί.

Μετὰ ταῦτα ἐξῆλθεν ἀπὸ τὸ κελλί του ὁ Γέρων μαζὶ μὲ τὸν κοσμικόν. Τότε ὁ κοσμικὸς ἔτρεξε καὶ ἐπῆγεν εἰς τὸ σπίτι του. Ἀμέσως ἐμάζεψεν ὅλους τοὺς συγγενεῖς καὶ τοὺς γείτονας καὶ τοὺς εἶπε:

— Ἐλᾶτε νὰ προϋπαντήσωμεν τὸν ἀναχωρητήν.

Ἀμέσως ἔτρεξαν πολλοί. Μόλις τοὺς εἶδεν ὁ Γέρων νὰ ἔρχωνται ἀπὸ μακρὰν μὲ λαμπάδες, ἐκατάλαβε τί συμβαίνει. Ἐξεδύθη τότε τὰ ἐνδύματά του καὶ ἤρχισε νὰ τὰ πλύνῃ εἰς τὸν ποταμὸν παραμένων γυμνός.

Ὅταν τὸν εἶδεν ὁ κοσμικός, ποὺ τὸν ἐξυπηρετοῦσεν, ἠσθάνθη ἐντροπὴν καὶ παρεκάλεσε τοὺς ἀνθρώπους νὰ ἐπιτρέψουν εἰς τὰ σπίτια των, διότι —τοὺς ἔλεγεν— ὁ Γέροντας ἔχασε τὰ μυαλά του. Ἀφοῦ δὲ ἐπλησίασε τὸν Γέροντα, τοῦ εἶπε:

— Διατί, Ἀββᾶ, τὸ ἔκανες αὐτὸ καὶ τοὺς ἐσκανδάλισες ὅλους; Διότι ὅλοι, ποὺ σὲ ἔβλεπαν, ἔλεγαν ὅτι ὁ Γέροντας ἔχει δαιμόνιον.

Εἰς αὐτὰ τοῦ ἀπήντησεν ὁ Γέρων:

— Καὶ ἐγὼ αὐτὸ ἤθελα νὰ ἀκούσω.



ΥΠΟΘΕΣΙΣ Γ΄

Ὅτι οὐ δεῖ τινα ἀργὸν εἶναι, ἀλλὰ καὶ σωματικῶς ἐργάζεσθαι καὶ ὅτι ἡ ἀργία πολλῶν αἰτία κακῶν.

Ὅτι δὲν πρέπει κανεὶς νὰ μένῃ ἀργός, ἀλλὰ καὶ σωματικῶς νὰ ἐργάζεται, καὶ ὅτι ἡ ἀργία γίνεται αἰτία πολλῶν κακῶν.

Α΄. Παλλαδίου

ΟΣΙΟΣ ΠΑΜΒΩ, ἐν τῷ μέλλειν ἐκλείπειν, λέγεται εἰρηκέναι τοῖς παρεστῶσιν Ἁγίοις Πατράσιν, ὅτι ἀφ' οὗ ἦλθον εἰς τὴν ἔρημον ταύτην καὶ ᾠκοδόμησά μου τὴν κέλλαν καὶ ᾤκησα ἐνθάδε, οὐκ ἐκτὸς ἐργοχείρου μου ἐποίησα ἡμέραν μίαν, οὐδὲ μέμνημαι δωρεὰν ἄρτον φαγὼν ἀπό τινος.

Ἑρμηνεία

ΛΕΓΕΤΑΙ ὅτι ὅταν ἐπλησίαζε νὰ ἀποθάνῃ ὁ ὅσιος Παμβώ, εἶπε πρὸς τοὺς παρισταμένους Ἁγίους Πατέρας. Ἀπὸ τότε ποὺ ἦλθα εἰς αὐτὴν τὴν ἔρημον καὶ ἔκτισα τὸ κελλί μου καὶ κατώκησα ἐδῶ, οὔτε μίαν ἡμέραν δὲν ἔμεινα χωρὶς τὸ ἐργόχειρόν μου καὶ οὔτε ἐνθυμοῦμαι νὰ ἔχω φάγει δωρεὰν ἄρτον ἀπὸ κανένα.

2. Τοῦ αὐτοῦ

ΠΕΡΙΕΤΥΧΟΝ ἐν Γαλατίᾳ καὶ συνεχρόνισα τῷ θεοφιλεστάτῳ Ἐπισκόπῳ Φιλορώμῳ, ἀνδρὶ ἀσκητικωτάτῳ καὶ καρτερικωτάτῳ, οὗ λίαν ἐκήδετο ὁ Μέγας Βασίλειος, ἡδόμενος αὐτοῦ τῇ αὐστηρίᾳ καὶ στυφότητι καὶ προσεχείᾳ τοῦ ἔργου, ὃς εἰσέτι καὶ νῦν τοῦ καλάμου καὶ τῆς τετράδος τοῦ γράφειν οὐκ ἀνεχώρησεν, ὀγδοήκοντα ἐτῶν τῇ ἡλικίᾳ ὑπάρχων. Οὗτος ὁ μακάριος ἔφησεν, ὅτι ἀπὸ τοῦ βαπτίσματος ἄχρι ταύτης τῆς ὥρας ἄρτον παρά τινος δωρεὰν οὐκ ἔφαγον, ἀλλ' ἐκ τῶν ἰδίων πόνων τοῦ ἐργοχείρου διακόσια νομίσματα τοῖς λελωβημένοις δέδωκα.

Οὗτός πεζῇ καὶ τοὺς τάφους τῶν Ἁγίων Ἀποστόλων ἀπῆλθε προσκυνήσων ἐν Ρώμῃ καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ἱεροσολύμοις δεύτερον εὐχῆς χάριν καὶ προσκυνήσεως, καὶ ἰδίοις ἀναλώμασιν ἑαυτῷ ἐπήρκεσεν· ἔλεγε δὲ καὶ τοῦτο ἡμῖν χάριν ὠφελείας, ὅτι οὐ μέμνημαί ποτε ἀποστὰς κατὰ νοῦν τοῦ Θεοῦ.

Ἑρμηνεία

ΕΥΡΕΘΗΝ κάποτε εἰς τὴν Γαλατίαν* καὶ παρέμεινα ἀρκετὸν χρόνον μαζὶ μὲ τὸν θεοφιλέστατον ἐπίσκοπον Φιλόρωμον, ἀσκητικώτατον ἄνδρα καὶ πολὺ ὑπομονητικόν. Δι' αὐτὸν ἐνδιεφέρετο πάρα πολὺ ὁ Μέγας Βασίλειος, διότι εὐχαριστεῖτο ἀπὸ τὴν αὐστηρότητά του καὶ τὴν προσοχὴν ποὺ ἐδείκνυεν εἰς τὴν ἐργασίαν του. Αὐτὸς ἀκόμη καὶ τώρα, ποὺ εἶναι ὀγδόντα χρόνων, δὲν ἄφησε τὴν πένναν καὶ τὸ τετράδιον διὰ νὰ γράφῃ. Αὐτὸς ὁ μακάριος ἔλεγεν· ἀπὸ τότε ποὺ ἐβαπτίσθην μέχρις αὐτῆς τῆς ὥρας ἀπὸ κανένα δὲν ἔφαγα δωρεὰν ψωμί· ἀπ' ἐναντίας ἀπὸ τοὺς κόπους τοῦ ἐργοχείρου μου ἔχω δώσει διακόσια νομίσματα διὰ τοὺς λεπρούς.

Αὐτὸς ἐπῆγε πεζός, διὰ νὰ προσκυνήσῃ τοὺς τάφους τῶν Ἁγίων Ἀποστόλων εἰς Ρώμην καὶ εἰς Ἀλεξάνδρειαν καὶ εἰς Ἱεροσόλυμα· αὐτὴν δὲ τὴν πορείαν τὴν ἔκαμε δύο φοράς, μὲ ἰδικά του ἔξοδα, διὰ νὰ προσκυνήσῃ καὶ νὰ λάβῃ τὴν εὐχὴν τῶν Ἁγίων. Μᾶς ἔλεγε δὲ καὶ τοῦτο, διὰ νὰ ὠφεληθῶμεν· ποτὲ δὲν ἐνθυμοῦμαι νὰ ἀπεμάκρυνα τὸν νοῦν μου ἀπὸ τὸν Θεόν.

3. Τοῦ αὐτοῦ

ΕΝ ΤΩι ὄρει τῆς Νιτρίας ἐστὶν Ἐκκλησία μεγίστη, ᾗ ξενοδοχεῖον παράκειται, εἰς ὃ τὸν ἀπελθόντα ξένον δεξιοῦνται πάντα τὸν χρόνον, εἰ θέλει συμμεῖναι, μέχρις οὗ αὐθαιρέτως ἀναχωρήσῃ. Συγχωροῦσι δὲ αὐτὸν μένειν ἐν ἀργίᾳ ἑβδομάδα μίαν, εἶθ' οὕτω περισπῶσιν αὐτὸν ἐν ἔργοις ἢ ἐν κηπίῳ ἢ ἐν ἀρτοκοπείῳ ἢ ἐν μαγειρείῳ, διδόασι δὲ αὐτῷ καὶ βιβλίον, ἵνα ἀναγινώσκῃ, μὴ συγχωροῦντες αὐτῷ ἕως ἕκτης ὥρας μηδενὶ συντυγχάνειν· πάντες δὲ οὗτοι ὀθόνην ἐργάζονται ταῖς ἑαυτῶν χερσίν, ὡς εἶναι τοὺς πάντας ἀνενδεεῖς.

Ἑρμηνεία

ΕΙΣ τὸ ὄρος τῆς Νιτρίας** ὑπάρχει μία μεγάλη Ἐκκλησία· πλη-

* Ἡ Γαλατία ἦτο ἐπαρχία εἰς τὸ κέντρον τῆς Μικρᾶς Ἀσίας. Εἰς αὐτὴν ἐγκατεστάθησαν οἱ Γαλάται κατὰ τὸν 3ον π.Χ. αἰῶνα. Τὴν Γαλατίαν ἐπεσκέφθη ὁ Ἀπόστολος Παῦλος καὶ ἐκήρυξε τὸ Εὐαγγέλιον κατὰ τὴν δευτέραν ἀποστολικὴν περιοδείαν του. Πρὸς τοὺς κατοίκους τῆς ἐπαρχίας αὐτῆς, οἱ ὁποῖοι, ὡς εἴπομεν, εἶχον γίνει Χριστιανοὶ πολὺ ἐνωρίς, ἔστειλεν ὁ Παῦλος τὴν πρὸς Γαλάτας ἐπιστολήν του.

** Ἡ Νιτρία, ἥτις ἀνεδείχθη μία ἀπὸ τὰς περιφημοτέρας κοιτίδας τοῦ χριστιανικοῦ Ἀσκητισμοῦ, εἶναι κοιλὰς τῆς Αἰγύπτου εὑρισκομένη περὶ τὰ 110 χιλιόμετρα βορειοδυτικῶς τοῦ Καΐρου, πρὸς τὸ μέρος τῆς Λιβυκῆς ἐρήμου, καλουμένη ὑπὸ τῶν Αἰγυπτίων Οὐὰδ Νατρούν, ἤτοι κοιλὰς τοῦ Νάτρου. Ἐν ταύτῃ ὑπάρχουσι περὶ τὰς δέκα ἁλμυραὶ λίμναι ἐπικοινωνοῦσαι ὑπογείως μετὰ τοῦ ποταμοῦ Νείλου, αἵτινες κατὰ τὴν ἐποχὴν τῶν πλημμυρῶν αὐτοῦ πληροῦνται ὕδατος, ἐνῷ κατὰ τὰς ὑπολοίπους ἐποχὰς τοῦ ἔτους ἀποξηραίνονται τελείως. Κατὰ τὴν πε-

σίον της εἶναι κτισμένος ἕνας ξενών. Εἰς αὐτὸν τὸν ξενῶνα φιλοξενοῦν ὁλόκληρον τὸν χρόνον ὅποιον ξένον θέλει νὰ μένῃ κοντὰ εἰς τοὺς μοναχούς, καὶ δὲν τὸν διώχνουν, ἂν δὲν ἀναχωρήσῃ μόνος του. Τὸν ἀφίνουν νὰ μένῃ ἀργὸς μίαν ἑβδομάδα· κατόπιν ὅμως τὸν ἀπασχολοῦν εἰς ἐργασίας, ἢ εἰς τὸν κῆπον, ἢ εἰς τὸν φοῦρνον, ἢ εἰς τὸ μαγειρεῖον, ἢ τοῦ δίδουν βιβλίον διὰ νὰ μελετᾷ, καὶ δὲν τοῦ ἐπιτρέπουν νὰ συναντᾷ κανένα μέχρις τῆς ἕκτης ὥρας. Ὅλοι δὲ αὐτοὶ ὑφαίνουν μὲ τὰ χέρια των σινδόνια, διὰ νὰ μὴ δίδουν βάρος εἰς κανένα.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΕΛΕΓΕΝ ὁ Μέγας Εὐθύμιος πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ὡς ἄρα δεῖ τοὺς ἀποτασσομένους τῷ βίῳ καὶ τῆς περὶ τὸν βίον ὑπακοῆς φροντίζειν πανταχοῦ καὶ ταπεινοφροσύνης, καὶ τοῦ μὴ τῷ ἰδίῳ στοίχειν θελήματι, πάντα τε τὸν χρόνον πάντα πόνον ὑπομένειν, καὶ χειρῶν τέχνῃ καὶ ἐργασίᾳ καὶ μάλιστά γε, εἰ νέος ἐστὶν οὗτος καὶ τὴν ὁρμὴν ὑπὸ τῆς ἡλικίας κεκινημένος. Τότε γὰρ χρὴ πρὸς τῇ ἄλλῃ ἑαυτῷ φυλακῇ, καὶ πολλῇ τὸ σῶμα ταλαιπωρίᾳ καταπονεῖν, ὡς ἂν εὐπειθές τε εἴη τῷ λόγῳ καὶ τὸ πυρῶδες ἀπομαραίνηται τῆς νεότητος, καὶ ἵνα μιμηταὶ Παύλου καὶ ἅμα πληρωταὶ τῶν αὐτοῦ νόμων γινώμεθα, μὴ μόνον τὸ τῆς ἀργίας ἔγκλημα διαφεύγοντες, ἥτις οὐδὲ τροφῆς ἄξιον κρίνει τὸν οὕτω νωθῆ καὶ ἠμελημένον, ὁ ἀργὸς γάρ φησι μηδὲ ἐσθιέτω, ἀλλὰ καὶ τὰς αὐτὰς ἐκείνῳ κτώμενοι χεῖρας· αἱ δὲ χεῖρες γάρ φησιν αὗται ὑπηρέτησαν ἐμοί τε καὶ τοῖς μετ' ἐμοῦ. Ἐπεὶ καὶ τῶν ἀτόπων ἐστὶ τοὺς μὲν βιοτικοὺς τῶν ἀνθρώπων γυναῖκα καὶ παῖδας καὶ οἰκίαν ὅλην ἐκ τοῦ τῶν χειρῶν ἔργου διατρέφειν καὶ τὸν ἐπέτειον αὐτοῖς διαλύεσθαι φόρον, ἀλλὰ καὶ ἀπάρχεσθαι τῷ Θεῷ τῶν πόνων, καὶ εὖ ποιεῖν κατὰ δύναμιν, ἡμᾶς δὲ μὴ καὶ ἄλλοις τοῦ τῶν χειρῶν ἡμῶν καρποῦ κοινωνεῖν.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Εὐθύμιος ἔλεγε πρὸς τοὺς μαθητάς του, ὅτι αὐτοὶ ποὺ ἀπαρνοῦνται τὸν κόσμον καὶ τὰ κοσμικά, πρέπει νὰ φροντίζουν πάν-

---

ρίοδον τῆς πλημμύρας συλλέγονται ἐξ αὐτῶν ἀπὸ ἀρχαιοτάτων χρόνων μεγάλαι ποσότητες ἅλατος καὶ νίτρου, ἤδη δὲ πρὸς καλυτέραν ἐκμετάλλευσιν ἱδρύθησαν παρ' αὐταῖς τεχνικαὶ ἐγκαταστάσεις δι' ὧν ἐπιτυγχάνεται ἡ πλήρης περισυλλογὴ τῶν ὡς ἄνω προϊόντων αὐτῶν.

Ἐν τῇ Νιτρίᾳ ἐγκατεστάθη κατὰ τὴν ἐποχὴν τῆς Α' Οἰκουμενικῆς Συνόδου (325 μ.Χ.) ὁ ἀββᾶς Ἀμμώνιος ὁ Παρωτής, ὅστις θεωρεῖται ὡς ὁ πρῶτος οἰκιστὴς τῆς περιοχῆς ἀποτελέσας τὸν πυρῆνα τῆς μετὰ ταῦτα τόσον ὀνομαστῆς καταστάσης Νιτρίας λόγῳ τοῦ ὅτι πλείονες τῶν 5000 μοναχῶν καὶ ἀρκετοὶ ἀπὸ τοὺς μεγάλους ἀσκητὰς καὶ Πατέρας ἐμόνασαν εἰς τὴν περιοχὴν ταύτην. Σήμερον ὑπάρχουν ὑπολείμματα πολλῶν ἐρειπίων τῶν ἀρχαίων ἐκείνων ἐρημητηρίων τῆς Νιτρίας. Ὑπάρχουν ἐπίσης καὶ ὑπολείμματα νεωτέρων μοναστηρίων, σώζονται δὲ καὶ εὑρίσκονται ἐν λειτουργίᾳ μέχρι σήμερον τέσσαρα Μοναστήρια, ἅτινα ὅμως εἶναι Κοπτικά.

τοτε διὰ τὴν ὑπακοήν, τὴν ταπεινοφροσύνην καὶ νὰ μὴ ἀκολουθοῦν τὸ θέλημά των· νὰ ὑπομένουν πάντοτε κάθε κόπον ποὺ προέρχεται ἀπὸ τὸ ἐργόχειρον καὶ τὴν ἐργασίαν, πρὸ παντὸς μάλιστα ὅταν εἶναι κανεὶς νέος καὶ ἀντιμετωπίζῃ ἔντονον τὴν σαρκικὴν ὁρμήν, λόγῳ τῆς ἡλικίας. Τότε, πρὸ παντός, χρειάζεται, ἐκτὸς ἀπὸ τὴν μεγάλην προσοχήν, νὰ καταπονῇ κανεὶς καὶ τὸ σῶμα του μὲ μεγάλην ταλαιπωρίαν, διὰ νὰ ὑπακούῃ εὔκολα εἰς τὸ λογικὸν καὶ νὰ σβύνῃ σιγὰ - σιγὰ ἡ φλόγα τῆς νεότητος. Καὶ ἔτσι νὰ μιμούμεθα τὸν Ἀπόστολον Παῦλον καὶ συγχρόνως νὰ ἐφαρμόζωμεν τοὺς νόμους του, ὄχι μονάχα ἀποφεύγοντες τὸ ἁμάρτημα τῆς ἀργίας, ἀπὸ τὸ ὁποῖον κρίνεται ἀνάξιος καὶ αὐτῆς τῆς τροφῆς ὁ νωθρὸς καὶ ὁ ἀμελής, —διότι, λέγει, ὁ ὀκνηρὸς οὔτε νὰ τρώγῃ— ἀλλὰ ἀποκτῶντες καὶ ἡμεῖς τὰ ἴδια χέρια μὲ τὸν Παῦλον —τὰ χέρια αὐτά, λέγει, ἐξυπηρέτησαν καὶ ἐμένα καὶ ἐκείνους, ποὺ ἦσαν μαζί μου*.

Διότι εἶναι ἀπὸ τὰ πιὸ ἄτοπα οἱ μὲν κοσμικοὶ ἄνθρωποι νὰ διατρέφουν, ἀπὸ τὴν ἐργασίαν των, καὶ γυναῖκα καὶ παιδιὰ καὶ ὁλόκληρο σπιτικό, νὰ πληρώνουν τὸν ἐτήσιον φόρον, ἀλλὰ καὶ νὰ προσφέρουν εἰς τὸν Θεὸν τὰς ἀπαρχὰς** τῶν κόπων των, καὶ νὰ δίδουν κατὰ δύναμιν ἐλεη-

---

* Ὁ Ἀπόστολος Παῦλος, ὅπως εἶναι γνωστόν, διὰ νὰ μὴ γίνεται βάρος εἰς τοὺς χριστιανούς, ἐξήσκει τὸ ἔργον τοῦ σκηνοποιοῦ, διὰ νὰ ἐξοικονομῇ τὰ ἀναγκαῖα διὰ τὴν ζωήν του. (Πράξεις κ', 34—Β' Θεσ. γ' 10-12— Α' Κορ. δ', 12).

** Ἀπαρχαὶ λέγονται τὰ προσφερόμενα εἰς τὸν Θεὸν κυρίως ἐκ τῶν καρπῶν τῆς γῆς, πρὶν ἀκόμη ἀπολαύσῃ αὐτὰ ὁ ἄνθρωπος. Ἡ συνήθεια αὕτη εἶναι ἀρχαιοτάτη, ἀπὸ τὴν ἐποχὴν τῆς εἰδωλολατρείας, καὶ ἦτο διαδεδομένη εἰς ὅλους τοὺς λαούς. Αἱ ἀπαρχαὶ ἐπεβάλλοντο ἐπίσης διὰ νόμου εἰς τοὺς Ἑβραίους.

Ἐν τῇ Καινῇ Διαθήκῃ ἀπαρχὴ σημαίνει ἁπλῶς τὴν ἀρχὴν ἢ τοὺς πρώτους καρποὺς τῆς ἐν Χριστῷ πνευματικῆς ζωῆς. Ὁ Κύριος ἡμῶν λ.χ. καλεῖται «ἀπαρχὴ τῶν κεκοιμημένων», ἢ «πρωτότοκος τῶν νεκρῶν» (Ἀποκάλ. Α' 5. Κολ. Α' 18. Α' Κορ. ιε' 20—23) καὶ ἡ Ἀνάστασίς Του εἶναι ἀρχὴ ἅμα καὶ ἐγγύησις τῆς ἀναστάσεως πάντων τῶν νεκρῶν· «οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται... ἀπαρχὴ Χριστὸς ἔπειτα οἱ Χριστοῦ...». (Α' Κορ. ιε' 23).

Εἰς τὴν χριστιανικὴν λατρείαν ἐτηρήθη τὸ ἔθιμον τῶν ἀπαρχῶν· ὑπάρχει δὲ εἰδικὴ εὐχὴ διατηρουμένη ἀπὸ τῶν πρώτων χριστιανικῶν χρόνων ἐν τῷ Εὐχολογίῳ μὲ τὸν τίτλον «εὐχὴ ἐπὶ τῶν προσφερόντων ἀπαρχὰς ὀπώρας». Πρὸς περιφρούρησιν ὅμως τῆς ἱερότητος τοῦ μυστηρίου τῆς θείας Εὐχαριστίας ἤδη ἀπὸ τῆς ἐποχῆς τῶν Ἁγίων Ἀποστόλων διὰ τῶν γ' καὶ δ' Ἀποστολικῶν Κανόνων ἀπηγορεύθη ἡ προσφορὰ εἰς τὸ θυσιαστήριον μέλιτος, γάλακτος, σίκερος, ὀρνίθων, ζώων καὶ ὀσπρίων «πλὴν χίδρων καὶ σταφυλῶν ἐν καιρῷ τὸ δέοντι». (Χίδρα ἐκαλοῦντο οἱ πρασινωποὶ ἀκόμη κόκκοι τοῦ σίτου, τριβόμενοι καὶ ἐλευθερούμενοι ἀπὸ τὸν φλοιόν). Τὸν ἀπαγορευτικὸν αὐτὸν κανόνα ἐπανέλαβε μὲ μικρὰς ὑποχωρήσεις ἡ ἐν Καρθαγένῃ Σύνοδος διὰ τοῦ μδ' κανόνος αὐτῆς. Τέλος τὴν ἐντὸς τοῦ ἱεροῦ βήματος προσφορὰν τῶν ἀπαρχῶν (πλὴν χίδρων καὶ σταφυλῶν) ἀπηγόρευσε τελείως ἡ ΣΤ' Οἰκουμενικὴ Σύνοδος διὰ τῶν κη', λβ' νζ', καὶ ηθ' κανόνων αὐτῆς.

μοσύνην, ἐνῷ ἡμεῖς νὰ μὴ ἠμποροῦμεν νὰ κάμωμεν κοινωνοὺς τῶν καρπῶν τῆς ἐργασίας μας καὶ ἄλλους.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΝΕΩι ΟΝΤΙ τῷ Μεγάλῳ Πατρὶ Σάββᾳ, καὶ ἐν Φλαβιαναῖς διατρίβοντι, αἱ χεῖραις οὐδέποτε ἠρέμουν αὐτῷ, ἀλλ' ὅτε μὴ τεταμένας εἶχεν αὐτὰς πρὸς Θεόν, ἡ εὐχὴ ἔργον ἦν αὐτῷ διὰ παντὸς ἀνυόμενον, ὅπως μὴ καὶ βραχὺ ἀνεθέντος αὐτῷ τοῦ διανοητικοῦ, λάθῃ κατὰ τὸ κρυπτὸν ὁ ἐχθρὸς ἠρέμα παραδυόμενος. Ἐντεῦθεν κοῦφον αὐτῷ μᾶλλον τῆς ἀρετῆς τὸ πτερόν, καὶ πᾶσαν τὴν ἐκεῖ ἀδελφότητα, περίπου τοὺς ἑβδομήκοντα ὄντας, ὑπακοῇ καὶ ταπεινώσει καὶ πᾶσιν ἄλλοις κατορθώμασιν εὐαγγελικοῖς ὑπερέβαινεν. Ἔπειτα δὲ καὶ ἐκεῖθεν ἀπαναστὰς τῇ τοῦ προεστῶτος γνώμῃ καὶ σὺν εὐχῇ ἀπολύσει, καὶ καταλαβὼν τὰ Ἱεροσόλυμα, τῷ Μεγάλῳ πρόσεισιν Εὐθυμίῳ, ἐπὶ τὴν σύναξιν ἀπιόντι ὡς ἔθος, καὶ τοῖς αὐτοῦ ποσὶ προσπεσών, ἐδεῖτο μετὰ δακρύων, ἱκέτευεν, ἐλιπάρει πρόβατον αὐτοῦ λογικὸν γενέσθαι καὶ ὑπ' αὐτῷ ποιμένι σὺν τοῖς ἄλλοις ποιμαίνεσθαι.

Ὁ μέντοι Μέγας Εὐθύμιος, ἄριστος ὢν τὰ τοιαῦτα παιδοτριβεῖν, οἷα διὰ πάσης καὶ αὐτὸς πείρας τῶν πνευματικῶν ἀγώνων ἐλθών, ἐπεὶ νέον ἔτι τὸν Σάββαν ἑώρα, οἰηθεὶς μὴ θερμότης μόνον ὀξύρροπος εἴη τὸ σπουδαζόμενον, τὴν ἐκ τῶν λογισμῶν κρίσιν καὶ τὸ ἐκεῖθεν βάρος οὐκ ἔχουσα, οὐ πρότερον ἐφῆκεν αὐτῷ τῶν ἐν τῇ Λαύρᾳ Μοναχῶν τὴν συνοίκησιν, ἕως ἀγωγὴν πᾶσαν ἐν Κοινοβίῳ μετῆλθε Μοναχικήν, καὶ τὴν ἀπαιτουμένην ἀκρίβειαν ἐπεδείξατο· ἀλλὰ καὶ πρὸς αὐτόν, ἀσύμβατον ὅλως, εἶπεν, ὦ τέκνον, νέον ὄντα σε, εἰς λαύραν οἰκεῖν. Τοῦτο γὰρ οὔτε τῇ λαύρᾳ ὄνησιν φέρει, οὔτε σοὶ προσήκει, ἀλλ' εἰς τὸ κάτω νῦν φροντιστήριον, εἴ μου ἀκούεις, πρὸς τὸν Ἀββᾶν ἀφίξῃ Θεόκτιστον, παρ' ᾧ μεγίστην, εὖ οἶδα, περιποιήσῃ σαυτῷ τὴν ὠφέλειαν.

Πρὸς ταῦτα τοῦ μακαρίου Σάββα ὑπείξαντος (ἐπεπαίδευτο γὰρ πρὸς τοῖς ἄλλοις καὶ τὴν ὑπακοήν), καὶ ὅσα περ ἂν αὐτὸς ἐνετείλαιτο εὐπροθύμως πάντα ποιήσειν ὑποσχομένου, τοῦτο γὰρ βούλεσθαι ἔφη καὶ τὴν πρὸς σέ μου καταφυγήν, ὅπως ἂν διὰ σοῦ σωθείην, πέμπτει τοῦτον εὐθὺς ἐκεῖνος πρὸς τὸν μακαρίτην Θεόκτιστον, πολλὴν αὐτοῦ πρόνοιαν ποιεῖσθαι κελεύσας. Πλουσίαν γὰρ ἀτεχνῶς ἔφη ἐνορᾶν ἐπιχεθεῖσαν αὐτῷ τὴν χάριν τοῦ πνεύματος, καὶ ὡς οὐ πολὺ τὸ μεταξὺ ἔσται, καὶ τῆς αὐτοῦ δόξης ἐμπλήσει τὴν οἰκουμένην, ἅπερ καὶ εἰς τοιοῦτον ἐξέβη τέλος, καὶ ἀληθῆ τὴν ἐκείνου ἔδειξε προαγόρευσιν.

Οὗτος οὖν ὁ θεῖος Σάββας, ὑπὸ τῷ μακαρίτῃ Θεοκτίστῳ γενόμενος, ὅλον ἑαυτὸν καθαρῶς ἐκδίδωσι τῷ Θεῷ καὶ πᾶς γίνεται τῆς ἐκεῖθεν ἐφέσεως· εἰδὼς δὲ

Μετὰ τὰς ἀπαγορεύσεις ταύτας αἱ ἀπαρχαὶ ἐναπετίθεντο ἔξω τοῦ ἱεροῦ ναοῦ ἢ ἐστέλλοντο εἰς τοὺς οἴκους τῶν ἐπισκόπων καὶ ἱερέων, βραδύτερον ὅμως καθιερώθη νὰ προσάγωνται εἰς τὸν ναόν, πρὸ τοῦ Ἱεροῦ βήματος, ὅπου καὶ ἀναγινώσκεται ἡ σχετικὴ εὐχή, εἶτα δὲ διανέμονται εἰς τοὺς πιστοὺς χάριν εὐλογίας. Ἐν Ἑλλάδι ἡ συνήθεια αὕτη ἐπιτελεῖται συνήθως κατὰ τὴν ἑορτὴν τῆς Μεταμορφώσεως (6 Αὐγούστου) καθ' ἣν προσκομίζονται σταφύλια, τὰ ὁποῖα εὐλογεῖ ὁ ἱερεὺς καὶ κατόπιν τὰ διανέμουν εἰς τὸ ἐκκλησίασμα.

ἑαυτοῦ διπλῆν οὖσαν τὴν σύστασιν (ἐκ ψυχῆς λέγω καὶ σώματος), διπλῆν ἐπενοήσατο καὶ τὴν ἄσκησιν. Νῦν μὲν πονῶν τῷ σώματι, νῦν δὲ τῇ ψυχῇ, καὶ νῦν μὲν ἐν σωματικοῖς κόποις διημερεύων, νῦν δὲ νύκτας ἐν προσευχαῖς ἀΰπνους διατελῶν· νῦν ὑδροφορῶν, νῦν ξύλα διακομίζων, πᾶσί τε τοῖς διακονίαν τινὰ πεπιστευμένοις τὰς ἐκείνων ἐργασίας διαφέρων, καὶ γὰρ ἦν τῆς κατὰ ψυχὴν εὐανδρίας καὶ τῷ σώματι εὐμεγέθης, καὶ κομιδῇ ρωμαλέος. Καὶ μέντοι καὶ αὐτὸς ἄλλοτε ἄλλας ὑπηρεσίας καὶ δὴ καὶ τὴν τῶν ἡμιόνων ὑπελθὼν ἐπιμέλειαν, καὶ πρὸ πάντων μὲν εἰς τὴν σύναξιν ἀπαντῶν, μετὰ πάντας δὲ αὖθις ἀπαλλασσόμενος, τῇ θείᾳ τε προθύμως ὑπηρετούμενος λειτουργίᾳ, καὶ πᾶσι τούτοις κεφάλαιον ἐπιτιθεὶς ἱερόν, τὴν ὑπακοὴν καὶ τὸ μέτριον. Διὸ καὶ παντὶ τοῦτο διὰ θαύματος ἦν τῷ πλήθει τῶν Μοναχῶν, ὅπως οὕτω νεάζουσαν ἡλικίαν ἀρετῶν στέφανος ἐκόσμει καὶ τελειότητος.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ὁ μεγάλος Πατὴρ Σάββας ἦτο ἀκόμη νέος καὶ ἔμενεν εἰς Φλαβιανάς, ποτὲ τὰ χέρια του δὲν ἔμεναν ἀργά· ὁσάκις δὲ δὲν τὰ εἶχεν ὑψωμένα πρὸς τὸν Θεόν, τότε ἡ νοερὰ προσευχὴ ἦτο ἡ ἐργασία του, ἀπὸ φόβον μήπως καὶ ἀπὸ ἐλαχίστην διακοπὴν τῆς ἀπασχολήσεως τοῦ νοῦ, τὸν ξεγελάσῃ κρυφὰ ὁ ἐχθρὸς καὶ σιγὰ - σιγὰ παρουσιασθῇ. Δι' αὐτὸ καὶ τοῦ ἦτο ἡ ἀρετὴ ἐλαφροτέρα καὶ ἀπὸ τὸ πτερὸν καὶ ἐξεπερνοῦσεν ὁλόκληρον τὴν ἀδελφότητα, περὶ τοὺς ἑβδομήντα μοναχούς, εἰς τὴν ὑπακοήν, τὴν ταπείνωσιν καὶ εἰς ὅλα τὰ ἄλλα εὐαγγελικὰ κατορθώματα. Ἔπειτα, ἀφοῦ ἀνεχώρησεν ἀπὸ ἐκεῖ, μὲ τὴν γνώμην τοῦ προεστῶτος, ὁ ὁποῖος τὸν ἄφησε νὰ φύγῃ μὲ τὴν εὐχήν του, ἦλθεν εἰς τὰ Ἱεροσόλυμα· ἐκεῖ συνήντησε τὸν Μεγάλον Εὐθύμιον, ὁ ὁποῖος κατὰ τὴν συνήθειάν του εἶχε μεταβῇ εἰς τὴν σύναξιν, καὶ ἀφοῦ ἔπεσεν εἰς τὰ πόδια του, τὸν παρεκάλει μὲ δάκρυα, τὸν ἱκέτευε, τὸν ἐκλιπαροῦσε, νὰ γίνῃ καὶ αὐτὸς λογικόν του πρόβατον καὶ νὰ ποιμαίνεται ἀπὸ αὐτὸν μαζὶ μὲ τοὺς ἄλλους.

Ὁ Μέγας Εὐθύμιος, λοιπόν, ὁ ὁποῖος ἦτο εἰς αὐτὰ ἄριστος παιδαγωγός, ἀφοῦ, ἄλλωστε, καὶ αὐτὸς ἀπέκτησε μὲ τὰ χρόνια πεῖραν τῶν ἀγώνων αὐτῶν, δὲν τοῦ ἐπέτρεψε νὰ κατοικήσῃ ἀμέσως μαζὶ μὲ τοὺς ἄλλους εἰς τὴν Λαύραν. Διότι ἔβλεπεν ὅτι ὁ Σάββας ἦτο ἀκόμη νέος καὶ ἐσκέφθη μήπως ἡ ἐπιθυμία του ὀφείλεται εἰς μίαν προσωρινὴν μόνον θερμότητα, χωρὶς τὴν βαρύτητα μιᾶς βαθείας σκέψεως. Ἔτσι τὸν ἄφησε νὰ ζήσῃ ὅλην τὴν μοναχικὴν ζωὴν τοῦ Κοινοβίου, καθὼς πρέπει μὲ τὴν ἐπιβαλλομένην ἀκρίβειαν. ἔξω ἀπὸ τὴν Λαύραν. Ἀλλὰ ἀκόμη καὶ μετὰ τὴν δοκιμασίαν αὐτὴν τοῦ εἶπεν:

— Παιδί μου, δὲν εἶναι σωστόν, λόγῳ τῆς νεαρᾶς ἡλικίας σου, νὰ κατοικῇς εἰς τὴν Λαύραν· διότι αὐτὸ οὔτε τὴν Λαύραν θὰ ὠφελήσῃ οὔτε εἰς ἐσένα ταιριάζει. Ἀλλὰ ἂν θέλῃς νὰ μὲ ἀκούσῃς, νὰ ὑπάγῃς τώρα εἰς τὸ κάτω φροντιστήριον, πρὸς τὸν Ἀββᾶν Θεόκτιστον, πλησίον τοῦ ὁποίου, εἶμαι βέβαιος, θὰ ὠφεληθῇς πάρα πολύ.

Εἰς ὅλα αὐτὰ ὑπήκουσεν ὁ μακάριος Σάββας, διότι, ἐκτὸς τῶν ἄλ-

λων, εἶχε μάθει καὶ τὴν ὑπακοήν· ὑπεσχέθη δέ, μὲ μεγάλην προθυμίαν, νὰ ἐφαρμόσῃ ὅλα ὅσα ἤθελε τὸν διατάξει.

— Διότι αὐτὸ ἐπιθυμῶ —ἀπήντησεν ὁ Σάββας— καὶ δι' αὐτὸ κατέφυγα κοντά σου, διὰ νὰ σωθῶ μὲ τὴν βοήθειάν σου.

Τὸν στέλλει τότε ὁ Μέγας Εὐθύμιος πρὸς τὸν μακαρίτην Θεόκτιστον καὶ τὸν διέταξε νὰ τὸν φροντίζῃ πάρα πολύ· διότι —εἶπεν— ἔβλεπε πραγματικὰ νὰ ξεχύνεται ἐπάνω εἰς τὸν Σάββαν πλουσία ἡ χάρις τοῦ Πνεύματος καὶ ὅτι δὲν θὰ περάσῃ μεγάλο χρονικὸν διάστημα καὶ θὰ πλημμυρίσῃ, μὲ τὴν δόξαν του, ὁλόκληρον τὴν Οἰκουμένην. Αὐτὸ δὲ πράγματι συνέβη εἰς τὸ τέλος καὶ ἐπηλήθευσε ἡ πρόβλεψις τοῦ Μεγάλου Εὐθυμίου.

Αὐτὸς λοιπὸν ὁ θεῖος Σάββας, ἀφοῦ ἔγινεν ὑποτακτικὸς τοῦ μακαρίτου Θεοκτίστου, παραδίδεται ὁλόκληρος εἰλικρινὰ εἰς τὸν Θεὸν καὶ κατακτᾶται τελείως ἀπὸ τὸν θεϊκὸν πόθον. Ἐπειδὴ δὲ ἐγνώριζεν ὅτι εἶναι διπλῆ ἡ σύστασίς του (ἀπὸ ψυχήν, δηλαδή, καὶ σῶμα) ἐμηχανεύθη καὶ διπλῆν τὴν ἄσκησιν· ἄλλοτε μὲν ταλαιπωρῶν τὸ σῶμα, ἄλλοτε δὲ τὴν ψυχήν. Ἔτσι ἐπερνοῦσε τὴν ἡμέραν του μὲ σωματικοὺς κόπους, τὴν δὲ νύκτα παρέμενεν ἄγρυπνος μὲ προσευχάς· καὶ πότε μὲν ἔφερνε νερό, πότε πάλιν ἐκουβαλοῦσε ξύλα καὶ ἔτσι ὑπερέβαινε, κατὰ τὴν ἐργατικότητα, ὅλους τοὺς ἄλλους ποὺ εἶχαν κάποιαν ὑπηρεσίαν. Διότι διεκρίνετο κατὰ τὴν γενναιότητα τῆς ψυχῆς, ἦτο δὲ ὑψηλόσωμος καὶ πραγματικὰ ρωμαλέος. Μόνος του ἐξετέλει καὶ ἄλλας ὑπηρεσίας· ἀνέλαβε μάλιστα καὶ τὴν ὑπηρεσίαν τῶν μουλαριῶν. Καὶ παρ' ὅλα αὐτὰ ἐπήγαινε πρὶν ἀπὸ ὅλους εἰς τὴν σύναξιν τῆς Ἐκκλησίας καὶ ἔφευγε τελευταῖος, μετέχων μετὰ προθυμίας εἰς τὴν Θείαν Λειτουργίαν. Καὶ ἐπάνω ἀπὸ ὅλα ἔβαλεν εἰς τὴν ζωήν του ὡς ἱερὸν κεφάλαιον τὴν ὑπακοὴν καὶ τὴν ἐγκράτειαν. Δι' αὐτὸ καὶ ἡ κατάστασίς του ἐπροκάλει τὸν θαυμασμὸν τοῦ πλήθους τῶν Μοναχῶν, ὅτι τόσον νέος ἐστολίζετο μὲ τὸ στεφάνι τῶν ἀρετῶν καὶ τῆς τελειότητος.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Λουκιανοῦ τοῦ Ἱερομάρτυρος

Ο ΜΕΓΑΣ Λουκιανὸς νέος ὢν ἔτι, πρὸς τὸν μοναδικὸν ἀποκλίνας βίον, εὐθὺς ἐξ ἀρχῆς πρὸς ἡδονὰς πάσας τῆς σαρκὸς ἀπεμάχετο, νηστείαις τε καὶ προσευχαῖς ἀδιαλείπτως προσκείμενος, ἐν βραχεῖ ἀστασίαστον τὴν σάρκα τῷ πνεύματι παρεστήσατο. Ἤσκητο δὲ καὶ τὴν ὀξυγραφίαν, καὶ τὸ ἐκεῖθεν αὐτῷ ποριζόμενον ἅμα μὲν ἑαυτῷ πρὸς τροφήν, ἅμα δὲ καὶ τοῖς πένησιν ἐχορήγει· καὶ γὰρ εἰ μὴ πρὶν ἢ τροφῆς οὗτος μεταλάβοι, ἕτεροι τοῦ ἀπὸ τῶν αὐτοῦ χειρῶν βίου μετάσχοιεν, ἀδικίαν τὸ πρᾶγμα ἐτίθετο.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Λουκιανός, ἂν καὶ ἦτο ἀκόμη νέος, ἐστράφη πρὸς τὸν μοναχικὸν βίον. Δι' αὐτὸ καὶ ἐνωρίτατα ἀπεστράφη ὅλας τὰς σαρ-



Ὁ Ὅσιος Λουκιανός
ὁ ἱερομάρτυς :—
τὴν
νοερὰν
προσευ
χὴν
σπούδα
σον.
Ῥάλλης Κοψίδης
1963

κακὰς ἡδονὰς καὶ ἐπεδόθη εἰς νηστείας καὶ ἀδιαλείπτους προσευχάς. Ἔτσι κατώρθωσε μέσα εἰς ὀλίγον χρόνον νὰ κάμῃ τὴν σάρκα του νὰ μὴ τὸν ἐνοχλῇ. Εἶχεν ἐξασκηθῇ καὶ εἰς τὴν ταχυγραφίαν· καὶ ὅσα ἐκέρδιζεν ἀπὸ τὴν ἐργασίαν αὐτὴν τὰ διέθετε διὰ τὴν τροφήν του καὶ δι' ἐλεημοσύνην πρὸς τοὺς πτωχούς. Διότι ἐνόμιζεν ὅτι ἔκανεν ἀδικίαν, ἂν ἐγεύετο τροφήν, πρὶν πάρουν οἱ πτωχοὶ τὸ μερίδιόν των ἀπὸ αὐτὰ ποὺ ἐκέρδιζεν.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΠΑΡΕΒΑΛΟΝ ποτε τῷ Ἀββᾷ Ἀχιλλᾷ, ὁ Ἀββᾶς Ἀμμώης καὶ ὁ Ἀββᾶς Βιτίμιος πρωῒ λίαν, καὶ εὗρον αὐτὸν ἐργαζόμενον τὴν σειράν. Καὶ ἠρώτησαν αὐτὸν εἰπεῖν αὐτοῖς λόγον ὠφελείας, καὶ εἶπεν· ἐγὼ ἀπὸ ὀψὲ ἕως ἄρτι ἔπλεξα εἴκοσι ὀργυιάς, καὶ φύσει οὐ χρῄζω αὐτῶν, ἀλλὰ μήπως ἀγανακτήσῃ ὁ Θεὸς καὶ ἐγκαλέσῃ μοι λέγων, διατὶ δυνάμενος ἐργάσασθαι οὐκ εἰργάσω, διὰ τοῦτο κοπιῶ καὶ ποιῶ ὅλην τὴν δύναμίν μου· καὶ ὠφεληθέντες ἀνεχώρησαν.

2. Παρέβαλέ τις ἀδελφὸς εἰς τὸ ὄρος τὸ Σινᾶ τῷ Ἀββᾷ Σιλουανῷ· καὶ ἰδὼν τοὺς ἀδελφοὺς ἐργαζομένους, εἶπε τῷ γέροντι· μὴ ἐργάζεσθε τὴν βρῶσιν τὴν ἀπολλυμένην. «Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο», ὥς φησιν ὁ Σωτήρ. Λέγει ὁ γέρων τῷ μαθητῇ αὐτοῦ Ζαχαρίᾳ· δὸς τῷ ἀδελφῷ βιβλίον, καὶ βάλε αὐτὸν εἰς κελλίον μηδὲν ἔχον· ὁ δὲ ἐποίησεν οὕτως. Ὅτε οὖν ἦλθεν ἡ ὥρα τῆς ἐνάτης προσεῖχε τῇ θύρᾳ ὁ ἀδελφὸς ὁ ἀπὸ ξένης, εἰ ἄρα πέμπουσι καλέσαι αὐτὸν εἰς τὸ φαγεῖν.

Ὡς δὲ οὐδεὶς ἐκάλεσεν αὐτόν, ἀναστὰς ἦλθε πρὸς τὸν Ἀββᾶν καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, οὐκ ἔφαγον οἱ ἀδελφοὶ σήμερον; ὁ δὲ γέρων εἶπε, ναί· καὶ ὁ ἀδελφός· καὶ διατὶ οὐκ ἐκαλέσατέ με; Ἀπεκρίθη ὁ γέρων· ἐπειδὴ ἄνθρωπος πνευματικὸς εἶ καὶ οὐ χρείαν ἔχεις τῆς βρώσεως ταύτης, ἡμεῖς δὲ σαρκικοὶ ὄντες θέλομεν φαγεῖν, καὶ διὰ τοῦτο ἐργαζόμεθα, σὺ δὲ τὴν καλὴν μερίδα ἐξελέξω, ἀναγινώσκων ὅλην τὴν ἡμέραν καὶ οὐ θέλεις φαγεῖν σαρκικὴν βρῶσιν. Ὁ δέ, ὡς ἤκουσε ταῦτα, ἔβαλε μετάνοιαν λέγων· συγχώρησόν μοι, Ἀββᾶ· καὶ ὁ γέρων εἶπε· πάντως χρείαν ἔχει καὶ ἡ Μαρία τῆς Μάρθας· διὰ γὰρ τῆς Μάρθας καὶ ἡ Μαρία ἐγκωμιάζεται.

3. Μοναχός τις εἰργάζετο ἐν ἡμέρᾳ Μάρτυρος· ἰδὼν δὲ αὐτὸν ἄλλος Μοναχός, λέγει αὐτῷ· ἔνι σήμερον ἐργάσασθαι; Ὁ δὲ ἀποκριθεὶς εἶπε· σήμερον ὁ δοῦλος τοῦ Θεοῦ ἐξέετο καὶ ἐβασανίζετο μαρτυρῶν, κἀγὼ ἐν τῷ ἔργῳ μικρὸν οὐκ ὀφείλω κοπιάσαι;

4. Ἠρωτήθη γέρων, τί δεῖ ποιοῦντα σωθῆναι; (ἦν δὲ σειρὰν ἐργαζόμενος καὶ μὴ ἀνανεύων ἐκ τοῦ ἐργοχείρου), καὶ ἀπεκρίθη· ἰδοὺ ὡς βλέπεις.

5. Ἄλλος γέρων ἦλθεν ἐπί τινα ποταμόν, καὶ εὑρὼν χάρακα καλάμων ἐκάθισε, καὶ κόπτων φυλλίδια ἐκ τοῦ ποταμοῦ ἔπλεκε σειρὰν καὶ ἔβαλεν εἰς τὸν ποταμόν· καὶ οὕτως ἐποίει ἕως οὗ ἦλθον οἱ ἄνθρωποι καὶ εἶδον αὐτόν· καὶ τότε ἀναστὰς ἀνεχώρησεν· οὐ διὰ γὰρ τὸ χρῄζειν εἰργάζετο, ἀλλὰ διὰ τὸν κόπον καὶ τὴν ἡσυχίαν.

6. Εἶπε γέρων· ἀνιστάμενος τὸ πρωΐ, λέγε σεαυτῷ· σῶμα, ἔργασαι ἵνα τραφῇς· ψυχή, νῆφε ἵνα κληρονομήσῃς.

7. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ, ὅτι εἶπε τῷ ἀδελφῷ αὐτοῦ τῷ μειζοτέρῳ· νεώτερος ὢν ἤθελον ἀμέριμνος εἶναι ὡς οἱ Ἄγγελοι ἀμέριμνοι εἰσί, μηδὲν ἐργαζόμενοι, ἀλλὰ ἀδιαλείπτως λατρεύοντες τῷ Θεῷ. Καὶ ἀποδυσάμενος τὸ ἱμάτιον αὐτοῦ ἐξῆλθεν εἰς τὴν ἔρημον· καὶ ποιήσας ἑβδομάδα μίαν ὑπέστρεψεν εἰς τὸν ἀδελφὸν αὐτοῦ. Ὡς οὖν ἔκρουσε τὴν θύραν, ὑπήκουσεν ἔνδον ὁ ἀδελφὸς αὐτοῦ καὶ λέγει πρὶν ἀνοίξῃ· τίς εἶ σύ; ὁ δὲ ἔφη· ἐγώ εἰμι Ἰωάννης ὁ ἀδελφός σου· ἐκεῖνος δὲ πάλιν ἔνδον ἀπεκρίθη λέγων· Ἰωάννης Ἄγγελος γέγονε καὶ οὐκέτι ἐν ἀνθρώποις ἐστίν· ὁ δὲ παρεκάλει φάσκων, ὅτι ἐγώ εἰμι· καὶ οὐκ ἤνοιξεν αὐτῷ, ἀλλὰ ἀφῆκεν ἕως πρωῒ θλίβεσθαι. Μετὰ τοῦτο ἀνοίξας λέγει αὐτῷ· ἄνθρωπος εἶ; χρείαν ἔχεις πάλιν ἐργάζεσθαι ἵνα τραφῇς· ὁ δὲ Ἰωάννης ἔβαλε μετάνοιαν λέγων· συγχώρησόν μοι.

8. Εἶπε γέρων· τὸν ὀκνηρὸν καὶ τὸν ἀργὸν οὐ θέλει ὁ Θεός.

Ἑ ρ μ η ν ε ί α

ΕΠΕΣΚΕΦΘΗΣΑΝ κάποτε τὸν Ἀββᾶν Ἀχιλλᾶν ὁ Ἀββᾶς Ἀμμώης καὶ ὁ Ἀββᾶς Βιτίμιος. Ἦτο πολὺ πρωῒ καὶ τὸν εὑρῆκαν νὰ ἐργάζεται καὶ νὰ πλέκῃ τὸ σχοινί. Τὸν παρεκάλεσαν νὰ τοὺς ἀπευθύνῃ ὠφελίμους λόγους καὶ ἐκεῖνος τοὺς εἶπε:

— Ἐγὼ ἀπὸ χθὲς τὸ βράδυ ἕως τώρα ἔπλεξα εἴκοσι ὀργυιὲς καὶ δὲν ἔχω, πραγματικά, ἀνάγκην ἀπὸ τόσον ἐργόχειρον· ἐργάζομαι ὅμως μήπως ἀγανακτήσῃ ὁ Θεὸς καὶ μὲ κατηγορήσῃ λέγων εἰς ἐμέ· διατὶ ἐνῷ ἠμπορεῖς νὰ ἐργάζεσαι, δὲν εἰργάσθης; Δι' αὐτὸ κοπιάζω μὲ ὅλην μου τὴν δύναμιν.

Ἀπὸ αὐτοὺς τοὺς λόγους ὠφελήθησαν οἱ Πατέρες καὶ ἀνεχώρησαν.

2. Κάποιος ἀδελφὸς ἦλθεν εἰς τὸ ὄρος Σινᾶ καὶ ἐπεσκέφθη τὸν Ἀββᾶν Σιλουανόν. Καθὼς δὲ εἶδε τοὺς ἀδελφοὺς νὰ ἐργάζωνται, εἶπεν εἰς τὸν Γέροντα:

— Νὰ μὴ ἐργάζεσθε διὰ τὸ φαγητόν, ποὺ χάνεται· «διότι ἡ Μαρία ἐδιάλεξε τὴν καλὴν μερίδα»· ὅπως λέγει ὁ Σωτὴρ (Λουκ. ι', 41—42).

Ἀντὶ ἀπαντήσεως λέγει ὁ Γέρων εἰς τὸν μαθητήν του Ζαχαρίαν:

— Δῶσε εἰς τὸν ἀδελφὸν ἕνα βιβλίον καὶ βάλε τον εἰς ἕνα κελλί, ποὺ νὰ μὴ ἔχῃ τίποτα. Ὁ ἀδελφός, πράγματι, ἔτσι ἔκαμεν.

Ὅταν λοιπὸν ἔφθασεν ἡ ἐνάτη ὥρα ὁ φιλοξενούμενος ἀδελφὸς εἶχε διαρκῶς τὸν νοῦν του εἰς τὴν θύραν, μήπως στείλουν νὰ τὸν καλέσουν διὰ νὰ φάγῃ.

Ἀφοῦ ὅμως ἐπέρασεν ἡ ὥρα καὶ κανεὶς δὲν τὸν ἐκάλεσεν, ἐσηκώθη, ἦλθεν εἰς τὸν Ἀββᾶν καὶ τοῦ λέγει:

— Ἀββᾶ, δὲν ἔφαγαν οἱ ἀδελφοὶ σήμερα;

— Βεβαίως, ἀπήντησεν ὁ Γέρων.

— Καὶ διατὶ δὲν μὲ ἐκαλέσατε; ἠρώτησεν ὁ ἀδελφός.

— Ἐπειδὴ εἶσαι ἄνθρωπος πνευματικός, ἀπεκρίθη ὁ Γέρων, καὶ

δὲν ἔχεις ἀνάγκην ἀπὸ αὐτὸ τὸ φαγητόν· ἐνῷ ἡμεῖς, ἐπειδὴ εἴμεθα σαρκικοί, θέλομεν νὰ φάγωμεν καὶ δι' αὐτὸ ἐργαζόμεθα. Σὺ ὅμως ἐδιάλεξες τὴν καλὴν μερίδα, ὅλην τὴν ἡμέραν ἐμελέτας καὶ τώρα δὲν θέλεις νὰ φάγῃς τὴν σαρκικὴν τροφήν.

Ὁ φιλοξενούμενος ἀδελφός, μόλις ἤκουσεν αὐτά, ἐκατάλαβεν, ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ εἶπε:

— Συγχώρεσέ με, Ἀββᾶ.

Καὶ ὁ Γέρων τοῦ ἀπήντησε:

— Πάντως καὶ ἡ Μαρία ἔχει ἀνάγκην ἀπὸ τὴν Μάρθαν· διότι διὰ τῆς Μάρθας ἐγκωμιάζεται καὶ ἡ Μαρία*.

3. Κάποιος Μοναχὸς εἰργάζετο τὴν ἡμέραν τῆς μνήμης ἑνὸς Μάρτυρος. Μόλις τὸν εἶδεν ἕνας ἄλλος Μοναχὸς τοῦ λέγει:

— Ἐπιτρέπεται νὰ ἐργάζεσαι σήμερα;

Καὶ ἐκεῖνος τοῦ ἀπήντησε:

— Σὰν καὶ σήμερα ὁ δοῦλος τοῦ Θεοῦ ἐκομματιάζετο καὶ ἐβασανίζετο καὶ ὑφίστατο τὸ μαρτύριον· καὶ ἐγὼ δὲν πρέπει νὰ κοπιάσω εἰς ἕνα τόσον μικρὸν ἔργον;

4. Ἠρώτησε κάποιος ἕνα Γέροντα, ὁ ὁποῖος ἔπλεκε σχοινὶ καὶ δὲν ἐσήκωνε κεφάλι ἀπὸ τὸ ἐργόχειρον, τί πρέπει νὰ κάνῃ διὰ νὰ σωθῇ;

Καὶ ἐκεῖνος ἀπήντησε:

— Νά, ὅπως βλέπεις.

5. Ἕνας ἄλλος Γέρων ἦλθεν εἰς τὴν ἄκραν ἑνὸς ποταμοῦ καὶ ἀφοῦ εὑρῆκε καλαμιῶνα, ἐκάθισεν, ἔκοπτε φύλλα ἀπὸ τὴν ὄχθην, ἔπλεκε σχοινὶ καὶ τὸ ἔρριπτεν εἰς τὸν ποταμόν. Ἔτσι ἔκαμνε, μέχρις ὅτου ἦλθαν οἱ ἄνθρωποι καὶ τὸν εἶδαν. Καὶ τότε πλέον ἐσηκώθη καὶ ἔφυγεν.

Δὲν εἰργάζετο, διότι εἶχεν ἀνάγκην, ἀλλὰ διὰ νὰ κοπιάζῃ καὶ νὰ μένῃ ἥσυχος ἀπὸ τοὺς λογισμούς.

6. Ἕνας Γέρων εἶπεν: Ὅταν σηκώνεσαι τὸ πρωΐ, νὰ λέγῃς εἰς τὸν ἑαυτόν σου· σῶμα δούλεψε, διὰ νὰ τραφῇς· ψυχή, πρόσεχε ἐπαγρυπνοῦσα, διὰ νὰ κληρονομήσῃς τὴν αἰώνιον ζωήν.

7. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβὸν τὸ ἑξῆς περιστατικόν.

Κάποτε, ὅταν ἦτο νεώτερος, εἶπεν εἰς τὸν μεγαλύτερον ἀδελφόν

---

* Τὰ λεγόμενα περὶ Μάρθας καὶ Μαρίας ἀναφέρονται εἰς τὴν ὑποδοχὴν τὴν ὁποίαν ἔκαμεν εἰς τὸν Ἰησοῦν ἡ Μάρθα ἡ ἀδελφὴ τοῦ Λαζάρου, ὅταν ὁ Κύριος εἰσῆλθεν εἰς τὸ χωρίον των Βηθανίαν. Ἡ μὲν Μάρθα προσεπάθει μὲ κάθε τρόπον νὰ περιποιηθῇ τὸν Ἰησοῦν, ἐνῷ ἡ ἀδελφή της Μαρία ἐκάθισε παρὰ τοὺς πόδας τοῦ Κυρίου καὶ ἤκουε τὴν διδασκαλίαν του. Τότε ἡ Μάρθα παρεπονέθη εἰς τὸν Ἰησοῦν, ὅτι ἡ ἀδελφή της τὴν ἀφῆκε μόνην νὰ κουράζεται. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε: «Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζει περὶ πολλά, ἑνὸς δὲ ἔστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. (Λουκᾶ, κεφ. Ι', 38—42).

του· ἤθελα νὰ εἶμαι ἀμέριμνος, ὅπως οἱ Ἄγγελοι εἶναι ἀμέριμνοι, οἱ ὁποῖοι δὲν ἐργάζονται, ἀλλὰ συνεχῶς λατρεύουν τὸν Θεόν. Καὶ ἀφοῦ ἔβγαλε τὸ ἱμάτιόν του, ἔφυγεν εἰς τὴν ἔρημον. Ἐκεῖ παρέμεινε μίαν ἑβδομάδα καὶ ἐγύρισε πάλιν εἰς τὸν ἀδελφόν του.

Μόλις ἐκτύπησε τὴν θύραν, τὸν ἤκουσεν ἀπὸ μέσα ὁ ἀδελφός του καὶ λέγει, πρὶν νὰ ἀνοίξῃ:

— Ποιός εἶσαι σύ;

— Ἐγὼ εἶμαι ὁ Ἰωάννης, ὁ ἀδελφός σου· ἀπήντησεν ἐκεῖνος.

— Ὁ Ἰωάννης ἔγινεν Ἄγγελος καὶ δὲν εὑρίσκεται πλέον μεταξὺ τῶν ἀνθρώπων· ἀπεκρίθη ἀπὸ μέσα ὁ ἀδελφός του.

Ἐκεῖνος ὅμως ἐπέμενε καὶ παρεκάλει· ἐγὼ εἶμαι, ἔλεγεν. Παρ' ὅλα αὐτὰ δὲν τοῦ ἤνοιξεν, ἀλλὰ τὸν ἄφησεν ἕως τὸ πρωῒ νὰ στενοχωρῆται.

Μετὰ τὴν δοκιμασίαν αὐτήν, τοῦ ἤνοιξε καὶ τοῦ λέγει:

— Εἶσαι ἄνθρωπος καὶ ἔχεις ἀνάγκην πάλιν νὰ ἐργάζεσαι διὰ νὰ τραφῇς.

Τότε ὁ Ἰωάννης ἔβαλε μετάνοιαν εἰς τὸν ἀδελφόν του καὶ τοῦ λέγει: συγχώρεσέ με.

8. Ἕνας Γέρων εἶπε· τὸν ὀκνηρὸν καὶ αὐτόν, ποὺ δὲν ἐργάζεται, δὲν τὸ θέλει ὁ Θεός.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, περὶ τοῦ ἐργοχείρου μὴ ὀλιγώρει· πολλάκις γὰρ ὑποβάλλει σοι ὁ λογισμὸς λέγων, ὅτι οὐδέποτε δυνήσῃ μαθεῖν τὸ ἐργόχειρον τοῦτο· ἀσθενὴς γὰρ εἶ καὶ ὀλίγωρος, καὶ τὴν μοχθηρίαν τοῦ ἔργου τούτου οὐ δύνῃ ὑπενεγκεῖν εἰς τέλος. Ἰδοὺ γὰρ τὰ μέλη σου ἤρξω πάσχειν ἀπὸ τοῦ κόπου· οὐ γὰρ ἔθισας κάμνειν, ἀλλὰ διελθὼν πορεύου ὅθεν παραγέγονας· κἀκεῖ γάρ, φησιν, ἐὰν θέλῃς φοβηθῆναι τὸν Θεόν, σώζῃ.

Μὴ οὖν ἐκλύου, ἀδελφέ, ὑπὸ τῶν τοιούτων λογισμῶν, ἀλλ' ὑπόμεινον τὸν Κύριον τὸν καλέσαντά σε εἰς τὴν αὐτοῦ βασιλείαν· αὐτὸς γὰρ εἶπεν· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν»· καὶ πάλιν· «ἐὰν ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν». Καὶ ἡμεῖς οὖν, ἀγαπητέ, ὑπομείνωμεν· οὐ γὰρ ἐπ' ἀνθρώπῳ ἠλπίσαμεν, ὃς οὐ δύναται σώζειν, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ σώζοντι τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

Ἄρα οὖν ἀγαπητέ, γράμματα εἰ ἐμάνθανες, οὐχ ὑπέμενες τὸν σκυλμόν, εἰ δὲ καὶ τέχνην τοῦ κόσμου, οὐχ ὑπέμενες τὸν κόπον; εἰ δὲ ἐν ἐκείνοις μακροθύμως ὑπέμενες, οὐ πολλῷ μᾶλλον ὀφειλέται ἐσμὲν ὑπομεῖναι πάντα διὰ τὸν Κύριον; Γέγραπται γάρ· «τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ καὶ καλῶς σοι ἔσται»· καὶ ὁ Ἀπόστολος παραγγέλλει λέγων· «ταῖς ἰδίαις χερσὶν ἐργάζεσθε τὸ ἀγαθόν, ὥς τε μὴ μόνον αὐτὸν τὸν ἐργαζόμενον ἐσθίειν, ἀλλὰ μεταδιδόναι καὶ τῷ χρείαν ἔχοντι ἐκ τῶν ἰδίων πόνων». Ὁ οὖν μισῶν τὸ ἐργάζεσθαι, περίεργος ἔσται· πολλὴν γὰρ κακίαν ἔδειξεν ἡ ἀργία, ὁ δὲ ἀγαπῶν τὸ ἐργάζεσθαι ἄλυπος διαμένει.

Ἀγαπητὲ ἀδελφέ, ἐὰν ἐπιλέξῃ σεαυτῷ εὐλάβειαν, νῆφε μήποτε διὰ τῆς εὐλαβείας παρεισάξῃ σοι ὁ πονηρὸς ἀλλότριον λογισμόν, ἤγουν κενοδοξίας ἢ ὑπερηφανίας, ἐν τῷ μὴ βούλεσθαί σε συγκοπιάσαι τοῖς ἀδελφοῖς σου, ἵνα μὴ τὴν εὐλάβειαν δῆθεν καταλύσῃς, ἀλλ' ἔργασαι καθάπερ καὶ οἱ ὁμόψυχοί σου ἀδελφοί, καὶ τὴν εὐλάβειάν σου φύλαττε. Ἡ γὰρ ὀκνηρία τὴν εὐλάβειαν καταλύει καὶ ὄνομα ἐπονείδιστον ἐπιφέρει τῷ κεκτημένῳ αὐτήν. Συζεύγνυε οὖν τὴν εὐλάβειαν τῇ σπουδῇ, καὶ ἔσῃ ἀληθινὸς εὐλαβής.

Ἀγαπητέ, ἐὰν ἧς ἐν κοινοβίῳ ἐργαζόμενος καὶ κοπιῶν ὑπὲρ τοὺς λοιπούς, ὅρα μήποτε ὑποβάλῃ σοι ὁ πονηρὸς λογισμὸν πλήρη πικρίας θανάτου, καὶ εἴπῃς ἐν σεαυτῷ, ὅτι πολλοῦ μὲν μισθαρίου καταλύω, ἡ δὲ τροφή μου οὐδέν ἐστιν, καὶ ζητήσῃς πλείονα ἢ διαφορωτέραν τροφὴν ὑπὲρ τοὺς ἄλλους ἀδελφούς, καὶ ἕνεκεν βρώματος καταλύσῃς τὸ ἔργον τοῦ Θεοῦ· ἐὰν γὰρ τοιαῦτα διαλογίζῃ, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Ἄλλως τε καὶ παρὰ ἀνθρώπων ζητῶν μισθόν, ἀπόλλυς τὸν παρὰ Θεοῦ.

Σὺ οὖν εἰ παρ' ἐκείνου ἐκδέχῃ τὰς ἀμοιβάς, τὰς παρὰ τῶν ἀνθρώπων μὴ θέλε, ταπείνου δὲ μᾶλλον ἑαυτὸν τοῖς ἀδελφοῖς σου, καὶ χαῖρε ἀφορῶν εἰς τὴν τοῦ δικαίου κριτοῦ μισθαποδοσίαν, ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ καὶ εἰπόντος· «τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος δοῦλος, ὃν κατέστησεν ὁ Κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ, διδόναι τοῖς συνδούλοις αὐτοῦ ἐν καιρῷ τὴν τροφήν; Μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ Κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως· ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτόν».

Οἶδα καὶ ἀδελφὸν ὃς εἴρηκεν· ηὐχόμην ἂν τῷ Θεῷ ἵνα ἔδωκε χάριν τῷ ἐργοχείρῳ μου, καὶ ὅλον τὸ κοινόβιον ἐξ αὐτοῦ διετρέφετο· μεγάλην γὰρ ἔσχον ἂν ἐν τούτῳ χαράν, καὶ τῷ Θεῷ πλειόνως ηὐχαρίστησα τῷ εἰπόντι· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε».

Καὶ ἕτερος ἀδελφὸς μεγάλως ἐκοπία ἐν κοινοβίῳ, ἐπολεμεῖτο δὲ ὑπὸ λογισμῶν χάριν τοῦ κόπου, ὁ δὲ ἀπεκρίνατο λέγων· κακὲ δοῦλε, ἐπράθης καὶ τί δύνῃ ποιῆσαι ἔτι; καὶ ὁ Κύριος παρεῖχεν αὐτῷ παράκλησιν.

Μακάριος Μοναχὸς ὁ τηρῶν τὰς ἐντολὰς τοῦ Κυρίου καὶ ἐπιμελούμενος ἀεὶ τῶν τριῶν τούτων, σχολῆς εἰς προσευχήν, καὶ ἔργου, καὶ μελέτης· γέγραπται γάρ· «σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός»· καὶ πάλιν· «πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου»· καὶ πάλιν· «καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός».

Ἀγαπητέ, ἐὰν ἧς ἐν κοινοβίῳ ἀδελφῶν, γίνου ταπεινόφρων, κατὰ πάντα δουλεύων τοῖς ἀδελφοῖς σου, ἵνα καὶ τοὺς ἐξ οἰκτροῦ βίου παρόντας, εἰς τοῦτο παιδεύσῃ ἡ σὴ καλὴ ἀναστροφή, καὶ βλέποντές σε διεγείρωσι τὰς ἑαυτῶν ψυχὰς πρὸς ἐργασίαν τῶν ἀρετῶν. Ὅταν οὖν προστάξωσιν οἱ προεστῶτες συνεξελθεῖν τοῖς ἀδελφοῖς εἰς ἔργον, προθύμως πρόδραμε καὶ μὴ ἄλλους περίμενε προλαβεῖν σε, μηδὲ ἔριζε τοῖς ῥαθύμοις, οἵτινες διὰ τῆς οἰκείας ἀμελείας μεγάλα ἑαυτοὺς ζημιοῦσι καὶ καταβλάπτουσι, πρῶτον μὲν ἀνυποταξίας καὶ φιλαυτίας καὶ ἀργίας κομιζόμενοι κρῖμα, εἶτα καὶ τοῦ ἐκ τῆς ἐργασίας μισθοῦ στερούμενοι, τρίτον δέ, ὃ καὶ βαρύτατον, πρόφασιν καὶ τοῖς ἄλλοις διδόντες γογγυσμοῦ καὶ καταλαλιᾶς καὶ ἀπειθείας· καὶ τῆς ἐκείνων βλάβης, αὐτοὶ τὴν δίκην ὑφέξουσι μείζονα.

Σὺ δέ, ἀδελφέ, μὴ πρόσεχε τούτοις· οὐδεὶς γὰρ ἐν ἀμητῷ λέγει ποτέ, τοῦ πλησίον μὴ συνάγοντος ἑαυτῷ σῖτον, οὐδὲ ἐγὼ συνάγω ἐμαυτῷ· ἀλλ' ἕκαστος, ὡς καιρὸν ἔχει, συνάγει ἑαυτῷ τροφὰς καὶ τοῖς κτήνεσιν αὐτοῦ, ἵνα ἀνενδεὴς διαμείνῃ ἐν τῷ καιρῷ τοῦ χειμῶνος. Εἰ οὖν εἰς τὰ σαρκικὰ τοσαύτην σπουδὴν ἐπιδεικνύμεθα, οὐ πολλῷ μᾶλλον δεῖ ἡμᾶς σπουδάζειν εἰς τὰ πνευματικά; Εἰ δὲ ἴσως τὸ σῶμά σου ἀσθενὲς ὂν οὐχ ὑποφέρει τὸν κόπον, καθάπερ τὸ τῶν ἀγροίκων, σὺ μὲν δεῖξον τὴν πρόθεσιν ἐν ἀληθείᾳ, οἱ δὲ ἰδόντες σου τὸ ἀσθενὲς καὶ ἀδύνατον κουφίσουσιν ἀπὸ σοῦ τὸ βάρος· μὴ ἀφῇς δὲ εἰς τὸ τέλος ἆραι αὐτὸ ἀπὸ σοῦ, ἀλλὰ παρακάλει αὐτοὺς λέγων, κἀγὼ σὺν ὑμῖν θέλω ἔχειν μέρος, καὶ συγκοπίασον αὐτοῖς κατὰ τὴν δύναμιν, ἣν ὁ Κύριός σοι ἐχαρίσατο, καὶ ἕξεις μεγάλην ἀντιμισθίαν παρὰ Θεοῦ.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, νὰ μὴ ἀμελῇς τὸ ἐργόχειρόν σου· διότι πολλὰς φορὰς ὁ λογισμός σου γεννᾷ τὴν σκέψιν, ὅτι, τάχα, ποτὲ δὲν θὰ ἠμπορέσῃς νὰ μάθῃς αὐτὸ τὸ ἐργόχειρον· εἶσαι —σοῦ λέγει— ἀσθενὴς καὶ ἀμελὴς καὶ δὲν θὰ ἠμπορέσῃς νὰ ἀνθέξῃς εἰς τὸν κόπον διὰ τὴν ἐργασίαν αὐτὴν μέχρι τέλους. Νά, τὰ μέλη σου ἀρχίζουν νὰ πονοῦν ἀπὸ τὸν κόπον· διότι δὲν συνήθισες νὰ κουράζεσαι. Σήκω, λοιπόν, καὶ πήγαινε ἀπὸ ἐκεῖ, ποὺ ἦλθες. Καὶ ἐκεῖ —λέγει ὁ λογισμὸς— ἂν θέλῃς νὰ φοβηθῇς τὸν Θεόν, σώζεσαι.

Μὴ νικᾶσαι λοιπὸν ἀπὸ τοιούτους λογισμούς, ἀλλὰ νὰ ὑπομένῃς τὸν Κύριον, ποὺ σὲ ἐκάλεσεν εἰς τὴν Βασιλείαν Του. Διότι Αὐτὸς μᾶς εἶπε· «μὲ τὴν ὑπομονήν σας, θὰ κερδίσετε τὰς ψυχάς σας» (Λουκ. κα΄, 19) καὶ «ἂν ἔχετε πίστιν ὅσον ὁ σπόρος τοῦ σιναπιοῦ, θὰ εἰπῆτε εἰς αὐτὸ τὸ βουνό, μετακινήσου ἀπὸ ἐδῶ καὶ θὰ ὑπάγῃ ὅπου προστάξετε καὶ τίποτε δὲν θὰ εἶναι ἀδύνατον διὰ σᾶς» (Ματθ. ιζ΄, 20). Καὶ ἡμεῖς, λοιπόν, ἀγαπητέ, ἂς ὑπομείνωμεν· διότι δὲν ἐστηρίξαμεν τὴν ἐλπίδα μας εἰς ἄνθρωπον, ἀλλ' εἰς τὸν Θεόν, ποὺ σώζει ὅσους ἐλπίζουν εἰς Αὐτόν.

Μήπως, ἀγαπητέ, ἐὰν ἐμάθαινες γράμματα, δὲν θὰ ὑπέμενες τὰ βάσανά των; Ἂν πάλιν ἐμάθαινες μίαν κοσμικὴν τέχνην, δὲν θὰ ὑπέμενες τὸν κόπον; Ἐὰν λοιπὸν δι' ἐκεῖνα ὑπέμενες μακρόθυμα, δὲν θὰ πρέπει, πολὺ περισσότερον, νὰ τὰ ὑπομένωμεν ὅλα διὰ τὸν Κύριον; Διότι καὶ ἡ Ἁγία Γραφὴ λέγει· «τοὺς κόπους τῶν προσπαθειῶν σου θὰ φάγῃς, καλότυχος εἶσαι, καὶ θὰ ἔχῃς καλὸν» (Ψαλμ. ρκζ΄, 2)· καὶ ὁ Ἀπόστολος μᾶς παραγγέλλει· «μὲ τὰ ἴδια σας τὰ χέρια ἐργάζεσθε τὸ καλόν, ὥστε νὰ μὴ τρώγῃ μονάχα ὁ ἴδιος ὁ ἐργαζόμενος, ἀλλὰ νὰ προσφέρῃ ἀπὸ τοὺς κόπους του καὶ εἰς ἐκεῖνον, ποὺ ἔχει ἀνάγκην» (Ἐφεσ. δ΄, 28). Ἐκεῖνος, λοιπόν, ποὺ μισεῖ τὴν ἐργασίαν, δὲν θὰ εἶναι σωστός, διότι ἡ ἀργία φανερώνει πολλὴν κακίαν, ἐνῷ ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἐργασίαν δὲν δοκιμάζει λύπην.

Ἀγαπητὲ ἀδελφέ, ἐὰν διαλέξῃς διὰ τὸν ἑαυτόν σου τὴν εὐλάβειαν, πρόσεξε μήπως, μὲ τὸ πρόσχημα τῆς εὐλαβείας, βάλῃ μέσα εἰς τὸν

νοῦν σου ὁ πονηρὸς ξένον λογισμόν, δηλαδὴ κενοδοξίας ἢ ὑπερηφανίας, μὲ τὸ νὰ μὴ θέλῃς νὰ κουρασθῇς μαζὶ μὲ τοὺς ἀδελφούς σου, διὰ νὰ μὴ καταστρέψῃς, τάχα, τὴν εὐλάβειάν σου. Ἀπ' ἐναντίας, δούλεψε, ὅπως καὶ οἱ ὁμόψυχοι ἀδελφοί σου, καὶ πρόσεχε τὴν εὐλάβειάν σου. Διότι ἡ ὀκνηρία καταστρέφει τὴν εὐλάβειαν καὶ εἰς αὐτὸν ποὺ τὴν ἀποκτᾷ, τοῦ δίνει ὄνομα ἐντροπῆς. Συνένωσε, λοιπόν, τὴν εὐλάβειαν μὲ τὸ ἐνδιαφέρον δι' ἐργασίαν, καὶ τότε θὰ εἶσαι πραγματικὰ εὐλαβής.

Ἀγαπητέ, ἂν ἐργάζεσαι εἰς τὸ Κοινόβιον καὶ κουράζεσαι περισσότερον ἀπὸ τοὺς ἄλλους, πρόσεξε μήπως ὁ πονηρὸς βάλῃ κρυφὰ λογισμὸν γεμᾶτον ἀπὸ πίκραν θανάτου καὶ εἴπῃς ἀπὸ μέσα σου· ἐγὼ προσφέρω ἐργασίαν, ἡ ὁποία ἀξίζει διὰ πολὺν μισθόν, καὶ ὅμως ἡ τροφή μου δὲν εἶναι τίποτα καὶ ἔτσι ζητήσῃς περισσοτέραν ἢ διαφορετικὴν τροφὴν ἀπὸ τοὺς ἄλλους ἀδελφούς, καὶ διὰ τὸ φαγητὸν καταργήσῃς τὴν ἐργασίαν τοῦ Θεοῦ. Διότι ἂν σκέπτεσαι τέτοια πράγματα, δὲν βαδίζεις πλέον σύμφωνα μὲ τὴν ἀγάπην. Ἄλλωστε ἂν ζητῇς τὸν μισθόν σου ἀπὸ τοὺς ἀνθρώπους, τὸν χάνεις ἀπὸ τὸν Θεόν.

Σὺ λοιπόν, ἀφοῦ περιμένεις ἀπὸ Ἐκεῖνον τὰς ἀμοιβάς σου, νὰ μὴ θέλῃς ἐκείνας, ποὺ προσφέρουν οἱ ἄνθρωποι. Καλλίτερα νὰ ταπεινώνεσαι εἰς τοὺς ἀδελφούς σου καὶ νὰ χαίρεσαι ἀποβλέπων εἰς τὴν μισθαποδοσίαν ἀπὸ τὸν δίκαιον Κριτήν, ποὺ ἀποδίδει εἰς τὸν καθένα τὴν ἀξίαν του σύμφωνα μὲ τὰ ἔργα του καὶ ποὺ εἶπε σχετικά· «Ποῖος ἄραγε εἶναι ὁ πιστὸς καὶ συνετὸς δοῦλος, ποὺ ἔταξεν ὁ Κύριος εἰς τὴν οἰκίαν του, νὰ δίδῃ εἰς τοὺς συνδούλους του τὴν τροφήν, τὴν ὥραν ποὺ πρέπει; Μακάριος θὰ εἶναι ὁ δοῦλος ἐκεῖνος, ποὺ ὅταν ἔλθῃ ὁ Κύριός του θὰ τὸν εὕρῃ νὰ κάνῃ ἔτσι. Ἀλήθεια σᾶς λέγω, ὅτι τότε θὰ τὸν διορίσῃ ἐπιστάτην εἰς ὅλα τὰ ὑπάρχοντά του» (Ματθ. κδ´ 45—47).

Γνωρίζω καὶ ἕνα ἀδελφόν, ὁ ὁποῖος εἶπε· θὰ ηὐχόμην εἰς τὸν Θεὸν νὰ ἔδιδε τὴν εὐλογίαν Του εἰς τὸ ἐργόχειρόν μου, ὥστε τὸ Κοινόβιον ποὺ διατρέφεται ἀπὸ αὐτό· διότι θὰ εἶχα μεγάλην χαρὰν ἀπὸ αὐτὸ καὶ περισσότερον θὰ εὐχαριστοῦσα τὸν Θεόν, ποὺ εἶπεν· «ἐφ' ὅσον ἐκάματε τὸ καλὸν εἰς ἕνα ἀπὸ αὐτοὺς τοὺς ἐλαχίστους ἀδελφούς μου, εἰς ἐμὲ τὸ ἐκάματε» (Ματθ. κε´, 40).

Καὶ ἕνας ἄλλος ἀδελφὸς ἐκοπίαζε πάρα πολὺ εἰς τὸ Κοινόβιον καὶ ἐξ αἰτίας τοῦ κόπου ἐπολεμεῖτο πολὺ ἀπὸ τοὺς λογισμούς του. Αὐτὸς ὅμως ἀπαντοῦσεν εἰς τοὺς λογισμοὺς μὲ τὰ ἑξῆς λόγια· κακόγνωμε δοῦλε, ἐπωλήθης καὶ τί ἠμπορεῖς νὰ κάμῃς πλέον; Ὁ Κύριος τότε τὸν παρηγόρει καὶ τοῦ ἔδιδε θάρρος.

Εἶναι μακάριος ὁ Μοναχός, ὁ ὁποῖος τηρεῖ τὰς ἐντολὰς τοῦ Κυρίου καὶ φροντίζει συνεχῶς δι' αὐτὰ τὰ τρία, νὰ εἶναι ἀφωσιωμένος εἰς τὴν προσευχήν, εἰς τὸ ἐργόχειρόν του καὶ εἰς τὴν μελέτην. Διότι ἡ Ἁγία Γραφὴ λέγει «Προσέξατε καὶ μάθετε ὅτι ἐγὼ εἶμαι ὁ Θεὸς» (Ψαλμ. με´, 11) καὶ πάλιν· «ἐγὼ εἶμαι πτωχὸς καὶ ἀπὸ νέος κοπιάζω» (Ψαλμ. πζ´,

16) καὶ πάλιν· «καὶ τὸν νόμον τοῦ Θεοῦ θὰ μελετᾷ ἡμέραν καὶ νύκτα» (Ψαλμ. α', 2).

Ἀγαπητέ, ἂν ζῇς εἰς Κοινόβιον ἀδελφῶν, νὰ εἶσαι ταπεινόφρων, νὰ ἐξυπηρετῇς εἰς ὅλα τοὺς ἀδελφούς σου, ὥστε ἡ καλή σου διαγωγὴ νὰ ὁδηγήσῃ εἰς τὸ ὀρθὸν καὶ ἐκείνους, ποὺ εὑρίσκονται εἰς αὐτὸ μετὰ τὴν προηγουμένην ἀθλίαν ζωήν των· ὅταν θὰ σὲ βλέπουν αὐτοὶ θὰ προετοιμάζουν τὰς ψυχάς των διὰ τὴν ἐργασίαν τῶν ἐντολῶν. Ὅταν λοιπὸν σὲ προστάξουν οἱ προεστῶτες νὰ ὑπάγῃς μαζὶ μὲ τοὺς ἀδελφούς σου εἰς κάποιαν ἐργασίαν, νὰ τρέξῃς πρόθυμα καὶ νὰ μὴ περιμένῃς νὰ σὲ προλάβουν οἱ ἄλλοι οὔτε νὰ φιλονικῇς μὲ τοὺς ἀμελεῖς, οἱ ὁποῖοι ἀπὸ τὴν ἀμέλειάν των ζημιώνονται καὶ βλάπτονται πάρα πολύ. Αὐτοί, πρῶτ' ἀπ' ὅλα, εἶναι ἄξιοι καταδίκης διὰ τὴν ἀνυποταξίαν, τὴν φιλαυτίαν καὶ τὴν ὀκνηρίαν των· ἔπειτα χάνουν τὸν μισθὸν ἀπὸ τὴν ἐργασίαν των· τρίτον δέ, ποὺ εἶναι καὶ τὸ βαρύτερον, δίδουν ἀφορμὴν καὶ εἰς τοὺς ἄλλους διὰ γογγυσμόν, καταλαλιὰν καὶ ἀνυπακοήν. Ἔτσι θὰ λογοδοτήσουν εἰς τὸν Θεόν, ὁ Ὁποῖος θὰ τοὺς κρίνῃ πολὺ αὐστηρά, διὰ τὴν ψυχικὴν βλάβην τῶν ἄλλων.

Σύ λοιπόν, ἀδελφέ, νὰ μὴ τοὺς προσέχῃς· διότι ποτὲ κανεὶς δὲν λέγει κατὰ τὴν ἐποχὴν τοῦ θερισμοῦ· ἀφοῦ ὁ γείτονάς μου δὲν μαζεύει σιτάρι διὰ τὸν ἑαυτόν του, οὔτε καὶ ἐγὼ θὰ μαζεύω σιτάρι διὰ τὸν ἑαυτόν μου. Ἀπ' ἐναντίας, ὁ καθένας, ὅσον ἔχει καιρόν, συγκεντρώνει διὰ τὸν ἑαυτόν του καὶ τὰ ζῷα του τροφάς, διὰ νὰ μὴ ἔχῃ ἀνάγκην τὸν χειμῶνα. Ἂν λοιπὸν φροντίζωμεν τόσον πολὺ διὰ τὰ σαρκικά, δὲν πρέπει, πολὺ περισσότερον, νὰ ἐνδιαφερώμεθα διὰ τὰ πνευματικά; Ἄν, πάλιν, τὸ σῶμα σου εἶναι ἀσθενικὸν καὶ δὲν ἠμπορεῖ νὰ κοπιάζῃ, ὅπως κοπιάζουν οἱ χωρικοί, σὺ δεῖξε εἰλικρινὰ τὴν καλήν σου πρόθεσιν, καὶ ἐκεῖνοι ποὺ θὰ ἰδοῦν τὴν ἀσθένειαν καὶ τὴν ἀδυναμίαν σου, θὰ σὲ ἐλαφρώσουν ἀπὸ τὸ βάρος. Ὡς τόσον μὴ τοὺς ἀφήσῃς ὁλότελα νὰ σηκώσουν τὸ βάρος ἀπὸ ἐπάνω σου, ἀλλὰ νὰ τοὺς παρακαλῇς καὶ νὰ τοὺς λέγῃς· καὶ ἐγὼ θέλω νὰ ἔχω μαζί σας μέρος· καὶ κοπίασε μαζί τους, μὲ ὅσην δύναμιν σοῦ ἐχάρισεν ὁ Κύριος, καὶ τότε θὰ ἔχῃς μεγάλην ἀντιμισθίαν ἀπὸ τὸν Θεόν.

Ζ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, ὅρα μὴ καταφρονήσῃς τοῦ ἐργοχείρου σου, διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, ἀλλὰ μερίμνησον περὶ αὐτοῦ ἐν φόβῳ θείῳ, ἵνα μὴ ἁμαρτήσῃς ἐν ἀγνωσίᾳ. Πᾶν δὲ ἐργόχειρον, ὅταν διδάσκῃ, λέγε τῷ δεικνύοντί σοι καὶ μὴ αἰσχύνου συνεχῶς λέγειν αὐτῷ, ὅτι ποίησον ἀγάπην, βλέπε αὐτὸ εἰ καλόν ἐστιν ἢ οὔ. Ἐὰν οἰκῇς μετὰ ἀδελφοῦ καὶ ἔστι πάρεργον, ποίησον καὶ αὐτός, κοινώνησον εἰς αὐτὸ τῷ ἀδελφῷ σου, καὶ μὴ φείσῃ τοῦ σώματός σου διὰ τὴν συνείδησιν· μηδέποτε δὲ κατανοήσῃς τὸ ἐργόχειρον τοῦ ἀδελφοῦ σου, εἰ εἰργάσατο ὑπὲρ σὲ ἢ σὺ ὑπὲρ αὐτόν. Ἀνάγκασον σεαυτὸν εἰς τὸ ἐργόχειρόν σου, καὶ ὁ φόβος τοῦ Θεοῦ παροικήσει σοι. Ἡ γὰρ ἀργία θάνατός ἐστι καὶ ἔκπτωσις τῆς ψυχῆς.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, πρόσεχε νὰ μὴ περιφρονήσῃς τὸ ἐργόχειρόν σου, διὰ νὰ φυλάξῃς, δῆθεν, τὴν ἐντολὴν τοῦ Θεοῦ· ἀλλὰ νὰ τὸ φροντίζῃς, μὲ φόβον Θεοῦ, διὰ νὰ μὴ ἁμαρτήσῃς χωρὶς νὰ τὸ ξέρῃς. Ὅταν διδάσκεσαι διάφορα ἐργόχειρα, νὰ λέγῃς τὰς ἀπορίας σου εἰς ἐκεῖνον ποὺ σοῦ τὰ δείχνει καὶ νὰ μὴ ἐντρέπεσαι νὰ τοῦ λέγῃς συνεχῶς· ἀδελφέ, κάμε ἀγάπην καὶ πρόσεξε αὐτὸ ἂν εἶναι καλὸν ἢ ὄχι. Ἂν συγκατοικῇς μὲ ἄλλον ἀδελφὸν καὶ ἔχῃ κάποιαν πρόσθετον ἐργασίαν, νὰ ἐργασθῇς καὶ σὺ ὁ ἴδιος, νὰ λάβῃς καὶ σὺ μέρος εἰς αὐτὴν τὴν ἐργασίαν καὶ διὰ νὰ ἔχῃς ἤρεμον τὴν συνείδησίν σου νὰ μὴ λυπηθῇς τὸ σῶμα σου. Ποτὲ νὰ μὴ ζητήσῃς νὰ μάθῃς διὰ τὸ ἐργόχειρον τοῦ ἀδελφοῦ σου, ἄν, δηλαδή, εἰργάσθη περισσότερον ἀπὸ ἐσένα, ἢ σὺ περισσότερον ἀπὸ αὐτόν. Νὰ ἀπασχοληθῇς ἐξ ὁλοκλήρου μὲ τὸ ἐργόχειρόν σου καὶ ὁ φόβος τοῦ Θεοῦ θὰ μένῃ πάντοτε εἰς τὴν ψυχήν σου. Διότι ἡ ἀργία εἶναι θάνατος καὶ παραστράτημα τῆς ψυχῆς.

Η΄. Ἐν τῷ Γεροντικῷ

ΠΑΡΕΒΑΛΕΝ ὁ Ἀββᾶς Μακάριος ὁ Μέγας τῷ Ἀββᾷ Ἀντωνίῳ εἰς τὸ ὄρος· καὶ ὡς ἔκρουσε τὴν θύραν, ἐξῆλθε πρὸς αὐτὸν ὁ Ἀββᾶς Ἀντώνιος, καὶ λέγει αὐτῷ· τίς εἶ σύ; ὁ δὲ ἔφη, ἐγώ εἰμι ὁ Μακάριος. Καὶ ὡς ἤκουσεν ἐκεῖνος, εἰσῆλθε καὶ κλείσας τὴν θύραν ἀφῆκεν αὐτὸν ἔξω· ὥρας δὲ ἱκανῆς διελθούσης, ἰδὼν τὴν ὑπομονὴν αὐτοῦ ἤνοιξεν αὐτῷ, καὶ χαριεντιζόμενος πρὸς αὐτὸν ἔλεγεν· ἀπὸ πολλοῦ χρόνου ἐπεθύμουν ἰδεῖν σε, ἀκούων τὰ περὶ σοῦ. Καὶ φιλοξενήσας αὐτὸν ἀνέπαυσεν, ἦν γὰρ ἀπὸ καμάτου πολλοῦ. Ὀψίας δὲ γενομένης ἔβρεξεν ἑαυτῷ ὁ Ἀββᾶς Ἀντώνιος θαλλία, καὶ λέγει αὐτῷ ὁ Ἀββᾶς Μακάριος· κέλευσον ἵνα κἀγὼ βρέξω ἐμαυτῷ· ὁ δὲ εἶπε· βρέξον· καὶ ποιήσας δεσμὸν μέγαν ἔβρεξε, καὶ καθήμενοι ἀπὸ ὀψὲ καὶ λαλοῦντες περὶ σωτηρίας ψυχικῆς ἔπλεκον, καὶ ἡ σειρὰ διὰ τῆς θυρίδος κατέβαινεν εἰς τὸ σπήλαιον. Εἰσελθὼν δὲ πρωῒ ὁ μακάριος Ἀντώνιος εἶδε τὸ πλῆθος τῆς σειρᾶς τοῦ Ἀββᾶ Μακαρίου καὶ εἶπε· π ο λ λ ὴ δ ύ ν α μ ι ς ἐ κ τ ῶ ν χ ε ι ρ ῶ ν τ ο ύ τ ω ν ἐ ξ έ ρ χ ε τ α ι.

2. Ἡ τῶν Μασσαλιανῶν αἵρεσις ἐργάζεσθαι οὐ συγχωρεῖ, χρὴ δέ, φησιν, ἐν εὐχαῖς ἀεὶ διατελεῖν, μισεργίαν διδάσκουσα.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Μακάριος ὁ Μέγας ἐπῆγε νὰ ἐπισκεφθῇ τὸν Ἀββᾶν Ἀντώνιον εἰς τὸ ὄρος. Ὅταν ἔφθασεν, ἐκτύπησε τὴν θύραν τοῦ κελλίου. Τότε ἐξῆλθεν ὁ Ἀββᾶς Ἀντώνιος καὶ τὸν ἐρωτᾷ·

— Ποιός εἶσαι, σύ;

—Ἐγὼ εἶμαι ὁ Μακάριος, ἀπήντησεν ὁ ἐπισκέπτης.

Μόλις ἤκουσεν αὐτὸ ὁ Ἀντώνιος, εἰσῆλθε καὶ ἀφοῦ ἔκλεισε τὴν θύραν, τὸν ἄφησεν ἀπ' ἔξω. Μετὰ ἀρκετὴν ὥραν, ἀφοῦ εἶδε τὴν ὑπομονήν του, τοῦ ἤνοιξε καὶ τοῦ εἶπεν ἀστειευόμενος· ἀπὸ πολὺν καιρὸν ἐπι-

θυμοῦσα νὰ σὲ ἰδῶ, καθὼς ἤκουον διὰ σέ. Πραγματικὰ δὲ τὸν ἐξεκούρασε μὲ τὴν φιλοξενίαν του. Ὅταν ἐβράδυασεν, ἔβρεξεν ὁ Ἀββᾶς Ἀντώνιος θαλλία*, ἤτοι βλαστοὺς φοινίκων, διὰ νὰ κάμῃ ἐργόχειρον.

— Διάταξέ με νὰ βρέξω καὶ ἐγώ, τοῦ λέγει τότε ὁ Ἀββᾶς Μακάριος.

— Βρέξε, τοῦ ἀπαντᾷ ὁ Ἀββᾶς Ἀντώνιος.

Καὶ ἀφοῦ ἔκαμεν ἕνα μεγάλο δέμα, τὸ ἔβρεξεν. Ἐκάθησαν τότε ἀποβραδίς, ὡμιλοῦσαν περὶ σωτηρίας ψυχῆς καὶ ἔπλεκαν καὶ ἡ πλεξίδα τοῦ σχοινιοῦ κατέβαινεν ἀπὸ τὸ παράθυρον εἰς τὸ σπήλαιον. Μόλις τὸ πρωῒ εἰσῆλθεν εἰς τὸ σπήλαιον ὁ μακάριος Ἀντώνιος καὶ εἶδε τὸ μῆκος τῆς σχοινοσειρᾶς τοῦ Ἀββᾶ Μακαρίου εἶπε· «πολλὴ δύναμις ἐξέρχεται ἀπὸ αὐτὰ τὰ χέρια».

2. Ἡ αἵρεσις τῶν Μασσαλιανῶν** δὲν ἐπιτρέπει εἰς τὰ μέλη της νὰ ἐργάζωνται. Αὐτοὶ οἱ αἱρετικοὶ διδάσκουν ὅτι πρέπει νὰ προσευχώμεθα συνεχῶς καὶ νὰ μισοῦμεν τὴν ἐργασίαν.

Θ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΟΝΑΧΕ, μὴ ἐξ ὀκνηρίας προφασίζου σεαυτῷ ἀσθένειαν, διότι γέγραπται· «καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἔδωκεν αὐτοῖς».

---

* Θαλλία εἶναι οἱ βλαστοὶ τῶν φοινίκων, τοὺς ὁποίους ἐχρησιμοποίουν οἱ Πατέρες διὰ νὰ κατασκευάζουν ψιάθια, κοφίνους κ.τ.λ. Τοὺς βλαστοὺς αὐτοὺς τοὺς ἔσχιζον πρῶτα, τοὺς διετήρουν ὑγροὺς μέσα εἰς τὸ ὕδωρ καὶ οὕτως ἔπλεκον. Ἐπειδὴ δὲ τὰ ζεμπίλια κατεσκευάζοντο κατ' αὐτὸν τὸν τρόπον, κατήντησε θαλλίον νὰ σημαίνῃ καὶ ζεμπίλι.

** Ἡ αἵρεσις τῶν Μασσαλιανῶν ἐνεφανίσθη κατὰ τὸ β' ἥμισυ τοῦ Δ' αἰῶνος εἰς τὴν Μεσοποταμίαν. Ταχέως ὅμως ἐξηπλώθη εἰς τὴν Συρίαν, τὴν Μικρὰν Ἀσίαν, τὴν Θράκην καὶ τὴν Αἴγυπτον. Οἱ Μασσαλιανοὶ εἶχαν μυστικὰς καὶ ἀσκητικὰς τάσεις καὶ δι' αὐτὸ κατώρθωσαν νὰ εὕρουν μεγάλην ἀπήχησιν εἰς τὰς μοναστικὰς ἀδελφότητας. Οἱ Μασσαλιανοὶ ἦσαν θρησκευτικῶς ἀδιάφοροι, εἰς οὐδεμίαν θρησκείαν ἀνῆκον, ἐπίστευον μόνον ἀορίστως εἰς ἕνα Θεόν, δημιουργὸν τοῦ κόσμου, τὸν ὁποῖον ἐλάτρευον εἰς τὰς οἰκίας των, τὰς ὁποίας ὠνόμαζον «προσευχάς». Ἔτρεφον μακρὰν κόμην καὶ ἔζων ὁμοῦ ἄνδρες καὶ γυναῖκες. Ἀπεστρέφοντο τὴν ἐργασίαν ὡς πονηρὰν καὶ συνετηροῦντο διὰ τῆς ἐπαιτείας.

Ἠσχολοῦντο μὲ τὴν ἐνδελεχῆ καὶ διαρκῆ προσευχὴν καὶ ἐπίστευον ὅτι δι' αὐτοῦ τοῦ τρόπου σώζεται ὁ ἄνθρωπος, περιφρονοῦντες τὰ μυστήρια καὶ τὰς ἐκκλησιαστικὰς τελετάς. Οἱ Μασσαλιανοὶ διετηρήθησαν ἐπὶ πολλοὺς αἰῶνας καὶ κατὰ τὸν ΙΑ' ἀκόμη αἰῶνα ὑφίσταντο εἰς τὴν Θράκην ἰσχυραὶ μασσαλιανικαὶ κοινότητες.

Κατὰ τὸν ΙΔ' αἰῶνα ὁ Ἅγιος Γρηγόριος ὁ Παλαμᾶς ἐπεσκέφθη Μονὴν Μασσαλιανῶν καὶ μετὰ κόπου πολλοῦ κατώρθωσε νὰ ἀπαλλάξῃ τῆς πλάνης πολλοὺς ἐκ τῶν πρώτων μοναχῶν.

Μὴ ἀθετῶμεν, ἀδελφοί, τὴν χάριν τοῦ Κυρίου τοῦ ἐπιχορηγοῦντος ἡμῖν τὴν ἰσχὺν πρὸς τὸ ἐργάζεσθαι τὸ ἀγαθόν· ἐν αὐτῇ δὲ τοῦτο ἐργαζόμενοι, εὐχαριστῶμεν τῷ Χριστῷ διὰ παντός. Γέγραπται· «ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον». Αἱ χεῖρές σου ἐργαζέσθωσαν τὸ ἀγαθόν, ἵνα καὶ ὁ χρείαν ἔχων εὑρήσῃ ἄρτον, καὶ ἡ καρδία σου ἔστω πρὸς Κύριον διὰ παντός, καὶ ἔσῃ ἐργαζόμενος τὴν μένουσαν βρῶσιν, οὐ τὴν ἀπολλυμένην. Ἐργάζου οὖν καὶ μὴ ἀναπαύου, ἤγουν μὴ περιπάτει ἀργός· πολλὴν γὰρ κακίαν ἔδειξεν ἡ ἀργία.

Ἑρμηνεία

ΜΟΝΑΧΕ, νὰ μὴ προφασίζεσαι ἀπὸ ὀκνηρίαν, ὅτι εἶσαι ἀσθενής, διότι ἡ Ἁγία Γραφὴ λέγει· «καὶ τὴν ἐπιθυμίαν των ἔδωσες εἰς αὐτούς».

Ἀδελφοί, ἃς μὴ περιφρονοῦμεν τὴν χάριν τοῦ Κυρίου, ἡ ὁποία μᾶς χαρίζει τὴν δύναμιν νὰ ἐργαζώμεθα τὸ καλόν· μὲ τὴν δύναμιν δὲ αὐτὴν νὰ ἐργαζώμεθα τὸ ἀγαθὸν καὶ νὰ εὐχαριστοῦμεν πάντοτε τὸν Χριστόν. Εἰς τὴν Ἁγίαν Γραφὴν εἶναι γραμμένον· «νὰ ἐργάζεσθε ὄχι διὰ τὸ φαγητόν, ποὺ χάνεται, ἀλλὰ δι' αὐτό, ποὺ διατηρεῖ τὸν ἄνθρωπον εἰς τὴν αἰώνιον ζωὴν» (Ἰωάν. στ´, 27). Τὰ χέρια σου ἂς ἐργάζωνται τὸ καλόν, ὥστε καὶ αὐτὸς ποὺ ἔχει ἀνάγκην νὰ εὕρῃ ἄρτον, καὶ ἡ καρδιά σου νὰ εἶναι συνεχῶς ἀφωσιωμένη πρὸς τὸν Κύριον, καὶ τότε πραγματικὰ θὰ ἐργάζεσαι διὰ τὴν τροφήν, ποὺ μένει παντοτινὰ καὶ ὄχι δι' αὐτήν, ποὺ χάνεται μαζὶ μὲ τὸ σῶμα. Νὰ ἐργάζεσαι λοιπὸν καὶ νὰ μὴ ἀναπαύεσαι, δηλαδὴ νὰ μὴ πορεύεσαι χωρὶς ἐργασίαν· διότι ἡ ἀργία φανερώνει πολλὴν κακίαν.

ἘΠΙΜΕΛΕΙΑ ΨΥΧΗϹ, ΚΑΚΟΠΑΘΕΙΑ ΚΑΙ ΤΑΠΕΙΝΩϹΙϹ

ΥΠΟΘΕΣΙΣ Δ'

Ποίῳ σκοπῷ τὸν Μοναχὸν δεῖ ἐργάζεσθαι καὶ ἐπὶ πόσον καὶ τίνα ἔργα ἐπιτηδεύειν.

Διὰ ποῖον σκοπὸν πρέπει νὰ ἐργάζεται ὁ Μοναχός, πόσον χρόνον καὶ ποῖα ἔργα πρέπει νὰ ἐκτελῇ.

Α'. Ἐν τῷ Γεροντικῷ

ΠΟΤΕ ἀδελφοὶ παρέβαλον μεγάλῳ γέροντι· ὁ δὲ λέγει τῷ πρώτῳ αὐτῶν· τί ἐργάζῃ, ἀδελφέ; ἀπεκρίθη ἐκεῖνος· σειρὰν πλέκω, Ἀββᾶ· ἔφη αὐτῷ ὁ γέρων· ὁ Θεὸς πλέξει σοι στέφανον, τέκνον· λέγει καὶ τῷ δευτέρῳ· καὶ σὺ τί ἐργάζῃ; ὁ δὲ εἶπε· ψιάθια· καὶ εἶπεν ὁ γέρων· ὁ Θεὸς ἐνδυναμώσει σε, τέκνον. Ἔφη δὲ καὶ τῷ τρίτῳ· καὶ σὺ τί ἐργάζῃ; εἶπε δὲ καὶ αὐτός, κόσκινα· λέγει αὐτῷ· ὁ Θεὸς φυλάξει σε, τέκνον. Εἶπε δὲ καὶ τῷ τετάρτῳ· καὶ σὺ τί ἐργάζῃ; καὶ ἀπεκρίθη, καλλιγράφος εἰμί· ἔφη ὁ γέρων· σὺ οἶδας. Εἶτα ἐρωτᾷ καὶ τὸν πέμπτον· καὶ σὺ τί ἐργάζῃ; ὁ δὲ ἔφη· τὸ λινυφικόν· ἔφη αὐτῷ ὁ γέρων· ἐγὼ πρᾶγμα οὐκ ἔχω.

Διὰ τούτων δὲ ἐδήλου ὁ γέρων, ὅτι ὁ πλέκων τὴν σειράν, ἐὰν νήφῃ, μετὰ τοῦ Θεοῦ πλέκει ἑαυτῷ στέφανον· τὸ δὲ ψιάθιον, ἰσχὺν θέλει, ὅτι κόπον ἔχει· ὁ δὲ τὰ κόσκινα ἐργαζόμενος δέεται τῆς ἐκ Θεοῦ φυλακῆς, ὅτι εἰς τὰς κώμας αὐτὰ πωλοῦσιν· ὁ δὲ καλλιγράφος χρείαν ἔχει ταπεινοῦν τὴν καρδίαν· τὸ γὰρ πρᾶγμα ὑψηλοφροσύνην φέρει τοῖς μὴ προσέχουσι. Τῷ δὲ τὸ λινυφικὸν ἐργαζομένῳ ἔφη οὐκ ἔχω πρᾶγμα, διότι πραγματεύεται καὶ οὐ μοναχικὸν ἔργον ἐπιτελεῖ. Ἐὰν γάρ τις ἴδῃ τινὰ ἀπὸ μακρόθεν βαστάζοντα σπυρίδια ἢ ψιάθια ἢ κόσκινα, λέγει· οὗτος Μοναχός ἐστι· χόρτος γάρ ἐστι τὸ ἐργόχειρον αὐτοῦ καὶ εἰς καῦσιν τοῦ πυρός· ἐὰν δέ τις ἴδῃ τινὰ πωλοῦντα ὀθόνια, λέγει· ἰδοὺ οἱ πραγματευταὶ ἦλθον· τοῦ κόσμου γάρ ἐστι τὸ ἔργον τοῦτο καὶ οὐ πολλοῖς ὠφέλιμον, ἤγουν Μοναχοῖς.

2. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Εὐνοῦχος, νεώτερος ὤν, ἠρώτησε γέροντα λέγων· πῶς ὑμεῖς ἠδυνήθητε ποιῆσαι τοῦ Θεοῦ τὸ ἔργον ἐν ἀναπαύσει, ἡμεῖς δὲ μετὰ κόπου τοῦτο ποιῆσαι οὐ δυνάμεθα; Καὶ ἀπεκρίθη ὁ γέρων· ἡμεῖς ἠδυνήθημεν, ἐπειδὴ κεφάλαιον ἔχομεν τὸ ἔργον τοῦ Θεοῦ, τὴν δὲ σωματικὴν χρείαν ἐλάχιστον· ὑμεῖς

δὲ κεφάλαιον ἔχετε τὴν σωματικὴν χρείαν, τὸ δὲ ἔργον τοῦ Θεοῦ ἐλαχιστότερον, καὶ διὰ τοῦτο κάμνετε· οὐ γὰρ σκοπεῖτε ὃ ὁ Σωτὴρ εἶπε τοῖς μαθηταῖς, «ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

3. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ποιήσω, ὅτι θλίβομαι διὰ τὸ ἐργόχειρον; ἀγαπῶ γὰρ τὴν σειράν, καὶ οὐ δύναμαι αὐτὴν ἐργάσασθαι. Ὁ δὲ εἶπεν, ὅτι ἔλεγεν ὁ Ἀββᾶς Σισώης, ὡς οὐ χρὴ τὸ ἀναπαῦον ἡμᾶς ἔργον ἐργάσασθαι.

4. Ἠρώτησέ τις ἀδελφὸς τὸν Ἀββᾶν Βιαρὲ λέγων· «τί ποιήσω ἵνα σωθῶ; καὶ ἀπεκρίθη ὁ γέρων· ὕπαγε, ποίησον τὴν κοιλίαν σου μικρὰν καὶ τὸ ἐργόχειρόν σου μικρόν, καὶ μὴ ταράττου εἰς τὸ κελλίον σου καὶ σώζῃ, ἤγουν ἐν ἐγκρατείᾳ καὶ ὀλιγαρκείᾳ καὶ ἀμεριμνίᾳ δίαγε.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ μερικοὶ ἀδελφοὶ ἐπεσκέφθησαν ἕνα μεγάλον Γέροντα. Ὁ Γέροντας ἐρωτᾷ τὸν πρῶτον:

— Τί ἐργάζεσαι, ἀδελφέ;

—Ἀββᾶ, πλέκω σχοινί, ἀπήντησεν ἐκεῖνος.

—Ὁ Θεὸς θὰ σοῦ πλέξῃ στεφάνι, παιδί μου.

Ἔπειτα τὸν δεύτερον:

— Καὶ σὺ ποίαν ἐργασίαν κάμνεις;

— Ψαθιά, ἀπήντησεν ἐκεῖνος.

—Ὁ Θεὸς θὰ σὲ δυναμώσῃ, παιδί μου.

Ἐν συνεχείᾳ ὁ Γέροντας ἐρωτᾷ τὸν τρίτον:

— Καὶ σὺ τί ἐργάζεσαι;

— Κόσκινα, Γέροντά μου.

—Ὁ Θεὸς θὰ σὲ φυλάξῃ, παιδί μου.

Κατόπιν εἶπε καὶ εἰς τὸν τέταρτον:

— Καὶ σὺ τί ἐργάζεσαι;

— Εἶμαι καλλιγράφος, ἀπήντησεν ἐκεῖνος.

— Σὺ γνωρίζεις, τοῦ εἶπεν εἰς ἀπόκρισιν ὁ Γέροντας.

Ὕστερα ἐρωτᾷ καὶ τὸν πέμπτον:

— Καὶ σὺ τί ἐργάζεσαι;

— Ὑφαίνω λινὰ ὑφάσματα, ἀπήντησεν ὁ πέμπτος.

— Εἰς αὐτὸ δὲν ἀνακατεύομαι, ἀπεκρίθη ὁ Γέρων.

Μὲ τὰς ἀπαντήσεις αὐτὰς ὁ Γέρων ἐφανέρωσε χαρακτηριστικὰ τὰ ἑξῆς: Ἐκεῖνος, ποὺ πλέκει τὸ σχοινί, ἂν προσέχῃ, πλέκει, μαζὶ μὲ τὸν Θεόν, στεφάνι διὰ τὸν ἑαυτόν του· αὐτὸς ποὺ κάνει τὸ ψαθί, θέλει δύναμιν, ἐπειδὴ ἔχει κόπον· ἐκεῖνος, ποὺ ἐργάζεται κόσκινα ἔχει ἀνάγκην ἀπὸ τὴν προστασίαν τοῦ Θεοῦ, διότι τὰ πωλοῦν εἰς τὰ χωριά· ὁ καλλιγράφος ἔχει ἀνάγκην νὰ ταπεινώνῃ τὴν καρδίαν του, διότι ἡ τέχνη αὐτὴ φέρνει ὑπερηφάνειαν εἰς ὅσους δὲν προσέχουν. Εἰς ἐκεῖνον, ποὺ ὕφαινε λινὰ ὑφάσματα, εἶπεν ὅτι δὲν ἀνακατεύομαι, διότι αὐτὸς ἐμπορεύεται καὶ δὲν ἀσχολεῖται μὲ ἐργόχειρον, κατάλληλον διὰ μοναχούς. Διότι ἂν ἴδῃ κάποιος ἀπὸ μακρὰν ἕνα νὰ βαστάζῃ ζεμπίλια ἢ ψαθιὰ ἢ κόσκι-

να, λέγει: αὐτὸς εἶναι Μοναχός, διότι τὸ ἐργόχειρόν του εἶναι ἀπὸ χόρτον καὶ καίεται ἀπὸ τὴν φωτιάν. Ἐὰν ὅμως ἴδῃ κάποιον νὰ πωλῇ ὑφάσματα, λέγει: νὰ οἱ πραγματευταὶ ἦλθαν, διότι αὐτὸ εἶναι κοσμικὴ ἐργασία καὶ δὲν εἶναι ὠφέλιμον διὰ πολλούς, δηλαδὴ Μοναχούς.

2. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Εὐνοῦχος, ὅταν ἦτο νέος, ἠρώτησε κάποιον Γέροντα:

— Πῶς σεῖς ἠμπορέσατε νὰ κάμετε τὸ ἔργον τοῦ Θεοῦ μὲ ἀνάπαυσιν, ἐνῷ ἡμεῖς, ἂν καὶ καταβάλλωμεν κόπον, ἐν τούτοις δὲν ἠμποροῦμεν νὰ τὸ κάμωμεν αὐτό;

Ὁ Γέρων ἀπεκρίθη:

— Ἡμεῖς ἠμπορέσαμεν, ἐπειδὴ εἰς πρώτην μοῖραν θέτομεν τὸ ἔργον τοῦ Θεοῦ καὶ θεωροῦμεν ἐντελῶς δευτερεύουσαν τὴν ἱκανοποίησιν τῶν σωματικῶν ἀναγκῶν· ἐνῷ σεῖς ἀντιθέτως, δίδετε πρωταρχικὴν σημασίαν εἰς τὴν ἱκανοποίησιν τῶν σωματικῶν ἀναγκῶν καὶ θεωρεῖτε ἀσήμαντον τὸ ἔργον τοῦ Θεοῦ, δι' αὐτὸ καὶ κουράζεσθε. Διότι δὲν σκέπτεσθε ἐκεῖνο ποὺ εἶπεν ὁ Σωτὴρ εἰς τοὺς Μαθητάς Του· «νὰ ἐπιζητῆτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς ἔλθουν κατόπιν» (Ματθ. στ', 33).

3. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα.

— Τί νὰ κάμω —τοῦ εἶπε— διότι στενοχωροῦμαι ἐξ αἰτίας τοῦ ἐργοχείρου; Ἐπιθυμῶ νὰ πλέκω σχοινί, ἀλλὰ δὲν ἠμπορῶ νὰ τὸ ἐργασθῶ. Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ὁ Ἀββᾶς Σισώης ἔλεγεν, ὅτι δὲν πρέπει νὰ ἀσχολούμεθα μὲ ἔργον, ποὺ μᾶς ἀναπαύει καὶ μᾶς εὐχαριστεῖ.

4. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Βιαρέ:

— Τί νὰ κάνω, διὰ νὰ σωθῶ;

— Πήγαινε —τοῦ ἀπεκρίθη ὁ Γέρων— κάμε τὴν κοιλίαν σου μικρὰν καὶ τὸ ἐργόχειρόν σου μικρὸν καὶ νὰ μὴ ταράσσεσαι εἰς τὸ κελλίον σου καὶ θὰ σωθῇς· δηλαδὴ νὰ ζῇς χωρὶς φροντίδας, μὲ ὀλιγάρκειαν καὶ ἐγκράτειαν.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, πρόσεχε σεαυτῷ ἀκριβῶς· πολλὴ γὰρ καὶ ποικίλη ἡ τοῦ ἐχθροῦ κακία, καὶ διάφορα τὰ αὐτοῦ μηχανήματα. Ποτὲ μὲν γὰρ ὁ δόλιος ὀκνηρίαν σοι εἰς τὸ ἐργόχειρον ὑποβάλλει, καὶ διὰ τῆς ἀκηδίας σε πολεμεῖ ἀποστῆναι τοῦ ἔργου καὶ ποιεῖν τὰ μὴ ἔργα ὡς ἔργα, ἢ καὶ ἐκ τῆς κέλλης ἐξενεγκών, διακινεῖν ματαίως καταλείψαντα τὸ οἰκεῖον ἐργόχειρον. Εἰ δὲ ἀντιστῇς αὐτῷ διὰ τῆς ὑπομονῆς καὶ μελέτης, ἑτέρῳ σε πολεμεῖ τρόπῳ· δίδωσι γάρ σοι προθυμίαν εἰς τὸ ἔργον, ὑπὲρ ὃ δεῖ, κατὰ πάθος ἢ φιλαργυρίας ἢ φιλοϋλίας, καὶ εἰς αὐτὸ ὀρθρίζειν καὶ ὀψίζειν ἐνδυναμοῖ, ὥστε εἰ δυνατὸν καὶ ἀπὸ τῆς εὐχῆς καὶ τῆς συνάξεως καταργῆσαί σε. Ὅταν κρούσῃ εἰς τὴν σύναξιν, πάντων ἔσχατον ἀπαντᾶν πείθων, καὶ ἐν τῇ ἀπολύσει τῆς συνάξεως πρὸ πάντων ἐξιέναι παρασκευάζων, διὰ τὴν εἰς τὸ ἔργον ὑπὲρ τὸ μέτρον σπουδήν, καὶ οὕτω σου κατακυριεύσας κατὰ μικρόν, ὑλικὸν

όλως πάλιν καὶ γήϊνον ἀποδείκνυσιν· ᾧ γάρ τις, φησίν, ἥττηται, τούτῳ καὶ δεδούλωται.

Σὺ οὖν, ἀγαπητέ, ἐπιγνοὺς τὴν τοῦ ἐχθροῦ ἀπάτην, μὴ ὑπακούσης αὐτῷ, ἀλλὰ πάντα ἐν μέτρῳ ποίει καθ' ὃ δεῖ, καὶ ἐν μέτρῳ ἐργάζου, ὅπως τῇ προσευχῇ καὶ τῇ συνάξει σχολάζῃς, καὶ ἡ εὐχὴ τῆς πίστεως δίδωσί σοι ἰσχὺν καὶ χάριν ἐν παντὶ ἔργῳ ἀγαθῷ. Τῇ αὐταρκείᾳ στοιχῶμεν καὶ περὶ τῆς χρείας τρέχωμεν καὶ μὴ περὶ τῆς τρυφῆς. Εἰ δὲ τὴν τρυφὴν διώξομεν καὶ πλεονεξίαν, πολὺς ὁ κόπος καὶ ἄστατος ὁ δρόμος, καὶ ἡ θλῖψις ἀπλήρωτος, καὶ ὁ βίος πολυμέριμνος, ἑνὸς δέ ἐστι χρεία, ἀδελφοί μου, καθώς φησιν ὁ Κύριος· οὐδὲν ἀνώτερον ψυχῆς ἢ τιμιώτερον, περὶ ταύτης ἀεὶ τρέχωμεν καὶ φροντίζωμεν καὶ ἑτοιμάζωμεν, καὶ μὴ δαπανήσωμεν ὅλον τὸν χρόνον ἡμῶν ἐν τῇ φροντίδι τοῦ σώματος.

Ὅταν οὖν πεινᾷ τὸ σῶμα καὶ τὴν τροφὴν ἀπαιτῇ, ἐνθυμούμεθα ὅτι καὶ ἡ ψυχὴ τὴν ἰδίαν χρείαν ζητεῖ. Ὥς περ τὸ σῶμα, ἐὰν μὴ μεταλάβῃ τροφῆς, ζῆσαι οὐ δύναται, οὕτω καὶ ἡ ψυχή, ἐὰν μὴ μεταλάβῃ τῆς πνευματικῆς σοφίας, νεκρά ἐστι· διὰ τοῦτο ἔλεγεν ὁ Σωτήρ, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. Σὺ οὖν, ὡς καλὸς οἰκονόμος, δὸς τὰ τῆς ψυχῆς βρώματα τῇ ψυχῇ, καὶ τὰ τοῦ σώματος τῷ σώματι, καὶ μὴ ἐάσῃς σου τὴν ψυχὴν νεκρωθῆναι, ἀλλὰ θρέψον αὐτὴν ἐν λόγοις θείοις, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν ἀναγνώσμασι τῶν θείων γραφῶν, ἐν νηστείαις, ἐν ἀγρυπνίαις, ἐν προσευχαῖς, ἐν δάκρυσιν, ἐν ἐλπίδι καὶ μελέτῃ τῶν μελλόντων ἀγαθῶν.

Ταῦτα καὶ τὰ ὅμοια τούτοις τροφή ἐστι καὶ ζωὴ τῇ ψυχῇ. Βλέπετε, ἀδελφοί, μή τις ἄκαρπος εὑρεθῇ· λέγει γὰρ ὁ Ἀπόστολος· «ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει». Ὁ οὖν σπείρων εἰς τὴν σάρκα αὐτοῦ τρυφὴν καὶ ἡδονὰς καὶ εὐστάθειαν, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα προσευχὴν καὶ νηστείαν, καὶ ἀγρυπνίαν, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. Ὁ μὴ μένων ἐν ἐργοχείρῳ ἑνί, ἐν ἀδιαφόροις ἔργοις συντριβήσεται. Ἀνὴρ μετέωρος ἐν ἡμέρᾳ εὐσήμῳ ἐργάζεται, καὶ ἐν ἐργασίμῃ διακινεῖ. Οὐκ ἔστιν αὕτη ἀρετή, ἀτιμάζεσθαι καὶ ἀναισθητεῖν, ἀλλὰ μᾶλλον συνιέναι καὶ ἀπορρίπτειν τὴν ἀμέλειαν· ὀκνηρὸς γάρ, φησιν, ὀνειδιζόμενος οὐκ ἐντρέπεται.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, πρόσεχε μὲ πᾶσαν ἀκρίβειαν τὸν ἑαυτόν σου· διότι ἡ κακία τοῦ ἐχθροῦ εἶναι πολλὴ καὶ ποικιλόμορφος, καὶ διαθέτει διάφορα μηχανήματα. Ἄλλοτε ὁ πανοῦργος σοῦ φέρει ὀκνηρίαν διὰ τὸ ἐργόχειρον καὶ προσπαθεῖ νὰ σὲ ἀπομακρύνῃ ἀπὸ τὴν ἐργασίαν σου μὲ τὴν ἀδιαφορίαν, διὰ νὰ ἀσχοληθῇς εἰς ἔργα ποὺ δὲν σοῦ ταιριάζουν· ἢ ἀφοῦ σὲ βγάλῃ ἀπὸ τὸ κελλί σου, σὲ κάμνει νὰ πηγαίνῃς ἄσκοπα ἐδῶ καὶ ἐκεῖ καὶ νὰ ἐγκαταλείπῃς τὸ ἐργόχειρόν σου. Ἂν πάλιν τοῦ ἀντισταθῇς μὲ τὴν ὑπομονὴν καὶ τὴν μελέτην, σὲ πολεμεῖ μὲ ἄλλον τρόπον· σοῦ ἐμπνέει, δηλαδή, περισσοτέραν, ἀπὸ ὅσην πρέπει, προθυμίαν εἰς τὴν ἐργασίαν ἀπὸ φιλαργυρίαν ἢ ἀγάπην πρὸς τὴν ὕλην καὶ σοῦ δίδει τὴν δύναμιν νὰ ξημερώνεσαι καὶ νὰ βραδυάζεσαι εἰς αὐτήν, διὰ νὰ σὲ ἐμποδίσῃ, ἂν εἶναι δυνατόν, ἀπὸ τὴν προσευχὴν καὶ τὴν σύναξιν· σὲ πείθει νὰ πηγαίνῃς

τελευταῖος ἀπ' ὅλους καὶ ὅταν τελειώσῃ ἡ σύναξις τῆς ἀκολουθίας σὲ παρακινεῖ νὰ ἐξέρχεσαι πρῶτος ἀπὸ ὑπέρμετρον φροντίδα διὰ τὴν ἐργασίαν· ἔτσι σιγὰ - σιγὰ σὲ κυριεύει τελείως καὶ σὲ κάνει καὶ πάλιν τελείως γήϊνον. Διότι —ὅπως λέγει ἡ Ἁγία Γραφὴ— «ἀπὸ ἐκεῖνο τὸ πάθος ἀπὸ τὸ ὁποῖον κανεὶς ἔχει νικηθῆ, εἰς αὐτὸ καὶ ἔχει δουλωθῆ» (Β' Πετρ. 6', 19).

Σύ λοιπόν, ἀγαπητέ, μόλις ἀντιληφθῇς ὅτι ὁ ἐχθρὸς ἐπιχειρεῖ νὰ σὲ ἐξαπατήσῃ, νὰ μὴ ὑπακούσῃς εἰς αὐτόν, ἀλλὰ νὰ τὰ κάνῃς ὅλα μὲ τὸ μέτρον ποὺ πρέπει, καὶ νὰ ἐργάζεσαι μὲ μέτρον, διὰ νὰ συχνάζῃς τακτικὰ εἰς τὴν σύναξιν καὶ τὴν προσευχήν· καὶ ἡ εὐχή, ποὺ θὰ γίνεται μὲ πίστιν, θὰ σοῦ δίδῃ δύναμιν καὶ χάριν εἰς κάθε καλὸν ἔργον. Ἂς ἀγαπῶμεν τὴν αὐτάρκειαν, καὶ ἂς τρέχωμεν διὰ τὰ ἀπολύτως ἀναγκαῖα καὶ ὄχι διὰ τὴν ἀπόλαυσιν. Ἂν ἐπιδιώξωμεν τὴν ἀπόλαυσιν καὶ τὴν πλεονεξίαν, τότε θὰ εἶναι πολὺς ὁ κόπος, ἀκατάστατος ἡ πορεία, καὶ ἡ λύπη μας ἀνικανοποίητος καὶ πολυμέριμνος ἡ ζωή μας. Δι' ἕνα πρᾶγμα μόνον ὑπάρχει ἀνάγκη, ἀδελφοί μου, ὅπως εἶπεν ὁ Κύριος· τίποτα δὲν εἶναι ἀνώτερον ἢ τιμιώτερον ἀπὸ τὴν ψυχήν. Δι' αὐτὴν πάντοτε ἂς τρέχωμεν καὶ ἂς φροντίζωμεν καὶ αὐτὴν νὰ ἑτοιμάζωμεν· καὶ ἂς μὴ διαθέτωμεν ὅλον μας τὸν χρόνον διὰ τὴν φροντίδα τοῦ σώματος.

Ὅταν τὸ σῶμα πεινᾷ καὶ ἀπαιτῇ τροφήν, ἂς σκεπτώμεθα ὅτι καὶ ἡ ψυχὴ ἔχει τὴν ἰδίαν ἀνάγκην. Ὅπως ἀκριβῶς τὸ σῶμα, ἂν δὲν λάβῃ τροφήν, δὲν ἠμπορεῖ νὰ ζήσῃ, ἔτσι καὶ ἡ ψυχή, ἂν δὲν μεταλάβῃ πνευματικῆς σοφίας, εἶναι νεκρά. Δι' αὐτὸ ἔλεγεν ὁ Σωτὴρ ὅτι «ὁ ἄνθρωπος δὲν ἠμπορεῖ νὰ ζήσῃ μονάχα μὲ ψωμὶ» (Ματθ. δ', 4). Σύ, λοιπόν, ὡς καλὸς διαχειριστής, δῶσε τὰ φαγητὰ τῆς ψυχῆς εἰς τὴν ψυχὴν καὶ τὰ φαγητὰ τοῦ σώματος εἰς τὸ σῶμα. Μὴ ἀφήσῃς τὴν ψυχήν σου νὰ νεκρωθῇ, ἀλλὰ νὰ τὴν θρέψῃς μὲ θεϊκὰ λόγια, μὲ ψαλμοὺς καὶ ὕμνους καὶ ᾠδὰς πνευματικάς, μὲ ἀναγνώσματα ἀπὸ τὴν Ἁγίαν Γραφήν, μὲ νηστείας, μὲ ἀγρυπνίας, μὲ προσευχάς, μὲ δάκρυα, μὲ τὴν ἐλπίδα καὶ τὴν σκέψιν τῶν μελλοντικῶν ἀγαθῶν.

Αὐτὰ καὶ τὰ παρόμοια μὲ αὐτὰ εἶναι τροφὴ καὶ ζωὴ διὰ τὴν ψυχήν. Προσέχετε, ἀδελφοί, ὥστε κανεὶς νὰ μὴ εὑρεθῇ ἄκαρπος· διότι λέγει ὁ Ἀπόστολος· «αὐτὸ ποὺ θὰ σπείρῃ κανείς, αὐτὸ καὶ θὰ θερίσῃ» (Γαλατ. στ', 7). Ἐκεῖνος, λοιπόν, ποὺ θὰ σπείρῃ εἰς τὴν σάρκα του ἀπόλαυσιν καὶ ἡδονὰς καὶ καλοπέρασιν, αὐτὸς ἀπὸ τὴν σάρκα του φθορὰν θὰ θερίσῃ· ἐκεῖνος ποὺ σπέρνει εἰς τὸ πνεῦμα του προσευχὴν καὶ νηστείαν καὶ ἀγρυπνίαν, αὐτὸς θὰ θερίσῃ ἀπὸ τὸ πνεῦμα ζωὴν αἰώνιον. Ἐκεῖνος ποὺ δὲν μένει σταθερὸς εἰς ἕνα ἐργόχειρον, θὰ συντριβῇ εἰς ἔργα ἀνωφελῆ. Ὁ ἀκατάστατος ἄνθρωπος ἐργάζεται εἰς ἐπίσημον ἡμέραν ἀργίας, καὶ χάνει ἄσκοπα τὸν καιρόν του κατὰ τὰς ἐργασίμους ἡμέρας. Τὸ νὰ μὴ τιμᾷ τὴν ἐπίσημον ἡμέραν καὶ νὰ παραμένῃ ἀναίσθητος. δὲν εἶναι ἀρετή· χρειάζεται νὰ προσέχῃ καὶ νὰ ἀποδιώκῃ τὴν ἀμέ-

λειαν. Διότι, καθὼς λέγει· «ὁ ὀκνηρὸς δὲν ἐντρέπεται καὶ ὅταν τὸν προσβάλλουν» (Παροιμ. κ', 4).

Γ'. Ἐκ τῶν Διατάξεων τῶν Ἁγίων Ἀποστόλων

ΠΑΣ ΠΙΣΤΟΣ ἢ πιστή, ἕωθεν ἀναστάντες ἐξ ὕπνου, πρὸ τοῦ ἔργον ἐπιτελέσαι, νιψάμενοι προσευχέσθωσαν· εἰ δέ τις λόγος κατηχήσεως γίνεται, προτιμάτωσαν τοῦ ἔργου τὸν λόγον τῆς εὐσεβείας.

Ἑρμηνεία

ΚΑΘΕ πιστὸς καὶ κάθε πιστή, μόλις σηκωθοῦν τὸ πρωῒ ἀπὸ τὸν ὕπνον, πρὶν νὰ ἀρχίσουν ἐργασίαν, ἀφοῦ πλυθοῦν, ἂς προσευχηθοῦν· ἂν δὲ γίνεται θρησκευτικὴ διδασκαλία, ἂς προτιμήσουν τὸν λόγον τῆς εὐσεβείας, ἀπὸ τὴν ἐργασίαν.



ΥΠΟΘΕΣΙΣ Ε΄

Τίνα δεῖ τηρεῖν τοὺς ἀδελφοὺς συνεργαζομένους ἀλλήλοις.

Ποῖα πρέπει νὰ φυλάττουν οἱ ἀδελφοί, ὅταν ἐργάζωνται μαζί.

Α΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΟΙ, ἐὰν ἐξέλθητε μετ᾽ ἀλλήλων εἰς πάρεργον, ἕκαστος ὑμῶν πρόσχῃ ἑαυτῷ καὶ μὴ τῷ ἀδελφῷ αὐτοῦ, κατανοῶν εἰ εἰργάσατο ἐκεῖνος ὑπὲρ αὐτὸν ἢ αὐτὸς ὑπὲρ ἐκεῖνον. Ἀλλὰ μηδὲ διδάξῃ αὐτῷ ἢ διατάξηται, κἂν ἴδῃ αὐτὸν ὡς δήποτε τὸ πρᾶγμα ποιοῦντα. Μὴ εἴπῃ αὐτῷ, ὅτι ἠφάνισας τὸ πρᾶγμα, ἀλλ᾽ ἐάσῃ τὸν ποιοῦντα τὸ ἔργον ποιῆσαι ὡς ἂν βούληται. Ἐὰν δὲ εἴπῃ ἐκεῖνος, ποίησον ἀγάπην, δίδαξόν με, διδαξάτω αὐτὸν ἐν ταπεινώσει. Εἰ δὲ ἐπιστάμενος εἴπῃ, ὅτι οὐκ οἶδα καὶ οὐ διδάξει τὸν ἀδελφόν, οὐκ ἔχει τὴν ἀγάπην τοῦ Θεοῦ ἐν ἑαυτῷ, ἀλλὰ κατέχει πονηρίαν· καὶ ὁ μὴ εἰδὼς τὸ ἔργον, μὴ αἰσχυνέσθω συνεχῶς λέγειν τῷ εἰδότι, ποίησον ἀγάπην, βλέπε αὐτὸ εἰ καλόν ἐστιν.

2. Ἐὰν ποιῆτε τὸ ἔργον μετ᾽ ἀλλήλων, καὶ εἷς ὑμῶν ἀπὸ μικροψυχίας καταλύσῃ, μηδεὶς αὐτῷ ἐπιπλήξῃ, ἀλλὰ μᾶλλον χάρητε μετ᾽ αὐτοῦ.

3. Ἐὰν ἐργάζῃ μετὰ ἀσθενοῦς, μὴ φιλονεικήσῃς, θέλων ὑπὲρ αὐτὸν ποιῆσαι.

4. Ἐὰν ποιῇς τὸ ἐργόχειρόν σου, ποίησον τὴν δύναμίν σου μὴ καταμαθεῖν τί ἐποίησας ἢ τί ἐποίησεν ὁ ἀδελφός σου ἐν τῇ ἑβδομάδι· ἀπαιδευσία γάρ ἐστιν.

5. Ἐὰν ἀπέλθῃς εἰς πάρεργον μετὰ τοῦ ἀδελφοῦ σου, μὴ θελήσῃς ἵνα μάθωσιν ὅτι ἐποίησας πλέον αὐτοῦ· πᾶν γὰρ ἔργον ὃ ἂν ποιήσῃ ἄνθρωπος ἐν τῷ κρυπτῷ, τοῦτό ἐστιν ὃ ζητεῖ ὁ Θεὸς παρ᾽ αὐτοῦ.

6. Ἐὰν ποιῆτε ἔργον μετ᾽ ἀλλήλων, πᾶν ἐλάττωμα ὃ εἶδες ἔξω παρ᾽ ἄλλοις ἢ ἤκουσας, μὴ βαστάσῃς καὶ εὑρεθῇ ἐν τῷ στόματί σου τοῦ εἰπεῖν τοῖς ἀδελφοῖς σου· θάνατος γάρ ἐστι τῇ ψυχῇ σου, εἴπερ εἶ σοφός.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, ἂν ἐξέλθετε πολλοὶ μαζὶ διὰ κάποιαν πρόσθετον ὁμαδικὴν ἐργασίαν, ὁ καθένας ἀπὸ σᾶς ἂς προσέχῃ τὸν ἑαυτόν του καὶ

ὄχι τὸν ἀδελφόν του· ἂς μὴ ἐξετάζῃ, δηλαδή, ἂν ἐκεῖνος εἰργάσθη περισσότερον ἀπὸ αὐτὸν ἢ ὁ ἴδιος περισσότερον ἀπὸ ἐκεῖνον. Ἀλλ' οὔτε καὶ νὰ τοῦ κάνῃ τὸν δάσκαλον, ἢ νὰ τὸν διατάσσῃ, ἔστω καὶ ἂν τὸν ἴδῃ νὰ μὴ κάνῃ καλὰ αὐτὸ τὸ πρᾶγμα. Νὰ μὴ τοῦ εἴπῃ ὅτι αὐτὸ τὸ πρᾶγμα τὸ ἐχάλασες, ἀλλὰ ἂς τὸν ἀφήσῃ νὰ τὸ κάνῃ ὅπως θέλει. Ἂν ὅμως ἐκεῖνος τοῦ εἴπῃ· ἀδελφέ, κάμε ἀγάπην καὶ ὑπόδειξέ μου, τότε ἂς τὸν διδάξῃ μὲ ταπείνωσιν. Ἂν, ἐνῷ γνωρίζει, ἀπαντήσῃ ὅτι δὲν γνωρίζω καὶ δὲν διδάξῃ τὸν ἀδελφόν του, δὲν ἔχει μέσα του τὴν ἀγάπην τοῦ Θεοῦ, ἀλλὰ εἶναι πονηρός· καὶ ἐκεῖνος, πάλιν, ποὺ δὲν γνωρίζει τὴν ἐργασίαν, ἂς μὴ ἐντρέπεται νὰ λέγῃ συνεχῶς εἰς αὐτόν, ποὺ γνωρίζει, κάμε ἀγάπην, κοίταξε αὐτό, ἂν εἶναι καλόν.

2. Ἂν ἐργάζεσθε μαζὶ μὲ ἄλλους, καὶ κάποιος ἀπὸ σᾶς κάμῃ κάποιαν ζημίαν ἀπὸ μικροψυχίαν, κανεὶς νὰ μὴ τὸν ἐπιπλήξῃ, ἀλλὰ μᾶλλον νὰ χαρῆτε μαζί του.

3. Ἂν ἐργάζεσαι μαζὶ μὲ ἄρρωστον, νὰ μὴ συναγωνισθῇς μαζί του, μὲ τὸ νὰ θέλῃς νὰ κάμῃς περισσότερον ἔργον ἀπὸ αὐτόν.

4. Ἂν κάνῃς τὸ ἐργόχειρόν σου, βάλε ὅλα σου τὰ δυνατά, νὰ μὴ πληροφορηθοῦν τί ἔκαμες σὺ ἢ τί ἔκαμε ὁ ἀδελφός σου, κατὰ τὸ διάστημα τῆς ἑβδομάδος· διότι αὐτὸ φανερώνει ἔλλειψιν μορφώσεως.

5. Ἂν μεταβῇς, μαζὶ μὲ τὸν ἀδελφόν σου, εἰς πρόσθετον ἐργασίαν, νὰ μὴ θελήσῃς νὰ μάθουν, ὅτι σὺ ἐργάσθηκες περισσότερον ἀπὸ αὐτόν· διότι κάθε ἔργον, ποὺ θὰ κάμῃ ὁ ἄνθρωπος κρυφὰ ἀπὸ τοὺς ἀνθρώπους, αὐτὸ εἶναι ποὺ ζητεῖ ὁ Θεὸς ἀπὸ αὐτόν.

6. Ἂν ἐκτελῆτε, μαζὶ μὲ ἄλλους, κάποιαν ἐργασίαν, κάθε ἐλάττωμα ποὺ εἶδες ἔξω, εἰς ἄλλους, ἢ τὸ ἐπληροφορήθης, νὰ μὴ τὸ κρατήσῃς μέσα σου καὶ φθάσῃ εἰς τὸ στόμα σου, διὰ νὰ τὸ εἴπῃς εἰς τοὺς ἀδελφούς σου· διότι αὐτὸ εἶναι θάνατος διὰ τὴν ψυχήν σου, ἂν βέβαια εἶσαι σοφός.

Β'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΕΝ ΠΑΣΙ τοῖς κατὰ τὴν Ἀνατολὴν Κοινοβίοις καὶ μάλιστα τοῖς ἐν Αἰγύπτῳ κανὼν τοιοῦτος κρατεῖ, τὸ ἅμα τῷ ἀπολυθῆναι τῆς συνάξεως μηδένα τῶν ἀδελφῶν τολμᾶν στῆναι καὶ ὁμιλῆσαι μετὰ ἄλλου. Ἀλλ' οὐδὲ τοῦ κελλίου προελθεῖν ἢ τὸ ἔργον καταλιπεῖν, ὃ μετὰ χεῖρας ἔχουσιν, ἀποστολικὸν πληροῦντες παράγγελμα, εἰ μήπου χρεία γίνηται πρὸς καθῆκον τινὸς ἀναγκαίου ἔργου πάντας συνελθεῖν, ὅπερ οὕτω μετὰ σπουδῆς καὶ ἡσυχίας πληροῦσιν, ὡς μηδὲ μίαν ὁμιλίαν μεταξὺ αὐτῶν ἀνακύπτειν, ἀλλ' ἕνα ἕκαστον προσέχοντα τῷ ψαλμῷ καὶ τῇ μελέτῃ πληροῦν τὸ προστεταγμένον ἔργον. Μεγάλῃ δὲ σπουδῇ φυλάττουσι, μή τις μετὰ ἄλλου, καὶ μάλιστα μετὰ ἀρχαρίου, ἀπολειφθῇ τῶν ἀδελφῶν ἰδίᾳ πώποτε, ἢ τὰς ἰδίας χεῖρας ἐκτεῖναι τολμήσῃ κατασχὼν καὶ περιπλακῆναι ἑτέρῳ· εἰ δέ τις παραβαίνων τὸν κανόνα τοῦτον εὑρεθῇ, ἐπιτιμίῳ βαρυτάτῳ ὑποβάλλεται.

Ἑρμηνεία

ΕΙΣ ὅλα τὰ Κοινόβια τῆς Ἀνατολῆς, καὶ προπαντὸς τῆς Αἰγύπτου, ἐπικρατεῖ αὐτὸς ὁ κανών· μόλις ἀπολυθοῦν οἱ ἀδελφοὶ ἀπὸ τὴν σύναξιν κανεὶς νὰ μὴ τολμᾷ νὰ σταθῇ καὶ νὰ συνομιλήσῃ μὲ ἄλλον. Ἀλλὰ οὔτε καὶ ἀπὸ τὸ κελλὶ ἐπιτρέπεται νὰ ἐξέλθουν οἱ Μοναχοί, οὔτε νὰ ἀφήσουν τὸ ἐργόχειρον ποὺ ἔχουν εἰς τὰ χέρια των, σύμφωνα μὲ ἀποστολικὸν παράγγελμα (Α΄ Θεσ. 6΄, 9), ἐκτὸς ἂν ὑπάρχῃ κάποια ἀνάγκη, νὰ συγκεντρωθοῦν ὅλοι δι' ἐκτέλεσιν κάποιας ἀπαραιτήτου ἐργασίας. Καὶ αὐτὸ ὅμως, πάλιν, γίνεται μὲ ἐπιμέλειαν καὶ ἡσυχίαν, ὥστε νὰ μὴ πραγματοποιῆται καμμιὰ συζήτησις μεταξύ των, ἀλλὰ καθένας νὰ προσέχῃ εἰς τὸν ψαλμὸν καὶ εἰς τὴν μελέτην καὶ ἔτσι νὰ ἐκτελοῦν τὴν προσταχθεῖσαν ἐργασίαν. Προσέχουν δὲ μὲ μεγάλην φροντίδα μήπως κανεὶς ἀπὸ τοὺς ἀδελφοὺς ἀπομείνῃ μόνος μὲ ἄλλον καὶ μάλιστα μὲ ἀρχάριον, ἢ μήπως τολμήσῃ καὶ ἁπλώσῃ τὰ χέρια του νὰ κρατήσῃ ἢ καὶ νὰ πιασθῇ ἀπὸ τὸ χέρι μὲ ἄλλον. Ἂν κάποιος παραβῇ αὐτὸν τὸν κανόνα, τὸν ὑποβάλλουν σὲ βαρύτατον ἐπιτίμιον.



ΥΠΟΘΕΣΙΣ ΣΤ΄

Ὅτι ἐν τῷ Κοινοβίῳ οὐ δεῖ τινα ἴδιόν τι κεκτῆσθαι, τῷ δὲ κτησαμένῳ βαρυτάτη ἐπήρτηται κόλασις.

Ὅτι εἰς τὸ Κοινόβιον δὲν πρέπει νὰ ἔχῃ κανεὶς κάτι ἰδικόν του· δι' ἐκεῖνον δὲ ποὺ θὰ ἀποκτήσῃ κάτι ὑπάρχει κίνδυνος νὰ κληρονομήσῃ βαρυτάτην κόλασιν.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΜΟΝΑΧΟΣ τις, Ἰοῦστος ὀνόματι, τὴν ἰατρικὴν τέχνην ἐπιστάμενος, ἔτι μοι ἐν τῷ Μοναστηρίῳ ὑπάρχοντι, ἐκεῖσε καὶ αὐτὸς ὤν, καθ' ἑκάστην ὑπουργεῖν μοι εἰώθει ἐν ταῖς ἐξ ἔθους μοι προσπιπτούσαις ἀσθενείαις. Οὗτος, ἀσθενείᾳ σωματικῇ συσχεθείς, περὶ τὰ τελευταῖα ἦν. Ἀδελφὸς δὲ αὐτοῦ γνήσιος, Κοπιόσος ὀνόματι, παρίστατο αὐτῷ καὶ ὑπηρέτει ἐν τῇ ἀσθενείᾳ, ὃς καὶ μέχρι τοῦ νῦν περίεστι, καὶ ἐν τῇ πόλει ταύτῃ ἐκ τῆς ἰατρικῆς τέχνης τῆς προσκαίρου ζωῆς τὴν πρόσοδον πορίζεται.

Ὡς οὖν ὁ ἀσθενῶν διέγνω ἑαυτὸν τῷ θανάτῳ ἐγγίζοντα, τῷ ἀδελφῷ αὐτοῦ Κοπιόσῳ ἐδήλωσεν, ὅτι κεκρυμμένα χρυσίου νομίσματα εἶχε· καὶ οἱ ἀδελφοὶ δὲ τῆς μονῆς μετὰ ἀκριβείας πάντα τὰ μένοντα τῆς ἰατρείας αὐτοῦ ἐρευνῶντες, ταῦτα τὰ τρία νομίσματα κεκρυμμένα ἐκεῖσε εὗρον, καὶ εὐθύς μοι ἀνήγγειλαν. Ὡς δὲ τὸ τοιοῦτον κακὸν ἔμαθον περὶ τοῦ ἀδελφοῦ τοῦ μεθ' ἡμῶν ἐν τῷ κοινοβίῳ συζῶντος, ὑπενέγκαι οὐκ ἠδυνήθην· ὁ γὰρ κανὼν τοῦ ἡμετέρου Μοναστηρίου τοιοῦτος ἦν, ἵνα πάντες οἱ ἀδελφοὶ κοινοτέρως ζῶσι καὶ καθ' ἑαυτόν τις μηδὲν κέκτηται. Σφοδροτάτῃ οὖν λύπῃ κατασχεθείς, διελογιζόμην τί ὤφειλον ποιῆσαι, πρὸς κάθαρσιν μὲν τοῦ ἀποθνήσκοντος, φόβον δὲ καὶ διόρθωσιν τῶν ζώντων ἀδελφῶν.

Τὸν οὖν οἰκονόμον τοῦ Μοναστηρίου καλέσας, εἶπον αὐτῷ· ἄπελθε καὶ παράγγειλον ἵνα μηδεὶς τῶν ἀδελφῶν προσεγγίσῃ ἐκείνῳ τῷ τελευτῶντι, μηδὲ λόγον παρακλήσεως ἐκ στόματός τινος αὐτῶν ἀκούσῃ. Ἀλλ' ἐὰν πλησιάζων τῷ θανάτῳ τοὺς ἀδελφοὺς προσκαλῆται, ὁ σαρκικὸς αὐτοῦ ἀδελφὸς εἰπάτω αὐτῷ, ὅτι διὰ τὰ τρία νομίσματα, ἅπερ ἐν κρυφῇ εἶχες, παρὰ πάντων τῶν ἀδελφῶν

ἐβδελύχθης· ἴσως κἂν ἐν τῷ θανάτῳ περὶ τοῦ πταίσματος τούτου τὴν καρδίαν αὐτοῦ ἐν πικροτάτῃ καταδικάσας μάστιγι, ἐκ τῆς ἁμαρτίας ἧς ἐποίησε μικρόν τι καθαρισθήσεται. Ἡνίκα δὲ τελευτήσῃ, μὴ θάψητε τὸ σῶμα αὐτοῦ ἔνθα οἱ λοιποὶ ἀδελφοὶ θάπτονται, ἀλλ' ἐν τῇ κοπρίᾳ λάκκον οἷον δήποτε ποιήσαντες, ἐν αὐτῷ τὸ σῶμα αὐτοῦ ῥίψατε, τὰ δὲ τρία νομίσματα, ἅπερ κατέλιπεν, ἐπάνω αὐτοῦ ριφείτωσαν, πάντων ὁμοθυμαδὸν κραζόντων· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, καὶ οὕτως αὐτὸν γῆν σκεπάσατε.

Ὁ οὖν αὐτὸς Ἰοῦστος ἤδη ἐλθὼν εἰς τὸν θάνατον καὶ σφόδρα συνεχόμενος, ἑαυτὸν τοῖς ἀδελφοῖς παραθέσθαι ἐζήτησε· μηδενὸς δὲ τῶν Μοναχῶν αὐτῷ πλησιάζοντος, ὁ σαρκικὸς αὐτοῦ ἀδελφὸς ἐμήνυσεν αὐτῷ διατὶ παρὰ πάντων βδελυκτὸς γέγονεν· ὁ δὲ παρευθὺς διὰ τὴν ἁμαρτίαν αὐτοῦ μεγάλως ἐστέναξε, καὶ οὕτω στενάζων ἐξῆλθε τοῦ σώματος, ἐτάφη δὲ οὕτως, καθὼς διεταξάμην. Οἱ οὖν ἀδελφοὶ πάντες διὰ τὴν δοθεῖσαν εἰς αὐτὸν ψῆφον μεγάλως συνταραχθέντες, ἤρξαντο ἕκαστος αὐτῶν εἰς μέσον φέρειν τὰ οὐδαμινὰ καὶ ἐλάχιστα πράγματα, ἅπερ αὐτοὺς ἔχειν ὁ τοῦ Κοινοβίου κανὼν οὐκ ἐπέτρεπε, σφόδρα φοβηθέντες μή τι παρ' αὐτοῖς εὑρεθῇ, ὅπερ αὐτοὺς κατακρῖναι μέλλει.

Μετὰ δὲ τὴν τελευτὴν ἐκείνου, τριάκοντα ἡμερῶν ἤδη διελθουσῶν, ἤρξατο ἡ ψυχή μου τῷ τελευτήσαντι ἀδελφῷ συμπαθεῖν καὶ μετὰ πόνου βαθυτάτου τὰ αὐτοῦ κριτήρια κατανοεῖν, καὶ ὑπὲρ τῆς αὐτοῦ λυτρώσεως ἐπίνοιάν τινα ἐπιζητεῖν. Πάλιν οὖν τὸν οἰκονόμον προσκαλεσάμενος, μετὰ πολλῆς στυγνότητος εἶπον αὐτῷ· ἀρκετόν ἐστιν ἐκεῖνον τὸν τελευτήσαντα ἀδελφὸν παρ' ἡμῶν μέχρι τοῦ νῦν παροραθῆναι· ὀφείλομεν οὖν διὰ τὴν ἀγάπην, εἰς ὃ δυνάμεθα βοηθῆσαι αὐτῷ· ἄπελθε οὖν καὶ ἀπὸ τῆς σήμερον μέχρις ἡμερῶν τριάκοντα ἀνελλιπῶς ὑπὲρ αὐτοῦ θυσίαν ἀναίμακτον ποίησον προσφέρεσθαι καθ' ἡμέραν· ὁ δὲ ἐποίησεν οὕτως.

Προσεφέρετο οὖν ὑπὲρ αὐτοῦ ἡ σωτηριώδης θυσία, ὡς εἶπον· ἡμῶν δὲ περὶ ἕτερά τινα ἀσχολουμένων καὶ τὰς παρερχομένας ἡμέρας μὴ ἀριθμούντων, αὐτὸς ὁ τελευτήσας ἀδελφός, Κοπιόσῳ τῷ γνησίῳ αὐτοῦ ἀδελφῷ ἐν νυκτὶ καθ' ὕπνους ἐφάνη, αὐτὸς δὲ τοῦτον ἰδὼν ἠρώτησε λέγων· ἐν ποίοις ἐκεῖσε ὑπάρχεις; ὁ δὲ ἀπεκρίθη· ἕως μὲν τοῦ νῦν πάνυ κακῶς ἤμην, νῦν δὲ καλῶς εἰμι. Εὐθὺς οὖν ὁ Κοπιόσος, ἐλθὼν εἰς τὸ Μοναστήριον, τοῦτο ἐμήνυσεν ἡμῖν, καὶ μετὰ ἀκριβείας τὰς ἡμέρας ἀριθμήσαντες, εὕρομεν ὅτι αὕτη ἡ ἡμέρα ἦν ἐν ᾗ ὑπὲρ τοῦ τεθνεῶτος ἀδελφοῦ ἡ τριακοστὴ προσφορὰ πληρωθεῖσα ὑπῆρχεν.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ Μοναχός, ὀνομαζόμενος Ἰοῦστος, ποὺ ἐγνώριζε τὴν ἰατρικήν, ὅταν ἔμενα εἰς τὸ Μοναστήριον καὶ εὑρίσκετο καὶ αὐτὸς ἐκεῖ, συνήθιζε καθημερινὰ νὰ μὲ περιποιῆται, ἐπειδὴ πολὺ συχνὰ ἀρρώσταινα. Αὐτός, λοιπόν, ἠσθένησε καὶ εὑρίσκετο εἰς τὰ τελευταῖα του. Ὁ σαρκικὸς ἀδελφός του, ὀνόματι Κοπιόσος, τοῦ παρέστεκε, καὶ τὸν ἐξυπηρετοῦσε εἰς τὴν ἀσθένειάν του· αὐτὸς ὁ Κοπιόσος μέχρι σήμερα ἀκόμη ζῇ καὶ προσπορίζεται τὰ πρὸς τὸ ζῆν ἀσκῶν τὴν ἰατρικὴν εἰς αὐτὴν τὴν πόλιν.

Ὅταν πλέον ὁ ἄρρωστος ἐκατάλαβεν ὅτι πλησιάζει πρὸς τὸν θάνατον, ἐδήλωσεν εἰς τὸν ἀδελφόν του Κοπιόσον, ὅτι εἶχε κρύψει τρία χρυσᾶ νομίσματα· πράγματι, καὶ οἱ ἀδελφοὶ τοῦ Μοναστηριοῦ, ποὺ μὲ λεπτομέρειαν ἐρευνοῦσαν ὅλα τὰ πράγματά του, εὑρῆκαν κάπου ἐκεῖ τὰ τρία χρυσᾶ νομίσματα καὶ ἀμέσως μοῦ τὸ ἀνέφεραν. Μόλις ἔμαθα ἕνα τοιοῦτο κακὸν διὰ τὸν ἀδελφόν, ποὺ ἔζη μαζί μας εἰς τὸ Κοινόβιον, δὲν ἠμπόρεσα νὰ τὸ ἀνεχθῶ, διότι ὁ κανὼν τοῦ Μοναστηριοῦ μας ἦτο τέτοιος, ὥστε ὅλοι οἱ ἀδελφοὶ νὰ ζοῦν μαζί, νὰ τὰ ἔχουν ὅλα κοινὰ καὶ κανένας νὰ μὴ ἔχῃ τίποτα τὸ ἰδιαίτερον. Ἐκυριεύθην, λοιπόν, ἀπὸ μεγάλην λύπην καὶ ἐσκεπτόμουν τί ἔπρεπε νὰ κάμω, διὰ τὴν συγχώρησιν τοῦ ἀποθνήσκοντος, ἀλλὰ καὶ διὰ νὰ φοβηθοῦν καὶ νὰ διορθωθοῦν οἱ ὑπόλοιποι ἀδελφοί.

Ἐκάλεσα ἀμέσως τὸν οἰκονόμον* τοῦ Μοναστηρίου καὶ τοῦ εἶπα· πήγαινε καὶ δῶσε ἐντολὴν κανεὶς ἀπὸ τοὺς ἀδελφοὺς νὰ μὴ πλησιάσῃ ἐκεῖνον, ποὺ πεθαίνει, οὔτε ν' ἀκούσῃ λόγια παρηγορητικὰ ἀπὸ τὸ στόμα κανενὸς ἀπὸ αὐτούς. Ὅταν δὲ ψυχορραγῇ καὶ φωνάξῃ κοντά του τοὺς ἀδελφούς, τότε ὁ σαρκικὸς ἀδελφός του ἂς τοῦ εἴπῃ ὅτι διὰ τὰ τρία νομίσματα, ποὺ εἶχες κρύψει, σὲ ἀπεστράφησαν ὅλοι οἱ ἀδελφοί. Ἴσως, τοὐλάχιστον, εἰς τὸν θάνατόν του καταδικάσῃ τὸν ἑαυτόν του μὲ πικρὸν ἔλεγχον καὶ ἡ λύπη ποὺ θὰ δοκιμάσῃ, τὸν καθαρίσῃ κάπως ἀπὸ τὴν ἁμαρτίαν, ποὺ ἔκαμεν. Ὅταν δὲ ἀποθάνῃ, νὰ μὴ θάψετε τὸ σῶμα αὐτοῦ ἐκεῖ ποὺ ἐνταφιάζονται καὶ οἱ ἄλλοι ἀδελφοί, ἀλλὰ νὰ ἀνοίξετε ὅπως - ὅπως ἕνα λάκκον εἰς τὴν κοπριὰν καὶ νὰ τὸν ρίξετε μέσα. Καὶ τὰ τρία χρυσᾶ νομίσματα, ποὺ ἄφησεν, ἂς ριφθοῦν ἐπάνω εἰς τὸ πτῶμα ἐνῷ ὅλοι μαζὶ οἱ ἀδελφοὶ νὰ λέγουν· «τὸ ἀργύριόν σου μαζὶ μὲ σένα ἂς ὑπάγουν εἰς τὴν ἀπώλειαν» (Πράξ. η΄, 20). Καὶ ἔτσι νὰ τὸν σκεπάσετε μὲ τὰ χώματα.

Πράγματι ὁ Ἰοῦστος ἐντὸς ὀλίγου ἔφθασεν εἰς τὸν θάνατον καὶ ἐπειδὴ ἐλυπεῖτο πάρα πολύ, ἐζήτησεν ἀπὸ τοὺς ἀδελφοὺς νὰ ἔλθουν καὶ νὰ σταθοῦν κοντά του. Κανεὶς ὅμως ἀπὸ τοὺς Μοναχοὺς δὲν τὸν ἐπλησίαζε. Τότε ὁ σαρκικὸς ἀδελφός του τὸν ἐπληροφόρησεν, διατὶ ὅλοι τὸν ἀπεστράφησαν. Ὁ Ἰοῦστος ἀμέσως ἐστέναξε γοερὰ διὰ τὴν ἁμαρτίαν του καὶ μὲ αὐτὰ τὰ ἀναστενάγματα ἀνεχώρησεν ἡ ψυχή του ἀπὸ τὸ σῶμα. Καὶ τὸν ἔθαψαν, ὅπως διέταξα. Μετὰ ἀπὸ αὐτὴν τὴν ἀπόφασιν ὅλοι οἱ ἀδελφοὶ ἐταράχθησαν πάρα πολὺ καὶ ὁ καθένας ἀπὸ αὐτοὺς παρουσίαζε τὰ ἀσήμαντα καὶ ἐλάχιστα πράγματα, ποὺ δὲν ἐπέτρεπεν εἰς αὐτοὺς ὁ κανὼν τοῦ Κοινοβίου νὰ ἔχουν, ἐπειδὴ κατετρόμαξαν μὴ τυχὸν εὑρεθῇ εἰς αὐτοὺς κάτι, ἀπὸ τὸ ὁποῖον θὰ κατεκρίνοντο.

---

* Οἰκονόμος Μοναστηρίου εἶναι ὁ Μοναχὸς εἰς τὸν ὁποῖον ἔχει ἀνατεθῆ ἡ ἀγορά, ἡ φύλαξις καὶ ἡ διαχείρισις ὅλων τῶν πραγμάτων, τὰ ὁποῖα χρειάζονται διὰ τὸ Μοναστήριον καὶ τοὺς Μοναχούς.

'Αφοῦ ἐπέρασαν τριάντα ἡμέραι ἀπὸ τὸν θάνατον ἐκείνου, ἤρχισεν ἡ ψυχή μου νὰ αἰσθάνεται συμπάθειαν διὰ τὸν ἀποθανόντα ἀδελφὸν καὶ μὲ πόνον βαθὺν νὰ συλλογίζωμαι τὴν κρίσιν του. 'Ανεζήτουν, λοιπόν, κάποιον τρόπον διὰ τὴν λύτρωσίν του ἀπὸ αὐτὴν τὴν ἁμαρτίαν. 'Αφοῦ ἐκάλεσα τὸν οἰκονόμον, τοῦ εἶπα μὲ πολλὴν αὐστηρότητα:

— 'Αρκετὰ ἀδιαφορήσαμεν ἕως τώρα δι' ἐκεῖνον τὸν ἀδελφόν. Ἔχομεν, λοιπόν, ὑποχρέωσιν, χάριν τῆς ἀγάπης, νὰ τὸν βοηθήσωμεν εἰς ὅ,τι ἠμποροῦμεν. Δι' αὐτὸ πήγαινε καὶ δῶσε ἐντολήν, ἐπὶ τριάκοντα ἡμέρας ἀπὸ σήμερα, νὰ γίνεται συνεχῶς, διὰ τὴν ψυχήν του, Θεία Λειτουργία.

Καὶ ὁ οἰκονόμος ἔκαμεν ὅπως ἐσυμφωνήσαμεν. Ὅπως εἶπα, λοιπόν, προσεφέρετο, χάριν τῆς ψυχῆς του, ἡ λυτρωτικὴ θυσία. 'Ενῷ δὲ ἡμεῖς εἴμεθα ἀπησχολημένοι εἰς διάφορα ἄλλα ζητήματα, καὶ δὲν ἐμετρούσαμεν τὰς ἡμέρας ποὺ ἐπερνοῦσαν, παρουσιάσθη ὁ ἴδιος ὁ ἀποθανὼν ἀδελφὸς εἰς τὸν σαρκικόν του ἀδελφὸν Κοπιόσον μίαν νύκτα. 'Αμέσως ὁ Κοπιόσος τὸν ἠρώτησε:

— Πῶς εὑρίσκεσαι ἐκεῖ;

Καὶ ὁ ἀποθανὼν 'Ιοῦστος ἀπαντᾷ:

— Μέχρι τώρα ἤμουν πάρα πολὺ κακά· τώρα ὅμως καλά.

'Αμέσως τότε ὁ Κοπιόσος ἦλθεν εἰς τὸ Μοναστήριον καὶ μᾶς ἐφανέρωσε τὸ ὄνειρον.

'Αφοῦ λοιπὸν ὑπελογίσαμεν μετ' ἀκριβείας τὰς ἡμέρας, εὑρήκαμεν πραγματικὰ ὅτι κατ' αὐτὴν τὴν ἡμέραν συνεπληρώθη ἡ τριακοστὴ λειτουργία διὰ τὴν συγχώρησιν τοῦ ἀποθανόντος ἀδελφοῦ.

Β'. 'Εν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν 'Αββᾶν Ποιμένα λέγων· θέλω εἰς Κοινόβιον εἰσελθεῖν καὶ οἰκῆσαι. Καὶ ἀπεκρίθη ὁ γέρων· εἰ θέλεις εἰς Κοινόβιον εἰσελθεῖν, εἰ μὴ ἀμεριμνήσῃς ἀπὸ πάσης συντυχίας καὶ παντὸς πράγματος, οὐ δύνασαι Κοινόβιον ἐργάσασθαι· καὶ γὰρ βαυκαλίου μόνου ἐξουσίαν οὐκ ἔχεις.

2. Παΐσιος, ὁ ἀδελφὸς τοῦ 'Αββᾶ Ποιμένος, εὗρε μικρὸν σκεῦος ὁλοκοτίνων, καὶ λέγει τῷ ἀδελφῷ αὐτοῦ τῷ 'Αββᾷ 'Ανούβ· οἶδας ὅτι ὁ λόγος τοῦ 'Αββᾶ Ποιμένος σκληρός ἐστι πάνυ· δεῦρο κτίσωμεν ἑαυτοῖς Μοναστήριον πούποτε, καὶ καθίσωμεν ἐκεῖ ἀμερίμνως. 'Απεκρίθη αὐτῷ ὁ 'Αββᾶς 'Ανούβ· καὶ πόθεν ἔχομεν κτίσαι; ὁ δὲ ἔδειξεν αὐτῷ τὰ ὁλοκότινα· ἰδὼν δὲ αὐτὰ ὁ 'Αββᾶς 'Ανοὺβ πάνυ ἐλυπήθη, λογισάμενος τὴν ἐκ τούτου ζημίαν τῆς τοῦ ἀδελφοῦ ψυχῆς, λέγει δὲ αὐτῷ· καλῶς, ἄγωμεν καὶ κτίσωμεν κελλίον πέραν τοῦ ποταμοῦ. Ἔλαβε δὲ τὸ σκεῦος ὁ 'Αββᾶς 'Ανοὺβ καὶ ἔβαλεν εἰς τὸ κουκούλιον αὐτοῦ. Ὡς οὖν περῶντες τὸν ποταμὸν ἔφθασαν κατὰ τὸ μέσον, ἐποίησεν ἑαυτὸν ὁ 'Αββᾶς 'Ανοὺβ ὡς περιστρεφόμενον, καὶ ἐξέπεσε τὸ κουκούλιον μετὰ τῶν νομισμάτων εἰς τὸν ποταμὸν καὶ ἐπὶ τούτῳ ὁ 'Αββᾶς 'Ανοὺβ ὑπεκρίνετο λυπεῖσθαι. Λέγει δὲ αὐτῷ ὁ Παΐσιος· μὴ λυπηθῇς, 'Αββᾶ· ἐπεὶ γὰρ ἀπῆλθον τὰ ὁλοκότινα, ἄγωμεν πάλιν εἰς τὸν ἀδελφὸν ἡμῶν· καὶ ὑποστρέψαντες ἔμειναν μετ' εἰρήνης.

3. Εἶπε γέρων· πολλοὶ τῶν Μοναχῶν ἐσκόρπισαν χρήματα, κατέλιπόν τε πατέρα καὶ μητέρα, ἀδελφοὺς καὶ συγγενεῖς, διὰ τὰς αὐτῶν ἁμαρτίας, εἰσελθόντες δὲ ἐν Κοινοβίῳ τὰς μὲν μεγάλας ἀρετὰς κατώρθωσαν, ὑπὸ δὲ τῶν ἐλαχίστων καὶ μηδαμινῶν σκελισθέντες γεγόνασι δαιμόνων ἐπίχαρμα διὰ τὸ περιτυπώσασθαι ἑαυτοῖς πήρας καὶ ἄρκλας, ἐχούσας ἔνδον ὀπώρας καὶ τραγήματα, βελόνας καὶ ψαλίδας καὶ σμίλας καὶ ζώνας, οἵτινες ὡς φίλαυτοι ὑπὸ τῶν ὀρθὰ φρονούντων ἐλέγχονται, κατὰ δὲ τὴν θείαν Γραφὴν ὡς κατηραμένοι εἰς τὸ ἐξώτερον σκότος πέμπονται. Ἐπικατάρατος γάρ, φησιν, ὁ μετατιθεὶς ὅρους Πατέρων· τῆς γὰρ μερίδος Ἀνανίου καὶ Σαπφείρας καὶ Ἰαννῆ ἀξιωθήσονται ὡς μύσται αὐτῶν καὶ συμμέτοχοι.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Θέλω — τοῦ εἶπε — νὰ εἰσέλθω καὶ νὰ παραμείνω εἰς Κοινόβιον.

Καὶ ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἀπήντησεν:

— Ἂν κατορθώσῃς νὰ μὴ σὲ ἐνδιαφέρῃ καμμία συναναστροφὴ καὶ κανένα πρᾶγμα, τότε θὰ ἠμπορέσῃς νὰ ζήσῃς κοινοβιακά. Διότι εἰς τὸ Κοινόβιον καὶ αὐτὸ ἀκόμη τὸ δοχεῖον μὲ τὸ νερὸν δὲν τὸ ἐξουσιάζεις.

2. Κάποτε ὁ Παΐσιος, ἀδελφὸς τοῦ Ἀββᾶ Ποιμένος, εὑρῆκεν ἕνα μικρὸν κουτὶ μὲ ὁλοκότινα* καὶ λέγει εἰς τὸν ἀδελφόν του τὸν Ἀββᾶν Ἀνούβ:

— Γνωρίζεις πόσον αὐστηρὰ ὁμιλεῖ ὁ Ἀββᾶς Ποιμήν. Ἔλα νὰ κτίσωμεν κάπου ἀλλοῦ ἕνα Μοναστήριον καὶ ἐκεῖ νὰ καθήσωμεν οἱ δύο μας, χωρὶς φροντίδας.

— Καὶ πῶς ἠμποροῦμεν νὰ τὸ κτίσωμεν; ἠρώτησεν ὁ Ἀββᾶς Ἀνούβ.

Τότε ὁ Παΐσιος τοῦ ἔδειξε τὰ ὁλοκότινα.

Μόλις τὰ εἶδεν ὁ Ἀββᾶς Ἀνούβ, ἐλυπήθη πάρα πολύ, διότι ἐσκέφθη τὴν ζημίαν τῆς ψυχῆς τοῦ ἀδελφοῦ του ἀπὸ αὐτὸ τὸ ζήτημα. Τοῦ λέγει λοιπόν:

— Ἔχει καλῶς. Ἂς ὑπάγωμεν νὰ κτίσωμεν ἕνα κελλὶ πέραν ἀπὸ τὸν ποταμόν.

Ὁ Ἀββᾶς Ἀνοὺβ ἐπῆρε, πράγματι, τὸ κουτὶ μὲ τὰ νομίσματα καὶ τὸ ἔβαλεν εἰς τὸ κουκούλι του. Καθὼς λοιπὸν ἐπερνοῦσαν τὸν ποταμὸν καὶ ἔφθασαν εἰς τὸ μέσον τοῦ ρεύματος, ἐπροσποιήθη ὁ Ἀββᾶς Ἀνούβ, ὅτι ἐζαλίσθη καὶ τοῦ ἔπεσε τὸ κουκούλι μὲ τὰ νομίσματα εἰς τὸν ποταμόν. Ὁ Ἀββᾶς Ἀνούβ ἔκαμεν ὅτι ἐλυπήθη.

Τότε ὁ Παΐσιος τοῦ λέγει:

— Μὴ λυπηθῇς, Ἀββᾶ· διότι ἀφοῦ ἐχάθησαν τὰ νομίσματα, ἂς

* Τὰ ὁλοκότινα ἢ δηνάρια ἦσαν χρυσᾶ ἢ ἀργυρᾶ νομίσματα τῆς ρωμαϊκῆς καὶ βυζαντινῆς ἐποχῆς.

ἐπιστρέψωμεν πάλιν εἰς τὸν ἀδελφόν μας. Πραγματικὰ ἐγύρισαν καὶ ἔζησαν εἰρηνικά.

† 3. Ἕνας Γέρων εἶπε· πολλοὶ ἀπὸ τοὺς Μοναχοὺς ἐσκόρπισαν χρήματα, ἐγκατέλειψαν πατέρα καὶ μητέρα, ἀδελφοὺς καὶ συγγενεῖς, διὰ νὰ σωθοῦν ἀπὸ τὰς ἁμαρτίας των. Ὅταν δὲ εἰσῆλθον εἰς τὸ Κοινόβιον κατώρθωσαν πραγματικὰ τὰς μεγάλας ἀρετάς· ἐνικήθησαν ὅμως ἀπὸ τὰ μηδαμινὰ καὶ τὰ ἐλάχιστα καὶ ἔγιναν παίγνιον τῶν δαιμόνων μὲ τὸ νὰ ἀποκτήσουν σακκούλια καὶ κουτιά, διὰ νὰ φυλάττουν ὀπωρικά, ξηροὺς καρπούς, βελόνια, ψαλίδια, σμιλευτικὰ ἐργαλεῖα καὶ ζώνας. Δι' ὅλα αὐτὰ ἐλέγχονται ὡς φίλαυτοι ἀπὸ τοὺς συνετούς, σύμφωνα δὲ μὲ τὴν Ἁγίαν Γραφὴν ἀποστέλλονται ὡς κατηραμένοι εἰς τὸ ἐξώτερον σκότος· διότι —λέγει— εἶναι κατηραμένος αὐτός, ποὺ μετακινεῖ τοὺς ὅρους τῶν Πατέρων του. Αὐτοὶ ὅλοι θὰ εὑρεθοῦν εἰς τὴν ἰδίαν μοῖραν μὲ τὸν Ἀνανίαν καὶ τὴν Σαπφείραν καὶ τὸν Ἰαννῆν* ὡσὰν ὀπαδοὶ καὶ συμμέτοχοί των.

Γ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

Ο ΕΙΣ ΚΟΙΝΟΒΙΟΝ εἰσελθὼν χάριν μονάσαι καὶ παρακρατῶν τι τῶν ἰδίων οὐ δύναται διαμεῖναι πολὺν χρόνον ἐν τῇ τοῦ Μοναστηρίου ὑποταγῇ καὶ ἐπιστήμῃ, οὐδὲ τῆς ταπεινώσεως καὶ ὑποταγῆς κατορθῶσαι τὴν ἀρετήν, οὐδὲ τῇ τοῦ Κοινοβίου πτωχείᾳ εἰς τὸ τέλος ἐγκαρτερῆσαι· ἡνίκα γὰρ οἵα δήποτε πρόφασις ἢ θλῖψις τὴν αὐτοῦ κινήσῃ διάνοιαν, εὐθὺς αὐτὸν ἡ τοῦ ἀποκειμένου κτήματος

---

* Ὁ Ἀνανίας ἦτο Ἰουδαῖος ἀπὸ τὰ Ἱεροσόλυμα, ὁ ὁποῖος ἐγένετο χριστιανὸς μαζὶ μὲ τὴν σύζυγόν του Σαπφείραν. Οὗτος ἐπώλησεν ἕνα ἀγρὸν καὶ ἀφοῦ ἐκράτησε μέρος ἀπὸ τὰ χρήματα ποὺ εἰσέπραξεν, ἐν γνώσει τῆς συζύγου του, παρέδωσε τὰ ὑπόλοιπα εἰς τοὺς Ἀποστόλους. Ὁ Πέτρος ὅμως, γνωρίζων ἐκ Πνεύματος Ἁγίου τὴν ἀλήθειαν, ἠρώτησε τὸν Ἀνανίαν διατὶ ἐψεύσθη ὄχι πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεόν. Ἀκούσας ταῦτα ὁ Ἀνανίας ἀμέσως κατέπεσε νεκρός. Μετὰ τρεῖς ὥρας ἦλθε καὶ ἡ Σαπφείρα, μὴ γνωρίζουσα τὸν θάνατον τοῦ ἀνδρός της, καὶ ὁ Πέτρος τὴν ἠρώτησεν, ἐὰν πράγματι ἐπώλησαν τὸν ἀγρόν, εἰς τὴν τιμὴν ποὺ εἶπεν ὁ σύζυγός της. Ἡ Σαπφείρα ἐβεβαίωσε τοῦτο. Τότε ὁ Πέτρος λέγει πρὸς αὐτήν: «Διατὶ συνεφωνήσατε μὲ τὸν ἄνδρα σου νὰ ἐξαπατήσετε τὸ Πνεῦμα Κυρίου; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου θὰ ἐξαγάγουν καὶ σὲ ἀπ' ἐδῶ». Καὶ ἀμέσως κατέπεσε καὶ ἐκείνη νεκρὰ παρὰ τοὺς πόδας τοῦ Πέτρου. (Πράξεων κεφ. Ε', 1—10).

Ὁ δὲ Ἰαννῆς καὶ ὁ Ἰαμβρῆς ἦσαν ἐκ τῶν πρώτων μάγων τῆς Αἰγύπτου, οἱ ὁποῖοι ἀντεστάθησαν εἰς τὸν Μωϋσῆν καὶ τὸν Ἀαρών, ὅταν ἐζήτουν οὗτοι ἀπὸ τὸν Φαραὼ νὰ ἐλευθερώσῃ τοὺς Ἑβραίους. Διὰ τὴν ἀσέβειάν των ταύτην ἐτιμωρήθησαν σκληρῶς ὑπὸ τοῦ Θεοῦ. Τὰ ὀνόματα ταῦτα δὲν τὰ συναντῶμεν εἰς τὴν Παλαιὰν Διαθήκην, μολονότι μνημονεύονται συνεχῶς εἰς τὰ ραβινικὰ βιβλία. (Βλέπε καὶ εἰς τὴν Β' Τιμοθ. γ', 8).

ἐλπίς, ὥς περ σφενδόνη λίθον, τοῦ Μοναστηρίου ἐκτινάσσει. Τῶν μὲν ἄλλων παθῶν οἱ ἐρεθισμοί, θυμοῦ, λέγω, καὶ ἐπιθυμίας, ἐκ τοῦ σώματος δοκοῦσιν ἔχειν τὰς ἀφορμὰς καὶ τρόπον τινὰ ὡς ἔμφυτα καὶ ἀπὸ γενέσεως ἔχοντα τὴν ἀρχήν, καὶ διὰ μακροῦ χρόνου νικῶνται. Ἡ δὲ τῆς φιλαργυρίας νόσος, ἔξωθεν ἐπερχομένη, εὐχερέστερον ἐγκόπτεσθαι δύναται, εἰ ἐπιμελείας τύχοι καὶ προσευχῆς· ἀμεληθεῖσα δέ, ὀλεθριωτέρα τῶν ἄλλων παθῶν καὶ δυσαπόβλητος γίνεται. «Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία» κατὰ τὸν Ἀπόστολον.

Αὕτη οὖν ἡ νόσος, ὅταν χλιαρωτάτην καὶ ἄπιστον ἐν ἀρχαῖς τῆς ὑποταγῆς εὕρῃ ψυχήν, δικαίας τιμὰς καὶ τῷ δοκεῖν εὐλόγους αὐτῇ προφάσεις ὑποβάλλει, πρὸς τὸ κατασχεῖν τίποτε ὧν κέκτηται. Ὑπογράφει γὰρ κατὰ διάνοιαν τῷ Μοναχῷ γῆρας μακρὸν καὶ ἀσθένειαν σώματος, καὶ ὅτι αἱ διδόμεναι χρεῖαι ἐκ τοῦ Μοναστηρίου οὐχ ἱκαναὶ πρὸς παραμυθίαν, οὐ λέγω ἀσθενοῦντι, ἀλλ' οὐδὲ ὑγιαίνοντι, καὶ ὅτι ἐνταῦθα οὐ γίνεται φροντὶς κατ' ἀξίαν τοῖς ἀσθενοῦσιν, ἀλλὰ ἠμελημένη καὶ ὡς, εἰ μὴ ἔχοι ἀποκεκρυμμένον χρυσίον, ἀθλίως ἀποθανεῖται. Τέλος ὑποβάλλει μηδὲ μένειν δύνασθαι ἐν τῷ Μοναστηρίῳ εἰς τέλος, διὰ τὴν βαρύτητα τῶν ἔργων καὶ τὴν τοῦ πατρὸς ἀκρίβειαν.

Καὶ ὅτε ταῖς τοιαύταις ἐνθυμήσεσιν ἀποπλανήσῃ τὸν ἄθλιον πρὸς τὸ κἂν ἓν δηνάριον κατασχεῖν, τὸ τηνικαῦτα πείθει αὐτὸν καὶ ἐργόχειρον λάθρᾳ τοῦ Πατρὸς μαθεῖν, ἐξ οὗ δυνήσεται τὸ περισπούδαστον αὐτῷ ἀργύριον ἐπαυξῆσαι. Καὶ λοιπὸν ἐλπίσιν ἀδήλοις ἀπατᾷ τὸν ταλαίπωρον, ὑποβάλλων αὐτῷ τὸ ἐκ τοῦ ἐργοχείρου κέρδος καὶ τὴν ἐκ τούτου ἄνεσιν καὶ ἀμεριμνίαν, καὶ ὅλος τῇ τοῦ κέρδους ἐνθυμήσει δεθείς, οὐδὲν τῶν ἐναντίων σκοπεῖ, οὐκ ὀργῆς μανίαν, εἴ ποτε συμβῇ αὐτῷ ζημίᾳ περιπεσεῖν, οὐ λύπης σκότος, εἰ ἀποτύχοι τῆς ἐλπίδος τοῦ κέρδους, ἀλλὰ γίνεται, ὡς ἄλλοις ἡ γαστὴρ θεός, οὕτω τούτῳ ὁ χρυσός, διὸ καὶ εἰδωλολάτρης ἐστί, κατὰ τὴν τοῦ Ἀποστόλου ἀπόφασιν. Ἀποστήσας γὰρ τὸν νοῦν ἑαυτοῦ ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, εἴδωλα ἀνθρώπων ἐγγεγλυμμένα τῷ χρυσῷ ἀγαπᾷ.

Τούτοις δὲ τοῖς λογισμοῖς ὁ Μοναχὸς σκοτωθεὶς καὶ ἐπὶ τὸ χεῖρον αὐξάνων, οὐδὲ μίαν ταπείνωσιν ἢ ὑπακοὴν ἔχειν δύναται, ἀλλὰ ἀγανακτεῖ καὶ ἀναζέει τῷ πάθει. Καὶ πρὸς ἕκαστον ἔργον γογγύζει καὶ ἀντιλέγει, καὶ μιᾶς δὲ μηδ' ὅλως ἐντολῆς τούτῳ πεφυλαγμένης ἢ εὐλαβείας, ὥσπερ ἵππος σκληρότατος κατὰ κρημνῶν φέρεται, οὔτε τῇ καθημερινῇ τροφῇ ἀρκούμενος. Καὶ διαμαρτύρεται μὴ δύνασθαι εἰς τέλος ταῦτα ὑπομένειν καὶ Θεὸν οὐκ ἐκεῖ μόνον εἶναι, λέγει, οὐδὲ τὴν ἰδίαν σωτηρίαν ἐκείνῳ κατακεκλεῖσθαι τῷ τόπῳ, ἀλλὰ πανταχοῦ τοῖς ἐκζητοῦσιν αὐτὸν εὑρίσκεσθαι, καὶ εἰ μὴ ἀποστῇ τοῦ Μοναστηρίου ἐκείνου, ἀπολεῖται. Καὶ οὕτω τῆς διεφθαρμένης ταύτης γνώμης συνεργὸν ἔχων τὰ πεφυλαγμένα ἀργύρια, ὥσπερ πτεροῖς τούτοις κουφισθεὶς καὶ τὴν ἀπὸ τοῦ Μοναστηρίου ἔξοδον μελετῶν, λοιπὸν ὑπερηφάνως καὶ τραχέως πρὸς πάντα τὰ παραγγέλματα ἀποκρίνεται καὶ ὡς ξένον καὶ ἐξωτικὸν αὐτὸν ἡγούμενος.

Εἴ τι ἐὰν ἴδῃ ἐν τῷ Μοναστηρίῳ δεόμενον διορθώσεως, ἀμελεῖ καὶ περιφρονεῖ καὶ ψέγει πάντα τὰ ἐν τῷ Μοναστηρίῳ γενόμενα, ἔπειτα προφάσεις ἀναζητεῖ δι' ὧν ὀργισθήσεται ἢ λυπηθήσεται, ἵνα μὴ δόξῃ ἐλαφρῶς ἄνευ αἰτίας ἐξιέναι ἐκ τῆς τοῦ Κοινοβίου ἐπιστασίας. Ἐὰν δὲ καὶ ἄλλον δυνηθῇ ψιθυρισμοῖς καὶ ματαιολογίαις ἀπατήσας ἐκβαλεῖν ἐκ τοῦ Κοινοβίου, οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, βου-

λόμενος ἔχειν τοῦ ἰδίου ἐλαττώματος συνεργόν, οὕτω δὲ ἀναπτόμενος τῷ πυρὶ τῶν ἰδίων χρημάτων, οὐδέποτε δυνήσεται ἡσυχάσαι ἐν Μοναστηρίῳ ἢ ὑπὸ κανόνα ζῆσαι.

Ὅταν δὲ τοῦτον ὁ δαίμων ὥς περ λύκος ἀφαρπάσῃ καὶ ἀφορίσῃ τοῦ ποιμνίου, καὶ ἕτοιμον πρὸς κατάβρωσιν λάβῃ, τὸ τηνικαῦτα παρασκευάζει αὐτὸν τὰ ἔργα, ἅπερ ἐν τῷ Κοινοβίῳ τεταγμέναις ὥραις ποιῶν ὠλιγώρει, ταῦτα ἐν τῇ κέλλῃ νυκτὸς καὶ ἡμέρας μετὰ πολλῆς προθυμίας ποιεῖν, καὶ οὔτε τῶν εὐχῶν τὰ ἔθη, οὔτε τῶν νηστειῶν τὸν τρόπον, οὔτε τῶν ἀγρυπνιῶν τὸν κανόνα φυλάττειν ἐπιτρέπει, ἀλλὰ τῇ τῆς φιλαργυρίας μανίᾳ τοῦτον ἐνδήσας, τὴν πᾶσαν σπουδὴν εἰς τὸ ἐργόχειρον ἔχειν ἀναπείθει.

Τῆς δὲ νόσου ταύτης τρεῖς εἰσι τρόποι, οὓς ἐπίσης ἀπαγορεύουσι καὶ αἱ θεῖαι γραφαὶ καὶ αἱ διδασκαλίαι τῶν Πατέρων. Εἷς μέν, ὃν ἄνω διεγράψαμεν, ὃς παρασκευάζει τοὺς ἐλεεινούς, ἅπερ οὔτε ἐν τῷ κόσμῳ εἶχον, ταῦτα κτᾶσθαι καὶ θησαυρίζειν. Δεύτερος, ὃς μεταμέλεσθαι ποιεῖ τοὺς ἅπαξ τοῖς χρήμασιν ἀποταξαμένους, ὑποβάλλων αὐτοῖς ζητεῖν ταῦτα, ἅπερ τῷ Θεῷ προσήνεγκαν. Τρίτος, ὅς τις κατὰ τὴν ἀρχὴν ἀπιστίᾳ καὶ χλιαρότητι τὸν Μοναχὸν ἐνδύσας, οὐ συγχωρεῖ τοῦτον τῶν τοῦ κόσμου πραγμάτων τελείως ἀπαλλαγῆναι, ἀλλὰ παρακατασχεῖν τι ὑποτίθεται, φόβον πενίας ὑποβάλλων, ὡς προλαβόντες εἴπομεν, καὶ ἀπιστίαν τῆς τοῦ Θεοῦ προνοίας καὶ παραβάτην ἀποδεικνὺς τῶν οἰκείων ὑποσχέσεων, ὧν καθωμολόγησεν ἀποτασσόμενος τῷ κόσμῳ.

Τούτων δὲ τῶν τριῶν τρόπων τὰ παραδείγματα καὶ ἐν τῇ θεία γραφῇ, καθ' ἃ εἴρηται, κατακεκριμένα εὑρήκαμεν. Καὶ γὰρ ὁ Γιεζῆ χρήματα, ἃ πρότερον οὐκ εἶχε, βουλόμενος κτήσασθαι ἀπέτυχε τῆς προφητικῆς χάριτος, ἣν καταλεῖψαι αὐτῷ ἐβούλετο ὁ διδάσκαλος ἐν κληρονομίας τάξει, καὶ ἀντὶ εὐλογίας αἰωνίαν λέπραν διὰ τῆς τοῦ Προφήτου κατάρας ἐκληρονόμησε. Καὶ ὁ Ἰούδας βουληθεὶς λαβεῖν χρήματα, ἃ πρότερον ἀπέβαλεν ἀκολουθῶν τῷ Χριστῷ, οὐ μόνον εἰς προδοσίαν τοῦ δεσπότου νοσήσας τοῦ χοροῦ τῶν Ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν σαρκὶ ζωὴν βιαίῳ θανάτῳ κατέλυσεν. Ἀνανίας δὲ καὶ Σαπφείρα, διαφυλάξαντες τινα ἐξ ὧν ἐκέκτηντο, ἀποστολικῷ στόματι θανάτῳ τιμωροῦνται.

Καὶ ὁ Θεὸς δὲ διὰ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ μυστικῶς παραγγέλλει τοῖς ἐπαγγελλομένοις ἀποτάσσεσθαι τῷ κόσμῳ καὶ φόβῳ ἀπιστίας πάλιν ἀντεχομένοις τῶν γηΐνων πραγμάτων, λέγων· «εἴ τίς ἐστι περίφοβος ἄνθρωπος καὶ δειλὸς τῇ καρδίᾳ, οὐκ ἐξελεύσεται εἰς πόλεμον· πορευέσθω καὶ ἀναλυέτω εἰς τὸν ἴδιον οἶκον, μήποτε πτοεῖσθαι ποιήσῃ τὰς καρδίας τῶν ἀδελφῶν αὐτοῦ».

Ταῦτα δέ φησι διδάσκων ἡμᾶς, ἀποτασσομένους τῷ κόσμῳ, τελείως ἀποτάσσεσθαι καὶ οὕτως ἐπὶ τὸν πόλεμον ἐκβαίνειν, καὶ μὴ διὰ τοῦ βάλλειν ἀρχὴν χαύνην καὶ διεφθαρμένην ἀνατρέπειν καὶ τοὺς ἄλλους ἀπὸ τῆς εὐαγγελικῆς τελειότητος, καὶ δειλίαν τούτοις ἐμβάλλειν. Μήπως καὶ ἐφ' ἡμῖν ἁρμόσῃ ὁ τοῦ Μεγάλου Βασιλείου λόγος, ὃν εἴρηκε πρός τινα συγκλητικὸν χλιαρῶς ἀποταξάμενον καὶ παρακατασχόντα τινὰ τῶν ἰδίων χρημάτων· «καὶ τὸν συγκλητικὸν ἀπώλεσας καὶ Μοναχὸν οὐκ ἐποίησας».

Χρὴ τοίνυν, πάσῃ σπουδῇ ἐκκόπτειν ἡμᾶς ἐκ τῆς ἰδίας ψυχῆς τὴν ῥίζαν πάντων τῶν κακῶν φιλαργυρίαν, ἀσφαλῶς γινώσκοντας ὅτι, μενούσης τῆς ῥίζης,


εὐχερῶς οἱ κλάδοι φύονται. Ἔχειν τε πρὸ ὀφθαλμῶν τὸ τοῦ θανάτου ἄδηλον, μήποτε ἔλθῃ ὁ Κύριος ἡμῶν ἐν ὥρᾳ ᾗ οὐ προσδοκῶμεν καὶ εὕρῃ ἡμᾶς ἐσπιλωμένον ἔχοντας τὸ συνειδὸς τῇ φιλαργυρίᾳ, καὶ ἐρεῖ ἡμῖν ὅπερ ἐν τῷ Εὐαγγελίῳ ἐρρέθη τῷ πλουσίῳ ἐκείνῳ· «ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας τίνι ἔσται;» Δεῖ δὲ εἰδέναι, ὅτι τὴν ἀρετὴν ταύτην κατορθῶσαι δύσκολον, ἐν μὴ Κοινοβίῳ διάγοντας· ἐν αὐτῷ γὰρ καὶ περὶ αὐτῶν τῶν ἀναγκαίων χρειῶν ἀμεριμνοῦμεν.

Ἑ ρ μ η ν ε ί α

ΕΚΕΙΝΟΣ ποὺ εἰσῆλθε εἰς Κοινόβιον διὰ νὰ μονάσῃ καὶ παρακρατεῖ κάτι ἀπὸ τὰ πράγματα ποὺ ἔφερε μαζί του, δὲν ἠμπορεῖ νὰ παραμείνῃ πολὺν χρόνον εἰς τὴν πειθαρχίαν τοῦ Μοναστηρίου καὶ τὴν καλογηρικὴν ἐπιστήμην· οὔτε ἠμπορεῖ νὰ ἐπιτύχῃ τὴν ἀρετὴν τῆς ταπεινώσεως καὶ τῆς ὑποταγῆς, οὔτε καὶ θὰ ἀνθέξῃ μέχρι τέλους εἰς τὴν πτωχείαν τοῦ Μοναστηρίου. Διότι ὁποιαδήποτε πρόφασις ἢ καὶ θλῖψις βασανίσει τὸν νοῦν του, ἀμέσως ἡ ἐλπὶς ὅτι ἔχει κάποιο ἰδικόν του πρᾶγμα τὸν ρίπτει ἔξω ἀπὸ τὸ Μοναστήρι, ὅπως ἡ σφενδόνη τὴν πέτραν. Διότι οἱ ἐρεθισμοὶ τῶν ἄλλων παθῶν, δηλαδὴ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, ὡς γνωστὸν ἔχουν τὴν ἀφορμήν τους εἰς τὸ ἴδιόν μας σῶμα· κατὰ κάποιον τρόπον ἡ αἰτία, ποὺ τὰ προκαλεῖ, εἶναι ἔμφυτος καὶ γεννᾶται μαζί μας, καὶ δι' αὐτὸ χρειάζεται πολὺς χρόνος νὰ νικηθοῦν. Ἡ ἀρρώστεια ὅμως τῆς φιλαργυρίας, ἐπειδὴ προκαλεῖται ἀπ' ἔξω, ἠμπορεῖ εὐκολώτερα νὰ κοπῇ, ἂν προσπαθήσωμεν καὶ κάμωμεν θερμὴν προσευχήν. Ὅταν ὅμως παραμελήσωμεν, γίνεται χειροτέρα ἀπὸ τὰ ἄλλα πάθη καὶ δύσκολα ξεριζώνεται. Διότι, ὅπως λέγει ὁ Ἀπόστολος, «ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία» (Α΄ Τιμ. στ΄ 10).

Ὅταν λοιπὸν αὐτὸ τὸ πάθος εὕρῃ μίαν ψυχὴν πολὺ χλιαρὰν καὶ χωρὶς μεγάλην πίστιν, τότε, εἰς τὴν ἀρχὴν τῆς ὑποταγῆς, τῆς ἐμπνέει διαφόρους, κατὰ τὴν γνώμην της, εὐλογοφανεῖς προφάσεις, δικαίας τάχα τιμὰς ποὺ τῆς ἀνήκουν, διὰ νὰ τὴν κάμουν νὰ κρατήσῃ κάτι ἀπὸ αὐτὰ ποὺ ἀπέκτησε. Κάνει, δηλαδή, τὸν Μοναχὸν νὰ σκέπτεται βαθειὰ γεράματα, σωματικὴν ἀσθένειαν καὶ ὅτι δῆθεν, τὰ ἀναγκαῖα ἐφόδια, ποὺ δίδει τὸ Μοναστήρι, δὲν εἶναι ἀρκετὰ ὄχι μόνον δι' ἀσθενεῖς ἀλλ' οὔτε διὰ τοὺς ὑγιεῖς· καὶ ὅτι ἐδῶ εἰς τὸ Μοναστήρι ἡ φροντὶς διὰ τοὺς ἀσθενεῖς εἶναι τελείως παραμελημένη καὶ ὄχι ὅσον τοὺς ἀξίζει. Δι' αὐτὸ ἂν κανεὶς δὲν ἔχῃ κρύψει μερικὰ χρήματα, θὰ ἀποθάνῃ εἰς ἀθλίαν κατάστασιν. Καὶ εἰς τὸ τέλος ἐμβάλλει εἰς αὐτὸν τὸν Μοναχὸν τὴν σκέψιν ὅτι οὔτε νὰ μένῃ εἰς αὐτὸ τὸ Μοναστήρι δὲν ἠμπορεῖ μέχρι τέλους, ἐξ αἰτίας τῶν σκληρῶν ἔργων καὶ τῆς ἀκριβολογίας τοῦ Ἡγουμένου.

Καὶ ὅταν ὁ Διάβολος κατορθώσῃ, μὲ τοιαύτας σκέψεις, νὰ ἀποπλανήσῃ τὸν ἄθλιον, ὥστε νὰ κρατήσῃ κρυφὰ ἔστω καὶ ἕνα δηνάριον, ἀπὸ ἐκεῖ καὶ ἔπειτα τὸν πείθει νὰ μάθῃ καὶ ἐργόχειρον κρυφὰ ἀπὸ τὸν Ἡγούμενον, μὲ τὸ ὁποῖον θὰ ἠμπορέσῃ νὰ αὐξήσῃ τὸ πολυαγαπημένον


Ὁ ὅσιος Κασσιανὸς
ὁ Ρωμαῖος
ὑπὲρ πάντα τὴν σιωπὴν ἀγάπησον
Ράλλης Κοψίδης 1963.

του χρῆμα. Εἰς τὸ μέλλον ἐξαπατᾷ πλέον αὐτὸν τὸν ταλαίπωρον μὲ ἀβεβαίας ἐλπίδας, ὅτι, τάχα, θὰ ἔχῃ κέρδος ἀπὸ τὸ ἐργόχειρόν του καὶ ἔτσι θὰ ἀπολαύσῃ ἄνεσιν καὶ ἀμεριμνίαν. Καὶ ἀφοῦ δεθῇ καθ' ὁλοκληρίαν μὲ τὰς σκέψεις τοῦ κέρδους, τίποτε ἄλλο πλέον δὲν σκέπτεται· οὔτε τὴν παραφορὰν τῆς ὀργῆς, ἂν τύχῃ κάποτε καὶ ζημιωθῇ, οὔτε τὸ σκότος τῆς λύπης, ἄν, παρ' ἐλπίδα, δὲν κερδίσῃ. Καὶ ὅπως εἰς ἄλλους ἡ κοιλία γίνεται θεός, ἔτσι εἰς αὐτὸν ὁ χρυσός· δι' αὐτὸ καὶ θεωρεῖται εἰδωλολάτρης, ὅπως εἶπεν ὁ Ἀπόστολος (Κολασ. γ', 5). Διότι ἀφοῦ ἀπεμάκρυνε τὸν νοῦν του ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ἀγαπᾷ ἀνθρώπινα εἴδωλα, ποὺ εἶναι σκαλισμένα εἰς τὸν χρυσόν.

Μὲ τοὺς λογισμοὺς αὐτοὺς ὁ Μοναχὸς παραζαλίζεται καὶ προχωρεῖ εἰς τὸ χειρότερον· οὔτε τὴν παραμικρὰν ταπείνωσιν ἢ ὑπακοὴν ἠμπορεῖ νὰ ἔχῃ. Ἀντίθετα ἀγανακτεῖ καὶ συνεχῶς ἐρεθίζεται ἀπὸ τὸ πάθος· γογγύζει καὶ ἀντιλέγει διὰ κάθε ἐργασίαν, ποὺ τοῦ ἀναθέτουν, καὶ ἐπειδὴ καμμίαν πλέον ἐντολὴν δὲν φυλάττει, οὔτε καὶ εὐλάβειαν ἔχει. Δι' αὐτὸ ὡσὰν ἄλογον πολὺ ἄγριον τρέχει πρὸς τὸν κρημνόν· οὔτε καὶ μὲ τὸ καθημερινὸν φαγητὸν εὐχαριστεῖται. Διαμαρτύρεται συνεχῶς ὅτι δὲν ἠμπορεῖ νὰ τὰ ὑπομένῃ ὅλα αὐτὰ μέχρι τέλους καὶ λέγει, ὅτι ὁ Θεὸς δὲν εὑρίσκεται μονάχα ἐκεῖ εἰς τὸ Μοναστήρι, καὶ ὅτι ἡ ψυχική του σωτηρία δὲν ἔχει περιορισθῇ εἰς ἐκεῖνον μονάχα τὸν τόπον. Ἀλλὰ ἰσχυρίζεται, ὅτι ὁ Θεὸς εὑρίσκεται παντοῦ δι' ὅσους τὸν ἀναζητοῦν καὶ ὅτι τέλος, ἂν δὲν φύγῃ ἀπ' αὐτὸ τὸ Μοναστήρι, θὰ χαθῇ. Καὶ ἔτσι, ἐπειδὴ ἔχει συνεργόν, εἰς αὐτὴν τὴν ἁμαρτωλὴν γνώμην του, τὰ κρυμμένα χρήματα, ὡσὰν νὰ ἀπέκτησε πτερὰ μὲ αὐτά, σχεδιάζει τὴν ἔξοδόν του ἀπὸ τὸ Μοναστήρι, ἀπαντᾷ ἀπότομα καὶ ὑπερήφανα εἰς ὅλα τὰ παραγγέλματα καὶ νομίζει τὸν ἑαυτόν του τελείως ξένον καὶ ἄσχετον.

Ὁ,τιδήποτε καὶ ἂν ἴδῃ εἰς τὸ Μοναστήρι, ποὺ νὰ ἔχῃ ἀνάγκην ἀπὸ ἐπιδιόρθωσιν, ἀδιαφορεῖ καὶ περιφρονεῖ. Κατηγορεῖ ὅλα ὅσα γίνονται εἰς τὸ Μοναστήρι, καὶ κατόπιν ἀναζητεῖ προφάσεις, διὰ νὰ ὀργισθῇ καὶ νὰ λυπηθῇ, διὰ νὰ μὴ φανῇ ὅτι ἀσυλλόγιστα καὶ χωρὶς αἰτίαν φεύγει ἀπὸ τὴν ἐπιστασίαν τοῦ Κοινοβίου. Ἂν δὲ ἠμπορέσῃ νὰ ἐξαπατήσῃ καὶ ἄλλον μὲ ψιθυρισμοὺς καὶ μάταια λόγια καὶ νὰ τὸν παρασύρῃ ἔξω ἀπὸ τὸ Κοινόβιον, οὔτε καὶ αὐτὸ παραλείπει νὰ τὸ πράξῃ, διότι ἐπιθυμεῖ νὰ ἔχῃ συνεργὸν εἰς τὸ ἐλάττωμά του. Ἔτσι λοιπὸν ξαναμμένος ἀπὸ τὴν φωτιὰν τῶν χρημάτων του, οὐδέποτε θὰ ἠμπορέσῃ νὰ ἡσυχάσῃ εἰς τὸ Μοναστήρι, ἢ νὰ ζήσῃ κάτω ἀπὸ κανόνα.

Ὅταν πλέον ὁ δαίμων τὸν ἁρπάξῃ, ὡς λύκος, καὶ τὸν χωρίσῃ ἀπὸ τὸ ποίμνιον καὶ τὸν ἔχῃ ἕτοιμον νὰ τὸν καταπίῃ, κατόπιν τὸν ρίπτει καὶ εἰς ἄλλην παγίδα· τὸν κάμνει, δηλαδή, καὶ τὴν ὀλίγην ἐκείνην ἐργασίαν, ποὺ ἦτο ὑποχρεωμένος νὰ ἐκτελῇ εἰς ὡρισμένας μόνον ὥρας εἰς τὸ Μοναστήρι, καὶ τὴν παραμελοῦσε, νὰ τὴν ἐκτελῇ τώρα μὲ μεγάλην προθυμίαν μέσα εἰς τὸ κελλίον του, ἡμέραν καὶ νύκτα, καὶ δὲν τοῦ ἐπιτρέπει ὁ δαίμων νὰ φυλάττῃ οὔτε τὴν συνήθειαν τῆς εὐχῆς, οὔτε τὴν

σειρὰν τῶν νηστειῶν, οὔτε τὸν κανόνα τῆς ἀγρυπνίας. Ἀφοῦ τὸν ἔδεσεν ὁ δαίμων σφικτὰ μὲ τὸ πάθος τῆς φιλαργυρίας, τὸν πείθει νὰ δώσῃ ὅλην του τὴν φροντίδα εἰς τὸ ἐργόχειρον.

Τὸ πάθος αὐτὸ τῆς φιλαργυρίας μὲ τρεῖς τρόπους παρουσιάζεται, τοὺς ὁποίους ἐξ ἴσου ἀπαγορεύουν καὶ αἱ θεῖαι Γραφαὶ καὶ αἱ διδασκαλίαι τῶν Πατέρων. Ὁ ἕνας εἶναι αὐτός, ποὺ περιεγράψαμεν παραπάνω· αὐτὸς κάνει τοὺς δυστυχισμένους ποὺ θὰ προσβληθοῦν ἀπ' αὐτόν, νὰ προσπαθοῦν νὰ ἀποκτήσουν καὶ νὰ θησαυρίζουν ὅσα οὔτε ὡς κοσμικοὶ εἶχον. Ὁ δεύτερος εἶναι αὐτὸς ποὺ κάνει ὅσους ἀπηρνήθησαν μίαν φορὰν τὰ χρήματα νὰ μετανοοῦν δι' αὐτὸ καὶ ὑποβάλλει εἰς τὸν νοῦν των τὸν λογισμὸν νὰ ζητοῦν ὀπίσω αὐτά, πού ἀφιέρωσαν εἰς τὸν Θεόν. Καὶ ὁ τρίτος εἶναι ἐκεῖνος, ποὺ ἀφοῦ εἰς τὴν ἀρχὴν περιέβαλε τὸν Μοναχὸν μὲ ἀπιστίαν καὶ χλιαρότητα, δὲν τὸν ἀφίνει νὰ ἀπαλλαγῇ τελείως ἀπὸ τὰς μερίμνας τοῦ κόσμου, ἀλλὰ τὸν προτρέπει νὰ παρακρατήσῃ κάτι, ἀπὸ φόβον τάχα τῆς πενίας, ὅπως εἴπομεν προηγουμένως. Ἔτσι κάνει τὸν Μοναχὸν νὰ μὴ πιστεύῃ εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ νὰ παραβαίνῃ τὰς ἰδικάς του ὑποσχέσεις, ποὺ ὡμολόγησεν ὅταν ἀπηρνήθη τὸν κόσμον.

Τὰ παραδείγματα τῶν τριῶν αὐτῶν τρόπων τοῦ πάθους τῆς φιλαργυρίας, τὰ εὑρίσκομεν νὰ κατακρίνωνται καὶ εἰς τὴν Ἁγίαν Γραφήν, ὅπως εἴπομεν προηγουμένως. Ὁ Γιεζῆ* δηλαδή, ἐπειδὴ ἤθελε νὰ ἀποκτήσῃ χρήματα, τὰ ὁποῖα δὲν εἶχε προηγουμένως, ἔχασε τὴν προφητικὴν χάριν, τὴν ὁποίαν ἤθελε νὰ τοῦ ἀφήσῃ ὁ διδάσκαλός του ὡς κληρονομίαν· ἔτσι ἀντὶ εὐλογίας ἐκληρονόμησε, μὲ τὴν κατάραν τοῦ Προφήτου, παντοτινὴν λέπραν. Ὁ Ἰούδας, πάλιν, μὲ τὸ νὰ θελήσῃ νὰ πάρῃ χρήματα, ποὺ τὰ ἄφησε προηγουμένως, ὅταν ἠκολούθησε τὸν Χριστόν, κυριευθεὶς ἀπὸ τὸ πάθος, ὄχι μόνον εἰς τὴν προδοσίαν τοῦ Δεσπότου Χριστοῦ ἔφθασεν καὶ ἀπὸ τὸν χορὸν τῶν Ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ εἰς τὸ τέλος ἐτερμάτισε τὴν ἐπίγειον ζωήν του μὲ βίαιον θάνατον (Ματθ. κζ', 3—5). Ὁ Ἀνανίας, τέλος, καὶ ἡ Σαπφείρα μὲ

---

* Ὁ Γιεζῆ ἦτο ὑπηρέτης τοῦ προφήτου Ἐλισσαίου, ὁ ὁποῖος ὑπέπεσεν εἰς τὸ ἑξῆς ἁμάρτημα. Ὁ βασιλεὺς τῆς Συρίας Νεεμὰν εἶχε προσβληθῆ ἀπὸ λέπραν. Καὶ μία μικρὰ ὑπηρέτρια ἐξ Ἰουδαίας εἶπεν εἰς τὴν σύζυγον τοῦ Νεεμάν, ὅτι ὁ Προφήτης Ἐλισσαῖος ἠμπορεῖ νὰ τὸν θεραπεύσῃ. Ἦλθε λοιπὸν ὁ Νεεμάν, πρὸς τὸν Ἐλισσαῖον, ὁ ὁποῖος διέταξε νὰ μεταβῇ εἰς τὸν Ἰορδάνην νὰ λουσθῇ ἑπτὰ φορὰς διὰ νὰ θεραπευθῇ, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινεν. Ὁ Νεεμὰν ἠθέλησε τότε νὰ ἀνταμείψῃ τὸν Ἐλισσαῖον, ἀλλ' οὗτος ἠρνήθη μὴ δεχθεὶς τίποτα. Μετὰ τὴν ἀναχώρησιν τοῦ Νεεμάν, ὁ Γιεζῆ ἐπῆγεν εἰς συνάντησίν του κρυφὰ ἀπὸ τὸν Ἐλισσαῖον καὶ ἔλαβε παρ' αὐτοῦ δύο τάλαντα ἀργύρου καὶ δύο καινουργεῖς στολάς. Τότε ὁ Ἐλισσαῖος τὸν κατηράσθη καὶ ἡ λέπρα τοῦ Νεεμὰν ἔπεσεν ἐπ' αὐτόν. (Βασιλειῶν Δ', κεφ. ε').

τὸ νὰ κρατήσουν ὀλίγα ἀπὸ ἐκεῖνα ποὺ ἀπέκτησαν τιμωροῦνται μὲ θάνατον ποὺ τοὺς ἀπήγγειλεν ὁ Ἀπόστολος (Πράξ. ε΄, 1—11).

Καὶ ὁ Θεὸς προδιατυπώνει εἰς τὸ Δευτερονόμιον, διὰ τοῦ Μωϋσέως, μίαν παραγγελίαν πρὸς ἐκείνους ποὺ ἀπαρνήθησαν τὸν κόσμον καὶ ἀπὸ τὸν φόβον τῆς ἀπιστίας προσδένονται καὶ πάλιν εἰς τὰ γήϊνα πράγματα. «Ἂν κάποιος» —λέγει— εἶναι δειλὸς καὶ ἔχῃ δειλὴν καρδίαν, δὲν θὰ ἐξέλθῃ διὰ νὰ πολεμήσῃ· ἂς ὑπάγῃ καὶ ἂς καθίσῃ εἰς τὸ σπίτι του, μὴ τυχὸν κάμῃ νὰ φοβηθοῦν οἱ ἀδελφοί του». (Δευτερ. κ΄, 8).

Τὰ λέγει δὲ αὐτὰ διὰ νὰ διδάξῃ ἡμᾶς, ὅτι ὅταν ἀπαρνούμεθα τὸν κόσμον, νὰ τὸν ἀπαρνούμεθα τελείως καὶ ἔτσι νὰ ἐξερχώμεθα εἰς τὸν πόλεμον. Καὶ νὰ μὴ ἐμποδίζωμεν καὶ τοὺς ἄλλους ἀπὸ τὴν εὐαγγελικὴν τελειότητα, μὲ τὸ νὰ βάλλωμεν κακὴν καὶ ἄτονον ἀρχὴν καὶ νὰ τοὺς κάνωμεν νὰ δειλιάζουν. Τότε ἴσως καὶ εἰς ἡμᾶς θὰ ἔχουν ἐφαρμογὴν τὰ λόγια τοῦ Μεγάλου Βασιλείου, ὁ ὁποῖος εἶπε σὲ κάποιον συγκλητικὸν ποὺ ἀπηρνήθη τὸν κόσμον χωρὶς μεγάλην ὄρεξιν καὶ παρεκράτησε μερικὰ ἀπὸ τὰ χρήματά του· «καὶ τὸ ἀξίωμα τοῦ συγκλητικοῦ ἔχασες καὶ Μοναχὸς δὲν κατώρθωσες νὰ γίνῃς».

Εἶναι ἀνάγκη λοιπὸν ἡμεῖς νὰ ξεριζώνωμεν ἀπὸ τὴν ψυχήν μας τὴν ρίζαν ὅλων τῶν κακῶν, ποὺ εἶναι ἡ φιλαργυρία. Διότι πρέπει νὰ γνωρίζωμεν πολὺ καλά, ὅτι ἐφ' ὅσον παραμένει ἡ ρίζα εὔκολα φυτρώνουν τὰ κλαδιά. Πρέπει, ἀκόμη, νὰ ἔχωμεν ἐμπρὸς εἰς τὰ μάτια μας ὅτι ἡ στιγμὴ τοῦ θανάτου εἶναι ἄγνωστος καὶ μὴ τυχὸν ἔλθῃ ὁ Κύριός μας εἰς ὥραν ποὺ δὲν τὸν περιμένομεν καὶ μᾶς εὕρῃ νὰ ἔχωμεν λερωμένην τὴν συνείδησίν μας ἀπὸ τὴν φιλαργυρίαν. Τότε πλέον θὰ μᾶς εἴπῃ ἐκεῖνο, ποὺ ἐλέχθη εἰς τὸ Εὐαγγέλιον πρὸς τὸν πλούσιον ἐκεῖνον· «Ἀνόητε, αὐτὴν τὴν νύκτα σοῦ ζητοῦν ἐπίμονα τὴν ψυχήν σου· αὐτὰ λοιπόν, ποὺ ἑτοίμασες, εἰς ποῖον θὰ μείνουν»; (Λουκ. ιβ΄, 20). Πρέπει δὲ νὰ γνωρίζωμεν ὅτι εἶναι δύσκολον νὰ κατορθώσωμεν αὐτὴν τὴν ἀρετήν, ἂν δὲν ζοῦμεν εἰς Κοινόβιον· διότι μέσα εἰς αὐτὸ καὶ δι' αὐτὰ τὰ ἀπολύτως ἀναγκαῖα δὲν φροντίζομεν.



ΥΠΟΘΕΣΙΣ Ζ΄

῞Οτι ὁ τῶν τῇ μονῇ διαφερόντων πραγμάτων καταπροδιδούς τι ἢ ὑφαιρούμενος μεγάλα εἰς τὸν Θεὸν ἁμαρτάνει, καὶ μείζονα κολασθήσεται· διὸ δεῖ αὐτῶν ὡς ἀφιερωμένων Θεῷ σφόδρα ἐπιμελεῖσθαι καὶ μηδὲ τῶν εὐτελεστάτων καταφρονεῖν, καὶ ὅτι ἐν πᾶσι βλαβερὰ ἡ ἀμέλεια.

῞Οτι ἐκεῖνος ποὺ καταπροδίδει ἢ ἀφαιρεῖ κάτι ἀπὸ τὰ πράγματα ποὺ ἀνήκουν εἰς τὸ Μοναστήρι, ἁμαρτάνει πάρα πολὺ ἐνώπιον τοῦ Θεοῦ καὶ θὰ κολασθῇ περισσότερον· δι᾿ αὐτὸ πρέπει νὰ τὰ φροντίζωμεν πολὺ ὡς ἀφιερωμένα εἰς τὸν Θεὸν καὶ νὰ μὴ περιφρονῶμεν οὔτε τὰ πλέον ἀσήμαντα καὶ ὅτι παντοῦ ἡ ἀμέλεια ζημιώνει.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΜΟΝΑΧΟΣ τις Θεόδοτος Γαλάτης ἐν τῇ μονῇ τοῦ Ἁγίου Εὐθυμίου ἀδελφὸς ὤν, ὑποβολῇ τοῦ πονηροῦ, τοὺς ἑξακοσίους χρυσοῦς, οὓς ὁ Στέφανος ὁ πρὸ τοῦ Θωμᾶ τῆς αὐτῆς μονῆς καθηγησάμενος, τοῦ ἀδελφοῦ αὐτῷ τελευτήσαντος, ἐκ τῆς αὐτοῦ οὐσίας τῇ μονῇ προσαπέγειμεν. Τούτους ἐν τῷ διακονικῷ κειμένους, λάθρᾳ ὁ Θεόδοτος ὑφαιρεῖται τοῦ Ἀπαμέως Θωμᾶ τὴν τῆς μονῆς προστασίαν ἐγκεχειρισμένου. Ἕωθεν δὲ ἀναστὰς ὁ Θεόδοτος προσεποιεῖτο τὸν ὀργιζόμενον καὶ ἀγανακτεῖν ἐσκέπτετο σφόδρα, καθάπερ ἡσυχίας ἀπολαύειν αὐτῷ μὴ παρόν, ἔνθεν τοι καὶ ἀπανίσταται τοῦ Μοναστηρίου, τῷ μὲν δοκεῖν ἐπιθυμίᾳ καθαροῦ θορύβων χωρίου, τῇ δὲ ἀληθείᾳ, σπουδῇ τοῦ λαθεῖν αὐτὸν καὶ τὸ χρυσίον ἀφανίσαι.

Ὁρμηθεὶς τοίνυν πρὸς τὴν Ἁγίαν Πόλιν καὶ τῆς ἐπ᾿ αὐτὴν πορείας ἀψάμενος, ἐπειδὴ τῆς τοῦ Μοναχοῦ Μαρτυρίου μονῆς ἀντικρὺ γέγονε, καθίσας ἠρέμα καὶ τοὺς χρυσοῦς ἐκβαλὼν καὶ πεντήκοντα τὸν ἀριθμὸν ἐξ αὐτῶν λαβών, τίθησι τοὺς λοιποὺς ὑπὸ λίθῳ τινὶ μεγάλῳ, καὶ τὸν τόπον ἐπισημήνας εὐθὺς τῶν Ἱεροσολύμων ἐχώρει. Ἐκεῖθεν δὲ πρὸς Ἰόππην ἄλογα μισθωσάμενος καὶ ἀρραβῶνα καταβαλών, ἐπάνεισι πρὸς τὸν λίθον, ὑφ᾿ ὃν τὸ χρυσίον ἐκρύπτετο καὶ πλησίον ἤδη

γενόμενος, ὢ πάντα βλέποντες ὀφθαλμοί! ὢ κριμάτων δικαιοτάτων! Ὁρᾷ τινα τοῦ λίθου τῷ μεγέθει μέγιστον καὶ τῇ μορφῇ φοβερὸν ἐξερπήσαντα ὄφιν, καθάπερ φυλάττειν τοὺς χρυσοῦς τεταγμένον, καὶ ἀπείργειν αὐτὸν πειρώμενον πράγματος ἀλλοτρίου.

Δείσας οὖν ἐκεῖνος, τηνικαῦτα μὲν κεναῖς ἐπάνεισι ταῖς χερσί, κάτεισι δὲ πάλιν καὶ εὑρίσκει τὸν φοβερὸν ἐκεῖνον τοῦ χρυσοῦ φύλακα ἐγρηγορότα λίαν ἐπιμελῶς, καὶ οἷον ἐπαγρυπνοῦντα τῷ χρήματι, ὡς μηδὲ πλησιάσειν ὅλως αὐτῷ ἐξεῖναι τῷ λίθῳ, ἀλλὰ καὶ προσβαλόντα διωχθῆναι συντόνως ὑπὸ τοῦ ὄφεως ἄχρι πολλοῦ, καὶ ἀγαπῆσαι εἴ γε καὶ ὅλως σωθεὶς ἐκεῖθεν ἀναχωρήσειε.

Τῇ γοῦν ὑστεραίᾳ ἀφικνεῖται καὶ αὖθις κατὰ τὸν τόπον καὶ παραχρῆμα δύναμίς τις ἐναέριος ἐπιπτᾶσα καὶ ὥσπερ τινὶ ῥοπάλῳ τοῦ Θεοδότου κατενεγκοῦσα καὶ πληγὴν αὐτῷ καιρίαν ἐκτείνασα, ἐκεῖνον μὲν ἀνατρέπει καὶ πολὺ τὸ νεκρῶδες ἔχοντα τῇ γῇ καταβάλλει. Λαζαριῶται δέ τινες ἐκ τοῦ παρήκοντος ἐπιστάντες καὶ οὕτως ἐρριμμένον ἀθλίως εὑρόντες, ἀναλαμβάνουσί τε καὶ εἰς τὸ κατὰ τὴν Ἁγίαν Πόλιν νοσοκομεῖον κομίζουσιν. Ἐκεῖσε τοίνυν ἐπὶ πολὺ κείμενος, ὄναρ ὁρᾷ πρεσβύτην τινὰ αὐτῷ χαλεπαίνοντα καὶ ἀναστῆναί σε ἄλλως οὐκ ἔνι λέγοντα, εἰ μὴ τὸ ὑφαιρεθὲν χρῆμα πρότερον τῇ τοῦ Εὐθυμίου μονῇ ἀποδώῃς.

Μεταστειλάμενος οὖν ἐκεῖθεν τὸν πανδοχέα, τήν τε κλοπὴν καὶ τὰ ἑξῆς ὡς ἔσχεν ἀνακαλύπτει καὶ πρὸς τὸ Μοναστήριον ταῦτα εἰπεῖν ἀποστέλλει. Μαθόντες δὲ οἱ περὶ τὸν ἡγούμενον Θωμᾶν καὶ Λεόντιον τὰ γεγενημένα, ἀνέρχονται πρὸς τὴν Ἁγίαν Πόλιν εὐθὺς καί τινι φορείῳ τὸν Θεόδοτον ἐπιθέντες, ὥστε ὑποδεῖξαι τὸν τόπον αὐτοῖς ὑφ᾽ ὃν ὁ χρυσὸς κρύπτοιτο, εὑρίσκουσι μὲν αὐτὸν ὑπὸ τῷ λίθῳ κείμενον, ὁ δὲ φρικτὸς ἐκεῖνος φύλαξ, ὢ τοῦ θαύματος! οὐδαμοῦ, καθάπερ τοῖς ἀληθινοῖς δεσπόταις εἴξας τοῦ θησαυροῦ. Αὐτίκα γοῦν οἱ μὲν τοὺς χρυσοῦς ἀναιροῦνται μικρά τε τὰ ὑπὸ Θεοδότου δαπανηθέντα εἶναι νομίσαντες ὑπέστρεφον, αὐτὸς δὲ κακῶν ἦν ἀπαθὴς καὶ ὑγιῶς ἔχων τοῦ σώματος.

2. Καὶ ἕτερος δέ τις Κίλιξ τὸ γένος, τὸ σχῆμα Μοναχός, Παῦλος ὄνομα, τῆς τοῦ Μαρτυρίου Μονῆς ἐξορμηθείς, πνεύματι πονηρῷ συνεχόμενος, ὑπὸ τῶν ἐπιτηδείων τῷ τοῦ Εὐθυμίου προσάγεται μνήματι. Τεθέντος τοίνυν αὐτοῦ παρὰ τῇ τοῦ λειψάνου θήκῃ, ἐποφθεὶς μετ᾽ ὀλίγον ὁ μέγας μέσων νυκτῶν τὸν δαίμονα ἀπελαύνει. Καὶ τοῦτο μαρτύριον τῆς ἰάσεως ἀψευδές· αὐτῆς γὰρ νυκτὸς ἀπελθὼν ὁ Παῦλος, παρὰ τὴν τῆς νυκτερινῆς ψαλμῳδίας ὥραν, εἴς τε τῶν ᾀδόντων γίνεται καὶ ἐφ᾽ ἡμῶν πάντων Θεῷ τὴν ἴασιν ἐξωμολογεῖτο. Ἤδη γὰρ κἀγὼ ὁ συγγραφεὺς τῇ τοῦ μεγάλου μονῇ εἰσεδέχθην.

Ἔμενεν οὖν ὁ Παῦλος τὸ λοιπὸν ἐν τῷ Κοινοβίῳ, ἀνάγραπτον τὴν χάριν παρ᾽ ἑαυτῷ συντηρῶν, καὶ παντὸς πόνου, καὶ λειτουργήματος σὺν προθυμίᾳ πάσῃ τοῖς ἀδελφοῖς ἐκοινώνει. Ποτὲ οὖν συλλέγοντες ἡμεῖς τροφὴν ἐπὶ τῆς ἐρήμου (ἣ δὲ ἦν ἃ μανούθια σύνηθες ὀνομάζειν), ἠρόμεθα τὸν Παῦλον, ἐπὶ τῇ συλλογῇ καὶ αὐτὸν παρόντα, ὅ,τι τε πάθοι καὶ ὅθεν εἰς τὸ Κοινόβιον ἔλθοι, καὶ οἵας παρὰ τῇ τοῦ λειψάνου θήκῃ ἀπολαύσοι τῆς θεραπείας, καὶ αὐτὸς συνήθως ἡμῖν ἔχων ἤδη φανερῶς ἅπαντα διεξείη.

Ἐγὼ διακονίαν, λέγων, ἐν τῇ τοῦ Μαρτυρίου μονῇ πιστευθείς, φιλοχρηματίας οὐκ οἶδ᾽ ὅπως ἑάλων ἔρωτι· ἐπειδὴ δὲ ἠπόρουν καὶ οὐκ εἶχον ὅθεν ἂν οὐδὲ

δραχμὴν κτήσαιμι, ἔννοιά μοι γίνεται τῶν ἱερῶν σκευῶν ὑφελέσθαι τινὰ καὶ κτῆσιν ἐμαυτῷ τινα τόν δε τὸν τρόπον περιποιήσασθαι. Ἐπεὶ οὖν ἡττήθην τῷδε τῷ πονηρῷ λογισμῷ καὶ τὸν τοῦ Θεοῦ φόβον ἀπεσεισάμην, ὑφαιροῦμαι τὰς κλεῖς ἐκ τοῦ θυσιαστηρίου, καὶ διανοίξας ἔνθα τῶν ἱερῶν σκευῶν ἡ ἀπόθεσις, τούτων τὰ μὲν κακούργως ἐνοσφισάμην, τὰ δὲ καὶ ἄλλοις ὀλιγώρως διένειμα.

Εἶτα τὴν διακονίαν ἐκτελέσας ἐκείνην, τὰς κλεῖς ἀποδίδωμι φέρων αὖθις τῷ θυσιαστηρίῳ· τραπεὶς δὲ μετά τινων ἀδελφῶν ἐπὶ δεῖπνον καὶ εἰς κόρον οἴνου πιών, ἐπὶ τῆς στρωμνῆς ἄθλιος κατακλίνομαι. Καὶ αὐτίκα δὴ πᾶς ἀκολασίας λογισμὸς καταχεῖταί μου τῆς ψυχῆς, ὥσπερ ἐπ' αὐτῷ τούτῳ πάντων μοι συνδραμόντων, ἐγὼ δὲ τὴν διάνοιαν ὑπὸ τῆς μέθης ἔτι διεφθαρμένος, ἡδέως ἐμαυτὸν τοῖς λογισμοῖς τούτοις ἀνῆκα· καί με παραλαβόντες οὕτω διέθηκαν ὡς καὶ γυναικὸς αἰσθάνεσθαι συμπαρούσης καὶ αὐτῇ συναναχεῖσθαι δοκεῖν.

Ἄφνω οὖν προσβάλλει μοι νέφος σκοτεινόν τε καὶ ἀλαμπές· τὸ δὲ ἦν ἄρα ὁ ἐπιπηδήσας μοι μιαρὸς δαίμων, ὑφ' οὗ χειρωθείς, ὡς αἰχμάλωτος ἔμεινα χρόνον συχνὸν ὑπ' αὐτοῦ τιμωρούμενος, καὶ τί μὴ πάσχων τῶν χαλεπῶν; Ποῦ γὰρ ἂν καὶ κόρον λάβοι τοιοῦτος ἐχθρὸς τοῦ κακῶς δρᾶν, ἐπειδὰν ἅπαξ κύριος γένηται τοῦ κακοποιεῖν; ἕως οἰκτόν μου λαβόντες οἱ ἀδελφοί, ἀναιροῦνταί με καὶ παρὰ τὴν τοῦ Ἁγίου κομίζουσι θήκην. Παρ' αὐτῇ τοίνυν τεθεὶς καὶ παραχρῆμα οἷον ἀνενεγκὼν καὶ ἐν ἑαυτῷ γενόμενος, ἐδεόμην τοῦ Ἁγίου μετὰ θερμῶν δακρύων ἐλεῆσαί με καὶ ἐπηρείας τοῦ χαλεποῦ δαίμονος ἀπαλλάξαι με· καὶ προσεκείμην ἀφ' ἑσπέρας αὐτῆς λιπαρῶν καὶ οὐκ ἀνίην δεόμενος.

Ἤδη δὲ περὶ τὸ μεσαίτατον τῆς νυκτὸς ἐδόκει μοι παρά τινι διατρίβειν τόπῳ θείῳ καὶ θαυμαστῷ, οὗ τὴν θέσιν, τὸ κάλλος, τὴν χάριν εὔξαιτο μὲν ἄν τις ἰδεῖν, λόγῳ δὲ δυνατὸς εἰπεῖν οὐδαμῶς ἔσται. Ἐῴκει δέ μοι καὶ κουκούλιόν τι μέλαν καὶ μαλοῦ πλῆρες ἐπικεῖσθαί μου τῇ κεφαλῇ. Ὁ δὲ μαλὸς αὐτῷ, ἀλεξίκακε θεράπον Θεοῦ Εὐθύμιε, μηδὲ ἑτέροις ἐπιτεθῆναι μηδαμῶς γένοιτο. Ἐκόμα μὲν γὰρ τὰ ἔνδον ἀκάνθαις ἀντὶ μαλῶν, καὶ ταύταις οὐ φορηταῖς δή τισι καὶ μετρίαις, ἀλλὰ τοῖς τῶν γραφικῶν ἐργαλείων κέντροις τό τε μέγεθος καὶ τὸ μῆκος παραπλησίαις. Ἐκέντει δέ μου σφοδρῶς τὴν κεφαλήν, καὶ οὐδὲ χαίρειν ὅλως οὐδὲ ἀναπνεῖν συνεχώρει.

Τοιούτῳ τοιγαροῦν κακῷ πιεζόμενος, διὰ γλώττης στρέφειν τὸ τοῦ Εὐθυμίου ὄνομα καὶ δεῖσθαι αὐτοῦ ἐδόκουν, καὶ ὃς εὐθὺς ἐπιφαίνεταί μοι πολλῷ τῷ φωτὶ κύκλῳ περιλαμπόμενος, πολιὸς τὴν τρίχα, στρογγύλος τὴν ὄψιν, φαιδρὸς τοὺς ὀφθαλμούς, τὴν ἡλικίαν βραχύς, βαθὺς τὸν πώγωνα, μανδύαν μέλανα περικείμενος, ράβδον τε τῇ χειρὶ κατέχων, καὶ ὅτου δέοι πρός με φησί· τί δὲ βούλει ποιήσω σοι;

Ἐμοῦ δὲ ὑπότρομόν τι καί περιδεὲς ἀποκριναμένου οἰκτεῖραι τοῦ πάθους καὶ τοῦ χαλεποῦ τούτου δαίμονος ἀπαλλάξαι με, αὐστηρότερον ἐκεῖνος ὑπολαβών, σὺ δέ, ἀλλ' ἐπείσθης, φησίν, ὅτι τῶν γινομένων οὐδὲν τὸν Θεὸν λαθεῖν δυνατόν; Ἔμαθες ἐξ ὧν ἔπαθες ἡλίκον τὸ τοῦ Θεοῦ περιφρονεῖν κακὸν καὶ ὡς ἂν καὶ τύχοι προΐεσθαι; Ὥς περ γὰρ ἡ τῶν ἀφοσιουμένων ταῖς Ἐκκλησίαις χάρις πρὸς Θεὸν ἄντικρυς διαβαίνει, καὶ αὐτὸς δὲ πάλιν ἄνωθεν οἶδε παρέχειν τὰς ἀντιδόσεις,

οὕτω δὴ καὶ οἱ κακῶς αὐτοῖς κεχρημένοι οὐκ εἰς ἄλλον, ἀλλ' εἰς αὐτὸν ἐκεῖνον ἐμπαροινοῦσι καὶ τὴν ἀξίαν αὐτῷ δίκην ὑπέχουσιν.

Εἰ γὰρ ὁ Ἀνανίας πάλαι μετὰ τῆς γυναικός, ἐξ ὧν αὐτοὶ προσήνεγκαν ὑφελόμενοι, τηλικαύτην ἔδοσαν τιμωρίαν, ὡς αὐτῇ σὺν ἅμα τῇ κλοπῇ ἐπαποθανεῖν, ποίας ἄρα τεύξεται συγγνώμης ὁ μηδὲ ἀλλοτρίας οὕτω προσφορᾶς φειδόμενος; Πλήν, ἀλλ' εἰ δίδως ἔτι συνθήκας μηκέτι χεῖρας ἀδίκους ἱεροῖς ἐπιβάλλειν πράγμασι, μήτε μὴν λογισμῶν παραδοχῇ φαύλων καθηδυπαθῆσαι, παρακαλεῖται, φησιν, ὁ Θεὸς καὶ ἰᾶταί σε. Φιλάνθρωπος γὰρ καὶ «οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἢ καὶ τὰ θεῖα διδάσκουσι λόγια, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»· ἐπεὶ καὶ διὰ τοῦτό σοι τὰ παρόντα συνέβη, ὅτι πραγμάτων ἱερῶν διακονίαν ἐγχειρισθείς, οὐ μὲν οὖν τῷ Θεῷ πιστὸν σεαυτὸν ἐφύλαξας, ἀλλὰ πρὸς δόλον εὐθὺς καὶ κλοπὴν ἔβλεψας, «θερίζων, ἀληθῶς εἰπεῖν, ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας». Ἐντεῦθεν ἡ ἐκ τῆς σαρκὸς ἐπήρεια καὶ ἀκολασία, καὶ τὸ δεινὸν δὲ τοῦτο παρὰ τῶν δαιμόνων κλυδώνιον ἐντεῦθεν ἐπηκολούθησεν.

Τούτων ἀκούσας ἐγώ, συνθήκας πρὸς αὐτὸν ποιοῦμαι τῆς εἰς τὸ λοιπὸν φυλακῆς· καὶ τότε φησὶ τῷ μιαρῷ δαίμονι ἐμβριμησάμενος καὶ λαβόμενός μου τῇ χειρὶ τοῦ κουκουλίου μόλις μὲν αὐτὸ καὶ σὺν βίᾳ τῆς κεφαλῆς ἀφαιρεῖται, τὸ δὲ ἄρα μετέβαλεν εὐθὺς τὴν μορφήν, καὶ μοί τις ἐν τῇ τοῦ Ἁγίου χειρὶ βραχὺς αἰθίοψ ὡρᾶτο, πυρὶ τοὺς ὀφθαλμοὺς ὁμοίως. Ἐῴκει δέ τις πρὸ τῶν ποδῶν αὐτοῦ καὶ βόθρος κομιδῇ βαθύτατος διωρύχθαι, καὶ τὸν μὲν ἀφῆκε κατὰ τοῦ βόθρου, ἐπιστρέψας δὲ πρός με πάλιν, ἐκεῖνο φησίν, ὃ πρὸς τὸν παράλυτον ὁ Χριστός, «ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἀλλὰ πρόσεχε σεαυτῷ, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Ἀνεθεὶς δὲ τοῦ πάθους ἐγὼ καὶ θερμοτέραν ἀποδοὺς Θεῷ τὴν εὐχαριστίαν, ἀπαθὴς ἐξ ἐκείνου καὶ εἰς δεῦρο κακοῦ παντὸς συντετήρημαι. Ταῦτα ἐμοὶ Παύλου διασαφήσαντος (ὁ συγγραφεὺς Κύριλλος ἐπάγει) καὶ κοινὴν ἐγὼ πᾶσι παρέθηκα τὴν διήγησιν.

Ἑρμηνεία

ΕΙΣ τὸ Μοναστήρι τοῦ Ἁγίου Εὐθυμίου ἐζοῦσεν ἕνας Μοναχὸς ἀπὸ τὴν Γαλατίαν*, ὁ Θεόδοτος, κανονικὸν μέλος τῆς Ἀδελφότητος. Εἰς αὐτόν, κάποτε, συνέβη τὸ ἑξῆς, ἀπὸ φθόνον τοῦ πονηροῦ. Ὁ Στέφανος, ὁ ὁποῖος διετέλεσεν Ἡγούμενος τοῦ ἰδίου Μοναστηρίου πρὶν ἀπὸ τὸν Θωμᾶν, προσέφερεν εἰς τὸ Μοναστήρι ἑξακόσια χρυσᾶ νομίσματα, τὰ ὁποῖα προήρχοντο ἀπὸ τὴν περιουσίαν τοῦ ἀποθανόντος ἀδελφοῦ του.

Αὐτά, λοιπόν, τὰ ἑξακόσια χρυσᾶ νομίσματα, τὰ ὁποῖα εἶχαν τοποθετήσει εἰς τὸ διακονικόν, τὰ ἔκλεψεν ὁ Θεόδοτος, ὅταν ἀνέλαβε τὴν Ἡγουμενίαν ὁ Θωμᾶς ἀπὸ τὴν Ἀπάμειαν. Τὴν ἑπομένην ἡμέραν ἐξύπνησε πρωῒ - πρωῒ ὁ Θεόδοτος καὶ προσεποιεῖτο τὸν ὠργισμένον καὶ ὅτι τάχα ἦτο πολὺ ἀγανακτισμένος, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἔχῃ ἡσυχίαν.

---

* Καταγόμενος δηλαδὴ ἀπὸ τὴν Γαλατίαν τῆς Μ. Ἀσίας, τῆς ὁποίας οἱ κάτοικοι ὠνομάζοντο Γαλάται. (Βλέπε καὶ ὑποσημ. α' σελ. 81).

Ἔτσι μὲ τὴν ἀφορμὴν αὐτὴν φεύγει ἀπὸ τὸ Μοναστήρι, διότι, δῆθεν, ἐπεθύμει ἡσυχίαν· εἰς τὴν πραγματικότητα ὅμως τὸ ἔκανε, διὰ νὰ διαφύγῃ τὴν προσοχὴν τῶν Μοναχῶν καὶ νὰ ἐξαφανίσῃ τὰ χρήματα.

Πράγματι, λοιπόν, ἐπῆρε τὸν δρόμον διὰ τὴν Ἁγίαν Πόλιν καὶ ἐβάδιζε πρὸς αὐτήν. Ὅταν ἔφθασεν ἀπέναντι ἀπὸ τὴν Μονὴν τοῦ Μαρτυρίου*, ἐκάθισε μὲ τὴν ἡσυχίαν του καὶ ἀφοῦ ἔβγαλε τὰ χρυσᾶ νομίσματα ἐκράτησε πενῆντα ἀπὸ αὐτὰ καὶ τὰ ὑπόλοιπα τὰ ἔβαλε κάτω ἀπὸ μίαν μεγάλην πέτραν. Ἔβαλε σημάδια, διὰ νὰ ἀναγνωρίσῃ τὸν τόπον καὶ ἀμέσως ἐπροχώρησε διὰ τὰ Ἱεροσόλυμα. Ἀπὸ ἐκεῖ ἐνοικίασεν ἄλογα διὰ νὰ μεταβῇ εἰς τὴν Ἰόππην καὶ ἀφοῦ ἔδωσε προκαταβολήν, ἐπιστρέφει εἰς τὴν πέτραν, ὅπου εἶχε κρύψει τὰ χρυσᾶ νομίσματα. Ὅταν ὅμως ἔφθασε κοντὰ — ὤ! ὀφθαλμοὶ τοῦ Θεοῦ ποὺ τὰ βλέπετε ὅλα! ὤ! δικαιότατα κρίματα τοῦ Θεοῦ — βλέπει νὰ ξετρυπώνῃ κάτω ἀπὸ τὴν πέτραν ἕνας τεράστιος καὶ φοβερὸς τὴν θέαν ὄφις. Ὁ ὄφις ἐκεῖνος ἐφαίνετο ὡσὰν νὰ εἶχε διαταχθῆ νὰ φυλάσσῃ τὰ χρυσᾶ νομίσματα καὶ νὰ ἐμποδίζῃ τὸν Θεόδοτον νὰ πλησιάσῃ τὸ ξένον πρᾶγμα.

Ἐφοβήθη, λοιπόν, ὁ Θεόδοτος καὶ φεύγει ἀμέσως μὲ ἄδεια τὰ χέρια. Ἐπανέρχεται ὅμως καὶ πάλιν καὶ εὑρίσκει ἐκεῖ τὸν φοβερὸν φύλακα τῶν χρυσῶν νομισμάτων νὰ μὴ κοιμᾶται καὶ ὡσὰν νὰ ἀγρυπνῇ ἐπάνω εἰς τὰ χρήματα καὶ νὰ μὴ τοῦ ἐπιτρέπῃ οὔτε κατ' ἐλάχιστον νὰ πλησιάσῃ εἰς τὴν πέτραν. Ὅταν δὲ ἐδοκίμασε νὰ πλησιάσῃ, κατεδιώχθη μὲ μανίαν ἀπὸ τὸν ὄφιν καὶ ἐτρόμαξε τόσον πολύ, ὥστε νὰ παρακαλῇ νὰ ἠμπορέσῃ νὰ γλυτώσῃ καὶ νὰ φύγῃ ἀπὸ ἐκεῖ.

Τὴν ἑπομένην, ἡμέραν ἔρχεται καὶ πάλιν εἰς ἐκεῖνον τὸν τόπον· ἀμέσως τότε ὡς ἐὰν κάποια ἐναέριος δύναμις νὰ ἐπέπεσεν ἀπὸ ὑψηλὰ καί, ὡσὰν μὲ ρόπαλον, ἐκτύπησε τὴν κεφαλὴν τοῦ Θεοδότου μὲ τόσην δύναμιν, ὥστε τὸν ἀνέτρεψε καὶ τὸν ἔρριψεν εἰς τὴν γῆν ὡς νεκρόν. Μερικοὶ ὅμως νοσοκόμοι*, ἀπὸ τὸ πλησίον Νοσοκομεῖον, ὅταν ἦλθαν καὶ τὸν εὑρῆκαν εἰς αὐτὴν τὴν ἀθλίαν κατάστασιν, τὸν ἐσήκωσαν εἰς τὰς χεῖρας των καὶ τὸν μετέφεραν εἰς τὸ Νοσοκομεῖον, ποὺ εὑρίσκετο εἰς τὴν Ἁγίαν Πόλιν. Ἐκεῖ, ἀφοῦ παρέμεινε νοσηλευόμενος ἀρκετὰς ἡμέρας, βλέπει ἕνα βράδυ εἰς τὸ ὄνειρόν του κάποιον Γέροντα, ὁ ὁποῖος ἐφαίνετο πάρα πολὺ θυμωμένος ἐναντίον του.

---

* Ἡ Μονὴ τοῦ Μαρτυρίου εὑρίσκετο εἰς τὴν Παλαιστίνην, κτισμένη πρὸς δυσμὰς τῆς Λαύρας τοῦ Ἁγίου Εὐθυμίου, ἀπὸ τὴν ὁποίαν ἀπεῖχε περὶ τὰ 15 στάδια (δηλ. περὶ τὰ 2.700 μέτρα περίπου, λαμβανομένου ὑπ' ὄψιν ὅτι τὸ στάδιον ἰσοῦτο πρὸς 181 μέτρα). Τὴν Μονὴν αὐτὴν ᾠκοδόμησεν ὁ Πορφύριος, Πατριάρχης Ἱεροσολύμων, περὶ τὸ 473 μ.Χ. Κατὰ πᾶσαν πιθανότητα ἡ Μονὴ αὐτὴ εὑρίσκετο ὅπου σήμερον τὸ χωρίον Ἔλ Μουρασᾶς, πέντε χιλιόμετρα πρὸς νότον τῆς Βηθανίας.

** Λαζαριῶται λέγονται οἱ νοσοκόμοι τῶν λοιμοκαθαρτηρίων, ἀπὸ τὴν ἰταλικὴν λέξιν λαζαρέτο, ποὺ σημαίνει νοσοκομεῖον.

— Δὲν θὰ ἠμπορέσῃς νὰ σηκωθῇς ἀπὸ αὐτὸ τὸ κρεββάτι, τοῦ λέγει, κατ' ἄλλον τρόπον, ἂν προηγουμένως δὲν ἐπιστρέψῃς εἰς τὴν Μονὴν τοῦ Ἁγίου Εὐθυμίου τὰ χρήματα ποὺ ἔκλεψες.

Ἀμέσως ἔστειλε καὶ ἐκάλεσεν ἀπ' ἐκεῖ τὸν ξενοδόχον, εἰς τὸν ὁποῖον ἐφανέρωσε λεπτομερῶς τὴν κλοπὴν καὶ ὅλα ὅσα ἐπηκολούθησαν. Τὸν στέλλει δὲ νὰ τὰ ἐκθέσῃ ὅλα λεπτομερῶς εἰς τὸ Μοναστήριον. Μόλις ἔμαθαν αὐτὰ οἱ Γέροντες ποὺ ἦσαν κοντὰ εἰς τὸν ἡγούμενον Θωμᾶν καὶ τὸν Λεόντιον, πορεύονται ἀμέσως πρὸς τὴν Ἁγίαν Πόλιν. Ἀφοῦ δὲ ἐτοποθέτησαν τὸν Θεόδοτον ἐπάνω εἰς ἕνα φορεῖον, τὸν μεταφέρουν, διὰ νὰ τοὺς ὑποδείξῃ τὸν τόπον, ὅπου εἶχε κρύψει τὰ χρυσᾶ νομίσματα. Πράγματι εὑρίσκουν τὰ χρυσᾶ νομίσματα κάτω ἀπὸ τὴν πέτραν. Ἐκεῖνος δὲ ὁ φοβερὸς φύλαξ, ὢ τοῦ θαύματος!, εἶχε φύγει, ὡς νὰ ὑπεχώρησεν ἐμπρὸς εἰς τοὺς πραγματικοὺς ἰδιοκτήτας τοῦ θησαυροῦ. Ἀμέσως τότε παραλαμβάνουν τὰ χρυσᾶ νομίσματα καὶ ἐπειδὴ ἐθεώρησαν ἀσήμαντα ἐκεῖνα ποὺ ἐδαπάνησεν ὁ Θεόδοτος, τὸν συνεχώρησαν καὶ ἐπέστρεψαν. Ἐκεῖνος δὲ ἀπὸ τὴν στιγμὴν ἐκείνην ἀπηλλάγη τελείως ἀπὸ τὸ κακὸν καὶ ἀνέκτησε τὴν σωματικήν του ὑγείαν.

2. Κάποιος ἄλλος μοναχός, ὀνομαζόμενος Παῦλος, κατήγετο ἀπὸ τὴν Κιλικίαν*. Οὗτος προήρχετο ἀπὸ τὴν Μονὴν τοῦ Μαρτυρίου· ἐπειδὴ δὲ ἐδαιμονίσθη, ὡδηγήθη ἀπὸ τοὺς συγγενεῖς του εἰς τὸν τάφον τοῦ Ἁγίου Εὐθυμίου. Τὸν ἔβαλαν, λοιπόν, κοντὰ εἰς τὴν λάρνακα τῶν λειψάνων τοῦ Ἁγίου. Κατὰ τὰ μεσάνυκτα ἐνεφανίσθη ὁ Ἅγιος καὶ ἐξεδίωξε τὸν δαίμονα ἀπὸ τὸν Μοναχόν. Ἀληθινὴ ἀπόδειξις τῆς θεραπείας ἐστάθη καὶ τοῦτο· τὴν ἰδίαν νύκτα, κατὰ τὴν ὥραν τῆς νυκτερινῆς ψαλμῳδίας, ἔφυγεν ὁ Παῦλος ἀπὸ τὴν θέσιν, ποὺ τὸν εἶχαν τοποθετήσει, ἔλαβε μέρος εἰς τὴν ψαλμῳδίαν αὐτήν, μαζὶ μὲ τοὺς ψάλτας καὶ ἐνώπιον ὅλων διηγεῖτο τὴν θεραπείαν, ποὺ τοῦ ἔκανε ὁ Θεός. Αὐτὸ δὲ τὸ γνωρίζω ἀπὸ προσωπικὴν ἀντίληψιν, διότι τότε πλέον καὶ ἐγώ, ὁ συγγραφεύς, εἶχα γίνει δεκτὸς εἰς τὴν Μονὴν τοῦ Μεγάλου Εὐθυμίου.

Παρέμεινε λοιπὸν ὁ Παῦλος, κατὰ τὸν ὑπόλοιπον χρόνον, εἰς τὸ Κοινόβιον καὶ διετήρει εἰς τὴν καρδίαν του ἄσβεστον τὴν εὐγνωμοσύνην. Ἐλάμβανε μέρος μαζὶ μὲ τοὺς ἄλλους ἀδελφοὺς εἰς κάθε ἔργον καὶ ὑπηρεσίαν. Κάποτε ἐνῷ ἐμαζεύαμεν τροφὴν εἰς τὴν ἔρημον (ἦτο δὲ ἡ τροφὴ αὐτὴ ἐκεῖνα ποὺ συνήθως ὀνομάζουν μανούθια), ἠρωτήσαμεν τὸν Παῦλον, ποὺ ἐμάζευε καὶ αὐτὸς μαζί μας, τί εἶχε πάθει καὶ διὰ ποίαν αἰτίαν ἦλθεν εἰς τὸ Κοινόβιον καὶ πῶς, τέλος, ἐθεραπεύθη κοντὰ εἰς τὴν

Ἡ Κιλικία, ἀπὸ τὴν ὁποίαν κατήγετο, εἶναι χώρα τῆς νοτιανατολικῆς Μικρᾶς Ἀσίας ὁριζομένη πρὸς ἀνατολὰς ἀπὸ τὸ ὄρος Ἀμανόν, πρὸς βορρᾶν καὶ δυσμὰς ἀπὸ τὴν ὁροσειρὰν τοῦ Ταύρου καὶ πρὸς νότον ἀπὸ τὸ Κιλίκιον πέλαγος. Κατὰ τὴν ἀρχαιότητα πρωτεύουσα τῆς Κιλικίας ἦτο ἡ Ταρσός, ἡ πατρὶς τοῦ Ἀποστόλου Παύλου. Ἄλλαι πόλεις ἦσαν ἡ Μόψου Ἑστία, ἡ Μόψου Κρήνη καὶ ἡ Ἰσσός, γνωστὴ ἀπὸ τὴν νίκην τοῦ Μεγάλου Ἀλεξάνδρου.

λάρνακα. Αὐτὸς δὲ πρόθυμα, ἐπειδὴ πλέον εἶχεν ἀποκτήσει ἐμπιστοσύνην, μᾶς τὰ ἐξιστόρησεν ὅλα λεπτομερῶς.

— Εἰς ἐμέ, — ἤρχισε νὰ μᾶς λέγῃ — εἶχον ἐμπιστευθῆ ὑπηρεσίαν εἰς τὸ Μοναστήρι τοῦ Μαρτυρίου. Δὲν γνωρίζω, λοιπόν, πῶς ἐκυριεύθην ἀπὸ τὸν ἔρωτα τῆς φιλοχρηματίας. Ἐπειδὴ δὲ ἤμουν πτωχὸς καὶ δὲν εἶχα ἀπὸ ποῦ νὰ ἀποκτήσω ἔστω καὶ μίαν δραχμήν, μοῦ ἦλθεν ἡ σκέψις νὰ ἀφαιρέσω μερικὰ ἀπὸ τὰ ἅγια σκεύη καί, μὲ τὸν τρόπον αὐτόν, νὰ ἀποκτήσω καὶ ἐγὼ κάτι ἰδικόν μου. Ἀφοῦ λοιπὸν ἐνικήθην ἀπὸ αὐτὸν τὸν πονηρὸν λογισμὸν καὶ ἔδιωξα ἀπὸ τὴν καρδίαν μου τὸν φόβον τοῦ Θεοῦ, κλέπτω τὰ κλειδιὰ ἀπὸ τὸ ἱερὸν θυσιαστήριον· ἀφοῦ δὲ ἤνοιξα τὸ σκευοφυλάκιον ἄλλα μὲν ἀπὸ τὰ ἱερὰ σκεύη κατεκράτησα ὡσὰν κακοῦργος, ἄλλα δὲ τὰ ἐμοίρασα ἀσυλλόγιστα καὶ εἰς ἄλλους.

Ἀφοῦ ἐτελείωσα τὴν ὑπηρεσίαν μου, τοποθετῶ καὶ πάλιν τὰ κλειδιὰ εἰς τὸ θυσιαστήριον. Παρεκάθησα κατόπιν μὲ μερικοὺς ἀδελφοὺς εἰς δεῖπνον, ὅπου ἤπια οἶνον κατὰ κόρον καὶ κατόπιν ἔπεσα νὰ κοιμηθῶ εἰς τὸ στρῶμα μου εἰς ἀθλίαν κατάστασιν. Ἀμέσως τότε ἐπλημμύρισεν ἡ ψυχή μου ἀπὸ ὅλους τοὺς λογισμοὺς τῆς ἀκολασίας, ὡς νὰ ἐβοήθησαν εἰς αὐτὸ ὅλαι αἱ περιστάσεις· ἐγώ, ποὺ ἤμουν ἀκόμη ζαλισμένος ἀπὸ τὴν μέθην, ἄφηνα εὐχάριστα τὴν σκέψιν μου νὰ αἰχμαλωτίζεται ἀπὸ αὐτοὺς τοὺς λογισμούς. Καὶ τόσον πολὺ μὲ ἐκυρίευσαν αὐτοὶ οἱ αἰσχροὶ λογισμοί, ὥστε νὰ αἰσθάνωμαι κοντά μου καὶ γυναῖκα ἀκόμη καὶ νὰ νομίζω ὅτι κοιμοῦμαι μαζί της.

Ξαφνικὰ πίπτει ἐπάνω μου κάτι ὡσὰν σύννεφον μαῦρον καὶ σκοτεινόν. Καὶ αὐτὸ βεβαίως τὸ σκοτεινὸν σύννεφον, ποὺ ἔπεσεν ἐπάνω μου, ἦτο ὁ μιαρὸς δαίμων, ὁ ὁποῖος, ἀφοῦ μοῦ ἔδεσε τὰ χέρια, μὲ ἐκράτησεν αἰχμάλωτον ἀρκετὴν ὥραν· ἀπ' αὐτόν, πλέον, ἐτιμωρούμην. Καὶ τί φοβερὸν ὑπῆρχε, τὸ ὁποῖον νὰ μὴ ὑποφέρω ἐκ μέρους του; Διότι πῶς εἶναι δυνατὸν νὰ χορτάσῃ ἕνας τέτοιος ἐχθρὸς ἀπὸ τοῦ νὰ κακουργῇ εἰς βάρος τοῦ ἀνθρώπου, ἅπαξ καὶ λάβῃ τὴν ἐξουσίαν νὰ κακοποιῇ; Καὶ ὑπέφερα τὰ πάνδεινα μέχρις ὅτου οἱ ἀδελφοί, ἀπὸ οἶκτον, μὲ ἐσήκωσαν καὶ μὲ ἔφεραν κοντὰ εἰς τὴν λειψανοθήκην τοῦ Ἁγίου. Μόλις μὲ ἐτοποθέτησαν δίπλα εἰς τὴν λάρνακα, ἀμέσως, ὡσὰν νὰ ἐξαλάφρωσα ἀπὸ ἕνα μεγάλο βάρος, συνῆλθα καὶ παρεκάλουν μὲ θερμὰ δάκρυα τὸν Ἅγιον νὰ μὲ ἀπαλλάξῃ ἀπὸ τὴν ἐπήρειαν τοῦ κακοῦ δαίμονος. Εἶχα ἀρχίσει ἀπὸ τὸ βράδυ αὐτὴν τὴν δέησιν καὶ δὲν ἐσταμάτησα οὔτε στιγμὴν νὰ παρακαλῶ.

Κατὰ τὰ μεσάνυκτα μοῦ ἐφάνη, ὅτι εὑρισκόμουν εἰς κάποιον τόπον θεϊκὸν καὶ ἀξιοθαύμαστον, τοῦ ὁποίου τὴν θέσιν, τὴν ὡραιότητα, τὴν χάριν θὰ ηὔχετο κανεὶς νὰ ἴδῃ, εἶναι ὅμως ἀδύνατον νὰ τὰ περιγράψῃ μὲ λόγους. Μοῦ ἐφάνη δὲ ὅτι ἕνα μαῦρον κουκούλι γεμᾶτον μαλλὶ εἶχε τοποθετηθῆ ἐπάνω εἰς τὴν κεφαλήν μου. Τὸ μαλλὶ ὅμως ἐκεῖνο — ὦ θεράπον τοῦ Θεοῦ Εὐθύμιε, ποὺ ἀποδιώκεις τὰ κακὰ — εἴθε ποτὲ νὰ μὴ τοποθετηθῆ εἰς ἄλλους. Διότι ἐσωτερικῶς εἶχεν ἀγκάθια ἀντὶ γιὰ

μαλλιά· καὶ τὰ ἀγκάθια αὐτὰ δὲν ἦσαν μικρά, οὔτε ἐκινοῦντο, ἀλλὰ ὡμοίαζον, κατὰ τὸ μέγεθος καὶ τὸ μῆκος, μὲ σουβλερὰ καρφιά, σὰν αὐτὰ ποὺ χρησιμοποιοῦν εἰς τὴν γραφικὴν τέχνην. Μοῦ ἐσούβλιζαν δὲ τόσον δυνατὰ τὴν κεφαλήν, ὥστε δὲν ἐπέτρεπαν οὔτε τὴν ἀναπνοήν μου νὰ πάρω.

Πιεζόμενος, λοιπόν, ἀπὸ ἕνα τοιοῦτον κακόν, μοῦ ἐφάνη ὅτι εἶχα διαρκῶς τὸ ὄνομα τοῦ Εὐθυμίου εἰς τὴν γλῶσσαν μου καὶ ὅτι τὸν παρεκάλουν καὶ ἀμέσως τότε μοῦ παρουσιάζεται ὁ ἴδιος, περιτριγυρισμένος ἀπὸ πολὺ φῶς, ἀσπρομάλλης, στρογγυλοπρόσωπος, μὲ ζωηρὰ μάτια, κοντόσωμος, μὲ μεγάλην γενειάδα, ἐνδεδυμένος μὲ μαῦρον ράσον· μὲ τὴν ράβδον εἰς τὸ χέρι μὲ πλησιάζει καὶ μοῦ λέγει:

— Τί θέλεις νὰ σοῦ κάμω;

Ἐγὼ δὲ κάπως τρομαγμένος καὶ φοβισμένος τοῦ ἀπαντῶ:

— Νὰ μὲ λυπηθῇς δι' αὐτήν μου τὴν συμφορὰν καὶ νὰ μὲ ἀπαλλάξῃς ἀπὸ αὐτὸν τὸν φοβερὸν δαίμονα.

Ἐκεῖνος, πάλιν, μὲ ἠρώτησε, κάπως αὐστηρότερα:

—Ἐπείσθης, ἀπὸ ὅσα συνέβησαν, ὅτι τίποτε δὲν ἠμπορεῖ νὰ διαφύγῃ τὸν ὀφθαλμὸν τοῦ Θεοῦ; Ἔμαθες, ἀπὸ ὅσα ἔπαθες, πόσον μεγάλον κακὸν εἶναι νὰ περιφρονῇ κανεὶς τὸν Θεόν, ὅταν μάλιστα ἔχῃ ἀφιερωθῇ εἰς Αὐτόν;

Διότι ὅπως ἀκριβῶς ἡ εὐχάριστος προσφορὰ τῶν ἀφιερωμάτων εἰς τὰς Ἐκκλησίας πηγαίνει κατ' εὐθεῖαν πρὸς τὸν Θεόν, καὶ Αὐτός, πάλιν, γνωρίζει νὰ παρέχῃ ἀπὸ ὑψηλὰ τὰς δωρεάς Του, ἔτσι καὶ αὐτοὶ ποὺ χρησιμοποιοῦν κακῶς αὐτὰ (τὰ ἀφιερώματα) δὲν ἁμαρτάνουν εἰς κανένα ἄλλον, παρὰ εἰς Αὐτὸν τὸν ἴδιον τὸν Θεόν, ἀπὸ τὸν Ὁποῖον καὶ θὰ λάβουν τὴν τιμωρίαν ποὺ τοὺς ἀξίζει.

Διότι ἂν ὁ Ἀνανίας, κατὰ τὸν παλαιὸν καιρόν, μὲ τὴν γυναῖκα του μαζί, ἐτιμωρήθησαν τόσον σκληρά, ἐπειδὴ ἀφήρεσαν ἀπὸ αὐτὰ ποὺ οἱ ἴδιοι προσέφεραν, ὥστε νὰ ἀποθάνουν τὴν ἰδίαν στιγμὴν ποὺ ἔκλεψαν, πῶς εἶναι δυνατὸν νὰ συγχωρηθῇ ἐκεῖνος, ὁ ὁποῖος δὲν ἐσεβάσθη τὰ ξένα ἀφιερώματα; (Πράξ. ε', 1—11). Ὡς τόσον, ἂν ὑποσχεθῇς τώρα, ὅτι δὲν θὰ ἁπλώσῃς ποτὲ πλέον τὸ χέρι σου εἰς ἱερὰ πράγματα, οὔτε θὰ δοκιμάσῃς ἡδονὴν ἀπὸ παραδοχὴν φαύλων λογισμῶν, θὰ σὲ εὐσπλαγχνισθῇ, ἀσφαλῶς, ὁ Θεὸς καὶ θὰ σὲ θεραπεύσῃ ἀμέσως. Διότι εἶναι φιλάνθρωπος καὶ «δὲν θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ»—ὅπως διδάσκουν τὰ θεῖα λόγια— «μέχρις ὅτου μετανοήσῃ καὶ κερδήσῃ τὴν αἰώνιον ζωὴν» (Ἰεζεκ. ιϛ', 23). Δι' αὐτὸ σοῦ συνέβησαν καὶ ὅσα ἔπαθες, ἐπειδὴ ἀνέλαβες τὴν διαχείρισιν ἱερῶν πραγμάτων καὶ ὄχι μόνον δὲν ἐφάνης ἀξιόπιστος ἐνώπιον τοῦ Θεοῦ, ἀλλ' ἀμέσως ἔστρεψες τὴν προσοχήν σου πρὸς τὴν ἀπάτην καὶ τὴν κλοπήν, «θερίζων» —πραγματικὰ— «ἐκεῖ, ὅπου δὲν ἔσπειρες, καὶ συγκεντρώνων ἀπὸ ἐκεῖ ὅπου δὲν διεσκόρπισες» (Ματθ. κε', 24).

Ἀπὸ αὐτὴν τὴν ἁμαρτίαν προῆλθε καὶ ὁ σαρκικὸς πόλεμος καὶ

ἡ ἀκολασία καὶ ἡ φοβερὰ αὐτὴ τρικυμία ἀπὸ μέρους τῶν δαιμόνων ἀπὸ ἐδῶ ἐξεκίνησε.

Μόλις ἐγὼ ἤκουσα αὐτὰ τὰ λόγια ἀπὸ τὸν Ἅγιον Εὐθύμιον, ἀμέσως τοῦ δίδω ὑπόσχεσιν, ὅτι εἰς τὸ μέλλον θὰ προσέχω πολύ. Τότε ὁ Ἅγιος ἐπετίμησε τὸν βδελυρὸν δαίμονα καὶ ἀφοῦ ἔπιασε μὲ τὸ χέρι του τὸ κουκούλι, μόλις καὶ μετὰ βίας τὸ ἀφήρεσεν ἀπὸ τὴν κεφαλήν μου· τὸ κουκούλι δὲ αὐτὸ ἀμέσως ἤλλαξε μορφὴν καὶ μοῦ ἐφαίνετο εἰς τὸ χέρι τοῦ Ἁγίου ὡς ἕνας κοντόσωμος ἀράπης μὲ μάτια ὅμοια μὲ φωτιάν. Μοῦ ἐφάνη δέ, ὅτι ἐμπρὸς εἰς τοὺς πόδας τοῦ Ἁγίου εἶχεν ἀνοιχθῆ ἕνας βαθύτατος λάκκος, εἰς τὸν ὁποῖον ἔρριψε τὸν δαίμονα· ἀφοῦ δὲ ἐπέστρεψε πάλιν κατὰ μου, μοῦ εἶπε ἐκεῖνο, ποὺ εἶπε καὶ ὁ Χριστὸς εἰς τὸν παράλυτον· «ἰδοὺ ἐθεραπεύθης, μὴ ἁμαρτάνῃς πλέον, ἀλλὰ πρόσεχε τὸν ἑαυτόν σου διὰ νὰ μὴ πάθῃς τίποτε χειρότερον» (Ἰωάν. ε΄, 14).

Ἐγὼ τότε μόλις ἀνεκουφίσθην ἀπὸ τὸ πάθος καὶ ἀφοῦ ηὐχαρίστησα θερμὰ τὸν Θεόν, ἐθεραπεύθην τελείως ἀπὸ ἐκεῖνο τὸ κακὸν καὶ εἶμαι ἕως τώρα ὑγιής.

Αὐτὰ μοῦ διηγήθη ὁ Παῦλος (προσθέτει ὁ συγγραφεὺς Κύριλλος) καὶ ἐγὼ τὰ ἔγραψα, διὰ νὰ τὰ μάθῃ ὅλος ὁ κόσμος.

Β' Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΠΑΡΑ τοῖς Κοινοβίοις τῆς Ἀνατολῆς, σχεδὸν πάσης ἑβδομάδος οἱ ἀδελφοὶ ἐκ διαδοχῆς ποιοῦσιν ἔν τε τοῖς μαγειρείοις καὶ τοῖς ἄλλοις τοῖς καθήκουσιν, ἅμα καὶ ἑαυτοὺς ἀναπαύοντες, καὶ μόνον ἀγάπης διὰ τὸ δουλεύειν ἀλλήλοις πληροῦντες. Συμπληρωθείσης δὲ τῆς ἑβδομάδος, τῇ ἀναστασίμῳ ἡμέρᾳ, μετὰ τοὺς ἑωθινοὺς ὕμνους, ἄλλοις πάλιν τοῖς εἰσερχομένοις ὑπηρετῆσαι τὰ πρὸς τὴν χρῆσιν σκεύη σεσημειωμένα παραδιδόασιν, ἅτινα δεχόμενοι τοσαύτην φροντίδα εἰς τὴν τούτων παραφυλακὴν ἐνδείκνυσθαι σπουδάζουσιν, μή τι ἐξ αὐτῶν ἀπόλλυται ἢ κλασθῇ, ὅσην εἰκὸς τῶν ἐμπεπιστευμένων σκεύη ἱερὰ καὶ Θεῷ ἀνατεθειμένα. Ὑφέξειν γὰρ λόγον ἑτοιμάζονται οὐ μόνον τῷ παρόντι οἰκονόμῳ, ἀλλὰ καὶ τῷ Θεῷ, εἰ τύχοι ἐξ ἀμελείας ἢ ῥαθυμίας κλασθὲν τίποτε ἢ μειωθὲν ἐξ αὐτῶν. Πρὸς πίστωσιν δὲ τῶν εἰρημένων, ὅπερ αὐταῖς ὄψεσιν ἐθεασάμεθα, προσθήσω τῷ διηγήματι.

Ἐν τῇ ἑβδομάδι τινὸς ἀδελφοῦ, παριὼν ὁ οἰκονόμος, ὀλίγους κόκκους φακῆς κατὰ γῆν ἐρριμμένους θεασάμενος, οὐ κατεφρόνησεν ὡς οἰκτροῦ πράγματος, ἀλλ' ἐγκαλέσας πολλὰ τῷ τὴν ἑβδομάδα πεπιστευμένῳ ἀδελφῷ, δέδωκεν ἐπιτίμιον, ὡς ἀμελοῦντι τῶν τῷ Θεῷ ἀνατεθειμένων καὶ καταπατοῦντι τὴν ἰδίαν συνείδησιν. Τοσαύτῃ γὰρ πίστει καὶ σπουδῇ πάντων ἐπιμελοῦνται καὶ πάντα διοικοῦσιν, ὡς καὶ αὐτὰ ἅπερ ἡμῖν εὐτελῆ καὶ καταφρονήσεως ἄξια φαίνονται μετὰ πολλῆς προσοχῆς φυλάττειν, οἷον ἀγγεῖον κακῶς κείμενον μεταστῆσαι ἢ σκεῦος ἐρριμμένον συνάξαι, πιστεύοντες καὶ ὑπὲρ τούτων μισθὸν ἔχειν παρὰ τῷ δεσπότῃ Θεῷ.

Κατὰ πᾶσαν οὖν τὴν Ἀνατολὴν οὗτοι οἱ κανόνες τῶν ἑβδομάδων, ὡς εἶπον, γίνονται· παρὰ δὲ τοῖς Αἰγυπτίοις οὐδαμῶς οἱ διακονηταὶ ἐναλλάσσονται, ἀλλ' ἕκαστος, ἐν ᾧ δοκιμασθεὶς χρησιμεύειν, ἐν τούτῳ καὶ προσμένει ἀδιάδοχος, ἐφ' ὅσον δύναται, καὶ μήτε γῆρας αὐτῷ μήτε ἀσθένεια ἐμποδίσει. Καὶ ἡ τοῦ μαγειρείου δὲ

φροντίς, ἑνὶ δοκιμωτάτῳ τῶν ἀδελφῶν ἐπιτρέπεται, ἕως ἡ ἀρετὴ αὐτοῦ ἐπιδίδωσι καὶ ἡ ἰσχὺς τοῦ σώματος ὑπουργεῖ.

Ἑρμηνεία

ΕΙΣ τὰ Κοινόβια τῆς Ἀνατολῆς οἱ ἀδελφοὶ ὑπηρετοῦν κατὰ σειράν, κάθε σχεδὸν ἑβδομάδα, εἰς τὰ μαγειρεῖα καὶ εἰς ἄλλα διακονήματα, διὰ νὰ ξεκουράζωνται, ἀλλὰ καὶ διὰ νὰ ἐφαρμόζουν τὴν ἀγάπην μὲ τὸ νὰ ἐξυπηρετῇ ὁ ἕνας τὸν ἄλλον. Ὅταν συμπληρωθῇ ἡ ἑβδομάς, τὴν Κυριακήν, μετὰ τὴν ἀκολουθίαν τοῦ Ὄρθρου, παραδίδουν εἰς ἄλλους, οἱ ὁποῖοι ἔχουν σειρὰν νὰ ὑπηρετήσουν, τὰ ἀπαραίτητα σκεύη ποὺ εἶναι σημαδεμένα. Ἐκεῖνοι δὲ ὅταν τὰ παραλάβουν, φροντίζουν καὶ τὰ προσέχουν τόσον πολύ, μὴ τυχὸν χαθῇ ἢ σπάση κανένα ἀπὸ αὐτά, ὡς νὰ ἦσαν ἱερὰ σκεύη ἀφιερωμένα εἰς τὸν Θεόν. Εἶναι ἕτοιμοι, δηλαδή, νὰ λογοδοτήσουν ὄχι μόνον εἰς τὸν οἰκονόμον ποὺ ἔχουν ἐμπρός των, ἀλλὰ καὶ εἰς Αὐτὸν τὸν Θεόν, ἂν τύχῃ ἀπὸ ἀμέλειαν ἢ ὀκνηρίαν νὰ σπάσῃ κανένα ἀπὸ αὐτὰ ἢ νὰ χαλάσῃ. Πρὸς ἐπαλήθευσιν τῶν λεγομένων, θὰ ἀναφέρω τὸ ἑξῆς περιστατικὸν ποὺ εἶδα μὲ τὰ ἴδια μου τὰ μάτια.

Κατὰ τὴν ἑβδομάδα ὑπηρεσίας ἑνὸς ἀδελφοῦ ἐπέρασεν ἀπὸ τὸ μαγειρεῖον ὁ οἰκονόμος. Ἔτυχε λοιπὸν νὰ ἴδῃ ὀλίγους κόκκους φακῆς πεσμένους εἰς τὴν γῆν· δὲν ἠδιαφόρησε δὲ ὡσὰν νὰ ἐπρόκειτο διὰ ἀσήμαντον πρᾶγμα. Ἀμέσως ἐπέπληξεν αὐστηρὰ τὸν ἀδελφὸν ποὺ εἶχεν ὑπηρεσίαν ἐκείνην τὴν ἑβδομάδα καὶ τοῦ ἐπέβαλε τιμωρίαν, διότι παρημέλει τὰ ἀφιερωμένα εἰς τὸν Θεὸν καὶ κατεπάτει τὴν συνείδησίν του. Μὲ τόσην, δηλαδή, πίστιν καὶ ἀφοσίωσιν φροντίζουν δι' ὅλα καὶ διοικοῦν τὰ πάντα, ὥστε καὶ ἐκεῖνα ποὺ φαίνονται εἰς ἡμᾶς ἀσήμαντα καὶ εὐκαταφρόνητα, νὰ τὰ φυλάσσουν μὲ μεγάλην προσοχήν, ὅπως, π.χ., νὰ μετακινήσουν ἕνα ἀγγεῖον κακῶς τοποθετημένον, ἢ νὰ περιμαζεύσουν ἕνα σκεῦος παραπεταμένον, διότι πιστεύουν, ὅτι καὶ δι' αὐτὰς τὰς μικροϋπηρεσίας θὰ λάβουν ἀμοιβὴν ἀπὸ τὸν Δεσπότην Θεόν.

Εἰς ὁλόκληρον λοιπὸν τὴν Ἀνατολήν, ὅπως εἶπα, ἰσχύουν οἱ κανονισμοὶ τῆς ὑπηρεσίας τῶν Μοναχῶν κατὰ ἑβδομάδα. Εἰς τοὺς Αἰγυπτίους ὅμως δὲν ἀλλάζουν οἱ διακονηταί, ἀλλὰ ὁ καθένας χρησιμοποιεῖται εἰς ἐκεῖνο τὸ ἔργον ποὺ ἐδοκιμάσθη καὶ ἐκρίθη ἱκανὸς καὶ εἰς αὐτὸ παραμένει ὅλην του τὴν ζωήν, χωρὶς διαδοχήν, ἐφ' ὅσον ἠμπορεῖ, καὶ δὲν θὰ τὸν ἐμποδίσῃ οὔτε γῆρας οὔτε ἀσθένεια. Καὶ ἡ φροντίδα τοῦ μαγειρείου ἀνατίθεται εἰς τὸν πλέον ἱκανὸν ἀδελφὸν μέχρις ὅτου διατηρεῖται ἡ ἀρετή του καὶ τὸν βοηθοῦν αἱ σωματικαὶ δυνάμεις του.

Γ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΠΑΝΤΩΝ τῶν καλῶν προδότης ἐστὶν ἡ ἀμέλεια, ἣν αἰχμαλωσία δεινὴ διαδέχεται, ἐν ἀργίᾳ χειρῶν καὶ ἀμελείᾳ, τάξει οἰκείᾳ, καὶ ὅτε βούλεται ὁ ἐν αὐτῇ μένων, φεύξεται ἀπ' αὐτῆς.

2. Ὀκνηρὸς Μοναχὸς οὐδὲ τὸ προθύριον τῆς κέλλης αὐτοῦ κλείσει, ἄχρις οὗ συντριβῇ ῥιπιζόμενον ὑπὸ ἀνέμου, ὁ δὲ νηφάλιος ἀκατάγνωστος ἔσται.

Ἑρμηνεία

ΟΛΩΝ τῶν καλῶν προδότης εἶναι ἡ ἀμέλεια· αὐτὴν διαδέχεται φοβερὰ αἰχμαλωσία ποὺ ἔχει ὡς συνέπειαν τὴν ἀπραξίαν τῶν χεριῶν καὶ τὴν ἀμέλειαν ὡς καὶ τὴν καθιέρωσιν προσωπικῆς τακτικῆς. Καὶ ὅταν τὸ ἀποφασίσῃ αὐτὸς ποὺ μένει εἰς αὐτήν, δύναται νὰ φύγῃ ἀπὸ αὐτήν.

2. Ὁ ὀκνηρὸς Μοναχὸς οὔτε τὸ παράθυρον τοῦ κελλίου του θὰ κλείσῃ, μέχρις ὅτου συντριβῇ καθὼς θὰ τὸ κτυπᾷ ὁ ἄνεμος· ἐνῷ ὁ προσεκτικὸς Μοναχὸς θὰ εἶναι ἀκατηγόρητος.



ΥΠΟΘΕΣΙΣ Η'

Μετὰ ποίας διαθέσεως δεῖ διακονεῖν ἢ διακονεῖσθαι, καὶ τί τὸ ἐκ τῆς διακονίας κέρδος.

Μὲ ποίαν διάθεσιν πρέπει νὰ ὑπηρετοῦμεν ἢ νὰ ὑπηρετούμεθα καὶ ποῖον εἶναι τὸ κέρδος ἀπὸ τὴν ὑπηρεσίαν αὐτήν.

Α'. Ἀντιόχου τοῦ Παντέκτου

ΔΙΑΚΟΝΗΤΗΣ ὀφείλει ἐπιμελῶς ἐξ ὅλης τῆς ἰσχύος διακονεῖν, εἰδὼς ὅτι Θεοῦ ἔργον ἐστὶν ὃ μεταχειρίζεται, καὶ μὴ ἀμελεῖν ἔν τινι ἢ διὰ ὄκνον ἢ λύπην ἢ διὰ παροξυσμόν, ἢ ἔριν τινῶν ἀδελφῶν παραπέμπειν καὶ ραθυμεῖν. Πάντα γὰρ τὰ τῆς μονῆς τῷ Θεῷ ἀφιέρωνται καὶ μεγάλῳ καὶ βαρυτάτῳ κινδύνῳ ὑπόκειται ὁ ἀμελῶς διακονῶν, ὡς Θεοῦ καταφρονῶν· «ἐφ᾽ ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε»· καὶ πάλιν· «ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε, οὐδὲ ἐμοὶ ἐποιήσατε». Εἴτε οὖν ἐπιμελῶς εἴτε ἀμελῶς τις διακονεῖ, εἰς τὸν Θεὸν ἀνατρέχει ἡ διακονία αὐτοῦ.

Ἄκουσον οὖν τί περὶ τῶν ἀμελῶς διακονούντων ὁ Προφήτης λέγει Ἱερεμίας· «ἐπικατάρατος ἄνθρωπος ὁ ποιῶν τὸ ἔργον Κυρίου ἀμελῶς». Σπουδάσωμεν οὖν, ἀδελφοί, ἐκτὸς εἶναι τῆς τοιαύτης φρικωδεστάτης ἀρᾶς καὶ ὡς διάκονοι Χριστοῦ ἐν πάσῃ ἐπιμελείᾳ καὶ σπουδῇ τὴν διακονίαν ἡμῶν πληροφορήσωμεν, ἵνα καὶ τῆς εὐλογίας μετάσχωμεν ὡς μαθηταὶ τοῦ εὐλογημένου, τοῦ εἰρηκότος· «ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ»· καὶ πάλιν· «ἐγὼ δὲ εἰμὶ ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν· καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν». Τὸ αὐτὸ οὖν καὶ τοῖς οἰκείοις μαθηταῖς παραγγέλλει λέγων· «ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, ἔστω πάντων ἔσχατος καὶ πάντων δοῦλος καὶ πάντων διάκονος».

Ἀκούσωμεν δὲ τί καὶ ὁ Ἀπόστολος λέγει· «ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώ-

τει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας». «Ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις». Καὶ πάλιν παραινεῖ φάσκων· «ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες, ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ». «Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες». Λέγει δὲ καὶ περὶ αὐτοῦ· «νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις», «ἀλλὰ συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν, ἵνα ρυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις».

Κατανοήσωμεν οὖν, ἀδελφοί, ὅτι εἰ ἐκεῖνοι οἱ φωστῆρες τῆς οἰκουμένης καὶ στῦλοι τῆς Ἐκκλησίας μετὰ τοσούτου ἀγῶνος καὶ πόθου διηκόνουν τοῖς ἐν Ἱεροσολύμοις πτωχοῖς, πόσῳ γε μᾶλλον ἡμεῖς χρεωστοῦμεν προθύμως καὶ σπουδαίως τοῖς ἐν Κυρίῳ ἡμῶν ἀδελφοῖς διακονεῖν καὶ παντὶ τρόπῳ ἀγωνίζεσθαι εἰς τὸ θεραπεύειν αὐτούς, ὡς τὸν Θεὸν δι' αὐτῶν θεραπεύοντες.

Ἑρμηνεία

Ο ΔΙΑΚΟΝΗΤΗΣ* πρέπει νὰ ἐκτελῇ τὴν ὑπηρεσίαν του μὲ ἐπιμέλειαν καὶ μὲ ὅλην του τὴν δύναμιν· νὰ λαμβάνῃ ὑπ' ὄψιν του ὅτι αὐτὸ τὸ ὁποῖον ἐκτελεῖ εἶναι ἔργον Θεοῦ καὶ νὰ μὴ δεικνύῃ ἀμέλειαν εἰς τίποτε, οὔτε νὰ παραλείπῃ ἢ νὰ παραμελῇ τὴν ὑπηρεσίαν του ἀπὸ ὀκνηρίαν, ἢ ἀπὸ λύπην, ἢ ἀπὸ παροξυσμόν, ἢ ἀπὸ φιλονικίαν μὲ τοὺς ἀδελφούς. Διότι ὅλα τὰ πράγματα τοῦ Μοναστηριοῦ εἶναι ἀφιερωμένα εἰς τὸν Θεὸν καὶ ἐκεῖνος, ποὺ ὑπηρετεῖ μὲ ἀμέλειαν ἀντιμετωπίζει μεγάλην καὶ βαρυτάτην τιμωρίαν, ἐπειδὴ καταφρονεῖ τὸν Θεόν. «Ἐφόσον δηλαδὴ ἐκάματε τὸ καλὸν εἰς ἕνα ἀπὸ αὐτοὺς τοὺς ἐλαχίστους, εἰς ἐμὲ τὸ ἐκάματε» —λέγει ὁ Κύριος· καὶ πάλιν— «ἐφόσον δὲν ἐκάματε τὸ καλόν, οὔτε εἰς ἐμὲ τὸ ἐκάματε» (Ματθ. κε΄ 40 καὶ 45). Εἴτε, λοιπόν, μὲ ἐπιμέλειαν, εἴτε μὲ ἀμέλειαν ὑπηρετεῖ κανείς, ἡ ὑπηρεσία του ἀναφέρεται εἰς τὸν Θεόν.

Ἄκουσε λοιπὸν τί λέγει ὁ Προφήτης Ἱερεμίας δι' αὐτοὺς ποὺ ἐκτελοῦν μὲ ἀμέλειαν τὸ διακόνημά των· «Καταραμένος ἂς εἶναι ὁ ἄνθρωπος, ποὺ ἐκτελεῖ μὲ ἀμέλειαν τὸ ἔργον τοῦ Κυρίου» (Ἱερεμ. λα΄ 10). Ἂς φροντίσωμεν, λοιπόν, ἀδελφοί, νὰ παραμείνωμεν μακρὰν ἀπὸ αὐτὴν τὴν φρικτὴν κατάραν καὶ νὰ ἐκτελέσωμεν τὴν ὑπηρεσίαν μας μὲ κάθε ἐπιμέλειαν καὶ φροντίδα, ὡς ὑπηρέται τοῦ Χριστοῦ, διὰ νὰ κερδίσωμεν καὶ τὴν εὐλογίαν ὡς μαθηταὶ τοῦ Εὐλογημένου, ὁ Ὁποῖος εἶ-

---

* Διακονητὴς εἰς τὰ Μοναστήρια λέγεται ὁ Μοναχὸς εἰς τὸν ὁποῖον ἔχει ἀνατεθῆ ἡ ἐκτέλεσις ὡρισμένης ὑπηρεσίας. Πᾶσα δὲ ὑπηρεσία τῆς Μονῆς λέγεται διακονία, διακονία τοῦ μαγειρείου, διακονία τῆς τραπέζης, διακονία τοῦ νοσοκομείου κ.λ.π.

πεν· «Ἐὰν μὲ ὑπηρετῇ κάποιος, ἐμὲ ἂς ἀκολουθῇ· καὶ ὅπου εἶμαι ἐγώ, ἐκεῖ θὰ εἶναι καὶ ὁ ὑπηρέτης μου· καὶ ἐὰν κάποιος μὲ ὑπηρετῇ, θὰ τὸν τιμήσῃ ὁ ἐπουράνιος Πατὴρ» (Ἰωάν. ιβ΄, 26)· καὶ πάλιν· «ἐγὼ δὲ εὑρίσκομαι ἀνάμεσά Σας, ὅπως αὐτός, ὁ ὁποῖος διακονεῖ· διότι ὁ υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε διὰ νὰ Τὸν ὑπηρετήσουν, ἀλλὰ νὰ ὑπηρετήσῃ καὶ νὰ προσφέρῃ τὴν ζωήν Του λύτρον πρὸς χάριν τῶν πολλῶν» (Ματθ. κ΄, 28). Τὸν ἴδιον παραγγέλλει καὶ εἰς τοὺς Μαθητάς Του. «Ἐκεῖνος, ποὺ θέλει —λέγει— νὰ εἶναι πρῶτος μεταξύ Σας, ἂς εἶναι ὁ τελευταῖος ἀπὸ ὅλους, ἂς εἶναι ὅλων δοῦλος καὶ ὅλων ὑπηρέτης» (Μαρκ. θ΄, 35).

Ἂς ἀκούσωμεν τί λέγει καὶ ὁ Ἀπόστολος· «ἰδοὺ τώρα εἶναι κατάλληλος καιρός, τώρα εἶναι ἡμέρα σωτηρίας· ἂς μὴ δίδωμεν εἰς κανένα ἀφορμὴν πρὸς σκανδαλισμόν, διὰ νὰ μὴ κατηγορηθῇ ἡ διακονία, ἀλλ' εἰς κάθε περίστασιν ἂς συνιστῶμεν καὶ ἂς προβάλλωμεν τοὺς ἑαυτούς μας, ὡς ὑπηρέτας τοῦ Θεοῦ, μὲ μεγάλην ὑπομονήν, μὲ θλίψεις, μὲ ἀνάγκας, μὲ στενοχωρίας, μὲ κτυπήματα, μὲ φυλακάς, μὲ ἀκαταστασίας, μὲ κόπους, μὲ ἀγρυπνίας, μὲ νηστείας, μὲ ἁγνότητα, μὲ γνῶσιν, μὲ μακροθυμίαν, μὲ καλωσύνην, μὲ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, μὲ ἀνυπόκριτον ἀγάπην, μὲ τὸν λόγον τῆς ἀληθείας». (Β΄ Κορ. στ΄, 2—7). «Ἀλλὰ νὰ ὑπακούετε ὡς δοῦλοι τοῦ Χριστοῦ ἐκτελοῦντες τὸ θέλημα τοῦ Θεοῦ μὲ ὅλην σας τὴν ψυχήν, νὰ προσφέρετε τὰς ὑπηρεσίας σας μὲ καλὴν διάθεσιν, ὡς νὰ ὑπηρετῆτε τὸν Κύριον καὶ ὄχι ἀνθρώπους». (Ἐφεσ. στ΄, 6—7).

Καὶ ἀλλοῦ, πάλιν, ὁ Ἀπόστολος συμβουλεύει· «Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ —λέγει— στηριχθῆτε γερά, παραμείνετε ἀμετακίνητοι, πλούσιοι πάντοτε εἰς τὸ ἔργον τοῦ Κυρίου, γνωρίζοντες πολὺ καλά, ὅτι ὁ κόπος σας δὲν πηγαίνει χαμένος ἐνώπιον τοῦ Κυρίου» (Α΄ Κορ. ιε΄, 58). «Διότι δὲν εἶναι ἄδικος, διὰ νὰ λησμονήσῃ τὰ καλά σας ἔργα καὶ τὸν κόπον σας, διὰ τὴν ἐφαρμογὴν τῆς ἀγάπης, τὴν ὁποίαν ἐπεδείξατε εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, μὲ τὸ νὰ ὑπηρετήσετε τοὺς Χριστιανοὺς καὶ νὰ ἐξακολουθῆτε μέχρι σήμερον νὰ ἐξυπηρετῆτε» (Ἑβρ. στ΄, 10). Λέγει δὲ καὶ δι' αὐτό· «τώρα πηγαίνω εἰς τὰ Ἱεροσόλυμα, διὰ νὰ ὑπηρετήσω τοὺς ἁγίους» (Ρωμ. ιε΄, 25), «ἀλλὰ σᾶς παρακαλῶ, ἀγωνισθῆτε μαζί μου μὲ τὰς προσευχάς σας πρὸς τὸν Θεόν, διὰ νὰ γλυτώσω ἀπὸ τοὺς ἀπίστους Ἰουδαίους καὶ διὰ νὰ γίνῃ δεκτὴ ἡ ὑπηρεσία μου τῆς μεταφορᾶς εἰς τὰ Ἱεροσόλυμα τῆς συνεισφορᾶς ποὺ ἔκαμαν δι' αὐτοὺς οἱ ἐξ ἐθνῶν Χριστιανοὶ» (Ρωμ. ιε΄, 30—31).

Ἂς βάλωμεν λοιπὸν καλῶς εἰς τὸν νοῦν μας, ἀδελφοί, ὅτι ἂν ἐκεῖνοι οἱ φωστῆρες τῆς Οἰκουμένης καὶ στῦλοι τῆς Ἐκκλησίας ὑπηρέτουν μὲ τόσον ἀγῶνα καὶ πόθον τοὺς πτωχοὺς τῶν Ἱεροσολύμων, πόσον βεβαίως περισσότερον ἡμεῖς χρεωστοῦμεν νὰ ἐξυπηρετοῦμεν μὲ προθυμίαν καὶ ἐνδιαφέρον τοὺς ἐν Κυρίῳ ἀδελφούς μας καὶ μὲ κάθε τρόπον νὰ ἀγωνιζώμεθα νὰ ἀνακουφίζωμεν αὐτούς, ὡς νὰ ὑπηρετοῦμεν τὸν Θεὸν διὰ μέσου αὐτῶν.

Β'. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· προσπίπτω σοι, Πάτερ εὔσπλαγχνε, ἵνα ἐνδυναμωθῶ διὰ τῶν εὐχῶν ὑμῶν· βλέπω γὰρ ὅτι ὅλην τὴν ἡμέραν ἐν τῷ περισπασμῷ εἰμί, καὶ σχεδὸν οὐδὲ συγχωροῦμαι μνημονεῦσαι τοῦ Θεοῦ. Εἰ δέ ποτε διὰ τῶν εὐχῶν ὑμῶν δώῃ μοι ὁ Θεὸς μικρὰν λύπην ἐπὶ τοῖς σφάλμασί μου, ἐγὼ κατὰ μικρὸν διὰ τοῦ ἔξωθεν νεωτερισμοῦ ἀπόλλω αὐτήν. Φοβοῦμαι δὲ καὶ περὶ τῆς διοικήσεως τοῦ νοσοκομείου, ὅτι ὡς αὐθεντία ἐστί, μήπως συνεργεῖ μοι πρὸς αὐθεντίαν καὶ παρρησίαν, καὶ τὸ μεταχειρίζεσθαι ὕλας συνεχῶς βρωμάτων εἰς τὴν γαστριμαργίαν ὡς εἰκὸς βαρύνει με. Οἶδας, Πάτερ, ὅτι οὐκ ἀκηδιάσας πρὸς τὴν διακονίαν ταῦτα λαλῶ· τί γὰρ ποιῶ ὁ ταλαίπωρος; Ἀλλὰ φοβοῦμαι, μήπως κάθημαι παροξύνων τὰ πάθη μου ταῦτα, εἴτε ἐξ ἐμαυτοῦ, εἴτε ἐκ τῶν δαιμόνων νομίζω· σὺ δέ, Πάτερ, τὸ θέλημα τοῦ Θεοῦ δήλωσόν μοι, καὶ ἐνδυνάμωσόν με ταῖς εὐχαῖς σου τοῦ ποιῆσαι ὃ λέγεις, καὶ συγχώρησόν μοι.

Ἀπεκρίθη ὁ γέρων· ἄκουσον, ἀδελφέ, καὶ πληροφορήθητι ἐν Κυρίῳ, ὅτι ὁπότε ἐπετρέψαμέν σοι εἰς τὸ πρᾶγμα τοῦτο εἰσελθεῖν, ἡ χεὶρ ἡμῶν καὶ ἡ καρδία μετὰ σοῦ ἐστι, μᾶλλον δὲ ἡ χεὶρ τοῦ Θεοῦ, τοῦ παρακαλουμένου δι' ἡμῶν διὰ τῆς εὐχῆς ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς σου, καὶ τῆς ἐνδυναμώσεως τῆς εἰς τὸ πρᾶγμα, καὶ τῆς εὐδοκιμήσεως καὶ τῆς σκέπης τῆς ἐν αὐτῷ, καὶ οὐκ ἔνι ἄλλως σωθῆναι ἢ οὕτως. Λοιπὸν μὴ ἀκηδιάσῃς, πίπτων, ἐγειρόμενος, σφαλλόμενος, μεμφόμενος ἑαυτόν, ἕως ἂν ποιήσῃ Κύριος μετὰ σοῦ τὸ ἔλεος ὃ θέλεις.

Πρόσεχε οὖν μὴ ἀμελήσῃς· περὶ δὲ τοῦ περισπασμοῦ, ἀδελφέ, πολλοὶ ἀεὶ ἀκούουσι περὶ πόλεως, καὶ συμβαίνει αὐτοὺς εἰσελθεῖν εἰς αὐτὴν μὴ γινώσκοντες, ὅτι αὕτη ἐστίν. Καὶ σὺ οὖν ὅλην τὴν ἡμέραν εἰς τὴν μνήμην εἶ τοῦ Θεοῦ καὶ οὐ γινώσκεις; Τὸ γὰρ ἔχειν ἐντολὴν καὶ σχολάσαι τοῦ φυλάξαι αὐτήν, καὶ ὑποταγή ἐστι καὶ μνήμη Θεοῦ· καὶ καλῶς εἶπέ σοι ὁ ἀδελφὸς Ἰωάννης, ἔκβαλε πρῶτον τὰ φύλλα, καὶ κελεύσει Θεοῦ ἐκβαλεῖς καὶ τοὺς καρπούς. Μὴ εἰδὼς οὖν τὸ συμφέρον, ἐξακολούθησον τοῖς εἰδόσι, καὶ αὕτη ἐστὶν ἡ ταπείνωσις, καὶ εὑρίσκεις τοῦ Θεοῦ τὴν χάριν.

Γίνωσκε οὖν ὅτι ἔνθεν σοί ἐστιν ἡ σωτηρία· οὐκ ἦν γὰρ ἄνευ τοῦ Θεοῦ ἡ ἔλευσίς σου, ἀλλ' ὁ Θεὸς ὡδήγησέ σε. Ἐνδυναμώθητι ἐν Κυρίῳ· οὐ μικρὸν γὰρ κέρδος καρποῦσαι ἐκ τοῦ περισπασμοῦ, οὗ λέγεις· ἄλλως τε, ἐπειδὴ οὔπω ἤλθομεν εἰς τελειότητα, ἵνα τελείως ἀπαλλαγῶμεν τῆς αἰχμαλωσίας τῶν παθῶν, συμφέρει μᾶλλον ἀδολεσχεῖν εἰς τὸν περισπασμὸν τῆς διακονίας, ἢ γὰρ εἰς τὰ πάθη. Θάρσει οὖν, ὅτι ὁ καταστήσας σε Κύριος εἰς τὸ ἔργον τοῦτο, αὐτὸς οἰκονομήσει, καὶ ἡμεῖς βαστάζομεν μετὰ σοῦ τὴν φροντίδα. Μὴ οὖν διὰ δικαιωμάτων πλανήσῃ σε ὁ διάβολος· φησὶ γάρ· διὰ χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. Ὁ καθιστῶν σε εἰς τὸ πρᾶγμα τοῦτο, αὐτός ἐστι τὸ πᾶν, ὁ εἰπὼν τοῖς μαθηταῖς αὐτοῦ· «ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς»· καὶ πάλιν «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι». Μὴ φοβοῦ, καὶ μηδὲν ἀμελήσῃς ἀφ' ἑαυτοῦ περὶ τοῦ νοσοκομείου, ἀκηδιῶν ἀπὸ τῆς φροντίδος τῆς αὐθεντίας. Ἐὰν γὰρ ἐννοήσῃς ἃ εἶπόν σοι, πρᾶγμα οὐκ ἔχεις, μόνον προσέχειν σεαυτῷ ὀφείλεις κατὰ τὴν δύναμίν σου, καὶ ὁ Θεὸς συναντιλαμβάνεταί σοι, ἐν ᾧ καὶ ἐνδυναμοῦ.

2. Ἕτερος ἀδελφὸς πιστευθεὶς τὴν θύραν τοῦ Κοινοβίου καὶ κάμνων μόνος, ἠρώτησε τὸν αὐτὸν μέγαν γέροντα, εἰ ὀφείλει λαβεῖν ἄλλον ἀδελφὸν μεθ' ἑαυτοῦ ἢ οὔ. Καὶ ἀπεκρίθη ὁ γέρων· ἀδελφέ, εἴ τις θέλει ἐλθεῖν πρὸς τὸν Κύριον καὶ ὁδεύειν τὴν ὁδὸν τῆς σωτηρίας, πειρασμοὺς καὶ θλίψεις καὶ ὀδύνας ὀφείλει προσδοκᾶν καθ' ὥραν· φησὶ γάρ· «υἱέ, ἐὰν προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμούς. Καὶ ὁ Κύριος εἶπεν· «ὁ ἐρχόμενος πρός με, ἀρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν καὶ ἀκολουθείτω μοι». Ὁ θέλων οὖν Αὐτοῦ μαθητὴς γενέσθαι, ἕως θανάτου ὀφείλει ποιῆσαι τὴν ὑπακοήν.

Τὸ εἶναι οὖν μόνον καὶ κοπιᾶν μικρὸν συμφέρει σοι περισσότερον τοῦ ἔχειν ἄλλον· χρείας δὲ γενομένης ἀεὶ παραβοηθεῖ σοι ἄλλος. Οὐχ οὕτως γὰρ πλεονάζει ἡ παρρησία, ἐὰν παραβοηθῇ σοι, ὡς πλεονάζει, ἐάν ἐστε ὁμοῦ πάντοτε. Ἐὰν ἀκηδιάζῃς ἀπὸ τοῦ κόπου, εὑρίσκεις ταπείνωσιν· κἂν εὕρῃς ταπείνωσιν, λαμβάνεις ἄφεσιν ἁμαρτιῶν· φησὶ γάρ· «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Ἐὰν ταπεινωθῇς, λαμβάνεις τὴν χάριν· ἐὰν λάβῃς τὴν χάριν, βοηθεῖ σοι ἡ χάρις· κοπιάσας γὰρ ὁ Ἅγιος Παῦλος περισσότερον πάντων τῶν Ἀποστόλων ἔλεγεν· «οὐ κἀγώ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί». Ἐὰν πιστεύσῃς ἀδιστάκτως, ἔχεις ἐνδυναμωθῆναι καὶ ποιῆσαι οὐ μόνον τὴν χρείαν τοῦ θυρωρείου, ἀλλὰ καὶ ἔτι ἄλλας χρείας. Ἐπ' ἐλπίδι οὖν πρόσεχε τῷ ἔργῳ τοῦ Θεοῦ, καὶ ὡς οὐκ οἶδας οἰκονομεῖ ὁ Θεὸς τὸ πρᾶγμα.

Ἔφη ὁ ἀδελφός· εὖξαι, Πάτερ, σύνεσιν καὶ δύναμιν δοθῆναί μοι παρὰ τοῦ Θεοῦ, ὅτι ἰδιώτης εἰμὶ καὶ ἀσθενής. Ἀπεκρίθη ὁ γέρων· ἀδελφέ, ἐὰν πιστεύσῃς ὅτι ἐκ τῶν ἀγόνων λίθων δύναται ὁ Θεὸς ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, καὶ ὅτι ὁ ἀνοίξας τὸ στόμα τῆς ὄνου δύναται καὶ τὸ σὸν ἀνοῖξαι καὶ σοφίσαι καὶ συνετίσαι καὶ ἐνδυναμῶσαί σε, πάντα δώσει σοι ὁ Θεός. Ἀδελφέ, οὐκ οἶδας τὰ πράγματα; Ἡ θύρα τοῦ Κοινοβίου, θύρα ἐστὶ τοῦ Θεοῦ, καὶ οἶδεν ὁ Θεός, ὅτι χρήζει σοφίας καὶ συνέσεως, γνώσεώς τε καὶ δυνάμεως καὶ βοηθείας καὶ διακρίσεως ὁ δοῦλος αὐτοῦ ὁ θυρωρός. «Οἶδε δὲ γάρ φησιν ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν». Ἐὰν καρτερήσῃς καὶ ὑπομείνῃς, μακαρία ἔσται ἡ ψυχή σου.

Λίαν ἦν ἀσθενὴς ὁ ἀδελφός, ὡς οἶμαι, τῷ σώματι, διόπερ καὶ ἐν τῇ διακονίᾳ, οὐ πάνυ βαρείᾳ οὔσῃ, μόνος ἔκαμνεν· ἀλλ' ὅρα τίνων αὐτῷ πρόξενον τὴν διακονίαν γενήσεσθαι ὁ θεοφόρος Πατὴρ ὑπέσχετο.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Πάτερ —τοῦ λέγει— εὔσπλαχνε, πίπτω εἰς τὰ γόνατά σου, διὰ νὰ ἐνισχυθῶ διὰ τῶν εὐχῶν σας· διότι βλέπω, ὅτι ὅλην τὴν ἡμέραν εὑρίσκομαι εἰς περισπασμὸν καὶ σχεδὸν δὲν εὐκαιρῶ οὔτε τὸ ὄνομα τοῦ Θεοῦ νὰ ἐνθυμηθῶ. Ἂν δὲ κάποτε μοῦ δώσῃ ὁ Θεός, μὲ τὰς εὐχάς σας, μικρὰν λύπην διὰ τὰ σφάλματά μου, ἐγὼ σιγὰ - σιγὰ τὴν χάνω ἐξ αἰτίας τῶν διαφόρων σκέψεων, ποὺ εἰσβάλλουν ἀπ' ἔξω εἰς τὴν ψυχήν μου. Φοβοῦμαι δὲ καὶ διὰ τὴν διοίκησιν τοῦ Νοσοκομείου, ὅτι ἐπειδὴ εἶναι

ἐξουσία, μήπως μὲ παρασύρῃ εἰς ὑπερηφάνειαν καὶ ἐλευθεροστομίαν· τὸ νὰ μεταχειρίζωμαι, ἐπίσης, συνεχῶς ὑλικὰ διαφόρων φαγητῶν, φοβοῦμαι μήπως μὲ παρασύρῃ εἰς γαστριμαργίαν. Ἀντελήφθης, Πάτερ, ὅτι τὰ λέγω αὐτὰ ὄχι διότι ἐβαρέθηκα τὴν διακονίαν μου· διότι τί κάνω, ὁ ταλαίπωρος; Ἀλλὰ φοβοῦμαι, μήπως μὲ τὸ νὰ παραμένω, ἐρεθίζω τὰ πάθη μου, εἴτε ἐξ ὑπαιτιότητός μου, εἴτε, καθὼς νομίζω, ἀπὸ ἐνέργειαν τῶν δαιμόνων. Σὺ λοιπόν, Πάτερ, φανέρωσέ μου τὸ θέλημα τοῦ Θεοῦ καὶ ἐνίσχυσέ με μὲ τὰς εὐχάς σου, ὥστε νὰ ἐκτελέσω ἐκεῖνο ποὺ λέγεις, καὶ συγχώρησέ με.

Εἰς αὐτὰ ἀπήντησεν ὁ Γέρων· ἄκουσε, ἀδελφέ, καὶ ἂς σὲ πληροφορήσῃ ὁ Κύριος, ὅτι ἀπὸ τότε ποὺ σοῦ ἀνεθέσαμεν αὐτὴν τὴν ὑπηρεσίαν, τὸ χέρι μας καὶ ἡ καρδιά μας εἶναι μαζί σου· μᾶλλον δὲ τὸ χέρι τοῦ Θεοῦ εἶναι μαζί σου, τὸν Ὁποῖον παρακαλοῦμεν, μὲ τὴν εὐχήν, διὰ τὴν σωτηρίαν τῆς ψυχῆς σου καὶ τὴν ἐνίσχυσιν εἰς τὴν ὑπηρεσίαν σου, καὶ τὴν προκοπήν σου καὶ τὴν σκέπην σου ἀπὸ Αὐτόν. Δὲν εἶναι δὲ δυνατὸν νὰ σωθῇς μὲ ἄλλον τρόπον, παρὰ μονάχα ἔτσι. Ἀπ' ἐδῶ καὶ ἐμπρὸς μὴ βαρεθῇς· ὁσάκις πίπτεις, νὰ σηκώνεσαι πάλιν, ὁσάκις κάνεις λάθη νὰ κατηγορῇς τὸν ἑαυτόν σου, μέχρις ὅτου σὲ εὐσπλαγχνισθῇ ὁ Κύριος, ὅπως τὸ θέλεις.

Πρόσεχε λοιπόν, μὴ παραμελήσῃς τὸ ἔργον σου. Διὰ δὲ τὸν περισπασμόν, ἀδελφέ, ἔχω νὰ σοῦ εἰπῶ τὰ ἑξῆς· πολλοὶ ἄνθρωποι ἀκούουν πάντοτε διὰ μίαν πόλιν καὶ συμβαίνει, ὅταν εἰσέλθουν εἰς αὐτὴν νὰ μὴ γνωρίζουν, ὅτι εἶναι αὐτή. Καὶ σὺ λοιπὸν ὅλην τὴν ἡμέραν εἶσαι εἰς τὴν ἐνθύμησιν τοῦ Θεοῦ καὶ δὲν τὸ γνωρίζεις; Διότι τὸ νὰ ἔχῃς λάβει μίαν ἐντολὴν καὶ νὰ φροντίζῃς νὰ τὴν φυλάξῃς, αὐτὸ εἶναι καὶ ὑποταγὴ καὶ ἐνθύμησις Θεοῦ. Καὶ καλὰ σοῦ εἶπεν ὁ ἀδελφὸς Ἰωάννης, βγάλε πρῶτα τὰ φύλλα, καὶ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ θὰ βγάλῃς καὶ τοὺς καρπούς. Ἀφοῦ λοιπὸν δὲν γνωρίζεις τὸ πνευματικόν σου συμφέρον, ἀκολούθησε ἐκείνους ποὺ τὸ γνωρίζουν. Καὶ αὐτὴ εἶναι ἡ ταπείνωσις καὶ ἔτσι εὑρίσκεις τὴν χάριν τοῦ Θεοῦ.

Γνώριζε λοιπὸν ὅτι ἀπὸ αὐτὸ ἔρχεται εἰς σὲ ἡ σωτηρία. Διότι δὲν ἦτο δυνατὸς ὁ ἐρχομός σου ἐδῶ, χωρὶς τὸ θέλημα τοῦ Θεοῦ· ὁ Θεὸς σὲ ὡδήγησε. Πάρε δύναμιν μὲ τὴν βοήθειαν τοῦ Κυρίου. Διότι δὲν εἶναι καὶ μικρὸν τὸ κέρδος, τὸ ὁποῖον κερδίζεις ἀπὸ τὸν περισπασμὸν τὸν ὁποῖον λέγεις. Ἄλλωστε, ἐπειδὴ ἀκόμη δὲν ἐφθάσαμεν εἰς τελειότητα, ὥστε νὰ ἐλευθερωθῶμεν τελείως ἀπὸ τὴν αἰχμαλωσίαν τῶν παθῶν, μᾶλλον συμφέρει νὰ πολυλογῶμεν εἰς τὸν περισπασμὸν τῆς ὑπηρεσίας, παρὰ εἰς τὰ πάθη. Ἔχε λοιπὸν θάρρος, διότι ὁ Κύριος, ποὺ σὲ ἐτοποθέτησεν εἰς αὐτὴν τὴν ἐργασίαν, Αὐτὸς θὰ σὲ κυβερνήσῃ καὶ ἡμεῖς θὰ σηκώσωμεν μαζί σου τὴν φροντίδα.

Μὴ σὲ ἀποπλανήσῃ λοιπὸν ὁ διάβολος διὰ τῶν θελημάτων σου· διότι λέγει(ἡ Γραφή)· «μὲ τὴν χρηστολογίαν ἐξαπατοῦν τὰς καρδίας τῶν ἀκάκων» (Παροιμ. ιδ', 15). Αὐτὸς ποὺ σὲ ἐγκατέστησεν εἰς αὐτὴν τὴν

ἐργασίαν, εἶναι τὸ πᾶν· εἶναι Ἐκεῖνος ποὺ εἶπεν εἰς τοὺς Μαθητάς Του· «ἰδοὺ ἐγὼ σᾶς ἀποστέλλω» (Ματθ. ι', 16)· καὶ «ἰδοὺ ἐγὼ εἶμαι μαζί σας» (Ματθ. κη', 20). Μὴ φοβᾶσαι καὶ τίποτε νὰ μὴ παραμελήσῃς ἀπὸ ὅσα ἐξαρτῶνται ἀπὸ ἐσὲ διὰ τὸ Νοσοκομεῖον, λόγῳ κοπώσεως ἀπὸ τὴν φροντίδα τῆς ἐξουσίας. Διότι ἂν ἐννοήσῃς αὐτὸ ποὺ σοῦ εἶπα, δὲν θὰ ἔχῃς εὐθύνην. Νὰ προσέχῃς μονάχα τὸν ἑαυτόν σου ὅσον ἠμπορεῖς καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσῃ, μὲ τὴν χάριν τοῦ Ὁποίου καὶ θὰ ἐνισχυθῇς.

2. Ἕνας ἄλλος ἀδελφὸς ἀνέλαβεν ὑπηρεσίαν θυρωροῦ τοῦ Κοινοβίου. Καὶ ἐπειδὴ ἐκουράζετο μόνος, ἠρώτησε τὸν ἴδιον μεγάλον Γέροντα ἂν ἐπιτρέπεται νὰ πάρῃ κοντά του ἄλλον ἀδελφὸν ἢ ὄχι. Καὶ ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ἀδελφέ, ἂν θέλῃ κάποιος νὰ ἔλθῃ πρὸς τὸν Κύριον καὶ νὰ βαδίσῃ τὸν δρόμον τῆς σωτηρίας, πρέπει νὰ περιμένῃ πειρασμοὺς καὶ θλίψεις καὶ πόνους κάθε ὥραν. Διότι λέγει ἡ Ἁγία Γραφή· «υἱέ, ἂν ἦλθες διὰ νὰ δουλεύῃς εἰς τὸν Κύριον, ἑτοίμασε τὴν ψυχήν σου νὰ ἀντιμετωπίσῃ πειρασμούς» (Σειρὰχ β', 1). Ὁ δὲ Κύριος εἶπε· «αὐτός, ποὺ ἔρχεται κοντά μου, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του, καὶ ἂς σηκώσῃ τὸν σταυρὸν αὐτοῦ καθημερινὰ καὶ ἂς μὲ ἀκολουθῇ» (Λουκ. θ', 23). Ἐκεῖνος λοιπόν, ποὺ θέλει νὰ γίνῃ μαθητής Του, ἔχει ὑποχρέωσιν νὰ κάνῃ ὑπακοὴν μέχρι θανάτου.

Τὸ νὰ εἶσαι λοιπὸν μόνος καὶ νὰ κοπιάζῃς ὀλίγον, σὲ συμφέρει περισσότερον ἀπὸ τὸ νὰ ἔχῃς ἄλλον· ὅταν εἶναι ἀνάγκη πάντοτε σὲ βοηθεῖ ἄλλος. Διότι ἔτσι, ὅταν σὲ βοηθῇ πότε-πότε ἄλλος, δὲν ἀναπτύσσεται ἡ παρρησία τόσον, ὅσον ὅταν εἶσθε πάντοτε μαζί.

Ἐὰν θὰ βαρεθῇς ἀπὸ τὸν κόπον, εὑρίσκεις ταπείνωσιν· καὶ ἂν εὕρῃς ταπείνωσιν, λαμβάνεις συγχώρησιν διὰ τὰς ἁμαρτίας σου. Διότι λέγει ἡ Ἁγία Γραφή· «πρόσεξε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ συγχώρησε ὅλας τὰς ἁμαρτίας μου» (Ψαλμ. κδ', 18). Ἐφ' ὅσον ταπεινωθῇς, λαμβάνεις χάριν· ἐὰν λάβῃς τὴν χάριν, ἡ χάρις σὲ βοηθεῖ. Διότι μόνον ἀφοῦ ἐκοπίασεν ὁ Ἅγιος Παῦλος περισσότερον ἀπὸ ὅλους τοὺς Ἀποστόλους ἔλεγεν· «ὄχι ἐγώ, ἀλλὰ ἡ χάρις, ἡ ὁποία εὑρίσκεται μαζί μου» (Α' Κορ. ιε', 10). Ἐὰν θὰ πιστεύῃς ἀδίστακτα, θὰ ἠμπορέσῃς νὰ ἐνδυναμωθῇς καὶ νὰ κάμῃς ὄχι μονάχα τὴν ὑπηρεσίαν τοῦ θυρωροῦ, ἀλλὰ καὶ ἄλλας ἀκόμη ὑπηρεσίας. Πρόσεχε, λοιπόν, εἰς τὸ ἔργον τοῦ Θεοῦ ἐνισχυόμενος ἀπὸ τὴν πρὸς Αὐτὸν ἐλπίδα καὶ διότι δὲν ἠξεύρεις πῶς θὰ τὰ οἰκονομήσῃ ὁ Θεός.

Εἶπε, πάλιν, ὁ ἀδελφός:

— Εὐχήσου, Πάτερ, νὰ μοῦ δώσῃ ὁ Θεὸς φρόνησιν καὶ δύναμιν, διότι εἶμαι ἀμαθὴς καὶ ἀσθενής.

Εἰς αὐτὸ ὁ Γέρων ἀπήντησεν:

— Ἐὰν πιστεύῃς, ἀδελφέ, ὅτι ὁ Θεὸς ἠμπορεῖ ἀπὸ ἀγόνους λίθους νὰ δώσῃ παιδιὰ εἰς τὸν Ἀβραάμ (Ματθ. γ', 9), καὶ ὅτι Αὐτός,

ποὺ ἔδωσεν ἀνθρωπίνην λαλιὰν εἰς τὸ στόμα τῆς ὄνου* ἠμπορεῖ καὶ τὸ ἰδικόν σου στόμα νὰ πλουτίσῃ μὲ λόγον, νὰ σοῦ δώσῃ δύναμιν, νὰ σὲ συνετίσῃ καὶ νὰ σὲ κάμῃ σοφόν, τότε νὰ εἶσαι βέβαιος, ὅτι ὁ Θεὸς θὰ σοῦ τὰ χαρίσῃ ὅλα. Ἀδελφέ, δὲν γνωρίζεις τὰ πράγματα; Ἡ ἐξώπορτα τοῦ Κοινοβίου εἶναι θύρα τοῦ Θεοῦ καὶ γνωρίζει ὁ Θεὸς ὅτι ὁ δοῦλος Του ὁ θυρωρὸς ἔχει ἀνάγκην ἀπὸ σοφίαν καὶ σύνεσιν, ἀπὸ γνῶσιν καὶ δύναμιν, ἀπὸ βοήθειαν καὶ διάκρισιν. «Διότι γνωρίζει —καθὼς λέγει ἡ Ἁγία Γραφὴ— ὁ ἐπουράνιος Πατέρας μας ἀπὸ ποῖα πράγματα ἔχομεν ἀνάγκην, πρὶν νὰ τὰ ζητήσωμεν ἡμεῖς ἀπὸ Αὐτὸν» (Ματθ. στ΄, 8). Ἂν θὰ φανῇς καρτερικὸς καὶ θὰ κάνῃς ὑπομονήν, θὰ εἶναι μακαρία ἡ ψυχή σου.

Καθὼς ἀντιλαμβάνομαι, ὁ ἀδελφὸς ἦτο πάρα πολὺ ἀσθενικὸς εἰς τὸ σῶμα καὶ δι᾽ αὐτὸ καὶ εἰς τὴν ὑπηρεσίαν τοῦ θυρωροῦ, ἂν καὶ δὲν ἦτο πολὺ βαρειά, ἐκουράζετο μόνος· πρόσεξε ὅμως διὰ πόσα ἀγαθὰ τοῦ ὑπεσχέθη ὁ θεοφόρος Πατήρ, ὅτι θὰ τοῦ γίνῃ πρόξενος ἡ ὑπηρεσία αὐτή.

Γ΄. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΟΝΑΧΕ, ἐξῆλθες ἐκ τοῦ κελλίου σου πρὸς διακονίαν; τήρει τὰς αἰσθήσεις σεαυτῷ μὴ φέρων πολέμους καὶ ταραχὰς διαλογισμῶν. Φρόνιμος Μοναχός, ἀποστελλόμενος εἰς διακονίαν, τὴν ἑαυτοῦ ψυχὴν θήσει περὶ τῆς εἰρήνης, ἤτοι μὴ φέρων μετὰ τὸ ὑποστρέψαι λόγους ταραχώδεις· ὁ δὲ ἄφρων καὶ ἀπαίδευτος παρασκευάζει μάχας.

2. Θυρωρὸς σοφὸς οἶδεν ἀποκριθῆναι πτωχῷ καὶ ὀλιγοψυχοῦντι ἐν ἱλαρότητι, ὁ δὲ ἄφρων καὶ ἄσοφος ὑπερήφανος ἔσται. Ναί, ἀδελφέ, οὐδὲν παρέχομεν ἴσως, κἂν λόγον ἀγαθὸν δώσωμεν, σκοποῦντες μὴ καὶ ἡμεῖς τοῖς αὐτοῖς περιπέσω-

---

* Ἡ ὄνος τῆς ὁποίας τὸ στόμα ἤνοιξεν ὁ Θεός, ἦτο ἡ ὄνος τοῦ Βαλαάμ, ὅστις ἦτο Μάντις (προφήτης), υἱὸς τοῦ Βεὼρ ἐκ τῆς πόλεως Φαθουρὰ τῆς Μεσοποταμίας. Τὸν Βαλαὰμ ἔστειλεν ὁ Βαλάκ, βασιλεὺς τῶν Μωαβιτῶν, ἵνα καταρασθῇ τοὺς Ἑβραίους, ὅταν εἶδε τὸ πλῆθος αὐτῶν καὶ ἐφοβήθη ὅτι θὰ τὸν ὑποτάξωσιν. Ὁ Βαλαὰμ κατ᾽ ἀρχὰς ἠρνήθη, ἂν καὶ ἦτο πλεονέκτης καὶ φιλάργυρος, φοβούμενος τὴν ἐντολὴν τοῦ Θεοῦ, ὁ ὁποῖος ἀπηγόρευσεν εἰς αὐτὸν νὰ ἐκτελέσῃ τὴν διαταγὴν τοῦ Βαλάκ. Τέλος λαβὼν πολλὰ χρήματα ὁ Βαλαὰμ ὑπεχώρησε καὶ ἵππευσε μίαν ὄνον καὶ ἐπορεύετο διὰ νὰ καταρασθῇ τοὺς Ἑβραίους. Ὁ Θεὸς ὅμως ἀπέστειλεν Ἄγγελον, ὁ ὁποῖος ἠμπόδιζε τὴν ὄνον νὰ προχωρήσῃ. Ὁ Βαλαὰμ τὴν ἐκτύπησεν ἐπανειλημμένως μὲ τὴν ράβδον του, ἀλλὰ δὲν κατώρθωσε τίποτε. Τότε ἡ ὄνος ἤνοιξε τὸ στόμα της καὶ ἠρώτησε τὸν Βαλαάμ: τί σοῦ ἔκαμα καὶ μὲ ἐκτύπησες τρεῖς φορὰς ἕως τώρα; Τότε ἤνοιξεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς Βαλαάμ, ὁ ὁποῖος εἶδε τὸν Ἄγγελον μὲ ρομφαίαν εἰς τὴν χεῖρα, ἐμποδίζοντα τὴν ὄνον νὰ προχωρήσῃ καὶ ἀναγνωρίσας τὸ σφάλμα του ἐζήτησε συγχώρησιν ἀπὸ τὸν Θεόν, ἀντὶ δὲ νὰ καταρασθῇ τὸν Ἰσραήλ, τοὐναντίον ηὐλόγησεν αὐτὸν τρεῖς φορὰς (Ἀριθμοί, κεφ. ΚΒ΄).

μεν· ἐν πᾶσι γάρ, φησι, τοῖς ἔργοις σου τὰ ἔσχατά σου μιμνήσκου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

3. Θυρωρὸς ὀκνηρὸς πολλὰ ζημιωθήσεται, ὁ δὲ ζέων τῷ πνεύματι περιποιεῖται ἑαυτῷ στέφανον. Θυρωρὸς πιστός, μετὰ Θεὸν φύλαξ ψυχῶν· ὁ δὲ ἄπιστος καὶ τὴν ἑαυτοῦ ψυχὴν προσθήσει. Ὁ γὰρ τοῖς ἐμπαθέσι λάθρᾳ ἀνοίγων, ἄπιστός ἐστι, διὸ καὶ σὺν ἐκείνοις καὶ τὴν ἑαυτοῦ ψυχὴν προσθήσει εἰς ἀπώλειαν. Σκολιάζοντι Μοναχῷ οὐκ ἀρέσει πιστὸς θυρωρός. Ὁ διώκων τὸ δίκαιον οὐ σκανδαλίσει τὸν πλησίον. Ἀδελφέ, ἐὰν προχειρισθῇς μεσάζειν τι ἤγουν ἐν τῷ μέσῳ διακονεῖν, μὴ ἀμέλει τῆς σεαυτοῦ σωτηρίας, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ὅτι καὶ ὁ Ἰωσὴφ ἐμέσαζε πράγματος ἐν Αἰγύπτῳ, καὶ οὐ μόνον μιᾶς οἰκίας ἀνεδέξατο φροντίδα, ἀλλὰ καὶ πάσης γῆς Αἰγύπτου, καὶ οὐκ ἐξέκλινεν ἐξ ὁδοῦ ἀληθείας καὶ ὁ Κύριος ἐδόξασεν αὐτόν.

Ἑρμηνεία

ΜΟΝΑΧΕ, ἐβγῆκες ἀπὸ τὸ κελλί σου δι' ὑπηρεσίαν; Νὰ φρουρῇς ἄγρυπνα τὰς αἰσθήσεις σου, μὴ τυχὸν μεταφέρῃς, δι' αὐτῶν, εἰς τὴν ψυχήν σου πολέμους καὶ ταραχὴν εἰς τοὺς λογισμούς σου. Ὁ φρόνιμος Μοναχός, ὅταν ἀποστέλλεται εἰς ὑπηρεσίαν, θὰ διαθέσῃ τὴν ψυχήν του διὰ τὴν τήρησιν τῆς εἰρήνης· δηλαδή. ὅταν ἐπιστρέψῃ δὲν θὰ μεταφέρῃ λόγους ποὺ προξενοῦν ταραχάς· ἐνῷ ὁ ἀπερίσκεπτος καὶ ἀμόρφωτος παρασκευάζει πειρασμούς.

2. Ὁ σοφὸς θυρωρὸς γνωρίζει νὰ ἀπαντᾷ εἰς τὸν πτωχὸν καὶ εἰς τὸν ὀλιγόψυχον μὲ καλωσύνην, ἐνῷ ὁ ἀπερίσκεπτος θὰ εἶναι πάντοτε καὶ ἄσοφος καὶ ὑπερήφανος. Ναί, ἀδελφέ, ἴσως τίποτε νὰ μὴ ἔχωμεν νὰ δώσωμεν· ἄς προσφέρωμεν ὅμως ἕνα καλὸν λόγον, σκεπτόμενοι μήπως πέσωμεν καὶ ἡμεῖς εἰς τὰ ἴδια. «Εἰς ὅλας σου τὰ ἔργα —λέγει— νὰ ἐνθυμῆσαι τὰ τελευταῖα σου, καὶ τότε δὲν θὰ ἁμαρτήσῃς ποτὲ» (Σειρὰχ ζ', 36).

3. Ὁ ὀκνηρὸς θυρωρὸς θὰ ζημιωθῇ πάρα πολύ, ἐνῷ ὁ δραστήριος καὶ ἐργατικὸς προετοιμάζει διὰ τὸν ἑαυτόν του στέφανον. Ὁ πιστὸς θυρωρὸς εἶναι, μετὰ τὸν Θεόν, φύλαξ ψυχῶν· ἐνῷ ὁ ἄπιστος καὶ τὴν ψυχήν του θὰ χάσῃ. Διότι ἐκεῖνος, ποὺ ἀνοίγει κρυφὰ τὴν θύραν εἰς τοὺς ἐμπαθεῖς, εἶναι ἄπιστος, δι' αὐτὸ καὶ θὰ χάσῃ τὴν ψυχήν του μαζὶ μὲ αὐτούς. Εἰς τὸν Μοναχόν, ποὺ δὲν βαδίζει τὸν ὀρθὸν δρόμον, δὲν ἀρέσει ὁ πιστὸς θυρωρός. Ἐκεῖνος, ποὺ ἐπιδιώκει τὴν δικαιοσύνην, δὲν θὰ σκανδαλίσῃ τὸν πλησίον.

Ἀδελφὲ ἐὰν ὁρισθῇς, μαζὶ μὲ ἄλλον, εἰς κοινὴν ὑπηρεσίαν, νὰ μὴ ἀδιαφορῇς διὰ τὴν σωτηρίαν σου, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις (Ψαλμ. ρμ', 4), διὰ νὰ δικαιολογηθῇς. Διότι καὶ ὁ Ἰωσὴφ ὑπηρέτει εἰς τὴν Αἴγυπτον καὶ ὄχι μονάχα τὴν φροντίδα μιᾶς οἰκίας ἀνέ-

λαβεν, ἀλλὰ καὶ ὁλοκλήρου τῆς Αἰγύπτου καὶ ὅμως δὲν ἐξέφυγεν ἀπὸ τὸν ἀληθινὸν δρόμον καὶ ὁ Κύριος τὸν ἐδόξασεν*.

Δ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΤΟ ΟΡΝΕΟΝ ἐκπετασθὲν ἐκ τῆς καλιᾶς αὐτοῦ διὰ τὴν χρείαν τῆς τροφῆς, πάλιν πρὸς αὐτὴν ἀεὶ ἐκ παντὸς τόπου τρέχει τοῦ ποιῆσαι ἐν αὐτῇ τέκνα. Οὕτω καὶ ὁ Μοναχός, κἂν ποτε ἐκ τοῦ σκηνώματος αὐτοῦ ἐξέλθῃ δι' ἀνάγκην τινὰ κατεπείγουσαν, ὀφείλει πρὸς τὴν ἐπάνοδον ἀεὶ τὸν σκοπὸν ἔχειν καὶ ταχύνειν ὡς δυνατὸν τοῦ ὑποστρέψαι εἰς τὸ ἑαυτοῦ σκήνωμα, ἐν ᾧ διὰ τῆς ἑαυτοῦ σπουδῆς καὶ τῆς τοῦ Θεοῦ χάριτος ὁ καρπὸς τῆς ζωῆς γεννᾶται αὐτῷ.

Ἑ ρ μ η ν ε ί α

ΤΟ ΠΤΗΝΟΝ ἀφοῦ πετάξῃ ἀπὸ τὴν φωλεάν του, διὰ τὴν ἀνάγκην τῆς τροφῆς, ἐπανέρχεται καὶ πάλιν πάντοτε πρὸς αὐτήν, διὰ νὰ γεννήσῃ εἰς αὐτὴν τοὺς νεοσσούς του. Ἔτσι καὶ ὁ Μοναχός· καὶ ἐὰν χρειασθῇ κάποτε, διὰ κάποιαν ἀπαραίτητον ἀνάγκην, νὰ ἐξέλθῃ ἀπὸ τὸ κελλί του, ὀφείλει πάντοτε νὰ σκέπτεται τὴν ἐπιστροφήν του καὶ νὰ κάνῃ ὅσον ἠμπορεῖ γρήγορα, διὰ νὰ ἐπιστρέψῃ εἰς τὸ κελλὶ αὐτό, εἰς τὸ ὁποῖον μὲ τὴν προσπάθειάν του καὶ τὴν χάριν τοῦ Θεοῦ γεννᾶται ὁ καρπὸς τῆς αἰωνίου ζωῆς.

---

* Τὰ ἐνταῦθα λεγόμενα ἀναφέρονται εἰς τὸν Ἰωσήφ, τὸν υἱὸν τοῦ Ἰακὼβ ἐκ τῆς Ραχήλ, τὸν ὁποῖον οἱ ἀδελφοί του ἐκ φθόνου ἐπώλησαν ὡς δοῦλον εἰς ἐμπόρους Ἰσμαηλίτας. Οὗτος ὡδηγήθη ὑπ' αὐτῶν εἰς Αἴγυπτον καὶ ἐπωλήθη εἰς τὸν Πετεφρῆν, ὁ ὁποῖος ὅταν εἶδεν ὅτι ὁ Κύριος ἦτο μετ' αὐτοῦ καὶ ὅτι ἐκεῖνο τὸ ὁποῖον ἐποίει ὁ Ἰωσὴφ εὐωδοῦτο μὲ τὴν εὐλογίαν τοῦ Θεοῦ, κατέστησεν αὐτὸν διαχειριστὴν τοῦ οἴκου του καὶ τῆς περιουσίας του καὶ τίποτε δὲν ἐγνώριζεν, ὅπως λέγει ἡ Γραφή, ὁ Πετεφρῆς παρὰ μόνον τὸ ἄρτον, τὸν ὁποῖον ἔτρωγεν. Οὕτως ὁ Ἰωσὴφ ἀνεδέξατο τὴν φροντίδα μιᾶς οἰκίας (τοῦ Πετεφρῆ), χωρὶς τοῦτο νὰ τὸν ἐμποδίσῃ εἰς τὸ νὰ φυλάξῃ τὸν νόμον τοῦ Θεοῦ. (Γεν. κεφ. λθ' 1—6). Διὰ τοῦτο καὶ ὅταν μετὰ ταῦτα, συκοφαντηθεὶς ὑπὸ τῆς γυναικὸς τοῦ Πετεφρῆ, ἐρρίφθη εἰς τὴν φυλακήν, ὅπου παρέμεινεν ἐπὶ δύο ἔτη, κατ' οἰκονομίαν Θεοῦ κληθεὶς ἐξήγησε τὰ ὄνειρα τοῦ Φαραώ· εἰς ἀπόδειξιν δὲ τῆς εὐγνωμοσύνης του ὁ Φαραὼ κατέστησε τὸν Ἰωσὴφ ἄρχοντα «ἐπὶ πάσης γῆς Αἰγύπτου». (Γεν. κεφ. μα').

ΥΠΟΘΕΣΙΣ Θ΄

Πότε καὶ παρὰ τίσιν ἡ διακονία προτιμητέα τῆς προσευχῆς.

Πότε καὶ ἀπὸ ποίους πρέπει νὰ προτιμᾶται ἡ ὑπηρεσία ἀπὸ τὴν προσευχήν.

Α΄. Τοῦ Ἀββᾶ Μάρκου

ΚΥΡΙΟΣ ἡμῶν, εἰδὼς ὅτι πάντα διὰ προσευχῆς ὠχύρωται, φησί· «μὴ μεριμνήσητε τί φάγητε ἢ τί πίητε ἢ τί ἐνδύσησθε, ἀλλὰ ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Τάχα δὲ καὶ εἰς μείζονα πίστιν διὰ τούτων ἡμᾶς προσκαλεῖται ὁ Κύριος· τίς γὰρ τὴν ὑπὲρ τῶν προσκαίρων μέριμναν ἀποβαλὼν καὶ ἀνενδεὴς γενόμενος, μὴ πιστεύσῃ λοιπὸν αὐτῷ καὶ περὶ τῶν αἰωνίων ἀγαθῶν; ὃ καὶ φανεροποιῶν ἔλεγεν· «ὁ ἐν μικρῷ πιστὸς καὶ ἐν μεγάλῳ πιστός ἐστιν». Ὅμως καὶ ἐν τούτῳ ἡμᾶς ἐφιλανθρωπεύσατο· εἰδὼς γὰρ ἀπαραίτητον οὖσαν τὴν ἐφήμερον τῆς σαρκὸς ἐπιμέλειαν, οὐ περιέκοψε τὴν καθημερινὴν φροντίδα, ἀλλὰ παραχωρήσας ἡμῖν τὴν σήμερον, περὶ τῆς αὔριον μὴ μεριμνᾶν παρακελεύεται πάνυ θεοπρεπῶς. Καὶ γὰρ οὐκ ἔστι δυνατὸν σάρκα φοροῦντας καὶ ἀνθρώπους τυγχάνοντας τὰ τῆς σωματικῆς χρείας καθόλου παραλογίσασθαι.

Συσταλῆναι μὲν γὰρ πολλὰ εἰς ὀλίγα διὰ προσευχῆς καὶ ἐγκρατείας ἐνδέχεται, παντελῶς δὲ παροραθῆναι ἀδύνατον. Διό περ ὁ βουλόμενος εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ καταντῆσαι, κατὰ τὴν γραφήν, οὐκ ὀφείλει προκρίνειν τῆς προσευχῆς πάσας τὰς διακονίας ἢ ἐκτὸς ἀνάγκης ταύτας ἐπισπᾶσθαι ὡς ἔτυχεν. Ἀπαντώσας δὲ κατά τινα ἀνάγκην καὶ οἰκονομίαν Θεοῦ μὴ παρωθεῖν καὶ ἀποβάλλειν, προφάσει προσευχῆς, ἀλλὰ καὶ τὴν διαφορὰν ἐπιγινώσκειν καὶ τῇ οἰκονομίᾳ τοῦ Θεοῦ δουλεύειν ἀδογματίστως. Ὁ γὰρ μὴ οὕτω φρονῶν, οὔτε κατὰ τὴν Γραφὴν ἐντολὴν ἐντολῆς διαφορωτέραν καὶ περιεκτικὴν εἶναι πιστεύει, οὔτε κατὰ τὸν Προφήτην πρὸς πάσας τὰς ἐντολὰς κατορθοῦσθαι οἰκονομικῶς ἀπαντώσας βούλεται.

Τὰς μὲν οὖν ἀναγκαίας διακονίας καὶ οἰκονομικῶς ἀπαντώσας ἀπαραιτήτως χρὴ δέχεσθαι, τὰς δὲ ἀκαίρους ἀσχολίας παραιτεῖσθαι, προτιμῶντας τὴν προσευχήν, μάλιστα τὰς εἰς πολυτέλειαν καὶ πλεονεξίαν χρημάτων ἡμᾶς κατασπώ-

σας. Ὅσον γὰρ ἄν τις ἐν Κυρίῳ συστείλῃ ταύτας καὶ τὰς περὶ τὰς ὕλας αὐτῶν περικόψῃ, τοσοῦτον καὶ τὴν ἔννοιαν ἀπὸ ρεμβασμῶν συστέλλει. Καὶ ὅσον ἂν συστείλῃ τὴν ἔννοιαν, τοσοῦτον τῇ καθαρᾷ προσευχῇ δίδωσι τόπον καὶ τὴν εἰς Χριστὸν πίστιν ἐπιδείκνυσιν. Εἰ δέ τις δι' ὀλιγοπιστίαν ἢ δι' ἑτέραν τινὰ ἀσθένειαν τοῦτο ποιεῖν οὐ δύναται, κἂν τὴν ἀλήθειαν ἐπιγινωσκέτω καὶ κατὰ δύναμιν ἐπεκτεινέσθω, τὴν ἑαυτοῦ νηπιότητα αἰτιώμενος. Κρεῖσσον γὰρ ἐλλείψεως δοῦναι λόγον, καὶ μὴ πλάνης καὶ οἰήσεως.

Πλὴν ἐπὶ πᾶσι τοῖς εἰρημένοις, πολλῆς ἡμῖν παρὰ Θεοῦ διακρίσεως δεῖ, τοῦ γνῶναι πότε καὶ ποίαν ἀσχολίαν προκρίνειν τῆς προσευχῆς ὀφείλομεν, ἐπειδὴ ἕκαστος πρὸς τὴν ἠγαπημένην αὐτῷ χρείαν ἀσχολούμενος, ὀφειλομένην διακονίαν ἐκτελεῖν δοκεῖ, ἀγνοῶν ὅτι πρὸς εὐαρέστησιν Θεοῦ μᾶλλον ἢ ἑαυτοῦ τὰ πράγματα κρίνειν ὀφείλει. Τὸ δὲ ἔτι τούτου δυσδιάκριτον, ὅτι καὶ αὐταὶ αἱ ἀναγκαῖαι ἐντολαὶ οὐ πάντοτε, οὐδὲ αἱ αὐταί, ἀλλ' ἑτέρα τῆς ἑτέρας ἐν ἰδίῳ καιρῷ προτιμᾶσθαι ὀφείλει, ἐπειδὴ οὐ πᾶσα μὲν διακονία πάντοτε ἀλλ' ἐν ἰδίῳ καιρῷ ἐπιτελεῖται, τῆς δὲ προσευχῆς ἀδιάλειπτος ἡ λειτουργία νενομοθέτηται. Τούτου χάριν τῶν ἐκτὸς ἀνάγκης ἀσχολιῶν προκρίνειν αὐτὴν ὀφείλομεν.

Ταύτην τὴν διαφορὰν πάντες οἱ Ἀπόστολοι διδάσκοντες, τὸ πλῆθος περισπᾶν αὐτοὺς εἰς διακονίαν βουλόμενον ἔλεγον· «οὐκ ἀρεστόν ἐστι, καταλείψαντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις· ἐπισκέψασθε οὖν ἐξ ὑμῶν αὐτῶν ἄνδρας μαρτυρουμένους ἑπτά, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης, ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου καὶ τῇ προσευχῇ προσκαρτερήσομεν· καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους». Τί δὲ διὰ τούτων μανθάνομεν; Ὅτι τοῖς μηδέπω τῇ προσευχῇ δυναμένοις προσκαρτερεῖν καλὸν τὸ ἐγκεῖσθαι τῇ διακονίᾳ, ἵνα μὴ τῶν ἀμφοτέρων ἐκπέσωμεν· τοῖς δὲ δυναμένοις κρεῖσσον τὸ μὴ ἀμελεῖν τοῦ βελτίονος.

Ἑρμηνεία

Ο ΚΥΡΙΟΣ μας, ἐπειδὴ γνωρίζει, ὅτι ὅλα στερεώνονται μὲ τὴν προσευχήν, λέγει· «νὰ μὴ σᾶς καταλάβῃ ἡ ἀνήσυχος μέριμνα τί θὰ φάγετε, ἢ τί θὰ πίητε, ἢ τί θὰ ἐνδυθῆτε· ἀλλὰ πρῶτα νὰ ζητεῖτε τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν εἰς σᾶς» (Ματθ. στ΄, 30—33). Ἀσφαλῶς μὲ αὐτὰ τὰ λόγια μᾶς καλεῖ ὁ Κύριος εἰς μεγαλυτέραν πίστιν. Διότι ποῖος, ἀφοῦ κατορθώσῃ νὰ ἀποβάλῃ τὴν ἀνήσυχον μέριμναν διὰ τὰ πρόσκαιρα καὶ ἐλευθερωθῇ ἀπὸ κάθε ἀνάγκην, δὲν θὰ δώσῃ πλέον ὁλόκληρον τὴν πίστιν του εἰς Αὐτὸν καὶ διὰ τὰ αἰώνια ἀγαθά; Αὐτὴν τὴν ἀλήθειαν ἐπεξηγῶν ἔλεγεν· «ἐκεῖνος, ποὺ θὰ δείξῃ πίστιν εἰς τὰ μικρὰ ζητήματα, θὰ δείξῃ καὶ εἰς τὰ μεγάλα». Ὅμως ὁ Κύριος καὶ εἰς αὐτὸ ἔδειξε τὴν φιλανθρωπίαν Του· ἐπειδὴ γνωρίζει, δηλαδή, ὅτι εἶναι ἀπαραίτητος ἡ καθημερινὴ φροντίδα διὰ τὴν σάρκα, δὲν τὴν ἀπηγόρευσε, ἀλλὰ μᾶς ὑπέδειξε νὰ ἀσχολούμεθα μόνον μὲ τὴν σημερινὴν ἡμέραν, ἐνῷ μᾶς παραγγέλλει νὰ μὴ φροντίζωμεν διὰ τὴν αὐριανήν, ὅπως ἁρμόζει εἰς φιλόθεον ψυχήν. Διότι δὲν εἶναι δυνατόν, ἐφ' ὅσον εἴμεθα ἄνθρω-

ποι καὶ φοροῦμεν σάρκα, νὰ παραβλέψωμεν τελείως τὰς σωματικάς μας ἀνάγκας.

Τὸ νὰ περιορίσωμεν τὰ πολλὰ εἰς τὰ ἀπολύτως ἀναγκαῖα, μὲ προσευχὴν καὶ ἐγκράτειαν, εἶναι δυνατόν· τὸ νὰ τὰ παραβλέψωμεν ὅμως τελείως εἶναι ἀδύνατον. Δι' αὐτὸ ἀκριβῶς ἐκεῖνος ποὺ ἐπιθυμεῖ νὰ φθάση εἰς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ καὶ νὰ γίνῃ τέλειος ἄνδρας (Ἐφεσ. δ', 13), σύμφωνα μὲ τὴν Ἁγίαν Γραφήν, δὲν πρέπει νὰ προτιμᾷ τὰς διαφόρους ὑπηρεσίας ἀπὸ τὴν προσευχήν, ἀλλὰ οὔτε καὶ χωρὶς ἀνάγκην νὰ ἀναλαμβάνῃ αὐτάς. Ὅταν ὅμως, κατ' ἀνάγκην καὶ κατ' οἰκονομίαν Θεοῦ μᾶς παρουσιάζωνται, νὰ μὴ τὰς ἀπομακρύνωμεν καὶ τὰς ἀπορρίπτωμεν, μὲ τὴν πρόφασιν τάχα τῆς προσευχῆς· ἀλλὰ καὶ τὴν διαφορὰν μεταξὺ προσευχῆς καὶ ὑπηρεσίας, ποὺ παρουσιάζεται κατὰ τὴν δεδομένην στιγμήν, νὰ διακρίνωμεν καλά. καὶ τὴν οἰκονομίαν τοῦ Θεοῦ νὰ ὑπηρετῶμεν ἀπροφασίστως. Διότι ἐκεῖνος, ποὺ δὲν παραδέχεται ἔτσι, οὔτε συμφωνεῖ μὲ τὴν Ἁγίαν Γραφήν. ὅτι ἡ μία ἐντολὴ εἶναι μὲν διαφορετικὴ ἀπὸ τὴν ἄλλην, ἀλλὰ ὅλαι ἀλληλοπεριέχονται, αὐτὸς οὔτε καὶ θέλει, σύμφωνα μὲ τὸν Προφήτην, νὰ συμμορφώνεται πρὸς ὅλας τὰς ἐντολάς, ὅταν τὰς συναντᾷ κατ' οἰκονομίαν Θεοῦ (Ψαλμ. ριη', 128).

Τὰς ἀπαραιτήτους λοιπὸν ὑπηρεσίας, ποὺ μᾶς ἐπιβάλλονται κατ' οἰκονομίαν Θεοῦ, πρέπει ὁπωσδήποτε νὰ τὰς δεχώμεθα· νὰ ἀφίνωμεν ὅμως τὰς ἀσκόπους ἀπασχολήσεις, διὰ νὰ προτιμῶμεν τὴν προσευχήν, ὅταν μάλιστα μᾶς παρασύρουν εἰς τὴν πολυτέλειαν καὶ εἰς τὴν πλεονεξίαν χρημάτων. Διότι ὅσον περισσότερον ἠμπορέσῃ κανεὶς νὰ περιορίσῃ. μὲ τὴν δύναμιν τοῦ Κυρίου, αὐτὰς τὰς ἀπασχολήσεις καὶ περικόψῃ τὸ ὑλικὸν ποὺ τὰς τροφοδοτεῖ, τόσον καὶ περισσότερον συμμαζεύει τὸν νοῦν του ἀπὸ ἀνησύχους περιπλανήσεις. Καὶ ὅσον περισσότερον συμμαζεύει τὸν νοῦν του, τόσον καὶ περισσότερον τόπον παραχωρεῖ εἰς τὴν καθαρὰν προσευχὴν καὶ φανερώνει τὴν πίστιν του εἰς τὸν Χριστόν. Ἂν δὲ κανεὶς ἀπὸ ὀλιγοπιστίαν ἢ ἀπὸ κάποιαν ἀσθένειαν δὲν ἠμπορῇ νὰ τὸ κάνῃ αὐτό, τοὐλάχιστον ἂς γνωρίσῃ καλὰ τὴν ἀλήθειαν καὶ ἂς προσπαθῇ ὅσον ἠμπορεῖ, μεμφόμενος τὸν ἑαυτόν του διὰ τὴν ἀδυναμίαν αὐτὴν καὶ τὴν νηπιακὴν κατάστασιν εἰς τὴν ὁποίαν ἀκόμη εὑρίσκεται. Διότι εἶναι πολὺ προτιμότερον νὰ δώσωμεν λόγον εἰς τὸν Θεὸν διὰ παραλείψεις, παρὰ διὰ πλάνην καὶ ὑπερηφάνειαν.

Πέραν ἀπὸ αὐτὰ ποὺ εἴπομεν, μᾶς χρειάζεται νὰ ἔχωμεν ἀπὸ τὸν Θεὸν πολλὴν διάκρισιν, διὰ νὰ γνωρίζωμεν πότε καὶ ποίαν ὑπηρεσίαν ὀφείλομεν νὰ προτιμήσωμεν ἀπὸ τὴν προσευχήν. Καὶ τοῦτο διότι ὁ καθένας ἀπὸ ἡμᾶς ἀπασχολούμενος μὲ ὅ,τι τὸν εὐχαριστεῖ, νομίζει ὅτι ἐκτελεῖ ὑποχρεωτικὴν ὑπηρεσίαν, χωρὶς νὰ γνωρίζῃ ὅτι διὰ νὰ εὐχαριστήσῃ κανεὶς τὸν Θεόν, ὀφείλει νὰ κρίνῃ ἐὰν ἀρέσουν τὰ πράγματα εἰς τὸν Θεὸν καὶ ὄχι εἰς τὸν ἑαυτόν του. Ἐκεῖνο ὅμως ποὺ εἶναι πολὺ περισσότερον δύσκολον νὰ διακρίνωμεν εἶναι τὸ ἑξῆς: ὅτι καὶ αὐταὶ ἀκόμη αἱ ὑ-

ποχρεωτικαὶ ἐντολαὶ δὲν ἐπιβάλλονται πάντοτε κατὰ τὸν ἴδιον τρόπον· ἀλλά, κατὰ τὰς περιστάσεις, ὀφείλομεν νὰ προτιμῶμεν πότε τὴν μίαν καὶ πότε τὴν ἄλλην, ἐπειδὴ αἱ διάφοροι ὑπηρεσίαι δὲν ἐκτελοῦνται συνεχῶς, ἀλλ' εἰς καθωρισμένην στιγμήν, ἐνῷ, ἀπ' ἐναντίας, ἡ προσευχὴ ἔχει νομοθετηθῆ νὰ εἶναι πνευματικὴ λειτουργία χωρὶς καμμίαν διακοπὴν (Α´ Θεσ. ε´, 17). Δι' αὐτὸ ἀκριβῶς πρέπει νὰ προτιμῶμεν τὴν προσευχὴν ἀπὸ τὰς ἀπασχολήσεις ποὺ δὲν εἶναι ἀναγκαῖαι.

Αὐτὴν ἀκριβῶς τὴν διαφορὰν μεταξὺ τῆς ἀπολύτως ὑποχρεωτικῆς λειτουργίας τῆς προσευχῆς καὶ τῶν διαφόρων ἄλλων ἀπασχολήσεων ἐδίδασκον καὶ οἱ Ἀπόστολοι· ὅταν δὲ τὸ πλῆθος τῶν χριστιανῶν εἰς τὰ Ἱεροσόλυμα ἤθελε νὰ τοὺς ἀπασχολήσῃ εἰς τὴν ὑπηρεσίαν τῶν κοινῶν συσσιτίων εἶπαν. «Δὲν εἶναι ἀρεστὸν εἰς τὸν Θεὸν ἔλεγον νὰ ἀφήσωμεν ἡμεῖς τὸν λόγον τοῦ Θεοῦ καὶ νὰ ὑπηρετῶμεν εἰς τὰ συσσίτια· ἐκλέξατε λοιπὸν μεταξύ σας ἑπτὰ ἄνδρας, οἱ ὁποῖοι νὰ ἔχουν καλὴν μαρτυρίαν, διὰ νὰ τοὺς ἐγκαταστήσωμεν εἰς τὴν ὑπηρεσίαν αὐτήν, ἡμεῖς δὲ νὰ ἀφοσιωθῶμεν εἰς τὸ κήρυγμα καὶ τὴν προσευχήν. Καὶ ἤρεσεν ὁ λόγος αὐτὸς εἰς ὁλόκληρον τὸ πλῆθος»(Πράξ. στ´, 2—4). Τί διδασκόμεθα, λοιπόν, ἀπὸ αὐτά; Ὅτι δι' ἐκείνους ποὺ δὲν ἠμποροῦν νὰ ἀφοσιωθοῦν ἐξ ὁλοκλήρου εἰς τὴν προσευχήν, εἶναι καλὸν νὰ ἐκτελοῦν, μὲ ἐπιμέλειαν, τὴν ὑπηρεσίαν ποὺ τοὺς ἀνατίθεται, διὰ νὰ μὴ ἐκπέσουν καὶ ἀπὸ τὰ δύο· δι' ἐκείνους ὅμως ποὺ ἠμποροῦν, εἶναι προτιμότερον νὰ μὴ παραμελοῦν τὸ καλύτερον.



ΥΠΟΘΕΣΙΣ Ι'

Ὅτι δεῖ σπουδαίως εἰς τὴν προσευχὴν διανίστασθαι καὶ ὑπομονητικῶς προσεδρεύειν αὐτῇ, πόθεν τε καὶ διὰ τί αἱ κατὰ τὰς τεταγμένας ὥρας προσευχαὶ ἀρχῆθεν ἐτάχθησαν, καὶ ὅτι οὐ δεῖ τούτων καταμελεῖν.

Πρέπει μὲ προθυμίαν νὰ ἐγειρώμεθα τὴν νύκτα εἰς τὴν προσευχὴν καὶ μὲ ὑπομονὴν νὰ τὴν παρακολουθῶμεν. Ἀπὸ ποῦ καὶ διὰ ποίαν αἰτίαν καθωρίσθησαν, ἀπὸ τὴν ἀρχήν, νὰ γίνωνται αἱ προσευχαὶ εἰς ὡρισμένας ὥρας καὶ ὅτι δὲν πρέπει νὰ τὰς παραμελῶμεν.

Α'. Γρηγορίου τοῦ Διαλόγου

ΕΝ ΤΙΝΙ τῶν Μοναστηρίων, ὧν ὁ τοῦ Θεοῦ θεράπων Βενέδικτος συνεστήσατο, ἦν τις Μοναχὸς ὑπὸ ραθυμίας ὀχλούμενος, ὃς ἐν τῷ τῆς προσευχῆς καιρῷ στῆναι σὺν τοῖς ἀδελφοῖς οὐκ ἐκαρτέρει, ἀλλ' ἡνίκα πάντες οἱ ἀδελφοὶ εἰς γονυκλισίαν ἑαυτοὺς ἐνώπιον τοῦ Θεοῦ ἐστρώννυον, ἐκεῖνος ἐξήρχετο ἔξω καὶ τῇ ἀργολογίᾳ καὶ ραθυμίᾳ ἑαυτὸν ἐξεδίδου. Ὁ δὲ τούτου Ἀββᾶς, πολλάκις αὐτὸν νουθετήσας καὶ μηδὲν ἀνύσας, πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον ἀπήγαγεν αὐτὸν καὶ τὸ πάθος αὐτοῦ ἀνήγγειλεν. Ὁ δὲ Ὅσιος Πατὴρ σεμνῶς τε καὶ πρεπόντως διήλεγξε τὴν ραθυμίαν αὐτοῦ, καὶ τῇ νουθεσίᾳ στηρίξας ἀπέστειλεν. Ὑποστρέψας οὖν, μόλις ἐν τῇ τοῦ Ἁγίου νουθεσίᾳ δύο ἡμέρας διέμεινε, τῇ δὲ τρίτῃ εἰς τὸ διαβολικὸν ὑποστρέψας ἔθος πάλιν ἐν τῷ καιρῷ τῆς προσευχῆς πλάζεσθαι ἤρξατο. Ὁ δὲ τούτου Ἀββᾶς, ἰδὼν αὐτὸν αὖθις νικηθέντα ὑπὸ τοῦ τῆς ἀκηδίας δαίμονος, πάλιν πρὸς τὸν Ἅγιον παρεγένετο καὶ τὰ κατὰ τὸν ἀδελφὸν διηγήσατο, πρὸς ὃν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀπεκρίθη· ἐγὼ ἐλθών, δι' ἑαυτοῦ διορθοῦμαι αὐτόν.

Ἐλθὼν οὖν ἐν τῇ μονῇ καὶ σὺν τοῖς ἀδελφοῖς ἐν τῇ Ἐκκλησίᾳ ἱστάμενος, ἡνίκα ἐπληρώθη ὁ τῆς ψαλμῳδίας ὕμνος καὶ ἑαυτοὺς οἱ ἀδελφοὶ εἰς προσευχὴν δεδώκασι γόνυ κλίναντες, εἶδεν ὁ Ἅγιος καὶ ἰδοὺ νεανίσκος τις Αἰθίοψ τῷ εἴδει, κρατήσας τὸ πτερύγιον τοῦ ἱματίου τοῦ ἀδελφοῦ ἐκείνου τοῦ ἐν τῇ προσευχῇ καρτερῆσαι μὴ δυναμένου, εἷλκεν ἔξω τῆς Ἐκκλησίας. Πληρωθείσης οὖν τῆς εὐχῆς,

[...]τοῦ Θεοῦ ἄνθρωπος ἐξελθὼν ἐκ τοῦ εὐκτηρίου καὶ εὑρὼν ἔξω ἑστῶτα τὸν Μοναχόν, τοῦτον διὰ τὴν τύφλωσιν τῆς καρδίας αὐτοῦ τῇ ῥάβδῳ ἔτυψε, καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἠλευθερώθη ὁ ἀδελφὸς ἐκ τῆς συνεχούσης αὐτὸν ῥαθυμίας, καὶ λοιπὸν σὺν τοῖς ἀδελφοῖς ἐν τῇ προσευχῇ πρόθυμος ἵστατο μέχρι συμπληρώσεως αὐτῆς, μηκέτι τοῦ δαίμονος ἐκείνῳ τῷ ἀδελφῷ προσεγγίσαι τολμήσαντος, ἀλλὰ παντελῶς ἀποστάντος αὐτοῦ.

Ἑρμηνεία

ΕΙΣ ΚΑΠΟΙΟ ἀπὸ τὰ Μοναστήρια ποὺ ἵδρυσεν ὁ δοῦλος τοῦ Θεοῦ Βενέδικτος ἔζη ἕνας Μοναχὸς ῥάθυμος. Αὐτὸς δὲν εἶχε τὴν ὑπομονὴν νὰ παραμείνῃ, κατὰ τὴν ὥραν τῆς προσευχῆς, μαζὶ μὲ τοὺς ἀδελφούς, ἀλλ' ὅταν ὅλοι οἱ ἀδελφοὶ ἐγονάτιζον ἐνώπιον τοῦ Θεοῦ, ἐκεῖνος ἐξήρχετο ἀπὸ τὸν Ναὸν καὶ ἐπεδίδετο εἰς τὴν ἀργολογίαν καὶ ἀδιαφορίαν.

Ἀφοῦ, λοιπόν, ὁ Γέροντάς του τὸν ἐνουθέτησεν ἐπανειλημμένως, χωρὶς ἀποτέλεσμα, τὸν ὡδήγησεν εἰς τὸν δοῦλον τοῦ Θεοῦ Βενέδικτον καὶ τοῦ ἐφανέρωσεν τὸ πάθος του. Ὁ δὲ Ὅσιος Πατήρ, ἀφοῦ ἤλεγξεν εὐγενικὰ καὶ ὅπως ἔπρεπε τὴν ἀδιαφορίαν του καὶ τὸν ἐστήριξε, μὲ τὴν νουθεσίαν του, τὸν ἔστειλεν ὀπίσω εἰς τὸ Μοναστήρι. Ὅταν ὁ Μοναχὸς ἐγύρισεν εἰς τὸ Μοναστήρι, ἐπὶ δύο ἡμέρας ἠκολούθησε τὰς συμβουλὰς τοῦ Ἁγίου· τὴν τρίτην ὅμως ἡμέραν ἐπανέλαβε πάλιν τὴν διαβολικὴν συνήθειαν καὶ ἤρχισε, κατὰ τὴν ὥραν τῆς προσευχῆς, νὰ περιφέρεται ἀσκόπως. Ὁ Γέροντάς του μόλις εἶδεν ὅτι ἐνικήθη ἐκ νέου ἀπὸ τὸ δαιμόνιον τῆς ἀδιαφορίας, ἐπεσκέφθη πάλιν τὸν Ἅγιον καὶ τοῦ διηγήθη τὴν κατάστασιν τοῦ ἀδελφοῦ.

— Θὰ ἔλθω ἐγὼ —τοῦ ἀπήντησε τότε ὁ ἄνθρωπος τοῦ Θεοῦ— καὶ θὰ τὸν διορθώσω.

Ἦλθε, λοιπόν, πράγματι εἰς τὸ Μοναστήρι. Καὶ καθὼς ἔστεκε μαζὶ μὲ τοὺς ἀδελφοὺς εἰς τὴν Ἐκκλησίαν, μόλις ἐτελείωσεν ἡ ψαλμῳδία καὶ γονατιστοὶ ἀφωσιώθησαν οἱ ἀδελφοὶ εἰς τὴν προσευχήν, εἶδεν ὁ Ἅγιος κάποιον νεαρόν, ὅμοιον μὲ ἀράπην, νὰ κρατῇ τὴν ἄκραν τοῦ ῥάσου τοῦ ἀδελφοῦ ἐκείνου, ὁ ὁποῖος δὲν ἠμποροῦσε νὰ ἀφοσιωθῇ εἰς τὴν προσευχὴν καὶ νὰ τὸν σύρῃ ἔξω ἀπὸ τὴν Ἐκκλησίαν. Ὅταν λοιπὸν ἐτελείωσεν ἡ προσευχή, ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐξῆλθεν ἀπὸ τὸν Ναὸν καὶ εὑρῆκε τὸν Μοναχὸν νὰ στέκεται ἔξω· τότε τὸν ἐκτύπησε μὲ τὸ ῥαβδί του διὰ τὴν ψυχικήν του τύφλωσιν. Ἀπὸ ἐκείνην ἀκριβῶς τὴν ὥραν ἀπηλευθερώθη ὁ ἀδελφὸς ἀπὸ τὴν ῥαθυμίαν ποὺ τὸν εἶχε κυριεύσει καὶ εἰς τὸ ἑξῆς ἐστέκετο πρόθυμα, μαζὶ μὲ τοὺς ἀδελφούς, εἰς τὴν προσευχὴν μέχρις ὅτου τελειώσῃ. Οὔτε καὶ ὁ δαίμων ἐτόλμησε πλέον νὰ τὸν πλησιάσῃ καὶ ἀπεμακρύνθη τελείως ἀπὸ αὐτόν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

Ο ΜΑΚΑΡΙΟΣ Ἰωάννης, τὸ ῥάθυμον τῶν κατολιγορούντων ἐν ταῖς θείαις τάξεσι βουλόμενος διορθώσασθαι, τοιοῦτόν τι ἐπετήδευσε μνήμης ἄξιον. Ἐπεὶ

γὰρ ἔγνω πολλοὺς τῶν ἀμελεστέρων μετὰ τὴν ἀνάγνωσιν τῶν θείων Εὐαγγελίων ἐξιόντας τῆς Ἐκκλησίας καὶ ἀργολογίᾳ συσχολάζοντας, ἐν μιᾷ τῶν ἐπισήμων ἡμέρᾳ τὴν θείαν ἱερουργίαν ἀφείς, ἔξεισι καὶ αὐτὸς τοῦ Ναοῦ καὶ σὺν τῷ ὄχλῳ παντὶ κάθηται. Πάντων οὖν δι' ἐκπλήξεως τοῦτο ποιουμένων, ἐκεῖνος, οὐ χρή, ἔφη, θαυμάζειν· ὅπου γὰρ τὰ πρόβατα, ἐκεῖ δεῖ πάντως εἶναι καὶ τὸν ποιμένα, ἐπεὶ γὰρ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ὠφέλειαν εἰώθαμεν τὰς συνάξεις ἐπιτελεῖν· ὑμῶν δὲ ἔξω διατριβόντων ἀνόνητον ἡμῖν τὸν κόπον συμβαίνει γίνεσθαι. Πέπεικα οὖν ἐμαυτὸν ἐξιοῦσί τε ὑμῖν συνεξέρχεσθαι, καὶ αὖθις εἰσερχομένοις συνεισιέναι. Τοῦτο πολλοὺς διώρθωσε καὶ τῆς μὴ καλῶς γινομένης ἀπήλλαξε συνηθείας.

Ἑρμηνεία

Ο ΜΑΚΑΡΙΟΣ Ἰωάννης, ἐπιθυμῶν νὰ διορθώσῃ τὴν ῥαθυμίαν ἐκείνων ποὺ δὲν εἶχον ὑπομονὴν νὰ παραμείνουν εἰς τὰς ἱερὰς συνάξεις, ἐφήρμοσε τὸ ἑξῆς ἀξιομνημόνευτον. Ὅταν ἀντελήφθη, ὅτι πολλοὶ ἀπὸ τοὺς ἀμελεστέρους ἐξήρχοντο ἀπὸ τὸν Ναὸν μετὰ τὴν ἀνάγνωσιν τῶν ἱερῶν Εὐαγγελίων καὶ ἀργολογοῦσαν μεταξύ των, τότε καὶ αὐτός, εἰς μίαν ἐπίσημον ἡμέραν, ἀφίνει τὴν Θείαν Λειτουργίαν, ἐξέρχεται ἀπὸ τὸν Ναόν, καὶ κάθεται μαζὶ μὲ ὅλον τὸν ὄχλον.

Ἐπειδὴ ὅλοι παραξενεύτηκαν, ἐκεῖνος τοὺς λέγει:

— Δὲν πρέπει νὰ ἀπορῆτε· διότι, ἐκεῖ ποὺ εὑρίσκονται τὰ πρόβατα, ἐκεῖ ὁπωσδήποτε πρέπει νὰ εἶναι καὶ ὁ βοσκός, διότι διὰ σᾶς καὶ πρὸς ὠφέλειάν σας συνηθίζομεν νὰ ἐπιτελοῦμεν τὰς λειτουργικὰς συνάξεις. Ὅταν, λοιπόν, σεῖς παραμένετε ἔξω, τότε δὲν ἔχει καμμίαν ὠφέλειαν ὁ κόπος μας. Ἔπεισα, λοιπόν, τὸν ἑαυτόν μου, ὅταν σεῖς ἐξέρχεσθε ἀπὸ τὸν Ναόν, νὰ ἐξέρχωμαι καὶ ἐγὼ μαζί σας, καὶ ὅταν, πάλιν, εἰσέρχεσθε, νὰ εἰσέρχωμαι καὶ ἐγώ.

Αὐτὸ διώρθωσε πολλοὺς καὶ τοὺς ἠλευθέρωσεν ἀπὸ τὴν κακὴν συνήθειαν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Παχωμίου

ΠΟΤΕ ὁ Μέγας Παχώμιος διδάσκων τοὺς ὑπ' αὐτὸν Μοναχοὺς καὶ δεικνὺς τὴν μεγίστην ὠφέλειαν, μεταξὺ τῶν λόγων ὥσπερ ἔνθους γενόμενος ἔστη ἐφ' ὥραν ἱκανήν. Εἶτα λέγει τῷ οἰκονόμῳ τῆς μονῆς ἠρέμα· ἀπελθὼν εἰς τό δε τὸ κελλίον, γνῶθι τίς ἐστιν ὁ ἐκεῖ καταφρονῶν τῆς ἰδίας ψυχῆς καὶ μάρτυς γενοῦ τῆς βλάβης αὐτοῦ. Ἔστω γάρ, οὐ παρεγένετο τῶν τοῦ Θεοῦ λόγων ὑπακοῦσαι ἐνταῦθα, ὅπως δυναμωθῇ κατὰ τοῦ θλίβοντος αὐτὸν εἰς τὸν κόσμον, τίνος ἕνεκεν οὐκ εὔχεται ἐκεῖ, ἀλλὰ καθεύδει; Οὐκ οἶδα εἰ οὗτος γένηται Μοναχός. Καὶ οὗτος μετ' ὀλίγον, χωρισθεὶς τῶν Μοναχῶν ἀνέλυσεν εἰς τὸν κόσμον, μὴ δυνηθεὶς ὑπενεγκεῖν τὸν ἐλαφρότατον τοῦ Κυρίου ζυγόν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Μέγας Παχώμιος διδάσκων τοὺς Μοναχούς του καὶ ὑποδεικνύων τὴν μεγάλην ὠφέλειαν ποὺ προέρχεται ἀπὸ τὴν διδασκαλί-

αν, κατὰ τὴν ὥραν ἐκείνην ἐφάνη ὡς νὰ ἐγένετο ἐν πνευματικῇ ἐκστάσει, δι' αὐτὸ καὶ ἐπ' ἀρκετὴν ὥραν ἐσταμάτησε τὴν ὁμιλίαν. Κατόπιν λέγει ἀμέσως εἰς τὸν οἰκονόμον τοῦ Μοναστηρίου ἤρεμα:

— Πήγαινε εἰς τὸ τάδε κελλίον καὶ κοίταξε ποῖος εἶναι ἐκεῖ, ὁ ὁποῖος καταφρονεῖ τὴν σωτηρίαν τῆς ψυχῆς του καὶ πρόσεξε νὰ γίνῃς μάρτυρας τῆς ζημίας ποὺ θὰ ὑποστῇ. Διότι ἔστω, δὲν ἦλθε ἐδῶ, διὰ νὰ ἀκούσῃ τὰ λόγια τοῦ Θεοῦ, καὶ νὰ πάρῃ δύναμιν ἐναντίον ἐκείνου, ποὺ τὸν θλίβει εἰς τὸν κόσμον· διατὶ ὅμως δὲν προσεύχεται μέσα εἰς τὸ κελλί του, ἀλλὰ κοιμᾶται; Δὲν πιστεύω αὐτὸς νὰ γίνῃ καλὸς Μοναχός.

Πράγματι, μετ' ὀλίγον καιρὸν ὁ Μοναχὸς ἐκεῖνος ἔφυγεν ἀπὸ τοὺς Μοναχοὺς καὶ ἐπέστρεψεν εἰς τὸν κόσμον, ἐπειδὴ δὲν ἠμπόρεσε νὰ ὑποφέρῃ τὸν ἐλαφρότατον ζυγὸν τοῦ Κυρίου.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ἐὰν ἐργάζῃ ἐργόχειρον ἐν τῷ κελλίῳ σου, καὶ ἔλθῃ ἡ ὥρα τῆς εὐχῆς σου, μὴ εἴπῃς πληρώσω τὰ μικρὰ θαλλία μου ἢ τὸ μικρὸν μαλάκιον καὶ εἶθ' οὕτως ἐγείρομαι. Ἀλλὰ ἀνάστα ἑκάστῃ ὥρᾳ καὶ ἀπόδος τὸ χρέος τῷ Θεῷ, ἐπεὶ κατὰ μικρὸν συνηθίζεις ἀμελεῖν τῆς εὐχῆς καὶ τῆς λειτουργίας σου, καὶ γίνεται ἔρημος ἡ ψυχή σου ἑκάστου ἔργου, καὶ σωματικοῦ καὶ πνευματικοῦ· ἀπὸ πρωῒ γὰρ φαίνεται ἡ προθυμία σου.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι πορευόμενός ποτε εἰς τὴν Ἐκκλησίαν ἐπιτελέσαι σύναξιν, ὁρᾷ ἔξωθεν κελλίου ἑνὸς τῶν ἀδελφῶν πλῆθος δαιμόνων, τινῶν μὲν μετασχηματισθέντων εἰς γυναῖκας ἀπρεπῆ λαλούσας, τινῶν δὲ εἰς νεανίσκους δύσφημα καὶ αὐτοὺς λαλοῦντας, ἄλλων δὲ ὀρχουμένων, ἑτέρων δὲ εἰς διάφορα σχήματα βαλλομένων. Ὁ οὖν γέρων, διορατικὸς ὤν, ἔγνω τὴν αἰτίαν καὶ στενάξας εἶπεν ἐν ἑαυτῷ· πάντως ὁ ἀδελφὸς ἐν ἀμελείᾳ διάγει καὶ διὰ τοῦτο τὰ πονηρὰ πνεύματα οὕτω κυκλοῦσι τὸ κελλίον αὐτοῦ. Μετὰ δὲ τὸ πληρῶσαι τὴν σύναξιν, εἰσῆλθεν εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ καὶ λέγει αὐτῷ· θλίβομαι, ἀδελφέ, πίστιν δὲ ἔχω εἰς σέ, ὅτι ἐὰν εὔξῃ ὑπὲρ ἐμοῦ, πάντως κουφίζει με ὁ Θεὸς ἀπὸ τῆς θλίψεως. Ὁ δὲ μετανοήσας τῷ γέροντι λέγει· Πάτερ, οὐκ εἰμὶ ἄξιος εὔξασθαι ὑπὲρ σοῦ. Ὁ δὲ γέρων ἐπέμενε παρακαλῶν τὸν ἀδελφὸν καὶ λέγων· οὐκ ἀπέρχομαι εἰ μὴ δῷς μοι λόγον μίαν εὐχὴν ποιεῖν ὑπὲρ ἐμοῦ καθ' ἑκάστην νύκτα. Ὑπήκουσεν οὖν ὁ ἀδελφὸς τῇ προστάξει τοῦ γέροντος· τοῦτο δὲ ἐποίησεν ὁ γέρων, θέλων ἀφορμὴν παρασχεῖν αὐτῷ τοῦ προσεύχεσθαι ἐν ταῖς νυξίν.

Ἀναστὰς οὖν ὁ ἀδελφὸς ἐν τῇ ἐπιούσῃ νυκτί, ἐποίησεν εὐχὴν ὑπὲρ τοῦ γέροντος· εἶτα, κατανυγείς, εἶπεν ἐν ἑαυτῷ· ἀθλία ψυχή, ὑπὲρ τοῦ τοιούτου γέροντος προσηύξω καὶ ὑπὲρ ἑαυτῆς οὐ προσεύχει; Ἐποίησεν οὖν καὶ ὑπὲρ ἑαυτοῦ μίαν εὐχὴν ἐκτενῆ. Εἶτα οὕτω ποιοῦντος αὐτοῦ καθ' ἑκάστην νύκτα καὶ τὰς δύο ἐπιτελοῦντος εὐχάς, τῇ ἑξῆς Κυριακῇ πάλιν ὁ γέρων εἰς τὴν Ἐκκλησίαν ἀπιὼν εἶδε τοὺς δαίμονας ἔξω μὲν ἱσταμένους τοῦ κελλίου τοῦ ἀδελφοῦ ὡς καὶ πρότερον, στυγνοὺς δὲ πάνυ καὶ κατηφεῖς. Καὶ ἔγνω ὅτι διὰ τὸ εὔχεσθαι τὸν ἀδελφὸν ἐστύγνασαν οἱ δαίμονες· καὶ περιχαρὴς γενόμενος, εἰσῆλθε πρὸς τὸν ἀδελφὸν καὶ εἶπεν αὐτῷ· ποί-

ησον ἀγάπην καὶ πρόσθες ὑπὲρ ἐμοῦ ἄλλην μίαν εὐχήν. Ὁ δὲ ὑπήκουσε καὶ ποιήσας τὰς δύο εὐχὰς ὑπὲρ τοῦ γέροντος, πάλιν κατανυγείς, εἶπε πρὸς ἑαυτόν· ὦ ταλαίπωρε ψυχή, πρόσθες καὶ ὑπὲρ σεαυτῆς ἄλλην μίαν εὐχήν.

Οὕτως οὖν διάγοντος αὐτοῦ κἀκείνην τὴν ἑβδομάδα καὶ ποιοῦντος κατὰ νύκτα τὰς τέσσαρας εὐχάς, ἐν τῇ Κυριακῇ, πάλιν ἐρχόμενος ὁ γέρων, εἶδε τοὺς δαίμονας ἐπὶ πλεῖον στυγνάσαντας καὶ παντελῶς σιωπῶντας καὶ εὐχαριστήσας τῷ Θεῷ. ἐν τῷ ὑποστρέφειν εἰσῆλθε πάλιν πρὸς τὸν ἀδελφὸν καὶ παρεκάλεσε προσθῆναι ἔτι καὶ ἑτέραν ὑπὲρ αὐτοῦ. Τοῦ δὲ καταδεξαμένου καὶ ταύτην καὶ προσθέντος καὶ ὑπὲρ ἑαυτοῦ ἄλλην μίαν, καὶ καθ' ἑκάστην νύκτα ἓξ ποιοῦντος εὐχάς, ὡς διήρχετο πάλιν ὁ γέρων κατὰ τὴν Κυριακην, εἶδε τοὺς δαίμονας μήκοθεν ἑστῶτας τοῦ κελλίου αὐτοῦ, οἳ καὶ ὡς εἶδον αὐτὸν εἰσιόντα πρὸς τὸν ἀδελφόν, ὕβρισαν αὐτόν, χαλεπαίνοντες ἐπὶ τῇ σωτηρίᾳ τοῦ ἀδελφοῦ. Ὁ δὲ γέρων, δοξάσας τὸν Θεόν, εἰσῆλθε πρὸς τὸν ἀδελφὸν καὶ παρήνεσεν αὐτόν μὴ ἀμελεῖν, ἀλλὰ ἀδιαλείπτως προσεύχεσθαι· καὶ οὕτω σπουδαίως περὶ τὰς εὐχὰς γενομένου τοῦ ἀδελφοῦ, χάριτι Θεοῦ ἀπ' αὐτοῦ οἱ δαίμονες τελείως ἀνεχώρησαν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων εἶπεν:

—Ἂν ἐργάζεσαι εἰς τὸ κελλί σου καὶ ἔλθῃ ἡ ὥρα τῆς προσευχῆς σου, μὴ εἴπῃς, ἂς τελειώσω τὰ ὀλίγα φοινικοβλάσταρά μου ἢ τὸ μικρὸν ζεμπίλι μου καὶ κατόπιν σηκώνομαι. Ἀλλὰ νὰ σηκώνεσαι εἰς κάθε ὥραν καὶ νὰ ἐξοφλῇς τὸ χρέος σου εἰς τὸν Θεόν, ἐπειδὴ διαφορετικὰ θὰ συνηθίσῃς σιγὰ - σιγὰ νὰ παραμελῇς τὴν προσευχήν σου καὶ τὴν λειτουργίαν σου καὶ θὰ ἐρημώσῃ ἡ ψυχή σου ἀπὸ κάθε ἔργον καὶ σωματικὸν καὶ πνευματικόν. Διότι ἀπὸ τὴν πρωϊνὴν προσευχὴν θὰ φανῇ ἡ προθυμία σου.

2. Διὰ τὸν Ἀββᾶν Μακάριον διηγοῦντο τὸ ἑξῆς περιστατικόν: Κάποτε καθὼς ἐπήγαινεν εἰς τὴν Ἐκκλησίαν, διὰ τὴν ἀκολουθίαν, ἔξω ἀπὸ τὸ κελλὶ ἑνὸς ἀδελφοῦ. βλέπει πλῆθος ἀπὸ δαίμονας· ἀπ' αὐτοὺς ἄλλοι εἶχαν μετασχηματισθῆ εἰς γυναῖκας αἱ ὁποῖαι ἐλάλουν ἀπρεπεῖς λόγους, ἄλλοι σὲ νέους, οἱ ὁποῖοι καὶ αὐτοὶ ἔλεγαν ἄσχημα λόγια, ἐνῷ ἄλλοι ἐχόρευαν καὶ ἄλλοι παρουσιάζοντο ὑπὸ διάφορα σχήματα. Ὁ Γέρων, ἐπειδὴ ἦτο διορατικός, ἀντελήφθη τὴν αἰτίαν τοῦ δαιμονικοῦ ἐκείνου φαινομένου. Καὶ ἀφοῦ ἀνεστέναξεν, ἐμονολόγησεν· αὐτὸς ὁ ἀδελφὸς περνᾷ ὁπωσδήποτε τὴν ζωήν του μὲ ἀμέλειαν καὶ δι' αὐτὸ τὰ πονηρὰ πνεύματα ἔχουν κυκλώσει τὸ κελλί του.

Ἀφοῦ ἐτελείωσεν ἡ ἀκολουθία, εἰσῆλθεν εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ ἐκείνου καὶ τοῦ λέγει:

—Ἀδελφέ, πιέζομαι ἀπὸ θλίψεις· πιστεύω ὅμως ὅτι ἂν σὺ προσευχηθῇς δι' ἐμέ, θὰ μὲ ἀνακουφίσῃ ὁπωσδήποτε ὁ Θεὸς ἀπὸ τὴν θλῖψιν μου.

Ἐκεῖνος, ἀφοῦ ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα, τοῦ ἀπαντᾷ:

— Πάτερ, δὲν εἶμαι ἄξιος νὰ προσευχηθῶ διὰ σέ.

Ὁ Γέροντας ὅμως ἐπέμενε, καὶ παρεκάλει τὸν ἀδελφόν.

— Δὲν φεύγω —τοῦ ἔλεγε— ἂν δὲν μοῦ δώσῃς τὸν λόγον σου, ὅτι κάθε νύκτα θὰ κάνῃς, ἔστω καὶ μίαν προσευχὴν δι' ἐμέ.

Κατόπιν αὐτοῦ ὁ ἀδελφὸς ὑπήκουσεν εἰς τὴν προσταγὴν τοῦ Γέροντος. Αὐτὸ δὲ τὸ ἔκαμεν ὁ Γέρων Μακάριος, διότι ἤθελε νὰ τοῦ δώσῃ ἀφορμὴν νὰ προσεύχεται κατὰ τὰς νύκτας.

Ἀφοῦ, λοιπόν, ἐξύπνησε τὴν ἄλλην νύκτα ὁ ἀδελφός, ἔκαμε προσευχὴν διὰ τὸν Γέροντα. Ἐν τῷ μεταξὺ ἐδοκίμασεν ἐσωτερικὴν συντριβὴν καὶ εἶπεν εἰς τὸν ἑαυτόν του· ἀθλία ψυχή μου, ἔκαμες προσευχὴν δι' ἕνα τοιοῦτον Γέροντα καὶ δὲν προσεύχεσαι διὰ τὸν ἑαυτόν σου; Ἔκαμε λοιπὸν καὶ διὰ τὸν ἑαυτόν του προσευχήν, ἡ ὁποία ἐκράτησεν ἀρκετὴν ὥραν. Μετὰ ἀπὸ αὐτὰ ὁ μοναχὸς ἔκανε κάθε νύκτα δύο προσευχάς.

Τὴν ἑπομένην Κυριακήν, καθὼς μετέβαινεν ὁ Γέρων πάλιν εἰς τὴν Ἐκκλησίαν, εἶδε τοὺς δαίμονας νὰ στέκουν ἔξω ἀπὸ τὸ κελλί τοῦ ἀδελφοῦ, ὅπως καὶ πρίν. Τώρα ὅμως ἐφαίνοντο πολὺ λυπημένοι καὶ κατσουφιασμένοι. Ἐκατάλαβεν, ὅτι ἐκατσούφιασαν, ἐπειδὴ προσηύχετο ὁ ἀδελφός. Γεμᾶτος τότε ἀπὸ χαράν, εἰσῆλθεν εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ καὶ τοῦ λέγει:

—Ἀδελφέ, κάμε ἀγάπην καὶ κάνε ἄλλην μίαν προσευχὴν δι' ἐμέ, κατὰ τὴν νύκτα.

Ὁ ἀδελφὸς ὑπήκουσε. Καὶ καθὼς ἔκαμε τὰς δύο εὐχὰς διὰ τὸν Γέροντα, ἐδοκίμασε πάλιν ἐσωτερικὴν συντριβὴν καὶ εἶπε μόνος του· ὦ ταλαίπωρε ψυχή, πρόσθεσε καὶ διὰ τὸν ἑαυτόν σου ἄλλην μίαν προσευχήν.

Ἔτσι ἐπέρασε καὶ ἐκείνη ἡ ἑβδομὰς καὶ ὁ ἀδελφὸς ἔκανε, κάθε νύκτα, τὰς τέσσαρας προσευχάς. Τὴν Κυριακήν, καθὼς ἐπερνοῦσε πάλιν ὁ Γέρων διὰ τὴν ἀκολουθίαν, εἶδε τοὺς δαίμονας πολὺ περισσότερον στενοχωρημένους καὶ ἐντελῶς σιωπηλούς. Ἀφοῦ δὲ ηὐχαρίστησε τὸν Θεόν, εἰσῆλθε καὶ πάλιν, καθὼς ἐπέστρεφεν, εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ καὶ τὸν παρεκάλεσε νὰ προσθέσῃ ἀκόμα μίαν προσευχὴν δι' αὐτόν. Ὁ ἀδελφὸς ἐδέχθη καὶ προσέθεσεν καὶ ἄλλην μίαν προσευχὴν διὰ τὸν ἑαυτόν του. Ἔτσι λοιπὸν ἔκαμνεν ἓξ προσευχὰς κάθε νύκτα. Καθὼς δὲ ἐπερνοῦσε πάλιν τὴν ἑπομένην Κυριακὴν ὁ Γέρων διὰ τὴν ἀκολουθίαν, εἶδε τοὺς δαίμονας νὰ στέκουν μακρὰν ἀπὸ τὸ κελλὶ τοῦ ἀδελφοῦ, οἱ ὁποῖοι μόλις τὸν εἶδον νὰ εἰσέρχεται εἰς τὸ κελλὶ τοῦ Μοναχοῦ, ὕβρισαν αὐτόν, γεμᾶτοι ὀργὴν διά τὴν σωτηρίαν τοῦ ἀδελφοῦ.

Ὁ Γέρων ἐδόξασε τὸν Θεόν, εἰσῆλθεν εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ καὶ τὸν συνεβούλευσε νὰ μὴ παραμελῇ, ἀλλὰ νὰ προσεύχεται ἀδιαλείπτως. Καὶ ἔτσι, ἀφοῦ πλέον ὁ ἀδελφὸς ἐπέδειξε ζῆλον καὶ ἐνδιαφέρον διὰ τὰς προσευχάς, ἀνεχώρησαν, μὲ τὴν χάριν τοῦ Θεοῦ, οἱ δαίμονες τελείως ἀπὸ αὐτόν.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ὅταν κρούῃ σοι ὁ ἀδελφὸς νυκτὸς ὅπως ἀναστῇς εἰς τὴν δοξολογίαν τοῦ Θεοῦ, ἔγειραι προθύμως, ἵνα καὶ ὁ ἀμελέστερος, ἰδών σου τὸ πρόθυμον, διεγείρῃ τὴν ἑαυτοῦ ψυχὴν πρὸς νῆψιν, κατὰ τὸν λέγοντα· «προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου»· καὶ πάλιν· «μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης». Οὐκ ἤκουσας ὅτι πλειστάκις κληθεὶς Σαμουὴλ ὁ Προφήτης, οὐδὲ ἅπαξ ὤκνησε τοῦ ἐγερθῆναι, καίπερ παιδίον τυγχάνων; Εἰ δὲ συμβῇ ποτε κατασχεθῆναί σε ὕπνῳ βαθεῖ, ἐπηρείᾳ ἴσως δαιμονικῇ, καὶ ἀπολειφθῆναι τῆς συνάξεως, ἔξυπνος γενόμενος μετὰ ταῦτα, μὴ ὀκνήσῃς τοῦ ἀπελθεῖν εἰς τὴν σύναξιν, εἰπὼν ἐν ἑαυτῷ· νῦν ἤδη πρὸς τῇ ἀπολύσει ἐστὶν ἡ σύναξις, κἀγὼ ποῦ ὑπάγω;

Μὴ εἴπῃς ταῦτα· ὀκνηρῶν γὰρ καὶ ῥαθύμων ὁ λόγος οὗτος, ἀλλὰ μᾶλλον σπουδαίως ἀναστὰς τρέχε εἰς τὴν σύναξιν, ὡς βίαν λαμβάνων καὶ ὡς δορκὰς ἐκ βρόχων ἐκφεύγουσα. Γίνωσκε γάρ, ὅτι καθάπερ οἱ πορευόμενοι εἰς κακὰ περὶ ῥήματος καὶ λόγου ἀργοῦ ἀπόλογον δώσουσιν ἐν ἡμέρᾳ κρίσεως, οὕτω καὶ περὶ ἑνὸς βήματος ἀγαθοῦ καὶ λόγου μισθὸν κομιεῖται πᾶς ὁ τρέχων εἰς τὸ ἀγαθόν. Ἐὰν οὖν τὴν ὑστέραν εὐχὴν καταλάβῃς, εἴσελθε καὶ μὴ αἰσχυνθῇς· δύνασαι γὰρ ἐξομολογησάμενος τὸ συμβὰν τῷ προεστῶτι, μετὰ τὴν ἀπόλυσιν βαλεῖν τοὺς ψαλμοὺς ἐν τῷ κελλίῳ σου, οὓς ὑπέσυρεν ἡ τῶν δαιμόνων φαντασία, ἐπιτρέψαντος δηλονότι ἐκείνου, καὶ οὕτως εἰς τὴν ἐπιοῦσαν ἑτοιμότερος εὑρεθήσει εἰς τὸ ἔργον τοῦ Κυρίου· ἐὰν δὲ παραλείψῃς αὐτὸ ἐξ ἀμελείας, δίχα ἀνάγκης ἢ ἀρρωστίας, μεγάλα σεαυτὸν ζημιώσεις.

Γίνωσκε δὲ καὶ τοῦτο, ἀγαπητέ, ὅτι ὅσον θάλπει τις κακῶς τὴν ἑαυτοῦ σάρκα, τοσοῦτον πλεονάζει ἐν αὐτῷ τὰ πάθη· καὶ ἡ ψυχὴ λοιπόν, καταβαρούμενη ὑπὸ τῆς τοῦ σώματος κακῆς συνηθείας, ἄκαρπος γίνεται· διὸ λέγει ὁ Σωτήρ· «βλέπετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιοτικαῖς». Ὅθεν φησὶ καὶ ὁ Ἀπόστολος· «ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Ἐὰν δὲ βιάζηταί τις τὸ σῶμα εἰς τὸ ἔργον τοῦ Κυρίου, τοσοῦτον καὶ αὐτὸ εὔρωστον γίνεται καὶ ἡ ψυχὴ λαμπρύνεται. Καθάπερ γὰρ ἀθλητὴς κέχρηται τῇ τοῦ σώματος γυμνασίᾳ ἐπιμελῶς, ἵνα συναρμόσῃ τὸ σῶμα πρὸς τὴν τέχνην τοῦ ἀγῶνος, οὕτω καὶ ὁ τῆς εὐσεβείας ἀγωνιστὴς ὀφείλει γυμνάζειν ἑαυτὸν εἰς πᾶν ἔργον ἀγαθόν.

Βούλομαι δέ σοι εἰπεῖν καὶ περὶ τοῦ νυσταγμοῦ. Ὡς γὰρ λογίζομαι, τρεῖς εἰσι τούτου αἰτίαι· ὅταν γὰρ ἄρξηται ἀδελφὸς ψάλλειν ἢ εὔχεσθαι, εὐθὺς ὁ πονηρὸς ἐπιφέρει αὐτῷ νυσταγμόν, ἵνα καταλείψῃ τὴν προσευχὴν καὶ ἀπέλθῃ· ἀλλ' εἰ διεγείροι ἑαυτὸν ὁ ἀδελφὸς καὶ μὴ ῥαθυμήσοι, οὐδὲν κατ' αὐτοῦ ὁ δαίμων ἰσχύσει· σφοδροτέρως δὲ ἐνοχληθήσεται, ἐὰν περ βεβάρηται ὁ στόμαχος αὐτοῦ ἐν βρώμασι καὶ πόμασιν. Εἶτα πάλιν κατὰ μέσον τῆς συνάξεως ἐπέρχεται τῷ ἀδελφῷ νυσταγμὸς ἐξ ἰδίας ἀμελείας, ὅταν μὴ συσφίγξας ἑαυτὸν ἐπιμεληθῇ ἑστᾶναι ἄχρι τῆς ἐκπληρώσεως τοῦ κανόνος, ἀλλὰ χαυνωθεὶς οὐ μεγάλην ζημίαν ἡγεῖται τοῦ καταλιπεῖν τοὺς ψάλλοντας καὶ πορευθῆναι εἰς τὴν ἑαυτοῦ στρωμνὴν ἢ ἔξω καθεσθεὶς ὑπνῶσαι. Καὶ μετὰ τὴν ἐκπλήρωσιν δὲ τοῦ κανόνος τῆς συνήθους συνάξεως,

συμβαίνει τῷ ἀδελφῷ νυσταγμὸς κατὰ φύσιν καὶ μᾶλλον εἰ ἔστιν ἀσθενής, ᾧ καὶ συγκαταβῆναι μικρὸν ἴσως οὐκ ἀπρεπὲς εἰς τοὺς ἀσθενεῖς.

Σὺ δέ, ἀδελφέ, μὴ ἀμέλει τοῦ νήφειν ἐν πᾶσιν, ἀλλ' ὅταν στῇς ἐν τῇ συνάξει μέσον τῶν ἀδελφῶν, εἴτε κατὰ μόνας εἰς δοξολογίαν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὀχλήσῃ σε ὁ πρῶτος νυσταγμός, ἐπιγνοὺς ἀνθίστα καὶ ὑπόμεινον καρτερῶς, κἂν ἐπ' ὄψεώς σε καταβάλῃ καὶ ἅπαξ καὶ δὶς μὴ μεταστῇς τοῦ τόπου σου καὶ εὑρήσεις μεγάλην ὠφέλειαν. Ἔοικε γὰρ τὸ πάθος τοῦ ἀκορέστου ὕπνου τῇ γαστριμαργίᾳ· ἐὰν γὰρ ἐθίσῃ τις πολλὰ ἐσθίειν, πολλὰ καὶ ἡ φύσις ἐπιζητεῖ· εἰ δὲ συνηθίσῃ τῇ ἐγκρατείᾳ, οὐδὲ ἡ φύσις ἀπαιτεῖ πολυφαγίαν· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ὕπνου. Πῶς δὲ τολμήσῃς ἀφῆναι τὴν σύναξιν καὶ ἐξελθεῖν πρὶν τῆς ἀπολύσεως δίχα μεγάλης ἀνάγκης; ἆρα γάρ, ἀδελφέ, εἰ ἐκλήθης εἰς δεῖπνον ἀνδρὸς πλουσίου, ἐτόλμησας ἂν ἐγερθῆναι ἐκ μέσου τῶν συνανακειμένων καὶ πορευθῆναι εἰς οἶκον; οὐχὶ μένων ἔμενες, ἕως οὗ ὁμοθυμαδὸν ἀναστῶσιν;

Φοβηθῶμεν οὖν, ἀγαπητέ, τὸν δεσπότην τοῦ οὐρανοῦ τε καὶ γῆς· σπουδάσωμεν εὐαρεστῆσαι αὐτῷ, διότι γέγραπται· «ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς». Ἀναλόγισαι τοὺς ἁλιεῖς, ὅτι πᾶσαν νύκτα διατελοῦσιν ἀγρυπνοῦντες καὶ τῷ ἔργῳ προσκαρτεροῦντες· εἰ δέ τις αὐτῶν βαρούμενος τῷ ὕπνῳ ἀμελήσας καθεύδει, ὅταν ἐγερθῇ ἐκ τοῦ ὕπνου κατανοεῖ ἑαυτόν μηδὲν πιάσαντα, τοὺς δὲ ἐγρηγορήσαντας, οἰκονομηθέντας, καὶ τότε ἄρχεται μεταμελεῖσθαι ἐν ἑαυτῷ καὶ λέγειν· οἴμοι τῷ ἀμελεῖ καὶ ὀκνηρῷ, ὅτι ῥαθυμήσας ἐκοιμήθην, καὶ ἰδοὺ ἀποστρέφω κεναῖς ταῖς χερσί· «ὕπνωσαν γάρ, φησιν, ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδέν».

Λάβε δὲ μετὰ νοῦν καὶ τοὺς κεραμεῖς καὶ τοὺς τὴν χαλκευτικὴν τέχνην μεταχειρίζοντας, καὶ εὑρήσεις κἀκεῖ κόπον ἄμετρον καὶ ἀγρυπνίαν πολλὴν καὶ σύντονον. Καὶ ἐκεῖνοι μέν, διὰ τὰ ἔργα τοῦ αἰῶνος τούτου τοιούτου κόπου καὶ καμάτου ἀνέχονται. Ἡμεῖς δέ, μηδὲν κοπιῶδες ἢ ἀηδὲς ὑπομένοντες, ἀλλ' ἐν τόπῳ ἑστῶτες καθαρῷ καὶ ἡγιασμένῳ ἐνώπιον Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐν σεμνότητι καὶ εἰρήνῃ πολλῇ καὶ ἀγαλλιάσει πνευματικῇ καὶ ἐλπίδι ἀγαθῇ ἵνα τί ῥαθυμοῦμεν, ἀγαπητέ, καὶ χαυνούμεθα, καὶ οὐχὶ μᾶλλον διεγείρομεν ἑαυτούς εἰς τὴν γλυκυτάτην λατρείαν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν; Λέγει γὰρ ὁ Δαβίδ· «ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου»· καὶ πάλιν· «ἀγαλλιάσεται τὰ χείλη μου ὅταν ψάλλω σοι καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω».

Τίς οὖν ἐστι χρόνος ἡμῶν ἐπὶ τῆς γῆς, ὅτι οὕτως ἀμελοῦμεν τῆς σωτηρίας ἡμῶν; ἰδοὺ ὁ αὐτὸς Προφήτης βοᾷ· «ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι». Μὴ ἔριζε οὖν, δοῦλε Χριστοῦ ἠγαπημένε, ἐμοὶ τῷ ἀμελεῖ καὶ ἀνυπομονήτῳ, εἰδὼς ἀκριβῶς, ὅτι ὁ νήφων αὐτὸς κερδανεῖ, καὶ ὁ ἀμελῶν αὐτὸς ζημιοῦται· ἕκαστος γὰρ ἡμῶν περὶ ἑαυτοῦ ἀπολογίαν δώσει τῷ Θεῷ. Ἀλλὰ μηδὲ ὡς κέρδος ἡγοῦ τὸν ὕπνον καὶ τὴν τοῦ σώματος ἀνάπαυσιν, μᾶλλον δὲ μεγίστην ζημίαν· κέρδος γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ.

Βιασώμεθα οὖν καὶ ἡμεῖς ἑαυτούς, ἀγαπητοί, ἵνα καὶ τῆς βασιλείας ἐπιτύχωμεν καὶ τοῦ μακαρισμοῦ αὐτοῦ· καθὼς ἔφη· «Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος αὐτῶν εὑρήσει γρηγοροῦντας». Μὴ μόνον δὲ ἡμᾶς αὐτούς, ἀλλὰ καὶ ἀλλήλους παρακαλῶμεν καὶ νουθετῶμεν ἐν ἀγάπῃ εἰς τὸν φόβον τοῦ Κυρίου, καὶ διεγείρωμεν ἀλλήλων τὴν προθυμίαν εἰς δοξολογίαν τοῦ Θεοῦ καὶ Σωτῆρος

ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μὴ μόνον ὑπὲρ ἑαυτῶν, ἀλλὰ καὶ τῆς τοῦ πλησίον ὠφελείας μεγάλους μισθοὺς ἀπολάβωμεν παρ' αὐτοῦ τοῦ εἰπόντος· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε».

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, ὅταν σοῦ κτυπᾷ τὴν νύκτα ὁ ἀδελφός, διὰ νὰ παρασταθῇς εἰς τὴν δοξολογίαν τοῦ Θεοῦ, νὰ σηκωθῇς πρόθυμα, διὰ νὰ ἰδῇ τὴν προθυμίαν σου καὶ ὁ ἀμελέστερος καὶ νὰ παρακινηθῇ εἰς ἀγρυπνίαν σύμφωνα μὲ τὰ θεϊκὰ λόγια· «ἤνοιξαν οἱ ὀφθαλμοί μου λίαν ἐνωρὶς κατὰ τὸν βαθὺν ὄρθρον διὰ νὰ μελετήσω τοὺς λόγους εἰς τὰς Ἱερὰς Γραφὰς» (Ψαλμ. ριη΄, 148) καὶ «κατὰ τὸ μεσονύκτιον ἐξεγειρόμην ἐκ τῆς κλίνης καὶ τοῦ ὕπνου μου διὰ νὰ Σὲ δοξολογήσω διὰ τὰς δικαίας κρίσεις Σου κατὰ τῶν ἐχθρῶν μου ἐκ τῶν ὁποίων καὶ ἐσώθην» (Ψαλμ. ριη΄, 62). Δὲν ἔμαθες, ὅτι ὁ Προφήτης Σαμουήλ*, ἂν καὶ προσεκλήθη πολλὰς φορὰς ἀπὸ μίαν μυστηριώδη φωνήν, ἐν τούτοις οὔτε μίαν φορὰν δὲν παρημέλησε νὰ σηκωθῇ, ἂν καὶ ἦτο μικρὸν παιδὶ ἀκόμη; Ἂν κάποτε σοῦ συμβῇ νὰ καταληφθῇς ἀπὸ βαθὺν ὕπνον, ἴσως ἀπὸ σατανικὴν ἐνέργειαν, καὶ καθυστερήσῃς νὰ μεταβῇς εἰς τὴν ἀκολουθίαν, μόλις ἐξυπνήσῃς μὴ βαρεθῇς νὰ ὑπάγῃς εἰς τὴν ἀκολουθίαν, μὲ τὴν δικαιολογίαν, ὅτι τάχα, πλησιάζει νὰ γίνῃ ἀπόλυσις τῆς ἀκολουθίας, ποῦ νὰ ὑπάγω τώρα ἐγώ;

Νὰ μὴ λέγῃς τέτοια λόγια, διότι αὐτὰ τὰ λέγουν οἱ ὀκνηροὶ καὶ οἱ ἀδιάφοροι· ἀπ' ἐναντίας νὰ σηκωθῇς βιαστικὰ καὶ νὰ τρέξῃς εἰς τὴν ἀκολουθίαν, ὡσὰν νὰ καταδιώκεσαι, καὶ ὡς ἐλάφι, ποὺ ξεφεύγει ἀπὸ τὰ δίκτυα τοῦ κυνηγοῦ. Διότι πρέπει νὰ γνωρίζῃς, ὅτι ὅπως ἀκριβῶς ἐκεῖνοι οἱ ὁποῖοι πορεύονται εἰς κακοὺς τόπους θὰ δώσουν ἀπολογίαν διὰ κάθε λόγον των κατὰ τὴν ἡμέραν τῆς κρίσεως, ἔτσι καὶ ὁ καθένας, ποὺ ἐργάζεται τὸ ἀγαθόν, θὰ λάβῃ μισθὸν καὶ δι' ἕνα ἀκόμα βῆμα, ἢ λόγον

---

* Ὁ Σαμουήλ, υἱὸς τοῦ Ἐλκανᾶ καὶ Ἄννης τῆς Προφήτιδος, ὑπῆρξε Προφήτης τῶν Ἑβραίων καὶ ὁ τελευταῖος ἀπὸ τοὺς Κριτάς. Ὁ Σαμουὴλ ἀπὸ μικρᾶς ἡλικίας ἀφιερώθη ὑπὸ τῶν γονέων του εἰς τὸν Θεὸν καὶ παρεδόθη εἰς τὸν ἀρχιερέα Ἠλί, διὰ νὰ ἀνατραφῇ ὑπ' αὐτοῦ. Μίαν ἡμέραν, κατὰ τὴν ὁποίαν ὁ Ἠλὶ ἐφαίνετο ὡς καταλαμβανόμενος ὑπὸ ὕπνου, ὁ δὲ Σαμουὴλ ἔμενεν εἰς τὸν ναόν, ὁ Κύριος ἐκάλεσε τὸν Σαμουήλ. Τὸ παιδίον ἐσηκώθη ἀμέσως καὶ ἔτρεξε πρὸς τὸν Ἠλί. «Ἰδού, λέγει, μὲ ἐκάλεσες καὶ ἦλθα». Ὁ δὲ Ἠλὶ εἶπε· «πήγαινε εἰς τὴν θέσιν σου, δὲν σὲ ἐκάλεσα». Ἀλλ' ὁ Κύριος ἐκάλεσε πάλιν τὸν Σαμουὴλ καὶ τὸ παιδίον πάλιν ἐπῆγεν εἰς τὸν Ἠλί, ὁ ὁποῖος τὸ διέταξε νὰ ἐπιστρέψῃ εἰς τὴν θέσιν του. Τοῦτο ἔγινε τρεῖς φορὰς καὶ τότε ὁ Ἠλὶ ἀντελήφθη ὅτι ἐκ Θεοῦ ἦτο ἡ κλῆσις, παρήγγειλε δὲ εἰς τὸν Σαμουήλ, ἐὰν κληθῇ ἐκ νέου, νὰ εἴπῃ· «λάλει, Κύριε, ὅτι ἀκούει ὁ δοῦλος σου». Τοῦτο πράγματι ἐγένετο καὶ ὁ Θεὸς ἀπεκάλυψεν εἰς τὸν Σαμουήλ, ὅτι θὰ γίνῃ Κριτὴς τοῦ Ἰσραὴλ μετὰ τὸν Ἠλὶ καὶ θὰ χρίσῃ βασιλέα τὸν Σαούλ. (Βασιλ. Α΄, κεφ. γ΄).

καλόν. Ἐὰν λοιπὸν καὶ τὴν τελευταίαν ἀκόμη εὐχὴν προφθάσης, νὰ εἰσέλθης καὶ νὰ μὴ ἐντραπῇς· διότι ἠμπορεῖς, ἀφοῦ ἐξομολογηθῇς αὐτὸ ποὺ σοῦ συνέβη εἰς τὸν προεστῶτα, νὰ εἴπης εἰς τὸ κελλίον σου, μετὰ τὴν ἀπόλυσιν τῆς ἀκολουθίας, τοὺς ψαλμούς, ποὺ σὲ ἔκαμε νὰ χάσης ἡ φαντασία τῶν δαιμόνων, ἐφ' ὅσον βεβαίως σοῦ τὸ ἐπιτρέψῃ ὁ προεστώς. Ἔτσι τὴν ἄλλην ἡμέραν θὰ εὑρεθῇς περισσότερον προετοιμασμένος εἰς τὴν ἐργασίαν τοῦ Κυρίου. Ἐὰν ὅμως παραλείψης τὴν ἐργασίαν σου ἀπὸ ἀμέλειαν, χωρὶς ἀνάγκην ἢ ἀσθένειαν, τότε θὰ ζημιωθῇς πάρα πολύ.

Γνώριζε δὲ καὶ τοῦτο, ἀγαπητέ, ὅτι ὅσον περισσότερον περιποιεῖται κανείς, χωρὶς λόγον, τὴν σάρκα του, τόσον περισσότερον πλεονάζουν μέσα του τὰ πάθη. Καὶ ὅταν ἡ ψυχὴ καταπιέζεται ἀπὸ τὴν κακὴν συνήθειαν τοῦ σώματος, τότε γίνεται ἄκαρπος. Δι' αὐτὸ καὶ ὁ Σωτὴρ λέγει· «Προσέχετε μήπως αἱ καρδίαι σας παραφορτωθοῦν ἀπὸ τὴν κραιπάλην καὶ τὴν μέθην καὶ ἀπὸ τὰς βασανιστικὰς φροντίδας τῆς ζωῆς» (Λουκ. κα', 34). Ἐξ ἀφορμῆς αὐτοῦ λέγει καὶ ὁ Ἀπόστολος· «ταλαιπωρῶ τὸ σῶμα μου καὶ τὸ μεταχειρίζομαι ὡς δοῦλον μήπως ἐνῷ κηρύττω εἰς ἄλλους, ἐγὼ ὁ ἴδιος γίνω ἀδόκιμος» (Α' Κορ. θ', 27). Ἐὰν ὅμως κανεὶς βιάζῃ τὸ σῶμα του εἰς τὸ ἔργον τοῦ Κυρίου, τότε τοῦτο γίνεται περισσότερον εὔρωστον καὶ ἡ ψυχὴ λαμπρύνεται. Διότι ὅπως ἀκριβῶς ὁ ἀθλητὴς χρησιμοποιεῖ τὴν γυμναστικὴν τοῦ σώματος, διὰ νὰ προσαρμόσῃ τὸ σῶμα πρὸς τὴν τακτικὴν τοῦ ἀγῶνος, ἔτσι καὶ ὁ ἀγωνιστὴς τῆς εὐσεβείας ὀφείλει νὰ γυμνάζεται εἰς κάθε καλὸν ἔργον.

Θέλω τώρα νὰ σοῦ εἰπῶ καὶ διὰ τὸν νυσταγμόν. Ὅπως νομίζω, τρεῖς εἶναι αἱ αἰτίαι ποὺ τὸν προκαλοῦν. Ὅταν, δηλαδή, ὁ ἀδελφὸς ἀρχίσῃ νὰ ψάλλῃ ἢ νὰ προσεύχεται, ἀμέσως ὁ διάβολος τὸν κάνει νὰ νυστάξῃ, διὰ νὰ ἐγκαταλείψῃ τὴν προσευχὴν καὶ νὰ φύγῃ. Ἀλλ' ὅμως ἂν ἀντιδράσῃ ὁ ἀδελφὸς καὶ δὲν παραμελήσῃ, τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ τοῦ κάμῃ ὁ διάβολος. Περισσότερον θὰ ἐνοχληθῇ ἀπὸ τὸν νυσταγμόν, ἂν ὁ στόμαχός του ἔχῃ φορτωθῆ ἀπὸ φαγητὰ καὶ ποτά. Ἔπειτα, εἰς τὸ μέσον τῆς ἀκολουθίας, ἔρχεται πάλιν νυσταγμὸς εἰς τὸν ἀδελφὸν ἀπὸ ἀμέλειάν του, ὅταν δὲν φροντίσῃ, ἐντείνων τὰς δυνάμεις του, νὰ σταθῇ μέχρις ὅτου τελειώσῃ ὁ κανὼν (ἡ ἀκολουθία εἰς τὴν ἐκκλησίαν), ἀλλ' ἀποχαυνωμένος δὲν θεωρεῖ μεγάλην ζημίαν νὰ ἀφήσῃ τοὺς ψάλλοντας, διὰ νὰ ὑπάγῃ εἰς τὸ στρῶμα του ἢ νὰ καθήσῃ ἔξω ἀπὸ τὸν Ναὸν καὶ νὰ κοιμηθῇ. Ἀλλὰ καὶ ἀφοῦ τελειώσῃ ὁ κανὼν τῆς καθημερινῆς ἀκολουθίας, ἐπέρχεται εἰς τὸν ἀδελφὸν νυσταγμός· αὐτὸς ὅμως εἶναι φυσιολογικός, ὅταν μάλιστα ὁ ἀδελφὸς εἶναι ἀσθενικός, πρᾶγμα ποὺ πρέπει νὰ συγχωρήσωμεν καὶ ποὺ δὲν εἶναι, ἴσως, ἀταίριαστον εἰς ἀσθενεῖς.

Σύ, ὅμως, ἀδελφέ, νὰ μὴ ἀμελῇς νὰ προσέχῃς εἰς ὅλα (Β' Τιμοθ. δ', 5)· καὶ ὅταν σταθῇς εἰς τὴν ἀκολουθίαν ἀνάμεσα εἰς τοὺς ἀδελφούς, εἴτε καὶ μόνος σου, διὰ νὰ δοξολογήσῃς τὸν Κύριον καὶ Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν καὶ σὲ ἐνοχλήσῃ ὁ πρῶτος νυσταγμός, μόλις τὸ ἀντιληφθῇς, νὰ ἀντισταθῇς μὲ ἐπιμονήν. Καὶ ἂν ἀκόμη σὲ νικήσῃ εἰς τὴν

ἀρχὴν καὶ πρώτην καὶ δευτέραν φοράν, σὺ νὰ μὴ μετακινηθῇς ἀπὸ τὸν τόπον σου καὶ θὰ εὕρῃς μεγάλην ὠφέλειαν. Διότι καὶ τὸ πάθος, τοῦ πολλοῦ ὕπνου ὁμοιάζει μὲ τὴν λαιμαργίαν. Ἂν κανεὶς συνηθίσῃ νὰ τρώγῃ πολύ, τότε καὶ ὁ ὀργανισμός του ζητεῖ πολὺ φαγητόν. Ἂν, πάλιν, συνηθίσῃ κανεὶς νὰ ἐγκρατεύεται εἰς τὸ φαγητόν, οὔτε καὶ ὁ ὀργανισμὸς ἀπαιτεῖ πολυφαγίαν· τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν ὕπνον. Πῶς θὰ τολμήσῃς νὰ ἀφήσῃς τὴν ἀκολουθίαν καὶ νὰ ἐξέλθῃς, προτοῦ νὰ γίνῃ ἀπόλυσις, χωρὶς σοβαρὰν ἀνάγκην; Ἂν, δηλαδή, ἀδελφέ, εἶχες προσκληθῆ εἰς δεῖπνον ἑνὸς πλουσίου ἀνδρός, θὰ ἐτολμοῦσες νὰ σηκωθῇς ἀνάμεσα ἀπὸ τοὺς προσκεκλημένους καὶ νὰ ὑπάγῃς εἰς τὸ σπίτι σου; Δὲν θὰ παρέμενες μέχρις ὅτου σηκωθοῦν διὰ νὰ φύγουν ὅλοι;

Ἂς φοβηθῶμεν λοιπόν, ἀγαπητέ, τὸν Δεσπότην τοῦ οὐρανοῦ καὶ τῆς γῆς· ἂς φροντίσωμεν νὰ Τὸν εὐχαριστοῦμεν, διότι ἔχει γραφῆ· «ἂς εἶναι ἐπικατάρατος ὁ καθένας, ποὺ ἐκτελεῖ ἀμελῶς τὰ ἔργα τοῦ Κυρίου» (Ἱερεμ. λα', 10). Σκέψου τοὺς ἁλιεῖς, ὅτι κάθε νύκτα ἀγρυπνοῦν, καὶ ἐπιμένουν εἰς τὴν ἐργασίαν των· ἂν δὲ κάποιος ἀπὸ αὐτοὺς νυστάξῃ, παραμελήσῃ τὸ ἔργον του καταπιεζόμενος ὑπὸ τοῦ ὕπνου καὶ κοιμηθῆ, ὅταν ἐξυπνήσῃ, βλέπει ὅτι αὐτὸς δὲν ἔπιασε τίποτε, ἐνῷ ἐκεῖνοι ποὺ ἠγρύπνησαν, ἱκανοποιήθησαν, καὶ τότε ἀρχίζει νὰ μετανοῇ μέσα του καὶ νὰ λέγῃ· ἀλλοίμονον εἰς ἐμὲ τὸν ἀδιάφορον καὶ ὀκνηρόν, διότι μὲ ἐπῆρεν ὁ ὕπνος καὶ τώρα γυρίζω μὲ ἄδεια χέρια. «Διότι —καθὼς λέγει— ἐκοιμήθησαν τὸν ὕπνον αὐτῶν καὶ δὲν ηὗραν τίποτε» (Ψαλμ. οε', 6).

Φέρε, ἀκόμη, εἰς τὸν νοῦν σου καὶ ἐκείνους ποὺ ἀσχολοῦνται μὲ τὴν κεραμευτικὴν καὶ τοὺς σιδηρουργούς· θὰ εὕρῃς καὶ ἐκεῖ ὑπερβολικὸν κόπον, πολλὴν καὶ ἐντατικὴν ἀγρυπνίαν. Καὶ ἐκεῖνοι μὲν διὰ τὰ ἔργα τῆς παρούσης ζωῆς ὑπομένουν τόσον κόπον καὶ ταλαιπωρίαν· ἐνῷ ἡμεῖς, χωρὶς νὰ ὑφιστάμεθα τίποτε τὸ κουραστικόν, ἢ ἀηδιαστικόν, ἀλλὰ παραμένοντες εἰς τόπον καθαρὸν καὶ ἡγιασμένον ἐνώπιον Κυρίου τοῦ Θεοῦ ἡμῶν, μὲ σοβαρότητα καὶ εἰρήνην πολλὴν καὶ πνευματικὴν ἀγαλλίασιν καὶ καλὴν ἐλπίδα, διατί, ἀγαπητέ μου, νὰ παραμελῶμεν καὶ νὰ ἀποχαυνωνώμεθα καὶ νὰ μὴ ἐντείνωμεν ὅλας μας τὰς δυνάμεις εἰς τὴν γλυκυτάτην λατρείαν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν; Διότι λέγει καὶ ὁ Δαυῒδ «πόσον γλυκὰ εἶναι τὰ λόγια Σου εἰς τὸν λαρυγγά μου· περισσότερον ἀπὸ μέλι γλυκαίνουν τὸ στόμα μου» (Ψαλμ. ριη', 103)· ἀλλοῦ, πάλιν, λέγει· «χαίρουν τὰ χείλη μου, ὅταν σὲ ὑμνῶ καὶ ἡ ψυχή μου, τὴν ὁποίαν ἐλύτρωσες» (Ψαλμ. ο', 23).

Πόσος εἶναι ὁ καιρὸς ποὺ θὰ ζήσωμεν ἐπάνω εἰς τὴν γῆν, ὥστε νὰ παραμελοῦμεν τὴν σωτηρίαν μας; Νὰ ὁ ἴδιος Προφήτης φωνάζει· «ὁ ἄνθρωπος ὁμοιάζει μὲ τὴν ματαιότητα, ὡσὰν σκιὰ παρέρχονται αἱ ἡμέραι του» (Ψαλμ. ρμγ', 4).

Μὴ φιλονικῇς λοιπόν, ἀγαπημένε δοῦλε τοῦ Χριστοῦ, μὲ ἐμένα τὸν ἀμελῆ καὶ ἀνυπόμονον, καὶ γνώριζε καλὰ ὅτι ἐκεῖνος, ποὺ ἐπαγρυ-

πνεῖ, αὐτὸς θὰ κερδίσῃ, ἐνῷ ὁ ἀμελὴς καὶ ἀδιάφορος ζημιώνεται ὁ ἴδιος. Διότι ὁ καθένας μας θὰ δώσῃ εἰς τὸν Θεὸν ἀπολογίαν διὰ τὸν ἑαυτόν του μόνον. Ἀλλὰ οὔτε ὡς κέρδος νὰ θεωρῇς τὸν ὕπνον καὶ τὴν σωματικὴν ἀνάπαυσιν· ἀπ' ἐναντίας νὰ τὰ θεωρῇς μεγίστην ζημίαν. Διότι πραγματικὸν κέρδος εἶναι ἡ Βασιλεία τοῦ Θεοῦ.

Ἂς βιάσωμεν, λοιπόν, καὶ ἡμεῖς τοὺς ἑαυτούς μας, ἀγαπητοί, διὰ νὰ ἐπιτύχωμεν καὶ τὴν Βασιλείαν τῶν Οὐρανῶν καὶ τὸν μακαρισμὸν τοῦ Θεοῦ. Ὅπως εἶπε, θὰ εἶναι «μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, ποὺ ὅταν ἔλθῃ ὁ Κύριος θὰ τοὺς εὕρῃ νὰ εἶναι ἐπαγρυπνοῦντες» (Λουκ. ιβ', 37). Ὄχι δὲ μόνον τοὺς ἑαυτούς μας, ἀλλὰ καὶ τοὺς ἄλλους νὰ προτρέπωμεν καὶ νὰ νουθετῶμεν, μὲ ἀγάπην, διὰ νὰ ἔχουν φόβον Κυρίου καὶ νὰ ἐπαυξάνωμεν μεταξύ μας τὴν προθυμίαν εἰς τὴν δοξολογίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔτσι ὄχι μόνον χάριν τῶν ἑαυτῶν μας, ἀλλὰ καὶ χάριν τῆς ὠφελείας τοῦ πλησίον θὰ ἀπολαύσωμεν μεγάλας ἀμοιβὰς ἀπὸ Αὐτόν, ποὺ εἶπε· «ἐφ' ὅσον ἐκάματε τὸ καλὸν εἰς ἕνα ἐκ τῶν ἐλαχίστων ἀδελφῶν μου, εἰς ἐμὲ τὸ ἐκάματε» (Ματθ. κε', 40).

ΣΤ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΑΝΑΣΤΗΣ ἐν τῷ κελλίῳ σου ποιῆσαι τὴν λειτουργίαν σου, ὅρα μὴ καταφρονήσῃς ἐν ἀμελείᾳ, καὶ ἀντὶ τοῦ τιμᾶν τὸν Θεὸν εὑρεθῇς παροργίζων αὐτόν, ἀλλὰ στῆθι ἐν φόβῳ Θεοῦ. Μὴ κλίνῃς ἑαυτὸν εἰς τὸν τοῖχον καὶ μὴ χαυνώσῃς τοὺς πόδας σου ἱστάμενος εἰς τὸν ἕνα καὶ κουφίζων τὸν ἄλλον ὡς οἱ ἄφρονες· ἀνθίστα δὲ τὴν καρδίαν σου μὴ περιεργάζεσθαι ἐν τοῖς θελήμασί σου, ἵνα ὁ Θεὸς προσδέξηται τὴν θυσίαν σου.

Ἑρμηνεία

ΕΑΝ ΣΗΚΩΘΗΣ τὴν νύκτα εἰς τὸ κελλί σου, διὰ νὰ κάμῃς τὴν προσευχήν σου, πρόσεχε μὴ τυχὸν δείξῃς καταφρόνησιν πρὸς τὴν ἱερότητα τῆς στιγμῆς μὲ τὴν ἀμέλειάν σου, καὶ ἀντὶ νὰ τιμᾷς τὸν Θεόν, τὸν παροργίζεις. Στάσου μὲ φόβον Θεοῦ. Νὰ μὴ ἀκουμπᾷς εἰς τὸν τοῖχον καὶ νὰ μὴ ξεκουράζῃς τοὺς πόδας σου, μὲ τὸ νὰ στηρίζεσαι πότε εἰς τὸν ἕνα καὶ πότε εἰς τὸν ἄλλον, ὅπως κάμνουν οἱ ἄφρονες. Νὰ συγκρατῇς τὴν καρδίαν σου νὰ μὴ ἀπασχολῆται μὲ τὰ θελήματά σου, διὰ νὰ δεχθῇ ὁ Θεὸς τὴν θυσίαν σου.

Ζ'. Ἐκ τῆς Διατάξεως Πέτρου καὶ Παύλου

ΕΥΧΑΣ ἐπιτελεῖτε ὄρθρῳ, καὶ τρίτῃ ὥρᾳ, καὶ ἕκτῃ, καὶ ἐνάτῃ, καὶ ἑσπέρᾳ, καὶ ἀλεκτοροφωνίᾳ. Ὄρθρῳ μέν, ὅτι ἐφώτισεν ἡμᾶς ὁ Κύριος, παραγαγὼν τὴν νύκτα καὶ ἐπαγαγὼν τὴν ἡμέραν· τρίτῃ δέ, ὅτι ἐν αὐτῇ τὴν ἀπόφασιν ἀπὸ Πιλάτου ἔλαβεν ὁ Χριστός· ἕκτῃ δέ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη· ἐνάτῃ δέ, ὅτι πάντα κεκίνητο τοῦ Δεσπότου ἐσταυρωμένου, φρίττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων καὶ μὴ φέροντα τὴν τοῦ Κυρίου ὕβριν. Ἐφ' ἑσπέρᾳ δέ, ὅτι ἡμῖν ἀνάπαυσιν δέδωκε τῶν καθημερινῶν κόπων τὴν νύκτα· ἀλεκτρυόνων δὲ κραυγῇ, διὰ

τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας, εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων.

Ἑρμηνεία

ΝΑ ΕΠΙΤΕΛΗΤΕ εὐχὰς εἰς τὸν ὄρθρον, καὶ εἰς τὴν τρίτην ὥραν*, καὶ εἰς τὴν ἕκτην, καὶ εἰς τὴν ἐνάτην καὶ τὸ ἑσπέρας καὶ κατὰ τὰ μεσάνυκτα, ὅταν λαλοῦν οἱ πετεινοί. Εἰς μὲν τὸν ὄρθρον, διότι μᾶς ἐφώ-

---

* Οἱ ἱεροὶ συγγραφεῖς τῆς Ρωμαϊκῆς ἐποχῆς διαιροῦσι συνήθως τὸ ἡμερονύκτιον εἰς ἡμέραν καὶ νύκτα, ἑκάστην ὑποδιαιρουμένην καθ' ὅλας τὰς ἐποχὰς τοῦ ἔτους εἰς δώδεκα ὥρας. Κατὰ τὴν ἐποχὴν ἐκείνην δὲν εἶχεν εἰσέτι ἐφαρμοσθῆ τὸ σημερινὸν σύστημα μετρήσεως τοῦ χρόνου ὅσον ἀφορᾷ τὴν ὑποδιαίρεσιν τοῦ ἡμερονυκτίου ἤτοι τῶν 24 ὡρῶν σταθερᾶς ἑκάστης τούτων διαρκείας ἤτοι τοῦ 1/24 τοῦ χρονικοῦ διαστήματος τὸ ὁποῖον ἀπαιτεῖται διὰ τὴν συμπλήρωσιν τοῦ ἡμερονυκτίου κύκλου. Τότε ἡ διάρκεια τῶν ὡρῶν τῆς ἡμέρας δὲν ἦτο ἡ αὐτὴ μὲ τὴν διάρκειαν τῶν ὡρῶν τῆς νυκτὸς διότι, ὡς εἴπομεν, καὶ ἡ ἡμέρα καὶ ἡ νὺξ ὑποδιῃροῦντο ἰδιαιτέρως εἰς 12 ὥρας ἑκάστη, ἑπομένως καὶ ἑκάστη ὥρα ἀποτελοῦσε τὸ 1/12 τοῦ χρονικοῦ διαστήματος τὸ ὁποῖον ἀπῃτεῖτο διὰ μὲν τὴν ἡμέραν ἀπὸ τῆς ἀνατολῆς μέχρι δύσεως τοῦ ἡλίου, διὰ δὲ τὴν νύκτα ἀπὸ τῆς δύσεως μέχρι τῆς ἀνατολῆς αὐτοῦ. Κατὰ συνέπειαν μόνον κατὰ τὴν ἰσημερίαν, ὅτε ἡ διάρκεια τῆς τε ἡμέρας καὶ τῆς νυκτὸς εἶναι ἡ αὐτὴ καὶ τὸ μῆκος τῶν ὡρῶν ἑκάστης τούτων ἦτο τὸ αὐτό. Τοῦτο ἐπίσης συμβαίνει καὶ εἰς τὴν περιοχὴν τοῦ Ἰσημερινοῦ. Διὰ τὰς ἐντεῦθεν ὅμως καὶ ἐκεῖθεν τοῦ ἰσημερινοῦ περιοχὰς τὸ μῆκος τῆς ἡμέρας καὶ τῆς νυκτὸς ποικίλλει ἐκ τῆς πλαγιότητος τοῦ ἡλίου κατὰ τὰς διαφόρους ἐποχὰς τοῦ ἔτους.

Καὶ ἡ μὲν ἀρίθμησις τῶν ὡρῶν τῆς ἡμέρας ἤρχιζεν ἀπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ ἐτερματίζετο κατὰ τὴν δύσιν αὐτοῦ, ἥτις ὠνομάζετο πάντοτε δωδεκάτη ὥρα τῆς ἡμέρας, ἡ δὲ ἀρίθμησις τῶν ὡρῶν τῆς νυκτὸς ἤρχιζεν ἀπὸ τῆς δύσεως τοῦ ἡλίου καὶ ἐτερματίζετο κατὰ τὴν ἀνατολὴν ὅτε συνεπληροῦντο αἱ δώδεκα ὧραι τῆς νυκτός. Κατὰ ταῦτα τὸ μὲν θέρος, ὅτε ἡ διάρκεια τῆς ἡμέρας εἶναι μεγάλη, καὶ αἱ ὧραι τῶν θερινῶν ἡμερῶν ἦσαν μεγαλυτέρας διαρκείας, αἱ δὲ ὧραι τῆς νυκτὸς ἦσαν μικρότεραι, ἐφ' ὅσον μικροτέρα εἶναι καὶ ἡ νύξ. Τὸν χειμῶνα ἐξ ἀντιθέτου, ὅτε ἡ ἡμέρα εἶναι μικρὰ καὶ αἱ ὧραι ἦσαν μικρότεραι, τὴν δὲ νύκτα μεγαλύτεραι ἀναλόγως τῆς διαρκείας τῆς νυκτός. Ὅταν λοιπὸν ἀκούωμεν ἐν ταῖς Ἁγίαις Γραφαῖς δωδεκάτην ὥραν τῆς ἡμέρας ἐννοοῦμεν πάντοτε τὴν ὥραν τῆς δύσεως τοῦ ἡλίου, ἕκτη δὲ ὥρα τῆς ἡμέρας εἶναι ἡ μεσημβρία, ἐνῷ ἕκτη τῆς νυκτὸς τὸ μεσονύκτιον.

Ἐκτὸς τῆς εἰς δώδεκα ὥρας ὑποδιαιρέσεως τῆς ἡμέρας καὶ ἄλλας δώδεκα τῆς νυκτὸς ὑπῆρχε κατὰ τὴν ἐποχὴν τῆς εἰς τὸν κόσμον παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἄλλη εἰσέτι ὑποδιαίρεσις αὐτῶν εἰς τέσσαρα τέταρτα. Καὶ τῆς μὲν ἡμέρας τὸ πρῶτον τέταρτον ἐκαλεῖτο ὥρα τρίτη ἢ πρωῒ καὶ ἀντιστοιχεῖ πρὸς τὴν σημερινὴν 9ην π.μ. περίπου, τὸ δεύτερον τέταρτον ἐκαλεῖτο ὥρα ἕκτη ἢ μεσημβρία ἢ καῦμα, ὅπως ἐλέγετο εἰς τὰς θερμὰς περιοχάς, καὶ ἀντιστοιχεῖ πρὸς τὴν σημερινὴν 12ην περίπου μεσημβρινήν, τὸ τρίτον τέταρτον ἐκαλεῖτο ἐνάτη ὥρα ἢ ἀπόγευμα καὶ ἀντιστοιχεῖ πρὸς τὴν σημερινὴν 3ην περίπου μετὰ μεσημβρίαν, τὸ δὲ τέ-

τισεν ὁ Κύριος, ἔδιωξε τὴν νύκτα καὶ ἔφερε τὴν ἡμέραν. Τὴν τρίτην ὥραν, διότι κατ' αὐτὴν ἔλαβεν ὁ Χριστὸς ἀπὸ τὸν Πιλᾶτον τὴν ἀπόφασιν τῆς Σταυρώσεως· τὴν ἕκτην ὥραν, διότι κατ' αὐτὴν ἐσταυρώθη· τὴν ἐνάτην ὥραν, διότι κατ' αὐτὴν ὅλα ἐσείσθησαν, ἐπειδὴ ἐσταυρώνετο ὁ Κύριος, ἀπὸ φρίκην διὰ τὴν τόλμην τῶν ἀσεβῶν Ἰουδαίων καὶ διότι δὲν ὑπέφερον τὴν προσβολὴν τοῦ Κυρίου.

Κατὰ τὴν ἑσπέραν, διότι μᾶς ἔδωσεν ὡς ἀνάπαυσιν ἀπὸ τοὺς καθημερινοὺς κόπους τὴν ἐπερχομένην νύκτα. Τὰ μεσάνυκτα, τέλος, ὅταν φωνάζουν οἱ πετεινοί, διότι ἀπὸ τὴν ὥραν ἐκείνην ἀναγγέλλεται ἡ ἐμφάνισις τῆς ἡμέρας, διὰ νὰ ἐργασθῶμεν τὰ ἔργα τοῦ φωτός.



ταρτον εἶναι ἡ δωδεκάτη ὥρα καὶ ἐκαλεῖτο δειλινόν. Τῆς νυκτὸς δὲ τὸ πρῶτον τέταρτον ἐκαλεῖτο πρώτη φυλακὴ ἢ Ἑσπέρα, τὸ δεύτερον δευτέρα φυλακὴ ἢ Μεσονύκτιον, τὸ τρίτον τρίτη φυλακὴ ἢ Ἀλεκτοροφωνία καὶ τὸ τέταρτον τετάρτη φυλακὴ ἢ Ὄρθρος, ἦτο τὸ χρονικὸν διάστημα πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, ἡ αὐγή, τὰ χαράματα ὅπως λέγομεν σήμερον. Εἰς τὰς ὥρας ταύτας θεσπίζουν διὰ τῆς διαταγῆς των ταύτης οἱ Ἅγιοι Ἀπόστολοι Πέτρος καὶ Παῦλος νὰ ἐπιτελοῦμεν τὰς προσευχάς μας.

ΥΠΟΘΕΣΙΣ ΙΑ΄

Περὶ ψαλμῳδίας καὶ προσευχῆς καὶ τῆς ἐν αὐταῖς εὐταξίας.

Περὶ ψαλμῳδίας καὶ προσευχῆς καὶ τῆς εὐταξίας, ἡ ὁποία πρέπει νὰ τηρῆται κατ᾽ αὐτάς.

Α΄. Παλλαδίου

ΑΒΒΑΣ Παμβὼ ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ πωλῆσαι τὸ ἐργόχειρον αὐτοῦ· ποιήσας δὲ ἡμέρας ἓξ καὶ δέκα (ὡς ἔλεγεν ἡμῖν), τὰς νύκτας ἐκάθευδεν ἐν τῷ νάρθηκι τῆς Ἐκκλησίας ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἀποστόλου Μάρκου· καὶ ἰδὼν τὴν ἀκολουθίαν τῆς Ἐκκλησίας, ἀνέκαμψε πρὸς τὸν γέροντα, ἔμαθε δὲ καὶ τροπάρια. Λέγει οὖν αὐτῷ ὁ γέρων· ὁρῶ σε, τέκνον, τεταραγμένον· μή τις πειρασμός σοι συνέβη ἐν τῇ πόλει; Ἀποκρίνεται ὁ ἀδελφός· φύσει, Ἀββᾶ, ἐν ἀμελείᾳ δαπανῶμεν τὰς ἡμέρας ἡμῶν ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ οὔτε κανόνας οὔτε τροπάρια ψάλλομεν· ἀπελθὼν γὰρ ἐν Ἀλεξανδρείᾳ εἶδον τὰ τάγματα τῆς Ἐκκλησίας πῶς ψάλλουσι καὶ ἐν λύπῃ γέγονα πολλῇ, διότι οὐ ψάλλομεν καὶ ἡμεῖς κανόνας καὶ τροπάρια.

Λέγει αὐτῷ ὁ γέρων· οὐαὶ ἡμῖν, τέκνον, ὅτι ἔφθασαν αἱ ἡμέραι, ἐν αἷς καταλείψουσιν οἱ Μοναχοὶ τὴν στερεὰν τροφὴν τὴν διὰ τοῦ Ἁγίου Πνεύματος ρηθεῖσαν, καὶ ἐξακολουθήσουσιν ᾄσμασι καὶ ἤχοις· ποία γὰρ κατάνυξις, ποῖα δάκρυα τίκτονται ἐκ τῶν τροπαρίων, ὅτε ἐν Ἐκκλησίαις τις ἵσταται ἢ ἐν κελλίῳ καὶ ὑψοῖ τὴν φωνὴν αὐτοῦ ὡς οἱ βόες; Εἰ γὰρ ἐνώπιον τοῦ Θεοῦ παριστάμεθα, ἐν πολλῇ κατανύξει ὀφείλομεν παρίστασθαι, καὶ οὐχὶ ἐν μετεωρισμῷ. Καὶ γὰρ οὐκ ἐξῆλθον οἱ Μοναχοὶ ἐν τῇ ἐρήμῳ ταύτῃ ἵνα παρίστανται τῷ Θεῷ καὶ μετεωρίζωνται καὶ μελῳδῶσιν ᾄσματα καὶ ρυθμίζωσιν ἤχους καὶ σείωσι χεῖρας καὶ μεταφέρωσι πόδας, ἀλλ᾽ ὀφείλομεν ἐν φόβῳ Θεοῦ καὶ τρόμῳ, δάκρυσί τε καὶ στεναγμοῖς, μετὰ εὐλαβοῦς καὶ εὐκατανύκτου καὶ μετρίας καὶ ταπεινῆς φωνῆς τὰς προσευχὰς τῷ Θεῷ προσφέρειν.

Ἰδοὺ γὰρ λέγω σοι, τέκνον, ὅτι ἐλεύσονται ἡμέραι, ὅτε φθεροῦσιν οἱ Χριστιανοὶ τὰς βίβλους τῶν Ἁγίων Εὐαγγελίων καὶ τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν

θεσπεσίων Προφητῶν, λειαίνοντες τὰς Ἁγίας Γραφάς, καὶ γράφοντες τροπάρια καὶ Ἑλληνικοὺς λόγους, καὶ χυθήσεται ὁ νοῦς εἰς ταῦτα, ἐκείνων δὲ ἀποστήσεται. Καὶ διὰ τοῦτο οἱ Πατέρες ἡμῶν εἰρήκασιν, ἵνα οἱ ἐν τῇ ἐρήμῳ ταύτῃ ὄντες μὴ γράφωσι τοὺς βίους καὶ λόγους τῶν Πατέρων ἐν μεμβράναις, ἀλλ' ἐν χαρτώοις. Μέλλει γὰρ ἡ ἐρχομένη γενεὰ λειαίνειν τοὺς βίους τῶν Πατέρων καὶ γράφειν κατὰ τὰ θελήματα αὐτῶν· μεγάλη γὰρ ἡ ἐρχομένη ἀνάγκη.

Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· τί οὖν; ἀλλαγήσονται τὰ ἔθη καὶ αἱ παραδόσεις τῶν Χριστιανῶν καὶ οὐκ ἔσονται ἱερεῖς ἐν τῇ Ἐκκλησίᾳ, ἵνα ταῦτα γένηται; Καὶ εἶπεν ὁ γέρων· ἐν τοῖς τοιούτοις καιροῖς ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἔσται θλῖψις οὐκ ὀλίγη, ἐθνῶν ἐπιδρομαὶ καὶ λαῶν κινήσεις, βασιλέων ἀκαταστασία, ἱερέων σπατάλη, μοναζόντων ἀμέλεια. Ἔσονται οἱ ἡγούμενοι καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας καὶ τοῦ ποιμνίου, πρόθυμοι πάντες καὶ σπουδαῖοι εἰς τὰς τραπέζας, μαχιμάριοι, ὀκνηροὶ εἰς τὰς εὐχὰς καὶ εἰς τὰς καταλαλιὰς πρόθυμοι. Πρόχειροι εἰς τὸ κατακρῖναι τοὺς βίους τῶν γερόντων καὶ τοὺς λόγους αὐτῶν μήτε μιμούμενοι μήτε ἀκούοντες, ἀλλὰ μᾶλλον λοιδοροῦντες καὶ λέγοντες, ὅτι εἰ ἤμεν καὶ ἡμεῖς ἐν ταῖς ἡμέραις αὐτῶν ἠγωνισάμεθα ἂν καὶ ἡμεῖς.

Οἱ δὲ Ἐπίσκοποι ἐν ταῖς ἡμέραις ἐκείναις ἔσονται αἰδούμενοι πρόσωπα δυνατῶν, κρίνοντες κρίσεις ἐν δώροις, μὴ ὑπερασπίζοντες πτωχοὺς ἐν κρίματι, θλίβοντες χήρας, ὀρφανοὺς καταπονοῦντες· εἰσελεύσεται δὲ καὶ εἰς τὸν λαὸν ἀπιστία, μῖσος, ἔχθρα, ζῆλος, ἐριθεία, κλοπαί, μέθαι. Καὶ εἶπεν ὁ ἀδελφός· τί οὖν ποιήσει τις ἐν τοῖς καιροῖς καὶ χρόνοις ἐκείνοις; Καὶ εἶπεν ὁ γέρων· τέκνον, ἐν ταῖς τοιαύταις ἡμέραις ὁ σώζων σώζει τὴν ἑαυτοῦ ψυχήν, καὶ μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἑρμηνεία

† Ο ΑΒΒΑΣ Παμβὼ ἀπέστειλε τὸν μαθητήν του νὰ πωλήσῃ τὸ ἐργόχειρόν του. Ἀπουσίασε δὲ δέκα ἕξ ἡμέρας, ὅπως μᾶς ἔλεγε. Κατὰ τὰς νύκτας ἐκοιμᾶτο εἰς τὸν νάρθηκα τοῦ ναοῦ τοῦ Ἁγίου Ἀποστόλου Μάρκου*. Καὶ ἀφοῦ εἶδε πῶς γίνεται ἡ ἀκολουθία εἰς τὰς Ἐκκλησίας τῶν πόλεων, ἔμαθε δὲ καὶ μερικὰ τροπάρια, ἐπέστρεψεν εἰς τὸν Γέροντά του.

— Τέκνον μου, —τοῦ λέγει ὁ Γέρων— σὲ βλέπω ταραγμένον· μήπως σοῦ συνέβη κανένας πειρασμὸς εἰς τὴν πόλιν;

— Πραγματικῶς, Ἀββᾶ, —ἀπήντησεν ὁ ἀδελφὸς— ἐξοδεύομεν ἀνωφελῶς τὰς ἡμέρας μας εἰς αὐτὴν τὴν ἔρημον καὶ δὲν ψάλλομεν οὔτε κανόνας, οὔτε τροπάρια. Τώρα δηλαδὴ ποὺ ἐπῆγα εἰς τὴν Ἀλεξάνδρειαν εἶδα πῶς ψάλλουν οἱ ψάλται εἰς τὴν Ἐκκλησίαν καὶ ἐλυπήθηκα πολύ, διότι δὲν ψάλλομεν καὶ ἡμεῖς κανόνας καὶ τροπάρια.

---

* Πρόκειται περὶ τοῦ Καθεδρικοῦ Ναοῦ τῆς Ἀλεξανδρείας τιμωμένου ἐπ' ὀνόματι τοῦ Ἁγίου Ἀποστόλου Μάρκου, ὅστις ὑπῆρξεν ὁ ἱδρυτὴς τῆς Ἀλεξανδρινῆς Ἐκκλησίας.

Ὁ Γέρων τότε τοῦ ἀπαντᾷ:

— Ἀλλοίμονον τέκνον μου, διότι ἔφθασαν αἱ ἡμέραι, κατὰ τὰς ὁποίας θὰ ἐγκαταλείψουν οἱ Μοναχοὶ τὴν στερεὰν τροφήν, ἡ ὁποία παρεδόθη εἰς αὐτοὺς διὰ τοῦ Ἁγίου Πνεύματος, καὶ θὰ ἀκολουθήσουν ἄσματα καὶ ἤχους. Διότι ποία κατάνυξις, ποῖα δάκρυα γεννῶνται ἀπὸ τὰ τροπάρια, ὅταν στέκη κανεὶς εἰς τὰς Ἐκκλησίας ἢ εἰς τὸ κελλί του καὶ ὑψώνει τὴν φωνήν του ὅπως τὰ βόδια; Διότι ἐφ' ὅσον στεκόμεθα ἐμπρὸς εἰς τὸν Θεόν, πρέπει νὰ στέκωμεν μὲ πολλὴν κατάνυξιν καὶ νὰ μὴ περιπλανᾶται ἄσκοπα ἐδῶ καὶ ἐκεῖ ὁ νοῦς μας. Βεβαίως οἱ Μοναχοὶ δὲν ἐβγῆκαν εἰς αὐτὴν τὴν ἔρημον ἵνα, ὅταν παρίστανται ἐνώπιον τοῦ Θεοῦ φουσκώνουν τὴν διάνοιάν των μὲ τὸ νὰ ψάλλουν ἄσματα καὶ νὰ ρυθμίζουν ἤχους καὶ νὰ κινοῦν τὰς χεῖρας καὶ νὰ μετακινοῦν τοὺς πόδας. Ἀπ' ἐναντίας, ὀφείλομεν, μὲ φόβον Θεοῦ καὶ μὲ τρόμον, μὲ δάκρυα καὶ στεναγμοὺς νὰ προσφέρωμεν τὰς προσευχάς μας εἰς τὸν Θεὸν καὶ ἡ φωνή μας νὰ εἶναι σοβαρά, κατανυκτική, μετρία καὶ ταπεινή.

Διότι σὲ διαβεβαιῶ, τέκνον μου —συνέχισεν ὁ Ἀββᾶς Παμβῶ— ὅτι θὰ ἔλθουν ἡμέραι, κατὰ τὰς ὁποίας οἱ Χριστιανοὶ θὰ καταστρέψουν τὰ βιβλία τῶν Ἁγίων Εὐαγγελίων καὶ τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν θεσπεσίων Προφητῶν, μὲ τὸ νὰ ἀποξέουν ἀπὸ τὰς μεμβράνας* τὰς Ἁγίας Γραφὰς καὶ νὰ γράφουν ἐπάνω εἰς αὐτὰς τροπάρια καὶ Ἑλληνικοὺς λόγους· καὶ ὁ νοῦς των, τότε, θὰ ἀφοσιωθῇ εἰς αὐτὰ καὶ θὰ ἀπομακρυνθῇ ἀπὸ τὰς Ἁγίας Γραφάς. Δι' αὐτὸ οἱ Πατέρες ἔδωσαν ἐντολὴν νὰ μὴ γράφουν, αὐτοὶ ποὺ ἀσκητεύουν εἰς τὴν ἔρημον αὐτήν, τοὺς βίους καὶ τοὺς λόγους τῶν Πατέρων εἰς μεμβράνας, ἀλλ' εἰς χάρτην. Διότι πρόκειται ἡ ἐρχομένη γενεὰ νὰ ἀποξέῃ ἀπὸ τὰς μεμβράνας τοὺς βίους τῶν Πατέρων καὶ νὰ ἀναγράφῃ αὐτὰ ποὺ θὰ θέλει. Θὰ εἶναι δηλαδὴ μεγάλη ἡ ἐρχομένη ἀνάγκη.

Ἠρώτησε, πάλιν, ὁ ἀδελφὸς τὸν Ἀββᾶν Παμβῶ:

— Τί λοιπόν; Θὰ ἀλλάξουν τὰ ἔθιμα καὶ αἱ παραδόσεις τῶν Χριστιανῶν; Καὶ δὲν θὰ ὑπάρχουν ἱερεῖς εἰς τὴν Ἐκκλησίαν, διὰ νὰ συμβοῦν αὐτά;

Καὶ ὁ Γέρων ἀπήντησεν:

---

* Κατὰ τὴν ἐποχὴν ἐκείνην, ὅτε ὡς χάρτην μετεχειρίζοντο τὰς μεμβράνας καὶ τοὺς παπύρους, πολλὰς φοράς, διὰ τὴν ἔλλειψίν των, ἀπέξεον ὅσα ἦσαν γεγραμμένα ἐπ' αὐτῶν καὶ ἔγραφον ἄλλα. Οὕτως εἰς παπύρους, ὅπου ἦσαν γραμμένα ἔργα ἀρχαίων Ἑλλήνων, τοὺς ἀπέξεσαν καὶ ἔγραψαν Χριστιανικὰ βιβλία, ἀλλὰ καὶ ἱερὰ βιβλία ἀπεξέσθησαν ὑπὸ τῶν αἱρετικῶν διὰ νὰ γράφουν οὗτοι τὰς δοξασίας αὐτῶν. Ἡ μεμβράνη κατεσκευάζετο ἀπὸ δέρματα ἐμβρύων ζώων. Λόγῳ ἐλλείψεως μεμβρανῶν ἀπέξεον ἀπὸ παλαιὰς μεμβράνας κείμενα καὶ ἀνέγραφον νέα (παλίμψηστα). Ὁ χάρτης κατεσκευάζετο ἀπὸ φύλλα τοῦ Αἰγυπτιακοῦ δένδρου παπύρου ἢ καὶ ἀπὸ τὸν φλοιόν του. Εἰς τοὺς χαρτώους κώδικας ἦτο ἀδύνατος ἡ ἀπόξεσις παλαιοῦ κειμένου καὶ ἀναγραφὴ νέου.

— Εἰς τοὺς καιροὺς αὐτοὺς θὰ ψυχρανθῇ ἡ ἀγάπη τῶν πολλῶν καὶ θὰ ὑπάρξῃ θλῖψις ὄχι ὀλίγη, ἐπιθέσεις ἐθνῶν καὶ μεταναστεύσεις λαῶν, ἀκαταστασία βασιλέων, σπατάλη ἱερέων, ἀμέλεια μοναζόντων. Οἱ Ἡγούμενοι θὰ ἀδιαφοροῦν διὰ τὴν σωτηρίαν των καὶ τοῦ ποιμνίου των, ὅλοι θὰ εἶναι πρόθυμοι νὰ τρέχουν εἰς τὰ τραπέζια, θὰ εἶναι φιλόνικοι, ὀκνηροὶ εἰς τὴν προσευχὴν καὶ πρόθυμοι εἰς τὴν καταλαλιάν, ἕτοιμοι νὰ κατακρίνουν τοὺς βίους τῶν Γερόντων καὶ τὰ λόγια των, χωρὶς νὰ τοὺς προσέχουν ἢ νὰ τοὺς μιμοῦνται, ἀλλὰ μᾶλλον νὰ τοὺς κατηγοροῦν καὶ νὰ λέγουν, ὅτι ἂν εἴμεθα καὶ ἡμεῖς εἰς τὴν ἐποχήν των καὶ ἡμεῖς θὰ ἠγωνιζόμεθα.

Οἱ Ἐπίσκοποι —συνέχισεν ὁ Ἀββᾶς Παμβὼ— θὰ φοβοῦνται, κατ' ἐκείνας τὰς ἡμέρας, τοὺς ἰσχυροὺς καὶ θὰ κρίνουν ἀνάλογα μὲ τὰ δῶρα ποὺ θὰ λαμβάνουν ἀπὸ αὐτούς· δὲν θὰ ὑπερασπίζουν τοὺς πτωχούς, ὅταν ζητοῦν τὸ δίκαιόν των, θὰ στενοχωροῦν τὰς χήρας, θὰ καταπιέζουν τὰ ὀρφανά. Καὶ εἰς τὸν λαὸν θὰ ἔλθῃ ἀπιστία, μῖσος, ἔχθρα, φθόνος, φιλονεικία· θὰ συνηθίσουν οἱ ἄνθρωποι εἰς τὰς κλοπὰς καὶ τὴν μέθην.

Καὶ ὁ ἀδελφὸς ἠρώτησεν ἐκ νέου:

— Καὶ τί θὰ πρέπει νὰ κάνῃ κανεὶς εἰς ἐκείνους τοὺς χρόνους καὶ τοὺς καιρούς;

Εἰς αὐτὸ ἀπήντησεν ὁ Γέρων:

† — Τέκνον μου, εἰς τὰς τοιαύτας ἡμέρας ὅποιος θέλει νὰ σωθῇ ἂς σώζῃ τὴν ψυχήν του καὶ θὰ ἀναδειχθῇ μέγας εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Λουκᾶ τοῦ Νέου

Ο ΟΣΙΟΣ Λουκᾶς παρέβαλέ ποτε πρός τινα τῶν συνήθων (σπουδαῖος δὲ καὶ οὗτος καὶ ποίμνης φιλοθέων ἀνδρῶν ἐξηγούμενος). Ὡς δὲ τρίτην ἡμέραν αὐτῷ συνδιήγαγε, πόθος αὐτὸν τῆς καλύβης καὶ τῆς ἐρημίας ἐλάμβανε καὶ ἠξίου τὴν ἀναχώρησιν, ὁ δὲ προεστὼς οὐκ ἐδίδου· πόθος γὰρ αὐτὸν πάλιν ὁ τοῦ ἀνδρὸς εἶχε καὶ οὐκ ἠνείχετο τὴν διάζευξιν, ἐπεὶ καὶ δριμεῖς τῶν κατὰ Θεὸν φιλούντων οἱ πόθοι καὶ τῶν φυσικῶν ἰσχυρότεροι. Ὡς δὲ αὐτὸς οὐ μεθίει, ἀλλ' ἀπῄτει φανερῶς τὴν ἐπάνοδον, ὁ προεστώς, ἐπεὶ καὶ ἀφορμῆς τινος ἐδράξατο, ἑορτῆς τινος ἐν γειτόνων οὔσης, τραχύτερόν πως ἅτε δὴ καὶ τοῦ πόθου τὴν ψυχὴν ὑποθήγοντος, φησὶ πρὸς αὐτόν· μέχρι τίνος οὕτως ἀγροικικῶς ἐνστήσῃ, καὶ τὴν ἐρημίαν τῆς Ἐκκλησιαστικῆς συνάξεως προτιμήσεις; καὶ ταῦτα πανδήμου ἑορτῆς ἐπὶ θύραις οὔσης, ἧς τὰς ἱερολογίας ζημιωθεὶς τὴν μεγίστην ἐποίσεις σεαυτῷ ζημίαν;

Πρὸς ταῦτα ὁ Θεοφόρος μετὰ τῆς ἴσης αὐτῷ καὶ μακαρίας ἁπλότητός φησι· διδάσκαλε ἀγαθέ, ποιμὴν εὐλογημένε, καλῶς κελεύεις, ἀλλ' οἱ κανόνες δηλαδὴ καὶ τὰ ἀναγνώσματα, εἴ γε προσεκτέον αὐτοῖς, ἥ τε Ἐκκλησιαστικὴ πᾶσα ἀκολουθία, πρὸς τί φέρουσι; καὶ τοῖς ἐκείνοις σκοπὸς πάντως, ὥσπερ αὐτὸς διδάσκεις, πρὸς Θεοῦ φόβον ὁδηγοῦσι τε καὶ ἀνάγουσι τοὺς σπουδαίους. Ὁ τοίνυν αὐτὸν ἐκεῖνον εἰς καρδίαν ἔχειν ἐσπουδακώς, ἆρα τούτων ὧν λέγεις χρείαν ἔχει τινά; Ἐ-

πεὶ ταῦτα ἐκεῖνος ἤκουσε, μεγάλως θαυμάσας αὐτὸν τῆς ἀπολογίας, οὐκέτι ἐπισχεῖν εὐδόκησεν ὅλως, ἀλλ' ἀνῆκεν εὐθὺς εἰς τὴν ἰδίαν ἀφικέσθαι σκηνήν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ὅσιος Λουκᾶς ἐπεσκέφθη κάποιον γνωστόν του, πολὺ ἀξιόλογον καὶ ἡγούμενον ποίμνης φιλοθέων ἀνδρῶν. Ἀφοῦ δὲ ἐπέρασε μαζί του τρεῖς ἡμέρας, τὸν κατέλαβεν ὁ πόθος τῆς ἐρημίας καὶ τῆς καλύβης του· ἐζήτει δὲ τὴν ἄδειαν νὰ ἀναχωρήσῃ. Ἀλλὰ ὁ προεστὼς ποὺ τὸν ἐφιλοξένει, δὲν ἐπέτρεπε. Διότι καὶ αὐτὸς πάλιν ἐπεθύμει τὴν συντροφιὰν τοῦ ἀνδρὸς καὶ δὲν ἤθελε τὸν ἀποχωρισμόν του, ἐπειδὴ εἶναι ἔντονα τὰ αἰσθήματα αὐτῶν ποὺ ἀγαποῦν κατὰ Θεὸν καὶ ἰσχυρότερα ἀπὸ τὰ αἰσθήματα φιλίας τῶν κατὰ σάρκα συγγενῶν. Ἐπειδὴ δὲ ὁ Ὅσιος Λουκᾶς δὲν ὑπεχώρει, ἀλλ' ἐζήτει ἐπιμόνως τὴν ἐπιστροφήν του εἰς τὴν ἔρημον, ὁ προεστώς, ἀφοῦ εὑρῆκεν ἀφορμὴν καὶ ἀπὸ κάποιαν μεγάλην ἑορτήν, ποὺ ἐπλησίαζεν, τοῦ εἶπε κάπως αὐστηρότερα, ἐξ αἰτίας καὶ τοῦ πόθου ποὺ ἐπαρακινοῦσε τὴν ψυχήν του:

— Μέχρι πότε θὰ ἐπιμένῃς μὲ τόσον πεῖσμα καὶ θὰ προτιμᾷς τὴν ἐρημίαν ἀπὸ τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν; Καὶ μάλιστα τώρα, ποὺ ἔφθασεν ἤδη ἡ μεγάλη ἑορτή, κατὰ τὴν ὁποίαν, ἐφ' ὅσον δὲν θὰ λειτουργηθῇς, θὰ ζημιωθῇς πάρα πολύ;


Εἰς αὐτὰ ὁ Θεοφόρος Λουκᾶς τοῦ ἀπήντησε μὲ τὴν γνωστήν του μακαρίαν ἁπλότητα:

— Ἀγαθέ μου διδάσκαλε, ποιμὴν εὐλογημένε, καλὰ μὲ παροτρύνεις· ἀλλ' οἱ κανόνες καὶ τὰ ἀναγνώσματα, ἂν βεβαίως πρέπει νὰ τὰ προσέχωμεν, καὶ ὁλόκληρος ἡ Ἐκκλησιαστικὴ ἀκολουθία, ποῦ ὁδηγοῦν; Καὶ ποῖος ὁ σκοπός των; Πάντως, ὅπως καὶ σὺ ὁ ἴδιος διδάσκεις, ὁδηγοῦν πρὸς τὸν φόβον τοῦ Θεοῦ καὶ ἀνυψώνουν αὐτοὺς ποὺ ἔχουν ζῆλον. Αὐτὸς λοιπὸν ποὺ ἐφρόντισε νὰ ἔχῃ τὸν φόβον τοῦ Θεοῦ εἰς τὴν καρδίαν του, ἔχει ἄραγε καμμίαν ἀνάγκην ἀπὸ αὐτά, ποὺ λέγεις;

Μόλις ἤκουσεν αὐτὰ ὁ Προεστὼς τὸν ἐθαύμασε πάρα πολύ, διὰ τὴν ἐπιχειρηματολογίαν του, καὶ δὲν ἠθέλησε πλέον νὰ τὸν κρατήσῃ, ἀλλὰ τὸν ἄφησε νὰ ἐπιστρέψῃ εἰς τὴν καλύβαν του.

Γ'. Τοῦ Ἁγίου Διαδόχου

ΟΤΑΝ ἐν εὐθηνίᾳ ᾖ ἡ ψυχὴ τῶν φυσικῶν αὐτῆς καρπῶν, μεγαλοφωνότερον καὶ τὴν ψαλμῳδίαν ποιεῖται καὶ φωνῇ μᾶλλον θέλει προσεύχεσθαι· ὅτε δὲ ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖται, μετὰ πάσης ἀνέσεως καὶ ἡδύτητος ψάλλει καὶ εὔχεται ἐν ὅλῃ τῇ καρδίᾳ. Ἕπεται δὲ ἐκείνῃ μὲν τῇ διαθέσει καὶ χαρὰ πεφαντασμένη, ταύτῃ δὲ πνευματικὸν δάκρυον, καὶ μετὰ ταῦτα θυμηδία τις φιλήσυχος. Θερμὴ γὰρ ἡ μνήμη διὰ τὴν τῆς φωνῆς μένουσαν συμμετρίαν, δακρυώδεις τινὰς καὶ ἠπίους ἐννοίας τὴν καρδίαν φέρειν παρασκευάζει· πάντων ὅθεν ὄντων ἐστὶν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας χαρᾷ ἐνσπειρόμενα, διὰ τὴν ἐλπίδα τοῦ θερισμοῦ. Πλὴν ὅτε ὑπὸ πολλῆς δυσθυμίας βαρούμεθα,


Ὁ Ὅσιος Λουκᾶς ὁ Στειριώτης
Σ. ΡΙΤΣΟΥ

δεῖ ὀλίγον μείζονι τῇ φωνῇ ποιεῖσθαι ἡμᾶς τὴν ψαλμῳδίαν, τῇ τῆς ἐλπίδος χαρᾷ τοὺς φθόγγους τῆς ψυχῆς ἀνακρούοντας, ἄχρις οὗ τὸ νέφος ἐκεῖνο τὸ δαρύτατον ὑπὸ τῶν ἀνέμων τοῦ μέλους διαλυθῇ.

Ἑρμηνεία

Ὅταν ἡ ψυχὴ εὑρίσκεται εἰς ἀφθονίαν τῶν φυσικῶν της καρπῶν, τότε ψάλλει μὲ μεγαλυτέραν κάπως φωνὴν καὶ θέλει νὰ προσεύχεται φωναχτά· ὅταν πάλιν ἡ ψυχὴ δέχεται τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, τότε ψάλλει μὲ ὅλην τὴν εὐχαρίστησιν καὶ γλυκύτητα καὶ προσεύχεται μὲ ὅλην τὴν καρδίαν της. Εἰς τὴν πρώτην περίπτωσιν ἀκολουθεῖ ζωηρὰ χαρά, εἰς τὴν δευτέραν δὲ πνευματικὸν δάκρυον, καὶ μετὰ ἀπὸ αὐτὰ κάποια ἐσωτερικὴ ἀγαλλίασις, ποὺ γεννᾷ εἰς τὴν ψυχὴν τὴν ἀγάπην τῆς ἡσυχίας.

Θερμαίνεται, δηλαδή, ἡ μνήμη ἀπὸ τὰ ἀποτυπωθέντα εἰς τὴν ψυχήν, διὰ τῆς ἐναρμονίου φωνῆς, καὶ κάμνει νὰ ἔρχωνται εἰς τὴν καρδίαν μερικαὶ γλυκεῖαι σκέψεις, ποὺ φέρουν δάκρυα. Ἀπὸ ὅλα αὐτὰ ἠμπορεῖ νὰ ἴδῃ κανείς, πράγματι, νὰ σπείρωνται μέσα εἰς τὴν γῆν τῆς καρδίας τὰ σπέρματα τῆς εὐχῆς μὲ δάκρυα, ποὺ προξενοῦν ὅμως χαράν, διὰ τὴν ἐλπίδα τοῦ θερισμοῦ. Ὡς τόσον, ὅταν καταλαμβανώμεθα ἀπὸ μεγάλην στενοχωρίαν, πρέπει νὰ ψάλλωμεν μὲ ὀλίγον ἐντονωτέραν φωνήν, κτυπῶντες τὰς χορδὰς τῆς ψυχῆς μὲ τὴν ἐλπίδα τῆς χαρᾶς, μέχρις ὅτου διαλυθῇ ἐκεῖνο τὸ βαρύτατον νέφος ἀπὸ τὰς αὔρας τῆς μελῳδίας.

Δ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΠΑΝΤΑ τὰ ἀνατολικὰ Κοινόβια, καὶ μάλιστα τὰ Αἰγύπτια, τοιοῦτον κανόνα ἐπὶ τῶν προσευχῶν καὶ ψαλμῳδιῶν ἔχουσι. Συναγομένων τῶν ἀδελφῶν ἐπὶ τὸ αὐτὸ κατὰ τὸν καιρὸν τῆς συνάξεως, ἡνίκα τελειωθῇ ὁ ψαλμός, οὐ παραχρῆμα πρὸς γονυκλισίαν ὁρμῶσιν, ἀλλὰ πρὶν ἢ τὰ γόνατα κάμψαι, πρὸς ὀλίγον ἱστάμενοι καὶ τὰς χεῖρας ἐκτεταμένας ἔχοντες, εὔχονται. Καὶ μετὰ ταῦτα χαμαὶ προσπίπτοντες, καὶ πρὸς ὀλίγον πάλιν ἐν τῇ γονυκλισίᾳ εὐχόμενοι, πάντες ἅμα ἐγείρονται, καὶ πάλιν διαπτάσαντες τὰς χεῖρας ἐκτενέστερον καὶ ἐπιτεταμένως τὰς ἱκεσίας ἀποπληροῦσιν, οὐδενὸς γόνυ κλίνοντος ἢ ἐκ τῆς γονυκλισίας ἀνισταμένου, ἕως ἂν ὁ ποιῶν αὐτοῖς τὴν εὐχὴν κλίνῃ πρῶτος καὶ ἀναστῇ πρῶτος.

Καθ' ἃ τοίνυν εἴρηται, ὅτε τὰς προειρημένας συνάξεις ἐπιτελέσαντες συνέρχονται, τοσαύτη ὑπὸ πάντων παρέχεται σιωπή, ὡς νομίσαι μηδένα ἄνθρωπον ἐν τῇ τοσαύτῃ πολυαριθμήτῳ τῶν ἀδελφῶν πληθύϊ παρεῖναι. Ἐξαιρέτως δέ, ἐν τῷ καιρῷ τῶν προσευχῶν, ὅτε οὔτε πτύσμα προπέμπεται, οὔτε βήξ διηχεῖ, οὐκ ἀκηδία ἢ νυσταγμοῦ χάσμη, οὐ στεναγμὸς μετ' ἤχου ἀναπέμπεται. Τὸν γὰρ ἐν χαυνότητι μετὰ κραυγῆς τὰς εὐχὰς ἐπιτελοῦντα, διπλῶς ἁμαρτάνειν λέγουσι· πρῶτον μὲν ὡς ῥαθύμως εὐχόμενον, δεύτερον δὲ ὡς ἀπαιδεύτῳ τῇ φωνῇ, ἀλλ' οὐ τὴν ἀκοὴν καταχτυποῦντα καὶ διασκεδάζοντα τὴν διάνοιαν, συνεπιτιθεμένων καὶ τῶν πονηρῶν δαιμόνων, οἳ ἐπειδὰν ἴδωσιν ἡμᾶς εἰς εὐχὴν ἱσταμένους, λογισμοῖς ἀπρεπέσι καὶ ἀκηδίᾳ τὴν ψυχὴν καταβαρύνουσι. Καὶ τούτου χάριν καὶ τοὺς ψαλμοὺς

οὐ μετὰ θορύβου καὶ ταραχῆς σπεύδουσιν ἐπιτελεῖν, οὐδὲ τῷ πλήθει τῶν στίχων, ἀλλὰ τῇ τῆς διανοίας νοήσει εὐφραίνεσθαι, ἐκείνῳ τῷ λόγῳ κατακολουθοῦντες, τῷ φάσκοντι, «ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ». Ὠφελιμώτερον γὰρ ἔχουσι τὸ δέκα στίχους μετὰ συνέσεως ψάλλειν, ἢ ὅλον τὸν ψαλμὸν μετὰ συγχύσεως διανοίας.

Τελεσθέντων δὲ τῶν ψαλμῶν καὶ τοῦ κανόνος, ὡς ἀνωτέρω εἴπομεν, οὐδεὶς τῶν ἀδελφῶν κἂν πρὸς ὀλίγον στῆναι καὶ ὁμιλῆσαι μετὰ ἄλλου τολμᾷ, ἀλλ' εἰς τὸ ἴδιον κελλίον εἰσελθών, τῷ ἔργῳ προσκαρτερεῖ, ὃ μετὰ χεῖρας ἕκαστος ἔχει, Ἀποστολικὸν ποιοῦντες παράγγελμα. Καὶ ἐν τῷ καιρῷ δὲ τῆς συνάξεως, τρίτης, ἕκτης καὶ ἐνάτης ὥρας, εἴ τις πρὶν ἢ ὁ πρῶτος τελεσθῇ ψαλμὸς ἀπαντήσει, τοῦ λοιποῦ εἰς τὸ εὐκτήριον εἰσελθεῖν οὐ τολμᾷ, οὔτε ἑαυτὸν καταμῖξαι τοῖς ψάλλουσιν. Ἀλλὰ πρὸ τῶν θυρῶν ἱστάμενος ἐκδέχεται τῶν ἀδελφῶν τὴν ἀπόλυσιν, καὶ ἐξερχομένων πάντων, βαλὼν ἐπὶ τὴν γῆν μετάνοιαν, ἐξαιτεῖ τῆς οἰκείας ῥαθυμίας συγχώρησιν· ἐν δὲ ταῖς νυκτεριναῖς συνάξεσιν, ἕως τοῦ δευτέρου ψαλμοῦ παρέχεται συγγνώμη τοῖς βραδύνουσιν.

Ἑ ρ μ η ν ε ί α

ΟΛΑ τὰ Κοινόβια τῆς Ἀνατολῆς καὶ μάλιστα τῆς Αἰγύπτου, ἔχουν τὴν ἑξῆς τάξιν εἰς τὰς προσευχὰς καὶ ψαλμῳδίας. Ὅταν συγκεντρώνωνται οἱ ἀδελφοί, κατὰ τὴν ὥραν τῆς ἀκολουθίας, μόλις τελειώσῃ ὁ ψαλμός, δὲν γονατίζουν ἀμέσως· ἀλλὰ πρὶν νὰ κάμψουν τὰ γόνατα, στέκουν ὀλίγον ὄρθιοι καὶ προσεύχονται μὲ ὑψωμένα τὰ χέρια. Μετὰ ταῦτα πίπτουν χάμω ὅλοι καὶ προσεύχονται πάλιν γονατιστοί· ἔπειτα σηκώνονται ὅλοι μαζὶ καὶ ἀφοῦ πάλιν ὑψώσουν τὰ χέρια συμπληρώνουν τὰς παρακλήσεις των ἐπὶ περισσότερον χρόνον καὶ μὲ μεγαλυτέραν ἐπιμονήν. Κανεὶς δὲν γονατίζει, οὔτε σηκώνεται ἀπὸ τὴν γονυκλισίαν, ἕως ὅτου γονατίσῃ πρῶτος ἢ σηκωθῇ αὐτὸς ποὺ προΐσταται τῆς ἀκολουθίας.

Καθὼς λοιπὸν ἐλέχθη, ὅταν συγκεντρώνωνται οἱ Μοναχοὶ διὰ τὰς ἀκολουθίας ποὺ ἀνεφέραμεν, τέτοια σιωπὴ ἐπικρατεῖ ἀπὸ ὅλους, ὥστε νὰ νομίζῃ κανεὶς ὅτι οὔτε ἕνας ἄνθρωπος δὲν παρίσταται εἰς τὴν πολυάριθμον αὐτὴν σύναξιν τῶν ἀδελφῶν. Ἐξαιρετικὰ δὲ κατὰ τὴν ὥραν τῶν προσευχῶν οὔτε πτύει κανείς, οὔτε βῆχας ἀκούεται, οὔτε ἀμέλεια παρατηρεῖται, οὔτε χασμουρητὸν νύστας, οὔτε ἀπὸ τὰ στήθη κανενὸς βγαίνει ἀναστεναγμὸς φωνακτός. Διότι λέγουν, ὅτι ἐκεῖνος ποὺ ἐπιτελεῖ τὰς εὐχὰς μὲ ἀποχαυνωμένον νοῦν καὶ ἄμουσον κραυγὴν ἁμαρτάνει διπλᾶ· πρῶτον μὲν διότι προσεύχεται χωρὶς ψυχικὴν ὄρεξιν, δεύτερον δέ, διότι μὲ τὴν ἀκαλλιέργητον φωνήν του ὄχι μόνον τὴν ἀκοὴν τῶν παρευρισκομένων ἐνοχλεῖ, ἀλλὰ καὶ τὴν διάνοιάν των διασκορπίζει. Τότε ἐπιτίθενται μαζὶ καὶ οἱ πονηροὶ δαίμονες, οἱ ὁποῖοι ὅταν μᾶς ἴδουν νὰ στεκώμεθα εἰς προσευχὴν καταβαρύνουν τὴν ψυχὴν μὲ ἀπρεπεῖς λογισμοὺς καὶ ἀδιαφορίαν.

Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ οἱ Μοναχοὶ τῶν Κοινοβίων τῆς

Ἀνατολῆς φροντίζουν καὶ τοὺς ψαλμοὺς νὰ ἀναγιγνώσκουν χωρὶς θόρυβον καὶ ἐκνευρισμὸν καὶ νὰ δοκιμάζουν ψυχικὴν χαράν, ὄχι ἀπὸ τοὺς πολλοὺς στίχους, ἀλλὰ ἀπὸ τὴν βαθυτέραν κατανόησιν ὑπὸ τῆς διανοίας τῶν ἀναγιγνωσκομένων, σύμφωνα μὲ ἐκεῖνο τὸ ρητόν, ποὺ λέγει· «θὰ ψάλλω μὲ τὸ πνεῦμα, θὰ ψάλλω καὶ μὲ τὸν νοῦν». Διότι θεωροῦν πολὺ πιὸ ὠφέλιμον νὰ ψάλουν δέκα στίχους, ἀλλὰ νὰ αἰχμαλωτίζεται ὁ νοῦς των ἀπὸ τὰ νοήματα, παρὰ ὁλόκληρον τὸν ψαλμὸν καὶ νὰ εἶναι σκορπισμένος ὁ νοῦς των.

Ὅταν τελειώσουν οἱ ψαλμοὶ καὶ ὁ κανὼν (ἡ ἀκολουθία τοῦ Ὄρθρου), ὅπως εἴπομεν προηγουμένως, κανεὶς ἀπὸ τοὺς Ἀδελφοὺς δὲν τολμᾷ νὰ σταθῇ διὰ νὰ συνομιλήσῃ, ἔστω καὶ δι' ὀλίγον, μὲ ἄλλον, ἀλλ' ἀφοῦ εἰσέλθῃ εἰς τὸ κελλί του, ἀμέσως συνεχίζει τὴν ἐργασίαν ποὺ ἔχει ὁ καθένας ἀναλάβει, ἐκτελοῦντες ἔτσι παραγγελίαν Ἀποστολικήν. Ὁποιος δὲ κατὰ τὴν ἀκολουθίαν τῆς τρίτης, τῆς ἕκτης καὶ ἐνάτης ὥρας δὲν προλάβῃ νὰ εὑρεθῇ ἐκεῖ πρὶν τελειώσῃ ἡ ἀνάγνωσις τοῦ προηγουμένου ψαλμοῦ, δὲν τολμᾷ πλέον νὰ εἰσέλθῃ εἰς τὸν χῶρον τῶν προσευχῶν, οὔτε νὰ λάβῃ μέρος εἰς τὸν χορὸν τῶν ψαλτῶν, ἀλλὰ στέκεται ὄρθιος ἐμπρὸς εἰς τὰς θύρας καὶ περιμένει τὴν ἀπόλυσιν τῶν ἀδελφῶν· καθὼς δὲ ἐξέρχονται μετὰ τὴν ἀκολουθίαν ὅλοι, γονατίζει καὶ ζητεῖ συγχώρησιν διὰ τὴν ραθυμίαν του. Κατὰ τὰς συνάξεις, διὰ τὰς νυκτερινὰς ἀκολουθίας, δίδεται συγχώρησις εἰς ἐκείνους, ποὺ καθυστεροῦν νὰ προσέλθουν μέχρι τοῦ δευτέρου ψαλμοῦ.

Ε'. Ἐν τῷ Γεροντικῷ

Ο ΑΒΒΑΣ Μακάριος ὁ μέγας, ὡς ἀπέλυεν ἡ Ἐκκλησία, ἔλεγε τοῖς ἀδελφοῖς· φεύγετε, ἀδελφοί. Εἶπε δέ τις αὐτῷ τῶν γερόντων· Πάτερ, ποῦ ἔχομεν φυγεῖν πλέον τῆς ἐρήμου ταύτης; ὁ δὲ θεὶς τὸν δάκτυλον αὐτοῦ εἰς τὸ στόμα ἑαυτοῦ ἔφη· τοῦτο φεύγετε· καὶ λοιπὸν εἰσήρχετο εἰς τὸ κελλίον καὶ κλείων τὴν θύραν ἐκάθητο.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σισώη τοῦ Θηβαίου, ὅτι ὡς ἀπέλυεν ἡ Ἐκκλησία, εὐθὺς ὥρμα πρὸς τὸ ἑαυτοῦ κελλίον, βαδίζων σπουδαίως καὶ ἐοικὼς φεύγοντι· τινὲς δὲ τῶν ὁρώντων αὐτὸν τοῦτο ποιοῦντα ἔλεγον· οὗτος δαίμονα ἔχει. Ἐκεῖνος δὲ τὸ τοῦ Θεοῦ ἔργον ποιῶν, οὐ προσεῖχε τοῖς κατ' αὐτοῦ λέγουσιν.

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σιλουανὸν λέγων· τί ποιήσω, Ἀββᾶ; πῶς κτήσομαι τὴν κατάνυξιν; πάνυ γὰρ ὀχλοῦμαι ὑπὸ τῆς ἀκηδίας καὶ τοῦ ὕπνου καὶ τοῦ στεναγμοῦ, καὶ ὅτε ἀνίσταμαι ἐκ τοῦ ὕπνου, πυκτεύω πολλὰ ἐν τῇ ψαλμῳδίᾳ καὶ οὐ δύναμαι περιγενέσθαι τοῦ νυσταγμοῦ, οὔτε ψαλμὸν ἄνευ ἤχου λέγω. Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· τέκνον, τὸ λέγειν σε τοὺς ψαλμοὺς μετὰ ἤχου πρῶτον μὲν ὑπερηφανία ἐστίν· ὑποβάλλει σοι γὰρ ὅτι ἐγὼ ψάλλω, ὁ ἀδελφὸς οὐ ψάλλει, δεύτερον δὲ καὶ σκληρύνει σου τὴν καρδίαν καὶ οὐκ ἐᾷ κατανυγῆναι. Εἰ οὖν θέλεις τὴν κατάνυξιν, ἄφες τὸ ᾆσμα, καὶ ὅτε ἵστασαι τὰς εὐχάς σου ποιῶν, ἐρευνάτω ὁ νοῦς σου τοῦ στίχου τὴν δύναμιν καὶ λογίζου ὅτι ἐνώπιον τοῦ Θεοῦ παρίστασαι, τοῦ ἐτάζοντος καρδίας καὶ νεφρούς. Ὅτε δὲ ἀναστῇς ἐκ τοῦ ὕπνου, πρὸ πάντων δοξασάτω τὸ στόμα σου τὸν Θεόν, εἶτα στιχολόγησον τὴν πίστιν καὶ τὸ Πάτερ ἡ-

ζῶν, καὶ τότε ἄρξαι τοῦ κανόνος σου ἀνετῶς, στενάζων καὶ ἐνθυμούμενος τὰς ἁμαρτίας σου καὶ τὴν κόλασιν, ἐν ᾗ μέλλεις βασανίζεσθαι.

Λέγει ὁ ἀδελφός· ἐγώ, Ἀββᾶ, ἐξότου ἐμόνασα, τὴν ἀκολουθίαν τοῦ κανόνος καὶ τὰς ὥρας κατὰ τὴν ὀκτώηχον ψάλλω. Ἀπεκρίθη ὁ γέρων· καὶ διὰ τοῦτο ἡ κατάνυξις καὶ τὸ πένθος φεύγει ἀπὸ σοῦ· ἐννόησον γὰρ τοὺς μεγάλους Πατέρας πῶς, ἰδιῶται ὑπάρχοντες καὶ μήτε ἤχους μήτε τροπάρια ἐπιστάμενοι, εἰμὴ ὀλίγους ψαλμούς, δίκην φωστήρων ἐν κόσμῳ ἔλαμψαν. Οἷος ἦν ὁ Ἀββᾶς Παῦλος ὁ ἁπλοῦς, καὶ ὁ Ἀββᾶς Παμβώ, καὶ ὁ Ἀββᾶς Ἀπολλώ, καὶ οἱ λοιποὶ Θεοφόροι Πατέρες, οἳ καὶ νεκροὺς ἤγειραν καὶ μεγάλας δυνάμεις ἐποίησαν καὶ τὴν κατὰ δαιμόνων ἐξουσίαν ἐδέξαντο, οὐκ ἐν ᾄσμασι καὶ τροπαρίοις καὶ ἤχοις· ἀλλ' ἐν προσευχῇ τῇ μετὰ συντετριμμένης καρδίας καὶ νηστείᾳ, δι' ὧν ὁ τοῦ Θεοῦ φόβος τῇ καρδίᾳ ἐγγίνεται ἀδιαλείπτως, καὶ τὸ πένθος κρατύνεται τὸ πάσης ἁμαρτίας ἐκκαθαῖρον τὸν ἄνθρωπον καὶ τὸν νοῦν λευκότερον καὶ χιόνος ἀπεργαζόμενον.

Τὸ δὲ ᾆσμα πολλοὺς εἰς τὰ κατώτατα τῆς γῆς κατήγαγεν, οὐ μόνον κοσμικούς, ἀλλὰ καὶ ἱερεῖς, ἐκθηλῦναν αὐτοὺς καὶ εἰς πορνείαν καὶ εἰς ἕτερα πάθη αἰσχρὰ καταχρημνίσαν αὐτούς. Τὸ οὖν ᾆσμα τῶν κοσμικῶν ἐστι, διὰ τοῦτο καὶ ὁ λαὸς συναθροίζεται ἐν ταῖς Ἐκκλησίαις. Ἐννόησον, τέκνον, πόσα τάγματά εἰσιν ἐν τῷ οὐρανῷ, καὶ οὐ γέγραπται περί τινος αὐτῶν ὅτι μετὰ τῆς Ὀκτωήχου ψάλλουσιν· ἀλλ' ἓν μὲν τάγμα ἀκαταπαύστως τὸ ἀλληλούϊα, ἕτερον δὲ τὸ Ἅγιος Ἅγιος Ἅγιος Σαβαώθ, ἄλλο δὲ εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου καὶ ἐκ τοῦ οἴκου αὐτοῦ. Σὺ οὖν, τέκνον, μίμησαι τοὺς Πατέρας, εἰ θέλεις ἐν ταῖς προσευχαῖς κατάνυξιν κτήσασθαι, φυλάττων τὸν νοῦν ὡς δύνῃ ἀρέμβαστον. Ἀγάπησον τὴν ταπείνωσιν τοῦ Χριστοῦ καὶ ὅπου δ' ἂν παραβάλῃς, μὴ δεικνύῃς ἑαυτὸν ὡς ἀγχίνουν καὶ καθηγητήν, ἀλλ' ὡς ἰδιώτην καὶ μαθητήν, καὶ ὁ Θεὸς παρέχει σοι τὴν κατάνυξιν.

4. Εἶπε γέρων· οἱ προσευχόμενοι τῷ Θεῷ ὀφείλουσιν ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ πολλῇ καὶ καταστάσει τὴν προσευχὴν ποιεῖσθαι, καὶ οὐχὶ ἀπρεπέσι κραυγαῖς καὶ συγκεχυμέναις ἑαυτοὺς ἐκταράσσειν καὶ τοὺς πλησίον, ἀλλὰ πόνῳ καρδίας καὶ λογισμοῖς νήφουσι προσέχειν τῷ Κυρίῳ. Ὥσπερ γὰρ εἰσί τινες ἔχοντες πάθη σωματικά, καὶ ἐν τῷ καυτηριάζεσθαι ἢ χειρουργεῖσθαι ἀνδρείως καὶ ὑπομονητικῶς τὸν πόνον φέρουσι, μὴ κραυγάζοντες ἢ ταρασσόμενοι, ἀλλὰ κρατοῦντες ἑαυτῶν τὰς ἐκ τῆς ἰατρείας ὀδύνας ἐν σιωπῇ ὑπομένοντες, ἕτεροι δὲ τούτοις ὁμοίως ἔχοντες καὶ τὰ αὐτὰ ὑφιστάμενοι, κραυγαῖς ἀπρεπέσι καὶ ταραχαῖς κέχρηνται, ὁ αὐτὸς δὲ πόνος τῶν τε βοώντων καὶ τῶν μὴ βοώντων ἐστίν, οὕτω καὶ ἐπὶ τῶν προσευχῶν καὶ τῶν κατανύξεων.

Εἰσί τινες ἐν ἡσυχίᾳ προσευχόμενοι καὶ τὸν τῆς καρδίας τόνον τῇ ἀταραξίᾳ μᾶλλον φυλάττοντες· ἕτεροι δὲ μηδὲ κατέχοντες ἑαυτούς, μετὰ ταραχῆς καὶ θορύβου ποιοῦνται τὰς προσευχάς, ὥς τε καὶ τοὺς ἀκούοντας σκανδαλίζεσθαι. Οὐ χρὴ δὲ τὸν τοῦ Θεοῦ δοῦλον ἐν ἀκαταστασίᾳ εἶναι, ἀλλ' ἐν πάσῃ ταπεινοφροσύνῃ καὶ ἡσυχίᾳ, καθὼς ἐν τῷ Προφήτῃ λέγει· «ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;». Οἱ γὰρ οὕτω διάγοντες καὶ τοὺς ὁρῶντας πάντας οἰκοδομοῦσιν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Μακάριος ὁ μέγας, ὅταν ἀπέλυεν ἡ Ἐκκλησία, ἔλεγεν εἰς τοὺς ἀδελφούς:

—Φεύγετε, ἀδελφοί.

Κάποιος ἀπὸ τοὺς Γέροντας τὸν ἠρώτησε τότε:

— Πάτερ, ποῦ ἠμποροῦμεν νὰ φύγωμεν μακρύτερα ἀπὸ αὐτὴν τὴν ἔρημον;

Εἰς ἀπάντησιν ὁ Ἀββᾶς Μακάριος, ἀφοῦ ἔθεσε τὸν δάκτυλόν του εἰς τὸ στόμα του, εἶπεν:

— Ἀπὸ αὐτὸ νὰ φύγετε· καὶ κατόπιν εἰσήρχετο εἰς τὸ κελλίον του καὶ ἀφοῦ ἔκλειε τὴν θύραν, ἐκάθητο.

2. Ἔλεγον διὰ τὸν Ἀββᾶν Σισώην τὸν Θηβαῖον, ὅτι μόλις ἀπέλυεν ἡ Ἐκκλησία, ἔτρεχεν ἀμέσως πρὸς τὸ κελλί του. Ἐβάδιζε βιαστικὰ καὶ ὡμοίαζεν ὡς νὰ τὸν κατεδίωκε κάποιος. Μερικοὶ ποὺ τὸν ἔβλεπον νὰ φεύγῃ ἔτσι, ἔλεγον· αὐτὸς ἔχει δαίμονα. Ἐκεῖνος ὅμως, ἐπειδὴ ἐκτελοῦσε τὰ ἔργα τοῦ Θεοῦ, δὲν ἐπρόσεχεν αὐτούς, ποὺ ἔλεγον ἐναντίον του.

3. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σιλουανόν:

— Τί πρέπει νὰ κάνω, Ἀββᾶ; τοῦ εἶπε· πῶς νὰ ἀποκτήσω τὴν κατάνυξιν, διότι ἐνοχλοῦμαι ἀπὸ τὴν ὀκνηρίαν, τὸν ὕπνον καὶ τὸν γογγυσμόν; Ὅταν σηκώνωμαι ἀπὸ τὸν ὕπνον, ἀγωνίζομαι πάρα πολὺ εἰς τὴν ψαλμῳδίαν καὶ δὲν ἠμπορῶ νὰ νικήσω τὴν νύσταν, οὔτε λέγω ψαλμὸν χωρὶς ἦχον.

Εἰς αὐτὰ ὁ Γέρων ἀπήντησε:

— Τέκνον μου, τὸ νὰ λέγῃς τοὺς ψαλμοὺς μὲ ἦχον εἶναι, πρῶτον, ὑπερηφάνεια· διότι σὲ κάμνει νὰ σκέπτεσαι, ὅτι ἐγὼ ψάλλω, ἐνῷ ὁ ἀδελφὸς δὲν ψάλλει· δεύτερον δέ, σκληρύνει τὴν καρδίαν σου καὶ δὲν τὴν ἀφήνει νὰ αἰσθανθῇ κατάνυξιν.

Ἐάν, λοιπόν, θέλῃς νὰ αἰσθανθῇς κατάνυξιν, ἄφησε τὸ ᾆσμα καὶ ὅταν στέκῃς, διὰ νὰ κάμῃς τὰς εὐχάς σου, ἂς ἀναζητῇ ὁ νοῦς σου τὴν πνευματικὴν δύναμιν τοῦ στίχου καὶ ἂς σκέπτεται ὅτι εὑρίσκεται ἐνώπιον τοῦ Θεοῦ, ποὺ ἐξετάζει τὰς καρδίας καὶ τοὺς νεφρούς, δηλαδὴ ὁλόκληρον τὸν ἐσωτερικόν μας κόσμον. Ὅταν σηκωθῇς ἀπὸ τὸν ὕπνον, ἂς δοξάσῃς, πρὶν ἀπὸ ὅλα, τὸν Θεόν· μετὰ νὰ εἴπῃς τὸ σύμβολον τῆς Πίστεως καὶ τὸ Πάτερ ἡμῶν, καὶ τότε νὰ ἀρχίσῃς τὸν κανόνα σου ἀπελευθερωμένος ἀπὸ κάθε γηΐνην σκέψιν, ἀναστενάζων καὶ ἐνθυμούμενος τὰς ἁμαρτίας σου, καθὼς καὶ τὴν κόλασιν εἰς τὴν ὁποίαν μέλλεις νὰ βασανίζεσαι.

Τοῦ λέγει, πάλιν, ὁ ἀδελφός:

—Ἐγώ, Ἀββᾶ μου, ἀπὸ τότε ποὺ ἔγινα μοναχὸς ψάλλω τὸν κανόνα καὶ τὰς ὥρας, σύμφωνα μὲ τὴν Ὀκτώηχον*.

---

* Ὀκτώηχος ἢ Ὀκτάηχος ἢ Παρακλητικὴ εἶναι τὸ γνωστότατον βιβλίον

'Ο Γέρων τοῦ ἀπεκρίθη:

— Καὶ δι' αὐτὸ φεύγουν ἀπὸ τὴν ψυχήν σου ἡ κατάνυξις καὶ τὸ πένθος. Σκέψου τοὺς μεγάλους Πατέρας, ὅτι, ἐνῷ ἦσαν ἀμόρφωτοι καὶ δὲν ἐγνώριζαν οὔτε ἤχους οὔτε τροπάρια, παρὰ μονάχα ὀλίγους ψαλμούς, ἔλαμψαν ὡς φωστῆρες εἰς τὸν κόσμον. Τέτοιος ἦτο ὁ 'Αββᾶς Παῦλος ὁ ἁπλοῦς, καὶ ὁ 'Αββᾶς Παμβώ, καὶ ὁ 'Αββᾶς 'Απολλώ, καὶ οἱ ἄλλοι Θεοφόροι Πατέρες, οἱ ὁποῖοι ἀνέστησαν καὶ νεκρούς, ἔκαναν πολλὰ θαύματα καὶ ἐξουσίαν ἔλαβον ἀπὸ τὸν Θεὸν ἐναντίον τῶν δαιμόνων. Ὅλα δὲ αὐτὰ τὰ ἐπέτυχον ὄχι μὲ ἄσματα καὶ τροπάρια καὶ ἤχους, ἀλλὰ μὲ προσευχήν, ποὺ ἐξέρχεται ἀπὸ καρδίαν συντετριμμένην καὶ μὲ νηστείαν, μὲ τὰ ὁποῖα ὁ φόβος τοῦ Θεοῦ διατηρεῖται συνεχῶς εἰς τὴν καρδίαν καὶ δυναμώνεται τὸ πένθος, ποὺ καθαρίζει τὸν ἄνθρωπον ἀπὸ κάθε ἁμαρτίαν καὶ λευκαίνει τὸν νοῦν περισσότερον καὶ ἀπὸ τὸ χιόνι.

'Ενῷ τὸ ἆσμα κατέρριψε πολλοὺς εἰς τὰ κατώτατα τῆς γῆς, ὄχι μόνον κοσμικούς, ἀλλὰ καὶ ἱερεῖς, ἐπειδὴ ἐχαλάρωσε τὸν ἀνδρικόν τους χαρακτῆρα καὶ τοὺς κατεκρήμνισεν εἰς τὴν πορνείαν καὶ εἰς πάθη αἰσχρά. Τὸ ἆσμα, λοιπόν, εἶναι διὰ τοὺς κοσμικοὺς καὶ διὰ τὸ ἆσμα συγκεντρώνεται ὁ λαὸς εἰς τὰς 'Εκκλησίας. Σκέψου, τέκνον μου, πόσα τάγματα ὑπάρχουν εἰς τὸν οὐρανόν· καὶ δὲν λέγει, διὰ κάποιο ἀπὸ αὐτά, ἡ 'Αγία Γραφή, ὅτι ψάλλουν σύμφωνα μὲ τὴν 'Οκτώηχον. 'Αλλ' ἕνα τάγμα ψάλλει ἀκαταπαύστως τὸ «ἀλληλούϊα»*, ἄλλο τὸ «Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ»**, ἄλλο «εὐλογημένη ἡ δόξα τοῦ Κυρίου ἀπὸ τὸν τόπον καὶ τὸν οἶκον Αὐτοῦ». Σύ, λοιπόν, τέκνον μου, νὰ μιμηθῇς τοὺς Πατέρας, ἂν θέλῃς νὰ ἀποκτήσῃς εἰς τὰς προσευχάς σου κατάνυξιν καὶ νὰ διατηρῇς τὸν νοῦν σου ὅσον ἠμπορεῖς συμμαζευμένον, χωρὶς νὰ ρεμβάζῃ. Νὰ ἀγαπήσῃς τὴν ταπείνωσιν τοῦ Χριστοῦ καὶ ὅπου ἂν ὑπάγῃς νὰ μὴ παρουσιάζεσαι ὡς ἔξυπνος καὶ καθηγητής, ἀλλὰ ὡς ἀγράμματος καὶ μαθητὴς καὶ ὁ Θεὸς θὰ σοῦ χαρίσῃ τὴν κατάνυξιν.

4. Ἕνας Γέρων εἶπεν· αὐτοί, ποὺ προσεύχονται εἰς τὸν Θεὸν ὀφείλουν νὰ προσεύχωνται μὲ εἰρήνην καὶ πολλὴν ἡσυχίαν καὶ εἰς εὐλαβῆ στάσιν· καὶ νὰ μὴ χρησιμοποιοῦν ἀπρεπεῖς κραυγάς, χωρὶς ξεκαθαρισμένας τὰς λέξεις, ποὺ συνταράσσουν τὸν ἑαυτόν των καὶ τοὺς πλησίον, ἀλλὰ νὰ ἀφοσιώνωνται εἰς τὸν Κύριον μὲ πόνον καρδίας καὶ ἁγνοὺς λογισμούς. Μὲ τὰς προσευχὰς καὶ τὴν κατάνυξιν συμβαίνει τὸ ἴδιον μὲ ἐκεῖνο τὸ ὁποῖον συμβαίνει μὲ ἐκείνους ποὺ ὑφίστανται θεραπείαν διὰ σωματικὰ πάθη. Ὑπάρχουν, δηλαδή, μερικοὶ ἀσθενεῖς, πού, ὅταν καυ-

---

τῆς 'Εκκλησίας μας, τὸ ὁποῖον περιέχει τροπάρια καὶ κανόνας εἰς τοὺς ὀκτὼ ἤχους τοὺς ψαλλομένους κατὰ σειρὰν καὶ τάξιν ὑπὸ τῆς 'Ορθοδόξου 'Εκκλησίας.

* Τὸ ἀλληλούϊα εἶναι λέξις ἑβραϊκὴ (ἀλλὲλ—οὗ—γιὰ) καὶ σημαίνει «αἰνεῖτε τὸν Θεόν».

** Σαβαὼθ εἶναι ἐξελληνισμένος τύπος τῆς ἑβραϊκῆς λέξεως Τσεβαώθ. Ἄριστα ἀποδίδεται ἡ σημασία της διὰ τῆς ἑλληνικῆς λέξεως Παντοκράτωρ.

τηριάζωνται ἢ χειρουργοῦνται, ὑποφέρουν τὸν πόνον μὲ ἀνδρείαν καὶ ὑπομονήν, χωρὶς νὰ κραυγάζουν ἢ νὰ ταράσσωνται, ἀλλ' ἐπιβάλλονται εἰς τοὺς ἑαυτούς των ὑπομένοντες σιωπηλὰ τοὺς πόνους τῆς ἰατρείας. Ἄλλοι, πάλιν, ἐνῷ ὑφίστανται τὴν ἰδίαν θεραπείαν μὲ τοὺς προηγουμένους, ἐν τούτοις χρησιμοποιοῦν ἀπρεπεῖς κραυγὰς καὶ ταραχάς. Τὸ ἴδιον ὅμως πονοῦν καὶ αὐτοὶ ποὺ φωνάζουν καὶ ἐκεῖνοι ποὺ δὲν φωνάζουν. Ἔτσι ἀκριβῶς συμβαίνει καὶ εἰς τὴν περίπτωσιν τῶν προσευχῶν καὶ τῶν κατανύξεων.

Ὑπάρχουν μερικοὶ ποὺ προσεύχονται μὲ ἡσυχίαν καὶ διατηροῦν τὸν τόνον τῆς καρδίας των μᾶλλον μὲ ἀταραξίαν· ἄλλοι, πάλιν, δὲν ἠμποροῦν νὰ συγκρατήσουν τοὺς ἑαυτούς των, ἀλλὰ προσεύχονται μὲ ταραχὴν καὶ θόρυβον, ὥστε νὰ σκανδαλίζωνται καὶ αὐτοὶ ποὺ τοὺς ἀκούουν. Δὲν πρέπει ὅμως ὁ δοῦλος τοῦ Θεοῦ νὰ μὴ ἔχῃ τάξιν, ἀλλὰ νὰ διατηρῇ παντοῦ ταπεινοφροσύνην καὶ ἡσυχίαν, ὅπως λέγει καὶ ὁ Προφήτης· «εἰς ποῖον ἄλλον θὰ ἐπιβλέψω; παρὰ εἰς τὸν πρᾶον καὶ ἥσυχον καὶ εἰς αὐτὸν ποὺ τρέμει τοὺς λόγους μου;» (Ἡσ. ξστ', 2). Διότι αὐτοὶ ποὺ δείχνουν τοιαύτην διαγωγήν, οἰκοδομοῦν εἰς τὴν πίστιν καὶ ἐκείνους οἱ ὁποῖοι τοὺς βλέπουν.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΑΠΑΝΤΩΝ πρὸ πάντων εἰς τὴν σύναξιν, καλὸν καὶ σωτήριον· τὸ δὲ πρὸ τῆς ἀπολύσεως ἐξιέναι ἐκ τῆς συνάξεως δίχα ἀνάγκης, βλαβερὸν καὶ ὀλέθριον. Σὺ οὖν ἔκδεξαι καὶ ἄκουε τῶν θείων γραφῶν, ὅπως ὠφεληθῇς. Ὃν τρόπον γὰρ ἐν καύματι ἀνδρὶ ὁδοιπόρῳ ποτήριον ψυχροῦ προσηνές, οὕτω θεῖοι λόγοι δροσίζουσι ψυχήν. Ἐὰν βούλῃ ἀκούειν, ἔκδεξαι, καὶ ἐὰν ἀκούσῃς, σοφὸς ἔσῃ· εἰ δὲ τὴν ὑπομονὴν τοῦ ἀκοῦσαι τὸν λόγον βαρέως φέρεις, πόσῳ μᾶλλον τὴν πρᾶξιν; Ἐντεῦθεν τοιγαροῦν ἐπίγνωθι σεαυτόν, ὅτι ἀμελὴς ὑπάρχεις, ὃν τρόπον κἀγώ. Εἰσιόντων δὲ ἡμῶν εἰς οἶκον Κυρίου, πᾶς μετεωρισμὸς ἀπέστω τῆς διανοίας ἡμῶν, καὶ σχολαζέτω ὁ ἔσω ἡμῶν ἄνθρωπος εἰς θεωρίαν καὶ προσευχήν, καὶ μή τινες ἀλλότριοι λογισμοὶ τὸν νοῦν ἡμῶν ἐκταράσσωσι.

Γνῶμεν δὲ τίνι ἐν τῇ προσευχῇ παριστάμεθα, καὶ ἔστω ἡμῶν ὅλη ἡ ψυχὴ καὶ ἡ καρδία πρὸς αὐτὸν νεύουσα καὶ μηδὲν ἄλλο φανταζομένη. Νόει δὲ τὸ λεγόμενον καὶ ἐκ παραδείγματος· οἷον ἐὰν λαβών τις ἔνδεσμον ἀργυρίου ἐν τῇ χειρὶ αὐτοῦ πορευθῇ εἰς πανήγυριν θέλων βόας ἀγοράσαι, μὴ χοίρους κατανοεῖ; Εἰ δὲ καὶ ὄνους ὠνήσασθαι βούλεται, μὴ κύνας καταμανθάνει; οὐχὶ πᾶσα ἡ ἔννοια αὐτοῦ ἔγκειται οἷς ἐπιθυμεῖ καὶ ἐκεῖνα μόνον περισκοπεῖ, ἵνα μὴ χλευασθείς, τὰ ἐν χερσὶν ἀπολέσῃ διακενῆς; Οὕτω καὶ ἡμεῖς, ὅταν εἰς τὸν ἱερὸν εἰσελθόντες οἶκον τῷ Θεῷ παριστάμεθα, πᾶσαν ἡμῶν τὴν διάνοιαν εἰς αὐτὸν ἀνατείνωμεν καὶ τὰ αὐτοῦ μόνα καὶ σκοπῶμεν καὶ φανταζώμεθα, ἵνα καὶ τὴν σωτηρίαν ἡμῶν ἐντεῦθεν ἐμπορευσώμεθα, καὶ τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσωμεν. Ἀλλὰ μηδὲ εἴς τινα ὁμιλίαν μετὰ τοῦ πλησίον τραπῶμεν, ἵνα μή, ἀντὶ τοῦ ἱλεώσασθαι τὸν οὐρανοῦ καὶ γῆς ποιητήν, εὑρεθῶμεν αὐτῷ παροργίζοντες.

Ὥς περ γάρ τις παρεστὼς καὶ ὁμιλῶν βασιλεῖ, εἰ καλέσαντος αὐτὸν συν-

δούλου καταλείπη τὴν θαυμαστὴν καὶ ἔνδοξον ὁμιλίαν τοῦ βασιλέως, καὶ στραφεὶς τῷ συνδούλῳ συνομιλεῖ, τὸ καθ' αὐτὸν ὑβρίζει τὸν βασιλέα καὶ φοβερὰν τὴν παρ' ἐκείνου ἀγανάκτησιν ἑαυτῷ προξενεῖ, οὕτω καὶ ὁ λαλῶν ἐν καιρῷ τῆς ψαλμῳδίας ἢ προσευχῆς. Ὀφείλομεν οὖν ὃν τρόπον οἱ Ἄγγελοι μετὰ πολλοῦ τρόμου παρεστῶτες ἐκτελοῦσι τὴν ὑμνολογίαν τῷ κτίσαντι, οὕτω καὶ ἡμεῖς ἐν τῇ ψαλμῳδίᾳ παρίστασθαι. Εἰ δ' ἴσως καὶ ὁ ἔγγιστά σου ἱστάμενος ἀδελφός, ἀσθενὴς ὑπάρχων τῷ σώματι, βήσσει ἢ πτύει πολλά, μὴ σιάνου ἀπ' αὐτοῦ, ἀλλὰ μνήσθητι ὅτι πολλοὶ καὶ ἑαυτοὺς ἔδωκαν ἀρρώστοις τε καὶ λελωβημένοις ὑπηρετεῖν, ἵνα ἐκ τούτου μεγάλα κερδήσωσι, πείρᾳ μαθόντες τὴν ἀγάπην καὶ τὴν συμπάθειαν. Καὶ σὺ δὲ ὡς τὸ αὐτὸ περικείμενος σῶμα, ἐγγὺς εἶ τῶν τοιούτων ἀσθενειῶν, εἰ καὶ πρὸς τὸ παρὸν φιλανθρωπίᾳ Θεοῦ ὑγιαίνεις τῷ σώματι· διὸ μὴ ἐπαίρου κατὰ τοῦ ἀσθενοῦς, ἀλλὰ φοβοῦ, ἵνα μὴ τὰ αὐτὰ πάθῃς ἢ χείρονα, καὶ τῇ πρὸς τὸν ἀδελφὸν συμπαθείᾳ ἀσφάλιζε ἑαυτόν.

Ἑρμηνεία

ΤΟ ΝΑ πηγαίνῃς πρὶν ἀπὸ ὅλους εἰς τὴν σύναξιν, διὰ τὴν ἀκολουθίαν, εἶναι καλὸν καὶ σωτήριον· τὸ νὰ φεύγῃς ὅμως χωρὶς ἀνάγκην, πρὶν ἀπὸ τὴν ἀπόλυσιν, εἶναι βλαβερὸν καὶ ὀλέθριον. Σύ, λοιπόν, κάμε ὑπομονὴν καὶ ἄκουε τὰς θείας Γραφάς, διὰ νὰ ὠφεληθῇς. Διότι ὅπως ἀκριβῶς ὅταν εἶναι ζέστη ἕνα ποτήρι κρύο νερὸν εἶναι εὐχάριστον διὰ τὸν ὁδοιπόρον, ἔτσι καὶ τὰ θεϊκὰ λόγια δροσίζουν τὴν ψυχήν. Ἐὰν θέλῃς νὰ ἀκούῃς, κάμνε ὑπομονήν· καὶ ἐὰν ἀκούσῃς, θὰ γίνῃς σοφός. Ἂν ὅμως μὲ δυσκολίαν ἀνέχεσαι τὴν ὑπομονὴν διὰ νὰ ἀκούσῃς λόγον, πόσον μᾶλλον θὰ δυσκολευθῇς νὰ κάνῃς ὑπομονὴν εἰς τὰς πράξεις; Ἀπὸ αὐτό, λοιπόν, ἀναγνώρισε καλὰ τὸν ἑαυτόν σου, ὅτι εἶσαι ἀμελής, ὅπως καὶ ἐγώ. Ὅταν εἰσερχώμεθα εἰς οἶκον Κυρίου, ἂς φεύγῃ ἀπὸ τὸν νοῦν μας κάθε περιπλάνησις ἄσκοπος καὶ ἂς προσέχῃ ὁ ἐσωτερικός μας ἄνθρωπος εἰς τὴν θεωρίαν καὶ τὴν προσευχὴν καὶ ἂς μὴ ταράσσουν τὸν νοῦν μας μερικοὶ κακοὶ λογισμοί.

Ἂς σκεφθῶμεν δὲ ἐμπρὸς εἰς ποῖον παριστάμεθα κατὰ τὴν προσευχὴν καὶ τότε ὅλη ἡ ψυχὴ καὶ ἡ καρδία μας ἂς εἶναι ἐστραμμένη πρὸς Αὐτόν, χωρὶς νὰ φαντάζεται τίποτε ἄλλο. Προσπάθησε δὲ νὰ ἀντιληφθῇς αὐτὸ ποὺ λέγω καὶ μὲ τὸ ἑξῆς παράδειγμα· ἂν κανεὶς πάρῃ ἕνα σακκούλι χρήματα εἰς τὸ χέρι του καὶ πορευθῇ εἰς τὴν πανήγυριν, διὰ νὰ ἀγοράσῃ βόδια, μήπως θὰ παρατηρῇ προσεκτικὰ χοίρους; Ἐάν, πάλιν, θέλῃ νὰ ἀγοράσῃ ὄνους, μήπως θὰ ψάχνῃ διὰ σκύλους; Ὅλη του ἡ σκέψις δὲν θὰ εἶναι προσηλωμένη εἰς ἐκεῖνα ποὺ ἐπιθυμεῖ νὰ ἀγοράσῃ, καὶ αὐτὰ μονάχα θὰ ἐξετάζῃ προσεκτικά, διὰ νὰ μὴ τὸν ἐξαπατήσουν καὶ χάσῃ ἀσυλλόγιστα τὰ χρήματα ποὺ ἔχει εἰς τὰ χέρια του;

Ἔτσι λοιπὸν καὶ ἡμεῖς, ὅταν εἰσέλθωμεν εἰς τὸν ἱερὸν Ναὸν καὶ σταθῶμεν ἐμπρὸς εἰς τὸν Θεόν, ἂς ἀνυψώσωμεν ὅλην τὴν σκέψιν μας πρὸς Αὐτὸν καὶ ἂς προσέχωμεν μονάχα ὅσα ἀναφέρονται εἰς Αὐτὸν καὶ αὐτὰ ἂς φανταζώμεθα, διὰ νὰ κερδήσωμεν ἀπ' αὐτὸ τὴν σωτηρίαν μας

καὶ νὰ ἀπολαύσωμεν τὰ οὐράνια ἀγαθά. Ἀλλ' οὔτε ἀκόμη καὶ ἕνα ἁπλὸν λόγον νὰ μὴ ἀνταλλάξωμεν μὲ τὸν διπλανόν μας, μὴ τυχόν, ἀντὶ νὰ ἐξευμενίσωμεν τὸν ποιητὴν τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, τὸν παροργίσωμεν.

Ὅπως ἀκριβῶς, δηλαδή, ὅταν εὑρίσκεται κανεὶς ἐνώπιον βασιλέως καὶ συνομιλῇ μὲ Αὐτόν, ἂν τύχῃ καὶ τὸν καλέσῃ κάποιος σύνδουλος, ἐὰν ἐγκαταλείψῃ τὴν συνομιλίαν μὲ τὸν Βασιλέα, ἡ ὁποία δι' αὐτὸν ἀποτελεῖ δόξαν καὶ τιμήν, καὶ γυρίσῃ νὰ κουβεντιάσῃ μὲ τὸν σύνδουλον, προσβάλλει μὲ τὸν τρόπον του τὸν Βασιλέα καὶ προκαλεῖ εἰς βάρος του τὴν φοβερὰν ἀγανάκτησιν ἐκείνου, ἔτσι καὶ ἐκεῖνος ποὺ ὁμιλεῖ κατὰ τὴν ὥραν τῆς προσευχῆς καὶ τῆς ψαλμῳδίας. Ὀφείλομεν, λοιπόν, μὲ τὸν τρόπον ποὺ οἱ Ἄγγελοι στέκουν μὲ πολὺν τρόμον καὶ ὑμνολογοῦν τὸν Δημιουργόν, ἔτσι καὶ ἡμεῖς νὰ παριστάμεθα κατὰ τὴν ψαλμῳδίαν. Ἄν, ἴσως, ὁ ἀδελφός, ποὺ στέκεται κοντά σου, εἶναι σωματικῶς ἄρρωστος καὶ βήχει, ἢ πτύει συνεχῶς, μὴ ἐνοχλεῖσαι ἀπ' αὐτόν. Σκέψου, ὅτι πολλοὶ ἀφιερώθησαν εἰς τὴν ὑπηρεσίαν λεπρῶν καὶ ἀρρώστων, διὰ νὰ κερδήσουν ἀπὸ αὐτὸ πολλὰ πνευματικά, καὶ νὰ μάθουν ἐκ πείρας τὴν ἀγάπην καὶ τὴν συμπάθειαν (πρὸς τοὺς ἀσθενεῖς).

Καὶ σύ, ἄλλωστε, ἀφοῦ φορεῖς τὸ ἴδιον σῶμα, εὑρίσκεσαι κοντὰ εἰς τὰς τοιαύτας ἀσθενείας, ἂν καὶ πρὸς τὸ παρὸν τὸ σῶμα σου εἶναι ὑγιές, ἀπὸ φιλανθρωπίαν τοῦ Θεοῦ· δι' αὐτὸ μὴ ὑπερηφανεύεσαι εἰς βάρος τοῦ ἀρρώστου, ἀλλὰ νὰ φοβᾶσαι μὴ πάθῃς τὰ ἴδια καὶ χειρότερα· καὶ μὲ τὴν συμπάθειαν πρὸς τὸν ἀδελφόν σου προφύλαττε τὸν ἑαυτόν σου.



ΥΠΟΘΕΣΙΣ ΙΒ'

Ὅτι δεῖ τοὺς ἐν ταῖς θείαις συνάξεσιν ἀργολογοῦντας ἢ ὅλως κοινολογουμένους πρὸς ἀλλήλους ἐπιτιμᾶν, καὶ εἰ μὴ διορθώσονται ἐξωθεῖν τῆς Ἐκκλησίας σὺν αὐστηρίᾳ.

Πρέπει ἐκείνους οἱ ὁποῖοι ἀργολογοῦν ἢ συζητοῦν μεταξύ των εἰς τὰς θείας συνάξεις νὰ ἐπιτιμῶμεν· καὶ ἂν δὲν διορθωθοῦν νὰ τοὺς βγάζωμεν, μὲ αὐστηρότητα, ἔξω ἀπὸ τὸν Ναόν.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΜΕΓΑΣ Ἰωάννης τοὺς ἐν τῇ Ἐκκλησίᾳ ἀλογώτατα κοινολογουμένους ἔσπευδεν ὅ,τι μάλιστα διορθοῦν· εἰ δέ τινα μετὰ μίαν καὶ δευτέραν παραίνεσιν ἀδιόρθωτον ἴδοι, ἔξω εὐθὺς ἔβαλλε, τὴν δεσποτικὴν αὐτῷ ἐπιλέγων φωνήν· «τὸν οἶκον τοῦ Θεοῦ, οἶκον δεῖ προσευχῆς εἶναι». Ἔμπαλιν δὲ τοὺς περὶ τὰς θείας συνάξεις σπουδαιοτέρους ἀπεδέχετο τῆς φιλοθείας καὶ προσεπῄνει, ἔτι δὲ καὶ προκοπαῖς ἐτίμα βαθμῶν.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἰωάννης ἐκείνους οἱ ὁποῖοι ἐσυζητοῦσαν ἀπερίσκεπτα μέσα εἰς τὴν Ἐκκλησίαν ἐφρόντιζεν, ὅσον ἠμποροῦσε, νὰ τοὺς διορθώνῃ· ἂν δὲ ἔβλεπε νὰ παραμένῃ κάποιος ἀδιόρθωτος, μετὰ μίαν καὶ δευτέραν συμβουλήν, τὸν ἔβγαζεν ἀμέσως ἔξω ἀπὸ τὴν Ἐκκλησίαν καὶ τοῦ ἐπαναλάμβανε τὴν φωνὴν τοῦ Δεσπότου Χριστοῦ· «Ὁ οἶκος τοῦ Θεοῦ πρέπει νὰ εἶναι οἶκος προσευχῆς». Ἀντιθέτως ἐκείνους οἱ ὁποῖοι ἐδείκνυον ἐνδιαφέρον διὰ τὰς ἀκολουθίας καὶ τὰς παρηκολούθουν μετ' εὐλαβείας καὶ κατανύξεως τοὺς ἐδέχετο μὲ χαρὰν ὡς φιλοθέους καὶ τοὺς ἐπαινοῦσεν, ἀκόμη δὲ τοὺς ἐτίμα παρέχων εἰς αὐτοὺς ἀξιώματα.

Β' Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ἐάν τις εὐκαιρήσῃ μετὰ πολλῶν ἢ μετὰ ὀλίγων εἰς τὴν Ἐκκλησίαν καὶ φράξῃ τὸ στόμα αὐτοῦ τοῦ μὴ βοᾶν πρὸς τὸν Θεόν, ἐκεῖνος δαιμό-

νων ἔργον ἐργάζεται· καὶ γὰρ οἱ δαίμονες, μὴ δυνάμενοι ἀκοῦσαι τὸν ἔπαινον τοῦ Χριστοῦ, καὶ τοὺς ψάλλοντας καταργοῦσιν.

2. Εἶπεν ὁ Ἀββᾶς Εὐάγριος· μέγα μὲν τὸ ἀπερισπάστως προσεύχεσθαι, μεῖζον δὲ τὸ ψάλλειν ἀπερισπάστως.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων εἶπεν· ἂν εὑρεθῇ κάποιος, κατὰ τὴν ὥραν τῆς ἀκολουθίας, μὲ πολλοὺς ἢ ὀλίγους εἰς τὴν Ἐκκλησίαν, καὶ φράξῃ τὸ στόμα του διὰ νὰ μὴ ψάλλῃ πρὸς τὸν Θεόν, κάνει ἔργον δαιμόνων· διότι καὶ οἱ δαίμονες, ἐπειδὴ δὲν ἠμποροῦν νὰ ἀκούσουν τὸν ἔπαινον τοῦ Χριστοῦ, καταργοῦν καὶ τοὺς ψάλλοντας.

† ② Ὁ Ἀββᾶς Εὐάγριος εἶπεν· εἶναι σπουδαῖον πρᾶγμα τὸ νὰ προσεύχεται κανεὶς ἀπερίσπαστος· μεγαλύτερον ὅμως εἶναι τὸ νὰ ψάλλῃ χωρὶς περισπασμούς.

Γ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΑΔΕΛΦΕ, ἐὰν στῇς ἐν οἴκῳ Κυρίου πρὸς λατρείαν πνευματικήν, πρόθυμος ἔσο περὶ τὴν ψαλμῳδίαν· εἰ δὲ σὺ σιγᾷς, σιγήσω κἀγώ, σιωπήσει καὶ ὁ πέλας, ἐξ ἀνάγκης ἀργήσει καὶ ἡ ψαλμῳδία· ἀλλὰ μὴ οὕτω γενέσθω. Εἰ γὰρ οἱ εὐφημοῦντες ἄρχοντα ἢ βασιλέα, ὅταν στῶσιν ἐν θεάτρῳ καὶ θεάσωνταί τινα μεταξὺ αὐτῶν ἑστῶτα καὶ μὴ συνεκβοῶντα αὐτοῖς τεταμένῃ τῇ φωνῇ, τοῦτον ὤσαντες καταβάλλουσιν ὡς ἀνάξιον τῆς τοιαύτης στάσεως κρίναντες, πόσῳ δὴ μᾶλλον ἡμᾶς δέον τῷ δεσπότῃ τοῦ οὐρανοῦ καὶ τῆς γῆς παραστάντας προθύμως καὶ ἐντόνως τὰς ψαλμῳδίας ποιεῖσθαι; Πρόσεχε δὲ μήποτε ταράξῃς σύστημα ἀνδρῶν ἀσκητῶν, ἑστώτων καὶ ψαλλόντων ἐν Κυρίῳ, ἵνα μὴ θεήλατός σοι ἐπέλθῃ ὀργὴ καὶ πληγή. Τὸ γὰρ εἰς Θεὸν ἁμαρτάνειν χαλεπὸν καὶ ἀσύγγνωστον, καὶ πνεύματα δὲ Προφητῶν Προφήταις ὑποτάσσεται, κατὰ τὸ γεγραμμένον· οὐ γὰρ ἀκαταστασίας ὁ Θεός, ἀλλ' εἰρήνης καὶ τάξεως.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, ἐὰν σταθῇς εἰς οἶκον Κυρίου (δηλαδὴ εἰς ναὸν) διὰ πνευματικὴν λατρείαν, νὰ εἶσαι πρόθυμος νὰ συμμετάσχῃς εἰς τὴν ψαλμῳδίαν· ἐὰν ὅμως σὺ σιωπᾷς, σιωπήσω καὶ ἐγώ, σιωπήσῃ καὶ ὁ πλησίον μας, τότε κατ' ἀνάγκην θὰ παύσῃ καὶ ἡ ψαλμῳδία. Ἀλλὰ δὲν πρέπει νὰ γίνῃ αὐτό. Διότι ἂν ἐκεῖνοι οἱ ὁποῖοι ζητοκραυγάζουν ἕνα ἄρχοντα ἢ βασιλέα, ὅταν σταθοῦν εἰς θέατρον καὶ ἴδουν κάποιον, ὁ ὁποῖος εὑρίσκεται ἀνάμεσά των, ἀλλὰ δὲν ζητωκραυγάζει μαζί των μὲ ὑψωμένην τὴν φωνήν, τοῦτον ἀφοῦ τὸν σπρώξουν τὸν ἀποδιώκουν, διότι τὸν θεωροῦν ἀνάξιον διὰ μίαν τοιαύτην παράστασιν· δὲν πρέπει πολὺ περισσότερον ἡμεῖς ὅταν σταθῶμεν ἐνώπιον τοῦ Δεσπότου τοῦ οὐρανοῦ καὶ τῆς γῆς νὰ ψάλλωμεν μὲ προθυμίαν καὶ μὲ τὴν πρέπουσαν δύναμιν τὰς ὑμνῳδίας ποὺ ἁρμόζουν εἰς Αὐτόν;

Πρόσεχε δέ, ἀδελφέ, μήπως τυχὸν ἀνησυχήσῃς ὁμάδα ἀσκητῶν, οἱ ὁποῖοι στέκονται καὶ ψάλλουν πρὸς δοξολογίαν τοῦ Κυρίου, διὰ νὰ μὴ πέσῃ ἐπὶ τῆς κεφαλῆς σου θεϊκὴ ὀργὴ καὶ τιμωρία. Διότι τὸ νὰ ἁμαρτάνῃ κανεὶς πρὸς τὸν Θεὸν εἶναι φοβερὸν καὶ ἀσυγχώρητον, καὶ πνεύματα δὲ Προφητῶν ὑποτάσσονται εἰς Προφήτας, συμφώνως μὲ τὴν Ἁγίαν Γραφήν· διότι ὁ Θεὸς δὲν εἶναι Θεὸς ἀκαταστασίας, ἀλλὰ Θεὸς εἰρήνης καὶ τάξεως.

Δ'. Ἀντιόχου τοῦ Παντέκτου

Η ΨΑΛΜΩΔΙΑ ἔργον ἐστὶ τῶν ἀσωμάτων δυνάμεων, τῶν παρισταμένων καὶ λειτουργουσῶν ἀδιαλείπτως τῷ Θεῷ κατὰ τὸ εἰρημένον· «αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν πάντες οἱ Ἄγγελοι αὐτοῦ καὶ πᾶσαι αἱ δυνάμεις αὐτοῦ»· ἁρμόζει δὲ καὶ πᾶσιν ἀνθρώποις· «πᾶσα γάρ, φησι, πνοὴ αἰνεσάτω τὸν Κύριον», κατ' ἐξαίρετον δὲ τοῖς Μοναχοῖς τοῖς τὸν Ἀγγελικὸν βίον ἐπανῃρημένοις· λέγει γάρ· «οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν».

Ἡ οὖν ψαλμῳδία θυσία ἐστὶν ἐνδελεχισμοῦ καὶ θυσία αἰνέσεως, κατὰ τὸ γεγραμμένον· «θυσία αἰνέσεως δοξάσει με». Διὸ χρεωστοῦμεν οἱ Μοναχοὶ ἐνδελεχῶς καὶ ἀδιαλείπτως λειτουργεῖν τῷ Θεῷ τὰς νενομοθετημένας αὐτῷ δοξολογίας, ἀκούοντες τοῦ Δαβὶδ παρακελευομένου ἡμῖν καὶ λέγοντος. «Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε· ψάλατε συνετῶς, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ· ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλλω σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω»· καὶ αὖθις· «ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ καὶ δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθαι αὐτῷ ἐν τρόμῳ. Ἡ γὰρ αἴνεσις ἐν Ἐκκλησίᾳ ὁσίων καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν· ἐγὼ δὲ ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου, ὅτι ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου· ὅτι ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου· τὸν γὰρ χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς τοὺς ψάλλοντάς σοι».

Ἀλλὰ τί χρὴ πάσας τὰς περὶ τοῦ ψάλλειν τοῦ Δαβὶδ παραθέσθαι μαρτυρίας, ἢ τῆς χαρᾶς καὶ εὐφροσύνης τῆς ἐγγινομένης ἐν τῇ καρδίᾳ τοῦ μετὰ κατανύξεως νηφαλέως ψάλλοντος; Τοῦτο γὰρ οἱ πεπειραμένοι ἀκριβῶς ἐπίστανται. Εὐτόνως οὖν στῶμεν, ἀγαπητοί, ἐν τῇ ψαλμωδίᾳ καὶ προσευχῇ, ἀποστρεφόμενοι τὰς τῶν λογισμῶν καὶ φροντίδων ἐπείξεις. Εἰώθασι γὰρ οἱ δαίμονες, ὅταν ἴδωσί τινα προθύμως ψάλλοντα ἢ προσευχόμενον, τότε ὑποτίθενται νοήματα τινῶν πραγμάτων, δῆθεν ἀναγκαίων, κινοῦντες τὸν νοῦν πρὸς ζήτησιν αὐτῶν, ἵνα ἐνσχεθεὶς τῇ αὐτῶν μνήμῃ ὁ νοῦς ἀπολέσῃ τὴν γλυκύτητα τῆς ψαλμῳδίας. Διὰ τοῦτο γὰρ ὁ Χριστὸς διὰ στόματος νηπίων, ἤγουν τῇ ἀκακίᾳ νηπιαζόντων, καταρτίζει τὸν αἶνον, ἵνα διὰ τῆς ψαλμῳδίας καταλύσῃ τὸν τυραννοῦντα ἡμᾶς ἐχθρὸν καὶ ἐκδικητὴν διάβολον, ἐχθρὸν μὲν τῶν ἀρετῶν, ἐκδικητὴν δὲ τῆς κακίας.

Καὶ ἡμεῖς οὖν, ἁπλότητι αἰνοῦντες τὸν Κύριον, συντρίβομέν τε καὶ καταλύομεν τὰ αὐτοῦ μηχανήματα. Ἔστω οὖν ὁ ψαλμὸς συνεχής· Θεὸς γὰρ καὶ μόνον ὀνομαζόμενος φυγαδεύει δαίμονας. Καὶ τοῦτο δὲ ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς, ὅτι

ἡ ψαλμῳδία ἡμῶν κανὼν λέγεται, ὡς καὶ αὐτοὶ οἴδατε. Ὥς περ οὖν ὁ γεωργός, ἐὰν μὴ ἀποδῷ πλήρη καὶ καλὸν τὸν κανόνα αὐτοῦ, μυρία πάσχει δεινά, εἰς φυλακὴν ἐμβάλλεται, καὶ κρεμᾶται καὶ δέρεται, ἕως οὗ ἀποδῷ πᾶσαν τὴν ὀφειλὴν αὐτοῦ, οὕτω καὶ ὁ Μοναχός, ὅταν ἀμελήσῃ τοῦ κανόνος αὐτοῦ, εὐθέως ἐγκαταλιμπάνεται ὑπὸ τῆς χάριτος καὶ παραδίδοται τοῖς ἐχθροῖς αὐτοῦ, καὶ πίπτει ὑπὸ τοὺς πόδας αὐτῶν.

Ἑρμηνεία

Η ΨΑΛΜΩΔΙΑ εἶναι ἔργον τῶν ἀσωμάτων δυνάμεων, αἱ ὁποῖαι στέκονται πλησίον τοῦ Θεοῦ καὶ τὸν ὑμνολογοῦν ἀδιακόπως, ὅπως λέγει καὶ ὁ ψαλμῳδός· «Αἰνεῖτε τὸν Κύριον ἀπὸ τοὺς οὐρανοὺς πάντες οἱ Ἄγγελοι Αὐτοῦ καὶ πᾶσαι αἱ δυνάμεις Αὐτοῦ». Αὐτὸ δὲ ἐπιβάλλεται καὶ δι' ὅλους τοὺς ἀνθρώπους· διότι, ὅπως λέγει πάλιν ὁ ψαλμῳδός, «πᾶσα πνοὴ πρέπει νὰ ὑμνολογῇ τὸν Κύριον»· ἰδιαιτέρως δὲ τοῦτο ἐπιβάλλεται διὰ τοὺς Μοναχούς, οἱ ὁποῖοι ἐδιάλεξαν καὶ ἠκολούθησαν τὸν Ἀγγελικὸν βίον. Λέγει δηλαδὴ ἡ Γραφή. «Σεῖς ποὺ φοβεῖσθε τὸν Κύριον, ὑμνολογήσατε Αὐτόν, ὅλοι οἱ ἀπόγονοι τοῦ Ἰακὼβ νὰ τὸν δοξάσετε».

Ἡ ψαλμῳδία λοιπὸν εἶναι διαρκὴς θυσία καὶ θυσία αἰνέσεως, ὅπως λέγει καὶ ἡ Γραφή· «μὲ θυσίαν αἰνέσεως θὰ μὲ δοξάσῃ». Διὰ τοῦτο ἡμεῖς οἱ Μοναχοὶ χρεωστοῦμεν συνεχῶς καὶ ἀδιακόπως νὰ προσφέρωμεν εἰς τὸν Θεὸν τὰς δοξολογίας, αἱ ὁποῖαι ἔχουν νομοθετηθῆ δι' Αὐτόν, ὑπακούοντες κατ' αὐτὸν τὸν τρόπον καὶ εἰς τὸν Δαβίδ, ὁ ὁποῖος μᾶς παρακινεῖ εἰς αὐτό, λέγων· «Ψάλατε πρὸς τὸν Θεὸν ἡμῶν, ψάλατε· Ψάλατε πρὸς τὸν Βασιλέα ἡμῶν, ψάλατε· Ψάλατε μὲ σύνεσιν, ψάλατε πρὸς Αὐτὸν καλῶς μὲ ἰσχυρὰν φωνήν· θὰ εὐφρανθοῦν τὰ χείλη μου, ὅταν ψάλω πρὸς Σὲ καὶ ἡ ψυχή μου, τὴν ὁποίαν ἔσωσες, θὰ εὐφρανθῇ»· καὶ πάλιν εἰς ἄλλο σημεῖον λέγει ἡ Γραφή· «Ψάλατε πρὸς τὸν Κύριον οἱ ἀφωσιωμένοι πρὸς Αὐτὸν καὶ ὑπηρετήσατε τὸν Κύριον μὲ φόβον, καὶ νὰ ἀγαλλιᾶσθε ἀπὸ τὸν τρόμον, ὁ ὁποῖος σᾶς καταλαμβάνει. Ἡ ὑμνολογία καὶ δοξολογία τοῦ Θεοῦ δηλαδὴ πρέπει νὰ γίνεται εἰς Ἐκκλησίαν ὁσίων καὶ οἱ υἱοὶ τῆς Σιὼν ἂς εὐφρανθοῦν διὰ τὸν Βασιλέα των. Ἐγὼ δὲ θὰ ψάλω καὶ θὰ ὑμνήσω τὸν Θεὸν διὰ τὴν δόξαν ποὺ μοῦ ἐχάρισε, διότι ἐθερμάνθη ἐντός μου ἡ καρδία μου ἀπὸ τὴν ἀγάπην Του καὶ ἀπὸ τὴν θέρμην τῆς ἀφοσιώσεώς μου εἰς τὸν Θεὸν θὰ ἀνάψῃ ἐντός μου πῦρ.

Μετὰ τοῦ αὐτοῦ πόθου θὰ σὲ δοξολογῶ καθ' ὅλην τὴν ζωήν μου καὶ μόνον εἰς τὸ ὄνομά Σου θὰ ὑψώνω τὰς χεῖρας μου καὶ θὰ προσεύχωμαι εἰς Σέ. Τότε θὰ χορταίνῃ καὶ θὰ εὐφραίνεται ἡ ψυχή μου, ὡς θὰ ηὐφραίνετο τὸ σῶμα, ὅταν θὰ ἔτρωγε λιπαρὰ καὶ παχέα φαγητά. Μὲ χείλη ἀγαλλόμενα τότε θὰ σὲ ὑμνῇ τὸ στόμα μου· καὶ θὰ τοὺς ποτίσῃς μὲ ποτὸν τὸν χείμαρρον τῶν ἀπολαύσεων ἐκείνους ποὺ θὰ ψάλλουν εἰς Σέ.

Ἀλλὰ ποία ἀνάγκη ὑπάρχει νὰ παραθέσωμεν τὰς μαρτυρίας, τὰς ὁποίας ἀναφέρει ὁ Δαβὶδ σχετικῶς μὲ τὴν ψαλμῳδίαν, ἢ νὰ ὁμιλῶ-

μεν διὰ τὴν χαρὰν καὶ τὴν εὐφροσύνην, ἡ ὁποία γεννᾶται μέσα εἰς τὴν καρδίαν ἐκείνου, ὁ ὁποῖος ψάλλει μὲ κατάνυξιν καὶ προσοχήν; Ἐκεῖνοι οἱ ὁποῖοι ἔχουν πεῖραν τοῦ πράγματος αὐτοῦ, γνωρίζουν καλῶς τὴν κατάστασιν αὐτήν. Ἂς σταθῶμεν λοιπόν, ἀγαπητοί, μὲ σεβασμὸν εἰς τὴν ψαλμῳδίαν καὶ προσευχήν, ἀποφεύγοντες τὰς ἀπασχολήσεις ποὺ μᾶς προκαλοῦν οἱ λογισμοὶ καὶ αἱ ὑλικαὶ φροντίδες. Διότι ὅταν οἱ δαίμονες ἴδουν κάποιον ὁ ὁποῖος ψάλλει ἢ προσεύχεται μὲ προθυμίαν, τότε συνηθίζουν νὰ βάλλουν εἰς τὸν νοῦν του μερικὰς σκέψεις διὰ γήϊνα πράγματα, τὰ ὁποῖα εἶναι δῆθεν ἀναγκαῖα, στρέφοντες τὸν νοῦν του πρὸς τὴν ἐπίλυσιν τῶν πραγμάτων αὐτῶν, μὲ σκοπὸν νὰ παρασυρθῇ ὁ νοῦς ἀπὸ τὴν ἐνθύμησίν των καὶ νὰ χάσῃ τὴν γλυκύτητα τῆς ψαλμῳδίας.

Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἀπὸ τὸ στόμα νηπίων, δηλαδὴ ἐκείνων οἱ ὁποῖοι διὰ τὴν ἔλλειψιν πάσης κακίας ἀπὸ τὴν καρδίαν των ὁμοιάζουν μὲ τὰ νήπια, καταρτίζει τὴν ὑμνολογίαν, ὥστε μὲ τὴν ψαλμῳδίαν αὐτῶν νὰ καταργήσῃ τὸν ἐχθρὸν ὁ ὁποῖος μᾶς τυραννεῖ καὶ τὸν ἐκδικητὴν τοῦ ἀνθρωπίνου γένους διάβολον, ὁ ὁποῖος εἶναι ἐχθρὸς μὲν ὅλων τῶν ἀρετῶν, προστάτης δὲ τῆς κακίας.

Καὶ ἡμεῖς λοιπόν, ὅταν ὑμνολογοῦμεν μὲ ἁπλότητα τὸν Κύριον, συντρίβομεν καὶ ἀχρηστεύομεν ὅλας τὰς μηχανορραφίας τοῦ διαβόλου. Ἂς εἶναι λοιπὸν ἡ ψαλμῳδία συνεχής· διότι καὶ μόνον τὸ ὄνομα τοῦ Θεοῦ ὅταν ἀναφερθῇ, ἀποδιώκει μακρὰν τοὺς δαίμονας. Εἶναι ὅμως ἀνάγκη νὰ σᾶς ὑπενθυμίσω καὶ τοῦτο ἀκόμη· ὅτι δηλαδὴ ἡ ψαλμῳδία μας λέγεται κανών, ὅπως τὸ γνωρίζετε καὶ σεῖς. Ὅπως λοιπὸν ὁ γεωργός, ἐὰν δὲν ἀποδώσῃ ὁλόκληρον καὶ καλὸν τὸν κανόνα του, δηλαδὴ τὴν ὑποχρέωσίν του, ὑφίσταται πολλὰς τιμωρίας, καὶ εἰς τὴν φυλακὴν κλείεται καὶ κρεμᾶται καὶ δέρεται, μέχρις ὅτου ἐπιστρέψῃ ὅλην τὴν ὀφειλήν του, ἔτσι καὶ ὁ Μοναχός, ὅταν παραμελήσῃ τὸν κανόνα του, ἀμέσως ἐγκαταλείπεται ἀπὸ τὴν θείαν χάριν καὶ παραδίδεται εἰς τοὺς ἐχθρούς του καὶ καταπατεῖται κάτω ἀπὸ τοὺς πόδας των.

Ε΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΟΙ, χωρὶς μεγάλης ἀνάγκης μὴ λαλήσητε τίποτε ἐν τῇ τραπέζῃ ἢ ἐν τῇ συνάξει, καὶ μὴ διορθώσητέ τινα ψάλλοντα, εἰ μή τι αὐτὸς ἐρωτήσει ὑμᾶς. Ἐὰν γὰρ πλανηθῇ εἰς λέξιν καὶ παρέλθῃ, λέξιν παρῆλθεν· ὑμεῖς δὲ μὴ ταχέως εἴπητε αὐτῷ καὶ ταράξητε αὐτόν· ἐὰν εἴπῃ, ποιήσατε ἀγάπην, εἴπατέ μοι, εἴπατε αὐτῷ.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, νὰ μὴ λαλήσετε τίποτα, χωρὶς μεγάλην ἀνάγκην, εἰς τὴν τράπεζαν, ἢ εἰς τὴν σύναξιν τῆς ἀκολουθίας, καὶ νὰ μὴ διορθώσητε κάποιον, ποὺ ψάλλει, ἐκτὸς ἂν αὐτὸς σᾶς ἐρωτήσῃ. Διότι ἂν κάμῃ λάθος εἰς μίαν λέξιν καὶ τὴν προσπεράσῃ, μίαν ἁπλὴν λέξιν ἐπροσπέρασε· σεῖς μὴ τοῦ εἰπῆτε ἀμέσως τὸ λάθος του καὶ τὸν ἀναστατώσετε. Ἂν σᾶς εἴπῃ

ὅμως, κάνετε ἀγάπην καὶ εἰπέτε μου τὸ λάθος, τότε νὰ τοῦ τὸ ὑποδείξετε.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ἐὰν μὴ βούλῃ οἰκοδομεῖν, τὰ οἰκοδομηθέντα μὴ κατάστρεφε· ἐὰν μὴ βούλῃ φυτεύειν, τὰ πεφυτευμένα μὴ ἀνάσπα· ἤγουν ἐὰν τῇ συνάξει ἱστάμενος μὴ θέλῃς ὕμνους ἀναπέμπειν τῷ Κυρίῳ, τοὺς ᾄδοντας μὴ κατάργει. Πλούσιος ἐλάλησε, καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν· καὶ ὁ Θεὸς λαλεῖ ἡμῖν διὰ τῶν ἁγίων γραφῶν καὶ οὐ θέλομεν σιγᾶν καὶ ἀκούειν; ἀλλὰ ὃς μὲν λαλεῖ, ὃς δὲ νυστάζει, ἄλλος δὲ ρέμβεται ἔξω τοῖς λογισμοῖς. Ἀλλὰ τί λέγει ἡ γραφή; ὁ ἀποστρέφων τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακούειν νόμους ὑψίστου, καὶ αὐτὸς ἐβδελυγμένος ἔσται παρὰ Θεῷ καὶ ἡ προσευχὴ αὐτοῦ.

Ἀμελὴς Μοναχὸς ἐν προσευχῇ σπουδάζει ἀκούειν τὸ ἀμήν· ὁ δὲ νηφαλέως προσευχόμενος, οὐκ ἀκηδιᾷ, οὐδὲ ταράττεται· μήποτε δὲ καὶ περὶ ἡμῶν λεχθείη τὸ τοῦ Προφήτου· «ἐγγὺς εἶ τῶν χειλέων αὐτῶν, πόρρω δὲ ἀπὸ τῶν νεφρῶν αὐτῶν». Μοναχέ, οἱ ἀδελφοὶ ἐν τῇ συνάξει ἑστῶτες εὐλογοῦσι τὸν Θεόν, καὶ σὺ ἔξω μετεωρίζῃ; οὐκ οἶδας ὅτι σεαυτὸν ζημιοῖς; Εἰπὲ τῷ λογισμῷ σου, ἆρα εἰ ἦν δόσις χρυσίου ἤ τινος τῶν ὑλικῶν, οὐχὶ ἐσπουδάζομεν πρὸ πάντων ἀπαντῆσαι; καὶ εἰ εἰς τὰ σαρκικὰ τοσαύτη σπουδή, οὐ πολλῷ μᾶλλον εἰς τὰ πνευματικά; ἴσθι ζέων τῷ Πνεύματι ὡς οἱ Ἅγιοι, ὅπως συναυλισθῇς αὐτοῖς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ἂν δὲν θέλῃς νὰ οἰκοδομῇς, νὰ μὴ καταστρέφῃς τοὐλάχιστον τὰ οἰκοδομηθέντα· ἂν δὲν θέλῃς νὰ φυτεύῃς, νὰ μὴ ξερριζώνῃς αὐτὰ ποὺ ἔχουν φυτευθῆ· δηλαδή, ὅταν στέκεσαι εἰς τὴν ἀκολουθίαν καὶ δὲν θέλῃς νὰ ψάλλῃς εἰς τὸν Κύριον, νὰ μὴ ἐνοχλῇς τοὺς ψάλτας. Ὅταν ὁμιλῇ κάποιος πλούσιος, ὅλοι σιωποῦν διὰ νὰ ἀκουσθῇ ὁ λόγος αὐτοῦ ἕως τὰ σύννεφα. Καὶ ὅταν ὁ Θεὸς ὁμιλῇ πρὸς ἡμᾶς, διὰ τῶν Ἁγίων Γραφῶν, δὲν θέλομεν νὰ σιωπῶμεν καὶ νὰ ἀκούωμεν; ἀλλὰ ἄλλος μὲν ὁμιλεῖ, ἄλλος νυστάζει, ἄλλος πάλιν, ἀφίνει τὸν νοῦν του νὰ περιπλανᾶται ἔξω, μὲ τοὺς λογισμούς. Τί λέγει ὅμως ἡ Ἁγία Γραφὴ δι' αὐτό; «αὐτός, ποὺ στρέφει ἀλλοῦ τὸ αὐτί του (τὴν προσοχήν του) διὰ νὰ μὴ ἀκούῃ τοὺς νόμους τοῦ Ὑψίστου θὰ εἶναι μισητὸς ἐνώπιον τοῦ Θεοῦ, καθὼς καὶ ἡ προσευχή του».

Ὁ ἀμελὴς Μοναχός, ὅταν γίνεται προσευχή, βιάζεται νὰ ἀκούσῃ τὸ ἀμήν· ἐνῷ ἐκεῖνος ποὺ προσεύχεται μὲ προσοχὴν καὶ καθαρὰν διάνοιαν, δὲν βαριέται οὔτε ἐκνευρίζεται. Ἂς προσέχωμεν δὲ μήπως ἐφαρμοσθῇ καὶ δι' ἡμᾶς αὐτὸ ποὺ εἶπεν ὁ Προφήτης· «εἶσαι μὲν πλησίον τῶν χειλέων αὐτῶν, μακρὰν ὅμως ἀπὸ τὰς καρδίας των». Μοναχέ, οἱ ἀδελφοὶ ὅταν στέκουν εἰς τὴν ἀκολουθίαν, εὐλογοῦν τὸν Θεὸν καὶ σὺ ἀπ' ἔξω ἀσχολεῖσαι μὲ ἄλλα; Δὲν γνωρίζεις ὅτι ζημιώνεις τὸν ἑαυτόν σου; Εἰπὲ

εἰς τὸν λογισμόν σου· ἄραγε ἐὰν ἐπρόκειτο περὶ προσφορᾶς χρημάτων, ἢ ἄλλων ὑλικῶν ἀγαθῶν, δὲν θὰ ἐτρέχαμεν πρῶτοι ἀπὸ ὅλους; Καὶ ἂν ἐδείχναμεν τέτοιο ἐνδιαφέρον διὰ τὰ σαρκικά, πολὺ περισσότερον δὲν θὰ πρέπει νὰ δείξωμεν διὰ τὰ πνευματικά;

Νὰ εἶσαι θερμὸς εἰς τὸ πνεῦμα, ὅπως ἦσαν οἱ Ἅγιοι, διὰ νὰ εὑρεθῇς μαζὶ μὲ αὐτοὺς εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.



ΥΠΟΘΕΣΙΣ ΙΓ'

Ὅτι δεῖ ἐν παντὶ καιρῷ αγρυπνεῖν καὶ τοσοῦτον ὑπνοῦν, ὅσον τὸ σῶμα διακρατεῖν· καὶ ὅτι τοὺς ἀρχομένους τῆς ἀσκήσεως δεῖ καὶ δι' ἐπινοιῶν ἐθίζειν τὴν ἀγρυπνίαν.

Πρέπει πάντοτε νὰ ἀγρυπνῶμεν καὶ τόσον μόνον νὰ κοιμώμεθα, ὅσον διὰ νὰ διατηρῶμεν τὸ σῶμα μας ὑγιές· ἐκεῖνοι δὲ ποὺ ἀρχίζουν τὴν ἄσκησιν πρέπει καὶ μὲ τεχνάσματα ἀκόμη νὰ συνηθίζουν εἰς τὴν ἀγρυπνίαν.

Α'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Ἐφραὶμ

ΤΟΝ ΜΕΓΑΝ Ἐφραὶμ πολλάκις αἱ νύκτες γρηγοροῦντα παραλαμβάνουσαι, νήφοντα πάλιν τῷ τῆς ἡμέρας φωτὶ παρεδίδοσαν, οἷα τὸν τοῦ σκότους ἄρχοντα ὑπειδόμενον, μὴ καταλάβῃ αὐτὸν ὕπνῳ πεπεδημένον, καὶ διὰ τοῦτο πρὸς τὴν ἔφοδον ἐκείνου ἐγρηγορότα. Ὕπνος γὰρ αὐτῷ καὶ λίαν βραχὺς ἐξήρκει, παραγευομένῳ μόνον, οὐκ εἰς κόρον αὐτῷ χρωμένῳ καὶ τοσοῦτον, ὅσον αὐτοῦ διακρατεῖν ἀναγκαίως καὶ συνέχειν τὸ σῶμα τοῖς πολλοῖς ἱδρῶσι καὶ πόνοις κατατεινόμενον· ἐποίει γὰρ φεύγειν αὐτοῦ τοὺς ὀφθαλμοὺς τὸν ὕπνον πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ χαμευνία, σκληραγωγία καὶ ἡ παντοδαπὴ τοῦ σώματος ἐκείνη τῆξις καὶ κάκωσις.

Ἑρμηνεία

ΠΟΛΛΑΣ φορὰς αἱ νύκτες παρελάμβανον τὸν Μέγαν Ἐφραὶμ ἀκοίμητον καὶ τὸν παρέδιδαν, πάλιν, ἄγρυπνον εἰς τὸ φῶς τῆς ἡμέρας· ὡσὰν νὰ ἐφοβεῖτο τὸν ἄρχοντα τοῦ σκότους μήπως τὸν πιάσῃ αἰχμαλωτισμένον ἀπὸ τὸν ὕπνον καὶ διὰ νὰ ἀντιμετωπίσῃ τὴν ἐπίθεσιν ἐκείνου ἔμενεν ἄγρυπνος. Τοῦ ἔφθανε δηλαδὴ πάρα πολὺ ὀλίγος ὕπνος, ἁπλῶς μόνον τὸν ἐγεύετο· δὲν ἔκανε κατάχρησιν ὕπνου. Καὶ τόσον ἐλάχιστα ἐκοιμᾶτο, ὅσον τοῦ ἦτο ἀπαραίτητον διὰ νὰ διατηρῇ τὸ σῶμα του ὑγιὲς καὶ νὰ τὸ συγκρατῇ, ἐπειδὴ τὸ ἐβασάνιζεν ἀπὸ τοὺς πολλοὺς ἱδρῶτας

καὶ τοὺς κόπους. Διὰ νὰ φεύγῃ δὲ ὁ ὕπνος ἀπὸ τὰ μάτια του ἐχρησιμοποίει πολλοὺς τρόπους, πρὸ παντὸς δὲ ἐκοιμᾶτο τελείως καταγῆς, ἐσκληραγωγεῖτο, ἐταλαιπώρει καὶ ἐκακομεταχειρίζετο παντοιοτρόπως τὸ σῶμα του.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

Ο ΟΣΙΟΣ Παλάμων, ὁ τοῦ Μεγάλου Παχωμίου διδάσκαλος, εἴ ποτε ἐν ταῖς νυκτεριναῖς εὐχαῖς ἔβλεπε τὸν Παχώμιον τῷ ὕπνῳ βαρούμενον, ἐξήρχετο σὺν αὐτῷ εἰς τὸ ὄρος καὶ τὴν ἐκεῖσε ἄμμον, εἰς σπυρίδας λαμβάνοντες, οὕτω μετέφερον ἀπὸ τόπου εἰς τόπον καὶ ἐκένουν αὐτήν, ἐκ τούτου τὸ σῶμα καὶ τὸν βεβαρημένον νοῦν εἰς προσευχὰς καὶ ψαλμῳδίας νήφειν παρασκευάζοντες. Ἔλεγε δὲ αὐτῷ ὁ γέρων· ν ῆ φ ε; Π α χ ώ μ ι ε, μήπως πειράσῃ σε ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

Εἰώθει οὖν ὁ Παχώμιος, ἱστάμενος εἰς προσευχήν, ἐκτείνειν τὰς χεῖρας καὶ μηδόλως καθέλκειν αὐτάς, ἀλλὰ τῇ τούτων ἐκτάσει, ὡς ἐπὶ σταυροῦ κατατεινόμενος, οὕτω καταπονῶν τὸ σῶμα πρὸς νῆψιν τὴν ψυχὴν ἐπανάγειν.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σαρματᾶ, ὅτι νηστεύων ἀεὶ καὶ ἐγκρατευόμενος, οὕτω περιεγένετο τοῦ ὕπνου ὥς τε εἰ εἶπεν αὐτῷ ὕπαγε, ὑπῆγε· καὶ ὅταν εἶπεν ἐλθέ, ἤρχετο.

Ἑ ρ μ η ν ε ί α

Ο ΟΣΙΟΣ Παλάμων, ὁ διδάσκαλος τοῦ Μεγάλου Παχωμίου, ἂν κάποτε ἔβλεπεν, εἰς τὰς νυκτερινὰς προσευχάς, τὸν Παχώμιον νὰ βαρύνεται ἀπὸ τὸν ὕπνον, ἐξήρχετο, μαζί του, εἰς τὸ ὄρος· καὶ ἀφοῦ ἐγέμιζαν τὰ ζεμπίλια μὲ τὴν ἄμμον, ποὺ εὑρίσκετο ἐκεῖ, τὴν μετέφεραν ἀπὸ τόπου εἰς τόπον καὶ τὴν ἄδειαζαν. Ἔτσι κατώρθωναν καὶ τὸ σῶμα καὶ τὸν ναρκωμένον ἀπὸ τὸν ὕπνον νοῦν νὰ κρατοῦν ἄγρυπνον εἰς προσευχὰς καὶ ψαλμῳδίας.

Ἔλεγε δὲ πρὸς αὐτὸν ὁ Γέρων:

— Ἀγρύπνα, Παχώμιε, μήπως σὲ πειράξῃ ὁ πειρασμὸς καὶ ὑπάγῃ χαμένος ὁ κόπος μας.

Συνήθιζεν, ἀκόμη, ὁ Παχώμιος, ὅταν ἐστέκετο εἰς τὴν προσευχήν, νὰ ἁπλώνῃ τὰς χεῖρας του καὶ καθόλου νὰ μὴ τὰς κατεβάζῃ· μὲ τὴν ἔκτασιν αὐτὴν τῶν χειρῶν του, ὡσὰν νὰ ἦτο ἁπλωμένος ἐπάνω εἰς σταυρόν, ἐκούραζε τὸ σῶμα του διὰ νὰ διατηρῇ τὴν ψυχήν του εἰς ἀνύστακτον προσοχήν.

2. Ἔλεγον διὰ τὸν Ἀββᾶν Σαρματᾶν, ὅτι μὲ τὸ νὰ νηστεύῃ συνεχῶς καὶ νὰ ἐγκρατεύεται, τόσον πολὺ ἐνίκησε τὸν ὕπνον, ὥστε ἂν ἔλεγεν εἰς τὸν ὕπνον πήγαινε, ἔφευγε· καὶ ὅταν τοῦ ἔλεγεν ἔλα, ἤρχετο.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, ποίησον τὴν ἀγρυπνίαν σου ἐν σεμνότητι καὶ μὴ ἀποστερήσῃς τὸ σῶμά σου τῆς χρείας αὐτοῦ, ἀλλὰ τέλεσον τὰς λειτουργίας σου μετ' ἐπιεικείας καὶ

γνώσεως, μήποτε ἐκ τῆς πολλῆς ἀγρυπνίας σκοτωθῇ ἡ ψυχὴ καὶ φύγῃ ἐκ τοῦ σταδίου. Ἀρκεῖ οὖν σοι λογίζεσθαι, ὅτι τὰ ἔργα τῶν ἀρετῶν εἰσὶν οἱ σωματικοὶ κόποι ἐν γνώσει, τὰ δὲ γεννήματα τῶν παθῶν γίνονται ἀπὸ τῆς ἀμελείας. Τὸ ἀγαπᾶν τὸν πλατυσμὸν ἐκδιώκει τὴν γνῶσιν, τὸ δὲ ἀγαπᾶν τὸν κόπον, μῖσος ἐστὶ πρὸς τὰ πάθη· ἡ δὲ ὀκνηρία φέρει αὐτὰ ἀκόπως. Μὴ πρόσχῃς οὖν, ἀδελφέ, ἀναπαύσεσιν ἕως οὗ εἶ ἐν τῷ σώματι τούτῳ, μηδὲ πιστεύῃς ἑαυτῷ, ἐὰν ἴδῃς σαυτὸν ἐκ καιρῷ ἀναπαυόμενον ἀπὸ τῶν παθῶν. Διότι οἱ ἐχθροὶ συστέλλουν ἑαυτοὺς πανούργως πρὸς καιρόν, ἴσως ὁ ἄνθρωπος ἀπολύσῃ τὴν ἑαυτοῦ καρδίαν, νομίζων ὅτι ἀνεπαύθη, καὶ ἄφνω εἰσπηδῶσιν ἐπὶ τὴν ταλαίπωρον ψυχὴν καὶ ἁρπάζουσιν αὐτὴν ὡς στρουθίον· καὶ εἰ ἐπικρατέστεροι αὐτῆς γένωνται, ταπεινοῦσιν αὐτὴν ἀνελεημόνως ἐν παντὶ ἁμαρτήματι, χαλεπώτερον τῶν παρὰ τὰς ἀρχὰς ὑπὲρ ὧν ηὔχετο συγχωρηθῆναι.

Σταθῶμεν οὖν ἐν φόβῳ Θεοῦ καὶ φυλάξωμεν ἐπιτελοῦντες τὸ πρακτικὸν ἡμῶν, φυλάττοντες πάσας τὰς ἀρετάς, αἵτινες κωλύουσι τὴν κακίαν τῶν ἐχθρῶν· ὅτι οἱ κόποι καὶ οἱ μόχθοι τοῦ βραχέος καιροῦ τούτου οὐ μόνον φυλάττουσιν ἡμᾶς ἀπὸ τῆς πονηρίας, ἀλλ' αὐτοὶ πάλιν εὐτρεπίζουσι τῇ ψυχῇ στεφάνους, πρὶν ἢ ἐξέλθῃ ἀπὸ τοῦ σώματος. Ὁ γὰρ Κύριος ἡμῶν καὶ διδάσκαλος, εἰδὼς τὴν μεγάλην τῶν ἐχθρῶν ἀνελεημοσύνην καὶ οἰκτείρων τὸ γένος ἡμῶν, ἐνετείλατο ἐν στρυφνότητι καρδίας λέγων· «γίνεσθε ἕτοιμοι ἐν παντὶ καιρῷ, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ λῃστὴς ἔρχεται, μήποτε ἄφνω ἔλθῃ καὶ εὕρῃ ὑμᾶς κοιμωμένους»· καὶ πάλιν· «βλέπετε μήποτε παχυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλαις καὶ μέθαις καὶ μερίμναις βιοτικαῖς, καὶ ἐπελεύσεται ὑμῖν ἄφνω ἡ ὥρα».

Εἰδὼς δὲ ὅτι εἰ μὴ ἔχει ὁ ἄνθρωπός τι τῶν ἐχθρῶν, οὐ δύναται αὐτοῦ περιγενέσθαι, ἀποστέλλων τοὺς ἑαυτοῦ μαθητὰς ἔλεγεν αὐτοῖς· «ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· ἀλλὰ μηδὲν αἴρετε εἰς τὴν ὁδόν». Ὅσον γὰρ εἶχόν τι τῶν λύκων, οὐκ ἠδύναντο αὐτοὺς καταφυγεῖν. Ὑποστρεψάντων οὖν αὐτῶν ὑγιῶν καὶ φυλαξάντων τὴν ἐντολήν, συνεχάρη αὐτοῖς εὐχαριστῶν τῷ Θεῷ καὶ Πατρὶ ὑπὲρ αὐτῶν, καὶ ἐνισχύων τὴν καρδίαν αὐτῶν ἔλεγεν αὐτοῖς· «εἶδον τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐ μὴ ἀδικήσωσιν ὑμᾶς».

Ἡ μὲν οὖν ἀποστολὴ αὐτοῦ, ἐν φόβῳ καὶ ἐν τηρήσει· ὅταν δὲ ἐκπλήρωσαν τὴν ἐντολήν, ἔδωκεν αὐτοῖς τὴν ἐξουσίαν μετὰ δυνάμεως. Οὗτοι οἱ λόγοι οὐκ εἰσὶν ἐκείνων λόγοι μόνον, ἀλλὰ καὶ πάντων τῶν πληρούντων τὰς ἐντολάς. Πάλιν δὲ ἐνδυναμῶν αὐτοὺς ἵνα μὴ ἐκκακῶσιν ἐν ταῖς θλίψεσιν ἔλεγεν αὐτοῖς, παρασχὼν αὐτοῦ τὴν χάριν ἐν ταῖς καρδίαις αὐτῶν· «ὑμεῖς ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου», δηλονότι οἱ ἱστάμενοι ἐπὶ τὰς παραφύσεις, ἕως οὗ ἐκκόψωσιν αὐτάς.

Ταῦτα δὲ εἶπεν αὐτοῖς ἀπερχόμενος ἐπὶ τὸν Σταυρόν· «κἀγώ, φησι, διατίθημι ὑμῖν καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου». Ὁ θέλων οὖν ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης αὐτοῦ, συμπορευθήτω αὐτῷ ἐπὶ τὸν σταυρόν· ὁ γὰρ Σταυρὸς τοῦ Ἰησοῦ κακοπάθειά ἐστι καὶ ἐγκράτεια ἐπὶ παντὸς πάθους, μέχρις ἂν ἐκκοπῶσι· καθὼς καὶ ὁ Ἀπόστολος, ἐκ-

κόψας αὐτά, ἐτόλμα λέγειν· «Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός». Καὶ πάλιν εἶπεν· «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις». Γράφων δὲ καὶ Τιμοθέῳ ἔφη· «εἰ συναπεθάνομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς». Τίνες δέ εἰσιν οἱ ἀρνούμενοι αὐτόν; ἤγουν οἱ πράττοντες τὰ θελήματα αὐτῶν κατὰ σάρκα καὶ ὑβρίζονες τὸ Ἅγιον Βάπτισμα, δι' οὗ ἐδόθη ἡμῖν ἄφεσις ἁμαρτιῶν.

Ἔχομεν δὲ τὴν μετάνοιαν καὶ μετὰ τὸ Ἅγιον Βάπτισμα· εἰ μὴ γὰρ ἦν μετάνοια, οὐκ ἄν τις ἐσώζετο. Γινώσκων γὰρ ὁ Ἀπόστολος, ὅτι ἔστι καὶ μετὰ τὸ Βάπτισμα ὁ ἁμαρτάνων, ἔλεγεν· «ὁ κλέπτων, μηκέτι κλεπτέτω». Ὅσῳ τοίνυν ἔχομεν τὴν τοῦ Ἁγίου Βαπτίσματος σφραγῖδα, σπουδάσωμεν καταλεῖψαι τὰς ἁμαρτίας ἡμῶν, ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ἤγγικε γὰρ καὶ ἔρχεται καθήμενος ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται πᾶσαι αἱ φυλαὶ ἐνώπιον αὐτοῦ καὶ εἷς ἕκαστος φανεροῦται ἀπὸ τῆς ἰδίας λαμπάδος τῆς οὔσης ἐν τῇ πρακτικῇ τῶν ἀρετῶν. Ὅστις οὖν μὴ ἔχῃ ἔλαιον, σβεσθήσεται αὐτοῦ ἡ λαμπάς, καὶ ῥιφήσεται εἰς τὸ σκότος· οὗτινος δὲ ἡ λαμπὰς φωτεινή ἐστι, συνεισελεύσεται αὐτῷ εἰς τὴν βασιλείαν.

Σπουδάσωμεν οὖν, ἀγαπητοί, γεμῖσαι τὰ ἀγγεῖα ἡμῶν ἐλαίου ἐν ὅσῳ ἐσμὲν ἐν τῷ σώματι, ἵνα λάμψῃ ἡ λαμπὰς ἡμῶν. Τὰ ἀγγεῖα ἡμῶν, αἱ δυνάμεις εἰσὶ τῆς ψυχῆς αἱ χωροῦσαι τὰς ἀρετάς, τὸ δὲ ἐν αὐτοῖς ἔλαιον, τὸ πρακτικὸν πασῶν τῶν ἀρετῶν ἐστιν. Ἡ δὲ φωτεινὴ λαμπάς, ὁ νοῦς ὁ δεκτικὸς τῆς θείας ἐλλάμψεως. Οἵα οὖν ψυχὴ γένηται φωτοφόρος διὰ τῶν ἀγαθῶν πράξεων, συνεισελεύσεται τῷ Χριστῷ εἰς τὴν βασιλείαν· ἡ δὲ ὑπὸ τῆς ἐργασίας τῶν τοῦ σκότους ἔργων ἢ ἀμελείας τῶν ἀγαθῶν ἐσκοτισμένη ἀπελεύσεται εἰς τὸ σκότος, ὃ ἑαυτῇ προεξένησε δι' ὧν ἔπραξεν.

Εἶπεν ὁ αὐτός· μίσησον, ἀδελφέ, πάντα τὰ ἐν τῷ κόσμῳ καὶ τὴν σωματικὴν ἀνάπαυσιν, ὅτι αὐτά σε ποιοῦσιν ἐχθρὸν τοῦ Θεοῦ. Ὥς περ ἄνθρωπος ἔχων ἐχθρὸν πολεμεῖ αὐτόν, οὕτως ὀφείλομεν τὸ σῶμα ἡμῶν πολεμεῖν τοῦ μὴ ἀναπαῦσαι αὐτό. Τὴν γὰρ ἀναχώρησιν οἱ ἀρχαῖοι φυγὴν τοῦ σώματος εἶπον καὶ μελέτην θανάτου.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, τὴν ἀγρυπνίαν σου νὰ τὴν κάνῃς μὲ ἱεροπρέπειαν καὶ νὰ μὴ ἀποστερήσῃς τὸ σῶμα σου ἀπὸ τὴν ἀναγκαίαν περίθαλψιν. Νὰ ἐκπληρώσῃς τὰς θρησκευτικάς σου ὑποχρεώσεις μὲ μέτρον καὶ γνῶσιν, μὴ τυχὸν ἀπὸ τὴν πολλὴν ἀγρυπνίαν παραζαλισθῇ ἡ ψυχὴ καὶ ἀποχωρήσῃ ἀπὸ τὸ στάδιον τοῦ ἀγῶνος. Σοῦ εἶναι ἀρκετὸν νὰ σκέπτεσαι ὅτι τὰ ἔργα τῶν ἀρετῶν εἶναι οἱ σωματικοὶ κόποι (ποὺ γεννῶνται ἀπὸ τὴν γνῶσιν τῶν καθηκόντων), τὰ δὲ γεννήματα τῶν παθῶν γίνονται ἀπὸ τὴν ἀμέλειαν. Ἡ ἀγάπη τῆς ὑπερβολῆς ἐκδιώκει τὴν γνῶσιν, ἐνῷ ἡ ἀγάπη τοῦ κόπου εἶναι τὸ μῖσος πρὸς τὰ πάθη· ἡ ὀκνηρία φέρει τὰ πάθη χωρὶς κόπον.

Μὴ περιμένῃς λοιπόν, ἀδελφέ, ἀναπαύσεις ἐφ' ὅσον εἶσαι εἰς αὐτὸ τὸ σῶμα, οὔτε νὰ ἐμπιστεύεσαι τὸν ἑαυτόν σου, ἐὰν τὸν ἴδῃς νὰ ἡσυ-

χάζη πρὸς καιρόν, ἀπὸ τὰ πάθη. Διότι οἱ ἐχθροὶ συμμαζεύονται, δι' ὀλίγον, πονηρά, μήπως ὁ ἄνθρωπος ἀφήση ἀφρούρητον τὴν καρδίαν του, μὲ τὴν σκέψιν, ὅτι ἡσύχασε πλέον καὶ ἔξαφνα ὁρμοῦν ἐπάνω εἰς τὴν ταλαίπωρον ψυχὴν καὶ τὴν ἁρπάζουν ὡσὰν σπουργίτην. Καὶ ἂν τὴν νικήσουν, τὴν ταπεινώνουν ἀνελέητα μὲ κάθε ἁμάρτημα, πολὺ περισσότερον ἀπὸ τὰ ἁμαρτήματα, διὰ τὰ ὁποῖα παρεκάλει εἰς τὴν ἀρχὴν (ἐννοεῖ τὴν ἀρχὴν τῆς μετανοίας) νὰ συγχωρηθῆ.

Ἂς σταθῶμεν, λοιπόν, μὲ φόβον Θεοῦ καὶ ἂς εἴμεθα προσεκτικοὶ εἰς τὴν ἐκπλήρωσιν τῶν θρησκευτικῶν μας καθηκόντων, τηροῦντες ὅλας τὰς ἀρετάς, ποὺ ἐμποδίζουν τὴν κακίαν τῶν ἐχθρῶν· διότι οἱ κόποι καὶ οἱ μόχθοι αὐτοῦ τοῦ συντόμου καιροῦ, ποὺ ζῶμεν ἐδῶ εἰς τὴν γῆν, ὄχι μόνον μᾶς προφυλάσσουν ἀπὸ τὴν πονηρίαν, ἀλλ' αὐτοὶ πάλιν οἱ ἴδιοι κόποι ἑτοιμάζουν διὰ τὴν ψυχὴν στεφάνους, πρὶν ἀκόμα ἐξέλθη ἀπὸ τὸ σῶμα. Διότι ὁ Κύριός μας καὶ διδάσκαλος, ἐπειδὴ γνωρίζει τὴν μεγάλην σκληρότητα τῶν ἐχθρῶν τῆς ψυχῆς μας, καὶ ἀπὸ συμπάθειαν πρὸς τὸ γένος μας, μᾶς διέταξε, μὲ κάποιαν αὐστηρότητα· «νὰ εἶσθε —μᾶς λέγει— ἕτοιμοι σὲ κάθε στιγμήν, διότι δὲν γνωρίζετε κατὰ ποίαν ὥραν ἔρχεται ὁ ληστής, μήπως ἔλθη ἔξαφνα καὶ σᾶς εὕρη νὰ κοιμᾶσθε»· καὶ ἀλλοῦ πάλιν· «προσέχετε μήπως σκληρυνθῶσιν αἱ καρδίαι σας μὲ τὰς διασκεδάσεις καὶ τὰς μέθας καὶ τὰς ὑπερβολικὰς μερίμνας τῆς ζωῆς καὶ σᾶς ἔλθη ἐξαφνικὰ ἡ ὥρα τοῦ θανάτου» (Ματθ. κδ΄. 42—43 Λουκ. κα΄, 34).

Ἐγνώριζεν (ὁ Κύριος) ὅτι ἐφ' ὅσον ὁ ἄνθρωπος δὲν ἔχει πάρει κάτι, ἀπὸ τοὺς ἐχθρούς, δηλαδὴ κάποιο πάθος, δὲν δύναται (ὁ ἐχθρὸς) νὰ νικήση αὐτόν. Δι' αὐτὸ ὅταν ἀπέστειλε τοὺς Μαθητάς Του ἔλεγεν εἰς αὐτούς· «προσέξατε, σᾶς ἀποστέλλω ὡσὰν πρόβατα ἀνάμεσα σὲ λύκους· ἀλλὰ τίποτε μὴ παίρνετε μαζί σας εἰς τὸν δρόμον» (Ματθ. ι΄, 16· Μάρκ. στ΄, 8 Λουκ. θ΄, 3). Διότι ἐφ' ὅσον θὰ ἔπαιρνον (καθ' ὁδὸν) κάτι ἀπὸ τοὺς λύκους (ἁμαρτίαν ἢ πάθος) δὲν θὰ ἠμποροῦσαν νὰ ξεφύγουν ἀπ' αὐτούς. Ἀφοῦ λοιπὸν οἱ Μαθηταὶ ἐπέστρεψαν ὑγιεῖς (καθαροὶ καὶ ἀναμάρτητοι), ἐπειδὴ εἶχον τηρήσει τὴν ἐντολὴν («ἀλλὰ μηδὲν αἴρετε εἰς τὴν ὁδόν»), τότε ἔχαιρε μαζὶ μὲ αὐτοὺς καὶ ηὐχαρίστει δι' αὐτοὺς τὸν ἐπουράνιον Θεὸν καὶ Πατέρα*. Διὰ νὰ δώση δὲ δύναμιν εἰς τὴν καρδίαν των, τοὺς ἔλεγεν· «εἶδα τὸν σατανᾶν, ποὺ ἔπεσεν ὡσὰν ἀστραπὴ ἀπὸ τὸν οὐρανόν· προσέξατε· σᾶς ἔδωσα δύναμιν νὰ πατῆτε πάνω εἰς ὄφεις καὶ σκορπιοὺς καὶ εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ δὲν θὰ ἠμπορέσουν νὰ σᾶς ἀδικήσουν».

---

* Ἡ παράγραφος αὕτη περιέχει ὠφέλιμον διδασκαλίαν, διότι διδάσκει πάντα μαθητὴν καὶ ἀπόστολον τοῦ Εὐαγγελικοῦ κηρύγματος, τὸν τρόπον διὰ τοῦ ὁποίου δύναται νὰ φέρη εἰς πέρας τὸ πνευματικὸν ἔργον τὸ ὁποῖον τοῦ ἀνετέθη, ἀφοῦ βεβαίως κρατήση τὴν ἐντολὴν τοῦ Κυρίου. «ἀλλὰ μηδὲν αἴρετε εἰς τὴν ὁδόν». (Λουκ. ι΄, 3—4).

Ἡ μὲν ἀποστολὴ λοιπὸν τῶν μαθητῶν Του ἐγένετο μὲ φόβον καὶ μὲ ὁδηγίας νὰ προσέχουν μήπως παραστρατήσουν· ὅταν δὲ ἐξεπλήρωσαν τὴν ἐντολήν των, τότε ἔδωσεν εἰς αὐτοὺς ἐξουσίαν καὶ δύναμιν. Αὐτοὶ οἱ λόγοι δὲν εἶναι λόγοι, ποὺ ἀφοροῦν μονάχα ἐκείνους· ἀλλὰ (ἀφοροῦν) καὶ ὅλους, ποὺ ἐκτελοῦν τὰς ἐντολάς. Καὶ πάλιν, διὰ νὰ τοὺς ἐνδυναμώσῃ καὶ νὰ μὴ λυποῦνται εἰς τὰς θλίψεις, ἐνῷ ἐχορήγει εἰς τὰς καρδίας των τὴν χάριν Του, τοὺς ἔλεγεν· «σεῖς εἶσθε ἐκεῖνοι, ποὺ παρεμείνατε μαζί μου εἰς τοὺς πειρασμούς», δηλαδὴ αὐτοί, ποὺ στέκεσθε εἰς τὰ παράρριζα τοῦ δένδρου, ἕως ὅτου τὰ κόψουν.

Αὐτὰ δὲ τὰ εἶπεν εἰς αὐτούς, καθὼς ἐπροχωροῦσε διὰ νὰ ἀναβῇ εἰς τὸν Σταυρόν· «καὶ ἐγὼ —λέγει— σᾶς δίδω, καθὼς ἔδωσεν εἰς ἐμὲ ὁ Πατήρ μου, Βασιλείαν, διὰ νὰ τρώγητε καὶ νὰ πίνητε εἰς τὴν τράπεζάν μου». Αὐτός, λοιπόν, ποὺ θέλει νὰ τρώγῃ καὶ νὰ πίνῃ εἰς τὴν τράπεζάν Του, ἂς πορευθῇ μαζί Του καὶ πρὸς τὸν Σταυρόν· διότι ὁ Σταυρὸς τοῦ Ἰησοῦ εἶναι ἡ κακοπάθεια, καὶ ἡ ἐγκράτεια ἀπὸ ὅλα τὰ πάθη, ἕως ὅτου νὰ ξερριζωθοῦν. Καὶ ὁ Ἀπόστολος Παῦλος, ὅταν πλέον τὰ εἶχε ξερριζώσει, ἐτόλμα νὰ λέγῃ· «ἐσταυρώθην μαζὶ μὲ τὸν Χριστόν, δὲν ζῶ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα εἰς ἐμὲ ὁ Χριστὸς» (Γαλατ. β΄, 20). Καὶ πάλιν εἶπεν· «Αὐτοὶ ποὺ ἀνήκουν πράγματι εἰς τὸν Χριστόν, ἐνέκρωσαν τὸν σαρκικὸν ἄνθρωπον μὲ τὰ πάθη καὶ τὰς ἐπιθυμίας του» (Γαλατ. ε΄, 24). Ὅταν ἔγραφε εἰς τὸν Τιμόθεον, εἶπεν· «ἐὰν ἀπεθάναμεν μαζί Του, θὰ βασιλεύσωμεν καὶ μαζί Του· ἐὰν Τὸν ἀρνηθῶμεν καὶ Ἐκεῖνος θὰ μᾶς ἀρνηθῇ» (Τιμ. Β΄, β΄, 12). Ποῖοι δὲ εἶναι αὐτοί, ποὺ Τὸν ἀρνοῦνται; Ἐκεῖνοι, ἀσφαλῶς, ποὺ κάμνουν τὰ θελήματα τῆς σαρκός, καὶ ἐξευτελίζουν τὸ Ἅγιον Βάπτισμα, διὰ τοῦ ὁποίου μᾶς ἐδόθη ἄφεσις ἁμαρτιῶν.

Ἔχομεν δὲ καὶ μετὰ τὸ Ἅγιον Βάπτισμα τὴν μετάνοιαν, διότι ἂν δὲν ὑπῆρχε μετάνοια, κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ σωθῇ. Ἐπειδὴ ὁ Ἀπόστολος ἐγνώριζεν ὅτι θὰ ὑπάρχῃ καὶ μετὰ τὸ Βάπτισμα αὐτός, ποὺ θὰ ἁμαρτάνῃ, ἔλεγεν· «αὐτὸς ποὺ ἦτο κλέπτης, ἂς μὴ κλέπτῃ πλέον» (Ἐφεσ. δ΄, 28). Ὅσον λοιπὸν ἔχομεν τὴν σφραγῖδα τοῦ Ἁγίου Βαπτίσματος, ἂς φροντίσωμεν νὰ ἀφήσωμεν τὰς ἁμαρτίας μας, διὰ νὰ εὕρωμεν ἔλεος κατὰ τὴν ἡμέραν ἐκείνην (τῆς Δευτέρας Παρουσίας). Διότι πλησιάζει καὶ ἔρχεται καθισμένος ἐπάνω εἰς τὸν ἔνδοξον θρόνον Του, καὶ θὰ συγκεντρωθοῦν ἐμπρός Του ὅλαι αἱ φυλαὶ καὶ θὰ φανερωθῇ ὁ καθένας ξεχωριστὰ ποῖος εἶναι ἀπὸ τὴν ἰδικήν του λαμπάδα, ποὺ ἔχει ἀνάψει ἀπὸ τὴν πρακτικὴν ἐφαρμογὴν τῶν ἀρετῶν. Ὅποιος λοιπὸν δὲν ἔχει ἔλαιον, θὰ σβήσῃ ἡ λαμπάδα του καὶ θὰ ριφθῇ εἰς τὸ σκότος· αὐτοῦ δὲ ποὺ φέγγει ἡ λαμπάδα του θὰ εἰσέλθῃ μὲ τὸ Χριστὸν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.-

Ἂς φροντίσωμεν λοιπόν, ἀγαπητοί, νὰ γεμίσωμεν τὰ ἀγγεῖα μας μὲ ἔλαιον ἐφ' ὅσον ἡ ψυχή μας εὑρίσκεται εἰς τὸ σῶμα, διὰ νὰ φεγγοβολήσῃ ἡ λαμπάδα μας. Τὰ ἀγγεῖα μας εἶναι αἱ δυνάμεις τῆς ψυχῆς

μας, ποὺ δέχονται τὰς ἀρετάς, τὸ δὲ ἔλαιον, ποὺ πρέπει νὰ ρίπτωμεν εἰς τὰ ἀγγεῖα, εἶναι ἡ πρακτικὴ ἐφαρμογὴ ὅλων τῶν ἀρετῶν. Ἡ λαμπάδα, ποὺ φέγγει, συμβολίζει τὸν νοῦν, ὁ ὁποῖος ἠμπορεῖ νὰ δεχθῇ τὴν θείαν ἔλλαμψιν. Ὅποια λοιπὸν ψυχὴ θὰ γίνῃ φωτοφόρος μὲ τὰς ἀγαθὰς πράξεις, θὰ εἰσέλθῃ μαζὶ μὲ τὸν Χριστὸν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἐνῷ ἐκείνη, ποὺ εἶναι ἐσκοτισμένη ἀπὸ τὴν ἐργασίαν σκοτεινῶν ἔργων, ἢ ἀπὸ τὴν ἀμέλειαν διὰ τὰ καλὰ ἔργα, θὰ ἀπέλθῃ εἰς τὸ σκότος, τὸ ὁποῖον ἡ ἰδία προητοίμασε, διὰ τὸν ἑαυτόν της, μὲ ὅσα ἔπραξεν.

Ὁ ἴδιος, ὁ Ἀββᾶς Ἡσαΐας εἶπε: μίσησε, ἀδελφέ, ὅλα τὰ κοσμικὰ καὶ τὴν σωματικὴν ἀνάπαυσιν, διότι αὐτὰ σὲ κάνουν ἐχθρὸν τοῦ Θεοῦ. Ὅπως ἕνας ἄνθρωπος, ποὺ ἔχει ἐχθρόν, τὸν πολεμεῖ, ἔτσι καὶ ἡμεῖς ὀφείλομεν νὰ πολεμῶμεν τὸ σῶμα μας, διὰ νὰ μὴ τοῦ δώσωμεν ἀνάπαυσιν. Διότι οἱ παλαιοὶ Πατέρες ὠνόμασαν ἀναχώρησιν τὸ νὰ ἀποφύγῃ κανεὶς τὰς σωματικὰς ἀδυναμίας καὶ νὰ μελετᾷ τὸν θάνατον.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΚΥΡΙΟΣ ἡμῶν Ἰησοῦς Χριστὸς θεοπρεπῶς, ὡς οἶδεν αὐτός, τῆς πάντων προνοῶν σωτηρίας, διαφόροις δόγμασι τὸν τῆς ἐλευθερίας διαθέμενος λόγον, ἕνα σκοπὸν τὸν πρέποντα τοῖς πᾶσιν ὡρίσατο λέγων· «μετανοεῖτε»· ὡς ἐκ τούτου διαγινώσκειν ἡμᾶς, ὅτι πᾶσα ἡ ποικιλία τῶν ἐντολῶν εἰς ἕνα καταλήγει, τὸν τῆς μετανοίας ὅρον. Μετάνοια δέ, ὡς οἶμαι, οὔτε καιροῖς οὔτε πράξεσι περιώρισται, ἀλλὰ διὰ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἀναλόγως ἐπιτηδεύεται. Ἐντολαὶ δέ τινες περιεκτικώτεραι τυγχάνουσι, πολλὰς τῶν ἑνικῶν ἐν ἑαυταῖς περιέχουσαι, καὶ πολλὰ μύρια κακίας ὑφ' ἓν περικόπτουσαι· διόπερ οἱ φιλόθεοι καὶ βεβαιόπιστοι ἐπὶ τὰς περιεκτικὰς ἐντολὰς βιάζονται, καὶ τὰς μερικὰς δὲ κατὰ σύμβασιν ἀπαντώσας οὐ παραπέμπονται.

Πᾶσιν οὖν μικροῖς τε καὶ μεγάλοις ἕως θανάτου ἀτέλεστος ἡ μετάνοια· καὶ γὰρ ὁ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν πᾶσιν ὅρον ἕνα τιθείς, περιεκτικὸν τῶν προσταγμάτων, φησὶ πρὸς τοὺς Ἀποστόλους· «λέγετε αὐτοῖς, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν», θέμενος ἅμα ἐντολὰς τὰς ἐκτελούσας τὴν μετάνοιαν, καὶ τὴν πλήρωσιν αὐτῶν ἕως θανάτου ὥρισεν εἰπών· «ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, εἰς ζωὴν αἰώνιον εὑρήσει αὐτήν»· καὶ κράζει λέγων· «ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξας οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Εἰ οὖν ἕως θανάτου ὥρισε τὴν μετάνοιαν, καθὼς ἀποδέδεικται, ὁ πρὸ θανάτου λέγων αὐτὴν τετελεκέναι λύει τὴν ἐντολὴν ὑφαιρῶν τὸν θάνατον.

Ἀλλ' ἐρεῖς μοι πάντως· οἱ ἀληθῶς εὐηρεστηκότες τῷ Θεῷ καὶ πρὸς τὸ τέλειον φθάσαντες, ποίας ἔτι χρήζουσι μετανοίας; Λέγω δὲ σοι· ὅτι μὲν ἐγένοντο τοιοῦτοι ἄνθρωποι ἢ καὶ εἰσί, σύμφημι· ἀλλ' ἄκουε συνετῶς καὶ γνώσῃ πῶς καὶ οὗτοι χρήζουσιν αὐτῆς. Τὸ ψεῦδος ἐκ τοῦ διαβόλου εἴρηκεν εἶναι ὁ Κύριος· καὶ τὸ ἐμβλέψαι γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, μοιχείαν ἐλογίσατο, καὶ τὴν πρὸς τὸν πλησίον ὀργήν, φόνῳ παρείκασε.

Τίς οὖν τοιοῦτος ὁ καὶ ψεύδους ἄπειρος, καὶ πάσης τῆς κατ' ὄψιν ἐπιθυ-

μίας ἀμύητος, καὶ μηδέποτε ὀργισθεὶς τῷ πλησίον εἰκῇ, μήτε ἀργοῦ ῥήματος ὑπαίτιος εὑρεθείς, ὥστε μὴ χρήζειν μετανοίας; Εἰ γὰρ καὶ νῦν οὐκ ἔστι τοιοῦτος, ποτὲ δὲ ἐγένετο, μετάνοιαν κεχρεώστηκεν ἕως θανάτου. Καὶ ἡ φύσις δὲ ἡμᾶς διδάσκει μέχρι θανάτου μὴ ἀφιέναι αὐτήν. Νοῦς λογικὸς ἀργεῖν οὐ δύναται, ἀλλὰ κἂν τέλειος ᾖ καλῶς ἔχων, ἐν τοῖς δεξιοῖς ἐργάζεται· ἐὰν δὲ προφάσει τελειότητος παύσηται τῆς τῶν ἀγαθῶν ἐργασίας, πάντως ἐπὶ τὸ ἀριστερὸν νεύει· ἀποσχόμενος δὲ τοῦ ἀριστεροῦ, πάλιν ἐπὶ τὸ δεξιὸν φυσικῶς ἕλκεται. Δεξιῶν δὲ ἐργασία, καὶ ἀρχομένοις καὶ μέσοις καὶ τελείοις, προσευχὴ καὶ λογισμῶν καθαίρεσις, καὶ τῶν ἐπερχομένων ὑπομονή, ὧν χωρὶς οὐκ ἔστι κατορθῶσαι τὰς λοιπὰς ἐντολάς, δι' ὧν γίνεται εὐπρόσδεκτος ἡ μετάνοια.

Ζήτησον τοὺς ἀπ' αἰῶνος τὸν βίον τοῦτον παροδεύσαντας καὶ εὑρήσεις ὅτι οὐδεὶς ἐδικαιώθη, εἰ μὴ ταύτης ἐπεμελήσατο, καὶ οὐδεὶς κατεκρίθη, εἰ μὴ ταύτης κατεφρόνησεν. Εἰ ὁ διάβολος οὐ παύεται πολεμῶν ἡμῖν, οὐδὲ ἡ μετάνοια ἀργεῖν ὀφείλει ποτέ. Εἰ καὶ μέχρι θανάτου μετανοοῦντες ἀγωνισώμεθα, οὐδὲ οὕτως τὸ δέον ἐπληρώσαμεν· οὐδὲν γὰρ ἀντάξιον τῆς βασιλείας τῶν οὐρανῶν πεποιήκαμεν· ὅτι ὥς περ ἐσθίομεν καὶ πίνομεν καὶ λαλοῦμεν φυσικῶς, οὕτω καὶ μετανοεῖν φυσικῶς κεχρεωστήκαμεν. Ὁ θανάτου ἄξιος, ἅπαξ κατὰ νόμον τεθανάτωται· ὁ δὲ ζῇ, ἐν πίστει ζῇ μετανοίας ἕνεκεν, κἂν μὴ κατ' ἰδίαν, ἀλλὰ διὰ τὴν τῆς παραβάσεως ἁμαρτίαν.

Βαπτισθέντες ἐκαθαρίσθημεν, καθαρισθέντες ἐντολὰς ἐλάβομεν· ὁ δὲ μὴ ποιῶν τὸ δεύτερον, τὸ πρότερον ἐβεβήλωσεν, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτημάτων, ὧν οὐδεὶς ἀνελλιπὴς εὑρίσκεται τὸ καθ' ἡμέραν, μηδέποτε μηδὲν τῶν προστεταγμένων καταλείψας· διὰ τοῦτο πᾶσιν ἂν ἐπαναγκαία ἡ μετάνοια μέχρι τέλους. Ὁ περιορίζων αὐτήν, στρέφεται εἰς τὸ ὀπίσω, καὶ ἀνακαινίζει τὰ παλαιὰ παραπτώματα. Ὁ πιστὸς Ἀβραὰμ καὶ ὁ δίκαιος Ἰὼβ γῆν καὶ σποδὸν ἑαυτοὺς ὠνόμασαν, ταῦτα δὲ τὰ ῥήματα ταπεινοφροσύνης τεκμήριον· ὁ δὲ μετανοίας κεχωρισμένος, ταπεινοφρονεῖν οὐ δύναται.

Οἱ τρεῖς παῖδες οἱ ὄντες μεγάλοι Μάρτυρες, ἐν μέσῳ καιομένης φλογὸς ἐξωμολογοῦντο, καὶ τὸ ἡμαρτηκέναι καὶ ἠνομηκέναι λέγουσι, καὶ περὶ τῶν ποτὲ κακῶν μετενόουν. Λοιπὸν τέλειοι ὄντες, καὶ πᾶς σχεδὸν ὁ ὕμνος αὐτῶν μετανοίας ἐπέχει δύναμιν. Εἰ οὖν καὶ οἱ λίαν εὐαρεστήσαντες καὶ τέλειοι διὰ τῶν πραγμάτων ἀποδειχθέντες, τούτῳ ἕως θανάτου ἐχρήσαντο τῷ βοηθήματι, τίς ἐστι λοιπὸν ὁ προφάσει δικαιοσύνης θαρρῶν ἑαυτῷ καὶ μετανοίας καταφρονῶν; Ἐγὼ γὰρ οἶμαι οὐδ' ἂν κατὰ Παῦλον ἢ Πέτρον ἅγιός τις εἴη, οὐδὲ οὕτως αἱρήσετο ἂν τὴν αἰτίαν τῆς ταπεινοφροσύνης καταλιπεῖν. Διὰ τοῦτο Πέτρος μὲν ἑαυτὸν τῷ Κορνηλίῳ παρεπλησίασεν εἰπών· «ἀνάστα, κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι»· Παῦλος δὲ τῆς δεδομένης αὐτῷ παρὰ Χριστοῦ χάριτος ὑπολήγειν ἑαυτὸν ἕως θανάτου λογισάμενος, οὕτως ἔφη· «διώκω εἰ καὶ καταλάβω, ἐφ' ᾧ κατελήφθην ὑπὸ Κυρίου», κατάληψιν τὴν ἐν μέχρις ἐξόδου ἐπιμονὴν εἰρηκώς.

Εἰπὲ οὖν μοι· ὅσην ἔχει ἡ φύσις ἡμῶν εὐσεβείας δύναμιν, ταύτην καθ' ἡμέραν κεχρεωστήκαμεν προσφέρειν Θεῷ ἢ οὔ; πάντως ἐρεῖς μοι ὅτι, ναί, ἐπειδὴ τοῦτο ὁ Θεὸς τῇ φύσει κεχάρισται καὶ κατὰ δύναμιν τὰς ἐντολὰς ἔθετο. Οὐκοῦν τὸ σήμερον αὐτῷ προσφερόμενον ἀγαθόν, σημερινόν ἐστι χρέος. Δεῖξόν μοι λοιπὸν τῆς

παλαιᾶς ἁμαρτίας ἀνταπόδομα ἧς ἐποίησας; ἐγὼ δέ σοι λέγω, ὅτι οὐ μόνον τοῦτο οὐκ ἔχεις δεῖξαι, ἀλλ' οὐδὲ τὸ καθ' ἡμέραν ἀνελλιπῶς ἀποδοῦναι· καὶ πόθεν τοῦτο δῆλον; ἐκ τοῦ μὴ πάντοτε ἐν ταῖς αὐταῖς ἀρεταῖς εὑρίσκεσθαι.

Ὅσῳ γὰρ ἂν σήμερον προσθῇς τῇ ἀρετῇ, τοσούτῳ ἠλέγχθης χρεώστης εἶναι τῆς παρελθούσης, φανεροποιήσας τὴν τῆς φύσεως δύναμιν· ἐδείχθη γὰρ διὰ τῆς σήμερον προσθήκης, ὅτι οὐ φύσεως, ἀλλὰ θελήματος ἡ χθεσινή ἐστι ἔλλειψις, καὶ διὰ τοῦτο ὑπὸ τῆς ἁμαρτίας ἐνεργούμεθα. Φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις τῇ ψυχῇ ἐν καιρῷ ἐξόδου· ἡ δὲ φιλόπονος θύρα ἐστὶν ἀνεῳγμένη. Γεέννης φόβος καὶ παραδείσου πόθος παρέχουσι τὴν τῶν θλιβερῶν ὑπομονήν· καὶ τοῦτο οὐκ ἐξ ἑαυτῶν, ἀλλ' ἐκ τοῦ γινώσκοντος τοὺς λογισμοὺς ἡμῶν.

Ὥς περ τὰς ἀρετὰς πόνοι καὶ ἀτιμίαι, οὕτω καὶ τὰς κακίας ἡδοναὶ καὶ δόξαι τίκτειν εἰώθασιν. Ὁ φόβῳ κακοπαθείας καὶ ὀνειδισμοῦ τοῖς ἀνθρώποις μαχόμενος, ἢ ὧδε δι' ἐπιφορᾶς περισσοτέρως κακοπαθεῖ, ἢ ἐν τῷ μέλλοντι ἀνηλεῶς κολάζεται. Ὁ κακουχίαν καὶ ἀτιμίαν ὑπὲρ ἀληθείας αἱρούμενος, ἀποστολικὴν ὁδὸν πορεύεται, τὸν Σταυρὸν ἄρας καὶ τὴν ἅλυσιν περικείμενος· ὁ δὲ ἐκτὸς τῶν δύο τούτων προσέχειν τῇ καρδίᾳ πειρώμενος πλανᾶται κατὰ νοῦν, καὶ ἐμπίπτει εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου. Ἐκτὸς συντριμμοῦ καρδίας, ἀδύνατον καθόλου ἀπαλλαγῆναι τῆς κακίας· συντρίβει δὲ καρδίαν ἡ τριμερὴς ἐγκράτεια, ὕπνου, λέγω, καὶ τροφῆς καὶ σωματικῆς ἀνέσεως· ἡ γὰρ τούτων περίσσεια, ἡδυπάθειαν ἐντίθησιν· ἡ δὲ ἡδυπάθεια, τοὺς πονηροὺς λογισμοὺς παραδέχεται· ἀντίκειται δὲ καὶ τῇ προσευχῇ καὶ τῇ προσηκούσῃ διακονίᾳ.

Ἑρμηνεία

Ο ΚΥΡΙΟΣ ἡμῶν Ἰησοῦς Χριστός, προνοῶν, ὅπως γνωρίζει Αὐτὸς καλλίτερα, ὡς Θεός, διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, καθώρισε τὴν ἐντολὴν τῆς ἐλευθερίας μὲ διαφόρους διδασκαλίας· ὥρισε δὲ ὡς μοναδικὸν σκοπὸν τῆς ἐλευθερίας ἕνα, αὐτὸν ποὺ πρέπει εἰς ὅλους καὶ τὸν διετύπωσε μὲ τὴν λέξιν· «μετανοεῖτε». Ἀπὸ αὐτὸ πρέπει ἡμεῖς νὰ κατανοήσωμεν ὅτι ὅλη ἡ ποικιλία τῶν ἐντολῶν εἰς ἕνα σκοπὸν ἀποβλέπει, εἰς τὸν σκοπὸν τῆς μετανοίας. Ἡ δὲ μετάνοια, κατὰ τὴν γνώμην μου, οὔτε ἀπὸ καιρούς, οὔτε ἀπὸ ὡρισμένας πράξεις ἔχει περιορισθῆ· ἀλλὰ ἀσκεῖται κατ' ἀναλογίαν μὲ τὴν ἐφαρμογὴν τῶν ἐντολῶν τοῦ Χριστοῦ. Μερικαὶ ἐντολαὶ εἶναι περιεκτικώτεραι, περιέχουν δηλαδὴ πολλὰς ἀπὸ ἐκείνας, ποὺ ἀναφέρονται μόνον εἰς μίαν περίπτωσιν καὶ αἱ ὁποῖαι μὲ μίαν μόνον προσταγὴν (ἐντολὴν) περικόπτουν πολλὰς κακίας. Δι' αὐτὸ βεβαίως ἐκεῖνοι ποὺ ἀγαποῦν τὸν Θεὸν καὶ εἶναι στερεοὶ εἰς τὴν πίστιν πιέζουν τὸν ἑαυτόν των νὰ ἐφαρμόσουν τὰς περιεκτικὰς ἐντολάς· καὶ τὰς μερικάς, ὅμως, ὅταν τύχῃ, δὲν τὰς παραμελοῦν.

Δι' ὅλους λοιπόν, μικροὺς καὶ μεγάλους, ὁ ἀγὼν διὰ τὴν μετάνοιαν συνεχίζεται μέχρι τοῦ θανάτου· διότι ὁ Λυτρωτὴς τῶν ψυχῶν μας ἔθεσεν εἰς ὅλους ἕνα ὅρον, ὅστις περιέχει ὅλας τὰς ἐντολάς. Εἶπεν, ὡς γνωστόν, εἰς τοὺς Ἀποστόλους· «λέγετε πρὸς αὐτοὺς μετανοεῖτε· διότι ἐπλησίασεν ἡ Βασιλεία τῶν Οὐρανῶν». Ἔτσι ἐθέσπισε περιεκτικὰ ὅλας

μαζὶ τὰς ἀρετάς, μὲ τὰς ὁποίας ἐκτελεῖται ἡ μετάνοια, καὶ διέταξε τὴν ἐκπλήρωσιν αὐτῶν μέχρι θανάτου· «Αὐτός, ποὺ θὰ ἀπολέσῃ —εἶπε— τὴν ψυχὴν (ζωήν) του δι' ἐμὲ καὶ τὸ Εὐαγγέλιον, θὰ τὴν κερδίσῃ εἰς τὴν αἰώνιον ζωήν»· καὶ ἀλλοῦ ἐντονώτερα διακηρύσσει· «αὐτός, ποὺ θὰ καταργήσῃ μίαν ἀπὸ αὐτὰς τὰς ἐντολάς, ποὺ θεωροῦνται ἐλάχισται, καὶ θὰ διδάξῃ ἔτσι τοὺς ἀνθρώπους, τελευταῖος θὰ κληθῇ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν». Ἂν λοιπὸν ὁ Χριστὸς ὥρισε τὸν ἀγῶνα τῆς μετανοίας μέχρι θανάτου, ὅπως ἔχει ἀποδειχθῇ ἀπὸ τὰ παραπάνω ρητὰ τῆς Ἁγίας Γραφῆς, αὐτὸς ποὺ ἰσχυρίζεται ὅτι ἐξετέλεσε τὴν μετάνοιαν πρὶν ἀπὸ τὸν θάνατον (καὶ ἑπομένως ἠμπορεῖ νὰ ἀδρανῇ), καταργεῖ τὴν ἐντολήν, μὴ ὑπολογίζων τὸν θάνατον.

Ἀλλὰ θὰ μοῦ εἰπῇς· ἐκεῖνοι, ποὺ πραγματικὰ εὐηρέστησαν τὸν Θεὸν καὶ ἐπλησίασαν τὴν τελειότητα, ἀπὸ ποίαν μετάνοιαν ἔχουν ἀκόμη ἀνάγκην; Σοῦ ἀπαντῶ λοιπόν· συμφωνῶ καὶ ἐγὼ ὅτι ἔγιναν ἢ καὶ ὑπάρχουν τέτοιοι ἄνθρωποι· πρόσεξε ὅμως καὶ θὰ ἀντιληφθῇς πῶς καὶ αὐτοὶ ἔχουν ἀνάγκην μετανοίας. Ὁ Κύριος εἶπεν, ὅτι τὸ ψεῦδος προέρχεται ἀπὸ τὸν διάβολον· καὶ ὅτι τὸ νὰ κοιτάξῃς μίαν γυναῖκα μὲ φιλήδονον ἐπιθυμίαν, τὸ ἐθεώρησεν (ὁ Κύριος) ὡς μοιχείαν· καὶ ὅτι, ἀκόμη, παρωμοίασε μὲ φόνον τὴν ὀργὴν ἐναντίον τοῦ πλησίον.

Ποῖος, τώρα, θὰ ἠμπορέσῃ νὰ ἰσχυρισθῇ, ὅτι δὲν ἔχει ἰδέαν ἀπὸ ψεῦδος, ὅτι δὲν προσεβλήθη ποτὲ ἀπὸ ἐπιθυμίαν ὀφθαλμῶν, ὅτι οὐδέποτε ὠργίσθη παραλόγως ἐναντίον τοῦ πλησίον, οὔτε ποτὲ εὑρέθη ἔνοχος δι' ἀργολογίαν, ὥστε νὰ μὴ ἔχῃ ἀνάγκην τῆς μετανοίας; Διότι καὶ ἂν τώρα δὲν εἶναι ἔνοχος, κάποτε ὅμως ἦτο, καὶ ἑπομένως ὀφείλει νὰ ἐκτελῇ τὴν μετάνοιαν μέχρι τοῦ θανάτου του.

Ἀλλὰ καὶ ἡ φύσις μᾶς διδάσκει νὰ μὴ ἐγκαταλείπωμεν τὴν μετάνοιαν μέχρι τοῦ θανάτου μας.

Νοῦς λογικὸς δὲν δύναται νὰ παραμένῃ εἰς ἀκινησίαν· ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι τέλειος καὶ εὑρίσκεται εἰς καλὴν κατάστασιν, ἐργάζεται εἰς τὰ δεξιά. Ἂν ὅμως μὲ τὴν πρόφασιν τῆς τελειότητος παύσῃ νὰ ἐργάζεται τὰ καλὰ ἔργα, τότε ὁπωσδήποτε στρέφεται πρὸς τὰ ἀριστερά. Ἂν δὲ ἀπομακρυνθῇ ἀπὸ τὰ ἀριστερά, τότε ἐκ φύσεως σύρεται πάλιν πρὸς τὰ δεξιά. Ἡ ἐργασία δὲ τῶν δεξιῶν, καὶ διὰ τοὺς ἀρχαρίους, καὶ διὰ τοὺς ὀλίγον προχωρημένους, καὶ διὰ τοὺς τελείους εἶναι ἡ προσευχή, ἡ κατάργησις τῶν κακῶν λογισμῶν καὶ ἡ ὑπομονὴ εἰς τὰς θλίψεις· χωρὶς αὐτὰ δὲν ἠμποροῦμεν νὰ κατορθώσωμεν καὶ τὰς ὑπολοίπους ἐντολάς, μὲ τὰς ὁποίας γίνεται εὐπρόσδεκτος ἡ μετάνοια.

Ἐξέτασε προσεκτικὰ ἀπὸ τὴν ἀρχὴν αὐτοὺς ποὺ ἐπέρασαν ἀπὸ τὴν ζωὴν αὐτὴν καὶ θὰ διαπιστώσῃς ὅτι κανεὶς δὲν ἐδικαιώθη, ἂν δὲν ἐφρόντισε διὰ τὴν μετάνοιαν καὶ κανεὶς δὲν κατεκρίθη ἂν δὲν ἠδιαφόρησε δι' αὐτήν. Ἀφοῦ ὁ διάβολος δὲν παύει ποτὲ νὰ μᾶς πολεμᾷ, οὔτε καὶ ἡ μετάνοια πρέπει ποτὲ νὰ σταματήσῃ. Καὶ μέχρι θανάτου ἀκόμη ἂν θὰ ἀγωνισθῶμεν εἰς τὸν ἀγῶνα τῆς μετανοίας, οὔτε καὶ τότε ἐξεπληρώ-

σαμεν τὸ καθῆκον μας· διότι δὲν ἐπράξαμεν τίποτε διὰ τὸ ὁποῖον νὰ εἴμεθα ἄξιοι τῆς Βασιλείας τῶν Οὐρανῶν. Διότι ὅπως κατὰ φυσικὴν ἀνάγκην τρώγωμεν καὶ πίνωμεν καὶ ὁμιλῶμεν, ἔτσι καὶ κατὰ φυσικὴν ἀνάγκην χρεωστοῦμεν νὰ μετανοῶμεν. Ἐκεῖνος, ποὺ ἐκρίθη ἄξιος θανάτου, ἐθανατώθη ἐφ' ἅπαξ σύμφωνα μὲ τὸν νόμον· ἡ δὲ ζωὴ ποὺ ζῇ (ὁ πιστός), τὴν ζῇ διὰ πίστεως πρὸς χάριν τῆς μετανοίας, ἂν μὴ διὰ προσωπικὴν ἁμαρτίαν, ἀλλὰ διὰ τὴν Προπατορικὴν ἁμαρτίαν (Ρωμ. στ', 10).

Ὅταν ἐβαπτίσθημεν, ἐκαθαρίσθημεν ἀπὸ τὴν ἐνοχὴν τοῦ προπατορικοῦ ἁμαρτήματος· ἀφοῦ δὲ ἐκαθαρίσθημεν, ἐλάβομεν ἐντολάς· ἐκεῖνος, λοιπόν, ποὺ δὲν ἐκτελεῖ τὸ δεύτερον, ἐμόλυνε τὸ βάπτισμα, διότι ἐλησμόνησε τὸν καθαρισμὸν τῶν προηγουμένων ἁμαρτημάτων του, ἀπὸ τὰ ὁποῖα ποτὲ κανεὶς καθημερινῶς δὲν εὑρίσκεται καθαρός, ἔστω καὶ ἂν δὲν παρέλειψε τίποτε ἀπὸ τὰ διαταχθέντα. Διὰ τοῦτο εἶναι δι' ὅλους τελείως ἀναγκαία ἡ μετάνοια μέχρι τέλους. Αὐτός, ποὺ τὴν περιορίζει, στρέφεται πρὸς τὰ ὀπίσω καὶ ἀνανεώνει τὰ παλαιὰ παραπτώματα. Ὁ πιστὸς Ἀβραὰμ καὶ ὁ δίκαιος Ἰὼβ ὠνόμασαν τοὺς ἑαυτούς των χῶμα καὶ στάκτην· αὐτὰ τὰ λόγια εἶναι ἀπόδειξις ταπεινοφροσύνης. Ἐκεῖνος ὅμως, ποὺ ἔχει ἀποχωρισθῇ ἀπὸ τὴν μετάνοιαν, δὲν ἠμπορεῖ νὰ εἶναι ταπεινόφρων.

Οἱ τρεῖς Παῖδες*, ποὺ ἦσαν μεγάλοι Μάρτυρες, ἀνάμεσα εἰς τὴν καιομένην φλόγα ἐξωμολογοῦντο καὶ ἔλεγαν, ὅτι ἡμάρτησαν καὶ παρενόμησαν καὶ μετανοοῦσαν διὰ τὰ σφάλματα, ποὺ ἔκαναν κάποτε. Καὶ ἦσαν τέλειοι, καὶ ὁλόκληρος σχεδὸν ὁ ὕμνος των δονεῖται ἀπὸ μετάνοιαν. Ἂν λοιπὸν καὶ αὐτοί, οἱ ὁποῖοι πάρα πολὺ εὐχαρίστησαν τὸν Θεὸν καὶ τὰ πράγματα τοὺς ἀνέδειξαν τελείους, ἐχρησιμοποίησαν τὴν βοήθειαν τῆς μετανοίας μέχρι θανάτου, ποῖος θὰ εὑρεθῇ εἰς τὸ ἑξῆς, ὁ ὁποῖος μὲ τὴν πρόφασιν τῆς ἀρετῆς θὰ ξεθαρρευθῇ καὶ θὰ καταφρονήσῃ τὴν μετάνοιαν; Ἐγὼ δηλαδὴ νομίζω ὅτι ἐὰν ἤθελεν εὑρεθῇ κάποιος τόσον ἅγιος ὅσον ὁ Πέτρος καὶ ὁ Παῦλος, οὔτε τότε θὰ ἀπεφάσιζε νὰ ἐγκαταλείψῃ τὴν αἰτίαν τῆς ταπεινοφροσύνης.

Διὰ τοῦτο ὁ μὲν Πέτρος ἐπλησίασεν αὐτὸς ὁ ἴδιος πρὸς τὸν Κορνήλιον** καὶ τοῦ εἶπε· «σήκω ἐπάνω, καὶ ἐγὼ ὁ ἴδιος ἄνθρωπος εἶμαι»· ὁ

---

*Οἱ Τρεῖς Παῖδες ποὺ ἐρρίφθησαν εἰς τὴν κάμινον εἶναι οἱ Ἀνανίας, Ἀζαρίας καὶ Μισαὴλ (Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ), οἱ ὁποῖοι ἠρνήθησαν νὰ προσκυνήσουν τὴν εἰκόνα τὴν χρυσῆν τὴν ὁποίαν ἔστησεν ὁ βασιλεὺς Ναβουχοδονόσορ ἐν πεδίῳ Δεϊρᾶ. Ὁ Κύριος ἔστειλεν Ἄγγελον, ὁ ὁποῖος μετέβαλε τὴν φλόγα τῆς καμίνου εἰς δρόσον καὶ διεφύλαξε τοὺς Τρεῖς Παῖδας, οἱ ὁποῖοι ἐν μέσῳ τῶν φλογῶν ἐδόξαζον τὸν Κύριον.

**Ὁ Κορνήλιος ἦτο ἑκατόνταρχος Ρωμαῖος τὴν καταγωγὴν διαμένων εἰς Καισάρειαν τῆς Καππαδοκίας. Πρὸς τοῦτον ἦλθεν ὁ Πέτρος κατ' ἐντολὴν τοῦ Θεοῦ

δὲ Παῦλος ἀφοῦ κατέληξεν εἰς τὸ συμπέρασμα, ὅτι ἡ Χάρις, ποὺ τοῦ ἐδόθη ἀπὸ τὸν Χριστόν, ἠμπορεῖ, ἀπὸ ἀναξιότητά του, νὰ τὸν ἐγκαταλείψῃ μέχρι τοῦ θανάτου του, εἶπεν· «ἐπιδιώκω καὶ ἀγωνίζομαι ἀδιακόπως, μήπως κατορθώσω καὶ κρατήσω ἀσφαλῶς, ἐκεῖνο διὰ τὸ ὁποῖον (τὴν σωτηρίαν μου) μὲ ἔχει σύρει κοντά Του ὁ Κύριος» (Φιλιπ. 3, 12). Κατάληψιν δὲ ὠνόμασε τὴν ἀγωνιστικὴν ἐπιμονὴν μέχρι τῆς ἐξόδου του (ἐκ τοῦ σώματος).

Εἰπέ μου λοιπόν· ὅσην δύναμιν εὐσεβείας ἔχει ἡ ἀνθρωπίνη φύσις μας ἔχομεν χρέος νὰ τὴν προσφέρωμεν ὁλόκληρον καθημερινῶς εἰς τὸν Θεὸν ἢ ὄχι; Ὁπωσδήποτε θὰ μοῦ ἀπαντήσῃς· ναί, ἐπειδὴ ἐχάρισε τοῦτο ὁ Θεὸς εἰς τὴν φύσιν μας καὶ ὥρισε τὰς ἐντολὰς ἀναλόγως πρὸς τὴν δύναμίν μας. Ὄχι λοιπὸν (σοῦ ἀπαντῶ)· τὸ ἀγαθόν, ποὺ Τοῦ προσφέρομεν σήμερον, εἶναι σημερινὸν χρέος. Δεῖξε μου πάρα κάτω τὸ ἀνταπόδομα τῆς παλαιᾶς ἁμαρτίας, ποὺ διέπραξες; Ἐγὼ σοῦ λέγω, ὅτι ὄχι μονάχα αὐτὸ δὲν ἠμπορεῖς νὰ δείξῃς, ἀλλὰ οὔτε ὅτι καὶ τὸ καθημερινὸν ἀποδίδεις ἀνελλιπῶς· καὶ ἀπὸ ποῦ γίνεται τοῦτο φανερόν; ἐκ τοῦ ὅτι δὲν παραμένομεν πάντοτε σταθεροὶ εἰς τὰς ἰδίας ἀρετάς.

Διότι ὅσον ἠμπορεῖς σήμερον νὰ προσθέσῃς εἰς τὴν ἀρετήν, διὰ τόσον ἐλέγχεσαι ὅτι εἶσαι χρεώστης τῆς παρελθούσης ἡμέρας, ἐπειδὴ ἔκαμνες φανερὴν τὴν δύναμιν τῆς φύσεως. Ἀπεδείχθη δηλαδὴ μὲ τὴν σημερινήν σου προσθήκην εἰς τὴν ἀρετήν, ὅτι τὸ χθεσινὸν ὑστέρημα δὲν ὠφείλετο εἰς τὴν φύσιν, ἀλλὰ εἰς τὴν προαίρεσιν· καὶ ἐπειδὴ ἡ πρόοδος εἰς τὰς ἀρετὰς ἐξαρτᾶται ἀπὸ τὴν προαίρεσίν μας, δι' αὐτὸ εὑρισκόμεθα ὑπὸ τὴν ἐνέργειαν τῆς ἁμαρτίας.

Καρδία, ἡ ὁποία ῥέπει πρὸς ἡδονήν, εἶναι φυλακὴ καὶ ἁλυσίδα διὰ τὴν ψυχὴν κατὰ τὴν ὥραν τῆς ἐξόδου· ἐνῷ ἡ καρδία, ποὺ ἀγαπᾷ τὸν κόπον τῆς ἀρετῆς, εἶναι ἀνοικτὴ θύρα. Ὁ φόβος τῆς κολάσεως καὶ ὁ πόθος τοῦ Παραδείσου μᾶς χορηγοῦν ὑπομονὴν εἰς τὰς θλίψεις· καὶ αὐτὸ δὲν ὀφείλεται εἰς ἡμᾶς, ἀλλ' εἰς Ἐκεῖνον, ποὺ γνωρίζει τοὺς λογισμούς μας.

Ὅπως τὰς ἀρετὰς συνηθίζουν νὰ τὰς γεννοῦν οἱ κόποι καὶ αἱ περιφρονήσεις, ἔτσι καὶ τὰς κακίας τὰς γεννοῦν αἱ ἡδοναὶ καὶ αἱ δόξαι. Αὐτός, ποὺ φιλονικεῖ μὲ τοὺς ἀνθρώπους, ἀπὸ φόβον μὴ τυχὸν κακοπάθῃ ἢ χλευασθῇ, αὐτὸς ἢ ἐδῶ κακοπαθεῖ περισσότερον διὰ τῆς προσθήκης προβλημάτων ἢ κολάζεται εἰς τὴν μέλλουσαν ζωὴν χωρὶς ἔλεος. Ἐκεῖνος, ποὺ προτιμᾷ τὴν κακουχίαν καὶ τὴν περιφρόνησιν χάριν τῆς ἀληθείας, βαδίζει ἐπάνω εἰς ἀποστολικὸν δρόμον, διότι ἐσήκωσε τὸν Σταυρὸν καὶ ἐδέθη μὲ ἁλυσίδα· ἐνῷ ἐκείνου τοῦ ὁποίου ἡ καρδία προσπαθεῖ νὰ προσέξῃ πράγματα ἄλλα, ἔξω ἀπὸ τὰ δύο αὐτὰ (τὸν σταυρὸν καὶ τὴν

καὶ ἐβάπτισεν αὐτόν, ὅστις ἔγινε κήρυξ τοῦ Χριστιανισμοῦ καὶ ἐμαρτύρησε (Πραξ. ι', 1—47).

ἁλυσίδα), πλανᾶται ὁ νοῦς του καὶ πίπτει εἰς τὸν πειρασμὸν καὶ τὴν παγίδα τοῦ διαβόλου.

Χωρὶς τὴν συντριβὴν τῆς καρδίας εἶναι τελείως ἀδύνατον νὰ ἀπαλλαγῇ κανεὶς ἀπὸ τὴν κακίαν· τὴν καρδίαν δὲ τὴν συντρίβει ἡ τριμερὴς ἐγκράτεια, δηλαδὴ ὁ ἐπίπονος περιορισμὸς τοῦ ὕπνου, τοῦ φαγητοῦ καὶ τῆς σωματικῆς ἀνέσεως. Διότι ἡ περισσὴ ἀπόλαυσις αὐτῶν προξενεῖ ἡδυπάθειαν· ἡ δὲ ἡδυπάθεια γεννᾷ εἰς τὴν ψυχὴν τοὺς πονηροὺς λογισμούς· εἶναι δὲ καὶ ἀντίθετος πρὸς τὴν προσευχὴν καὶ τὴν ἁρμόζουσαν ὑπηρεσίαν.

Ε'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΩΣΠΕΡ ἀπὸ ὠδίνων τίκτεται καρπὸς εὐφραίνων τὴν τετοκυῖαν, οὕτως ἐκ τοῦ κόπου τίκτεται ἐν τῇ ψυχῇ τοῦ ἀγωνιζομένου ἡ γνῶσις τῶν μυστηρίων τοῦ Θεοῦ. Τοῖς δὲ αἰσχροῖς καὶ φιληδόνοις, αἰσχύνης καρπὸς ὁ σωματικὸς κόπος, ἄνευ τῆς τοῦ νοῦ καθαρότητος, ὡς ἄτεκνος μήτρα καὶ μαστοὶ κατάξηροι. Τῇ γὰρ τοῦ Θεοῦ γνώσει προσεγγίσαι οὐ δύναται· καὶ τὸ μὲν σῶμα κατάκοπον ποιεῖ, οὐδὲν δὲ ἀνύει. Πάσῃ ἀνέσει ἕπεται ταλαιπωρία, καὶ πάσῃ διὰ τὸν Θεὸν ταλαιπωρίᾳ, ἄνεσις ἀκολουθεῖ. Ξέσον, ἀδελφέ, τὸ κάλλος τῆς σῆς ψυχῆς ἐν δάκρυσι καὶ νηστείαις, καὶ τῇ λοιπῇ κακουχίᾳ. Θλῖψις γὰρ διὰ τὸν Θεὸν γινομένη, κρείσσων ἐστὶ μεγάλου ἔργου τοῦ ἀθλίπτως τελουμένου, διότι ἡ ἑκούσιος θλῖψις, δοκίμιον τῆς ἀνοθεύτου ἀγάπης ἀνατέλλει, τὸ δὲ ἔργον τῆς ἀναπαύσεως ἐκ τοῦ κόρου τῆς συνειδήσεως γίνεται. Διὰ τοῦτο ἐν θλίψεσιν ἐδοκιμάσθησαν οἱ Ἅγιοι καὶ οὐχὶ ἐν ἀνέσει· καὶ γὰρ τὸ χωρὶς κόπου γενόμενον ἔργον ἡ δικαιοσύνη ἐστὶ τῶν κοσμικῶν, οἵτινες ἐκ τῶν ἔξωθεν ποιοῦσιν ἐλεημοσύνας, καὶ οὐκ ἐν ἑαυτοῖς κερδαίνουσι.

Σὺ δὲ ὦ ζηλωτὰ τοῦ πάθους τοῦ Χριστοῦ, ἐν σεαυτῷ ἀγώνισαι ἵνα ἀξιωθῇς γεύσασθαι τῆς δόξης αὐτοῦ. Εἰ γὰρ συμπάσχομεν, καὶ συνδοξαζόμεθα. Εἰ γὰρ μὴ πάσχει τὸ σῶμα ὑπὲρ Χριστοῦ, ὁ νοῦς οὐ συνδοξάζεται μετ' αὐτοῦ. Ἡ σωματικὴ πολιτεία ἐξυπνισμὸν τῶν αἰσθήσεων ἀπαιτεῖ, ἡ δὲ ψυχικὴ πολιτεία, ἤγουν ἡ νοερὰ ἐργασία, ἐξυπνισμὸν τῆς καρδίας καὶ ὥς περ ἐν τῇ φύσει κρεῖττόν ἐστιν ἡ ψυχὴ τοῦ σώματος, οὕτω καὶ τὸ ἔργον τῆς ψυχῆς κρεῖττον ὑπάρχει τοῦ ἔργου τοῦ σωματικοῦ. Καὶ ὥς περ ἀπ' ἀρχῆς προηγήσατο ἡ πλάσις τοῦ σώματος τοῦ ἐμφυσήματος, ἤγουν τῆς δημιουργίας τῆς ψυχῆς, οὕτω καὶ τὰ σωματικὰ ἔργα προτρέχουσι τοῦ ἔργου τῆς ψυχῆς.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς ἀπὸ τοὺς πόνους τῆς γέννας γεννᾶται καρπός, ὁ ὁποῖος προκαλεῖ χαρὰν εἰς τὴν γεννήσασαν, ἔτσι καὶ ἀπὸ τὸν κόπον γεννᾶται εἰς τὴν ψυχὴν τοῦ ἀγωνιζομένου ἡ γνῶσις τῶν μυστηρίων τοῦ Θεοῦ. Εἰς τοὺς αἰσχροὺς καὶ φιληδόνους ὅμως ὁ σωματικὸς κόπος γεννᾷ ὡς καρπὸν τὴν ἐντροπήν. Χωρὶς τὴν καθαρότητα τοῦ νοῦ ἡ μήτρα (ψυχὴ) παραμένει ἄτεκνος καὶ οἱ μαστοὶ κατάξηροι.

Νοῦς χωρὶς καθαρότητα δὲν ἠμπορεῖ νὰ πλησιάσῃ πρὸς τὴν γνῶσιν τοῦ Θεοῦ· τότε καὶ τὸ σῶμα γίνεται κατάκοπον, χωρὶς ὅμως νὰ κα-

τορθώνη τίποτα. Μετὰ ἀπὸ κάθε ἄνεσιν θὰ ἐπακολουθήση ταλαιπωρία· καὶ κάθε ταλαιπωρίαν διὰ τὸν Θεὸν τὴν συνοδεύει ἄνεσις. Λάμπρυνε, ἀδελφέ, τὸ κάλλος τῆς ψυχῆς σου μὲ δάκρυα καὶ νηστείας καὶ τὴν ὑπόλοιπον κακουχίαν. Διότι θλῖψις, ποὺ γίνεται διὰ τὸν Θεόν, εἶναι καλυτέρα ἀπὸ μ εγάλον ἔργον, ποὺ συντελεῖται χωρὶς στενοχωρίαν· διότι ἡ θεληματικὴ θλῖψις εἶναι κριτήριον ἀνατολῆς ἀνοθεύτου ἀγάπης, ἐνῷ τὸ ἔργον τῆς ἀναπαύσεως προέρχεται ἀπὸ πώρωσιν συνειδήσεως.

Δι' αὐτὸ καὶ οἱ Ἅγιοι ἐδοκιμάσθησαν εἰς τὰς θλίψεις καὶ ὄχι εἰς τὴν ἄνεσιν· ἡ πνευματικὴ ἐργασία, ποὺ γίνεται χωρὶς κόπον, εἶναι ἡ ἀρετὴ τῶν κοσμικῶν, ποὺ κάνουν ἐλεημοσύνας διὰ νὰ ἐπιδειχθοῦν εἰς τοὺς ἄλλους καὶ ἔτσι δὲν κερδίζουν τίποτα διὰ τὸν ἑαυτόν των.

Σὺ ὅμως, ζηλωτὰ τοῦ πάθους τοῦ Χριστοῦ, νὰ ἀγωνισθῇς μέσα σου, διὰ νὰ ἀξιωθῇς νὰ δοκιμάσῃς τὴν δόξαν Αὐτοῦ. Διότι ἂν πάσχωμεν μαζί Του, καὶ θὰ δοξασθῶμεν. Ἂν δηλαδὴ δὲν πάσχῃ τὸ σῶμα χάριν τοῦ Χριστοῦ, ὁ νοῦς δὲν δοξάζεται μαζί Του. Ἡ σωματικὴ ἄσκησις ἀπαιτεῖ νὰ εἶναι ἄγρυπνοι αἱ αἰσθήσεις, ἐνῷ ἡ ψυχικὴ ἄσκησις, δηλαδὴ ἡ νοερὰ ἐργασία, ἀπαιτεῖ νὰ εἶναι ἄγρυπνος ἡ καρδία. Καὶ ὅπως εἰς τὴν φύσιν ἡ ψυχὴ ἔχει περισσοτέραν ἀξίαν ἀπὸ τὸ σῶμα, ἔτσι καὶ τὸ ἔργον τῆς ψυχῆς εἶναι καλύτερον ἀπὸ τὸ σωματικὸν ἔργον. Καὶ ὅπως εἰς τὴν ἀρχὴν προηγήθη ἡ πλαστούργησις τοῦ σώματος ἀπὸ τὸ ἐμφύσημα τῆς πνοῆς ἀπὸ τὸν Θεόν, δηλαδὴ τὴν δημιουργίαν τῆς ψυχῆς*, ἔτσι καὶ ἡ ἐργασία τῆς σωματικῆς ἀσκήσεως προηγεῖται ἀπὸ τὸ ἔργον τῆς ψυχῆς.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, σπεῦδε βαδίζειν ἑκουσίως ἐν τῇ στενῇ ὁδῷ καὶ τεθλιμμένῃ, πρὶν βαδίσῃς ἀκουσίως ταύτην τὴν στενωτέραν. Μὴ ἀγάπα σαρκικὴν ἀνάπαυσιν, ἵνα μὴ εὕρῃς ἐν αὐτῇ ζημίαν πνευματικήν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, φρόντιζε νὰ βαδίζῃς θεληματικὰ τὸν στενὸν καὶ γεμᾶτον θλίψεις δρόμον, πρὶν ἀθέλητα βαδίσῃς τὸν στενώτερον. Μὴ ἀγαπᾷς τὴν σαρκικὴν ἀνάπαυσιν, διὰ νὰ μὴ εὕρῃς εἰς αὐτὴν πνευματικὴν ζημίαν.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΑΠΕΙΝΩΣΙΣ καὶ κακοπάθεια πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον, ἡ μὲν τὰ τῆς ψυχῆς, ἡ δὲ τὰ τοῦ σώματος περικόπτουσα πάθη. Τοῦτο γὰρ

---

* Ὅπως λέγει ἡ Γραφὴ (Γεν. κεφ. Β', 7) ὁ Θεὸς «ἔπλασε τὸν ἄνθρωπον, χοῦν (λαβὼν) ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Πρῶτον δηλ. ἐδημιούργησεν ὁ Θεὸς τὸ σῶμα καὶ κατόπιν τὴν ψυχὴν τοῦ ἀνθρώπου.

ποιῶν καὶ ὁ μακάριος φαίνεται Δαβίδ, ἐν οἷς εὔχεται πρὸς τὸν Θεὸν λέγων· «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου».

Ἑ ρ μ η ν ε ί α

Η ΤΑΠΕΙΝΩΣΙΣ καὶ ἡ σκληραγωγία ἐλευθερώνουν τὸν ἄνθρωπον ἀπὸ κάθε ἁμαρτίαν· ἡ πρώτη κόπτει τελείως τὰ πάθη τῆς ψυχῆς, ἐνῷ ἡ δευτέρα τὰ πάθη τοῦ σώματος. Τοῦτο φαίνεται νὰ ἔκανε καὶ ὁ μακάριος Δαβίδ, ὅπως δείχνουν τὰ λόγια τῆς προσευχῆς του πρὸς τὸν Θεόν· «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ συγχώρεσε ὅλας τὰς ἁμαρτίας μου».



ΥΠΟΘΕΣΙΣ ΙΔ΄

Περὶ φιλαυτίας.

Περὶ παθολογικῆς ἀγάπης πρὸς τὸν ἑαυτόν μας.

Α΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΦΟΒΟΥΜΕΝΟΣ ἀσθένειαν σώματος οὐ φθάνει τὸ κατὰ φύσιν, οὐδὲ δύναται κτήσασθαι τὰς ἀρετάς· εἰ δέ τις προσπίπτει τῷ Θεῷ ἐν παντὶ κόπῳ αὐτοῦ, δυνατός ἐστιν ὁ Θεὸς ἀναπαῦσαι αὐτόν· εἰ μὴ γὰρ Γεδεὼν ἔκλασε τὰς ὑδρίας, οὐκ ἂν εἶδε τὸ φῶς τῶν λαμπάδων· οὕτως ἐὰν μὴ ἄνθρωπος καταφρονήσῃ τοῦ σώματος, οὐκ ἂν ἴδῃ τὸ φῶς τῆς Θεότητος.

Ἑ ρ μ η ν ε ί α

ΕΚΕΙΝΟΣ ποὺ φοβεῖται σωματικὴν ἀσθένειαν, δὲν φθάνει τὸ μέτρον τῆς φυσικῆς του ἱκανότητος, οὔτε ἠμπορεῖ νὰ ἀποκτήσῃ τὰς ἀρετάς. Ἂν ὅμως κανεὶς πίπτῃ μὲ εὐλάβειαν ἐνώπιον τοῦ Θεοῦ εἰς κάθε κόπον του, ὁ Θεὸς ἠμπορεῖ νὰ τὸν ξεκουράσῃ. Ἂν ὁ Γεδεὼν δὲν ἔσπαζε τὰς στάμνας, δὲν θὰ ἔβλεπε τὸ φῶς τῶν λαμπάδων, ποὺ ἔκαιαν μέσα*. Ἂν ὁ ἄνθρωπος δὲν καταφρονήσῃ τὸ σῶμα, δὲν ἠμπορεῖ νὰ ἴδῃ τὸ φῶς τῆς Θεότητος.

---

* Ὁ Γεδεὼν ὑπῆρξεν εἷς ἐκ τῶν Κριτῶν τοῦ Ἰσραήλ, υἱὸς τοῦ Ἰωάς, ὁ ὁποῖος ἠλευθέρωσε τοὺς Ἑβραίους ἀπὸ τὴν δουλείαν τῶν Μαδιανιτῶν, εἰς τὴν ὁποίαν εὑρίσκοντο ἐπὶ ἑπτὰ ἔτη, ὑφιστάμενοι συχνὰς ἐπιδρομάς. Ὁ Γεδεών, κατ᾽ ἐντολὴν τοῦ Θεοῦ, παρέλαβε 300 ἄνδρας, τοὺς ὁποίους ἐμοίρασεν εἰς τρεῖς ὁμάδας. Ἕκαστος ἐκ τῶν ἀνδρῶν αὐτῶν ἐκράτει εἰς τὴν χεῖρα του ὑδρίαν (στάμναν) μέσα εἰς τὴν ὁποίαν εὑρίσκετο ἀναμμένη λαμπὰς καὶ κερατίνην σάλπιγγα. Οἱ ἄνδρες αὐτοὶ κατὰ τὴν νύκτα ἐπετέθησαν ἐναντίον τῶν Μαδιανιτῶν ἀφοῦ προηγουμένως ἔθραυσαν τὰς ὑδρίας, ἐκράτησαν μὲ τὴν ἀριστερὰν τὴν λαμπάδα του ἕκαστος καὶ ἐσάλπι-

Β'. Τοῦ Ἁγίου Μαξίμου

ΠΡΟΣΕΧΕ σεαυτῷ ἀπὸ τῆς μητρὸς τῶν κακῶν φιλαυτίας, ἥτις ἐστὶ τοῦ σώματος ἄλογος φιλία· ἐκ ταύτης γὰρ εὐλογοφανῶς τίκτονται οἱ πρῶτοι καὶ ἐμπαθεῖς καὶ γενικώτατοι λογισμοί, ὁ τῆς γαστριμαργίας, λέγω, καὶ φιλαργυρίας καὶ κενοδοξίας, τὰς ἀφορμὰς ἐκ τῆς ἀναγκαίας δῆθεν τοῦ σώματος χρείας λαμβάνοντες, ἐξ ὧν γεννᾶται ἅπας ὁ τῶν κακῶν κατάλογος. Δεῖ οὖν, ὡς εἴρηται, προσέχειν ἀναγκαίως καὶ ταύτην πολεμεῖν μετὰ πολλῆς νήψεως· ταύτης γὰρ ἀναιρουμένης, συναναιροῦνται πάντες οἱ ἐξ αὐτῆς. Τὸ τῆς φιλαυτίας πάθος τῷ μὲν Μοναχῷ ἐλεεῖν ὑποτίθεται τὸ σῶμα, καὶ συνελθεῖν αὐτῷ παρὰ τὸ προσῆκον εἰς τὰ βρώματα, οἰκονομίας δῆθεν χάριν καὶ κυβερνήσεως, ἵνα κατὰ μικρὸν ὑποσυρόμενος, εἰς τὸν βόθρον τῆς φιληδονίας ἐμπέσῃ· τῷ δὲ κοσμικῷ ἐντεῦθεν ἤδη πρόνοιαν αὐτοῦ ποιεῖσθαι εἰς ἐπιθυμίαν ὑποβάλλει.

Τὰ μὲν τῶν παθῶν ἀκολασίας, τὰ δὲ μίσους, τὰ δὲ καὶ ἀκολασίας καὶ μίσους εἰσὶ ποιητικά. Πολυφαγία καὶ ἡδυφαγία, ἀκολασίας εἰσὶν αἴτια. Φιλαργυρία δὲ καὶ κενοδοξία, μίσους πρὸς τὸν πλησίον· ἡ δὲ τούτων μήτηρ φιλαυτία τῶν ἀμφοτέρων ἐστὶν αἰτία· ταύτῃ δὲ ἀντίκειται ἀγάπη καὶ ἐγκράτεια. Ὁ ἔχων οὖν αὐτήν, ἔχει πάντα τὰ πάθη· «οὐδείς, φησιν, ὁ θεῖος Ἀπόστολος, τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ὑπωπιάζει δηλονότι καὶ δουλαγωγεῖ», μηδὲν πλέον αὐτῇ παρέχων, πλὴν διατροφῆς καὶ σκεπασμάτων, καὶ τούτων μόνων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Οὕτως οὖν ἀπαθῶς τις ἀγαπᾷ αὐτήν, ὡς ὑπηρέτην τῶν θείων, ἐκτρέφων καὶ θάλπων αὐτὴν τοῖς τὴν ἔνδειαν αὐτῆς ἀναπληροῦσι μόνοις.

Ὃν τις ἀγαπᾷ, τοῦτον πάντως καὶ σπεύδει θεραπεύειν· εἰ οὖν τὸν Θεόν τις ἀγαπᾷ, πάντως καὶ τὰ ἀρεστὰ αὐτῷ σπεύδει ποιεῖν· εἰ δὲ τὴν σάρκα ταύτην, τὰ αὐτὴν τέρποντα ἐκτελεῖ. Τῷ Θεῷ μὲν ἀρέσκει ἀγάπη καὶ σωφροσύνη καὶ θεωρία καὶ προσευχή, τῇ δὲ σαρκὶ γαστριμαργία καὶ ἀκολασία καὶ τὰ τούτων αὐξητικά· διὰ τοῦτο οἱ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται, οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ὁ νοῦς ἐὰν μὲν νεύσῃ πρὸς τὸν Θεόν, ἔχει δοῦλον τὸ σῶμα, καὶ πλεῖον οὐδὲν αὐτῷ παρέχει τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ἐὰν δὲ νεύσῃ πρὸς τὴν σάρκα, δουλοῦται τοῖς πάθεσι, πρόνοιαν αὐτῆς ἀεὶ εἰς ἐπιθυμίας ποιούμενος.

Ἑρμηνεία

ΠΡΟΣΕΧΕ τὸν ἑαυτόν σου ἀπὸ τὴν μητέρα τῶν κακῶν, τὴν φιλαυτίαν, ἡ ὁποία εἶναι μία παράλογος ἀγάπη πρὸς τὸ σῶμα. Ἀπὸ αὐτὴν γεννῶνται δικαιολογημένα οἱ πρῶτοι καὶ ἐμπαθεῖς καὶ γενικώτατοι λογισμοί, δηλαδὴ τῆς γαστριμαργίας, τῆς φιλαργυρίας καὶ τῆς κενοδοξίας· οἱ λογισμοὶ αὐτοὶ σχηματίζονται μὲ ἀφορμὴν τὰς ἀπαραιτήτους, δῆθεν, ἀνάγκας τοῦ σώματος, καὶ ἀπὸ αὐτοὺς γεννῶνται ὅλα τὰ κακά.

σαν μὲ τὰς κερατίνας σάλπιγγας. Οἱ Μαδιανῖται αἰφνιδιασθέντες ἔφυγον, καταδιωκόμενοι ὑπὸ τῶν ἀνδρῶν τοῦ Γεδεών, οἱ ὁποῖοι συνέλαβον τοὺς ἄρχοντας αὐτῶν καὶ τοὺς ἐφόνευσαν. (Κριταί, κεφ. ζ').

Πρέπει λοιπόν, ὅπως ἐλέχθη, νὰ προσέχωμεν καὶ κατ' ἀνάγκην νὰ πολεμῶμεν τὴν φιλαυτίαν μὲ πολλὴν ἐπαγρύπνησιν· διότι ὅταν αὐτὴ ἐξουδετερωθῇ, ἀχρηστεύονται καὶ ὅλοι οἱ λογισμοὶ ποὺ γεννῶνται ἀπὸ αὐτήν. Τὸ πάθος τῆς φιλαυτίας σιγοψιθυρίζει εἰς τὸν νοῦν τοῦ Μοναχοῦ ὅτι, ἁπλῶς, λυπεῖται τὸ σῶμα καὶ τὸν παρακινεῖ νὰ ἐνδιαφέρεται περισσότερον ἀπὸ ὅσον πρέπει διὰ τὴν καλὴν τροφήν, χάριν οἰκονομίας δῆθεν καὶ κυβερνήσεως τοῦ σώματος· ἔτσι, σιγὰ - σιγά, παρασύρεται ὥστε νὰ πέσῃ εἰς τὸν βόθρον τῆς φιληδονίας. Εἰς τὸν κοσμικὸν ἐμβάλλει τὸν λογισμὸν νὰ φροντίζῃ περισσότερον διὰ τὸν ἑαυτόν του καὶ νὰ ἱκανοποιῇ τὰς ἐπιθυμίας του.

Ἀπὸ τὰ πάθη ἄλλα μὲν ὁδηγοῦν τὴν ψυχὴν εἰς ἀκολασίαν, ἄλλα εἰς μῖσος καὶ ἄλλα εἰς ἀκολασίαν καὶ μῖσος μαζί. Ἡ πολυφαγία καὶ καλοφαγία προξενοῦν ἀκολασίαν· ἡ φιλαργυρία καὶ ἡ κενοδοξία γεννοῦν τὸ μῖσος πρὸς τὸν πλησίον. Ἡ μητέρα δὲ αὐτῶν, ἡ φιλαυτία, εἶναι ἡ αἰτία ποὺ δημιουργεῖ καὶ τὰ δύο· εἰς αὐτὴν τὴν φιλαυτίαν ἀντίθετος εἶναι ἡ ἀγάπη καὶ ἡ ἐγκράτεια. Ἐκεῖνος λοιπὸν ποὺ νικᾶται ἀπὸ τὴν φιλαυτίαν, ἔχει εἰς τὴν ψυχήν του ὅλα τὰ πάθη. «Κανεὶς δὲν ἐμίσησε τὴν σάρκα του, λέγει ὁ Ἀπόστολος Παῦλος· ἀλλ' ὅμως τὴν βασανίζει καὶ τὴν μεταχειρίζεται ὡς δοῦλον»· χωρὶς νὰ τῆς παρέχει τίποτα περισσότερον ἐκτὸς ἀπὸ διατροφὴν καὶ σκεπάσματα καὶ αὐτὰ μόνον ὅσα εἶναι ἀπαραίτητα διὰ τὴν διατήρησιν τῆς ζωῆς. Ἔτσι λοιπὸν ἀγαπᾷ κανεὶς χωρὶς πάθος τὴν σάρκα του ὡς ὑπηρέτριαν τοῦ Θεοῦ· τὴν διατρέφει καὶ τὴν ζεσταίνει τόσον μόνον ὅσον χρειάζεται διὰ τὴν ἱκανοποίησιν τῶν στοιχειωδῶν ἀναγκῶν αὐτῆς.

Ὅποιον ἀγαπᾷ κανείς, ἐκεῖνον πρὸ παντὸς φροντίζει νὰ περιποιῆται· ἂν λοιπὸν κανεὶς ἀγαπᾷ τὸν Θεόν, φροντίζει ὁπωσδήποτε νὰ πράττῃ καὶ ὅσα εὐχαριστοῦν τὸν Θεόν· ἄν, πάλιν, ἀγαπᾷ τὴν σάρκα αὐτήν, τότε ἐκτελεῖ ἐκεῖνα ποὺ τὴν εὐχαριστοῦν. Εἰς τὸν Θεὸν ἀρέσει ἀγάπη καὶ σωφροσύνη καὶ θεωρία καὶ προσευχή, ἐνῷ εἰς τὴν σάρκα ἀρέσουν ἡ λαιμαργία, ἡ ἀκολασία καὶ ὅσα αὐξάνουν αὐτὰ τὰ πάθη· δι' αὐτὸ οἱ φιλόσαρκοι δὲν ἠμποροῦν νὰ ἀρέσουν εἰς τὸν Θεόν. «Οἱ ἀληθινοὶ μαθηταὶ τοῦ Χριστοῦ ἔχουν σταυρώσει τὸν σαρκικὸν ἄνθρωπον, μαζὶ μὲ τὰ πάθη καὶ τὰς ἁμαρτωλὰς ἐπιθυμίας» (Γαλ. ε΄, 24). Ὁ νοῦς ἂν μὲν στραφῇ πρὸς τὸν Θεόν, ἔχει δοῦλον τὸ σῶμα καὶ δὲν τοῦ παρέχει τίποτα περισσότερον ἀπὸ ὅσα εἶναι ἀπαραίτητα διὰ τὴν ζωήν· ἄν, πάλιν, στραφῇ πρὸς τὴν σάρκα, τότε ὑποδουλώνεται εἰς τὰ πάθη καὶ ἐπιθυμεῖ συνεχῶς νὰ φροντίζῃ δι' αὐτήν.

ΥΠΟΘΕΣΙΣ ΙΕ΄

Τίς ἡ ἐκ τῆς ἐγκρατείας ὠφέλεια καὶ τίς ἡ ἐκ τῆς ἀκρασίας βλάβη, καὶ τίς ὁ ἐκ τῆς ἀμετρίας τοῦ οἴνου ὄλεθρος.

Ποία ἡ ὠφέλεια ἀπὸ τὴν ἐγκράτειαν καὶ ποία ἡ βλάβη ἀπὸ τὴν ἔλλειψιν ἐγκρατείας καὶ ποία ἡ ζημία ἀπὸ τὴν ἄμετρον οἰνοποσίαν.

Α΄. Ἐκ τοῦ βίου τῆς Ἁγίας Συγκλητικῆς

Η ΑΓΙΑ Συγκλητικὴ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς οἷς εἶχεν, οὐκ ἠμέλει καὶ τοῦ κατὰ τὸ σῶμα σωτηρίου φαρμάκου· τὴν γὰρ νηστείαν οὕτως εἶχε φίλην, ὡς μηδὲν ἡγεῖσθαι τῶν λοιπῶν ἴσον αὐτῆς εἶναι· φυλακὴν γὰρ καὶ θεμέλιον ταύτην ἡγεῖτο τῶν ἄλλων, καὶ εἴ ποτε ἐξ ἀνάγκης παρὰ τὸ σύνηθες ἐτράφη, τὸ ἐναντίον ὑφίστατο τοῖς ἐσθίουσιν· ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον καὶ συνέπιπτεν ὁ τοῦ σώματος ὄγκος. Ἀεὶ οὖν ὥς περ τὰ ὑλομανοῦντα τῶν δένδρων τοὺς ἀκάρπους περιτέμνονται κλάδους, οὕτω κἀκείνη τὰς ἀκανθώδεις τῆς διανοίας ἐκφύσεις ἑαυτῆς ἀφῃρεῖτο, διά τε τῆς νηστείας καὶ τῆς προσευχῆς, καὶ εἰ βραχύ τι ἕκαστον τούτων προέκοπτεν, ποικίλας αὐτοῖς τὰς τιμωρίας ἐπῆγε διὰ παντοδαπῶν πόνων κακουχοῦσα τὸ σῶμα.

Ὁπηνίκα γὰρ πόλεμος παρὰ τοῦ ἐχθροῦ συνεκροτεῖτο, προηγουμένως μὲν τὸν ἑαυτῆς δεσπότην ἐκάλει πρὸς συμμαχίαν διὰ προσευχῆς, ἔπειτα δὲ καὶ αὐστηρᾷ ἀσκήσει κατ᾿ αὐτοῦ ἐχρῆτο· καὶ ἄρτον μὲν πιτυρίαν ἤσθιε, καὶ τοῦτον ἐγκρατῶς καὶ πεφυλαγμένως, ὕδωρ δὲ πολλάκις οὐδόλως ἐλάμβανε· καὶ πρὸς τὸν ὕπνον διὰ χαμευνείας κραταιῶς ἀπεμάχετο. Διὰ τούτων δὲ τοῦ ἐχθροῦ ἡττωμένου, καὶ αὐτὴ ἐφίει μικρόν τι τῆς τραχυτάτης ἀσκήσεως. Τοῦτο δὲ ἐποίει πρὸς τὸ μὴ ἀθρόως τὰ τοῦ σώματος μέλη διαλυθῆναι καὶ κινδύνῳ περιπεσεῖν· ἥττης γάρ ἐστι τοῦτο τεκμήριον· τῶν γὰρ ὅπλων διαπεσόντων, ποία ἐλπὶς ἔτι τῷ στρατιώτῃ εἰς πόλεμον; Τινὲς γοῦν ἀμέτρως καὶ ἀδιακρίτως τῇ ἀσιτίᾳ ἑαυτοὺς ἐκδαπανήσαντες, καιρίαν ἑαυτοῖς τὴν πληγὴν ἐπήγαγον, καὶ ὥς περ ἐν παραιτήσει τοῦ ἀντιπάλου γενόμενοι ἑαυτοὺς κατέφθειραν.

Αὕτη δὲ οὐχ οὕτως ἔπραττεν, ἀλλὰ πάντα μετὰ διακρίσεως ἐποίει, καὶ τῷ

μὲν ἐχθρῷ σφοδρῶς διά τε τῆς εὐχῆς καὶ τῆς ἀσκήσεως ἐμάχετο, πρὸς δὲ τὴν γαλήνην τῆς οἰκείας ψυχῆς ἐπεμελεῖτο τοῦ σώματος. Καὶ γὰρ καὶ οἱ ναυτιλλόμενοι χειμῶνος μὲν ἐπικειμένου καὶ κλύδωνος ἄσιτοι διαμένουσι, πᾶσαν τὴν ἑαυτῶν τέχνην τῷ πρὸ ὀφθαλμῶν κινδύνῳ ἀντιτιθέντες, ὁπηνίκα δὲ τῆς ζάλης ἀπαλλαγῶσι, τότε ἀνάπαυσίν τινα τῶν πόνων δεξάμενοι καὶ τῆς λοιπῆς σωτηρίας ποιοῦνται φροντίδα. Πλὴν οὐδὲ τότε ἀμερίμνως πάντῃ διάγουσιν, οὔτε μὴν ὕπνῳ βαθεῖ κατέχονται, πεῖραν ἐσχηκότες τῶν παρελθόντων καὶ ἔννοιαν λαμβάνοντες τῶν μελλόντων· εἰ γὰρ καὶ ὁ χειμὼν ἐκόπασεν, ἀλλ' ἡ θάλασσα οὐκ ἠλάττωται· καὶ εἰ τὸ γεγονὸς ἀπῆλθεν, ἀλλὰ τὸ ἐπιὸν μένει· διὸ δεῖ, διὰ τὸ ἀβέβαιον τῆς θαλάσσης, ἀδιαλείπτως προσέχειν ἑαυτοὺς ἀσφαλίζεσθαι.

Ἑρμηνεία

Η ΑΓΙΑ Συγκλητική, ἐκτὸς ἀπὸ τὰς ἄλλας ἀρετὰς ποὺ εἶχε, δὲν παραμελοῦσε καὶ τὸ σωτήριον φάρμακον διὰ τὸ σῶμα· τόσον πολὺ δηλαδὴ ἀγαποῦσε τὴν νηστείαν, ὥστε τίποτα νὰ μὴ θεωρῇ ἰσάξιόν της ἀπὸ τὰ ὑπόλοιπα. Ἐπίστευεν ὅτι εἶναι φύλακας καὶ θεμέλιον τῶν ἄλλων ἀρετῶν· καὶ ἂν κάποτε ἔφαγεν, ἀπὸ ἀνάγκην, κάτι περισσότερον ἀπὸ τὸ συνηθισμένον, ἐπάθαινε τὸ ἀντίθετον ἀπὸ ἐκείνους. ποὺ τρώγουν. Ἐκιτρίνιζε, δηλαδή, τὸ πρόσωπόν της καὶ ἀδυνάτιζεν. Ὅπως λοιπὸν ἀπὸ τὰ πολύκλαδα δένδρα κόβουν τὰ ἄκαρπα κλαδιά, ἔτσι καὶ ἐκείνη ἀφαιροῦσε τὰ ἀγκαθωτὰ δημιουργήματα τῆς διανοίας της (τὰς ἀπρεπεῖς, δηλαδή, σκέψεις) μὲ τὴν προσευχὴν καὶ τὴν νηστείαν· καὶ ἂν κάποιο ἀγκαθωτὸν βλάστημα ἐπρόκοπτεν ἐπ' ὀλίγον, ἐπέβαλλεν εἰς τὸν ἑαυτόν της διαφόρους τιμωρίας καὶ μὲ διαφόρους κόπους ἐβασάνιζε τὸ σῶμα της.

Ὅταν, δηλαδή, ὁ ἐχθρὸς τῆς ἐσήκωνε πόλεμον, αὐτή, κατ' ἀρχάς, ἐπροσκαλοῦσε, μὲ τὴν προσευχήν, ὡς σύμμαχον, τὸν Δεσπότην της, ἐν συνεχείᾳ δὲ ἐχρησιμοποιοῦσεν ἐναντίον του αὐστηρὰν ἄσκησιν· ἔτσι ἔτρωγεν ἄρτον ἀπὸ πίτουρα, καὶ αὐτὸν μὲ πολλὴν ἐγκράτειαν καὶ προσοχήν, πολλὰς φορὰς δὲ δὲν ἔπινε καθόλου νερόν. Ἀλλὰ καὶ ἐναντίον τοῦ ὕπνου ἠγωνίζετο σκληρὰ κοιμωμένη τελείως κάτω εἰς τὸ ἔδαφος. Ὅταν δὲ μὲ αὐτὰ τὰ ὅπλα ἐνικᾶτο ὁ ἐχθρὸς καὶ ὑπεχώρει, τότε καὶ αὐτὴ ἐμετρίαζε τὴν σκληρότητα τῆς ἀσκήσεως. Αὐτὸ δὲ τὸ ἔκαμνε, διὰ νὰ μὴ διαλυθοῦν ὅλα μαζὶ τὰ μέλη τοῦ σώματος, ἀπὸ τὴν ὑπερβολικὴν καὶ σκληροτάτην ἄσκησιν καὶ ἔτσι περιπέσῃ εἰς κίνδυνον· διότι καὶ αὐτὸ εἶναι ἀπόδειξις ἥττης. Ὅταν πέσουν τὰ ὅπλα, ποῦ θὰ στηρίξῃ τὴν ἐλπίδα του πλέον ὁ στρατιώτης διὰ νὰ πολεμήσῃ; Διότι μερικοί, ἀφοῦ μὲ τὴν ἀσυλλόγιστον καὶ ἀδιάκριτον νηστείαν ἐξηντλήθησαν τελείως, ἐτραυμάτισαν θανασίμως τὰ σώματά των καί, ὡσὰν νὰ ἐγκατέλειψαν τὸν ἀγῶνα ἐνώπιον τοῦ ἐχθροῦ, κατέστρεψαν τὸν ἑαυτόν των.

Ἡ Ἁγία ὅμως Συγκλητικὴ δὲν ἔπραττεν ἔτσι, ἀλλὰ ὅλα τὰ ἔκαμνε μὲ διάκρισιν· καὶ ἐναντίον τοῦ ἐχθροῦ ἠγωνίζετο μὲ τὴν εὐχὴν καὶ τὴν ἄσκησιν, ἀλλὰ καὶ διὰ τὸ σῶμα της ἐφρόντιζε, χάριν τῆς γαλήνης τῆς ψυχῆς της. Διότι καὶ οἱ ναυτικοί, ὅταν ἐκσπάσῃ χειμὼν καὶ τρικυ-

μία, παραμένουν νηστικοὶ διὰ νὰ ἀντιμετωπίσουν τὸν κίνδυνον ποὺ ἔχουν ἐμπρός των· ὅταν ὅμως ἀπαλλαγοῦν ἀπὸ τὴν τρικυμίαν, τότε ξεκουράζονται κάπως ἀπὸ τοὺς κόπους των καὶ φροντίζουν διὰ τὰς λοιπὰς ἀνάγκας. Ὡστόσον οὔτε καὶ τότε παραμένουν τελείως ἀμέριμνοι, οὔτε ἀφήνονται νὰ νικηθοῦν ἀπὸ βαθὺν ὕπνον, ἐπειδὴ ἔχουν πεῖραν ἀπὸ τὰ περασμένα καὶ ἀγρυπνοῦν διὰ τὰ μέλλοντα. Διότι ἂν καὶ ἐκόπασεν ἡ κακοκαιρία, ἡ θάλασσα ὅμως δὲν ἔχει ἐλαττωθῆ. Καὶ ἂν τὸ γεγονὸς ἐπέρασεν, ἐν τούτοις ὅμως τὸ μέλλον εἶναι ἄγνωστον. Δι' αὐτό, ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ εἶναι κανεὶς βέβαιος διὰ τὴν κατάστασιν τῆς θαλάσσης, πρέπει πάντοτε νὰ προσέχουν, ὥστε νὰ εἶναι ἀσφαλισμένοι.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ἀγάπα ἀεὶ τὴν ἐγκράτειαν, ὅπως ὠφεληθήσῃ σφόδρα· εἰ δὲ ἄρξῃ ἀδιαφορεῖν, εἰς ἐσχάτην καταντήσεις ἀπώλειαν· καὶ ἐν μὲν τοῖς πρώτοις τὴν χάριν τοῦ Θεοῦ ἀποστρέψεις, εἶτα καὶ ὑπὸ τῶν ὁρώντων σε γελασθήσῃ· καὶ τρίτον οὐδὲ τὸ ἐργόχειρόν σου ἕξεις ἐξαρκοῦν σοι πρὸς τοσαύτην δαπάνην. Καὶ ἕξεις ἐντεῦθεν λοιπὸν περισπασμοὺς πραγματείας καὶ τὰ ἐπακολουθοῦντα τούτοις, ψεύσματα, ἀδικίας, ἀποδημίας συνεχεῖς, καὶ πρὸς τοὺς ὑπερέχοντας κολακείας, καὶ πᾶς ὁ βίος σοι ἐν φροντίδι ἔσται καὶ ἡ τοῦ Θεοῦ μνήμη ἀπὸ σοῦ μακρυνθήσεται. Καὶ ἐν τούτοις τελείως παραδοθήσῃ εἰς χεῖρας τῶν ἐχθρῶν σου, οἳ καὶ εἰς πυθμένα ᾅδου σε κατασπάσουσι καὶ τῷ αἰωνίῳ πυρὶ μεθ' ἑαυτῶν παραπέμψουσιν· ἡ πολυφαγία γὰρ καὶ ἡ πολυποσία πρὸς τὸ παρὸν ἡδύτητα ἔχουσι, τῇ δὲ ἐπαύριον ἀηδίαν καὶ ἔκλυσιν παρέχουσι τῷ λογισμῷ.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, νὰ ἀγαπᾷς πάντοτε τὴν ἐγκράτειαν, διὰ νὰ ὠφεληθῇς πάρα πολύ· ἂν ὅμως ἀρχίσῃς νὰ ἀδιαφορῇς, τότε θὰ δοκιμάσῃς ἀνεπανόρθωτον ζημίαν. Κατ' ἀρχὰς θὰ ἀπομακρύνῃς ἀπὸ ἐπάνω σου τὴν χάριν τοῦ Θεοῦ· ἔπειτα θὰ σὲ περιγελοῦν ἐκεῖνοι, ποὺ σὲ βλέπουν· καὶ τρίτον οὔτε τὸ ἐργόχειρόν σου θὰ σὲ φθάνῃ πλέον διὰ μίαν τοιαύτην δαπάνην, ποὺ θὰ προκύψῃ ἀπὸ τὴν περιφρόνησιν τῆς ἐγκρατείας.

Ἔτσι θὰ ἀποκτήσῃς εἰς τὸ ἑξῆς ὅλους τοὺς περισπασμοὺς τῶν πραγματευτῶν καὶ ὅσα ἐπακολουθοῦν εἰς τὰ περιπτώσεις αὐτάς· ψέματα, δηλαδή, ἀδικίας, συνεχῆ ταξίδια, καὶ κολακείας πρὸς τοὺς ἰσχυροὺς καὶ ὁλόκληρος ἡ ζωή σου θὰ εἶναι γεμάτη φροντίδας. Ἡ μνήμη τοῦ Θεοῦ θὰ ἀπομακρυνθῇ τελείως ἀπὸ τὸν νοῦν σου καί, ἐξ αἰτίας αὐτῶν, θὰ παραδοθῇς τελείως εἰς τὰς χεῖρας τῶν ἐχθρῶν σου, ποὺ θὰ σὲ παρασύρουν εἰς τὸν βυθὸν τοῦ Ἅδου καὶ θὰ σὲ στείλουν εἰς τὸ αἰώνιον πῦρ, διὰ νὰ εἶσαι μαζί των. Διότι ἡ πολυφαγία καὶ ἡ πολυποσία πρὸς τὸ παρὸν προκαλοῦν εὐχαρίστησιν· ἀμέσως ὅμως τὴν ἄλλην ἡμέραν προξενοῦν ἀηδίαν καὶ παραλύουν τελείως τὸν λογισμόν.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΠΑΣΙΝ ἀναγκαῖον τὸ κρατεῖν τῆς γαστρός, μάλιστα δὲ τοῖς τῷ Θεῷ δουλεύειν ἐθέλουσιν· ὁ δὲ ἀσχέτως ἐσθίων, ἔοικε νηΐ ὑπερπεφορτισμένῃ, καὶ εὐχερῶς ὑπὸ τῶν κυμάτων βαπτιζομένῃ· τὸ γὰρ σῶμα τροφῆς δεῖται οὐ τρυφῆς, ὀλιγοδείας οὐ πλησμονῆς· αἱ μὲν γὰρ καὶ αὐτὸ καὶ τὴν ψυχὴν ὠφελοῦσι, τῷ μὲν νοΐ ὀξύτητα καὶ καθαρότητα, τῷ δὲ σώματι ὑγιείαν καὶ εὐεξίαν παρέχουσαι. Αἱ δὲ ἀμφότερα καταβλάπτουσι, τὸν μὲν λογισμὸν παχύνουσαι καὶ σκοτίζουσαι καὶ ῥυποῦσαι, τὸ δὲ σῶμα οὐ μόνον εἰς γαργαλισμοὺς κινοῦσαι καὶ ἐπιθυμίας αἰσχράς, ἀλλὰ νόσους αὐτῷ χαλεπὰς καὶ συνεχεῖς προξενοῦσαι. Διὸ καὶ οἱ τῇ ὀλιγοδείᾳ συζῶντες ἀεὶ ἀσκηταὶ τῶν ἀβροδιαίτων συνετώτεροί τε εἰσὶ καὶ σωφρονέστεροι καὶ ὑγιεινότεροι.

Φύγωμεν οὖν, ἀδελφοί, τὸν κόρον, ἵνα μὴ τὸ ἔμφυτον πῦρ τῆς σαρκὸς καθ' ἡμῶν εἰς μείζονα ἀνάψωμεν· ὡς γὰρ ὁ ξύλα τῷ πυρὶ χορηγῶν πλείονα τὴν φλόγα ἀνεγείρει, οὕτω καὶ ὁ τὸ σώματι πλῆθος βρωμάτων διδούς, τὴν ἐπιθυμίαν αὐξάνει καὶ διανίστησιν· ὁμοίως δὲ καὶ ἡ τῶν βρωμάτων πολυτέλεια τὸν μὲν λαιμὸν πρὸς βραχὺ τέρπει, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον.

Μοναχὸς γαστρίμαργος οὐδὲν ἕτερον, εἰμὴ μόνον κοιλίας ὑπόφορός ἐστι καὶ τὰς μνείας τῶν ἁγίων ἀριθμεῖ, ὁ δὲ ἐγκρατὴς μιμεῖται βίους αὐτῶν· ὁ γαστρίμαργος εἰς οὐδὲν ἕτερον ἐναβρύνεται, ἀλλ' ἢ εἰς πλατεῖαν καὶ εὐρύχωρον κοιλίαν, τὸ ταμιεῖον τῆς τιμίας αὐτῷ κόπρου καὶ προσφιλοῦς. Λυπεῖ δὲ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐνοικοῦν ἐν αὐτῷ καὶ πόρρω ἑαυτοῦ ἐκδιώκει· μὴ φέρων γὰρ τὴν δυσωδίαν ἀναχωρεῖ ἀπ' αὐτοῦ.

Ὥς περ γὰρ ὁ καπνὸς διώκει τὰς μελίσσας, οὕτω καὶ ὁ γαστρίμαργος τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. Λέγει δὲ καὶ ὁ Ἀπόστολος· «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται», σάρκα καὶ αἷμα καλῶν τὰ σαρκικὰ πάθη δι' ὧν ὁ νοῦς εἰς τὸ φρόνημα τῆς σαρκὸς κατασύρεται, καὶ αὐτὴ δὲ ἡ σὰρξ τροφή ἐστι τῶν δαιμόνων. Φησὶ γὰρ ὁ Προφήτης· «ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου».

Ὁ οὖν διὰ τῆς ἐγκρατείας ἐκτήκων τὴν σάρκα λιμοκτονεῖ τοὺς δαίμονας καὶ ἀσθενεστέρους πρὸς τὸν κατ' αὐτοῦ πόλεμον κατεργάζεται. Ἔχει δὲ ὁ τοιοῦτος καὶ τὸν νοῦν ἀεὶ τῶν μὲν γηΐνων ὑψηλότερον, πρὸς δὲ τὸν οὐρανὸν ἐπηρμένον καὶ τὰ ἐν αὐτῷ κάλλη ἐν Ἁγίῳ Πνεύματι φανταζόμενον, καὶ ἔξωθεν μέν ἐστι στυγνάζων καὶ κατηφής, ἔνδοθεν δὲ φαιδρὸς ὅλος καὶ χαροπός. Ἔοικε γὰρ ὁ νηστευτὴς τῷ τοῦ φοίνικος ἄνθει, ὅπερ ἔξωθεν μέν ἐστι στυγνόχροον, ἔσωθεν δὲ χιονῶδες καὶ πολύκαρπον· ὡσαύτως καὶ ὁ ἐγκρατής, ἔξωθεν μὲν στυγνάζει, ἔσωθεν δὲ ὑπὸ Θεοῦ φωτιζόμενος, αὐτῷ μετὰ παρρησίας διαλέγεται.

Ἑρμηνεία

ΕΙΣ ὅλους εἶναι ἀναγκαῖον νὰ κυριαρχοῦν εἰς τὴν κοιλίαν των, πρὸ παντὸς ὅμως εἰς ἐκείνους ποὺ θέλουν νὰ δουλεύουν εἰς τὸν Θεόν. Ἐκεῖνος ποὺ τρώγει. χωρὶς καμμία ἐγκράτειαν, ὁμοιάζει μὲ παραφορτωμένον πλοῖον, ποὺ καταποντίζεται εὔκολα ἀπὸ τὰ κύματα. Τὸ σῶμα ἔχει ἀνάγκην ἀπὸ τροφὴν καὶ ὄχι ἀπὸ γαστρικὴν ἀπόλαυσιν, ἀπὸ λι-


τότητα καὶ ὄχι ἀπὸ ἀφθονίαν. Διότι ἡ τροφὴ καὶ ἡ λιτότητα καὶ τὴν ψυχὴν ὠφελοῦν, διότι χαρίζουν εἰς τὸν νοῦν ὀξύτητα καὶ καθαρότητα καὶ εἰς τὸ σῶμα προσφέρουν ὑγείαν καὶ εὐρωστίαν· ἀντιθέτως ἡ γαστρικὴ ἀπόλαυσις καὶ ἡ ἀφθονία τὸν μὲν λογισμὸν τὸν παχαίνουν, τὸν σκοτίζουν καὶ τὸν ρυπαίνουν, τὸ δὲ σῶμα ὄχι μόνον τὸ ἐρεθίζουν καὶ τὸ παρακινοῦν εἰς αἰσχρὰς ἐπιθυμίας, ἀλλὰ τοῦ προξενοῦν καὶ νόσους φοβερὰς καὶ ἀδιακόπους. Δι' αὐτὸ καὶ οἱ ἀσκηταί, ποὺ ζοῦν διαρκῶς μὲ λιτότητα, εἶναι πάντοτε νοημονέστεροι, σωφρονέστεροι καὶ περισσότερον ὑγιεῖς, ἀπὸ ἐκείνους ποὺ ζοῦν μὲ τὴν σπατάλην καὶ τὴν καλοπέρασιν.

Ἄς ἀποφύγωμεν, λοιπόν, ἀδελφοί, τὸν χορτασμόν, διὰ νὰ μὴ ἀνάβωμεν περισσότερον εἰς βάρος μας τὸ ἔμφυτον πῦρ τῆς σαρκός. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ ρίπτει ξύλα εἰς τὴν φωτιάν, φουντώνει περισσότερον τὴν φλόγα, ἔτσι καὶ ἐκεῖνος, ποὺ δίδει εἰς τὸ σῶμα του πλῆθος φαγητῶν, αὐξάνει καὶ ξεσηκώνει τὴν ἁμαρτωλὴν ἐπιθυμίαν. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὴν πολυτέλειαν τῶν φαγητῶν· εὐχαριστεῖ πρὸς στιγμὴν τὸν λάρυγγα, τρέφει ὅμως καὶ ἀκοίμητον τὸν σκώληκα τῆς ἀκολασίας.

Ὁ κοιλιόδουλος Μοναχὸς δὲν εἶναι τίποτε ἄλλο, παρὰ σκλάβος τῆς κοιλίας του καὶ μετρᾷ τὰς ἑορτὰς τῶν Ἁγίων· ὁ ἐγκρατὴς ὅμως μιμεῖται τοὺς βίους αὐτῶν. Ὁ γαστρίμαργος μὲ τίποτε ἄλλο δὲν εὐχαριστεῖται παρὰ μὲ τὴν πλατεῖαν καὶ φουσκωμένην κοιλίαν του, τὴν ἀποθήκην αὐτὴν τῆς ἀγαπημένης του καὶ πολυτίμου κόπρου. Κάμνει τὸ Ἅγιον Πνεῦμα, ποὺ κατοικεῖ μέσα του, νὰ λυπῆται καὶ τὸ ἐκδιώκει μακράν του· διότι, ἐπειδὴ δὲν ὑποφέρει τὴν δυσωδίαν τῆς γαστριμαργίας, φεύγει ἀπὸ αὐτόν.

Ὅπως ἀκριβῶς ὁ καπνὸς ἐκδιώκει τὰς μελίσσας, ἔτσι καὶ ὁ γαστρίμαργος τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. Σχετικῶς ὁ Ἀπόστολος Παῦλος λέγει· «ἡ σὰρξ καὶ τὸ αἷμα δὲν ἠμποροῦν νὰ κληρονομήσουν τὴν Βασιλείαν τοῦ Θεοῦ». Σάρκα καὶ αἷμα ἐννοεῖ τὰ σαρκικὰ πάθη, μὲ τὰ ὁποῖα ὁ νοῦς γλιστρᾷ σιγὰ-σιγὰ εἰς τὸ σαρκικὸν φρόνημα. Αὐτὴ ἡ σάρκα εἶναι τροφὴ τῶν δαιμόνων, διότι ὅπως λέγει ὁ Προφήτης· «καθὼς μὲ πλησιάζουν κακοῦργοι, διὰ νὰ φάγουν τὰς σάρκας μου».

Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος μὲ τὴν ἐγκράτειαν καταπονεῖ τελείως τὴν σάρκα του, καταδικάζει εἰς μεγάλην πεῖναν τοὺς δαίμονας καὶ τοὺς κάνει ἀνικάνους διὰ τὸν ἐναντίον του πόλεμον. Ὁ τοιοῦτος Μοναχὸς ἔχει τὸν νοῦν του συνεχῶς ὑψηλότερα ἀπὸ τὰ γήϊνα, ἀνυψωμένον πρὸς τὸν οὐρανόν· ἔτσι φαντάζεται, μὲ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος τὰ κάλλη ποὺ ὑπάρχουν ἐκεῖ ἐπάνω. Ἀπ' ἔξω φαίνεται λυπημένος καὶ σκυθρωπός, ἐνῷ ἐσωτερικὰ λάμπει ὁλόκληρος καὶ εἶναι χαρούμενος. Ὁ νηστευτὴς Μοναχὸς ὁμοιάζει δηλαδή, μὲ τὸ ἄνθος τοῦ φοίνικος· τὸ ἐξωτερικὰ εἶναι σκοτεινόχρωμον, ἐνῷ ἐσωτερικὰ λευκὸν ὅπως τὸ χιόνι καὶ γεμᾶτον καρπούς· ἔτσι καὶ ὁ ἐγκρατὴς ἐξωτερικὰ σκυθρωπάζει, ἐνῷ


ὁ ὅσιος
Ἀντίοχος

μέσα εἰς τὴν ψυχήν του, καθὼς φωτίζεται ἀπὸ τὸν Θεόν, συνομιλεῖ μὲ θάρρος μαζί Του.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΩΣΠΕΡ λύκῳ πρόβατον οὐ συνεισέρχεται εἰς τεκνογονίαν, οὕτως οὔτε κόρῳ πόνος καρδιακὸς εἰς κύησιν ἀρετῶν. Οὐδεὶς δύναται πόνον καὶ λύπην κατὰ Θεὸν ἔχειν, ἐὰν μὴ πρότερον τὰς τούτων αἰτίας ἀγαπήσῃ. Φόβος Θεοῦ καὶ ἔλεγχος εἰσδέχονται λύπην, ἐγκράτεια δὲ καὶ ἀγρυπνία προσομιλοῦσι πόνῳ. Νεότητος σάρκες πιαινόμεναι διαφόροις βρώμασι καὶ οἰνοποσίαις, ὡς χοῖρος ἕτοιμος εἰς σφαγήν· οὕτω τῇ πυρώσει τῶν τοῦ σώματος ἡδονῶν ἡ ψυχὴ κατασφάζεται, καὶ τῇ ζέσει τῆς κακῆς ἐπιθυμίας ὁ νοῦς αἰχμαλωτίζεται, ἀντέχειν πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς μὴ δυνάμενος. Εἰσροὴ γὰρ αἵματος, ἐκροὴν πνεύματος ἀπεργάζεται.

Ἐξαιρέτως δὲ οἴνου μετάληψιν μηδὲ ὀσφραινέσθω ἡ νεότης, ἵνα μή, διπλῆς πυρκαϊᾶς ἀναπτομένης, τῇ ἔσωθεν τοῦ πάθους ἐνεργείᾳ, καὶ τῇ ἔξωθεν ἐπιχεομένῃ οἰνοποσίᾳ, διὰ τούτων ἡ ἡδονὴ τῆς σαρκὸς ὑπερζέσασα, τὴν πνευματικὴν ἡδονὴν τοῦ πόνου τῆς κατανύξεως ἐξ ἑαυτῆς ἀποδιώξῃ, καὶ σύγχυσιν καὶ πώρωσιν ἐν τῇ καρδίᾳ ἐμποιήσῃ. Ἀλλὰ δι' ἐπιθυμίαν ἁγνείας καὶ πνευματικῆς πολιτείας μηδὲ ὕδατος κόρον ἡ νεότης προσιέσθω· πάνυ γὰρ πρὸς συνεργίαν σωφροσύνης συμβάλλεται καὶ ἡ τοῦ ὕδατος ἔνδεια.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς τὸ πρόβατον δὲν ζευγαρώνει μὲ τὸν λύκον, διὰ νὰ γεννήσουν παιδιά, ἔτσι καὶ ὁ πόνος τῆς καρδιᾶς δὲν ταιριάζει μὲ τὴν πολυφαγίαν, διὰ νὰ γεννήσουν ἀρετάς. Δὲν ἠμπορεῖ κανεὶς νὰ ἔχῃ κατὰ Θεὸν λύπην καὶ πόνον, ἂν προηγουμένως δὲν ἀγαπήσῃ τὰς αἰτίας, ποὺ τὰ προκαλοῦν. Φόβος Θεοῦ καὶ ἔλεγχος συνειδήσεως κυοφοροῦν τὴν κατὰ Θεὸν λύπην· ἡ ἐγκράτεια δὲ καὶ ἡ ἀγρυπνία συντροφεύουν μὲ τὸν κόπον τῆς καρδίας. Νεανικαὶ σάρκες ποὺ παχαίνουν μὲ διάφορα φαγητὰ καὶ μὲ οἰνοποσίας εἶναι ὅπως ὁ χοῖρος, ποὺ τὸν ἑτοιμάζουν διὰ σφαγήν· ἔτσι μὲ τὴν πύρωσιν τῶν σαρκικῶν ἡδονῶν σφαγιάζεται τελείως ἡ ψυχὴ καὶ μὲ τὴν φλόγα τῆς κακῆς ἐπιθυμίας αἰχμαλωτίζεται ὁ νοῦς διὰ νὰ μὴ ἠμπορῇ νὰ ἀντιστέκεται πρὸς τὰς σαρκικὰς ἡδονάς. Διότι ἡ εἰσροὴ αἵματος (ἀπὸ τὰς πολλὰς τροφὰς) ἔχει ὡς ἀποτέλεσμα τὴν ἐκροὴν πνεύματος.

Ἐξαιρετικὰ οἱ νέοι οὔτε νὰ ὀσφραίνωνται τὸ κρασί, διὰ νὰ μὴ ἀνάβουν διπλῆν πυρκαϊάν· ἐσωτερικὴν μὲ τὴν ἐπενέργειαν τοῦ πάθους (τῆς μέθης) καὶ ἐξωτερικὴν μὲ τὴν ἄφθονον οἰνοποσίαν. Μὲ αὐτάς, ὑπερθερμανθεῖσα ἡ σαρκικὴ ἡδονή, θὰ ἀποδιώξῃ ἀπὸ τὴν ψυχὴν τῶν νέων τὴν ἡδονὴν ἀπὸ τὸν πόνον τῆς κατανύξεως καὶ θὰ προκαλέσῃ σύγχυσιν καὶ πώρωσιν εἰς τὴν καρδίαν. Ἀλλ' ἐὰν ὁ νέος ἐπιθυμῇ τὴν ἁγνείαν καὶ τὴν πνευματικὴν πολιτείαν, οὔτε νερὸ νὰ χορταίνῃ καλὰ - καλά· διότι διὰ τὴν ἐπιτυχίαν τῆς σωφροσύνης συντελεῖ πάρα πολὺ καὶ ἡ περιωρισμένη χρῆσις τοῦ νεροῦ.

Ε'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΩΣΠΕΡ νέφος καλύπτει τὸ φῶς τοῦ Ἡλίου καὶ τῆς Σελήνης, οὕτως οἱ ἀτμοὶ τῆς γαστρὸς τὴν σοφίαν τοῦ Θεοῦ ἐκ τῆς ψυχῆς. Καθάπερ πυρὸς φλὸξ ἐν ξηροῖς ξύλοις, οὕτω καὶ τὸ σῶμα γαστρὸς ἐμπεπλησμένης. Καθάπερ ὕλη παρὰ ὕλῃ αὔξει τὴν φλόγα τοῦ πυρός, οὕτω καὶ ἡ ποικιλία τῶν βρωμάτων τὴν τοῦ σώματος κίνησιν. Ἐν σώματι φιληδόνῳ ἡ γνῶσις τοῦ Θεοῦ οὐκ οἰκεῖ· καὶ ὁ ἀγαπῶν τὸ ἴδιον σῶμα, τῆς τοῦ Θεοῦ χάριτος οὐκ ἐπιτεύξεται. Ὥς περ πατὴρ κήδεται τέκνου, οὕτω καὶ ὁ Χριστὸς φείδεται σώματος κακοπαθοῦντος δι᾿ αὐτόν, καὶ πλησίον ἐστὶ τούτου διὰ παντός, καὶ ἀντιλαμβάνεται αὐτοῦ, καὶ οὐκ ἐᾷ αὐτὸ εἰς τέλος καταπεσεῖν.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς τὸ σύννεφον ἀποκρύπτει τὸ φῶς τοῦ ἡλίου καὶ τῆς σελήνης, ἔτσι καὶ οἱ ἀτμοὶ τῆς κοιλίας ἀποκρύπτουν τὴν σοφίαν τοῦ Θεοῦ ἀπὸ τὴν ψυχήν. Ὅπως ἡ φλόγα τῆς φωτιᾶς φουντώνει μὲ τὰ ξερὰ ξύλα, ἔτσι καὶ τὸ σῶμα φλογίζεται (ἀπὸ τὰ πάθη) ὅταν ἡ κοιλία εἶναι γεμάτη.

Ὅπως τὰ ξύλα ἐπάνω εἰς τὰ ξύλα μεγαλώνουν τὴν φλόγα, ἔτσι καὶ ἡ ποικιλία τῶν φαγητῶν τὴν σωματικὴν δραστηριότητα. Εἰς τὸν φιλήδονον δὲν κατοικεῖ ἡ γνῶσις τοῦ Θεοῦ· καὶ αὐτὸς ποὺ ἀγαπᾷ τὸ σῶμα του, δὲν θὰ τύχῃ τῆς χάριτος τοῦ Θεοῦ.

Ὅπως ὁ πατέρας φροντίζει διὰ τὸ παιδί του, ἔτσι καὶ ὁ Χριστὸς προνοεῖ διὰ τὸ σῶμα ποὺ κακοπαθεῖ δι᾿ Αὐτὸν καὶ εὑρίσκεται κοντά του παντοτεινά· τὸ βοηθεῖ καὶ δὲν τὸ ἀφήνει, τελικά, νὰ πέσῃ εἰς τὴν ἁμαρτίαν.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΕ ΤΙΣ ποτε εἰς σκῆτιν δαιμονῶν· καὶ πολὺν διανύσας χρόνον οὐκ ἐθεραπεύθη, τῶν Πατέρων παραιτουμένων τὸ θεραπεῦσαι αὐτόν, δι᾿ ὑπερβολὴν ταπεινώσεως· σπλαγχνισθεὶς δὲ εἷς τῶν γερόντων, ἐσφράγισε τὸν πάσχοντα, καὶ εὐθὺς ἐθεραπεύθη ὁ ἄνθρωπος. Ὡς δὲ ἐξῆλθεν ὁ δαίμων, διαπονηθεὶς εἶπε τῷ γέροντι· ἰδοὺ ἐξέβαλές με, ἐπάνω σου ἔρχομαι. Λέγει αὐτῷ ὁ γέρων· δεῦρο, ἡδέως ἔχω· καὶ εἰσῆλθεν εἰς αὐτὸν τὸ δαιμόνιον (οἶμαι τοῦτο τὸν Θεὸν αἰτησαμένου τοῦ γέροντος). Ἐποίησεν οὖν ὁ γέρων δώδεκα ἔτη ἔχων τὸν δαίμονα καὶ συντρίβων αὐτὸν διὰ τῆς ἀσκήσεως· ἤσθιε γὰρ καθ᾿ ἡμέραν ὀστέα φοινίκων δώδεκα. Μετὰ δὲ τοῦτο ἐξῆλθεν ἀπ᾿ αὐτοῦ ὁ δαίμων, ὁ δὲ γέρων, ἰδὼν αὐτὸν ἐξελθόντα ἐξ αὐτοῦ, εἶπεν αὐτῷ· τί φεύγεις; ἔτι παράμεινον. Ἀπεκρίθη δὲ αὐτῷ ὁ δαίμων· καταργήσοι σε ὁ Θεός, ὅτι εἰ μὴ αὐτὸς μόνος, ἄλλος οὐ δύναται πρός σε.

2. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἐὰν θελήσῃ βασιλεὺς πόλιν ἐχθρῶν παραλαβεῖν, τὸ ὕδωρ πρῶτον κρατεῖ καὶ τὴν τροφήν, καὶ οὕτως οἱ ἐχθροί, ἐκ τοῦ λιμοῦ ἀπολλύμενοι, ὑποτάττονται αὐτῷ. Οὕτω καὶ τὰ πάθη τῆς σαρκός, ἐὰν

νηστείᾳ καὶ λιμῷ πολιτεύσηται ἄνθρωπος, οἱ ἐχθροὶ ἤτοι τὰ πάθη καὶ οἱ δαίμονες ἀσθενοῦσιν ἀπὸ τῆς ψυχῆς αὐτοῦ.

3. Εἶπε πάλιν· τίς ἰσχυρὸς ὡς λέων; καὶ διὰ τὴν κοιλίαν αὐτοῦ ἐμπίπτει εἰς παγίδα, καὶ ὅλη ἡ ἰσχὺς αὐτοῦ ταπεινοῦται.

4. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· εἰ μὴ Ναβουζαρδὰν ὁ Ἀρχιμάγειρος ἦλθεν, οὐκ ἂν ὁ Ναὸς τοῦ Θεοῦ ἐνεπρήσθη, τουτέστιν εἰ μὴ ἡ ἀνάπαυσις τῆς γαστριμαργίας ἦλθεν εἰς τὴν ψυχήν, οὐκ ἂν ὁ νοῦς κατέπιπτεν ἐν τῷ πολέμῳ τοῦ ἐχθροῦ.

5. Εἶπε πάλιν, ὅτι Δαβίδ, ὅτε μετὰ τοῦ λέοντος συνέβαλεν, ἐκ τοῦ λάρυγγος κατέσχεν αὐτὸν καὶ εὐθέως ἀπέκτεινεν. Ἐὰν οὖν καὶ ἡμεῖς κρατήσωμεν τοῦ λάρυγγος καὶ τῆς κοιλίας ἑαυτῶν, ἤτοι φιληδονίας καὶ γαστριμαργίας, νικῶμεν διὰ τοῦ Θεοῦ τὸν ἀόρατον λέοντα.

6. Εἶπεν ὁ αὐτός· ταῦτα τὰ τρία οὐ δύναμαι παντελῶς κόψαι, τὴν βρῶσιν καὶ τὸ ἔνδυμα καὶ τὸν ὕπνον· ἀλλ' ἐκ μέρους δύναμαι κόψαι.

7. Εἶπε πάλιν· ψυχὴ ἐν οὐδενὶ ταπεινοῦται, ἐὰν μὴ ἐλαττώσῃς αὐτὴν ἄρτῳ, ἤγουν στενώσῃς πρὸς μόνην χρείαν τρέφων.

8. Διηγήσαντό τινες τῷ Ἀββᾷ Ποιμένι περὶ Μοναχοῦ τινος, ὅτι οὐ πίνει οἶνον· καὶ εἶπεν· ὁ οἶνος ὅλως οὐκ ἔστι τῶν Μοναχῶν.

9. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· ἡ νηστεία χαλινός ἐστι τῷ Μοναχῷ κατὰ τῆς ἁμαρτίας· ὁ ρίπτων αὐτήν, ἵππος θηλυμανὴς εὑρίσκεται.

Ἑρμηνεία

ΚΑΠΟΤΕ εἰς τὴν σκήτην ἦλθε κάποιος δαιμονισμένος· δὲν ἐθεραπεύθη ὅμως, ἂν καὶ ἐπέρασε πολὺς χρόνος, ἐπειδὴ οἱ Πατέρες δὲν ἀνελάμβαναν, ἀπὸ ὑπερβολικὴν ταπείνωσιν, νὰ τὸν θεραπεύσουν. Ἕνας ὅμως ἀπὸ τοὺς Γέροντας τὸν εὐσπλαγχνίσθη, ἐσφράγισε μὲ τὸ σημεῖον τοῦ Σταυροῦ τὸν δαιμονισμένον καὶ ἀμέσως ὁ ἄνθρωπος ἐθεραπεύθη.

Μόλις ἐβγῆκεν ὁ δαίμων, ἐπειδὴ κατακουράσθηκε χωρὶς ἀποτέλεσμα, εἶπεν εἰς τὸν Γέροντα:

— Τώρα ποὺ μὲ ἔβγαλες ἀπὸ αὐτὸν τὸν ἄνθρωπον, ἔρχομαι ἐπάνω σου.

— Ἔλα, τοῦ λέγει ὁ Γέροντας, θὰ μοῦ εἶναι εὐχάριστον.

Ἀμέσως τότε ἐμπῆκεν εἰς αὐτὸν τὸ δαιμόνιον(νομίζω πὼς ὁ Γέροντας ἐζήτησεν αὐτὸ ἀπὸ τὸν Θεόν). Ἐπέρασαν λοιπὸν δώδεκα χρόνια ποὺ ὁ Γέροντας εἶχε τὸν δαίμονα, καὶ συνέτριβε αὐτὸν μὲ τὴν ἄσκησιν· διότι ἔτρωγε καθημερινὰ δώδεκα κουκούτσια ἀπὸ καρποὺς φοινίκων. Μετὰ τόσην ἄσκησιν ἐβγῆκεν ἀπὸ αὐτὸν ὁ δαίμων· ὁ Γέροντας μόλις τὸν εἶδε νὰ ἐξέρχεται ἀπὸ αὐτόν, τοῦ εἶπε:

— Διατί φεύγεις; Μεῖνε ἀκόμη.

— Ὁ Θεὸς νὰ σὲ καταργήσῃ —τοῦ ἀπήντησεν ὁ δαίμων— διότι ἐκτὸς ἀπὸ Αὐτόν, τὸν Θεόν, κανεὶς ἄλλος δὲν ἔχει τὴν δύναμιν νὰ σοῦ κάμῃ τίποτα.

2. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς εἶπεν· ἂν ἕνας βασιλεὺς θελήσῃ νὰ κυριεύσῃ μίαν ἐχθρικὴν πόλιν, πρῶτα ἀπὸ ὅλα στερεῖ τὸ νερὸν

καὶ τὴν τροφὴν (μὲ τὴν πολιορκίαν) καὶ ἔτσι, ἐξαντλημένοι ἀπὸ τὴν πεῖναν οἱ ἐχθροὶ ὑποτάσσονται εἰς αὐτόν. Ἔτσι καὶ τὰ σαρκικὰ πάθη· ἂν ὁ ἄνθρωπος περάσῃ τὴν ζωήν του μὲ νηστείαν, καὶ σχεδὸν μὲ πεῖναν, τότε οἱ ἐχθροί του, δηλαδὴ τὰ πάθη καὶ οἱ δαίμονες, φεύγουν ἐξησθενημένοι ἀπὸ τὴν ψυχήν του.

3. Εἶπε, πάλιν, ὁ ἴδιος· ποῖος εἶναι ἰσχυρὸς ὅπως ὁ λέων; Καὶ ὅμως, πρὸς χάριν τῆς κοιλίας του, πίπτει μέσα εἰς παγίδα καὶ ἐξευτελίζεται ὁλόκληρος ἡ δύναμίς του.

4. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἂν δὲν ἤρχετο ὁ Ναβουζαρδὰν* ὁ Ἀρχιμάγειρος, δὲν θὰ ἐπυρπολεῖτο ὁ Ναὸς τοῦ Θεοῦ (τοῦ Σολομῶντος)· δηλαδὴ ἀλληγορικὰ σημαίνει ὅτι ἐὰν δὲν εἶχεν ἔλθει εἰς τὴν ψυχὴν ἡ ἀνάπαυσις τῆς γαστριμαργίας, δὲν θὰ ἐνικᾶτο ὁ νοῦς εἰς τὸν πόλεμον μὲ τὸν νοητὸν ἐχθρόν.

5. Εἶπε, πάλιν, ὁ ἴδιος· ὅταν ὁ Δαβὶδ ἐπάλαισε μὲ τὸν λέοντα, τὸν ἔπιασεν ἀπὸ τὸν λάρυγγα καὶ ἀμέσως τὸν ἐσκότωσεν. Ἐὰν λοιπὸν καὶ ἡμεῖς συγκρατήσωμεν τὸν λάρυγγα καὶ τὴν κοιλίαν μας, ἄν, δηλαδή, ἀποφύγωμεν τὴν φιληδονίαν καὶ τὴν γαστριμαργίαν, τότε νικῶμεν, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, τὸν ἀόρατον λέοντα.

6. Εἶπεν ὁ ἴδιος ὁ Ἀββᾶς· δὲν ἠμπορῶ νὰ ἀποκόψω τελείως αὐτὰ τὰ τρία· τὸ φαγητόν, τὸ ἔνδυμα καὶ τὸν ὕπνον. Μόνον ἐν μέρει ἠμπορῶ νὰ τὰ ἀποκόψω.

7. Εἶπε, πάλιν, ὁ ἴδιος· ἡ ψυχὴ μὲ τίποτε ἄλλο δὲν ταπεινώνεται, παρὰ ἂν τῆς ἐλαττώσῃς τὸν ἄρτον· ἂν δηλαδὴ τὴν περιορίσῃς μόνον εἰς τὴν ἀπολύτως ἀπαραίτητον τροφήν.

8. Διηγήθησαν μερικοὶ εἰς τὸν Ἀββᾶν Ποιμένα, δι' ἕνα Μοναχόν, ὅτι δὲν πίνει κρασί. Καὶ ὁ Ἀββᾶς ἀπήντησε· τὸ κρασὶ δὲν ἁρμόζει καθόλου εἰς τοὺς Μοναχούς.

9. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· ἡ νηστεία εἶναι διὰ τὸν Μοναχὸν χαλινὸς ἐναντίον τῆς ἁμαρτίας· αὐτὸς ποὺ ἀπορρίπτει τὴν νηστείαν, ὁμοιάζει μὲ ἄλογον, ποὺ εὑρίσκεται εἰς ὀργασμόν.

Ζ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΛΕΩΝ ζωγρεῖται διὰ τὴν ἑαυτοῦ κοιλίαν, καὶ γαστρίμαργος συντρίβεται δι' ἡδονὴν γαστρός. Κοπιᾷ γαστρίμαργος καὶ συντρίβεται ἐμπλῆσαι γαστέρα αὐτοῦ ἐδεσμάτων, καὶ φαγὼν ἐδυνᾶται περὶ τὴν πέψιν, τῇ δὲ ἐγκρατείᾳ ἀκολουθεῖ ὑγεία καὶ νηφαλιότης.

2. Μοναχὸς κυκλευτὴς οὐκ ἄτρωτος ἔσται, ὁ δὲ ὑπομένων ἐν ᾧ ἐκλήθη μᾶλλον εὑρήσει ἀνάπαυσιν.

---

* Ὁ Ναβουζαρδὰν ἦτο ἀρχηγὸς τῆς σωματοφυλακῆς τοῦ βασιλέως τῶν Βαβυλωνίων Ναβουχοδονόσορος, ὁ ὁποῖος ἐπολιόρκησε καὶ ἐκυρίευσε τὴν Ἱερουσαλὴμ καὶ ἔκαυσε τὸν ναὸν τοῦ Σολομῶντος.

3. Ἔλεγεν ὁ Ἀββᾶς Δανιὴλ ὅτι ὅσον τὸ σῶμα θάλλει, τοσοῦτον ἡ ψυχὴ λεπτύνεται· καὶ ὅσον τὸ σῶμα λεπτύνεται, τοσοῦτον ἡ ψυχὴ θάλλει.

Ἑρμηνεία

Ο ΛΕΩΝ συλλαμβάνεται ζωντανός, ἀπὸ τὴν λαιμαργίαν του, καὶ ὁ γαστρίμαργος συντρίβεται ἀπὸ τὴν εὐχαρίστησιν τῆς κοιλίας. Κοπιάζει ὁ γαστρίμαργος καὶ ἐξοδεύεται διὰ νὰ γεμίσῃ τὴν κοιλίαν του μὲ ἐκλεκτὰ φαγητά· ὅταν ὅμως τὰ φάγῃ, ὑποφέρει ἀπὸ τὴν δυσκολίαν νὰ τὰ χωνεύσῃ. Ἡ ἐγκράτεια, ἀντιθέτως, συνοδεύεται ἀπὸ ὑγείαν καὶ πνευματικὴν διαύγειαν.

† ② Μοναχὸς ὁ ὁποῖος περιφέρεται ἐδῶ καὶ ἐκεῖ ἀσκόπως, δὲν θὰ παραμείνῃ ἀπλήγωτος ἀπὸ τὸν σατανᾶν· ἐνῷ ἐκεῖνος ποὺ ὑπομένει εἰς ἐκεῖνο ποὺ ἐκλήθη (εἰς τὰς δυσκολίας τῆς μοναχικῆς ζωῆς), θὰ εὕρῃ ὁπωσδήποτε ἀνάπαυσιν.

† ③ Ἔλεγεν ὁ Ἀββᾶς Δανιήλ· ὅσον τὸ σῶμα παχύνεται, τόσον ἀδυνατίζει ἡ ψυχή· καὶ ὅσον τὸ σῶμα ἀδυνατίζει, τόσον ἡ ψυχὴ λαμπρύνεται.



ΥΠΟΘΕΣΙΣ ΙΣΤ΄

Πῶς οἱ Πατέρες τὴν νηστείαν ἠγάπησαν καὶ κατώρθωσαν, καὶ μέχρι τίνος καὶ εἰς ταύτην ἐχρῶντο τῇ ἀκριβείᾳ.

Πῶς οἱ Πατέρες ἠγάπησαν τὴν νηστείαν καὶ τὴν κατώρθωσαν· καὶ μέχρι ποίου σημείου μετεχειρίζοντο, κατ᾽ αὐτήν, τὴν ἀκρίβειαν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΕΙΤΟ περὶ τοῦ Ἀββᾶ Ἀρσενίου ὁ Ἀββᾶς Δανιὴλ καὶ ἔλεγεν, ὅτι τοσαῦτα ἔτη ἔμεινε μεθ᾽ ἡμῶν ὁ γέρων καὶ μόνον θαλλὶν σίτου ἐποιοῦμεν αὐτῷ εἰς τὴν χρείαν παντὸς τοῦ ἐνιαυτοῦ· καὶ ἡμεῖς, ὅτε παρεβάλομεν αὐτῷ, ἐξ ἐκείνου ἠσθίομεν.

2. Ἔλεγε πάλιν, ὅτι τῶν ὀπωρῶν ὁ γέρων ἀπείχετο, ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἐν τῷ μετοπώρῳ ἔλεγεν ἀφ᾽ ἑαυτοῦ· φέρετέ μοι, καὶ ἐφέρομεν αὐτῷ· καὶ ἐγεύετο μόνον ἀπὸ πασῶν τῶν ὀπωρῶν, εὐχαριστῶν τῷ Θεῷ. Ὅρα πῶς καὶ τὴν ἡδονὴν νικῶν διὰ τῆς ἀποχῆς, καὶ τὴν κενοδοξίαν καὶ ὑπερηφανίαν κατέβαλε διὰ τῆς ἐφάπαξ μεταλήψεως.

3. Ἦλθέ ποτε ὁ Ἀββᾶς Ἀχιλλᾶς πρὸς τὸν Ἀββᾶν Ἠσαΐαν, καὶ εὗρεν αὐτὸν ἐσθίοντα· ἦν δὲ βαλὼν εἰς τὸ πινάκιον ἅλας καὶ ὕδωρ, ὃ καὶ ἔκρυψεν ὄπισθεν τῆς σειρᾶς αἰσθόμενος τὸν Ἀββᾶν Ἀχιλλᾶν αὐτῷ παραβάλλοντα· τοῦτο δὲ κατ᾽ οἰκονομίαν ἐποίησεν, ἵνα μὴ σκανδαλίσῃ τὸν παραβάλλοντα, ὡς καὶ αὐτὸ τὸ πρᾶγμα ὕστερον ἔδειξεν· οὐ γὰρ ἦν ἐν τῇ σκήτει τοιαύτη συνήθεια. Ὁ οὖν Ἀββᾶς Ἀχιλλᾶς, εὑρὼν μὲν αὐτὸν ἐσθίοντα, μηδὲν δὲ ἔμπροσθεν αὐτοῦ παρακείμενον, ἐξήταζεν αὐτὸν λέγων· εἰπέ μοι, τί ἤσθιες; Ὁ δὲ ἀπεκρίθη· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι θαλλία ἔκοπτον εἰς τὸ καῦμα, καὶ ὡς ἦλθον φαγεῖν ἔβαλον εἰς τὸ στόμα μου ψωμὸν μετὰ ἅλατος· καὶ οὐ κατέβαινεν ὁ ψωμός, διὰ τὸ ξηρανθῆναι τὸν φάρυγγά μου ἀπὸ τοῦ καύματος. Διὸ καὶ ἠναγκάσθην βαλεῖν ὕδωρ εἰς τὸ ἅλας, ἵν᾽ οὕτω δυνηθῶ ποιῆσαι τὴν χρείαν μου· ἀλλὰ συγχώρησόν μοι. Λέγει ὁ Ἀββᾶς Ἀχιλλᾶς· δεῦτε ἴδετε Ἠσαΐαν ζωμὸν ἐσθίοντα ἐν σκήτει· εἰ ζωμὸν θέλεις ἐσθίειν, ὕπαγε εἰς Αἴγυπτον.

4. Ἔλεγεν ὁ Ἀββᾶς Βενιαμίν, ὅτι ὡς κατήλθομεν ἀπὸ τοῦ θέρους εἰς σκῆτιν, ἤνεγκαν ἡμῖν ἀπὸ Ἀλεξανδρείας καρποφορίαν, ἀνὰ ξέστην ἐλαίου ἐν ἀγγείοις γεγυψωμένοις. Εἰς οὖν τὸ ἐπιὸν θέρος ἔφερον οἱ ἀδελφοὶ εἰς τὴν Ἐκκλησίαν ἕκαστος τὸ ἀγγεῖον αὐτοῦ, ἤτοι τὸ περιττεῦσαν ἐκ τοῦ ἐλαίου· κἀγὼ ἤνεγκα τὸ ἐμόν, ὃ οὐκ ἤνοιξα μέν, τῇ δὲ ραφίδι τρυπήσας, μετέλαβον ἐξ αὐτοῦ· καὶ εἶχεν ἡ καρδία μου, ὅτι μέγα πρᾶγμα ἐποίησα. Συναχθέντων οὖν τῶν ἀγγείων, εὑρέθη τὰ μὲν τῶν ἀδελφῶν ἀνεπιχείρητα ὅλως καὶ τῷ γύψῳ οὕτως ἠσφαλισμένα, ὡς κατ' ἀρχὰς ἐδόθη αὐτοῖς, τὸ δὲ ἐμὸν τετρυπημένον, καὶ ὡς πορνεύσας ἠσχύνθην.

5. Διηγήσατο ἡμῖν ὁ Ἀββᾶς Βενιαμὶν ὁ Πρεσβύτερος τῶν κελλίων, ὅτι παρεβάλομεν εἰς σκῆτιν πρός τινα γέροντα, εἰς ὃν καὶ ἄλλοτε ἀπήλθομεν· καὶ θελησάντων ἡμῶν βαλεῖν εἰς τὸ ἕψημα μικρὸν ἔλαιον, ἵνα μετὰ τοῦ γέροντος φάγωμεν, εἶπεν ἐκεῖνος ἡμῖν· ἰδοὺ ἐκεῖ κεῖται τὸ μικρὸν ἀγγεῖον ὃ μετὰ ἐλαίου πρὸ τριῶν ἐτῶν μοι ἠνέγκατε, καὶ ὡς ἐθήκατε αὐτό, οὕτω μένει ἀνεπιχείρητον καὶ λάβετε ἐξ αὐτοῦ ὅσον θέλετε. Ἡμεῖς δὲ ἀκούσαντες ἐθαυμάσαμεν τὴν πολιτείαν τοῦ γέροντος.

6. Εἶπεν ὁ αὐτός, ὅτι παρεβάλομεν ἄλλῳ γέροντι, καὶ ἐκράτησεν ἡμᾶς φαγεῖν· ἔβαλε δὲ ἡμῖν ραφανέλαιον, καὶ λέγομεν αὐτῷ· Πάτερ, μᾶλλον μικρὸν ἔλαιον χρήσιμον βάλε ἡμῖν· ὁ δὲ ἀκούσας, ἐσφράγισεν ἑαυτὸν λέγων· εἰ ἔστιν ἄλλο ἔλαιον ἐκτὸς τούτου οὐκ οἶδα ἐγώ.

7. Διηγήσαντο περὶ τοῦ Ἀββᾶ Διοσκόρου, ὅτι ὁ ἄρτος αὐτοῦ κρίθινος ἦν ἢ ἀπὸ φακοῦ, κατ' ἐνιαυτὸν δὲ ἔβαλεν ἀρχὴν μιᾶς πολιτείας λέγων· τὸ ἔτος τοῦτο οὐκ ἀπαντῶ τινι, ἢ οὐ λαλῶ ὅλως, ἢ οὐ τρώγω ἕψημα, ἢ ὀπώραν, ἢ λάχανα, καὶ εἰς πᾶσαν ἐργασίαν ἀσκήσεως οὕτως ἐποίει κατ' ἐνιαυτόν. Τελειώσας τὴν τοῦ ἑνὸς ἐργασίαν, ἀπήρχετο τοῦ ἄλλου, καὶ οὕτω τὴν πρὸς πάντα κατώρθωσεν ἀπροσπάθειαν, καὶ πάντων περιεγένετο, εἰς ἃ ἔβλεπεν ἑαυτὸν ἐλαττούμενον.

8. Τῷ Ἀββᾷ Ἠσαΐᾳ παρέβαλέ τις τῶν ἀδελφῶν· ὁ δὲ ἔνιψεν αὐτοῦ τοὺς πόδας, εἶτα ἔβαλε δράκα φακοῦ εἰς χύτραν ἅψας πῦρ· καὶ ὡς ἔβρασε, κατήνεγκεν αὐτήν· ὁ δὲ ἀδελφὸς λέγει αὐτῷ· οὔπω ἐψήθη, Ἀββᾶ. Ἀπεκρίθη ἐκεῖνος· οὐκ ἀρκεῖ σοι ὅτι εἶδες λαμπρόν; καὶ αὕτη μεγάλη παράκλησις.

9. Ἔλεγεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἐσθίοντες οἱ Πατέρες τῆς σκήτεως ἄρτον καὶ ἅλας, οὐδὲ εἰς ταῦτα ἠνάγκαζον ἑαυτούς, ἤγουν οὐδὲ τούτων ἀμέτρως ἐνεφοροῦντο καὶ διὰ τοῦτο ἰσχυροὶ ἦσαν πρὸς τὸ ἔργον τοῦ Θεοῦ.

10. Διηγήσατο ὁ Ἀββᾶς Κασσιανός, ὅτι παρέβαλεν ὁ Ἀββᾶς Ἰωάννης, ὃς ἦν ἡγούμενος Κοινοβίου μεγάλου, τῷ Ἀββᾷ Παϊσίῳ ἐν ἀκροτάτῃ ἐρήμῳ διάγοντι ἐπὶ ἔτη τεσσαράκοντα· εἶχε δὲ πρὸς αὐτὸν πολλὴν ἀγάπην καὶ παρρησίαν, καὶ λέγει τῷ γέροντι· τί κατώρθωσας τοσοῦτον ἤδη χρόνον ἀναχωρῶν καὶ ὑπὸ μηδενὸς ἀνθρώπου ταχέως ὀχλούμενος; Ὁ δὲ ἀπεκρίθη· ἀφ' οὗ ἐμόνασα, οὐδέποτε εἶδέ με ὁ ἥλιος ἐσθίοντα. Ἔφη καὶ ὁ Ἀββᾶς Ἰωάννης· οὐδὲ ἐμὲ ὀργιζόμενον.

11. Γέρων τις ἐκάθητο ἐν τῷ Κοινοβίῳ τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου, ὃ ἐπὶ τριάκοντα ἔτη τόνδε τὸν κανόνα ἐτήρει· καθ' ἑβδομάδα ἅπαξ μετελάμβανεν ἄρτου καὶ ὕδατος, εἰργάζετο δὲ ἀδιαλείπτως, καὶ τῆς Ἐκκλησίας οὐδέποτε ἐξήρχετο.

12. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι εἴ ποτε εὐκαίρησε συνεστια-

σθῆναι τοῖς ἀδελφοῖς, ἐτίθει ἑαυτῷ ὅρον, ὅτι ἐὰν εὑρεθῇ οἶνος, διὰ τοὺς ἀδελφοὺς πίνε, καὶ ἀντὶ ἑνὸς ποτηρίου οἴνου, μίαν ἡμέραν μὴ πίῃς ὕδωρ. Οἱ οὖν ἀδελφοὶ χάριν ἀναπαύσεως ἐδίδουν αὐτῷ, ὁ δὲ γέρων μετὰ χαρᾶς ἐλάμβανεν, ἵνα ἑαυτὸν βασανίσῃ. Ὁ οὖν μαθητὴς αὐτοῦ, εἰδὼς τὸ πρᾶγμα, ἔλεγε τοῖς ἀδελφοῖς· διὰ τὸν Κύριον μὴ δότε αὐτῷ, εἰ δὲ μή γε, εἰς τὸ κελλίον μέλλει ἑαυτὸν βασανίζειν. Καὶ μαθόντες οἱ ἀδελφοὶ ὃ ἐποίει ὁ γέρων, οὐκέτι παρεῖχον αὐτῷ οἶνον.

13. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μάρκου τοῦ ἀναχωρητοῦ, ὅτι ἐπὶ ἑξήκοντα καὶ τρία ἔτη τοιαύτην ἔσχε τὴν ἐργασίαν, τὰς ἑβδομάδας νηστεύων, ὡς νομίζειν τινὰς ὅτι παρὰ φύσιν ἐστίν. Εἰργάζετο δὲ ἐν νυκτὶ καὶ ἡμέρᾳ καὶ ἐδίδου πτωχοῖς τὰ ἐκ τῆς ἐργασίας αὐτῷ ποριζόμενα, οὐδέποτε δὲ παρά τινος ἔλαβέ τι· πρὸς δὲ τοὺς διδόντας ἔλεγεν· οὐκ ἔχω χρείαν λαβεῖν· τὸ γὰρ ἐργόχειρόν μου τρέφει με, καὶ τοὺς ἐρχομένους πρός με διὰ τὸν Θεόν.

14. Διηγήσατό τις μαθητὴς περὶ τοῦ Ἀββᾶ αὐτοῦ, ὅτι ἐν ὅλοις εἴκοσιν ἔτεσιν οὐκ ἐκοιμήθη ἐπὶ πλευροῦ, ἀλλ' εἰς τὸ κάθισμα, ἐν ᾧ εἰργάζετο, ἐκεῖ καθήμενος ἐκάθευδεν. Ἤσθιε δὲ διὰ δύο ἢ διὰ τεσσάρων ἢ διὰ πέντε ἡμερῶν ἐν πᾶσι τοῖς τοσούτοις ἔτεσιν· ἐν δὲ τῷ ἐσθίειν εἶχε τὴν μίαν χεῖρα ἐκτεταμένην εἰς προσευχήν, τῇ δὲ ἄλλῃ ἤσθιεν. Ἐρωτήσαντος δέ μου, φησίν, αὐτὸν τίνος χάριν τοῦτο ποιεῖ, ἀπεκρίθη ὁ γέρων, ὅτι τὸ κρῖμα τοῦ Θεοῦ τίθημι πρὸ τῶν ὀφθαλμῶν μου, καὶ οὐ δύναμαι καρτερῆσαι. Ποτὲ οὖν ἐξελθὼν ὁ γέρων καὶ εὑρών με ἐν τῇ αὐλῇ κοιμώμενον, ἔστη ἐπάνω μου καὶ ἔκλαυσε καὶ θρηνῶν ἔλεγεν· ἄρα ποῦ ἐστιν ὁ λογισμὸς τούτου, ὅτι οὕτω καθεύδει μετὰ ἀμεριμνίας;

15. Ἄλλος γέρων ἐκάθητο εἰς ἔρημον μακράν, καί τις ἀδελφός, παραβαλὼν αὐτῷ, εὗρε τὸν γέροντα ἀσθενοῦντα. Ἔνιψεν οὖν αὐτὸν καὶ ἐξ ὧν ἔφερε χρειῶν ἐποίησε μικρὸν ἑψητόν, καὶ ἤνεγκεν αὐτῷ φαγεῖν· ὁ δὲ γέρων ἔφη αὐτῷ· φύσει, ἀδελφέ, ἐπελαθόμην ὅτι ταύτην τὴν ἀνάπαυσιν ἔχουσιν οἱ ἄνθρωποι· προσήνεγκε δὲ αὐτῷ καὶ ποτήριον οἴνου· καὶ ἰδὼν αὐτό, ἔκλαυσε λέγων· οὐ προσεδόκησα ἕως θανάτου οἶνον πιεῖν.

16. Ἔλεγεν ἀδελφός τις, ὅτι οἶδα γέροντα εἰς ὄρος ὑψηλὸν καθήμενον μὴ λαμβάνοντα τίποτε παρά τινος. Ἀλλ' ἔχοντα μικρὸν ὕδωρ ἐφιλοκάλει τὸ λάχανον αὐτοῦ, καὶ οὕτω διῃτᾶτο ἔτη πεντήκοντα, μηδέποτε ἐξελθὼν τοῦ προτειχίσματος. Ἐγένετο δὲ ὀνομαστὸς διὰ τὰς πολλὰς ἰάσεις, ἃς ἐποίει συνεχῶς εἰς τοὺς ἐρχομένους πρὸς αὐτόν, καὶ οὕτως ἐκοιμήθη ἐν εἰρήνῃ, καταλιπὼν ἐν τῷ τόπῳ μαθητὰς πέντε.

17. Εἶπε γέρων· εἶδον γέροντας ἐν τῇ ἐρήμῳ ταύτῃ ἀπὸ ἑβδομήκοντα ἐτῶν ποιήσαντας, καὶ μηδὲν ἄλλο ἐσθίοντας ἢ βοτάνας καὶ φοίνικας.

18. Ἔλεγον περί τινος μεγάλου γέροντος, ἐν τῇ λαύρᾳ τοῦ Ἀββᾶ Πέτρου καθημένου, ὅτι πεντήκοντα ἔτη ἐποίησε καθήμενος εἰς τὸ σπήλαιον αὐτοῦ, καὶ οὔτε οἶνον ἔπιεν, οὔτε ἄρτον ἔφαγεν, εἰμὴ πίτυρα, μετελάμβανε δὲ τρίτον τῆς ἑβδομάδος.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Δανιὴλ διηγεῖτο διὰ τὸν Ἀββᾶν Ἀρσένιον καὶ μᾶς ἔλεγεν, ὅτι ὁ Γέροντας ἔμεινε τόσα χρόνια μαζί μας καὶ μόνον ἕνα θαλ-

λὶν* ἤτοι ζεμπίλι σιτάρι τοῦ ἐδίδομεν δι' ὁλόκληρον τὸν χρόνον· ἀπὸ αὐτὸ δὲ ἐτρώγαμεν καὶ ἡμεῖς, ὅταν ἐπηγαίναμεν εἰς τὸ κελλί του.

2. Ὀπωρικὰ ὁ Γέροντας δὲν ἔτρωγε —ἐξηκολούθησε νὰ λέγῃ ὁ Ἀββᾶς Δανιὴλ— μόνον δὲ μίαν φορὰν τὸν χρόνον, κατὰ τὸ φθινόπωρον, μᾶς ἔλεγε μόνος του· φέρετέ μου, καὶ τοῦ ἐφέρναμεν. Καὶ τότε μόνον ἐγεύετο ἀπὸ ὅλους τοὺς καρποὺς καὶ εὐχαριστοῦσε τὸν Θεόν. Κοίταξε νὰ ἰδῇς πῶς καὶ τὴν εὐχαρίστησιν ἐνίκα, μὲ τὴν ἀποχήν, ἀλλὰ καὶ τὴν κενοδοξίαν καὶ τὴν ὑπερηφάνειαν ἐξουδετέρωνε μὲ τὸ νὰ τρώγῃ μόνον μίαν φορὰν τὸν χρόνον.

3. Κάποτε ἐπεσκέφθη τὸν Ἀββᾶν Ἡσαΐαν ὁ Ἀββᾶς Ἀχιλλᾶς καὶ τὸν εὑρῆκε νὰ τρώγῃ· εἶχε βάλει εἰς τὸ πιάτον του ἁλάτι καὶ νερόν, τὰ ὁποῖα ἔκρυψεν ὀπίσω ἀπὸ πλεγμένα φοινικόκλαδα, μόλις ἀντελήφθη τὸν Ἀββᾶν Ἀχιλλᾶν νὰ ἔρχεται πρὸς αὐτόν. Αὐτὸ δέ, ὅπως ἀπεδείχθη ἐκ τῶν ὑστέρων, τὸ ἔκαμε κατ' οἰκονομίαν, διὰ νὰ μὴ σκανδαλίσῃ τὸν ἐπισκέπτην του. Διότι δὲν ἐπικρατοῦσε τέτοια συνήθεια εἰς τὴν σκήτην.

Ὁ Ἀββᾶς Ἀχιλλᾶς λοιπόν, ἐπειδὴ τὸν εὑρῆκε νὰ τρώγῃ, χωρὶς νὰ ὑπάρχῃ τίποτε ἐμπρός του, τὸν ἠρώτα· εἰπέ μου, τοῦ λέγει, τί ἔτρωγες; Συγχώρησέ με, ἀπήντησεν ὁ Ἀββᾶς Ἡσαΐας, ἔκοβα βλαστάρια φοινίκων μέσα εἰς τὴν ζέστην, καὶ τώρα μόλις ἐπῆρα νὰ φάγω, ἔβαλα εἰς τὸ στόμα μου ψωμὶ μὲ ἁλάτι· ἀλλὰ δὲν κατέβαινε τὸ ψωμί, ἐπειδὴ ἐξεράθηκε ὁ λάρυγξ μου ἀπὸ τὴν ζέστην· δι' αὐτὸ ἠναγκάσθην νὰ βάλω νερὸν εἰς τὸ ἁλάτι, διὰ νὰ ἠμπορέσω ἔτσι νὰ ἱκανοποιήσω τὴν ἀνάγκην τῆς τροφῆς· ἀλλὰ συγχώρεσέ με. Λέγει τότε ὁ Ἀββᾶς Ἀχιλλᾶς· ἐλᾶτε νὰ ἰδῆτε τὸν Ἡσαΐαν νὰ τρώγῃ ζωμὸν εἰς τὴν σκήτην· ἐὰν θέλῃς νὰ τρώγῃς ζωμόν, πήγαινε εἰς Αἴγυπτον.

4. Ὁ Ἀββᾶς Βενιαμὶν ἔλεγεν ὅτι ὅταν, μετὰ τὸν θερισμόν, ἐπεστρέψαμεν εἰς τὴν σκήτην, μᾶς ἔφεραν ἀπὸ τὴν Ἀλεξάνδρειαν ὀλίγην γεωργικὴν συγκομιδήν, ἀπὸ ἕνα ξέστην** ἐλαίου, μέσα σὲ δοχεῖα κλεισμένα μὲ γύψον. Κατὰ τὸ ἑπόμενον λοιπὸν καλοκαίρι ὁ καθένας ἀπὸ τοὺς ἀδελφοὺς ἔφερεν εἰς τὴν Ἐκκλησίαν τὸ δοχεῖον, μὲ τὸ ἔλαιον ποὺ τοῦ εἶχε περισσεύσει. Ἔφερα λοιπὸν καὶ ἐγὼ τὸ ἰδικόν μου, τὸ ὁποῖον δὲν ἤνοιξα, ἀλλὰ ἀφοῦ τὸ ἐτρύπησα ὀλίγον μὲ τὴν βελόνην, τὸ ἐδοκίμασα· καὶ ἡ καρδία μου ἐδοκίμασε μεγάλην χαράν, ὅτι τάχα κατώρθωσα μεγάλο πρᾶγμα. Ὅταν ὅμως ἐμαζεύθησαν ὅλα τὰ δοχεῖα, τῶν μὲν ἀδελφῶν εὑρέθησαν τελείως ἀνέγγιχτα καὶ μὲ τὸν γύψον ἔτσι ὅπως εἶχαν δοθῆ εἰς

---

* Θαλλὶν ἤτοι θαλλία ἐκαλοῦντο καὶ τὰ ζεμπίλια ἐπειδὴ κατεσκευάζοντο ἀπὸ βλαστοὺς φοινίκων διὰ τῶν ὁποίων οἱ Πατέρες κατεσκεύαζον καὶ ψιάθια, κοφίνους κ.τ.λ.

** Ὁ ξέστης ἦτο ρωμαϊκὸν μέτρον διὰ τὰ ὑγρά, χωρητικότητος περίπου ἑξακοσίων τεσσαράκοντα γραμμαρίων.

αὐτοὺς ἀπὸ τὴν ἀρχήν, ἐνῷ τὸ ἰδικόν μου εἶχε τρυπηθῆ· αὐτὸ μὲ ἔκαμε νὰ ἐντραπῶ, ὡς νὰ εἶχα διαπράξει πορνείαν.

5. Ὁ Ἀββᾶς Βενιαμίν, ὁ πρεσβύτερος τῶν κελλίων, μᾶς διηγήθη ὅτι κάποτε ἐπεσκέφθημεν κάποιον Γέροντα εἰς τὴν σκήτην, εἰς τὸν ὁποῖον καὶ ἄλλοτε εἴχομεν μεταβῆ. Ὅταν ἠθελήσαμεν νὰ βάλωμεν ὀλίγον ἔλαιον εἰς τὸ φαγητόν, διὰ νὰ φάγωμεν μὲ τὸν Γέροντα, μᾶς εἶπεν· ἐκεῖ ὑπάρχει τὸ μικρὸν δοχεῖον μὲ τὸ ἔλαιον, ποὺ μοῦ ἐφέρατε πρὶν ἀπὸ τρία ἔτη καὶ ὅπως τὸ ἀκουμπήσατε, ἔτσι μένει κλεισμένον· πάρετε λοιπὸν ἀπὸ αὐτὸ ὅσον θέλετε. Ὅταν ἠκούσαμεν αὐτό, ἐμείναμεν κατάπληκτοι ἀπὸ τὴν αὐστηρὰν ἄσκησιν τοῦ Γέροντος.

6. Ὁ ἴδιος, πάλιν, μᾶς εἶπεν: ἄλλοτε ἐπεσκέφθημεν ἕνα ἄλλον Γέροντα καὶ μᾶς ἐκράτησε νὰ φάγωμεν· ἔβαλε δὲ εἰς ἡμᾶς ἔλαιον βγαλμένον ἀπὸ τοὺς σπόρους ρεπανίων (ραπανόλαδον). Πάτερ, τοῦ λέγομεν, καλύτερα νὰ μᾶς βάλης ὀλίγον γνήσιον ἐλαιόλαδον. Μόλις ἤκουσεν αὐτὸ ὁ Γέροντας ἔκαμε τὸν σταυρόν του καὶ εἶπεν· ἂν ὑπάρχη ἄλλο λάδι, ἐκτὸς ἀπὸ αὐτό, ἐγὼ δὲν γνωρίζω.

7. Διὰ τὸν Ἀββᾶν Διόσκορον διηγοῦντο ὅτι, τὸ ψωμί, ποὺ ἔτρωγεν, ἦτο ἀπὸ κριθάρι ἢ ἀπὸ φακήν. Ἔλεγον ἀκόμη διὰ τὸν ἴδιον Ἀββᾶν, ὅτι κάθε χρόνον ἤρχιζε καὶ μίαν νέαν ἄσκησιν. Τὸν χρόνον αὐτόν, ἔλεγε, δὲν θὰ συναντήσω κανένα ἢ δὲν θὰ ὁμιλήσω καθόλου· ἢ δὲν θὰ φάγω μαγειρευμένον φαγητόν, ἢ καρπόν, ἢ λάχανα. Καὶ ἔτσι, σύμφωνα μὲ τὸν ὅρον, ποὺ ἔθετε, ἐνεργοῦσε ὅλον τὸν χρόνον. Μόλις ἐτελείωνεν ὁ χρόνος μὲ τὴν ἄσκησιν αὐτήν, ἤρχιζεν ἄλλην ἄσκησιν, κατὰ τὸ ἑπόμενον ἔτος. Ἔτσι κατώρθωσε νὰ ἀποκτήση πρὸς ὅλα μίαν ἀπάθειαν καὶ νὰ νικήση εἰς ὅλα, εἰς τὰ ὁποῖα ἔβλεπε τὸν ἑαυτόν του νὰ ἐλαττώνεται (ὑστερεῖ).

8. Κάποτε ἐπεσκέφθη τὸν Ἀββᾶν Ἡσαΐαν κάποιος ἀδελφός. Ὁ Ἀββᾶς τοῦ ἔπλυνε τὰ πόδια, ἔπειτα ἔβαλε μία φούκταν φακὴν εἰς μίαν χύτραν καὶ ἤναψε φωτιάν. Μόλις ἤρχισε νὰ βράζη, ὁ Ἀββᾶς Ἡσαΐας τὴν κατέβασε. Ἀββᾶ, λέγει ὁ ἀδελφός, ἀκόμη δὲν ἐψήθηκε καλά. Ἐκεῖνος ἀπήντησε· δὲν σὲ φθάνει ὅτι εἶδες φωτιάν; Καὶ αὐτὸ εἶναι μεγάλη παρηγορία.

9. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ἔλεγεν ὅτι οἱ Πατέρες τῆς σκήτης, ἂν καὶ ἔτρωγον ψωμὶ καὶ ἁλάτι, ἐν τούτοις οὔτε εἰς αὐτὰ ἐπίεζον τὸν ἑαυτόν τους· δηλαδὴ οὔτε ἀπὸ αὐτὰ ἔτρωγαν ἀπεριόριστα καὶ δι' αὐτὸ ἦσαν ἰσχυροὶ εἰς τὴν ἐκτέλεσιν τῶν ἐντολῶν τοῦ Θεοῦ.

10. Ὁ Ἀββᾶς Κασσιανὸς διηγήθη ὅτι ὁ Ἀββᾶς Ἰωάννης, ἡγούμενος μεγάλου Κοινοβίου, ἐπεσκέφθη κάποτε τὸν Ἀββᾶν Παΐσιον, ποὺ ἔζουσεν, ἐπὶ σαράντα χρόνια, εἰς τὴν πλέον ἀπομεμακρυσμένην ἔρημον. Τὸν ἀγαποῦσε δὲ πάρα πολὺ καὶ εἶχε θάρρος ἀπέναντί του. Λέγει λοιπὸν εἰς τὸν Γέροντα· Τί κατώρθωσες μετὰ ἀπὸ τόσα χρόνια ἀναχωρητὴς (εἰς τὴν ἔρημον), ὅπου δὲν ἐνοχλεῖσαι εὔκολα ἀπὸ τοὺς ἀνθρώπους; Καὶ ἐκεῖνος ἀπήντησεν. Ἀπὸ τότε, ποὺ ἐμόνασα, οὐδέποτε μὲ εἶ-

δεν ὁ ἥλιος νὰ τρώγω. Οὔτε καὶ ἐμένα νὰ ὀργίζωμαι, εἶπε καὶ ὁ 'Αββᾶς 'Ιωάννης.

11. Κάποιος Γέροντας ἐμόναζεν εἰς τὸ Κοινόβιον τοῦ 'Αγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου, καὶ ἐπὶ τριάντα χρόνια ἐφήρμοζε τὸν ἑξῆς κανόνα· ἔτρωγε μόνον μίαν φορὰν τὴν ἑβδομάδα ψωμὶ καὶ νερὸ εἰργάζετο συνεχῶς καὶ οὐδέποτε ἔβγαινεν ἔξω ἀπὸ τὴν 'Εκκλησίαν.

12. Ἔλεγον διὰ τὸν 'Αββᾶν Μακάριον, ὅτι ἂν κάποτε τοῦ ἐδίδετο ἡ εὐκαιρία νὰ φάγῃ μαζὶ μὲ τοὺς ἀδελφούς, ἔθετε τὸν ἑξῆς ὅρον εἰς τὸν ἑαυτόν του· ἂν εὑρεθῇ κρασί, νὰ τὸ πίνῃς χάριν τῶν ἀδελφῶν· διὰ κάθε ὅμως ποτήριον οἴνου, δὲν θὰ πίνῃς μίαν ὁλόκληρον ἡμέραν νερόν. Οἱ ἀδελφοὶ λοιπὸν χάριν ἀναπαύσεως τοῦ ἔδιδαν οἶνον καὶ ὁ Γέροντας τὸν ἔπινε μὲ χαράν, διὰ νὰ βασανίσῃ τὸν ἑαυτόν του.

'Ο μαθητής του ὅμως, ποὺ ἐγνώριζε τὴν περίπτωσιν, ἔλεγεν εἰς τοὺς ἀδελφούς:

— Πρὸς Θεοῦ! Μὴ τοῦ δίδετε κρασί· διότι διαφορετικά, θὰ βασανίζῃ τὸν ἑαυτόν του εἰς τὸ κελλίον.

Μόλις ἔμαθαν αὐτὸ οἱ ἀδελφοί, οὐδέποτε πλέον τοῦ προσέφεραν οἶνον.

13. Διὰ τὸν 'Αββᾶν Μᾶρκον τὸν ἀναχωρητὴν ἔλεγον ὅτι ἐπὶ ἑξήκοντα τρία χρόνια ἔκανε τὴν ἑξῆς πνευματικὴν ἐργασίαν: ὅλην τὴν ἑβδομάδα ἐνήστευεν, ὥστε νὰ νομίζουν μερικοί, ὅτι ἦτο ὑπεράνθρωπος· εἰργάζετο νύκτα καὶ ἡμέραν καὶ ὅσα ἐκέρδιζε ἀπὸ τὴν ἐργασίαν του τὰ ἔδιδεν εἰς τοὺς πτωχούς· οὐδέποτε δὲ ἐπῆρεν ἀπὸ κάποιον κάτι. Εἰς αὐτούς, ποὺ τοῦ ἔδιδαν, ἔλεγεν· δὲν ἔχω ἀνάγκην νὰ πάρω τίποτε, μὲ τρέφει τὸ ἐργόχειρόν μου, καθὼς καὶ ἐκείνους, ποὺ ἔρχονται κοντά μου διὰ τὸν Θεόν.

14. Κάποιος μαθητὴς διηγήθη διὰ τὸν 'Αββᾶν του, ὅτι ἐπὶ εἰκοσιτρία ὁλόκληρα χρόνια δὲν ἔπεσεν εἰς τὸ κρεββάτι νὰ κοιμηθῇ, ἀλλ' εἰς τὸ κάθισμα, ποὺ εἰργάζετο, ἐκεῖ ἐκοιμᾶτο καθιστός. Ἔτρωγε δὲ κάθε δύο ἢ τέσσαρας, ἢ καὶ πέντε ἡμέρας εἰς ὅλα αὐτὰ τὰ χρόνια· ἐνῷ δὲ ἔτρωγε, τὸ ἕνα χέρι τὸ εἶχεν ὑψωμένον διὰ προσευχὴν καὶ μὲ τὸ ἄλλο ἔτρωγεν.

Ὅταν δὲ τὸν ἠρώτησα, εἶπεν ὁ μαθητής του, διὰ ποῖον λόγον τὸ κάμνει αὐτό, ὁ Γέροντας ἀπήντησε· φέρνω ἐμπρὸς εἰς τὰ μάτια μου τὴν κρίσιν τοῦ Θεοῦ καὶ δὲν ἠμπορῶ νὰ ἡσυχάσω.

Κάποτε λοιπόν, συνέχισεν ὁ μαθητής, ἐβγῆκεν ὁ Γέροντας ἔξω εἰς τὴν αὐλὴν καὶ μὲ εὑρῆκε νὰ κοιμᾶμαι· τότε ἐστάθη ἀπὸ ἐπάνω μου καὶ ἔκλαυσε καὶ ἔλεγεν θρηνολογῶν· ἄραγε ποῦ εὑρίσκεται ὁ λογισμός του καὶ κοιμᾶται ἔτσι ἀμέριμνα;

15. Ἄλλος Γέροντας ἠσκήτευεν εἰς μακρυνὴν ἔρημον καὶ κάποιος ἀδελφός, ποὺ τὸν ἐπεσκέφθη, τὸν εὑρῆκε ἄρρωστον. Τὸν ἔπλυνε λοιπὸν καὶ ἀπὸ τὰ πράγματα, ποὺ ἔφερε μαζί του, τοῦ ἐμαγείρευσεν ὀλίγον φαγητὸν καὶ τοῦ ἔφερε νὰ φάγῃ.

Ὁ Γέροντας τότε τοῦ λέγει:

— Πραγματικά, ἀδελφέ, ἐξέχασα ὅτι οἱ ἄνθρωποι ἔχουν αὐτὴν τὴν ἀνάπαυσιν τοῦ φαγητοῦ.

Ὁ ἐπισκέπτης τοῦ προσέφερε καὶ ἕνα ποτήρι κρασί. Ὁ Γέροντας μόλις τὸ εἶδε ἔκλαυσε καὶ εἶπε:

— Δὲν ἐπερίμενα ὥσπου νὰ ἀποθάνω ὅτι θὰ ἔπινα κρασί.

—16. Κάποιος ἀδελφὸς διηγεῖτο· Ἐγνώρισε ἕνα Γέροντα ὁ ὁποῖος ἠσκήτευεν εἰς ὄρος ὑψηλὸν καὶ δὲν ἐδέχετο νὰ πάρῃ τίποτα ἀπὸ κανένα. Εἶχεν ὀλίγον νερὸν καὶ ἐπεριποιεῖτο τὸν μικρόν του λαχανόκηπον καὶ μὲ αὐτὸν διετρέφετο ἕως πενήντα χρόνια, χωρὶς νὰ ἐξέλθῃ καθόλου ἀπὸ τὸν φράκτην τοῦ κελλίου του.

Ὁ Γέροντας αὐτὸς ἔγινε ὀνομαστός, διὰ τὰς πολλὰς θεραπείας, ποὺ ἔκανε συνεχῶς εἰς αὐτοὺς οἱ ὁποῖοι τὸν ἐπεσκέπτοντο.

Τώρα αὐτὸς ἀπέθανε ἐν εἰρήνῃ καὶ ἄφησεν εἰς τὸν τόπον ἐκεῖνον πέντε μαθητάς.

17. Ἕνας Γέροντας εἶπεν· εἶδα μὲ τὰ μάτια μου, εἰς αὐτὴν τὴν ἔρημον, Γέροντας, ποὺ ἔζησαν ἐδῶ ἐπὶ ἑβδομήντα χρόνια, καὶ δὲν ἔτρωγαν τίποτε ἄλλο παρὰ μόνον χόρτα καὶ χουρμάδες.

18. Διηγοῦντο δι' ἕνα μεγάλον Γέροντα, ποὺ ἠσκήτευεν εἰς τὴν Λαύραν τοῦ Ἀββᾶ Πέτρου, ὅτι παρέμεινεν εἰς τὸν σπήλαιόν του ἐπὶ πενῆντα χρόνια, καὶ οὔτε οἶνον ἤπιε, οὔτε ἄρτον ἔφαγε, παρὰ μόνον πίτουρα καὶ αὐτὰ τρεῖς φορὰς τὴν ἑβδομάδα.



ΥΠΟΘΕΣΙΣ ΙΖ'

Πράξεις διάφοροι Πατέρων Ἁγίων εἰς ὑπομονὴν διεγείρουσαι τὴν ἡμετέραν ἀσθένειαν καὶ τῇ ὑπερβολῇ διδάσκουσαι ἡμῖν τὴν ταπείνωσιν.

Διάφοροι πράξεις Ἁγίων Πατέρων, αἱ ὁποῖαι προτρέπουν ἡμᾶς τοὺς ἀδυνάτους νὰ κάμνωμεν ὑπομονὴν καὶ μὲ ὑπερβολὴν μᾶς διδάσκουν τὴν ταπείνωσιν.

Α'. Παλλαδίου

Ο ΜΕΓΑΣ Μακάριος ὁ Ἀλεξανδρεὺς οὐ μιᾷ ἀσκήσει, ἀλλὰ διαφόροις ἐχρήσατο· εἴ τι γὰρ ἔργον ἀσκήσεώς τινα τῶν ἀγωνιστῶν πεποιηκότα ἀκήκοε, τοῦτο οὐ μόνον κατορθῶσαι, ἀλλὰ καὶ ὑπερβῆναι ἐσπούδασεν. Ἀκούσας οὖν παρά τινος, ὅτι οἱ Ταβεννησιῶται διὰ πάσης τῆς τεσσαρακοστῆς ἐσθίουσιν ἄπυρον, ἔκρινεν αὐτῷ ἐπὶ ἑπταετίαν τοῦ πυρὸς χρῆσιν ἀρνήσασθαι· ἤσθιε δὲ λάχανα ὠμὰ καὶ εἴ ποτέ τι παρεῦρεν ὀσπρίου βρεκτοῦ.

2. Εἶτα ἤκουσε παρά τινος ἄλλου, ὅτι γέρων τις λίτραν ἄρτου ἐσθίει· καὶ κλάσας τὸ βουκέλλατον, ὃ εἶχεν, ἐνέβαλεν εἰς κεράμιον, κρίνας τοσοῦτον καθ' ἑκάστην ἐσθίειν, ὅσον ἂν ἡ χεὶρ ἀνενέγκῃ. Διηγεῖτο οὖν ἡμῖν μετὰ τοῦτο χαριεντιζόμενος, ὅτι περιεδρασσόμην μὲν πλειόνων κλασμάτων, οὐ συνεχωρούμην δὲ ἐξενεγκεῖν ὑπὸ τοῦ στενοχώρου τῆς ὀπῆς τοῦ κεραμίου· τὸ γὰρ παντελῶς μὴ ἐσθίειν, ὁ τελώνης οὐ συνεχώρει μοι.

3. Ἐπὶ ἄλλα οὖν τρία ἔτη ταύτην ἤσκησε τὴν ἐγκράτειαν, τέσσαρας ἢ πέντε οὐγκίας ἄρτου ἐσθίων καὶ ἀντίρροπον τούτων πίνων ὕδωρ.

4. Ἔκρινεν οὗτος ὁ ἀδάμας ὕπνου περιγενέσθαι καί, ὡς διηγεῖτο ὕστερον, οὐκ εἰσῆλθεν ὑπὸ στέγην ὅλοις εἴκοσι νυχθημέροις, ἀλλ' ἔμενεν αἴθριος, τῷ μὲν τῆς ἡμέρας καύματι φλεγόμενος, τῇ δὲ τῆς νυκτὸς ψυχρότητι πηγνύμενος, ἵνα νικήσῃ τὸν ὕπνον. Εἰ μὴ τάχιον οὖν, φησιν, ὑπὸ στέγην εἰσῆλθον καὶ ἐχρησάμην ὕπνῳ, εἰς ἔκστασιν ἂν ἤλασα, διὰ τὸ ξηρανθῆναί μου τὸν ἐγκέφαλον. Ὅσον οὖν ἐπ' ἐμοί, φησι, τὸν ὕπνον ἐνίκησα· ὅσον δὲ ἐπὶ τῇ φύσει τῇ χρείαν ἐχούσῃ τοῦ ὕπνου, τούτῳ πάλιν ὑπήχθην, παραχωρήσας τῇ ἀνάγκῃ τῆς φύσεως.

5. Τοῦ Ἁγίου τούτου ἐν μιᾷ καθεζομένου ἐν τῇ κέλλῃ, κώνωψ τὸν αὐτοῦ πόδα ἐκέντησεν· ὁ δὲ ἀλγήσας τοῦτον τῇ χειρὶ συνέτριψεν ἤδη κορεσθέντα τοῦ αἵματος· εἶτα μεταμεληθεὶς ὡς ἑαυτὸν ἐκδικήσας καὶ τὸν λυπήσαντα ἀμυνόμενος, τοιούτῳ ἑαυτὸν ὑποβάλλει ἐπιτιμίῳ. Εἰς τὸ ἕλος τῆς σκήτεως ἀπελθών, ὃ ἐν τῇ πανερήμῳ ἐστίν, ἔνθα οἱ κώνωπες ὡς σφῆκες μεγάλοι ὄντες δύνανται τοῖς ἑαυτῶν κέντροις καὶ τὰ τῶν συάγρων περιπείρειν δέρματα, ἐκεῖ οὖν γυμνὸς καθεσθεὶς ἐπὶ μῆνας ἕξ, οὕτως ὑπ' αὐτῶν κατεβρώθη, ὡς καὶ σπονδύλους ἐξενεγκεῖν δι' ὅλου τοῦ σώματος. Καὶ ὑποστρέψας μηδὲ γνωρίζεσθαι παρὰ τῶν εἰδότων τίς ἐστιν, ὅσον ἀπὸ τῆς ὄψεως, εἰ μὴ μόνον ἀπὸ τῆς φωνῆς ἐπεγινώσκετο, ὅτι αὐτός ἐστιν ὁ Μέγας Μακάριος. Τινὲς δὲ οἱ αὐτὸν ὁρῶντες καὶ τὸ γεγονὸς ἀγνοοῦντες, ἐνόμισαν ὅτι ἐλεφαντίασεν· τοιαύτην καρτερίαν ὁ τοῦ Χριστοῦ ἀθλητὴς ἐνεδείξατο.

6. Οὗτος ἀκούσας περὶ τῶν Ταβεννησιωτῶν ὅτι μεγάλην ἔχουσι πολιτείαν, μεταμφιεσάμενος καὶ ἀναλαβὼν κοσμικὸν σχῆμα, εἰς Θηβαΐδα τε ἀνελθὼν δι' ἡμερῶν δεκαπέντε, παρεγένετο πρὸς τὸ ἀσκητήριον τῶν Ταβεννησιωτῶν, καὶ προσαγγελθῆναι περὶ αὐτοῦ ἠτεῖτο τῷ Ἀρχιμανδρίτῃ Παχωμίῳ, ἀνδρὶ προφητικῷ, ᾧ καὶ κατὰ θείαν οἰκονομίαν οὐκ ἐγνώσθη τὰ κατὰ τὸν Μακάριον τότε παρὰ τοῦ Πνεύματος. Εἰσκληθεὶς οὖν καὶ τῷ Παχωμίῳ ἐντυχών, εἶπε· δέομαί σου, Κύριε, δέξαι με εἰς τὴν μονήν σου, ἵνα γένωμαι Μοναχός. Λέγει αὐτῷ ὁ Μέγας Παχώμιος· ἤδη εἰς γῆρας ἤλασας, καὶ πῶς δυνήσῃ ἀσκεῖν; ἀδελφοὶ γάρ εἰσιν ὧδε ἀπὸ νεότητος ἀσκήσαντες καὶ τοῖς πόνοις συνανατραφέντες, οἳ καὶ φέρουσι τὸν κάματον. Σὺ δέ, ἐν τοιαύτῃ ἡλικίᾳ, οὐ δυνήσῃ ἐνεγκεῖν τοὺς τῆς ἀσκήσεως πόνους καὶ περισπασμούς, ἀλλ' ἰλιγγιάσας ὑποστρέψεις πάλιν εἰς τὸν κόσμον, καὶ ἡμᾶς μὲν κακολογήσεις, σεαυτὸν δὲ καταβλάψεις τὰ μέγιστα.

Οὐκ ἐδέξατο οὖν αὐτὸν ὁ Παχώμιος, ἀλλ' ἀπεπέμψατο· ὁ δὲ προσεκαρτέρησε τῷ πυλῶνι νῆστις ἑπτὰ ἡμέρας, καὶ μαθὼν τοῦτο ὁ Παχώμιος εἰσκαλεῖται πάλιν αὐτόν, καὶ λέγει κατὰ τὰ πρότερα· ὁ δὲ ἀπεκρίνατο· δέξαι με, Ἀββᾶ, καὶ ἐὰν μὴ νηστεύω ὡς οἱ ἀδελφοὶ καὶ ἐργάζωμαι, ᾧ ἐργάζονται, τότε κέλευσόν με ἐκριφῆναι τῆς μονῆς. Ἐδέξατο οὖν αὐτόν, καὶ συνέταξε τοῖς ἐν τῇ μονῇ (ἔστι δὲ τὸ σύστημα τῶν ἀδελφῶν τῆς μονῆς ἐκείνης χίλιοι τετρακόσιοι ἄνδρες ἄχρι τῆς σήμερον), εἶτα παρελθόντος ὀλίγου καιροῦ ἐπέστη ἡ τεσσαρακοστή.

Εἶδεν οὖν ὁ γέρων τοὺς ἀδελφοὺς διαφόρους πολιτείας ἀναλαμβάνοντας, καὶ τὸν μὲν ἐσθίοντα ἐν ἑσπέρᾳ, ὡς σύνηθες, τὸν δὲ διὰ δύο, τὸν δὲ διὰ πέντε, ἄλλον ἑστῶτα διὰ πάσης νυκτός, τῇ δὲ ἡμέρᾳ καθεζόμενον εἰς ἔργον, καὶ ἄλλον ἄλλο εἶδος ἀσκήσεως ἐπιτηδεύοντα, ὡς ἡ προθυμία ἑκάστῳ ὑπέβαλλε καὶ ἡ δύναμις. Αὐτὸς δὲ βρέξας τοὺς ἐκ φοινίκων θαλλοὺς εἰς πλῆθος, ἔστη ἐν γωνίᾳ μιᾷ καὶ μέχρις οὗ ἡ τεσσαρακοστὴ διῆλθε καὶ τὸ Πάσχα παραγέγονεν, οὐκ ἄρτου ἐγεύσατο, οὐχ ὕδατος, οὐ γόνυ ἔκαμψεν, οὐκ ἐκάθισεν, οὐκ ἐνέπεσεν, οὐδαμῶς ἄλλου ἐγεύσατο, εἰμὴ κράμβης φύλλων ὠμῶν ὀλίγων κατὰ Κυριακήν, καὶ τοῦτο, οἶμαι, ἵνα δόξῃ ἐσθίειν καὶ μὴ εἰς οἴησιν ἐκπέσῃ. Οὐκ ἐλάλησε πρός τινα λόγον, οὐ μικρόν, οὐ μέγαν, ἀλλ' ἵστατο σιωπῶν, καὶ ἑαυτῷ μὲν προσέχων καὶ τῇ καρδίᾳ ἀδιαλείπτως προσομιλῶν τῷ Θεῷ καὶ προσευχόμενος, ταῖς δὲ χερσὶ τοὺς θαλλοὺς πλέκων.

Τὴν οὖν ὑπερβολικὴν αὐτοῦ καρτερίαν οἱ ἀδελφοὶ θεασάμενοι, προσελθόντες τῷ Παχωμίῳ εἶπον· πόθεν ἡμῖν, Ἀββᾶ, ἤγαγες τοῦτον τὸν ἄσαρκον

πρὸς ἡμετέραν κατάκρισιν; ἢ οὖν ἔκβαλε τοῦτον ἐντεῦθεν, ἢ ἔσο εἰδὼς ὅτι πάντες ἡμεῖς διαχωριζόμεθά σου σήμερον. Ὁ δὲ μέγας Παχώμιος μαθὼν τὰ κατὰ τὸν ἄνδρα καὶ τὴν ὑπὲρ ἄνθρωπον αὐτοῦ ἄσκησιν, προσηύξατο τῷ Θεῷ ἀποκαλυφθῆναι αὐτῷ τίς ἐστιν οὗτος, ὃς τοιαύτην ὑπομονὴν ἐπεδείξατο. Ἀπεκαλύφθη οὖν αὐτῷ ὅτι οὗτός ἐστι Μακάριος ὁ Μοναχός.

Τότε προσελθὼν αὐτῷ ὁ Παχώμιος ἐκράτησε τὴν χεῖρα αὐτοῦ, καὶ εἰσάγει αὐτὸν εἰς τὸ εὐκτήριον· καὶ ἀσπασάμενος αὐτὸν λέγει· δεῦρο, καλόγηρε· σὺ εἶ Μακάριος, καὶ ἵνα τί ἀπέκρυψας ἀπ' ἐμοῦ; Ἐκ πολλῶν σε ἐτῶν ἐπεθύμουν ἰδεῖν ἀκούων τὰ περὶ σοῦ· χάριν σοι ἔχω ὅτι ἐκονδύλισας τὰ παιδία μου, ἵνα μὴ μέγα φρονῶσιν ἐπὶ τῇ ἑαυτῶν ἀσκήσει· παρακαλῶ οὖν σε λοιπόν, ἄπελθε εἰς τὸν τόπον σου· αὐτάρκως γὰρ ᾠκοδόμησας ἡμᾶς, καὶ εὔχου ὑπὲρ ἡμῶν. Τότε ἀξιωθεὶς ὑπ' αὐτοῦ καὶ τῶν ἀδελφῶν ἀνεχώρησε καὶ ἦλθεν εἰς τὸ κελλίον αὐτοῦ.

7. Διηγήσατό μοι οὗτος ὁ οὐράνιος ἄνθρωπος, ὅτι ἠθέλησά ποτε πέντε ἡμέρας τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ ἀπερίσπαστον ποιῆσαι, καὶ μηδὲν ὅλως ὑλικὸν ἐννοῆσαι, ἀλλ' ἐκείνῳ προσανασχεῖν καὶ ταῖς ὑπερκοσμίαις θεωρίαις ἐνατενίζειν. Τοῦτο οὖν κρίνας ἐν ἑαυτῷ, ἀπέκλεισά μου τὴν κέλλαν καὶ ἔξωθεν τὴν αὐλήν, ὥς τε μὴ δοῦναι τινὶ ἐλθόντι ἀπόκρισιν, καὶ ἔστην ἀρξάμενος ἀπὸ τῆς δευτέρας, παραγείλας μου τῷ νῷ καὶ εἰπὼν αὐτῷ. Βλέπε, μὴ κατέλθῃς τῶν οὐρανῶν· ἔχεις ἐκεῖ Ἀγγέλους, Ἀρχαγγέλους, τὰς ἄνω πάσας Δυνάμεις, τὰ Χερουβίμ, τὰ Σεραφίμ, τὸν Θεὸν τὸν πάντων ποιητήν· ἐκεῖ διάτριβε, μὴ κατέλθῃς ὑποκάτω τοῦ οὐρανοῦ, μὴ ἐμπέσῃς εἰς ὑλικοὺς λογισμούς.

Διαρκέσας οὖν ἐν τούτοις ἡμέρας δύο, φησίν, οὕτω παρώξυνα τὸν δαίμονα, ὡς γενέσθαι τοῦτον φλόγα πυρὸς καὶ κατακαῦσαί μου πάντα τὰ ἐν τῷ κελλίῳ ἐπὶ τοσοῦτον, ὡς καὶ τὸν ψίαθον ἐφ' ὃν εἱστήκειν ἐμπρῆσαι. Κἀμὲ λοιπὸν νομίσαντα καὶ ἑαυτὸν ἐμπίπρασθαι καὶ φοβηθέντα, ἀποστῆναι τῇ τρίτῃ ἡμέρᾳ τῆς ὑπερκοσμίου θεωρίας ἐκείνης, καὶ πρὸς τὴν τοῦ κόσμου τούτου κατελθεῖν θεωρίαν καὶ ὑλικὰς ἐννοίας ἀναλαβεῖν, ἵνα μὴ τὸ πρᾶγμα λογισθῇ μοι εἰς τῦφον.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Μακάριος ὁ Ἀλεξανδρινὸς δὲν ἐξετέλεσε μόνον μίαν ἄσκησιν, ἀλλὰ διαφόρους· ἂν δηλαδὴ ἤκουεν, ὅτι κάποιος ἀγωνιστὴς ἐπραγματοποιοῦσε μίαν ἄσκησιν, ἐφρόντιζεν ὄχι μόνον νὰ τὴν κατορθώσῃ, ἀλλὰ καὶ νὰ τὴν ὑπερβῇ. Ὅταν, λοιπὸν ἔμαθεν ἀπὸ κάποιον, ὅτι οἱ Ταβεννησιῶται* τρώγουν καθ' ὅλην τὴν τεσσαρακοστὴν ἀμαγείρευτον φαγητόν, ἐπέβαλλεν εἰς τὸν ἑαυτόν του νὰ μὴ χρησιμοποιήσῃ φωτιάν, διὰ φαγητόν, ἐπὶ ἑπτὰ ἔτη· ἔτρωγε δὲ ὠμὰ λάχανα, καὶ ἂν εὕρισκε καμμιὰ φορὰ κανένα βρεγμένον ὄσπριον.

2. Κατόπιν ἐπληροφορήθη ἀπὸ κάποιον ἄλλον, ὅτι κάποιος Γέροντας τρώγει μόνον μίαν λίτραν** ἄρτου· τότε ἀφοῦ ἔσπασε τὸ βουκέλ-

---

* Βλέπε ὑποσημείωσιν σελίδος 10 τοῦ ἀνὰ χεῖρας τόμου.

** Ἡ ρωμαϊκὴ λίτρα ἰσοῦτο πρὸς 320 γραμμάρια περίπου. Ὑποδιῃρεῖτο δὲ ἑκάστη λίτρα εἰς 12 οὐγκίας (Βλέπε ὑποσ. σελ. 52 τοῦ ἀνὰ χεῖρας τόμου).

λατον, ποὺ εἶχε, ἔβαλε ψωμὶ εἰς μίαν στάμναν καὶ ἀπεφάσισε νὰ τρώγῃ καθημερινῶς τόσον, ὅσον θὰ ἠμποροῦσε νὰ βγάλῃ ἀπὸ μέσα τὸ χέρι του. Μᾶς διηγεῖτο λοιπὸν χαριεντιζόμενος, ὅτι ἔπιανα περισσότερα κομμάτια, δὲν ἠμποροῦσα ὅμως νὰ τὰ βγάλω, ἐπειδὴ τὸ στόμιον τῆς στάμνας ἦτο στενόν· διότι αὐτὸς ὁ τελώνης, ἡ ἀδυναμία τῆς σαρκὸς δηλαδή, δὲν μὲ ἄφηνε νὰ μὴ τρώγω τελείως.

3. Ἔπειτα ἐπὶ ἄλλα τρία χρόνια ἐπέβαλεν εἰς τὸν ἑαυτόν του αὐτὴν τὴν ἐγκράτειαν· ἔτρωγε τέσσαρας ἕως πέντε οὐγκίας ἄρτου* καὶ ἔπινε τὸ ἀνάλογον νερόν.

4. Αὐτὸς λοιπὸν ὁ ἀδαμάντινος ἀσκητὴς ἀπεφάσισε νὰ νικήσῃ καὶ τὸν ὕπνον· ὅπως δὲ διηγεῖτο ἀργότερα, ἐπὶ εἰκοσιτέσσαρα ὁλόκληρα ἡμερόνυκτα δὲν εἰσῆλθεν εἰς τὸ κελλί του, ἀλλὰ παρέμεινεν εἰς τὸ ὕπαιθρον, ὅπου ἐφλογίζετο ἀπὸ τὴν ὑπερβολικὴν ζέστην τῆς ἡμέρας καὶ ἐπάγωνεν ἀπὸ τὸ ψῦχος τῆς νυκτός**, διὰ νὰ νικήσῃ τὸν ὕπνον. Ἂν δὲν ἀπεφάσιζα γρήγορα, —εἶπε— νὰ εἰσέλθω κάτω ἀπὸ τὴν στέγην τοῦ κελλίου μου, θὰ ἐπαραφρονοῦσα, διότι θὰ ἐξηραίνετο ὁ ἐγκέφαλός μου. Ὅσον, λοιπόν, ἠμποροῦσα —συνέχισε νὰ λέγῃ— ἐνίκησα τὸν ὕπνον· ὑπετάγην, πάλιν, εἰς τὸν ὕπνον τόσον, ὅσον ἦτο ἀπολύτως ἀπαραίτητος διὰ τὴν ἀνάγκην τῆς φύσεως, καὶ χάριν αὐτῆς τῆς φυσικῆς ἀνάγκης ἐπέτρεψα εἰς τὸν ἑαυτόν μου νὰ κοιμᾶται ὀλίγον.

5. Κάποτε αὐτὸς ὁ Ἅγιος ἐκάθητο εἰς τὸ κελλί του καὶ ἕνα κουνούπι τὸν ἐτσίμπησεν εἰς τὸ πόδι του. Ἐκεῖνος ἐπόνεσε, καὶ ἐσκότωσε, μὲ τὸ χέρι του, τὸ κουνούπι, ἀφοῦ εἶχε χορτάσει μὲ αἷμα. Ἔπειτα, ἐπειδὴ μετενόησε, διότι ἐκδικήθηκε τὸ κουνούπι ποὺ τὸν ἠδίκησε μὲ τὸ τσίμπημα, ἐπέβαλεν εἰς τὸν ἑαυτόν του τὸ ἑξῆς ἐπιτίμιον: Ἐπῆγε μέσα εἰς τὴν πανέρημον, ὅπου εὑρίσκονται τὰ ἕλη τῆς σκήτης· ἐκεῖ εἰς τὰ στάσιμα βρωμόνερα τὰ κουνούπια εἶναι μεγάλα ὡσὰν σφῆκες καὶ ἠμποροῦν, μὲ τὸ κεντρί των, νὰ τρυπήσουν ἀκόμη καὶ τὰ δέρματα τῶν ἀγριοχοίρων. Ἐκεῖ, λοιπόν, παρέμεινε γυμνός, ἐπὶ ἕνα ἑξάμηνον καὶ τόσον πολὺ τὸν κατέφαγον τὰ κουνούπια, ὥστε εἰς ὁλόκληρον τὸ σῶμα του ἔβγαλεν ἐξανθήματα, ὡσὰν ρόζους χονδρά. Ὅταν δὲ ἐπέστρεψεν εἰς τὸ κελλί του, τόσον πολὺ εἶχε παραμορφωθῆ, ὥστε δὲν τὸν ἀνεγνώριζαν οὔτε ἐκεῖνοι, ποὺ τὸν ἐγνώριζαν καλά. Ἀνεγνώρισαν δὲ τὸν Μέγαν Μακάριον ὄχι ἀπὸ τὸ πρόσωπον, ἀλλὰ ἀπὸ τὴν φωνήν. Ἄλλοι, πάλιν, ποὺ τὸν ἔβλεπαν, καὶ ἀγνοοῦσαν τὸ γεγονός, ἐνόμιζαν, ὅτι εἶχε προσβληθῆ ἀπὸ ἐλεφαντίασιν**. Τόσον μεγάλην καρτερίαν ἐπέδειξεν ὁ ἀθλητὴς τοῦ Χριστοῦ.

---

* Ἡ οὐγκία ἦτο μέτρον βάρους καὶ ἰσοδυναμοῦσε πρὸς 27 γραμμάρια περίπου.

** Βλέπε ὑποσημείωσιν σελίδος 676 τοῦ Α' τόμου.

*** Ἐλεφαντιάζω = παθαίνω ἐλεφαντίασιν. Ἡ ἐλαφαντίασις εἶναι νόσος τοῦ

6. Ὁ ἴδιος αὐτὸς Μακάριος, ὅταν ἐπληροφορήθη διὰ τοὺς Ταβεννησιώτας, ὅτι ἔχουν μεγάλην αὐστηρότητα εἰς τὴν ζωήν των, ἀφοῦ ἄλλαξεν ἐνδύματα καὶ ἔγινεν ὡσὰν κοσμικός, ἐβάδισεν ἐπὶ δεκαπέντε ἡμέρας καὶ ἀνέβηκεν εἰς Θηβαΐδα. Μόλις ἔφθασεν εἰς τὸ Μοναστήριον τῶν Ταβεννησιωτῶν, ἐζήτησε νὰ εἰδοποιήσουν, διὰ τὸν ἐρχομόν του, τὸν Ἀρχιμανδρίτην Παχώμιον, ποὺ ἦτο ἄνθρωπος μὲ προφητικὸν χάρισμα· κατὰ θείαν ὅμως οἰκονομίαν, τὸ Πνεῦμα δὲν τοῦ ἐφανέρωσεν τὴν περίπτωσιν τοῦ Μακαρίου.

Ἀφοῦ, λοιπόν, τὸν ἐκάλεσαν μέσα εἰς τὸ Μοναστήριον καὶ συνήντησε τὸν Παχώμιον, τοῦ εἶπε:

— Σὲ παρακαλῶ, Κύριέ μου, νὰ μὲ δεχθῇς εἰς τὸ Μοναστήρι σου, διὰ νὰ γίνω Μοναχός.

— Σὺ ἐγήρασας πλέον, τοῦ ἀπαντᾷ ὁ Μέγας Παχώμιος, καὶ πῶς θὰ ἠμπορέσῃς νὰ ἀσκητεύσῃς; Ἐδῶ εὑρίσκονται ἀδελφοί, ποὺ ἔχουν ἐπιδοθῆ εἰς τὴν ἄσκησιν ἀπὸ τὴν νεότητά των, ἔχουν τραφῆ μαζὶ μὲ τοὺς κόπους καὶ οἱ ὁποῖοι ἀντέχουν εἰς τὴν σκληρότητα τῆς ἀσκήσεως· σὺ ὅμως, εἰς αὐτὴν τὴν ἡλικίαν, δὲν θὰ ἠμπορέσῃς νὰ ἀντέξῃς εἰς τοὺς κόπους καὶ τὰς ἀπασχολήσεις τῆς ἀσκήσεως, ἀλλὰ θὰ ἀπελπισθῇς καὶ θὰ ἐπιστρέψῃς πάλιν εἰς τὸν κόσμον, ὅπου καὶ μᾶς θὰ κακολογήσῃς καὶ τὸν ἑαυτόν σου θὰ βλάψῃς πάρα πολύ.

Δὲν τὸν ἐδέχθη λοιπὸν ὁ Παχώμιος, ἀλλὰ τὸν ἔστειλεν ὀπίσω. Ὁ Μακάριος ὅμως δὲν ἔφυγεν, ἀλλὰ παρέμενε νηστικὸς ἐπὶ ἑπτὰ ἡμέρας ἔξω ἀπὸ τὴν Πύλην τοῦ Μοναστηριοῦ. Μόλις τὸ ἔμαθεν αὐτὸ ὁ Παχώμιος τὸν καλεῖ πάλιν μέσα καὶ τοῦ ἐπανέλαβε τὰ προηγούμενα.

Τότε καὶ ὁ Μακάριος τοῦ εἶπε:

— Σὲ παρακαλῶ νὰ μὲ δεχθῇς, Ἀββᾶ, καὶ ἂν δὲν νηστεύω, ὅπως οἱ ἀδελφοί, καὶ ἂν δὲν ἐργάζωμαι ὅπως ἐκεῖνοι, τότε διάταξε νὰ μὲ πετάξουν ἔξω ἀπὸ τὸ Μοναστήρι.

Κατόπιν αὐτοῦ τὸν ἐδέχθη καὶ τὸν κατέταξεν εἰς τοὺς Μοναχοὺς τοῦ Μοναστηρίου (ἐκεῖνο δὲ τὸ Μοναστήρι ἔχει, μέχρι σήμερα, χιλίους τετρακοσίους Μοναχούς). Μετὰ μικρὸν διάστημα ἔφθασεν ἡ Μεγάλη Τεσσαρακοστή.

Εἶδε λοιπὸν ὁ Γέροντας τοὺς ἀδελφοὺς νὰ ἐπιδίδωνται εἰς διαφόρους ἀσκήσεις· καὶ ἄλλος μὲν νὰ τρώγῃ τὸ βράδυ, ὅπως ἦτο συνηθισμένον, ἄλλος κάθε δύο ἡμέρας, ἄλλος κάθε πέντε, ἄλλος νὰ ἀγρυπνῇ ὄρθιος ὁλόκληρον τὴν νύκτα καὶ τὴν ἡμέραν νὰ ἀπασχολῆται εἰς τὴν ἐργασίαν, καὶ ἄλλος τέλος, νὰ ἐπιδίδεται εἰς ἄλλο εἶδος ἀσκήσεως, ἀνάλογα μὲ τὴν προθυμίαν καὶ τὴν δύναμίν του. Τότε καὶ αὐτός, ἀφοῦ ἔβρεξεν ἀρκετὰ βλαστάρια φοινίκων ἐκάθισεν εἰς μίαν γωνίαν τοῦ Μο-

---

δέρματος, ὁμοιάζουσα μὲ τὴν λέπραν, ἀπὸ τὴν ὁποίαν τὸ δέρμα φουσκώνει καὶ γίνεται χονδρὸν καὶ μὲ πτυχάς, ὅπως τὸ δέρμα τοῦ ἐλέφαντος.

ναστηριοῦ καὶ μέχρις ὅτου ἐπέρασεν ἡ Τεσσαρακοστὴ καὶ ἔφθασε τὸ Πάσχα δὲν ἔφαγε καθόλου ψωμί, δὲν ἤπιε νερό, δὲν ἐλύγισε τὸ γόνατόν του, δὲν ἐκάθισεν, οὔτε ἐπλάγιασε, δὲν ἔφαγε τίποτε ἄλλο, παρὰ μόνον, κάθε Κυριακήν, ἔτρωγεν ὀλίγα ὠμὰ λαχανόφυλλα (καὶ αὐτό, κατὰ τὴν γνώμην μου, τὸ ἔκανε, διὰ νὰ φανῇ ὅτι τρώγει καὶ νὰ μὴ πέσῃ εἰς ὑπερηφάνειαν). Δὲν ὡμίλησεν εἰς κανένα, μικρὸν ἢ μεγάλον, ἀλλὰ ἐστέκετο σιωπηλός, ἐπρόσεχε τὸν ἑαυτόν του καὶ συνωμιλοῦσε συνεχῶς, διὰ τῆς προσευχῆς, μέσα εἰς τὴν καρδίαν του μὲ τὸν Θεόν, ἐνῷ μὲ τὰ χέρια του ἔπλεκε τὰ βλαστάρια τῶν φοινίκων.

Ὅταν λοιπὸν εἶδαν οἱ ἀδελφοὶ αὐτὴν τὴν ὑπερβολικὴν καρτερικότητα, προσῆλθαν εἰς τὸν Παχώμιον καὶ τοῦ εἶπαν:

— Ἀββᾶ, ἀπὸ ποῦ μᾶς ἔφερες αὐτὸν τὸν ἄσαρκον, διὰ νὰ εἶναι δι' ἡμᾶς, μὲ τὴν ἄσκησίν του, ζῶσα κατάκρισις; Ἢ λοιπὸν διῶξε τον ἀπ' ἐδῶ, ἢ μάθε ὅτι ὅλοι ἡμεῖς χωριζόμεθα ἀπὸ σὲ σήμερον.

Τότε ὁ Μέγας Παχώμιος, καθὼς ἔμαθε διὰ τὸν ἄνδρα καὶ τὴν ὑπεράνθρωπον ἄσκησίν του, προσηυχήθη εἰς τὸν Θεὸν νὰ τοῦ φανερώσῃ ποῖος εἶναι αὐτός, ποὺ ἔδειξεν τέτοιαν ὑπομονήν. Ὁ Θεὸς λοιπὸν τοῦ ἐφανέρωσε ὅτι αὐτὸς εἶναι ὁ Μοναχὸς Μακάριος.

Ἀμέσως τὸν ἐπλησίασεν ὁ Παχώμιος, τὸν ἐπῆρεν ἀπὸ τὸ χέρι καὶ τὸν ὡδήγησεν μέσα εἰς τὸν Ναόν. Ἐκεῖ, ἀφοῦ τὸν ἠσπάσθη, τοῦ λέγει:

— Ἔλα, καλόγηρε, σὺ εἶσαι ὁ Μακάριος· διατὶ μοῦ τὸ ἀπέκρυψες; Ἀπὸ πολλὰ χρόνια, καθὼς ἤκουα διὰ σέ, ἐπιθυμοῦσα νὰ σὲ γνωρίσω. Σοῦ χρεωστῶ χάριν, διότι ἐταπείνωσες τὰ παιδιά μου, διὰ νὰ μὴ ὑπερηφανεύωνται διὰ τὴν ἄσκησίν των. Σὲ παρακαλῶ λοιπὸν τώρα πήγαινε εἰς τὸν τόπον σου, διότι ἀρκετὰ συνετέλεσες εἰς τὴν πνευματικήν μας οἰκοδομὴν καὶ νὰ προσεύχεσαι δι' ἡμᾶς.

Τότε, ἀφοῦ τὸν ἐτίμησαν κατ' ἀξίαν οἱ ἀδελφοί, ἀνεχώρησε καὶ ἦλθε πάλιν εἰς τὸ κελλί του.

7. Ὁ οὐράνιος αὐτὸς ἄνθρωπος μοῦ διηγήθη τὰ ἑξῆς: Κάποτε ἠθέλησα νὰ μὴ ἀπομακρύνω τὸν νοῦν μου ἐπὶ πέντε ἡμέρας ἀπὸ τὸν Θεὸν καὶ νὰ μὴ σκεφθῶ τίποτε τὸ ὑλικόν, ἀλλὰ νὰ κρατήσω εἰς Ἐκεῖνον συγκεντρωμένην τὴν σκέψιν μου καὶ νὰ ἔχω γυρισμένα τὰ μάτια τῆς ψυχῆς μου πρὸς τὰς ὑπερκοσμίους θεωρίας. Ἀφοῦ λοιπὸν τελικῶς τὸ ἀπεφάσισα, ἔκλεισα τελείως τὸ κελλί μου καὶ τὴν αὐλήν, ἀπὸ ἔξω, ὥστε νὰ μὴ ἠμπορῶ νὰ ἀποκριθῶ σὲ κανέναν, ἐὰν ἤρχετο, καὶ ἤρχισα τὴν προσπάθειαν ἀπὸ τὴν Δευτέραν. Εἰς τὸν νοῦν μου παρήγγειλα καὶ εἶπα: Πρόσεχε νὰ μὴ καταβῇς καθόλου ἀπὸ τοὺς Οὐρανούς· ἔχεις ἐκεῖ Ἀγγέλους, Ἀρχαγγέλους, ὅλας τὰς Ἐπουρανίους Δυνάμεις, τὰ Χερουβείμ, τὰ Σεραφεὶμ καί, τέλος, τὸν Θεόν, τὸν Δημιουργὸν τῶν ὅλων· ἐκεῖ νὰ περάσῃς τὸν καιρόν σου, μὴ καταβῇς κάτω ἀπὸ τὸν Οὐρανόν, μὴ περιπέσῃς εἰς ὑλικοὺς λογισμούς.

Ἀφοῦ λοιπὸν παρέμεινα εἰς αὐτὰς τὰς σκέψεις —συνέχισε νὰ λέγῃ— ἐπὶ δύο ἡμέρας, τόσον πολὺ παρώξυνα τὸν δαίμονα, ὥστε νὰ μετασχηματισθῇ σὲ φλόγα πυρὸς καὶ νὰ καύσῃ τελείως ὅλα μέσα εἰς τὸ κελλί μου, ἀκόμη καὶ τὴν ψάθαν, ἐπάνω εἰς τὴν ὁποίαν ἐστεκόμην. Ἐγὼ λοιπόν, ἐπειδὴ ἐνόμισα ὅτι καὶ ὁ ἴδιος θὰ ἐκαιόμουν, ἐφοβήθηκα· δι' αὐτὸ καὶ ἀπεμακρύνθην, κατὰ τὴν τρίτην ἡμέραν, ἀπὸ ἐκείνην τὴν ὑπερκόσμιον θεωρίαν καὶ κατέβηκα εἰς τὴν θεωρίαν αὐτοῦ τοῦ κόσμου καὶ ἤρχισα νὰ σκέπτωμαι ὑλικὰ πράγματα. Ἔτσι ὅμως δὲν μοῦ ἐδόθη ἀφορμὴ νὰ ὑπερηφανευθῶ δι' αὐτὸ τὸ πρᾶγμα.

Β'. Τοῦ αὐτοῦ

ΟΡΟΣ ΕΣΤΙΝ ἐν Αἰγύπτῳ, ἀπάγον ἐπὶ τὴν σκῆτιν, ὃ καλεῖται Φέρμη· ἐν τούτῳ κάθηνται ὡς πεντακόσιοι ἄνδρες ἀσκούμενοι, ἐν οἷς ἦν καί τις ἀνὴρ Παῦλος καλούμενος, Μοναχὸς ἄριστος, ὃς παρὰ πάντα τὸν χρόνον τῆς ἀσκήσεως αὐτοῦ ταύτην ἔσχε τὴν πολιτείαν, οὐκ ἔργου ἥψατό ποτε, οὐ πραγματείας τινός, οὐκ ἔλαβέ τι παρά τινος, ἐκτὸς οὗ ἔμελλεν αὐτῇ τῇ ἡμέρᾳ ἐσθίειν, ἀλλ' ἔργον αὐτῷ διηνεκὲς ἡ ἀδιάλειπτος προσευχή. Οὗτος τετυπωμένας εἶχε ποιεῖν καθ' ἑκάστην τριακοσίας προσευχάς. Τοσαύτας οὖν ψήφους συναγαγών, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ βάλλων, δι' αὐτῶν ἐμέτρει τὰς προσευχάς, μίαν ψῆφον καθ' ἑκάστην προσευχὴν ρίπτων εἰς ἔδαφος.

Παραβαλὼν οὖν οὗτός ποτε τῷ Μεγάλῳ Μακαρίῳ τῷ λεγομένῳ Πολιτικῷ, λέγει αὐτῷ· Ἀββᾶ Μακάριε, θλίβομαι σφόδρα. Ἠνάγκασεν οὖν αὐτὸν ὁ τοῦ Θεοῦ δοῦλος Μακάριος εἰπεῖν τὴν αἰτίαν, δι' ἣν λυπεῖται· ὁ δὲ λέγει αὐτῷ· ἐν κώμῃ τινὶ παρθένος τις κατοικεῖ τριακοστὸν ἤδη ἔτος ἔχουσα ἀσκουμένη, περὶ ἧς μοι διηγήσαντο, ὅτι ἐκτὸς Σαββάτου καὶ Κυριακῆς οὐκ ἐσθίει τὸν ἅπαντα χρόνον, ἀλλὰ δι' ἡμερῶν πέντε τρεφομένη ποιεῖ καθ' ἑκάστην εὐχὰς ἑπτακοσίας. Τοῦτο οὖν μαθὼν ἐγώ, ἀπέγνων ἐμαυτῷ, ὅτι ἀνὴρ ὑπὲρ ἐκείνην τῇ ρώμῃ τοῦ σώματος δημιουργηθείς, ὑπὲρ τὰς τριακοσίας εὐχὰς ποιῆσαι οὐ δύναμαι. Λέγει αὐτῷ ὁ Ἅγιος Μακάριος· ἑξηκοστὸν ἤδη ἔτος ἔχω ἀφ' οὗ τεταγμένας εὐχὰς ἑκατὸν ποιῶν, καὶ τὰ πρὸς τροφὴν ἐργάζομαι ταῖς χερσί, καὶ τοῖς ἀδελφοῖς τὴν ὀφειλὴν τῆς συντυχίας ἀποδίδωμι, καὶ οὐ κρίνει με τὸ συνειδὸς ὡς ἀμελήσαντά ποτε, εἰ δὲ σὺ τριακοσίας εὐχὰς ποιῶν κρίνῃ ὑπὸ τῆς συνειδήσεως, δῆλος εἶ καθαρῶς μὴ εὐχόμενος, καὶ δυνάμενος πλείονα εὔχεσθαι καὶ μὴ εὐχόμενος.

Ἑ ρ μ η ν ε ί α

ΕΙΣ τὴν Αἴγυπτον ὑπάρχει ἕνα βουνό, ποὺ ὁδηγεῖ εἰς τὴν σκήτην καὶ τὸ ὁποῖον ὀνομάζεται Φέρμη. Εἰς τὸ βουνὸ αὐτὸ ζοῦν πεντακόσιοι, περίπου, ἀσκηταί· μεταξὺ αὐτῶν ἦτο καὶ κάποιος, ποὺ ὠνομάζετο Παῦλος. Αὐτός, καθ' ὅλον τὸν χρόνον τῆς ἀσκήσεως, εἶχεν αὐτὴν τὴν τακτικήν· ποτὲ δὲν ἤγγισεν ἐργασίαν, δὲν ἠσχολήθη μὲ τὴν ἀγοραπωλησίαν ἐργοχείρων, δὲν ἐπῆρε τίποτε ἀπὸ κανένα, ἐκτὸς ἀπὸ τὸ φαγητὸν τῆς ἡμέρας, ἀλλ' ἠσχολεῖτο συνεχῶς μὲ τὴν ἀδιάλειπτον προσευχήν. Εἶχε καθιερωμένον νὰ κάμνῃ τριακοσίας προσευχὰς καθημερινῶς. Ἀφοῦ

λοιπὸν ἐμάζευεν ἰσάριθμα χαλικάκια, τὰ ἔβαζεν εἰς τὸν κόλπον του καὶ μὲ αὐτὰ ἐμετροῦσε τὰς προσευχάς· ἀφοῦ ἐτελείωνε, δηλαδή, μίαν προσευχήν, ἔρριπτε καὶ ἀπὸ ἕνα χαλικάκι εἰς τὸ ἔδαφος.

Αὐτὸς λοιπὸν κάποτε ἐπεσκέφθη τὸν Μεγάλον Μακάριον, τὸν ἐπονομαζόμενον Πολιτικόν, καὶ τοῦ λέγει:

— Ἀββᾶ Μακάριε, στενοχωροῦμαι πάρα πολύ.

Τότε ὁ δοῦλος τοῦ Θεοῦ Μακάριος τὸν ἐπίεσε νὰ τοῦ εἴπῃ τὴν αἰτίαν τῆς λύπης του. Ἐκεῖνος τοῦ ἀπαντᾷ:

— Εἰς ἕνα χωρίον κατοικεῖ μία παρθένος, ποὺ ἀσκητεύει ἤδη τριάντα χρόνια· δι' αὐτὴν μοῦ διηγήθησαν, ὅτι ἐκτὸς ἀπὸ τὸ Σάββατον καὶ τὴν Κυριακὴν δὲν τρώγει τὸν ἄλλον καιρόν. Τρώγει κάθε πέντε ἡμέρας καὶ κάμνει καθημερινῶς ἑπτακοσίας εὐχάς.

Μόλις τὸ ἔμαθα αὐτὸ ἐγώ, ἀπελπίσθηκα, διότι ἂν καὶ ὡς ἄνδρας εἶμαι ἀνώτερός της εἰς τὴν σωματικὴν δύναμιν, ἐν τούτοις δὲν ἠμπορῶ νὰ κάνω περισσοτέρας ἀπὸ τριακοσίας εὐχάς.

Ἀφοῦ ἤκουσεν αὐτὰ ὁ Ἅγιος Μακάριος τοῦ λέγει:

—Ἐγώ, ἑξήντα χρόνια τώρα, ἔχω τακτικὴν καὶ κάνω ἑκατὸν εὐχὰς καὶ ἐργάζομαι, μὲ τὰ χέρια μου, διὰ νὰ ἐξοικονομήσω τὸ φαγητόν μου· ἐκπληρώνω δὲ καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς τακτικὴν ἐπικοινωνίαν, καὶ δὲν μὲ κατακρίνει ἡ συνείδησίς μου ὅτι ἀμέλησα κάποτε κάτι· ἂν λοιπὸν σύ, ἐνῷ κάμνεις τριακοσίας εὐχάς, κατακρίνεσαι ἀπὸ τὴν συνείδησίν σου, εἶναι φανερὸν πὼς δὲν προσεύχεσαι καθαρὰ καὶ ἐνῷ ἠμπορεῖς περισσότερον νὰ προσεύχεσαι, δὲν προσεύχεσαι.

Γ'. Τοῦ αὐτοῦ

ΔΩΡΟΘΕΟΣ τις ἀσκητὴς Θηβαῖος κατῴκει ἀπὸ πέντε σημείων τῆς πόλεως Ἀλεξανδρείας εἰς τὰ λεγόμενα ἐρημικά, ᾧ παρεδόθην ὑπὸ τοῦ Ἁγίου Ἰσιδώρου τοῦ πρεσβυτέρου καὶ Ξενοδόχου τῆς Ἀλεξανδρέων Ἐκκλησίας. Τούτῳ γὰρ κατ' ἀρχὰς προσῆλθον νέος ὤν, παρακαλῶν στοιχειωθῆναι ὑπ' αὐτοῦ ἐν τῷ μονήρει βίῳ· ὁ δὲ ἐξαγαγών με τῆς πόλεως, ἀπήγαγε πρὸς τὸν ἀσκητὴν Δωρόθεον, καὶ παραδοὺς αὐτῷ, ἠξίωσε τὰ τῶν Μοναχῶν με παιδεῦσαι. Μεγάλῃ δὲ ὁ γέρων σκληραγωγίᾳ συνέζη, διὰ πάσης μὲν τῆς ἡμέρας καὶ ἐν αὐτῷ τῷ καύματι τῆς μεσημβρίας ἐν τῇ ἐρήμῳ τῇ παρὰ θάλασσαν συνῆγε λίθους, καὶ τούτους οἰκοδομῶν καὶ κέλλας ποιῶν, παρεχώρει τοῖς μὴ δυναμένοις οἰκοδομῆσαι κέλλας ἑαυτοῖς δι' ἀσθένειαν. Ἐμοῦ δέ ποτε πρὸς αὐτὸν εἰρηκότος, τί ποιεῖς, Πάτερ, ἐν γήρει τοσούτῳ ἀποκτείνων σου τὸ σῶμα ἐν τῷ χαλεπῷ καύματι; ἀπεκρίθη ὁ γέρων· τοῦτο ἀποκτείνει με; ἀποκτείνω αὐτὸ κἀγώ.

Ἤσθιε δὲ καθ' ἑκάστην οὐγκίας ἓξ ἄρτου, ποτὲ δὲ καὶ λεπτολάχανα, ἔπινε δὲ ὕδατος κοτύλην. Ἐπὶ Θεοῦ μάρτυρος, οὐκ ἔγνων τοῦτον ἁπλώσαντά ποτε πόδας, οὐ καθευδήσαντα ἐξεπίτηδες ἢ ἐπὶ ψιαθίου ἢ ἐπὶ κλίνης, ἀλλὰ διὰ πάσης νυκτὸς καθήμενος ἔπλεκε σειρὰν τὴν ἐκ θαλλῶν φοινίκων εἰς λόγον τροφῆς. Ὑπολαβὼν δὲ ὅτι ἴσως ἐπ' ἐμοῦ τὴν τοιαύτην ἐνδείκνυται ἄσκησιν, ἔμαθον παρὰ τῶν εἰδότων αὐτὸν ἐξ ἀρχῆς ἀκριβῶς, οἳ αὐτῷ μαθητευθέντες λοιπὸν ἠσκοῦντο καθ' ἑαυ-

τούς, ὅτι ἐκ νεαρᾶς ἡλικίας ταύτην ἔσχε τὴν πολιτείαν, μηδέποτε κοιμηθεὶς ἐξεπίτηδες, εἰ μή που ἐν τῷ ἐργάζεσθαι ἢ ἐσθίειν ἐκάμμυε τοὺς ὀφθαλμοὺς μικρόν τι καταφερόμενος, ὥς τε πολλάκις καὶ τὸν ψωμὸν ἐκπίπτειν τοῦ στόματος ἐν τῷ καιρῷ τῆς βρώσεως ὑπερβολῇ νυσταγμοῦ.

Ἐν μιᾷ οὖν ἀναγκάζοντός μου αὐτὸν μικρὸν ἐπὶ τῆς ψιάθου πεσεῖν καὶ δυσωποῦντος θερμῶς, ἐκεῖνος λυπούμενος εἶπεν· ἐὰν πείσῃς τοὺς Ἀγγέλους κοιμηθῆναί ποτε, πείσεις ἐν τούτῳ καὶ τὸν σπουδαῖον. Ποτὲ δὲ περὶ ὥραν ἐνάτην ἀποσταλεὶς παρ᾽ αὐτοῦ, ὥς τε κομίσαι ὕδωρ ἀπὸ τοῦ φρέατος εἰς λόγον τῆς μεταλήψεως, ἐθεασάμην κάτωθεν ἐν τῷ φρέατι ἀσπίδα.

Φοβηθεὶς οὖν δρομέως ὑπέστρεψα, καὶ ἀπαγγέλλω αὐτῷ λέγων· ἀπεθάνομεν, Ἀββᾶ· εἶδον γὰρ ἐν τῷ φρέατι κάτω ἀσπίδα. Ὁ δὲ σεμνὸν ὑπομειδιάσας ἐπὶ πολύ μοι προσέσχε, καὶ σείων ἠρέμα τὴν κεφαλὴν εἶπεν· Ἐὰν δόξῃ τῷ διαβόλῳ κατὰ πᾶν φρέαρ ἐμβαλεῖν ἀσπίδας ἢ ὄφεις, ἢ χελώνας ἢ ἕτερα ἰοβόλα θηρία, σὺ μένεις μηδέποτε πίνων; Καὶ ἐξελθὼν αὐτός, καὶ παρὰ τὸ φρέαρ γενόμενος, δι᾽ ἑαυτοῦ τὸν κάδον ἐγέμισε, καὶ τὸν σταυρὸν ἐγχαράξας τῷ ὕδατι, πρῶτος αὐτὸς ἀπερρόφησε καὶ εἶπε πρός με· ὅπου σταυρὸς ἐπιφοιτᾷ, ἐκεῖ οὐδὲν ἰσχύει ἡ κακία τοῦ σατανᾶ.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀσκητὴς Θηβαῖος*, ὁ Δωρόθεος, κατοικοῦσεν εἰς τὰ ἐρημικά, πέντε σημεῖα** μακρὰν ἀπὸ τὴν Ἀλεξάνδρειαν. Εἰς αὐτὸν μὲ παρέδωσεν ὁ Ἅγιος Ἰσίδωρος ὁ πρεσβύτερος καὶ Ξενοδόχος τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας· διότι πρὸς αὐτὸν ἀρχικῶς ἦλθα, ὅταν ἤμουν νέος, καὶ τὸν παρεκάλεσα νὰ μὲ κατατάξῃ εἰς τὸν μοναχικὸν βίον. Ὁ ἅγιος Ἰσίδωρος λοιπόν, ἀφοῦ μὲ ἔβγαλε ἀπὸ τὴν πόλιν, μὲ ὡδήγησε πρὸς τὸν ἀσκητὴν Δωρόθεον· μὲ παρέδωσεν εἰς αὐτὸν καὶ τοῦ ἐζήτησε νὰ μὲ διδάξῃ τὰ καθήκοντα τῶν Μοναχῶν.

Ὁ Γέροντας Δωρόθεος ἔζουσε μὲ μεγάλην σκληραγωγίαν· ὅλην τὴν ἡμέραν καὶ μέσα εἰς αὐτὴν τὴν μεσημβρινὴν ζέστην, ἐμάζευε εἰς τὴν ἔρημον, κοντὰ εἰς τὴν θάλασσαν, πέτρας καὶ ἔκτιζε κελλία, τὰ ὁποῖα τὰ παραχωροῦσεν εἰς ἐκείνους, ποὺ δὲν ἠμποροῦσαν νὰ κτίσουν ἰδικά των ἀπὸ ἀσθένειαν. Ὅταν δὲ κάποτε τοῦ εἶπα· Πάτερ, τί κάμνεις; Εἰς τόσον γῆρας σκοτώνεις τὸ σῶμα σου εἰς αὐτὴν τὴν μεγάλην ζέστην; Ἐκεῖνος μοῦ ἀπήντησεν· αὐτὸ μὲ σκοτώνει; Θὰ τὸ σκοτώσω καὶ ἐγώ.

Ἔτρωγε δὲ καθημερινὰ ἓξ οὐγκίας ἄρτου, κάποτε δὲ καὶ ὀλίγα ἀγριόχορτα καὶ ἔπινε μίαν κοτύλην***, περίπου, νερόν.Μάρτυς μου ὁ Θεός, ἀποτὲ δὲν τὸν ἀντελήφθην νὰ ἁπλώσῃ τὰ πόδια του οὔτε νὰ πέσῃ εἰς ψάθαν ἢ τὸ κρεββάτι μὲ σκοπὸν νὰ κοιμηθῇ· ὅλην τὴν νύκτα ἐκάθητο καὶ ἔπλεκε ζεμπίλια ἀπὸ βλαστάρια φοινίκων, διὰ νὰ ἐξοικονομῇ τὴν τροφήν

---

* Βλέπε ὑποσημείωσιν τῆς σελίδος 23 τοῦ ἀνὰ χεῖρας τόμου.

** Βλέπε ὑποσημείωσιν τῆς σελ. 29 τοῦ Α΄ τόμου.

*** Ἡ ἑλληνικὴ κοτύλη, ὡς μέτρον βάρους ὑγρῶν, ἦτο ἴση περίπου μὲ τὴν ρωμαϊκὴν οὐγκίαν.

του. Ἐπειδὴ δὲ ἐνόμισα, ὅτι, ἴσως, δεικνύει τοιαύτην ἄσκησιν τώρα, ἐπειδὴ ἤμουν παρών, ἔμαθα ἀπὸ διαφόρους ἄλλους ἀσκητάς, ποὺ τὸν ἐγνώριζαν ἀπὸ τὴν ἀρχὴν πάρα πολὺ καλά, διότι ὑπῆρξαν κάποτε μαθηταί του, ὅτι ἀπὸ νέος ἀκόμη ἔτσι ἠσκήτευεν· οὐδέποτε ἐκοιμήθη κανονικά, παρὰ μονάχα ἔγερνε ὀλίγον τὴν κεφαλήν του καὶ ἔκλεινεν ἐλαφρὰ τὰ μάτια του, καθὼς εἰργάζετο ἢ ἔτρωγεν, ὥστε πολλὰς φορὰς καὶ τὸ ψωμὶ νὰ πίπτῃ ἀπὸ τὸ στόμα του, καθὼς ἐμασοῦσεν, ἀπὸ τὴν ὑπερβολικὴν ἀνάγκην ὕπνου.

Κάποτε τὸν ἐπίεζα καὶ τὸν θερμοπαρακαλοῦσα νὰ ἐξαπλώσῃ ὀλίγον ἐπάνω εἰς τὴν ψάθαν. Τότε ἐκεῖνος μοῦ εἶπε λυπημένος· ἄν, κάποτε, πείσῃς τοὺς Ἀγγέλους νὰ κοιμηθοῦν, θὰ πείσῃς ἐπ' αὐτοῦ καὶ ἐκεῖνον, ποὺ φλέγεται ἀπὸ τὸν ζῆλον νὰ τοὺς μιμηθῇ.

Κάποτε, πάλιν, μὲ ἔστειλε, κατὰ τὴν ἐνάτην ὥραν (τρίτην απογευματινὴν) νὰ φέρω νερὸν ἀπὸ τὸ πηγάδι, διὰ νὰ πίωμεν· εἶδα, τότε, μέσα εἰς τὸ πηγάδι μίαν ἀσπίδα*. Ἀπὸ τὸν φόβον μου ἐπέστρεψα τρέχων καὶ τοῦ εἶπα· Ἀββᾶ, θὰ ἀποθάνωμεν πλέον· διότι εἶδα μέσα εἰς τὸ πηγάδι μίαν ἀσπίδα. Ἐκεῖνος, μόλις τὸ ἤκουσεν, ἐχαμογέλασεν ὀλίγον, μὲ ἐκοίταξεν ἀρκετὴν ὥραν καί, ἀφοῦ ἐκίνησεν ἤρεμα τὸ κεφάλι, μοῦ εἶπεν:

—Ἐὰν φανῇ καλὸν εἰς τὸν διάβολον νὰ ρίψῃ εἰς ὅλα τὰ πηγάδια ἀσπίδας, ἢ φίδια, ἢ χελώνας, ἢ ἄλλα δηλητηριώδη ἑρπετά, σὺ θὰ σταματήσῃς νὰ πίνῃς νερόν;

Καὶ ἀφοῦ ἐβγῆκεν ἀπὸ τὸ κελλὶ καὶ ἦλθεν εἰς τὸ πηγάδι, ἐγέμισε μόνος του ἀπὸ τὸ πηγάδι τὸν κάδον, μὲ νερό, ἔκανε ἐπάνω εἰς τὸ νερὸν τὸ σημεῖον τοῦ σταυροῦ καὶ ἤπιε πρῶτος αὐτός. Ἐκεῖ ὅπου σημειώνεται ὁ σταυρὸς —μοῦ εἶπε— τίποτε δὲν ἠμπορεῖ νὰ κάνῃ ἡ κακία τοῦ σατανᾶ.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ὁ Ἀββᾶς Δανιὴλ περὶ τοῦ Ἀββᾶ Ἀρσενίου, ὅτι ποτὲ ἐκάλεσε τοὺς πατέρας μου, τόν τε Ἀββᾶν Ἀλέξανδρον καὶ τὸν Ζωΐλον, καὶ ταπεινῶν ἑαυτὸν εἶπεν αὐτοῖς· ἐπειδὴ οἱ δαίμονες πολεμοῦσί με καὶ οὐκ οἶδα εἰ κλέπτουσί με ἐν ὕπνῳ, τὴν νύκτα ταύτην κοπιάσατε μετ' ἐμοῦ καὶ τηρήσατε εἰ νυστάζω εἰς τὴν ἀγρυπνίαν. Καὶ ἐκάθισεν εἷς ἐκ δεξιῶν αὐτοῦ καὶ εἷς ἐξ εὐωνύμων ἀπὸ ὀψὲ σιωπῶντες καὶ διηγήσαντο, ὅτι ἡμεῖς μὲν ἐκοιμήθημεν καὶ ἀνέστημεν, αὐτὸν δὲ οὐκ ᾐσθάνθημεν ὅλως νυστάξαντα, εἰ μὴ μόνον ἐν τῷ πρωῒ εἴδομεν αὐτὸν φυσήσαντα τρεῖς πνοάς, καὶ εὐθέως ἀνέστη λέγων· ἐνύσταξα, ναί· ἡμεῖς δὲ ἀποκριθέντες εἴπομεν· οὐκ οἴδαμεν.

2. Διηγήσατο ὁ αὐτὸς περὶ τοῦ Ἀββᾶ Ἀρσενίου, ὅτι ὅλην τὴν νύκτα διετέλει ἀγρυπνῶν ἀεί, καὶ ὅτε ἦλθε περὶ τὸ πρωῒ διὰ τὴν φύσιν καθευδῆσαι, καθεζό-

---

* Ἡ ἀσπὶς εἶναι δηλητηριώδης ὄφις τῆς ἐρήμου, τοῦ ὁποίου τὸ δῆγμα (δάγκαμα) εἶναι θανατηφόρον.

μενος ἔλεγε τῷ ὕπνῳ· δ ε ῦ ρ ο, κ α κ ὲ δ ο ῦ λ ε· καὶ ἥρπαζε μικρὸν καὶ εὐθέως ἠγείρετο.

3. Ἔλεγεν ὁ Ἀββᾶς Ἀρσένιος, ὅτι ἀ ρ κ ε τ ὸ ν τ ῷ Μ ο ν α χ ῷ ἵ ν α κ ο ι μ ᾶ τ α ι μ ί α ν ὥ ρ α ν ἐ ὰ ν ᾖ ἀ γ ω ν ι σ τ ή ς.

4. Εἶπεν ὁ Ἀββᾶς Βησσαρίων, ὅτι τεσσαράκοντα νυχθήμερα ἔμεινα μέσον τῶν ῥάμνων στήκων καὶ μὴ κοιμώμενος, ἵνα νικήσω τὸν ὕπνον.

5. Ὁ αὐτὸς εἶπεν, ὅτι τεσσαράκοντα ἔτη οὐκ ἔθηκα ἐπὶ πλευροῦ, ἀλλὰ καθήμενος ἢ στήκων ἐκοιμώμην. Οὗτος δὲ ὁ γέρων ὡς ἕν τι τῶν ἀερίων πτηνῶν ἀταράχως καὶ ἀμερίμνως πάντα τὸν χρόνον αὐτοῦ διετέλεσε, μὴ κτησάμενός τι ἐπὶ τῆς γῆς, ἕως καὶ λεπτοτάτου τινὸς ἢ βιβλίου ἢ ἱματίου, ἐκτὸς ἑνός, καὶ τούτου διερρωγότος. Μηδὲ ὑπὸ στέγην ποτὲ εἰσελθών, ἀλλ' ἐν ἐρήμοις καὶ ἀοικήτοις τόποις αἴθριος πάντοτε διακαρτερῶν, καὶ πρὸς κρύος καὶ θάλψιν ἀπομαχόμενος, καὶ τῶν τοῦ σώματος ἀναγκῶν ὑπεράνω γενόμενος.

Εἰ δέ ποτε καὶ εἰς οἰκούμενον τόπον ἐλθὼν ἀσκητηρίῳ παρέβαλλεν, ἔξω θυρῶν ἐκάθητο κλαίων, ὡς ἐκ ναυαγίου περισωθείς· καὶ ἐρωτώμενος διατί κλαίει, ἔλεγε δι' ὃν ἀπώλεσε πλοῦτον καὶ τὴν προτέραν δόξαν τε καὶ εὐγένειαν, ὧν ἀθλίως ἐκπέπτωκεν. Ὡς δὲ καλοῦντες αὐτὸν εἰσελθεῖν εἰς τὸ Μοναστήριον καὶ τροφῆς κοινωνῆσαι αὐτοῖς οὐκ ἔπειθον, ἄρτον αὐτῷ παρέχοντες ἔλεγον· δέξαι τοῦτον, καὶ ἃ ἀπώλεσας δυνατὸς ὁ Θεὸς πάλιν σοι παρασχεῖν. Ὁ δὲ τὸν ἄρτον δεχόμενος, ἔστενε μέγα καὶ ἔλεγεν· οὐκ οἶδα εἰ εὑρεῖν δυνηθῶ ἃ ἀπώλεσα· ὅμως δὲ τοῦ ζητεῖν, ὡς ἰσχύω, οὐ παύσομαι· καὶ οὕτω ποιῶν, τὸν ἑαυτοῦ ἐτελείωσε δρόμον.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Δανιὴλ διηγήθη τὸ ἀκόλουθον περιστατικὸν διὰ τὸν Ἀββᾶν Ἀρσένιον:

Κάποτε —εἶπεν— ἐκάλεσε τοὺς πατέρας μου, τὸν Ἀββᾶν Ἀλέξανδρον καὶ τὸν Ἀββᾶν Ζωΐλον, καὶ ταπεινώνων τὸν ἑαυτόν του, τοὺς εἶπεν· ἐπειδὴ μὲ πολεμοῦν οἱ δαίμονες καὶ δὲν γνωρίζω ἂν μὲ κλέπτουν εἰς τὸν ὕπνον, σᾶς παρακαλῶ κοπιάσετε μαζί μου αὐτὴν τὴν νύκτα καὶ παρακολουθήσατε ἂν νυστάζω εἰς τὴν ἀγρυπνίαν.

Πραγματικὰ ἐκάθισαν, ἀπὸ τὸ βράδυ, ἕνας ἀπὸ τὰ δεξιά του καὶ ἕνας ἀπὸ τὰ ἀριστερά, χωρὶς νὰ ὁμιλοῦν. Κατόπιν αὐτοῦ οἱ δύο Ἀββάδες διηγήθησαν, ὅτι ἡμεῖς ἐκοιμήθημεν καὶ ἐξυπνήσαμεν, αὐτὸν ὅμως δὲν τὸν ἀντελήφθημεν καθόλου νὰ νυστάξῃ· τὸ πρωῒ μονάχα τὸν εἴδαμεν νὰ ἐκπέμπῃ τρεῖς βαθείας ἀναπνοὰς καὶ ἀμέσως ἐσηκώθη καὶ εἶπεν· Ἀσφαλῶς, ἐνύσταξα.

— Δὲν γνωρίζομεν, τοῦ ἀπαντήσαμεν.

2. Ὁ ἴδιος διηγήθη διὰ τὸν Ἀββᾶν Ἀρσένιον, ὅτι ὅλην τὴν νύκτα παρέμενε πάντοτε ἄγρυπνος καὶ ὅταν κατὰ τὸ πρωῒ ἠναγκάζετο, ἀπὸ τὴν ἀνάγκην τῆς φύσεως, νὰ κοιμηθῇ ὀλίγον, καθὼς ἐκάθητο, ἔλεγεν εἰς τὸν ὕπνον· ἔλα, κακὲ δοῦλε· ἐκοιμᾶτο ὀλίγον καὶ ἀμέσως ἐξυπνοῦσεν.

3. Ὁ Ἀββᾶς Ἀρσένιος ἔλεγεν, ὅτι εἶναι ἀρκετὸν διὰ τὸν Μοναχόν, ἂν εἶναι ἀγωνιστής, νὰ κοιμᾶται μίαν ὥραν.


4. Ὁ Ἀββᾶς Βησσαρίων εἶπεν, ὅτι ἔμεινα ὄρθιος, ἐπὶ σαράντα ἡμερόνυκτα, ἀνάμεσα εἰς ἀγκαθωτοὺς θάμνους, χωρὶς νὰ κοιμοῦμαι, διὰ νὰ νικήσω τὸν ὕπνον.

5. Ὁ ἴδιος ὁ Ἀββᾶς Βησσαρίων εἶπεν ὅτι ἐπὶ σαράντα χρόνια δὲν ἔγειρα εἰς τὸ πλευρόν, ἀλλ' ἐκοιμώμουν καθισμένος ἢ ὄρθιος. Αὐτὸς ὁ Γέροντας ἐπέρασε τὴν ζωήν του ὡσὰν πτηνόν, ποὺ πετᾶ εἰς τὸν ἀέρα, χωρὶς ταραχὴν καὶ μέριμναν· δὲν ἀπέκτησε τίποτε ἐπάνω εἰς τὴν γῆν, ἔστω καὶ κάτι ἐλάχιστον, ἢ βιβλίον, ἢ ἱμάτιον, ἐκτὸς ἀπὸ ἕνα καὶ αὐτὸ καταξεσχισμένον. Οὔτε ποτὲ εἰσῆλθε κάτω ἀπὸ στέγην, ἀλλὰ διέμενε πάντοτε εἰς τὸ ὕπαιθρον, εἰς ἐρήμους καὶ ἀκατοικήτους τόπους, ὅπου ἠγωνίζετο ἐναντίον τοῦ ψύχους καὶ τῆς ζέστης. Ἔτσι κατώρθωσε νὰ παραμείνῃ ἀνώτερος τῶν ἀναγκῶν τοῦ σώματος.

Ἂν κάποτε ἤρχετο, κατὰ τύχην, εἰς κατῳκημένον χῶρον καὶ ἐπήγαινεν εἰς κανένα ἀσκητήριον, ἐκάθητο ἔξω ἀπὸ τὴν θύραν καὶ ἔκλαιεν, ὡσὰν νὰ ἐσώθη ἀπὸ ναυάγιον. Ὅταν ἠρωτᾶτο διατὶ κλαίει, ἔλεγε· κλαίω διὰ τὸν πλοῦτον ποὺ ἔχασα καὶ τὴν προηγουμένην δόξαν καὶ εὐγένειαν, ἀπὸ τὰ ὁποῖα ἐξέπεσα.

Ἐπειδὴ δὲ τὸν ἐκαλοῦσαν νὰ εἰσέλθῃ μέσα εἰς τὸ Μοναστήριον καὶ νὰ φάγῃ μαζί τους καὶ δὲν τὸν ἔπειθαν, τότε τοῦ προσέφεραν ἄρτον καὶ τοῦ ἔλεγαν· πάρε τώρα αὐτὸ τὸ ψωμὶ καὶ ὅσα ἔχασες ἠμπορεῖ πάλιν ὁ Θεὸς νὰ σοῦ τὰ ξαναδώσῃ. Ἐκεῖνος τότε, καθὼς ἔπαιρνε τὸ ψωμί, ἀναστέναζε βαθειὰ καὶ ἔλεγε· δὲν γνωρίζω ἂν θὰ ἠμπορέσω νὰ εὕρω αὐτά ποὺ ἔχασα· δὲν θὰ παύσω ὅμως νὰ τὰ ζητῶ μὲ ὅλην μου τὴν δύναμιν.

Καὶ ἔτσι ἐτελείωσε τὸν δρόμον του.



ΥΠΟΘΕΣΙΣ ΙΗ΄

Πῶς δεῖ προνοεῖσθαι τοῦ σώματος καὶ τίς ἡ κατὰ λόγον ἄσκησις καὶ ἐγκράτεια.

Πῶς πρέπει νὰ φροντίζωμεν διὰ τὸ σῶμα μας καὶ ποία εἶναι ἡ ὀρθὴ ἄσκησις καὶ ἐγκράτεια.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου

Ο ΜΕΓΑΣ Ἀντώνιος, μέλλων ἐσθίειν καὶ κοιμᾶσθαι καὶ ἐπὶ ταῖς ἄλλαις ἀνάγκαις τοῦ σώματος ᾐσχύνετο, τὸ τῆς ψυχῆς λογιζόμενος νοερόν. Πολλάκις οὖν μετὰ πολλῶν Μοναχῶν μέλλων ἐσθίειν, ἀναμνησθεὶς τῆς πνευματικῆς τροφῆς, παρῃτήσατο καὶ μακρὰν ἀπ' αὐτῶν ἀπῆλθε, νομίζων ἐρυθριᾶν εἰ βλέποιτο παρ' ἑτέρων ἐσθίων.

Ἤσθιε μέντοι κατ' ἰδίαν διὰ τὴν τοῦ σώματος ἀνάγκην, πολλάκις δὲ καὶ μετὰ τῶν ἀδελφῶν, αἰδούμενος μὲν ἐπὶ τούτῳ, παρρησιαζόμενος δὲ ἐπὶ τοῖς ὑπὲρ ὠφελείας λόγοις, καὶ ἔλεγε χρῆναι πᾶσαν σχολὴν διδόναι τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι, καὶ συγχωρεῖν μὲν διὰ τὴν ἀνάγκην ὀλίγον καιρὸν τῷ σώματι, τὸ δὲ ὅλον σχολάζειν τῇ ψυχῇ, καὶ τὴν ταύτης ὠφέλειαν ζητεῖν, ἵνα μὴ αὕτη καθέλκηται ὑπὸ τῶν ἡδονῶν τοῦ σώματος, ἀλλὰ μᾶλλον τὸ σῶμα παρ' αὐτῆς δουλαγωγῆται. Τοῦτο γὰρ εἶναι τὸ λεγόμενον παρὰ τοῦ Σωτῆρος «μὴ μεριμνήσητε τῇ ψυχῇ τί φάγητε ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων ἁπάντων· πλὴν ζητεῖτε τὴν βασιλείαν αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

2. Ἔλεγεν ὁ Μέγας Εὐθύμιος ἀρίστην εἶναι ἐγκράτειαν τὴν μὴ τὸν κόρον φθάνουσαν, καὶ δεομένοις ἡμῖν ἔτι τὴν τροφὴν ἱστῶσαν, ὅπερ ἐστὶ τὸ παρὰ μικρὸν τῆς χρείας τροφῆς κοινωνεῖν.

Ἑ ρ μ η ν ε ί α

Ο ΜΕΓΑΣ Ἀντώνιος, ὅταν ἐπρόκειτο νὰ φάγῃ ἢ νὰ κοιμηθῇ, καθὼς καὶ διὰ τὰς ἄλλας σωματικὰς ἀνάγκας, ἐδοκίμαζεν ἐντροπήν, διό-

τι ἐσκέπτετο τὸ νοερὸν τῆς ψυχῆς. Πολλὰς φοράς, λοιπόν, ὅταν ἐπρόκειτο νὰ φάγῃ μαζὶ μὲ πολλοὺς ἄλλους Μοναχούς, ἐπειδὴ ἔφερεν εἰς τὴν σκέψιν του τὴν πνευματικὴν τροφήν, τοὺς ἄφηνε καὶ ἀπεμακρύνετο ἀπὸ κοντά των, διότι ἐνόμιζεν ὅτι θὰ ἐκοκκίνιζεν ἐὰν τὸν ἔβλεπαν νὰ τρώγῃ.

Ἔτρωγε βεβαίως ἰδιαιτέρως διὰ τὴν ἀνάγκην τοῦ σώματος· πολλὰς φορὰς δὲ μαζὶ καὶ μὲ τοὺς ἀδελφούς. Δι' αὐτὸ μὲν ᾐσθάνετο ἐντροπήν, ὡμιλοῦσεν ὅμως ἐλεύθερα τὰ λόγια, ποὺ ὠφελοῦν πνευματικά. Μεταξὺ δὲ ἄλλων ἔλεγεν, ὅτι πρέπει ὅλην τὴν προσοχὴν νὰ τὴν δίδωμεν μᾶλλον εἰς τὴν ψυχήν, παρὰ εἰς τὸ σῶμα. Νὰ παραχωροῦμεν ὀλίγον καιρὸν εἰς τὸ σῶμα διὰ τὴν ἱκανοποίησιν τῶν φυσικῶν του ἀναγκῶν, ὅλον μας ὅμως τὸν χρόνον νὰ τὸν διαθέτωμεν διὰ τὴν ψυχὴν καὶ νὰ ζητοῦμεν τὴν ὠφέλειαν αὐτῆς, διὰ νὰ μὴ παρασύρεται ἀπὸ τὰς ἡδονὰς τοῦ σώματος, ἀλλὰ μᾶλλον αὐτὴ νὰ χρησιμοποιῇ τὸ σῶμα ὡς δοῦλον. Διότι αὐτὸ τὸ νόημα ἔχουν οἱ λόγοι, τοῦ Σωτῆρος· «νὰ μὴ ἀπασχολήσετε τὴν ψυχήν σας μὲ τὴν φροντίδα τί θὰ φάγητε ἢ τί θὰ πίητε, καὶ μὴ ἀνησυχῆτε· διότι ὅλα αὐτὰ τὰ ζητοῦν τὰ ἔθνη τοῦ κόσμου. Ὁ ἐπουράνιος Πατέρας σας γνωρίζει ὅτι ἔχετε ἀνάγκην ἀπὸ ὅλα αὐτά. Ζητεῖτε μονάχα τὴν Βασιλείαν αὐτοῦ καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν σὲ σᾶς» (Ματθ. στ', 33).

2. Ὁ Μέγας Εὐθύμιος ἔλεγεν ὅτι ἀρίστη ἐγκράτεια εἶναι ἐκείνη, ποὺ δὲν ἐπιτρέπει εἰς τὸν ἄνθρωπον νὰ φθάσῃ εἰς τὸν χορτασμόν, ἀλλὰ μᾶς ἀφήνει νὰ ἔχωμεν ἀκόμη ἀνάγκην νὰ φάγωμεν, ἂν καὶ ἡ τροφὴ εἶναι ἐμπρός μας. Αὐτὸ σημαίνει ὅτι πρέπει νὰ τρώγωμεν ὀλιγώτερον ἀπὸ ὅσον ἔχομεν ἀνάγκην.

Β'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι οὐ πᾶσα ἄσκησις δόκιμος· ἔστι γὰρ καὶ ἐκ τοῦ ἐχθροῦ ἐπιτεταμένη ἄσκησις, καὶ γὰρ οἱ αὐτοῦ μαθηταὶ τοῦτο ποιοῦσιν. Πῶς οὖν διακρίνωμεν τὴν θείαν καὶ βασιλικὴν ἄσκησιν, τῆς τυραννικῆς καὶ δαιμονιώδους; δῆλον ὡς ἀπὸ τῆς συμμετρίας. Ἅπας σοι ὁ χρόνος εἰς κανὼν νηστείας ὑπαρχέτω· μὴ τέσσαρας ἢ πέντε νηστεύσῃς καὶ τῇ ἄλλῃ ἐν πλήθει βρωμάτων καταλύσῃς τὴν δύναμιν· πανταχοῦ γὰρ ἡ ἀμετρία φθοροποιὸς τυγχάνει. Μὴ ὑφ' ἓν σου τὰ ὅπλα ἀναλώσῃς, μήπως γυμνὸς εὑρεθεὶς ἐν τῷ πολέμῳ εὐάλωτος γένῃ. Τὰ ὅπλα ἡμῶν ἐστι τὸ σῶμα, ἡ δὲ ψυχή, ὁ στρατιώτης· καὶ τῶν ἀμφοτέρων ἐπιμελοῦ πρὸς τὰς χρείας.

Νέος ὢν καὶ ὑγιής, νήστευσον· ἥξει γὰρ τὸ γῆρας μετὰ ἀσθενείας. Ὡς ἔτι δύνῃ θησαύρισον τροφάς· ἵνα μὴ δυνάμενος, εὕρῃς. Νήστευε μετὰ λόγου καὶ ἀκριβείας, ὅρα μὴ ὁ ἐχθρὸς ὑπεισέλθῃ σου τῇ ἐμπορίᾳ τῆς νηστείας, ἀλλὰ γίνου δόκιμος τραπεζίτης, κατὰ τὴν τοῦ Κυρίου φωνήν, καὶ τὸ βασιλικὸν χάραγμα ἀκριβῶς γίνωσκε. Εἰσὶ γὰρ καὶ παραχαράγματα, καὶ ἡ μὲν τοῦ χρυσοῦ φύσις ἡ αὐτή, διαφέρει δὲ τῷ χαράγματι. Ὁ μὲν οὖν χρυσὸς ἐστὶ νηστεία, ἐγκράτεια, ἐλεημοσύνη. Ἀλλὰ καὶ Ἑλλήνων παῖδες τὴν τυραννικὴν ἑαυτῶν εἰκόνα ἐντίθενται, καὶ αἱρετικοὶ δὲ

διὰ τούτων σεμνύνονται· σὺ δὲ ὅρα τούτους, καὶ ὡς παραχαράκτας ἀπόφευγε, καὶ πρόσεχε ἀσφαλῶς μὴ ζημιωθῇς, τοῖς αὐτῶν ἔργοις ἀγυμνάστως περιπεσών.

Ἑ ρ μ η ν ε ί α

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν ὅτι κάθε ἄσκησις δὲν εἶναι γνησία· ἐπειδὴ ὑπάρχει καὶ ἄσκησις, ποὺ τὴν ἐπαυξάνει ὁ ἐχθρὸς τῆς ψυχῆς μας, διότι καὶ οἱ μαθηταί του αὐτὸ κάμνουν. Πῶς λοιπὸν θὰ ξεχωρίσωμεν τὴν θείαν καὶ βασιλικὴν ἄσκησιν, ἀπὸ τὴν τυραννικὴν καὶ διαβολικήν; Ἀπὸ τὸ μέτρον ἀσφαλῶς. Ὅλος ὁ χρόνος ἂς εἶναι δι' ἐσὲ κανὼν νηστείας· νὰ μὴ νηστεύῃς μονάχα τέσσαρας ἢ πέντε ἡμέρας καὶ τὰς ἄλλας ἡμέρας νὰ καταστρέψῃς τὴν δύναμιν τῆς νηστείας μὲ πλῆθος φαγητῶν. Παντοῦ ἡ ἔλλειψις τοῦ μέτρου προκαλεῖ φθοράν. Νὰ μὴ ἐξαντλήσῃς διὰ μιᾶς τὰ ὅπλα σου, μὴ τυχὸν εὑρεθῇς γυμνὸς εἰς τὸν πόλεμον καὶ αἰχμαλωτισθῇς εὔκολα ἀπὸ τὸν ἐχθρόν. Τὰ ὅπλα μας εἶναι τὸ σῶμα ἡ δὲ ψυχὴ ὁ στρατιώτης· φρόντιζε καὶ διὰ τὰ δύο διὰ τὴν ἀντιμετώπισιν τῶν ἀναγκῶν.

Ὅταν εἶσαι νέος καὶ ὑγιὴς νὰ νηστεύῃς, διότι θὰ ἔλθουν τὰ γεράματα μαζὶ μὲ ἀσθένειαν. Ἐφ' ὅσον ἀκόμη ἠμπορεῖς, ἀποταμίευσε τροφάς, διὰ νὰ τὰς εὕρῃς, ὅταν δὲν θὰ ἠμπορῇς. Νὰ νηστεύῃς μὲ διάκρισιν, καὶ ἀκρίβειαν· πρόσεχε μήπως ὁ ἐχθρὸς τῆς ψυχῆς εἰσέλθῃ κρυφὰ εἰς τὴν πνευματικήν σου ἐργασίαν τῆς νηστείας. Νὰ γίνεσαι δὲ ἔμπειρος τραπεζίτης, ὅπως λέγει ὁ Κύριος (Ματθ. κε', 27), καὶ γνώριζε καλὰ τὴν βασιλικὴν εἰκόνα. Διότι ὑπάρχουν καὶ παραχαραγμένα νομίσματα· καὶ ἡ μὲν φύσις τοῦ χρυσοῦ εἰς τὰ διάφορα χρυσᾶ νομίσματα εἶναι ἡ ἰδία, διαφέρουν ὅμως μεταξύ των κατὰ τὴν εἰκόνα ποὺ εἶναι χαραγμένη εἰς αὐτά. Ὁ μὲν χρυσὸς λοιπὸν εἶναι ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ ἐλεημοσύνη. Ἀλλὰ καὶ οἱ παῖδες τῶν Ἑλλήνων (φιλόσοφοι καὶ εἰδωλολάτραι) χαράσσουν ἐπάνω εἰς τὰ χρυσᾶ νομίσματα τὴν σφραγῖδα των, καὶ οἱ αἱρετικοὶ ὑπερηφανεύονται μὲ αὐτά· σὺ ὅμως νὰ τοὺς προσέχῃς καὶ νὰ τοὺς ἀποφεύγῃς ὡς παραχαράκτας καὶ πρόσεχε διαρκῶς νὰ μὴ ζημιωθῇς καὶ χωρὶς νὰ τὸ πολυσκεφθῇς περιπλακῇς εἰς τὰ ἔργα ἐκείνων.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΣΕΝ ὁ Ἀββᾶς Ἰωσὴφ τὸν Ἀββᾶν Ποιμένα πῶς χρὴ νηστεύειν· καὶ ἀπεκρίθη αὐτῷ· ἐγὼ θέλω τὸν μοναχὸν ἐσθίοντα καθ' ἡμέραν, παραμικρὸν ἐσθίειν, ἵνα μὴ χορτάζηται. Ὁ δὲ Ἀββᾶς Ἰωσὴφ εἶπεν· Ἀββᾶ, ὅτε ἧς νεώτερος οὐκ ἐνήστευες δύο δύο; ὁ δὲ γέρων ἔφη· φύσει καὶ τρεῖς καὶ τέσσαρας καὶ ἑβδομάδα· ἀλλὰ ταῦτα πάντα ἐδοκίμασαν οἱ πατέρες ὡς δυνατοί, καὶ εὗρον ὅτι κρεῖττον τὸ καθ' ἡμέραν μὲν ἐσθίειν, παρὰ μικρὸν δέ· καὶ ταύτην τὴν βασιλικὴν ὁδὸν παρέδωκαν ἡμῖν, ὅτι καὶ ἐλαφρὰ ἐστι καὶ ὠφέλιμος.

2. Εἶπεν ὁ αὐτός, ὅτι τὰ ὑπέρμετρα πάντα τῶν δαιμόνων εἰσίν.

3. Ἦν τις κατὰ τὴν ἔρημον θηρεύων ἄγρια ζῷα, καὶ εἶδε τὸν Ἀββᾶν Ἀντώ-

νιον χαριεντιζόμενον μετὰ τῶν ἀδελφῶν· θέλων δὲ αὐτὸν πληροφορῆσαι ὁ γέρων, ὅτι χρή ποτε συγκαταβαίνειν τοῖς ἀδελφοῖς, λέγει αὐτῷ· βάλε βέλος εἰς τὸ τόξον σου καὶ ἔντεινον. Ὁ δὲ ἐποίησε οὕτω καὶ ἔτεινε· καὶ πάλιν φησί· τεῖνον, καὶ ἔτεινε· καὶ πάλιν λέγει· τεῖνον· ἀπεκρίθη ὁ θηρευτής· ἐὰν ὑπὲρ τὸ μέτρον τείνω, κλᾶται τὸ τόξον. Λέγει αὐτῷ ὁ γέρων· οὕτω καὶ εἰς τὸ ἔργον τοῦ Θεοῦ· ἐὰν πλείω τοῦ μέτρου τείνωμεν κατὰ τῶν ἀδελφῶν, ταχὺ προσρήσσουσι. Χρὴ οὖν, καιροῦ καλοῦντος, συγκαταβαίνειν τοῖς ἀδελφοῖς.

4. Παρέβαλεν ὁ Ἀββᾶς Ἰσαὰκ τῷ Ἀββᾷ Ποιμένι· καὶ ἰδὼν αὐτὸν βάλλοντα μικρὸν ὕδωρ εἰς τοὺς πόδας αὐτοῦ, ὡς ἔχων πρὸς αὐτὸν παρρησίαν, εἶπεν αὐτῷ· πῶς τινες ἐχρήσαντο ἀποτομίᾳ, σκληραγωγήσαντες τὸ σῶμα αὐτῶν; καὶ λέγει ὁ Ἀββᾶς Ποιμήν· ἡ μ ε ῖ ς ο ὐ κ ἐ δ ι δ ά χ θ η μ ε ν σ ω μ α τ ο κ τ ό ν ο ι, ἀ λ λ ὰ π α θ ο κ τ ό ν ο ι.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σαρματᾶν λέγων· Ἀββᾶ, λέγουσί μοι οἱ λογισμοὶ μὴ ἐργάσῃ, ἀλλὰ φάγε, πίε, κοιμῶ. Ἀπεκρίθη αὐτῷ ὁ γέρων· ὅταν πεινᾷς, φάγε, ὅτε διψᾷς, πίε, ὅτε νυστάζεις, κοιμῷ· καὶ ἀπῆλθεν ὁ ἀδελφός. Ἄλλος δὲ γέρων κατ' εὐκαιρίαν ἦλθε πρὸς τὸν αὐτὸν ἀδελφόν· ὁ δὲ ἀνήγγειλε τῷ γέροντι ἃ εἶπεν αὐτῷ ὁ Ἀββᾶς Σαρματᾶς. Λέγει οὖν αὐτῷ ὁ γέρων· τοῦτό ἐστιν ὃ εἶπέ σοι ὁ ἀδελφὸς Σαρματᾶς· ὅταν πεινᾷς τόνῳ, καὶ διψήσῃς ἕως μηκέτι δυνηθῇς, φάγε τότε καὶ πίε· καὶ ὅταν ἀγρυπνήσῃς πάνυ πολλὰ καὶ νυστάξῃς, κοιμῶ· ἐκτὸς δὲ τῆς ἀναγκαίας χρείας μηδὲν τούτων ποιήσῃς.

6. Εἶπε γέρων· ἔστιν ἄνθρωπος ἐσθίων πολλὰ καὶ ἔτι πεινῶν, καὶ ἔστιν ἄλλος ὀλίγα ἐσθίων καὶ χορταζόμενος· καὶ ὁ πολλὰ ἐσθίων καὶ ἔτι πεινῶν πλείονα μισθὸν ἕξει τοῦ ὀλίγα ἐσθίοντος καὶ χορταζομένου.

7. Εἶπε πάλιν· ἐὰν ἔστι τὸ σῶμά σου ἀσθενές,πρὸς αὐτὸ ποίησον καὶ τὴν χρείαν σου, μήπως πέσῃ εἰς ἀσθένειαν καὶ μέλλῃ ζητεῖν βρώματα καὶ βαρεῖν τὸν διακονοῦντά σοι.

8. Διηγήσαντο περὶ τοῦ Ἀββᾶ Νετρᾶ, μαθητοῦ τοῦ Ἀββᾶ Σιλουανοῦ, ὅτι ἐκάθητο εἰς τὸ κελλίον αὐτοῦ ἐν τῷ ὄρει τῷ Σινᾷ καὶ συμμέτρως διώκει ἑαυτὸν πρὸς τὴν χρείαν τοῦ σώματος. Ὅτε δὲ ἐγένετο ἐπίσκοπος εἰς Φαράν, πολλὴν ἐπεδείκνυτο σκληραγωγίαν, καὶ λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Ἀββᾶ, ὅτε ἦμεν εἰς τὴν ἔρημον οὐκ ἤσκεις οὕτως. Καὶ ἀπεκρίθη ὁ γέρων· ἐκεῖ ἔρημος ἦν καὶ ἡσυχία καὶ πτωχεία, καὶ ἤθελον κυβερνῆσαι τὸ σῶμα, ἵνα μὴ ἀσθενήσω, καὶ ζητήσω ἃ οὐκ εἶχον· ὧδε δὲ κόσμος ἐστὶ καὶ ἀφορμαί εἰσι, καὶ ἐὰν ἀσθενήσω ὧδε, ἔστιν ὁ ἀντιλαμβανόμενός μου, ἵνα μὴ ἀπολέσω τὸν Μοναχόν.

9. Τῷ Ἀββᾷ Μεγεθίῳ τῷ δευτέρῳ εἰς τὸ Σινᾶ κατοικοῦντι παρέβαλέ τις τῶν γερόντων, καὶ ἠρώτησεν αὐτὸν λέγων· πῶς διάγεις ἀδελφέ, ἐν τῇ ἐρήμῳ ταύτῃ; ὁ δὲ εἶπε· νηστεύω δύο δύο καὶ ἕνα ἄρτον ἐσθίω· ὁ δὲ γέρων εἶπεν αὐτῷ· εἰ θέλεις ἀκοῦσαί μου, φάγε καθ' ἡμέραν τὸ ἥμισυ τοῦ ἄρτου· καὶ ποιήσας οὕτως εὗρεν ἀνάπαυσιν.

10. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· πῶς δεῖ ἐπιτελεῖν τὸ μέτρον τῆς νηστείας; καὶ εἶπεν ὁ γέρων· μηδὲν ὑπὲρ τὸ διατεταγμένον· πολλοὶ γὰρ θέλοντες ὑπεράγω, ὕστερον οὐδὲ ὀλίγον ἴσχυσαν ἐκτελέσαι.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰωσὴφ ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα πῶς πρέπει νὰ νηστεύῃ· καὶ ἐκεῖνος τοῦ ἀπήντησε:

— Ἐγὼ θέλω ὁ Μοναχὸς νὰ τρώγῃ καθημερινά, ἀλλὰ νὰ τρώγῃ ὀλίγον ὥστε νὰ μὴ χορταίνῃ.

Ὁ Ἀββᾶς Ἰωσὴφ τὸν ἠρώτησε πάλιν:

— Ἀββᾶ, ὅταν ἦσουν νεώτερος δὲν ἐνήστευες δύο ἡμέρας καὶ ἔτρωγες μίαν;

Πραγματικὰ —ἀπήντησεν ὁ Γέρων— καὶ τρεῖς ἡμέρας ἐνήστευα, καὶ τέσσαρας καὶ ὁλόκληρον ἑβδομάδα· ἀλλὰ ὅλα αὐτὰ τὰ ἐδοκίμασαν οἱ Πατέρες ὡς δυνατοὶ καὶ κατέληξαν εἰς τὸ συμπέρασμα, ὅτι εἶναι καλύτερα νὰ τρώγῃς μὲν καθημερινά, ἀλλὰ ὀλίγον. Ἔτσι μᾶς παρέδωσαν αὐτὴν τὴν βασιλικὴν ὁδὸν τῆς νηστείας, διότι καὶ ἐλαφρὰ εἶναι καὶ ὠφέλιμος.

2. Ὁ ἴδιος Ἀββᾶς εἶπεν, ὅτι ὅλαι αἱ ὑπερβολαὶ προέρχονται ἀπὸ τοὺς δαίμονας.

3. Ἦτο εἰς τὴν ἔρημον κάποιος κυνηγὸς ἀγρίων ζώων καὶ εἶδε τὸν Ἀββᾶν Ἀντώνιον νὰ χαριεντίζεται μὲ τοὺς ἀδελφούς. Θέλων δὲ ὁ Γέρων νὰ τὸν πληροφορήσῃ ὅτι πρέπει κάποτε - κάποτε νὰ δείχνωμεν συγκατάβασιν πρὸς τοὺς ἀδελφούς, τοῦ λέγει· βάλε ἕνα βέλος εἰς τὸ τόξον σου καὶ τέντωσέ το. Ὁ κυνηγὸς ἔκαμεν ἔτσι καὶ τὸ ἐτέντωσε. Καὶ πάλιν τέντωσέ το, τοῦ εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος· ὁ κυνηγὸς τὸ ἐτέντωσεν ἐκ νέου. Τοῦ λέγει τότε ὁ Γέρων διὰ τρίτην φοράν· πάλιν τέντωσέ το. Μὰ ἐὰν τὸ τεντώσω πάρα πάνω ἀπὸ τὸ μέτρον —παρετήρησεν ὁ κυνηγὸς— θὰ σπάσῃ τὸ τόξον. Κατόπιν αὐτοῦ τοῦ εἶπε συμπερασματικὰ ὁ Γέρων· Ἔτσι καὶ εἰς τὸ ἔργον τοῦ Θεοῦ· ἐὰν θὰ ζητήσωμεν ἀπὸ τοὺς ἀδελφοὺς ὑπέρμετρον αὐστηρότητα, σύντομα θὰ ἀποκαρδιωθοῦν. Πρέπει λοιπόν, ὅταν τὸ καλῇ ἡ περίστασις, νὰ ἐπιδεικνύωμεν συγκατάβασιν πρὸς τοὺς ἀδελφούς.

4. Ὁ Ἀββᾶς Ἰσαὰκ ἐπεσκέφθη τὸν Ἀββᾶν Ποιμένα· καὶ ὅταν τὸν εἶδε νὰ πλένῃ τοὺς πόδας του μὲ ὀλίγον νερόν, ἐπειδὴ εἶχε θάρρος ἀπέναντί του, τοῦ λέγει:

— Πῶς μερικοί, Γέροντα, ἐσκληραγώγησαν μὲ μεγάλην αὐστηρότητα τὸ σῶμα των; Καὶ ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἀπήντησεν· ἡμεῖς δὲν ἐδιδάχθημεν νὰ εἴμεθα σ ω μ α τ ο κ τ ό ν ο ι ἀλλὰ π α θ ο κ τ ό ν ο ι.

5. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σαρματᾶν:

—Ἀββᾶ, οἱ λογισμοί μου μοῦ λέγουν· μὴ ἐργασθῇς, ἀλλὰ φάγε, πίε, κοιμήσου.

Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ὅταν πεινᾷς, νὰ φάγῃς, ὅταν διψᾷς, νὰ πίνῃς νερόν, ὅταν νυστάζῃς, νὰ κοιμᾶσαι.

Καὶ ὁ ἀδελφὸς ἔφυγε. Κατὰ σύμπτωσιν ἕνας ἄλλος Γέροντας

ἦλθε πρὸς τὸν ἀδελφὸν αὐτόν· ἐκεῖνος, τότε, ἀνέφερεν εἰς τὸν Γέροντα ὅσα τοῦ εἶπεν ὁ Ἀββᾶς Σαρματᾶς. Ἀφοῦ λοιπὸν τὰ ἤκουσε, τοῦ λέγει ὁ Γέρων· Αὐτὰ ποὺ σοῦ εἶπεν ὁ ἀδελφὸς Σαρματᾶς ἔχουν τὸ ἑξῆς νόημα: ὅταν πεινᾷς πάρα πολὺ καὶ ὅταν διψᾷς τόσον, ὥστε νὰ μὴ ἀντέχῃς πλέον, τότε νὰ φάγῃς καὶ νὰ πίῃς· καὶ ὅταν πάρα πολὺ ἀγρυπνήσῃς καὶ νυστάξῃς, τότε νὰ κοιμηθῇς. Ὅταν ὅμως δὲν αἰσθάνεσαι ἰσχυρὰν τὴν ἀνάγκην, τίποτε ἀπὸ αὐτὰ νὰ μὴ κάμῃς.

6. Ἕνας Γέρων εἶπεν· ὑπάρχει ἄνθρωπος, ποὺ τρώγει πολὺ καὶ ἀκόμη πεινᾷ· καὶ ὑπάρχει ἄλλος ποὺ τρώγει ὀλίγον καὶ χορταίνει. Ἐκεῖνος, ποὺ τρώγει πολὺ καὶ ἐγκρατεύεται ὥστε νὰ πεινᾷ ἀκόμη, θὰ ἔχῃ περισσότερον μισθὸν ἀπὸ τὸν Θεόν, ἀπὸ ἐκεῖνον ποὺ τρώγει ὀλίγον καὶ χορταίνει.

7. Ὁ ἴδιος Γέρων εἶπε πάλιν. Ἂν τὸ σῶμα σου εἶναι ἀσθενικόν, ἀνάλογα μὲ αὐτὸ ἱκανοποίησε τὰς ἀνάγκας του, μὴ τυχὸν περιπέσῃ εἰς ἀσθένειαν καὶ ζητῇ φαγητὰ καὶ σὺ θὰ στενοχωρῇς αὐτόν, ποὺ θὰ σὲ ὑπηρετῇ.

8. Διὰ τὸν Ἀββᾶν Νετρᾶν, τὸν μαθητὴν τοῦ Ἀββᾶ Σιλουανοῦ, ἔλεγον ὅτι ἐκάθητο εἰς τὸ κελλί του, ἐπάνω εἰς τὸ ὄρος Σινᾶ, καὶ ἔζουσε μὲ μέτρον, χωρὶς ὑπερβολάς, διὰ τὴν ἀνάγκην τοῦ σώματος. Ὅταν ὅμως ἔγινεν Ἐπίσκοπος εἰς Φαρὰν* ἐφήρμοζεν, εἰς τὴν ζωήν του, μεγάλην σκληραγωγίαν. Τοῦ λέγει λοιπὸν ὁ μαθητής του.

— Ἀββᾶ, ὅταν ἤμεθα εἰς τὴν ἔρημον, δὲν ἔκανες τόσον αὐστηρὰν ἄσκησιν.

Ὁ Γέρων τοῦ ἀπήντησεν.

— Ἐκεῖ ἦτο ἔρημος καὶ ἡσυχία καὶ πτωχεία καὶ ἤθελα νὰ κυβερνήσω τὸ σῶμα ἔτσι, ποὺ νὰ μὴ ἀρρωστήσω καὶ ζητήσω ἐκεῖνα, ποὺ δὲν εἶχα. Ἐδῶ ὅμως εἶναι κατῳκημένος τόπος καὶ ὑπάρχουν ἀφορμαὶ (δι' ἁμαρτωλὰς σκέψεις)· καὶ ἔπειτα ἂν ἀρρωστήσω ἐδῶ, ὑπάρχει ἐκεῖνος, ποὺ θὰ μὲ βοηθήσῃ, διὰ νὰ μὴ χάσω τὸν Μοναχόν.

---

* Ἡ Φαρὰν αὕτη ἦτο πόλις ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης, ἕδρα ἐπισκοπῆς καὶ πυκνότατον κέντρον ἀναχωρητῶν, τόσον ὥστε πουθενὰ ἀλλοῦ δὲν συναντᾷ κανεὶς περισσότερα λείψανα Μοναστηρίων καὶ σκητῶν, ὅσον ἐδῶ καὶ εἰς τὰς βραχώδεις πλευρὰς τοῦ πλησίον εὑρισκομένου ὄρους Σερβᾶς. Ἡ ἐν Χαλκηδόνι Σύνοδος ὠνόμασεν Ἐπίσκοπον ἐπὶ τῶν Μοναχῶν, ὁ ὁποῖος ὑπήγετο ὑπὸ τὸν τῶν Ἱεροσολύμων. Ἀπὸ τοῦ ΣΤ' αἰῶνος οἱ Μοναχοὶ καὶ οἱ κάτοικοι ἠκολούθησαν δυστυχῶς τὸν Μονοφυσιτισμόν. Φαρὰν ὀνομάζεται ἐπίσης καὶ ἡ ἔρημος μεταξὺ Παλαιστίνης καὶ Αἰγύπτου, τὴν ὁποίαν διῆλθον οἱ Ἰσραηλῖται ὁδηγούμενοι ὑπὸ τοῦ Μωϋσέως. Εἰς τὴν ἔρημον ταύτην Φαρὰν ἠσκήτευσε τὸ πρῶτον ὁ Ὅσιος Χαρίτων, ἱδρύσας ἐκεῖ καὶ Λαύραν εὐαγεστάτην (276 μ.Χ.), εἰς τὴν ὁποίαν πλῆθος Μοναχῶν ἠγωνίσθησαν. Πλησίον τῆς Λαύρας ταύτης ἠσκήτευσε βραδύτερον (406) νέος ἔτι ὢν ὁ Μέγας Εὐθύμιος. (Βλ. καὶ ἐν τῇ ὑποσημειώσει 6' τῆς σελ. 256).

9. Τὸν Ἀββᾶν Μεγέθιον τὸν δεύτερον, ποὺ κατώκησεν εἰς τὸ Σινᾶ, ἐπεσκέφθη κάποιος ἀπὸ τοὺς Γέροντας καὶ τὸν ἠρώτησε:

— Πῶς περνᾷς, ἀδελφέ μου, εἰς αὐτὴν τὴν ἔρημον;

— Νηστεύω δύο ἡμέρας —ἀπήντησεν ἐκεῖνος— καὶ τὴν τρίτην ἡμέραν τρώγω ἕνα ψωμί.

Τότε ὁ Γέρων τοῦ εἶπε:

— Ἂν θέλῃς νὰ μὲ ἀκούσῃς, νὰ τρώγῃς καθημερινὰ τὸ μισὸ ψωμί.

Ἔτσι ἔκαμε ὁ ἀδελφὸς καὶ ἀνεπαύθη.

10. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Μὲ ποῖον μέτρον —τοῦ εἶπε— πρέπει νὰ νηστεύω;

Καὶ ὁ Γέρων τοῦ ἀπήντησε:

— Νὰ μὴ ἐπιχειρήσῃς νὰ ξεπεράσῃς τὰ διατεταγμένα· διότι πολλοὶ θέλοντες νὰ ἐκτελέσουν περισσότερα, οὔτε τὸ ὀλίγον δὲν ἠμπόρεσαν νὰ ἐκτελέσουν.

Δ'. Ἀντιόχου τοῦ Παντέκτου

ΝΗΣΤΕΙΑ ἐστὶν οὐ τὸ βραδυφαγῆσαι μόνον, ἀλλὰ καὶ τὸ βραχυφαγῆσαι· καὶ οὐ τὸ διὰ δύο ἢ τριῶν ἐσθίειν τοῦτο ἄσκησίς ἐστιν, ἀλλὰ τὸ μὴ ποικιλοφαγῆσαι. Ἄσκησις γὰρ ἐστι τράπεζα ἐν μονοειδεῖ συνεσταλμένη, νηστεία δὲ ἐστιν ἄλογος, ἡ τὸν μὲν ὡρισμένον καιρὸν ἀναμένουσα, ἐν δὲ τῇ ὥρᾳ τῆς τροφῆς ἀχαλινώτως ὁρμῶσα πρὸς τὴν τράπεζαν, καὶ μετὰ τῆς σαρκὸς καὶ τὸν νοῦν πρὸς ἡδονὴν τῶν παρακειμένων δεσμοῦσα.

Ἑρμηνεία

ΝΗΣΤΕΙΑ εἶναι ὄχι μονάχα τὸ νὰ τρώγῃς κατὰ μεγάλα διαστήματα, ἀλλὰ καὶ τὸ νὰ τρώγῃς ὀλίγον. Ἄσκησις δὲν εἶναι τὸ νὰ τρώγῃ κανεὶς κάθε δύο ἢ τρεῖς ἡμέρας, ἀλλὰ τὸ νὰ μὴ τρώγῃ διάφορα εἴδη φαγητῶν. Ἄσκησις, δηλαδή, εἶναι τραπέζι μὲ ἕνα εἶδος μονάχα πτωχικοῦ φαγητοῦ· ἡ νηστεία ὅμως εἶναι ἀνόητος, ἂν νηστεύῃ μὲν κανεὶς κατὰ τὴν διατεταγμένην περίοδον, ὅταν ὅμως ἔλθῃ ἡ ὥρα τῆς τροφῆς, ὁρμᾷ ἀσυγκράτητα πρὸς τὸ τραπέζι καὶ δένει τὸν νοῦν καὶ τὴν σάρκα μὲ τὴν εὐχαρίστησιν τῶν φαγητῶν, ποὺ εὑρίσκονται εἰς τὸ τραπέζι.

Ε'. Ἠσαΐου τοῦ Ἀναχωρητοῦ

ΗΣΥΧΑΖΩΝ ἐν τῷ κελλίῳ σου τύπωσον σεαυτὸν ἐν τῷ ἐσθίειν, διδοὺς τὴν χρείαν τῷ σώματί σου ἵνα βαστάζῃ σε ποιῆσαι τὰς λειτουργίας σου καὶ ἵνα μὴ θελήσῃς παραβαλεῖν ἔξω. Ἐὰν δὲ ὑποβάλωσί σοι οἱ δαίμονες ἄσκησιν ὑπὲρ τὴν δύναμίν σου, μὴ ἀκούσῃς αὐτῶν· θερμαίνουσι γὰρ τὸν ἄνθρωπον εἰς πᾶν πρᾶγμα ὃ οὐ δύναται, ἕως οὗ ἐμπέσῃ εἰς τὰς χεῖρας αὐτῶν καὶ χαρῶσιν εἰς αὐτόν.

Σὺ οὖν δὸς τὴν χρείαν τῷ σώματί σου, ὥς τε ἀναστῆναί σε ἔτι θέλοντα· μηδὲν δὲ ἔσθιε ἐν ἡδονῇ, ἐν ἐπιθυμίᾳ γεύσεως, εἴτε καλὸν εἴτε κακόν. Ἐὰν γένηται ἀνάγκη οἴνου, ἕως τριῶν ποτηρίων λάμβανε καὶ μὴ λύσῃς τὴν ἐντολὴν διὰ φιλίαν

Μὴ ἔσο γαστρίμαργος ἐν βρώμασι, ἵνα μὴ ἀνακαινισθῶσιν ἐν σοὶ τὰ πρότερά σου ἁμαρτήματα. Μὴ ἀγαπήσῃς οἶνον εἰς μέθην, ἵνα μὴ στερηθῇς τῆς εὐφροσύνης τοῦ Θεοῦ. Ἡ ἄσκησις τῆς ψυχῆς ἐστι τὸ μισῆσαι τὸν περισπασμόν, ἡ δὲ τοῦ σώματός ἐστιν ἡ ἔνδεια. Ἡ ἔκπτωσις τῆς ψυχῆς ἐστι τὸ ἀγαπᾶν τὸν περισπασμόν, ἡ δὲ διόρθωσις αὐτῆς ἡσυχία ἐν γνώσει. Εἰ θέλεις οὖν, ἀδελφέ, δοῦναι μετάνοιαν τῷ Θεῷ, φύλαξε ἑαυτὸν ἀπὸ πολυοινίας· αὕτη γὰρ ἀνακαινίζει ὅλα τὰ πάθη καὶ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ τῆς ψυχῆς.

Ἑρμηνεία

ΟΤΑΝ ἡσυχάζῃς εἰς τὸ κελλίον σου, ρύθμισε ἔτσι τὴν ζωήν σου, ὥστε νὰ λαμβάνῃς τὴν ἀναγκαίαν, διὰ τὸ σῶμα σου, τροφήν, διὰ νὰ σὲ κρατῇ νὰ ἐκτελῇς τὰς ὑπηρεσίας σου καὶ νὰ μὴ θελήσῃς νὰ ὑπάγῃς ἔξω. Ἂν δὲ σοῦ βάλουν εἰς τὸν νοῦν σου οἱ δαίμονες νὰ ἐκτελέσῃς ἄσκησιν ὑπεράνω τῶν δυνάμεών σου, μὴ τοὺς ἀκούσῃς· διότι παρακινοῦν θερμὰ τὸν ἄνθρωπον σὲ κάθε πρᾶγμα, ποὺ δὲν ἠμπορεῖ νὰ τὸ κατορθώσῃ, μέχρις ὅτου πέσῃ εἰς τὰς χεῖρας των, νὰ χαροῦν, ἐπειδὴ τὸν ἐνίκησαν.

Σύ, λοιπόν, δῶσε τὴν ἀναγκαίαν τροφὴν εἰς τὸ σῶμα σου, ὥστε νὰ σηκωθῇς, ἐνῷ θὰ θέλῃς ἀκόμη νὰ φάγῃς. Νὰ μὴ τρώγῃς τίποτα χάριν ἡδονῆς καὶ ἀπὸ ἐπιθυμίαν γεύσεως, εἴτε καλὸν εἴτε κακόν. Ἐὰν παραστῇ ἀνάγκη νὰ πιῇς κρασί, νὰ πάρῃς μονάχα ἕως τρία ποτήρια, καὶ νὰ μὴ παραβῇς τὴν ἐντολὴν χάριν φιλίας. Νὰ μὴ εἶσαι λαίμαργος, διὰ νὰ μὴ ξυπνήσουν μέσα σου τὰ προηγούμενα ἁμαρτήματά σου. Νὰ μὴ πιῇς κρασὶ ὥστε νὰ μεθύσῃς, διὰ νὰ μὴ στερηθῇς τὴν χαρὰν τοῦ Θεοῦ. Ἡ ἄσκησις τῆς ψυχῆς εἶναι τὸ νὰ μισήσῃς τὸν περισπασμὸν τῆς προσοχῆς εἰς πολλὰ πράγματα, καὶ τοῦ σώματος ἡ στέρησις. Ψυχικὴ κατάπτωσις εἶναι τὸ νὰ περισπᾷς τὴν προσοχήν σου εἰς πολλὰ πράγματα· ἡ δὲ διόρθωσίς της ἐπιτυγχάνεται μὲ τὴν ἡσυχίαν καὶ τὴν (Θείαν) γνῶσιν. Ἂν λοιπόν, ἀδελφέ, θέλῃς νὰ προσφέρῃς μετάνοιαν εἰς τὸν Θεόν, νὰ φυλαχθῇς ἀπὸ τὸ πολὺ κρασί· διότι τὸ πολὺ κρασὶ ἀνανεώνει ὅλα τὰ πάθη καὶ διώχνει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ τὴν ψυχήν.

ΣΤ'. Τοῦ Ἀββᾶ Μάρκου

ΠΡΟΣΗΚΕΙ τοὺς ἀσκοῦντας ἐναρχομένους καὶ ἐπιτελεῖν, τούς τε νέους καὶ πρεσβυτέρους, ἐρρωμένον ἔχοντας τὸ σῶμα, μήτε κάκωσιν φοβουμένους, πάσῃ προθυμίᾳ τὴν χρησιμωτέραν καὶ ἀσφαλεστέραν προσίεσθαι νηστείαν. Σταθμῷ τὸν ἄρτον ἐσθίειν, καὶ μέτρῳ τὸ ὕδωρ πίνειν ἀπὸ καιροῦ εἰς καιρόν, τοσοῦτον ὅσον πεινῶντας καὶ διψῶντας τοῦ δείπνου ἀναχωρεῖν καὶ τὴν ἀναγκαίαν πρὸς Θεὸν λειτουργίαν μὴ ἐμποδίζεσθαι ὑπὸ τῆς ἡδονῆς. Ἐὰν θελήσωμεν ἐσθίοντες κορεσθῆναι, ταχέως ἀκηδιάσαντες, ἐπὶ ἑτέραν τραπησόμεθα ἐπιθυμίαν· καὶ ἐὰν αὐτῆς μεταλαβόντες ἐμπλησθῶμεν, καὶ ταύτην ὁμοίως αὖθις, ὡς τὴν πρώτην ἀποδοκιμάσαντες, καταλείψομεν, καὶ οὐχ ἔστιν ἡμᾶς χορταζομένους ἐπιμεῖναι ταῖς ἐπιθυμίαις, αἷς ἐπινοοῦμεν ἑαυτοῖς πρὸς παράκλησιν.

Τί τοῦ μάννα ἐν τοῖς σιτίοις ἡδύτερον ἢ πολυτελέστερον; καὶ ὡς τοῦτο φαγὼν ἐνεπλήσθη ὁ Ἰσραήλ, ὅτε μὴ εἶχε κρείττονος ἐπιθυμῆσαι, τοῦ ἐλάττονος ἐπεθύμησε σκορόδων καὶ κρομμύων· ὥς τε ἔμφυτον τῇ πλησμονῇ ἡ τοῦ ἑτέρου ἐπιθυμία. Εἰ οὖν ἐν τῷ κορέννυσθαι ἄρτου ἐπιθυμοῦμεν ἑτέρων, τοῦτον ἐσθίοντες μὴ κορεσθῶμεν, ἵνα τοῦτον πεινῶντες, πάντοτε ἐπιθυμοῦμεν κορεσθῆναι, ὅπως καὶ τὴν βλάβην τὴν ἐκ τῆς ἐπιθυμίας ἐκφύγωμεν, καὶ τὴν δικαιοσύνην τὴν ἐκ τῆς ἐγκρατείας ἀπενεγκώμεθα.

Ἀλλ' ἴσως ἐρεῖ τις τῶν περὶ τὴν νηστείαν ὀκνηρότερον διακειμένων· μὴ γὰρ ἁμαρτία ἐστὶν ἄνθρωπον μεταλαβεῖν τροφῆς; ἀλλ' οὐδὲ ἡμεῖς ὡς ἁμαρτίας οὔσης τοῦτο συμβουλεύομεν φυλάττεσθαι, ἀλλ' ὡς ἐκ τούτου τῆς ἁμαρτίας παρακολουθούσης. Καὶ ὁ Ἰσραὴλ οὐχ ἥμαρτεν ἐπιθυμήσας, ἀλλὰ διὰ τῆς ἐπιθυμίας τοῦ Θεοῦ καταλαλήσας ἠσέβησεν· εἶπε γάρ· μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; Καὶ μετὰ τὸ ἑτοιμασθῆναι αὐτοῖς, τότε ἡ ὀργὴ τοῦ Θεοῦ ἐξεκαύθη ἐν αὐτοῖς, καὶ συνεπόδισε τοὺς δυνατοὺς αὐτῶν, ἵνα μὴ ζῶντες πάλιν ἑτέρας ἐπιθυμήσωσι τροφῆς, καὶ λόγους κατὰ ὑψίστου λαλήσωσι, καὶ ἐξολοθρευθῶσιν οἱ κατάλοιποι αὐτῶν. Ἔργον ἐστὶ τῆς ἀναιδοῦς γαστρὸς κρατῆσαι· θεός ἐστι τῶν ἡττωμένων αὐτῇ καὶ οὐκ ἔστιν ἀθωωθῆναι τὸν αὐτῆς ἀνεχόμενον.

Οὐ μόνον δὲ τῆς πλησμονῆς ἐστι τὸ κινδυνευόμενον, ἀλλὰ καὶ τὸ τῆς ἀκηδίας· ἐν τῷ γὰρ παρέλκειν ἡμᾶς ἡμέρας πλείους μηδενὸς μεταλαμβάνοντας, ἡ ἀκηδία χώραν λαμβάνουσα, ἐπαναστήσεται καὶ πολεμήσει ἡμᾶς. Καὶ τὴν μὲν ἀγρυπνίαν ἡμῶν τῆς νυκτὸς εἰς ὕπνον μεταβαλεῖ, τὴν δὲ προσευχὴν τῆς ἡμέρας εἰς σαρκικοὺς λογισμούς, ὥς τε ἡμᾶς ἐκ τοῦ ὕπνου μηδὲν ὠφεληθῆναι, καὶ ἐκ τῶν σαρκικῶν λογισμῶν μᾶλλον βλαβῆναι τὰ μέγιστα. Ἀρχόμεθα γὰρ ὡς ὑπὲρ τοὺς ἄλλους ἀσκοῦντες μέγα φρονεῖν καὶ μικροτέρου ἐξουθενεῖν, ὅπερ ἐστὶ πάσης πλημμελείας χαλεπώτερον. Ὥς περ γάρ τις γεωργός, ἐὰν πολλοῖς ἀναλώμασι τὴν ἑαυτοῦ χώραν κατεργασάμενος ἄσπορον ἐάσῃ, εἰς ζημίαν ἐκοπίασεν, οὕτω καὶ ἡμεῖς, ἐὰν τὴν ἑαυτῶν σάρκα πολλῇ προσοχῇ δουλαγωγήσαντες τὸν λόγον τῆς εὐχῆς μὴ καταβάλωμεν, μᾶλλον καθ' ἑαυτῶν ἐσπουδάσαμεν.

Ἀλλ' ἴσως ἐρεῖ τις· ἢ ἐν προσευχῇ ἢ δικαιοσύνῃ, τίς ἐστι χρεία τῆς νηστείας; Πολλὴ κατὰ πάντα τρόπον. Καθάπερ γάρ τις τῶν πενήτων γεωργῶν, ἐὰν ἐπὶ χέρσου σπείρῃ μὴ νεώσας τὴν γῆν, ἀντὶ πυροῦ ἀκάνθας προσοδευθήσεται, οὕτω καὶ ἡμεῖς, ἐὰν μὴ τὴν ἑαυτῶν σάρκα νηστείᾳ ὑπωπιάσαντες τὸν λόγον τῆς εὐχῆς καταβάλωμεν, ἀντὶ δικαιοσύνης ἁμαρτίαν καρπωσόμεθα. Ἡ γὰρ σὰρξ αὕτη ἐκ τῆς γῆς ἐκείνης ὑπάρχει· καὶ ἐὰν μὴ τοσαύτης ἐπιμελείας τύχοι ὅσης ἐκείνη, καρπὸν δικαιοσύνης οὐδέποτε βλαστήσει.

Ταῦτα δὲ λέγομεν οὐχ ὡς τοὺς ἐκ τῆς νηστείας ὠφεληθῆναι δυναμένους ἐκκόπτοντες, ἀλλὰ τοὺς βλαβῆναι μὴ βουλομένους προτρεπόμενοι· ὃν τρόπον γὰρ ὠφελεῖ τοὺς μετὰ λογισμοῦ αὐτῇ προσιόντας, οὕτω βλάπτει τοὺς ἀλογίστως αὐτῇ προσερχομένους. Οἱ οὖν κηδόμενοι τῆς ὠφελείας αὐτῶν ὀφείλουσι φυλάσσεσθαι τὴν βλάβην αὐτῆς, τουτέστι τὴν κενοδοξίαν αὐτῆς, καὶ τὸν ἄρτον ὃν ἐσθίειν μέλλομεν, μετὰ τὴν συμπλήρωσιν τῆς νηστείας ἧς ὁρίζομεν ἑαυτοῖς, τοῦτον διελεῖν εἰς τὰς ἀσιτίας· ἵνα μέρους βραχέος καθ' ἡμέραν μεταλαμβάνοντες, φιμώσωμεν τῆς ἑαυτῶν σαρκὸς τὸ φρόνημα, καὶ τὴν καρδίαν ἔχωμεν ἐστηριγμένην εἰς τὴν ὠφελιμω-

τέραν προσευχήν, ὅπως δυνάμει Θεοῦ ἀπὸ ἐπάρσεως φυλαχθέντες, ἐν ταπεινοφροσύνῃ διάγειν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν μεριμνήσωμεν, ἧς χωρὶς οὐδεὶς εὐαρεστήσει τῷ Θεῷ.

Ἑρμηνεία

ΑΥΤΟΙ ποὺ ἀσκητεύουν πρέπει, ὅταν ἀρχίζουν τὴν ἄσκησιν, νὰ ἠμπορέσουν νὰ τὴν τελειώσουν· δι' αὐτὸ καὶ οἱ νέοι καὶ οἱ μεγαλύτεροι, ποὺ ἔχουν δυνατὸν σῶμα καὶ δὲν φοβοῦνται ταλαιπωρίαν, νὰ ἐκτελοῦν πολὺ πρόθυμα τὴν πλέον χρήσιμον καὶ πλέον ἀσφαλῆ νηστείαν. Νὰ τρώγουν ζυγισμένον τὸν ἄρτον καὶ νὰ πίνουν κατ' ἀραιὰ διαστήματα μὲ μέτρον τὸ νερόν, ὥστε νὰ φεύγουν ἀπὸ τὸ δεῖπνον χωρὶς νὰ ἔχουν χορτάσει ἐντελῶς τὸ φαγητὸν καὶ τὸ νερόν, καὶ νὰ μὴ ἐμποδίζωνται ἀπὸ ἡδονὴν τοῦ στομάχου, νὰ ἐκτελοῦν τὴν ὑπηρεσίαν των πρὸς τὸν Θεόν. Ἐὰν θελήσωμεν νὰ χορτάσωμεν φαγητόν, γρήγορα ἡ προσοχή μας θὰ χαλαρωθῇ καὶ θὰ στραφῶμεν πρὸς ἄλλην ἐπιθυμίαν· καὶ ἂν ἱκανοποιήσωμεν καὶ αὐτήν, τότε καὶ αὐτήν, ὅπως καὶ τὴν πρώτην, θὰ ἐγκαταλείψωμεν. Καὶ δὲν εἶναι δυνατὸν νὰ μείνωμεν χρτασμένοι ὅταν χορτάσωμεν ἀπὸ τὰς ἐπιθυμίας, ποὺ κάθε τόσον ἐπινοοῦμεν, διὰ νὰ ἱκανοποιήσωμεν τοὺς ἑαυτούς μας.

Ποῖον φαγητὸν ὑπάρχει γλυκύτερον καὶ ἐκλεκτότερον ἀπὸ τὸ μάννα*; Καὶ ὅμως ὅταν τὸ ἔφαγε καὶ ἐχόρτασεν ἀπὸ αὐτὸ ὁ Ἰσραήλ, ἐπειδὴ δὲν εἶχε νὰ ἐπιθυμήσῃ κάτι καλύτερον, ἐπεθύμησε τὸ χειρότερον· δηλαδὴ τὰ σκόρδα καὶ τὰ κρεμμύδια. Μὲ τὴν πλησμονὴν εἶναι σύμφυτος καὶ μία νέα ἐπιθυμία. Ἂν λοιπὸν μὲ τὸ νὰ χορταίνωμεν ἄρτον, ἐπιθυμοῦμεν ἄλλα πράγματα, τότε ἂς τὸν τρώγωμεν, χωρὶς νὰ τὸν χορταίνωμεν, διὰ νὰ πεινῶμεν καὶ νὰ θέλωμεν ἀκόμη νὰ φάγωμεν, διὰ νὰ χορτάσωμεν· ἔτσι θὰ ἀποφύγωμεν καὶ τὴν βλάβην ἀπὸ τὴν ἐπιθυμίαν, ἀλλὰ καὶ ἀπὸ τὴν ἀρετὴν τῆς ἐγκρατείας θὰ ὠφεληθῶμεν.

Ἀλλ' ἴσως θὰ εἴπῃ κανεὶς ἀπὸ αὐτούς, ποὺ δὲν πολυσυμπαθοῦν τὴν νηστείαν: μήπως εἶναι ἁμαρτία νὰ φάγῃ ὁ ἄνθρωπος; Ἀλλ' οὔτε καὶ ἡμεῖς συμβουλεύομεν νὰ φυλάγεσθε ἀπὸ τὸ φαγητὸν ὡς νὰ εἶναι ἁ-

---

* Μάννα ἢ μὰν εἶναι ἡ τροφὴ τὴν ὁποίαν ὁ Θεὸς ἔστειλεν εἰς τοὺς Ἰουδαίους κατὰ τὴν περιπλάνησίν των εἰς τὴν ἔρημον Σινᾶ. Ὅπως διηγεῖται ἡ Γραφή, τὸ μάννα παρουσιάζετο κάθε πρωΐ, ὑπὸ μορφὴν μικροῦ λευκοῦ σπόρου ἢ πηγμένων σταγόνων δρόσου· ὤφειλον δὲ νὰ συλλέγωσι τοῦτο οἱ Ἰουδαῖοι πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, διότι ὕστερα μὲ τὴν θερμότητα ἀνελύετο. Διετάχθησαν δὲ οἱ Ἰουδαῖοι νὰ μαζεύουν τὸ μάννα κάθε πρωῒ εἰς ποσότητα ἑνὸς γομὸρ ἤτοι 1750 γραμμαρίων κατὰ ἄτομον, νὰ ἀπορρίπτουν δὲ κάθε βράδυ ὅσον ἐπερίσσευε, διότι ἐγέννα σκώληκας καὶ ἀνέδιδεν δυσοσμίαν. Μόνον τὸ μάννα ποὺ ἐμάζευον κατὰ Παρασκευὴν καὶ Σάββατον διετηρεῖτο δύο ἡμέρας. Μὲ τὸ μάννα ἐτράφησαν οἱ Ἰουδαῖοι 40 ἔτη, ἡ δὲ γεῦσις του, κατὰ τὴν Γραφήν, ἦτο ὁμοία μὲ τὴν γεῦσιν «πλακοῦντος ἐν μέλιτι» (τηγανίτας μὲ μέλι).

μαρτία, ἀλλὰ διότι τὸ φαγητὸν συνοδεύει κάποτε ἡ ἁμαρτία. Καὶ ὁ Ἰσραὴλ δὲν ἡμάρτησε μὲ τὸ νὰ ἐπιθυμήσῃ τροφήν, ἀλλὰ διέπραξεν ἀσέβειαν, διότι ἐξ αἰτίας τῆς ἐπιθυμίας ἐγόγγυσεν ἐναντίον τοῦ Θεοῦ. Εἶπε δηλαδή· μήπως θὰ ἠμπορέσῃ ὁ Θεὸς νὰ μᾶς ἑτοιμάσῃ τράπεζαν εἰς τὴν ἔρημον (Ψαλμ. οζ', 17—21); Καὶ ἀφοῦ ἡτοιμάσθη εἰς αὐτοὺς ἡ τράπεζα, τότε ἐφούντωσεν ἐναντίον των ἡ ὀργὴ τοῦ Θεοῦ καὶ ἐθανάτωσε τοὺς δυνατούς των, διὰ νὰ μὴ ζήσουν καὶ ἐπιθυμήσουν πάλιν ἄλλην τροφὴν καὶ βλασφημήσουν κατὰ τοῦ Ὑψίστου καὶ ἐξολοθρευθοῦν ἔτσι οἱ ἀπόγονοί των (Ἀριθμοὶ ια', 1—35). Εἶναι δύσκολον νὰ χαλιναγωγήσῃ κανεὶς τὴν ἀχόρταγον κοιλίαν· διότι γίνεται θεὸς εἰς ἐκείνους, ποὺ νικῶνται ἀπὸ αὐτὴν καὶ δὲν ἠμπορεῖ νὰ σωθῇ ἐκεῖνος, ποὺ τὴν ἀνέχεται.

Ὁ κίνδυνος ὅμως δὲν προέρχεται μονάχα ἀπὸ τὸν χορτασμόν, ἀλλὰ καὶ ἀπὸ τὴν ἐξάντλησιν· διότι ὅταν περνῶμεν περισσοτέρας ἡμέρας τελείως νηστικοί, τότε ἡ ἐξάντλησις καὶ ἡ κατάπτωσις θὰ εὕρουν εὐκαιρίαν νὰ ἐπαναστατήσουν καὶ θὰ μᾶς πολεμήσουν. Καὶ τὴν μὲν νυκτερινὴν ἀγρυπνίαν μας θὰ μεταβάλλουν εἰς ὕπνον, τὴν δὲ καθημερινὴν προσευχὴν εἰς σαρκικοὺς λογισμούς, ὥστε ἀπὸ τὸν ὕπνον καθόλου νὰ μὴ ὠφεληθῶμεν καὶ ἀπὸ τοὺς σαρκικοὺς λογισμοὺς νὰ ζημιωθῶμεν πάρα πολύ. Διότι ἀρχίζομεν νὰ ὑπερηφανευώμεθα, ὅτι ὑποβαλλόμεθα εἰς μεγαλυτέραν ἄσκησιν ἀπὸ τοὺς ἄλλους καὶ νὰ περιφρονοῦμεν τὸν μικρότερον, ποὺ εἶναι τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ ἄλλα σφάλματα. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνας γεωργός, ποὺ θὰ ἐξοδεύσῃ πολλὰ χρήματα, διὰ νὰ καλλιεργήσῃ τὰ κτήματά του, ἂν δὲν σπείρῃ εἰς αὐτά, ἐζημιώθη, ἔτσι καὶ ἡμεῖς· ἂν σκληραγωγήσωμεν μὲ πολλὴν προσοχὴν τὴν σάρκα μας, ἀλλὰ δὲν κλείσωμεν μέσα εἰς τὴν ψυχήν μας τὰ λόγια τῆς εὐχῆς, ὥστε ἀδιάλειπτα νὰ προσευχώμεθα, μᾶλλον ἐναντίον μας ἐνηργήσαμεν.

Τότε ὅμως ἴσως θὰ εἴπῃ κανείς· ὅταν ὑπάρχῃ ἡ προσευχή, ἢ ἡ ἐν γένει ἀρετή, τότε ποία εἶναι ἡ ἀνάγκη τῆς νηστείας; Ὁπωσδήποτε μεγίστη. Ὅπως ἀκριβῶς, δηλαδή, ἕνας πτωχὸς γεωργός, ἐὰν σπείρῃ σὲ χέρσον χωράφι, χωρὶς προηγουμένως νὰ τὸ καλλιεργήσῃ, θὰ μαζεύῃ κατὰ τὴν συγκομιδήν, ἀκάνθας ἀντὶ σίτου, ἔτσι καὶ ἡμεῖς· ἐὰν δὲν καταπονήσωμεν τὴν σάρκα μας μὲ νηστείαν, δὲν ἠμποροῦν νὰ καρποφορήσουν εἰς τὴν ψυχήν μας τὰ λόγια τῆς προσευχῆς, ὁπόταν θὰ ἐσοδειάσωμεν ἁμαρτίαν ἀντὶ τῆς ἀρετῆς. Διότι αὐτὴ ἡ σὰρξ προέρχεται ἀπὸ ἐκείνην τὴν γῆν· ἂν λοιπὸν δὲν τύχῃ τῆς ἰδίας φροντίδος ὅσης καὶ ἐκείνη, οὐδέποτε πρόκειται νὰ βλαστήσῃ τὸν καρπὸν τῆς ἀρετῆς.

Τὰ λέγομεν δὲ αὐτά, ὄχι διὰ νὰ ἐμποδίσωμεν ἐκείνους, ποὺ ἠμποροῦν νὰ ὠφεληθοῦν ἀπὸ τὴν νηστείαν, ἀλλὰ διὰ νὰ συμβουλεύσωμεν ἐκείνους, ποὺ δὲν θέλουν νὰ ζημιωθοῦν. Διότι ὅπως ὠφελεῖ αὐτούς, ποὺ μὲ περίσκεψιν ἐκτελοῦν τὴν νηστείαν, ἔτσι βλάπτει, ἀντίθετα, ἐκείνους ποὺ ἀσυλλόγιστα τὴν ἐφαρμόζουν. Αὐτοὶ λοιπόν, ποὺ ἐνδιαφέρονται νὰ ὠφεληθοῦν, ὀφείλουν νὰ προφυλάσσωνται ἀπὸ τὴν βλάβην αὐτῆς, δηλαδὴ τὴν κενοδοξίαν, τὴν ὁποίαν γεννᾷ. Τὸν ἄρτον, ποὺ

πρόκειται νὰ φάγωμεν μετὰ τὴν συμπλήρωσιν τῆς νηστείας, τὴν ὁποίαν ὁρίζομεν διὰ τὸν ἑαυτόν μας, νὰ τὸν μοιράζωμεν εἰς τὰς ἡμέρας, ποὺ θὰ μένωμεν νηστικοί, διὰ νὰ τρώγωμεν καθημερινὰ ὀλίγον. Ἔτσι θὰ δεσμεύσωμεν τὸ σαρκικὸν φρόνημα καὶ θὰ ἔχωμεν στηριγμένην τὴν καρδίαν μας εἰς τὴν προσευχήν, ποὺ ὠφελεῖ περισσότερον, διὰ νὰ προφυλαχθῶμεν, μὲ τὴν δύναμιν τοῦ Θεοῦ, ἀπὸ τὴν ἔπαρσιν καὶ νὰ διερχώμεθα ὅλας τὰς ἡμέρας μας μὲ ταπεινοφροσύνην, χωρὶς τὴν ὁποίαν δὲν ἠμπορεῖ κανεὶς νὰ εὐαρεστήσῃ τὸν Θεόν.

Ζ'. Τοῦ Ἁγίου Διαδόχου

ΟΝ τρόπον ὑπὸ πλήθους βρωμάτων βαρυνόμενον τὸ σῶμα δειλόν τινα καὶ δυσκίνητον τὸν νοῦν ἀπεργάζεται, οὕτω καὶ ἐξασθενοῦν ὑπὸ πολλῆς ἐγκρατείας στυγνόν τι καὶ φιλόλογον τὸ θεωρητικὸν τῆς ψυχῆς ἀποτελεῖ μέρος. Δεῖ οὖν πρὸς τὰς τοῦ σώματος κινήσεις καὶ τὰς τροφὰς εὐπρεπίζεσθαι, ἵνα ὅτε μὲν ὑγιαίνει κολάζηται πρεπόντως, ὅτε δὲ ἀσθενεῖ πιαίνηται μετρίως. Οὐ γὰρ ἀτονεῖν δεῖ τῷ σώματι τὸν ἀγωνιζόμενον, ἀλλ' ὅσον ἀρκεῖν πρὸς τὸν ἀγῶνα δύνασθαι, ἵνα καὶ τοῖς τόνοις τοῦ σώματος ἡ ψυχὴ δεόντως καθαίρηται.

Ἡ νηστεία ἔχει μὲν καθ' ἑαυτὴν καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν· ἐργαλεῖον γάρ ἐστιν ὥς περ εἰς σωφροσύνην ρυθμίζον τοὺς θέλοντας. Οὐ δεῖ οὖν ἐπ' αὐτῇ μεγαλοφρονεῖν τοὺς τῆς εὐσεβείας ἀγωνιστάς, ἐκδέχεσθαι δὲ μόνον ἐν πίστει τῇ εἰς Θεὸν τὸ πέρας ἡμῶν τοῦ σκοποῦ. Οὐδὲ γὰρ οἱ τῶν οἱωνδηποτοῦν τεχνῶν ἐπιστήμονες ἐκ τῶν ἐργαλείων τὸ τοῦ ἐπαγγέλματος ἀποτέλεσμα καυχῶνταί ποτε, ἀλλὰ περιμένει ἕκαστος τὸ εἶδος τοῦ ἐγχειρήματος, ἵνα ἐξ ἐκείνου τὴν τέχνην ἐνδείξηται.

Ὃν τρόπον ἡ γῆ συμμέτρως μὲν ἀρδευομένη καθαρὸν τὸ καταβαλλόμενον σπέρμα μετὰ πολλῆς προσθήκης ἀνίησιν, ὑπὸ πολλῶν δὲ μεθυσκομένη ὄμβρων ἀκάνθας φέρει μόνον καὶ τριβόλους, οὕτω καὶ ἡ γῆ τῆς καρδίας. Ἐὰν μὲν συμμέτρῳ οἴνῳ χρώμεθα, καθαρὰ τὰ φυσικὰ αὐτῆς ἀναδίδωσι σπέρματα, καὶ τὰ ἀπὸ τοῦ Ἁγίου Πνεύματος εἰς αὐτὴν σπειρόμενα εὐθαλῆ λίαν ἀναφέρει καὶ πολύκαρπα· ἐὰν δὲ διάβροχος ὑπὸ τῆς πολυποσίας γένηται, ἀκάνθας ὄντως ἀναφέρει τοὺς ἅπαντας αὐτῆς λογισμοὺς καὶ τριβόλους.

Ὅταν ὁ νοῦς ἡμῶν τῷ τῆς πολυποσίας ἐννήχηται κύματι οὐ μόνον τοῖς ὑπὸ τῶν δαιμόνων ἐν τῷ ὕπνῳ σχηματιζομένοις ἐμπαθῶς ἐνορᾷ εἰδώλοις, ἀλλὰ καὶ ἐν ἑαυτῷ ὄψεις τινὰς ἀναπλάττων εὐπρεπεῖς, ταῖς αὐτῶν φαντασίαις ὡς ἐρωμέναις τισὶ κέχρηται διαπύρως· θερμαινομένων γὰρ τῶν συνουσιαστικῶν ὀργάνων ὑπὸ τῆς τοῦ οἴνου ζέσεως, ἀνάγκη πᾶσα παριστᾶν ἑαυτῷ σκιὰν τοῦ πάθους ἐνήδονον.

Χρὴ οὖν τῇ συμμετρίᾳ ἡμᾶς κεχρημένους, τὴν ἐκ τοῦ πλεονάζοντος διαφεύγειν βλάβην. Ὅταν γὰρ οὐκ ἔχῃ τὴν ὑποσύρουσαν αὐτὸν ἡδονὴν πρὸς τὴν ζωγραφίαν τῆς ἁμαρτίας, ἀφάντναστος ὅλος διαμένει καὶ ἀθήλυντος.

Ἑρμηνεία

Ὅπως ἡ ποικιλία τῶν φαγητῶν βαρύνει τὸ σῶμα καὶ κάμνει τὸν νοῦν δειλὸν καὶ δυσκίνητον, ἔτσι καὶ ὅταν, ἀντίθετα, ἐξασθενήσῃ ἀπὸ τὴν πολλὴν ἐγκράτειαν, τότε τὸ θεωρητικὸν μέρος τῆς ψυχῆς σκυθρω-

πάζει καὶ γίνεται πολύλογον. Πρέπει λοιπὸν ἀνάλογα μὲ τὴν σωματικὴν κατάστασιν νὰ ρυθμίζωμεν καὶ τὴν τροφήν, διὰ νὰ κακουχῆται ὅσον πρέπει μὲ τὴν νηστείαν, ὅταν εἶναι δυνατόν, καὶ νὰ δυναμώνη κάπως ὅταν ἀρρωσταίνῃ, μὲ τὴν χαλάρωσιν τῆς νηστείας. Διότι δὲν πρέπει νὰ ἀτονῇ σωματικὰ ὁ ἀγωνιζόμενος, ἀλλὰ νὰ ἔχῃ τὴν ἀπαραίτητον δύναμιν, διὰ νὰ ἀγωνίζεται, ὥστε νὰ καθαρίζεται καὶ ἡ ψυχὴ μὲ τὴν τονωτικὴν καὶ ἀγωνιστικὴν προσπάθειαν τοῦ σώματος.

Ἡ νηστεία εἶναι μὲν ἀξιέπαινος καθ' ἑαυτήν, ὄχι ὅμως καὶ ἐνώπιον τοῦ Θεοῦ· διότι εἶναι ὅπως ἕνα ἐργαλεῖον, ποὺ ρυθμίζει εἰς σωφροσύνην ἐκείνους ποὺ θέλουν. Δὲν πρέπει λοιπὸν νὰ ὑπερηφανεύωνται διὰ τὴν νηστείαν οἱ ἀγωνισταὶ τῆς εὐσεβείας, ἀλλὰ μονάχα νὰ ἀναμένουν μὲ τὴν πρὸς τὸν Θεὸν πίστιν τῶν τὸ τέλος τοῦ σκοποῦ μας. Διότι οὔτε οἱ τεχνῖται, οἱ ὁποῖοι γνωρίζουν μίαν οἱανδήποτε τέχνην, σπεύδουν νὰ καυχηθοῦν ἀπὸ τὰ ἐργαλεῖα μόνον, διὰ τὸ ἀποτέλεσμα τῆς τέχνης των· ἀλλὰ ὁ καθένας ἀπ' αὐτοὺς περιμένει τὸ εἶδος τῆς ἐργασίας, μὲ τὴν ὁποίαν πρόκειται νὰ ἀσχοληθῇ, διὰ νὰ δείξῃ ἔτσι τὴν ἱκανότητά του εἰς τὴν τέχνην του.


Ὅπως ἡ γῆ, ὅταν ποτίζεται κανονικά, κάμνει νὰ φυτρώσῃ ὁ σπόρος ποὺ ἔπεσεν εἰς αὐτὴν μὲ μεγάλην ἀπόδοσιν, ἐνῷ ὅταν πλημμυρίσῃ ἀπὸ πολλὰς βροχὰς μονάχα ἀκάνθας καὶ τριβόλους βλαστάνει, ἔτσι καὶ ἡ γῆ τῆς καρδίας. Ἂν γευώμεθα μὲ μέτρον τὸν οἶνον, τότε ἡ καρδία παράγει καθαρὰ τὰ φυσικά της σπέρματα καὶ ἐκεῖνα ποὺ σπείρονται εἰς αὐτὴν ἀπὸ τὸ Ἅγιον Πνεῦμα τὰ κάμνει νὰ ἀναπτυχθοῦν πολὺ ὡραῖα καὶ νὰ φέρουν πολλοὺς καρπούς· ἂν ὅμως παρασυρθῇ ἀπὸ τὴν πολυποσίαν, τότε ὅλοι οἱ λογισμοὶ ποὺ σχηματίζονται εἰς αὐτὴν εἶναι πραγματικὰ ἀγκάθια καὶ τρίβολοι.

Ὅταν ὁ νοῦς μας κατακλύζεται ἀπὸ τὸ κῦμα τῆς πολυποσίας, τότε ὄχι μονάχα προσέχει μὲ πάθος εἰς τὰ εἴδωλα, ποὺ σχηματίζουν εἰς τὸν ὕπνον μας οἱ δαίμονες, ἀλλὰ ἀναπλάττει καὶ ὁ ἴδιος πλέον διαφόρους ὡραίας εἰκόνας, ἀπὸ τὰς φαντασίας τῶν ὀνείρων καὶ τὰς χρησιμοποιεῖ ὡς ἐρωμένας μὲ φλογερὸν πάθος· διότι ἀφοῦ θερμαίνονται τὰ γενετήσια ὄργανα ἀπὸ τὴν θερμότητα ποὺ ἀναπτύσσει τὸ κρασί, κατ' ἀνάγκην γεννῶνται ἐμπαθεῖς παραστάσεις, ποὺ προξενοῦν ἡδονήν.

Πρέπει λοιπὸν μὲ μέτρον νὰ χρησιμοποιοῦμεν τὸν οἶνον, ὥστε νὰ ἀποφεύγωμεν τὴν βλάβην ἀπὸ τὴν κατάχρησίν του. Διότι ὅταν ὁ νοῦς μας δὲν καταλαμβάνεται ἀπὸ τὴν ἡδονήν, ποὺ τὸν παρασύρει εἰς τὴν περιγραφὴν τῆς ἁμαρτίας, τότε παραμένει τελείως ἐλεύθερος ἀπὸ πονηρὰς φαντασίας καὶ σαρκικὰς ἐπιθυμίας.

Η'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΟΙ ΠΑΤΕΡΕΣ ἡμῶν οὐχ ἕνα κανόνα τῆς νηστείας οὐδὲ ἕνα τρόπον τῆς τῶν βρωμάτων μεταλήψεως οὐδὲ τὸ ἄμετρον πᾶσι παραδεδώκασι, διὰ τὸ μηδὲ πάντας τὴν αὐτὴν ἰσχὺν ἔχειν ἢ διὰ ἡλικίαν, ἢ δι' ἀσθένειαν, ἢ διὰ ἕξιν ἀστασιωτέραν σώ-


Ὁ ὅσιος Διάδοχος
ἐπίσκοπος Φωτικῆς
ΧΕΙΡ.
ΔΗΜ. ΡΙΤΣΟΥ

ματος. Ἕνα δὲ σκοπὸν παραδεδώκασι πᾶσι, φεύγειν τὴν πλησμονήν, ἀποστρέφεσθαι τὴν χορτασίαν τῆς γαστρός, τὴν δὲ καθημερινὴν νηστείαν ἐδοκίμασαν ὠφελιμωτέραν εἶναι καὶ συμβαλλομένην πρὸς καθαρότητα τῆς ἐν τρισὶν ἢ τέσσαρσιν ἢ ἕως ἑβδομάδος ἑλκομένης νηστείας. Καὶ γάρ φασιν τὸν ἀμέτρως ἐπεκτεινόμενον τῇ νηστείᾳ, ὑπὲρ μέτρον πολλάκις τῇ τροφῇ κεχρῆσθαι.

Ὡς ἐκ τούτου ποτὲ μὲν τῇ ὑπερβολῇ τῆς ἀσιτίας ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας ὀκνηρότερον γίνεσθαι, ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον, ἀκηδίαν καὶ χαύνωσιν ἐμποιεῖν τῇ ψυχῇ. Καὶ πάλιν οὐ πᾶσιν ἁρμόδιον εἶναι ἐδοκίμασαν τὴν τῶν λαχάνων μετάληψιν, ἤτοι τοῖς ὑγιαίνουσιν, ἀλλὰ τοῖς ἀσθενοῦσιν, οὔτε πᾶσι τὴν τῶν ὀσπρίων, οὔτε πάντας δύνασθαι τῇ τοῦ ξηροῦ ἄρτου κεχρῆσθαι τροφῇ, τουτέστι τοὺς ἀσθενοῦντας, ἀλλὰ τοὺς ὑγιαίνοντας. Καὶ ἄλλον μὲν εἶπον δύο λίτρας ἐσθίοντα ἄρτου, ἀκμὴν πεινᾷν· ἄλλον δὲ ἐσθίοντα λίτραν ἢ ἓξ οὐγκίας χορτάζεσθαι. Πᾶσιν οὖν ὡς εἴρηται ἕνα ὅρον ἐγκρατείας παραδεδώκασι, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας, μηδὲ ἐξέλκεσθαι τῇ τοῦ λάρυγγος ἡδονῇ· οὐδὲ γὰρ ἡ διαφορὰ τῆς ποιότητος μόνον τῶν βρωμάτων, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους τὰ πεπυρωμένα βέλη τῆς πορνείας ἀνάπτειν εἴωθεν. Οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστήρ, ἀσωτίας σπέρματα τίκτει. Καὶ πάλιν· οὐ μόνον ἡ κραιπάλη τοῦ οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος καὶ πασῶν τροφῶν ἡ ὑπερβολὴ κεκαρωμένην καὶ νυστάζουσαν ταύτην ἀποτελεῖ. Τοῖς Σοδομίταις οὐκ οἴνου καὶ διαφόρων βρωμάτων κραιπάλη καταστροφῆς γέγονεν αἰτία, ἀλλὰ ἄρτου πλησμονὴ κατὰ τὸν Προφήτην.

Ἡ ἀσθένεια τοῦ σώματος πρὸς τὴν καθαρότητα τῆς καρδίας οὐκ ἀντίκειται, ὅταν παρέχωμεν τῷ σώματι, ἃ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἡ ἡδονὴ θέλει. Ἡ τῶν βρωμάτων χρῆσις ὅσον ὑπουργῆσαι πρὸς τὸ ζῆν παραλαμβάνεται, οὐχ ὅσον δουλεῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας. Ἡ σύμμετρος κατὰ λόγον τῶν τροφῶν μετάληψις τῆς ὑγείας φροντίζει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. Ὅρος ἐγκρατείας ὃν οἱ Πατέρες παρέδωκαν, οὗτός ἐστι· τὸν μεταλαμβάνοντα τινὰ τροφῆς ἔτι τῆς ὀρέξεως ἐγκειμένης ταύτης ἀπέχεσθαι, καὶ μὴ ἀναμένειν τὸν κόρον. Καὶ ὁ Ἀπόστολος δὲ εἰπὼν τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι εἰς ἐπιθυμίαν, οὐ τὴν ἀναγκαίαν τῆς ζωῆς κυβέρνησιν ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν.

Ἑρμηνεία

ΟΙ ΠΑΤΕΡΕΣ μας δὲν ἔχουν παραδώσει ἕνα μονάχα κανόνα νηστείας, οὔτε ἕνα ὡρισμένον διαιτολόγιον, οὔτε τὴν ἄδειαν εἰς ὅλους νὰ τρώγουν χωρὶς μέτρον· ἐπειδὴ ὅλοι δὲν ἔχουν τὴν ἰδίαν δύναμιν, ἢ λόγῳ ἡλικίας ἢ λόγῳ ἀσθενείας, ἢ διότι δὲν ἔχουν ἀκόμα ὑποβάλλει τὸ σῶμα των εἰς μίαν σταθερὰν συνήθειαν. Εἰς ὅλους ὅμως ἔχουν ὑποδείξει ἕνα σκοπόν· νὰ ἀποφεύγωμεν τὰ πολλὰ φαγητά, καὶ νὰ μὴ ἐπιδιώκωμεν τὸ χόρτασμα τοῦ στομάχου μας. Κατόπιν μακρᾶς πείρας διεπίστωσαν ὅτι ἡ καθημερινὴ ἐγκράτεια φαγητοῦ, δηλαδὴ ἡ μικρὰ νηστεία, εἶναι πολὺ περισσότερον ὠφέλιμος ἀπὸ τὴν μακρὰν νηστείαν, ποὺ φθάνει τὰς τρεῖς

ἢ τέσσαρας ἡμέρας ἢ διαρκεῖ καὶ ὁλόκληρον ἑβδομάδα. Διότι, καθὼς λέγουν, ἐκεῖνος ποὺ παρατείνει τὴν νηστείαν χωρὶς μέτρον, πολλάκις καὶ τὴν τροφὴν χρησιμοποιεῖ ὑπὲρ τὸ μέτρον.

Ἔτσι, ἄλλοτε μὲν ἀπὸ τὴν ὑπερβολικὴν ἀσιτίαν ἀτονεῖ τὸ σῶμα καὶ γίνεται ὀκνηρότερον διὰ τὰς πνευματικὰς λειτουργίας· ἄλλοτε πάλιν καταβαρύνεται ἀπὸ τὸ πλῆθος τῶν τροφῶν καὶ προξενεῖ εἰς τὴν ψυχὴν ἀμέλειαν καὶ ἀποχαύνωσιν. Ἀπὸ τὴν μακράν, ἐπίσης, πεῖραν των διεπίστωσαν ὅτι δὲν ἁρμόζει εἰς ὅλους ἡ τροφὴ τῶν λαχάνων, δηλαδὴ εἰς τοὺς ὑγιαίνοντας, ἀλλ' εἰς τοὺς ἀδυνάτους (Ρωμ. ιδ', 2)· οὔτε δι' ὅλους εἶναι τὰ ὄσπρια· οὔτε ὅλοι ἠμποροῦν νὰ χρησιμοποιήσουν ὡς τροφὴν τὸν ξηρὸν ἄρτον, δηλαδὴ οἱ ἀσθενικοί, ἀλλὰ μονάχα οἱ ὑγιαίνοντες. Εἶπον οἱ Πατέρες ὅτι ἄλλος τρώγει δύο λίτρας ἄρτου καὶ ἀκόμη πεινᾷ· ἐνῷ ἄλλος χορταίνει μόλις φάγῃ μίαν λίτραν ἢ ἓξ οὐγκίας. Εἰς ὅλους, λοιπόν, ὅπως ἐλέχθη, ἕνα ὅρον ἐγκρατείας ὥρισαν, τὸ νὰ μὴ ἐξαπατώμεθα ἀπὸ τὴν ἐπιθυμίαν νὰ χορτάσωμεν τὴν κοιλίαν μας, οὔτε νὰ παρασυρώμεθα ἀπὸ τὴν ἡδονὴν τοῦ λάρυγγος· διότι ὄχι μόνον ἡ ποιοτικὴ διαφορὰ τῶν φαγητῶν, ἀλλὰ καὶ ἡ ποσότης συνήθως ἀνάβουν τὰ φλογερὰ βέλη τῆς πορνείας.

Ἀπὸ ὁποιανδήποτε τροφὴν καὶ ἂν γεμίσῃ ἡ κοιλία, γεννᾷ τὰ σπέρματα τῆς ἀσωτίας. Καὶ πάλιν· ὄχι μόνον ἡ ἄμετρος οἰνοποσία φέρει μέθην εἰς τὴν διάνοιαν, ἀλλὰ καὶ τὸ πολὺ νερὸν καὶ τὸ ὑπερβολικὸν φαγητὸν ἀποκοιμίζουν τὴν διάνοιαν ἢ τὴν κάνουν νὰ νυστάζῃ. Τοὺς Σοδομίτας* δὲν τοὺς κατέστρεψεν ἡ ζάλη ἀπὸ τὴν κατάχρησιν τοῦ οἴνου καὶ τῶν διαφόρων φαγητῶν, ἀλλά, ὅπως λέγει ὁ Προφήτης, τὸ χόρτασμα τοῦ ἄρτου (Ἰεζεκιὴλ ιστ', 49).

Ἡ ἀσθένεια τοῦ σώματος δὲν ἔρχεται εἰς ἀντίθεσιν πρὸς τὴν καθαρότητα τῆς καρδίας, ὅταν προσέχωμεν νὰ δίδωμεν εἰς τὸ σῶμα ὅσα ἀπαιτεῖ ἡ ἀσθένεια καὶ ὄχι ὅσα θέλει ἡ ἡδονή. Τρώγομεν τὰ φαγητὰ μὲ μέτρον, ὅσον χρειάζεται διὰ τὴν ζωὴν καὶ ὄχι διὰ νὰ γίνωμεν δοῦλοι εἰς τὰς ὁρμὰς τῆς κακῆς ἐπιθυμίας. Ἡ χρῆσις τῶν τροφῶν μὲ μέτρον καὶ λογικὴν ἐξασφαλίζει τὴν ὑγείαν τοῦ σώματος· δὲν ἀφαιρεῖ τὴν ἁγιωσύνην. Αὐτὸς εἶναι ὁ ὅρος τῆς ἐγκρατείας, τὸν ὁποῖον μᾶς παρέδωσαν οἱ Πατέρες· τὸ νὰ τρώγῃ κανεὶς καὶ νὰ σταματᾷ τὸ φαγητόν του, ἐνῷ ἀκόμη ἔχει ὄρεξιν, χωρὶς νὰ περιμένῃ νὰ χορτάσῃ τελείως. Καὶ ὁ Ἀπόστολος Παῦλος ὅταν εἶπε «καὶ μὴ φροντίζετε διὰ τὴν ἱκανοποίησιν τῶν ἀτάκτων σαρκικῶν ἐπιθυμιῶν» (Ρωμ. ιγ', 14), δὲν ἠμπόδισε τὴν ἀπαραίτητον κυβέρνησιν τῆς ζωῆς μας, ἀλλ' ἀπηγόρευσε τὴν φιλήδονον φροντίδα.

---

* Σοδομῖται ἦσαν οἱ κάτοικοι τῶν Σοδόμων, τῆς πόλεως τὴν ὁποίαν κατέστρεψεν ὁ Θεὸς διὰ τὰς ἁμαρτίας τῶν κατοίκων της, ρίψας πῦρ καὶ θεῖον ἐξ οὐρανοῦ. Τοιαύτη ἦτο ἡ ἔκλυσις τῶν ἠθῶν τῶν Σοδομιτῶν, ὥστε κατήντησε Σοδομίτης νὰ σημαίνῃ διεστραμμένος ἀπὸ πᾶσαν αἰσχρότητα.

Θ'. Ἐν τῷ Γεροντικῷ

ΕΓΕΝΕΤΟ προσφορὰ εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου· καὶ εὑρέθη ἐκεῖ κνίδιον οἴνου· καὶ λαβὼν εἷς τῶν γερόντων μικρὸν ἀγγεῖον καὶ ποτήριον, ἀπήνεγκε πρὸς τὸν Ἀββᾶν Σισώην, καὶ ἔδωκεν αὐτῷ καὶ ἔπιεν· ὁμοίως καὶ δεύτερον καὶ ἐδέξατο· προσήνεγκεν αὐτῷ καὶ τρίτον καὶ οὐκ ἔλαβεν, εἰπών· παῦσαι ἀδελφέ, ἢ οὐκ οἶδας ὅτι ἐστὶ σατανᾶς;

2. Ἡ σκότωσις τῆς ψυχῆς γίνεται ἐκ τῆς ἀταξίας τῆς πολιτείας, τὸ δὲ μέτρον καὶ ὁ καιρὸς ἐν τῇ πολιτείᾳ φωτίζουσι τὴν διάνοιαν καὶ τὴν σύγχυσιν ἀποδιώκουσιν· ἡ γὰρ σύγχυσις τῆς διανοίας ἡ ἀπὸ τῆς ἀταξίας τὴν σκότωσιν ἐμποιεῖ τῇ ψυχῇ, ἀφ᾽ ἧς ἡ θόλωσις καὶ ἡ ταραχὴ ἐπιγίνεται. Ἐκ δὲ τῆς τάξεως τίκτεται ἡ εἰρήνη, καὶ ἐκ τῆς εἰρήνης τὸ φῶς γεννᾶται ἐν τῇ ψυχῇ καὶ ἐκ τοῦ φωτὸς τῆς εἰρήνης ὁ καθαρὸς ἀὴρ ἐν τῇ διανοίᾳ ἀποκαλύπτεται· καὶ πρὸς τὸ μέτρον πρὸς ὃ ἂν ἡ καρδία ἐγγίσῃ τῇ σοφίᾳ, πρὸς αὐτὸ καὶ τὴν χάριν παρὰ Θεοῦ δέχεται.

Εἰ οὖν θέλεις τῷ Θεῷ προσεγγίσαι ἐν τῇ καρδίᾳ σου, πρῶτον ἐν τοῖς σωματικοῖς δεῖξον αὐτῷ τὸν πόθον σου, ἤγουν ἐν τῇ ἐνδείᾳ τῆς χρείας, ἐν τῇ μεταλήψει τοῦ ἑνὸς εἴδους τῆς τροφῆς ἐν τάξει, καὶ ἐν τῇ λοιπῇ ἀσκήσει καὶ κακουχίᾳ τοῦ σώματος μετὰ διακρίσεως καὶ γνώσεως γινομένης. Ἐντεῦθεν γὰρ καὶ ὁ Κύριος τὸν θεμέλιον τῆς τελειώσεως κατεβάλετο, ἐκ κακοπαθείας ἐν τῇ ἐρήμῳ ἀρξάμενος καὶ οὕτω καὶ σὺ ἀναχθήσῃ πρὸς τὰ μείζονά τε καὶ τέλεια, καὶ νοερῶς τῷ Θεῷ πλησιάσεις, τῇ συνεργίᾳ τῆς χάριτος.

3. Μεγάλη δύναμις ἡ μικρὰ πολιτεία ἡ διαμένουσα· τὴν γὰρ πέτραν τὴν σκληρὰν κοιλαίνει. Μὴ νομίσῃς, ἀδελφέ, ὅτι ἄλλως κωλύονται οἱ ἔσω λογισμοί, εἰ μὴ ἐκ τοῦ καλῶς καὶ εὐτάκτως τὸ σῶμα καταστῆσαι.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἔγινε προσφορὰ (πανήγυρις)* εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου. Εὑρέθη λοιπὸν ἐκεῖ καὶ μικρὸν δοχεῖον μὲ οἶνον. Τότε ἕνας ἀπὸ τοὺς Γέροντας τὸ ἐπῆρεν, ἔβαλεν εἰς ἕνα ποτήρι, τὸ ἔφερε καὶ τὸ ἔδωσεν εἰς τὸν Ἀββᾶν Σισώην· ἐκεῖνος τὸ ἤπιε. Τοῦ ἔδωσεν ἐπίσης καὶ δεύτερον καὶ τὸ ἤπιεν. Ὅταν ὅμως τοῦ προσέφερε καὶ τρίτον, ὁ Ἀββᾶς Σισώης δὲν τὸ ἐπῆρε καὶ τοῦ εἶπε:

---

* Ἡ λέξις προσφορὰ ἔχει ἐνταῦθα τὴν ἔννοιαν τῆς λέξεως πανήγυρις. Κατὰ τὰς ἐπισήμους δηλαδὴ ἑορτὰς ἢ κατὰ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἑώρταζεν ὁ κεντρικὸς ναὸς τῆς Σκήτεως (τὸ Καθολικὸν), προσήρχοντο οἱ ἐν τοῖς πέριξ ἐφησυχάζοντες Πατέρες διὰ νὰ ἑορτάσουν ἀπὸ κοινοῦ τὴ ἐπερχομένην ἑορτήν. Κατὰ τὰς πανηγύρεις προσήρχοντο καὶ κοσμικοὶ ἀπὸ μακρυνὰς περιοχὰς προσκομίζοντες μαζὶ μὲ τὰ διὰ τὴν θείαν λειτουργίαν προοριζόμενα τίμια δῶρα καὶ διάφορα τρόφιμα καὶ ἄλλα ἀναγκαῖα, τὰ ὁποῖα προσέφερον εἰς τοὺς μοναχούς. Ἐκ τῶν προσφερομένων λοιπὸν κατὰ τὰς ἐπισήμους ταύτας ἡμέρας τιμίων δώρων καὶ λοιπῶν χρειωδῶν ἐκαλοῦντο καὶ αἱ συνάξεις αὗται προσφοραί, ὅπως καὶ οἱ διὰ τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας προοριζόμενοι ἄρτοι καλοῦνται προσφοραὶ ἢ πρόσφορα.

— Παῦσε, ἀδελφέ· ἢ δὲν γνωρίζεις, ὅτι ὑπάρχει Σατανᾶς;

2. Ἡ σύγχυσις τῆς ψυχῆς προέρχεται ἀπὸ τὴν ἄτακτον ζωήν· τὸ μέτρον ὅπως καὶ τὸ πρέπον εἰς τὴν ζωὴν φωτίζουν τὴν διάνοιαν καὶ ἀποδιώκουν τὴν σύγχυσιν. Ἡ σύγχυσις τῆς διανοίας, ποὺ γεννᾶται ἀπὸ τὴν ἀταξίαν, φέρνει σύγχυσιν εἰς τὴν ψυχήν, ἐξ αἰτίας τῆς ὁποίας ἐξαφανίζεται σιγὰ - σιγὰ ἡ καθαρότης καὶ μετὰ ταῦτα ἐπέρχεται ἡ ταραχή. Ἐνῷ ἀπὸ τὴν τάξιν προέρχεται ἡ εἰρήνη καὶ ἀπὸ τὴν εἰρήνην γεννᾶται τὸ φῶς εἰς τὴν ψυχήν· καὶ ἀπὸ τὸ φῶς τῆς εἰρήνης πνέει ὁ καθαρὸς ἀέρας εἰς τὴν διάνοιαν. Ἀνάλογα δὲ μὲ τὸ μέτρον, ποὺ θὰ ἠμπορέσῃ ἡ καρδία νὰ προσεγγίσῃ τὴν σοφίαν, δέχεται ἀπὸ τὸν Θεὸν καὶ τὴν χάριν.

Ἂν λοιπὸν θέλῃς νὰ πλησιάσῃς τὸν Θεὸν μὲ τὴν καρδιά σου, δεῖξε Του πρῶτα τὸν πόθον σου αὐτὸν εἰς τὰ σωματικά· δηλαδὴ εἰς τὸν περιορισμὸν τῶν ἀναγκῶν, εἰς τὸ νὰ τρώγῃς μὲ τάξιν μόνον ἕνα εἶδος φαγητοῦ, καὶ εἰς τὴν λοιπὴν ἄσκησιν καὶ ταλαιπωρίαν τοῦ σώματος, ποὺ θὰ γίνεται μὲ διάκρισιν καὶ τάξιν. Ἀπ' ἐδῶ καὶ ὁ Κύριος ἔβαλε τὸ θεμέλιον τῆς τελειώσεως, διότι ἤρχισε τὸ ἔργον Του ἀπὸ τὴν κακοπάθειαν εἰς τὴν ἔρημον*. Ἔτσι καὶ σὺ λοιπὸν θὰ ἀνυψωθῇς πρὸς τὰ μεγαλύτερα καὶ τὰ τέλεια καὶ θὰ πλησιάσῃς νοερῶς τὸν Θεὸν μὲ τὴν βοήθειαν τῆς Θείας Χάριτος.

3. Ὁ ταπεινὸς καὶ ἀθόρυβος τρόπος ζωῆς, ποὺ παραμένει σταθερός, εἶναι μεγάλη δύναμις· διότι ἀνοίγει λακκούβαν εἰς σκληρὸν βράχον. Μὴ νομίσῃς, ἀδελφέ, ὅτι οἱ ἐσωτερικοὶ λογισμοὶ ἐμποδίζονται μὲ ἄλλον τρόπον, ἐκτὸς ἀπὸ τὸ νὰ συνηθίζωμεν τὸ σῶμα μας εἰς μίαν ὡρισμένην τακτικήν.

---

*Μετὰ τὴν Βάπτισίν του εἰς τὸν Ἰορδάνην ποταμὸν ὑπὸ Ἰωάννου τοῦ Προδρόμου καὶ πρὶν ἀρχίσῃ τὸ κήρυγμα, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπῆλθεν εἰς τὴν ἔρημον, ὅπου ἐνήστευσεν ἐπὶ 40 ἡμέρας καὶ 40 νύκτας, καὶ ἐπείνασεν. Ἐκεῖ, κατὰ θείαν παραχώρησιν, ἐπειράσθη ὑπὸ τοῦ διαβόλου, ὁ ὁποῖος ὅμως οὐδὲν κατώρθωσεν. Τότε ὁ Σατανᾶς ἠναγκάσθη νὰ ἀφήσῃ πλέον ἥσυχον τὸν Ἰησοῦν, Ἄγγελοι δὲ Θεοῦ προσελθόντες «διηκόνουν αὐτῷ». (Ματθ. Κεφ. Δ', 1—11).

ΥΠΟΘΕΣΙΣ ΙΘ΄

Πῶς δεῖ τὸν θεοφιλῆ ἑορτάζειν, καὶ τὶς κἂν ἐν ταῖς ἑορταῖς τῶν Πατέρων ἡ δίαιτα.

Πῶς πρέπει νὰ ἑορτάζῃ ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν Θεὸν καὶ ποιὰ πρέπει νὰ εἶναι ἡ διατροφὴ τῶν πατέρων κατὰ τὰς ἑορτάς.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ἐὰν εἴπῃ σοι ὁ λογισμὸς ἐν ἑορτῇ ποιῆσαι διάφορα βρώματα, μὴ ἀκούσῃς αὐτοῦ, ἐπεὶ ἰουδαϊκῶς ἑορτάζεις, ἐκεῖνοι γὰρ ἑτοιμάζουσιν οὕτω. Μοναχοῦ δὲ τροφὴ ἀγαθὴ τὸ πένθος καὶ τὰ δάκρυα.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἑλλαδίου, ὅτι ἄρτον καὶ ἅλας ἤσθιε διαπαντός, ὡς καὶ οἱ λοιποὶ σκητιῶται. Ὅτε οὖν ἦλθε τὸ Πάσχα, ἔλεγε πρὸς ἑαυτόν, ὅτι νῦν οἱ ἀδελφοὶ ἄρτον καὶ ἅλας ἐσθίουσι κατὰ τὸ ἔθος, ἐγὼ δὲ ὀφείλω μικρὸν κόπον ποιῆσαι διὰ τὸ Πάσχα· ἐπεὶ οὖν ἐν ταῖς λοιπαῖς ἡμέραις ἐσθίω καθήμενος, νῦν, ὅτι Πάσχα ἐστί, κοπιάσω μικρὸν καὶ φάγω ἱστάμενος· καὶ τοῦτο ἀεὶ ἐν τῷ Πάσχα ἐποίει.

3. Εἶπέ τις τῶν Πατέρων· οἶδα ἀδελφὸν εἰς τὰ κελλία ὄντα, νηστεύσαντα τὴν ἑβδομάδα τοῦ Πάσχα· καὶ ὡς συνήχθη ὀψέ, ἔφυγεν ἵνα μὴ φάγῃ εἰς τὴν Ἐκκλησίαν· ἐποίησε δὲ μικρὰ σεῦτλα ἑκζεστὰ καὶ ἔφαγε χωρὶς ἄρτου.

4. Εἶπε γέρων· ἐν λόγοις θείοις τρυφήσωμεν, καὶ ἐν διηγήμασιν Ἁγίων Πατέρων ἑορτάσωμεν, μὴ γαστρὶ τρυφῶντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι.

5. Διηγήσατο ἡμῖν ὁ Ἀββᾶς Παῦλος ὁ Καππαδόκης, ὅτι ὅτε γέγονε τῶν Περσῶν ἡ ἐρήμωσις ἐφύγομεν καὶ ἡμεῖς ἀπὸ τῆς Μονῆς ἡμῶν καὶ διεσκορπίσθημεν. Εἰσελθὼν οὖν ἐγὼ ἐν Κωνσταντινουπόλει, εὗρον κατὰ συγκυρίαν πλοῖον μέλλον ἀπάραι εἰς Ἀλεξάνδρειαν, καὶ δοὺς τὸν ναῦλον εἰσῆλθον ἐν αὐτῷ, καὶ δι' ὀλίγων ἡμερῶν ἤλθομεν εἰς Ἀλεξάνδρειαν. Εὑρὼν δὲ ἐκεῖ Μοναχοὺς ἀπὸ τοῦ ὄρους τῆς Νιτρίας συνώδευσα αὐτοῖς· καὶ φθάσας εἰς τὸ ὄρος, συνῴκησα ἑνὶ τῶν γερόντων καὶ διαγαγὼν μετ' αὐτοῦ ἐνιαυτὸν καὶ μῆνας τρεῖς, ἀπῆλθον πρὸς τὸν ἡγούμενον τοῦ ὄρους καὶ λέγω αὐτῷ. Ποίησον ἔλεος, Ἀββᾶ, καὶ δός μοι κελλίον πρὸς τὸ ἡσυχάσαι· οὐ δύναμαι συζῆσαι τῷ γέροντι, διότι οὐ φυλάττει ἀκολουθίαν Μοναχῶν, ἀλλ' οὔτε κοσμικῶν.

Ἀναγκάζει γάρ με νηστεύειν ἐν Κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς ἑορταῖς καὶ ἐν τῇ Πεντηκοστῇ· τὸ δὲ χαλεπώτερον, ὅτι οὐδὲ ἐᾷ ψάλλειν κανόνας καὶ τροπάρια, ἃ πάντες συνήθως ψάλλουσι. Καὶ ἐν ταῖς ἡμέραις δὲ τῆς Ἁγίας Τεσσαρακοστῆς, ἄνευ Σαββάτου καὶ Κυριακῆς, οὔτε ἄρτου, οὔτε οἴνου, οὔτε ἐλαίου μετελάβομεν, ἀλλ' ὀπώραις ἠρκούμεθα παρὰ δύο τρεφόμενοι.

Καὶ ἀπεκρίθη μοι ὁ γέρων ὁ τοῦ ὄρους ἡγούμενος· ὑπόστρεψον, ἀδελφέ, καὶ συνοίκει τῷ γέροντι εἴ γε βούλει σωθῆναι· ὁ γὰρ σωτηρίας ἐφιέμενος οὔτε ἐν ἑορτῇ, οὔτε ἐν Κυριακῇ ὀφείλει ἀργεῖν ἀπὸ τῆς δοξολογίας τοῦ Θεοῦ, ἥτις ὑπὸ τῆς νηστείας καὶ ἀγρυπνίας ἐνδυναμοῦταί τε καὶ φυλάττεται.

Ὥς περ γὰρ ὁ ἰχθὺς ἄνευ ὕδατος ζῆσαι οὐ δύναται, οὕτως οὐδὲ Μοναχὸς χωρὶς διηνεκοῦς προσευχῆς καὶ νηστείας καὶ ἀγρυπνίας ζῆν ὅλως καὶ διάγειν κατὰ Θεόν· τὸ δὲ διπλᾶς νηστεύειν, ἀναχωρηταῖς μόνοις ἁρμόζει, ὁμοίως καὶ τὸ ὀπωρῶν μὲν μεταλαμβάνειν, ἄρτου δὲ ἀπέχεσθαι οὐ συμφέρον οὐδὲ ἐπαινούμενον· κενοδοξίας γὰρ ἔμφασιν ἔχει. Τὸ δὲ τεσσαράκοντα ἡμέρας ἐγκρατεύεσθαι, ἤτοι τῇ Ἁγίᾳ Τεσσαρακοστῇ, πεντήκοντα δὲ καταλύειν καὶ ἀναπαύεσθαι, ἤγουν ἐν τῇ Πεντηκοστῇ, κοσμικοῖς καὶ πλουσίοις πρέπον, οὐ Μοναχοῖς· ὁμοίως καὶ τὸ τροπάρια καὶ κανόνας ψάλλειν καὶ ἤχους μελίζειν τοῖς κατὰ κόσμον ἱερεῦσί τε καὶ λοιποῖς ἁρμόζον. Διὰ τοῦτο γὰρ καὶ ὁ λαὸς ἐν ταῖς Ἐκκλησίαις συναθροίζεσθαι εἴωθε.

Τοῖς δὲ Μοναχοῖς τοῖς μακρὰν τῶν τοῦ κόσμου θορύβων διάγουσι, τὸ τοιοῦτον οὐ μόνον ἀσύμφορόν ἐστιν, ἀλλὰ καὶ βλάβης πολλάκις γίνεται πρόξενον· ὥσπερ γὰρ ὁ ἁλιεὺς δι' ἀγκίστρου καὶ σκώληκος ἀγρεύει τὸν ἰχθύν, οὕτω καὶ ὁ διάβολος δι' αὐτῶν τῶν τροπαρίων καὶ τοῦ ᾄσματος εἰς κενοδοξίαν καὶ ἀνθρωπαρέσκειαν καὶ φιληδονίαν, τάχα δὲ καὶ εἰς πορνείαν βοθρίζει τὸν Μοναχόν· τὸ γὰρ ᾆσμα μακρὰν ἀπὸ Μοναχοῦ ἐπ' ἀληθείας σωθῆναι θέλοντος.

Ἑρμηνεία

1. ΕΝΑΣ Γέρων εἶπε: ἂν σοῦ εἴπῃ ὁ λογισμός σου νὰ ἑτοιμάσῃς διάφορα φαγητὰ εἰς ἑορτήν, νὰ μὴ τὸν ἀκούσῃς, ἐπειδὴ θὰ ἑορτάζῃς ὅπως οἱ Ἰουδαῖοι. Μόνον οἱ Ἰουδαῖοι ἑτοιμάζονται ἔτσι διὰ τὰς ἑορτάς. Ἐκλεκτὴ τροφὴ διὰ τὸν Μοναχὸν εἶναι τὸ πένθος καὶ τὰ δάκρυα.

2. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ἑλλάδιον, ὅτι ἔτρωγε πάντοτε ψωμὶ καὶ ἁλάτι, ὅπως καὶ οἱ ὑπόλοιποι Μοναχοὶ τῆς Σκήτης. Ὅταν λοιπὸν ἦλθε τὸ Πάσχα, ἔλεγεν εἰς τὸν ἑαυτόν του: τώρα οἱ ἀδελφοὶ τρώγουν, κατὰ τὰ συνηθισμένα, ψωμὶ καὶ ἁλάτι· ἐγὼ ἔχω χρέος νὰ κοπιάσω ὀλίγον διὰ τὸ Πάσχα. Ἐπειδὴ λοιπὸν κατὰ τὰς ὑπολοίπους ἡμέρας τρώγω καθιστός, τώρα, ποὺ εἶναι Πάσχα, θὰ κοπιάσω ὀλίγον καὶ θὰ φάγω ὄρθιος. Καὶ αὐτὸ ἔκανε πάντοτε εἰς τὸ Πάσχα.

3. Κάποιος ἀπὸ τοὺς Πατέρας εἶπε: Γνωρίζω ἀδελφόν, ποὺ παραμένει εἰς τὰ κελλία καὶ ἐνήστευσε τὴν ἑβδομάδα τοῦ Πάσχα. Ὅταν δὲ συγκεντρώθησαν ἀποβραδὶς οἱ ἀδελφοί, αὐτὸς ἔφυγε, διὰ νὰ μὴ φάγῃ (εἰς τὴν κοινὴν τράπεζαν) εἰς τὴν Ἐκκλησίαν. Ἔβρασεν ὀλίγα κοκκινογούλια καὶ τὰ ἔφαγε χωρὶς ψωμί.

4. Ἕνας Γέρων εἶπε: ἂς εὐφρανθῶμεν μὲ τοὺς λόγους τοῦ Θεοῦ καὶ ἂς ἑορτάσωμεν μὲ διηγήσεις Ἁγίων Πατέρων καὶ ὄχι μὲ ἀπολαύσεις τῆς κοιλίας μας, ἀλλὰ πνευματικά.

5. Ὁ Ἀββᾶς Παῦλος, ἀπὸ τὴν Καππαδοκίαν, μᾶς διηγήθη τὰ ἑξῆς: Ὅταν ἐρήμωσεν ὁ τόπος μας ἀπὸ τοὺς Πέρσας*, ἐφύγαμεν καὶ ἡμεῖς ἀπὸ τὸ Μοναστήρι μας καὶ διεσκορπίσθημεν. Ὅταν λοιπὸν ἔφθασα εἰς τὴν Κωνσταντινούπολιν, εὑρῆκα, κατὰ σύμπτωσιν, πλοῖον, ποὺ ἐπρόκειτο νὰ ἀναχωρήσῃ διὰ τὴν Ἀλεξάνδρειαν. Ἀφοῦ ἐπλήρωσα τὸν ναῦλον, ἐπεβιβάσθην εἰς αὐτὸ καὶ μετ' ὀλίγας ἡμέρας ἐφθάσαμεν εἰς τὴν Ἀλεξάνδρειαν. Ἐκεῖ συνήντησα Μοναχοὺς ἀπὸ τὸ ὄρος τῆς Νιτρίας** καὶ ἐπῆγα μαζί τους. Ἔτσι ἔφθασα εἰς τὸ ὄρος καὶ κατώκησα μαζὶ μὲ ἕνα Γέροντα. Ἀφοῦ ἐπέρασα μαζί του ἕνα χρόνον καὶ τρεῖς μῆνας, ἐπῆγα πρὸς τὸν Ἡγούμενον τοῦ ὄρους καὶ τοῦ λέγω:

— Κάνε ἔλεος, Ἀββᾶ, καὶ δῶσε μου κελλίον, διὰ νὰ ἡσυχάσω μόνος μου· δὲν ἠμπορῶ πλέον νὰ ζήσω μὲ τὸν Γέροντα, διότι δὲν κάμνει οὔτε τὴν ἀκολουθίαν τῶν Μοναχῶν οὔτε τῶν κοσμικῶν.

Μὲ ἀναγκάζει δηλαδὴ νὰ νηστεύω τὴν Κυριακὴν καὶ τὰς ὑπολοίπους ἑορτὰς καὶ τὴν Πεντηκοστήν. Τὸ δὲ χειρότερον εἶναι, ὅτι δὲν μὲ ἀφήνει νὰ ψάλλω κανόνας καὶ τροπάρια, ποὺ ψάλλουν ὅλοι συνήθως. Κατὰ τὰς ἡμέρας τῆς Ἁγίας Τεσσαρακοστῆς, ἐκτὸς ἀπὸ τὸ Σάββατον καὶ τὴν Κυριακήν, οὔτε ψωμὶ ἐφάγαμεν οὔτε ἔλαιον, οὔτε οἶνον ἤπιαμεν, ἀλλὰ περιωριζόμεθα εἰς καρποὺς τρώγοντες κάθε δύο ἡμέρας.

Εἰς αὐτὰ ὁ Γέρων, ὁ Ἡγούμενος τοῦ ὄρους, μοῦ ἀπήντησε:

— Ἀδελφέ, γύρισε πίσω καὶ κάθου μαζὶ μὲ τὸν Γέροντα, ἂν θέλῃς νὰ σωθῇς βέβαια. Διότι ἐκεῖνος, ποὺ ἐπιθυμεῖ τὴν σωτηρίαν του, δὲν πρέπει οὔτε Κυριακὴν οὔτε ἑορτὴν νὰ μένῃ ἀργὸς ἀπὸ τὴν δοξολογίαν τοῦ Θεοῦ, ἡ ὁποία δυναμώνει καὶ διατηρεῖται μὲ τὴν νηστείαν καὶ τὴν ἀγρυπνίαν.

Ὅπως, δηλαδή, ἀκριβῶς τὸ ψάρι δὲν ἠμπορεῖ νὰ ζήσῃ χωρὶς νερόν, οὔτε καὶ ὁ Μοναχὸς ἠμπορεῖ νὰ ζήσῃ οὔτε στιγμὴν χωρὶς συνεχῆ προσευχὴν καὶ νηστείαν καὶ ἀγρυπνίαν καὶ χωρὶς νὰ πολιτεύεται κατὰ Θεόν. Τὸ νὰ νηστεύῃ δύο συνεχεῖς ἡμέρας ἁρμόζει μόνον εἰς τοὺς ἀναχωρητάς. Τὸ νὰ τρώγῃ ἐπίσης καρπούς, νὰ μὴ τρώγῃ δὲ ἄρτον δὲν εἶναι συμφέρον, οὔτε ἀξιέπαινον· διότι ἔχει τὴν μορφὴν κενοδοξίας. Τὸ δὲ νὰ νηστεύῃ ἐπὶ τεσσαράκοντα ἡμέρας, δηλαδὴ κατὰ τὴν Ἁγίαν Τεσσαρακοστήν, πεντήκοντα δὲ ἡμέρας νὰ τρώγῃ ἀπὸ ὅλα καὶ νὰ ἀναπαύεται, ἁρμόζει εἰς κοσμικοὺς καὶ ὄχι εἰς Μοναχούς. Καὶ τὸ νὰ ψάλλῃ κανό-

* Κατὰ πᾶσαν πιθανότητα ὡς «ἐρήμωσις τῶν Περσῶν» νοεῖται ἐνταῦθα ἡ καταστροφὴ τὴν ὁποίαν ὑπέστησαν αἱ ἐπαρχίαι τοῦ Βυζαντινοῦ κράτους Συρία καὶ Μεσοποταμία κατὰ τὸν πρῶτον περσικὸν πόλεμον (530—532 μ.Χ.), ὅτε οἱ Πέρσαι εἰσέβαλον εἰς τὰς ἐπαρχίας ταύτας καὶ ἐπροξένησαν μεγάλας καταστροφάς.

** Βλέπε ὑποσημείωσιν σελίδος 81 τοῦ ἀνὰ χεῖρας τόμου.

νας καὶ μελῳδικοὺς ἤχους ἁρμόζει εἰς τοὺς ἱερεῖς, ποὺ λειτουργοῦν εἰς τὸν κόσμον καὶ εἰς τοὺς ὑπολοίπους. Διὰ τοῦτο βεβαίως καὶ ὁ κόσμος συνηθίζει νὰ συγκεντρώνεται εἰς τὰς Ἐκκλησίας.


Διὰ τοὺς Μοναχούς, ποὺ ζοῦν μακρὰν ἀπὸ τοὺς θορύβους τοῦ κόσμου, αὐτὸ ὄχι μονάχα δὲν συμφέρει, ἀλλὰ πολλάκις προξενεῖ καὶ βλάβην. Ὅπως ἀκριβῶς ὁ ψαρᾶς πιάνει τὸ ψάρι μὲ ἀγκίστρι καὶ δόλωμα, ἔτσι καὶ ὁ διάβολος παγιδεύει τὸν Μοναχὸν μὲ αὐτὰ τὰ τροπάρια καὶ τὸ ᾆσμα καὶ τὸν ρίπτει εἰς κενοδοξίαν καὶ ἀνθρωπαρέσκειαν καὶ φιληδονίαν, ἀλλὰ καὶ εἰς τὸν βόθρον τῆς πορνείας γρήγορα τὸν παρασύρει. Μακρυὰ λοιπὸν τὸ ᾆσμα ἀπὸ τὸν Μοναχόν, ποὺ θέλει νὰ σωθῇ.

Β΄. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΟΡΤΗ Μοναχῷ, τήρησις ἐντολῶν Χριστοῦ· ἡ δὲ παράκλησις αὐτοῦ μὴ ποιεῖν τὸ πονηρόν. Εὐφροσύνη Μοναχῷ, ἐκδημία πρὸς Κύριον· καὶ τὸ καύχημα αὐτοῦ, φόβος Κυρίου.

Ἑρμηνεία

ΕΟΡΤΗ διὰ τὸν Μοναχὸν εἶναι ἡ τήρησις τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἡ δὲ παρηγορία του νὰ μὴ κάνῃ τὸ πονηρόν. Χαρὰ διὰ τὸν Μοναχὸν εἶναι ἡ ἀναχώρησίς του ἀπὸ τὸν κόσμον αὐτὸν καὶ τὸ ταξείδι του πρὸς τὸν Κύριον. Τὸ καύχημά του, τέλος, εἶναι ὁ φόβος Κυρίου,



ΥΠΟΘΕΣΙΣ Κ΄

Ὅτι μέγα κακὸν ἡ λαθροφαγία, διὸ καὶ μόνη δύναται τὸν Μοναχὸν ἀπολέσαι.

Ὅτι ἡ λαθρογραφία εἶναι μεγάλο κακόν, διὰ τοῦτο καὶ μόνη αὐτὴ ἠμπορεῖ νὰ ὁδηγήσῃ τὸν Μοναχὸν εἰς ἀπώλειαν.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΜΟΝΑΣΤΡΙΑ τις ἐκ τοῦ Μοναστηρίου οὗ ὁ Μέγας Αἰκύτιος προΐστατο, εἰς κῆπον εἰσελθοῦσα θεασαμένη μαρούλιον, ἐπεθύμησε τούτου· καὶ μηδὲ τὸν τύπον τοῦ σταυροῦ ποιήσασα, ὡς γαστρίμαργος, τοῦτο ἔφαγε, καὶ εὐθέως εἰσῆλθεν εἰς αὐτὴν πνεῦμα ἀκάθαρτον καὶ κατέρραξεν αὐτὴν εἰς τὴν γῆν. Οἱ οὖν παρόντες τὸ γεγονὸς θεασάμενοι, μετὰ σπουδῆς τῷ Πατρὶ Αἰκυτίῳ ἐμήνυσαν, ὅπως διὰ τάχους ἐλθών, τῇ κινδυνευούσῃ βοηθήσῃ.

Εὐθὺς οὖν εἰς τὸν κῆπον τοῦ Πατρὸς εἰσελθόντος, ἤρξατο ὁ ταύτην ῥήξας διάβολος ὡς ἀπολογούμενος αὐτῷ διὰ τοῦ στόματος αὐτῆς κράζειν καὶ λέγειν· ἐγὼ τί ἐποίησα; καθεζομένου μου ἐπάνω τοῦ μαρουλίου, αὕτη ἦλθε καὶ ἔδακέ με. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος μετ᾽ ὀργῆς τούτῳ ἐπετίμησεν, ὅπως ὑποχωρήσῃ ἐξ αὐτῆς, καὶ μηκέτι σχῇ τόπον ἐν αὐτῇ. Παραυτίκα οὖν ἐξῆλθε τὸ ἀκάθαρτον πνεῦμα, καὶ οὐδαμῶς αὐτῇ τοῦ λοιποῦ προσεγγίσαι ἐτόλμησεν.

Ἑρμηνεία

ΜΙΑ μοναχὴ ἀπὸ τὸ Μοναστήρι, εἰς τὸ ὁποῖον ἦτο Ἡγούμενος ὁ μέγας Αἰκύτιος, εἰσῆλθεν εἰς ἕνα κῆπον καὶ καθὼς εἶδεν ἕνα μαρούλι, τὸ ἐπεθύμησε. Καὶ χωρὶς νὰ κάμῃ οὔτε τὸ σημεῖον τοῦ Σταυροῦ, τὸ ἔφαγε μὲ λαιμαργίαν. Ἀμέσως τότε εἰσῆλθε μέσα εἰς αὐτὴν τὸ ἀκάθαρτον πνεῦμα καὶ τὴν ἔρριψεν εἰς τὴν γῆν. Οἱ παρόντες λοιπόν, μόλις εἶδον τὸ γεγονός, εἰδοποίησαν γρήγορα τὸν Πατέρα Αἰκύτιον, νὰ ἔλθῃ ἀμέσως καὶ νὰ βοηθήσῃ τὴν κινδυνεύουσαν.

Ἀφοῦ λοιπὸν κατέβηκεν ἀμέσως εἰς τὸν κῆπον ὁ Πατήρ, ἤρχισεν

ὁ διάβολος, ποὺ τὴν ἐσπάραξεν, νὰ ἀπολογῆται μὲ τὸ στόμα της, νὰ κράζῃ καὶ νὰ λέγῃ.

— Τί ἔκανα ἐγώ; Καθὼς ἐκαθόμουν ἐπάνω εἰς τὸ μαρούλι, ἦλθεν αὐτὴ καὶ μὲ ἐδάγκασεν.

Ὁ ἄνθρωπος τοῦ Θεοῦ τότε τὸν ἐπετίμησε μὲ ὀργήν, διὰ νὰ ἀναχωρήσῃ ἀπὸ αὐτὴν καὶ ποτὲ πλέον νὰ μὴ εἰσέλθῃ εἰς αὐτήν.

Ἀμέσως ἐξῆλθεν ἀπὸ αὐτὴν τὸ ἀκάθαρτον πνεῦμα καὶ ποτὲ πλέον δὲν ἐτόλμησε νὰ τὴν πλησιάσῃ.

Β'. Τοῦ αὐτοῦ

Καὶ ὁ Ἀθανάσιος δὲ ὁ παρ' ἡμῖν ὢν πρεσβύτερος διηγήσατό μοι, ὅτι ἐν τῷ Ἰκονίῳ, ὅθεν καὶ αὐτὸς ὥρμητο, Μοναστήριόν ἐστι τῶν Γαλάτων λεγόμενον, ἐν ᾧ τις Μοναχὸς ἐν μεγίστῃ διαγωγῇ καὶ σεμνότητος ἤθεσι παρὰ πᾶσιν ὑπάρχειν ἐνομίζετο· ὡς δὲ τὸ τέλος ἔδειξε, μακρὰν ὑπῆρχεν οὗ περ ἐφαίνετο· ἑαυτὸν μὲν γὰρ τοῖς ἀδελφοῖς νηστεύοντα ἐπεδείκνυε, κρυφῇ δὲ τούτων ἤσθιε.

Ἐπελθούσης οὖν αὐτῷ ἀρρωστίας, ἐν τοῖς ἐσχάτοις τῆς ζωῆς ἀπηνέχθη· γνοὺς οὖν ἑαυτὸν τῷ τέλει προσεγγίζοντα, πάντας τοὺς ἐν τῷ Μοναστηρίῳ ἀδελφοὺς πρὸς ἑαυτὸν συνεκάλεσεν. Οἱ δὲ προθύμως συνῆλθον, μέγα τι καὶ ἐπιθυμητικὸν προσδοκῶντες ἀκοῦσαι παρὰ τοιούτου τὴν ἀρετὴν ἀνδρός, ὡς ὑπελάμβανον, τελευτῶντος. Ἐκεῖνος δὲ πενθῶν καὶ τρέμων πρὸς αὐτοὺς εἶπεν, ὅτι μεθ' ὑμῶν νηστεύειν με ἐπιστεύετε, ἐγὼ δὲ κρυφῇ ὑμῶν ἤσθιον· καὶ νῦν ἰδοὺ εἰς βρῶσιν τῷ δράκοντι παρεδόθην, ὃς τοὺς πόδας καὶ τὰ γόνατα τῇ κέρκῳ αὐτοῦ συνέδησε, τὴν δὲ κεφαλὴν αὐτοῦ ἔνδον τοῦ δι' οὗ ἐλαθροφάγουν στόματός μου ἐμβαλών, τὸ πνεῦμα μου ἐκπιπίζων ἀνασπᾷ. Καὶ ταῦτα εἰπὼν εὐθέως ἀπέθανε, μὴ συγχωρηθεὶς ὑπομεῖναι, ἵνα διὰ μετανοίας ἐκ τοῦ δράκοντος ἐκείνου ἐλευθερωθῆναι δυνηθῇ.

Φανερῶς δὲ ἐν τούτῳ δείκνυται, ὅτι εἰς ἡμετέραν καὶ μόνον τῶν ἀκουόντων ὠφέλειαν τοῦτο ἐθεάσατο, ὃς τὸν πολέμιον, ᾧ παρεδόθη, δηλοποιήσας, τοῦτον διαφυγεῖν οὐκ ἠδυνήθη.

Ἑρμηνεία

ΚΑΙ ὁ Ἀθανάσιος, ὁ ὁποῖος ἦτο πρεσβύτερος εἰς τὸ μοναστήρι μας, μοῦ διηγήθη τὸ ἑξῆς: Εἰς τὸ Ἰκόνιον*, ἀπὸ ὅπου καὶ αὐτὸς κατήγετο, ὑπάρχει ἕνα Μοναστήριον, τῶν Γαλάτων, καθὼς ἐλέγετο. Εἰς αὐτὸ ἔζη κάποιος Μοναχός, ὁ ὁποῖος ἐθεωρεῖτο ἀπὸ ὅλους ὅτι εἶχεν ἀρίστην διαγωγὴν καὶ πολὺ σεμνὰ ἤθη. Ὅπως ὅμως ἔδειξεν εἰς τὸ τέλος, εὑρίσκετο πολὺ μακρὰν ἀπὸ αὐτό, ποὺ ἐφαίνετο, ὅτι ἦτο· διότι παρουσιά-

---

* Τὸ Ἰκόνιον εἶναι μεσόγειος πόλις τῆς Μικρᾶς Ἀσίας εἰς ἀπόστασιν 500 χλμ. ἀπὸ τῆς Σμύρνης. Εἰς αὐτὴν ἐκήρυξαν τὸ Εὐαγγέλιον ὁ Παῦλος καὶ ὁ Βαρνάβας, συνῆλθε δὲ ἐκεῖ καὶ τοπικὴ σύνοδος κατὰ τὸ 235 μ.Χ. Πρὸ τῆς Μικρασιατικῆς καταστροφῆς ἡ πόλις εἶχε περὶ τὰς 40—50 χιλιάδας κατοίκων, ἐκ τῶν ὁποίων 2000 ἦσαν Ἕλληνες ὀρθόδοξοι ἔχοντες καὶ ναόν.

ζετο εἰς τοὺς ἀδελφοὺς ὅτι νηστεύει, ἐνῷ αὐτὸς ἔτρωγε κρυφὰ ἀπὸ αὐτούς.

Κάποτε λοιπὸν ἀρρώστησε καὶ ἔφθασεν εἰς τὸ τέλος τῆς ζωῆς του. Μόλις ἀντελήφθη ὅτι ἐντὸς ὀλίγου θὰ ἀπέθνησκεν, ἐκάλεσε πλησίον του ὅλους τοὺς ἀδελφοὺς τοῦ Μοναστηρίου. Ἐκεῖνοι πρόθυμα συνεκεντρώθησαν, διότι ἐπερίμεναν ὅτι θὰ ἀκούσουν, ἀπὸ ἕνα τέτοιον ἐνάρετον ἄνθρωπον, ὅπως τὸν ἐνόμιζαν, κάτι σπουδαῖον, ὡσὰν πολύτιμον ὑποθήκην, τώρα ποὺ ἀπέθνησκεν. Ἐκεῖνος ὅμως ἀπηλπισμένος καὶ κατεχόμενος ἀπὸ τρόμον, τοὺς εἶπε:

— Σεῖς ἐπιστεύετε ὅτι νηστεύω μαζί σας, ἐνῷ ἐγὼ ἔτρωγα κρυφὰ ἀπὸ σᾶς. Καὶ νὰ τώρα, παρεδόθην εἰς τὸν δράκοντα νὰ μὲ φάγῃ· αὐτὸς ἔδεσε μὲ τὴν οὐρά του τὰ γόνατά μου καὶ τὰ πόδια μου καὶ ἀφοῦ ἔβαλε τὸ κεφάλι του μέσα εἰς τὸ στόμα μου, μὲ τὸ ὁποῖον ἔτρωγα κρυφά, πιπιλίζων ξερριζώνει τὸ πνεῦμα μου. Μόλις εἶπεν αὐτά, ἀπέθανεν ἀμέσως, χωρὶς νὰ τοῦ ἐπιτραπῇ νὰ ζήσῃ ὀλίγον, διὰ νὰ ἠμπορέσῃ νὰ ἐλευθερωθῇ, μὲ τὴν μετάνοιαν, ἀπὸ ἐκεῖνον τὸν δράκοντα.

Μὲ αὐτὸ ἀποδεικνύεται ὁλοφάνερα ὅτι εἶδεν αὐτὸ τὸ ὅραμα μονάχα διὰ τὴν ὠφέλειαν ὅλων ἡμῶν, οἱ ὁποῖοι τὸν ἠκούομεν· αὐτὸς ὁ Μοναχός, δηλαδή, ἔκαμε γνωστόν, ὅτι ἀπὸ τὸν ἐχθρόν, εἰς τὸν ὁποῖον θεληματικὰ παρεδόθη, δὲν ἠμπόρεσε νὰ ξεφύγῃ.



ΥΠΟΘΕΣΙΣ ΚΑ΄

Ὅτι δεῖ τὸν Μοναχὸν ἅπαξ τῆς ἡμέρας ἐσθίειν καὶ τοῦτο μετὰ τὴν ἐνάτην πρὸς ἑσπέραν, εἰ φροντίζει τῆς ἀκριβείας, ἣν οἱ πατέρες πάντες ἐφύλαττον, οὐ μόνον δὲ ἐν ἡσυχίᾳ, ἀλλὰ καὶ τῶν ἐν Κοινοβίοις οἱ πλείονες.

Ὅτι πρέπει ὁ Μοναχὸς νὰ τρώγῃ μίαν φορὰν τὴν ἡμέραν, μετὰ τὴν ἐνάτην ἂν ἐνδιαφέρεται διὰ τὴν ἀκρίβειαν, τὴν ὁποίαν ἐφύλαττον οἱ Πατέρες, ὄχι μόνον οἱ Ἀναχωρηταί, ἀλλὰ καὶ πολλοὶ ἀπὸ ἐκείνους, ποὺ ἐμόναζαν εἰς Κοινόβια.*

Α΄. Ἐν τῷ βίῳ τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ Χαρίτωνος

Ὁ ΜΕΓΑΣ Χαρίτων, ἐν τῷ τῶν λῃστῶν σπηλαίῳ διάγων καὶ πᾶσαν ἀσκητικὴν πολιτείαν εἰς ἄκρον μετιών, πολλοὺς πρὸς ἑαυτὸν τῷ τοιούτῳ βίῳ ἐφείλκετο. Ὅθεν ποταμοῦ δίκην τοῦ λαοῦ παντὸς ὡς αὐτὸν ῥέοντος, καὶ πόλιν ὥς περ τῇ πολυοχλίᾳ τὴν ἔρημον ἐπιδεικνυμένων, ἑωρακὼς ἑαυτὸν ὁ μακάριος ἐκ τοῦ ἐντεῦθεν γινομένου θορύβου τῆς φίλης ἀπαγόμενον ἡσυχίας, ἄλλως τε δὲ καὶ τὴν ἐξ ἀνθρώπων δόξαν φεύγειν ἐσπουδακώς (ᾔδει γὰρ ὅτι χαλεπὴ αὕτη συγχέαι κόσμον ψυχῆς) ἐπισκήπτει περὶ πάντων τοῖς μαθηταῖς, ὅσα δὴ καταστάσει προσήκει μοναχικῇ, καιρόν τε τροφῆς διατάξας, ὅς περ ἐστὶ ληγούσης ἡμέρας, καὶ τὸ μὴ πρὸς κόρον ἐσθίειν, ἀλλὰ ζητούσης ἔτι τῆς γαστρὸς παύεσθαι. Εἶναι δὲ τὴν τροφὴν ἄρτον μόνον καὶ τοὺς ἅλας ἡδύσματος χώραν ἀποπληροῦντας· τὸ δὲ ποτὸν ὕδωρ, καὶ αὐτὸ μέτρῳ καὶ φειδοῖ λαμβανόμενον, μισεῖν τε ἀργίαν, ὡς πολλῶν αἰτίαν κακῶν, ἔργον δὲ ταῖς χερσὶ διδόναι, τοῖς ἱεροῖς ψαλμοῖς κατὰ τὸ ᾀδόμενον.

---

* Περὶ τῆς διαιρέσεως τῆς ἡμέρας εἰς ὥρας βλέπε ὑποσημείωσιν τῆς σελίδος 158 τοῦ ἀνὰ χεῖρας τόμου.

Ἑρμηνεία


Ο ΜΕΓΑΣ Χαρίτων ἔμενεν εἰς τὸ σπήλαιον τῶν ληστῶν*· ἐκεῖ μέσα ἔζη μίαν αὐστηρὰν ἀσκητικὴν ζωήν, μὲ μεγάλην ἀκρίβειαν. Μὲ αὐτὸν τὸν τρόπον ἔσυρε κοντά του πολλούς. Ἐπειδὴ λοιπὸν ὁ λαὸς ἔτρεχε πρὸς αὐτὸν ὡσὰν ποταμὸς καὶ ἡ ἔρημος, ἀπὸ τὸν πολὺν κόσμον, ἔγινεν ὡσὰν πόλις, ἐλυπήθη ὁ μακάριος, διότι ἔβλεπεν ὅτι ὁ θόρυβος αὐτὸς τὸν ἐμποδίζει ἀπὸ τὴν ἀγαπημένην του ἡσυχίαν. Ἤθελεν, ἄλλωστε, νὰ ἀποφύγῃ καὶ τὴν δόξαν τῶν ἀνθρώπων (διότι ἐγνώριζεν ὅτι ἠμπορεῖ νὰ φέρῃ μεγάλην σύγχυσιν εἰς τὸν κόσμον τῆς ψυχῆς). Πρὶν φύγῃ, καλεῖ κοντά του τοὺς μαθητὰς καὶ τοὺς παραγγέλλει δι' ὅλα ὅσα ἁρμόζουν εἰς τὸν Μοναχικὸν βίον. Τοὺς διέταξε καὶ διὰ τὴν κατάλληλον ὥραν τοῦ φαγητοῦ, ἡ ὁποία εἶναι πρὸς τὸ τέλος τῆς ἡμέρας· νὰ μὴ τρώγουν πολύ, διὰ νὰ χορταίνουν, ἀλλὰ νὰ σταματοῦν, ἐνῷ ἀκόμη τὸ στομάχι δὲν θὰ ἔχῃ χορτάσει· ἡ τροφή των νὰ εἶναι μόνον ψωμὶ καὶ νὰ χρησιμοποιοῦν τὸ ἁλάτι διὰ νὰ νοστιμίζουν ὀλίγον τὴν ξηροφαγίαν των· ὡς ποτὸν νὰ χρησιμοποιοῦν νερὸν μόνον καὶ αὐτὸ νὰ τὸ λαμβάνουν μὲ μέτρον καὶ οἰκονομίαν· νὰ μισοῦν τὴν ἀργίαν ὡς αἰτίαν πολλῶν κακῶν· νὰ ἀσχολοῦνται μὲ τὸ ἐργόχειρον, ὅπως ψάλλουν καὶ οἱ ἱεροὶ ψαλμοὶ (Σοφ. Σειρ. λ'. (33. 26—30) (Ἡσαΐας α', 13—15).

Β'. Ἐν τῷ Γεροντικῷ

ΠΑΡΕΒΑΛΕ ποτε ὁ Ἀββᾶς Ἀντώνιος τῷ Ἀββᾷ Ἀμμοῦν εἰς τὸ ὄρος τῆς Νιτρίας, καὶ μετὰ τὸ συντυχεῖν ἀλλήλοις λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀμμοῦν· ἐπειδὴ διὰ τῶν εὐχῶν σου ἐπληθύνθησαν οἱ ἀδελφοὶ καὶ θέλουσί τινες αὐτῶν οἰκοδομῆσαι κελλία μακρὰν ἵνα ἡσυχάσωσι, πόσῳ κελεύεις ἵνα ἀπέχῃ τὸ διάστημα τὰ κτιζόμενα κελλία τῶν ἐνταῦθα; Ὁ δὲ εἶπε· γευσώμεθα ὥραν ἐνάτην καὶ ἐξέλθωμεν, καὶ διακινήσωμεν τὴν ἔρημον, καὶ σκοποῦμεν τὸν τόπον. Ὡς οὖν ὥδευσαν τὴν ἔρημον,

---

* Τὸ σπήλαιον τοῦτο ἦτο πρότερον κατοικητήριον ληστῶν τινων, οἵτινες συλλαβόντες τὸν θεῖον Χαρίτωνα, νέον τότε ὄντα, ἐρχόμενον εἰς Ἱεροσόλυμα χάριν προσκυνήσεως καὶ διὰ νὰ εὕρῃ τόπον κατάλληλον πρὸς ἡσυχίαν, τὸν ὡδήγησαν εἰς αὐτό. Ἐπειδὴ ὅμως κατ' οἰκονομίαν Θεοῦ οἱ λησταὶ ἀπέθανον δηλητηριασθέντες ὑπὸ ἐχίδνης, ἡ ὁποία ἐξήμεσε τὸ δηλητήριόν της εἰς τὸ δοχεῖον τοῦ οἴνου ποὺ ἔπινον, ἔμεινεν ὁ Ὅσιος Χαρίτων ἐλεύθερος. Θεωρήσας ὅθεν τοῦτο θέλημα Θεοῦ παρέμεινεν εἰς τὸ σπήλαιον ἀγωνιζόμενος· συνήχθησαν δὲ ἐκεῖ καὶ ἄλλοι πολλοὶ θέλοντες νὰ μονάσουν. Ὅθεν ὁ θεῖος Χαρίτων μὲ τοὺς θησαυροὺς τῶν ληστῶν ποὺ εἶχαν μείνει ἔκτισε Λαύραν εὐαγεστάτην, ἥτις ἀπὸ τοῦ ὀνόματος τοῦ τόπου ὠνομάσθη Φαράν, εἶναι δὲ αὕτη περὶ ἧς γράφομεν καὶ ἐν τῇ ὑποσημειώσει τῆς σελίδος 235. Ὁ θέλων νὰ μάθῃ τὴν κατὰ πλάτος ἱστορίαν ταύτην ἂς ἀναγνώσῃ τὸν βίον τοῦ Ὁσίου Χαρίτωνος («Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος Θ' σελ. 636).


Ὁ ὅσιος
ΧΑΡΙΤΩΝ
ὁ ὁμολογητής:—
Ράλλης Κοψίδης 1963

ἕως οὗ ἐλθεῖν δύναι τὸν ἥλιον, λέγει ὁ Ἀββᾶς Ἀντώνιος· ποιήσωμεν εὐχὴν καὶ στήσωμεν ὧδε σταυρόν, ἵνα ὧδε κτίσωσιν οἱ θέλοντες κτίσαι, ὡς ἂν καὶ οἱ ἐκεῖθεν, ὅταν παραβάλωσι τούτοις, καὶ οὗτοι ἐκείνοις, ἀπερίσπαστοι μένωσιν ἐν τῷ παραβάλλειν ἀλλήλοις.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἀντώνιος ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀμμοῦν εἰς τὸ ὄρος τῆς Νιτρίας. Ἀφοῦ λοιπὸν ἀντήλλαξαν ἀδελφικὸν ἀσπασμὸν κατὰ τὴν συνάντησιν, ἐρωτᾷ ὁ Ἀββᾶς Ἀμμοῦν:

—Ἐπειδή, μὲ τὰς εὐχάς σου, ἐπλήθυναν οἱ ἀδελφοὶ καὶ θέλουν μερικοὶ ἀπὸ αὐτοὺς νὰ κτίσουν κελλία μακρὰν ἀπ' ἐδῶ πόσον διατάσσεις νὰ ἀπέχουν τὰ κελλία αὐτά, ποὺ θὰ κτισθοῦν;

Ὁ Ἀββᾶς Ἀντώνιος ἀπήντησε:

—Ἂς φάγωμεν κάτι κατὰ τὴν ἐνάτην ὥραν καὶ μετὰ ἂς ἐξέλθωμεν νὰ περιπατήσωμεν εἰς τὴν ἔρημον, διὰ νὰ ἐξετάσωμεν ἐπὶ τόπου τὸ ζήτημα.

Ἀφοῦ λοιπὸν ἐβάδισαν εἰς τὴν ἔρημον μέχρι τῆς δύσεως τοῦ ἡλίου, λέγει ὁ Ἀββᾶς Ἀντώνιος:

—Ἂς κάμωμεν εὐχὴν καὶ ἂς στήσωμεν ἐδῶ σταυρόν, διὰ νὰ κτίσουν ἐδῶ τὰ κελλία των ὅσοι θελήσουν. Ἔτσι καὶ ἐκεῖνοι ποὺ θὰ ἔρχωνται ἀπ' ἐκεῖ διὰ νὰ τοὺς ἐπισκεφθοῦν, καὶ αὐτοί, ποὺ θὰ μεταβαίνουν ἐκεῖ ἀπ' ἐδῶ, θὰ μένουν ἀπερίσπαστοι κατὰ τὰς ἐπισκέψεις των αὐτάς.

Γ'. Ἐν τῇ Φιλοθέῳ Ἱστορίᾳ

ΤΩι ΜΕΓΑΛΩι Ἰουλιανῷ ἐν ἄντρῳ τινὶ ἀχειροποιήτῳ χρόνον ἤδη συχνὸν οἰκοῦντι, καὶ τὴν ἄκραν ἄσκησιν ἐπιδεικνυμένῳ (καὶ γὰρ σιτίον ἦν αὐτῷ ἄρτος ὁ κεγχριδίας, καὶ αὐτὸς πιτυρίας, ὄψον δὲ οἱ ἅλες, πόμα δὲ ἥδιστον τὸ αὐτοφυὲς τῶν ὑδάτων νάμα, τρυφὴ δὲ τούτῳ ὑπῆρχε καὶ πανδαισία παντοδαπὴ ἡ διηνεκὴς πρὸς Θεὸν ὁμιλία). Οὕτως οὖν αὐτῷ βιοῦντι, προσῆλθον πολλοὶ μεμαθηκότες τὴν τοιαύτην αὐτοῦ φιλοσοφίαν, οἱ μὲν ἐκ γειτόνων οἰκοῦντες, οἱ δὲ πόρρωθεν, συνεῖναι αὐτῷ βουλόμενοι καὶ τὸ λοιπὸν ὑπ' αὐτῷ καθηγητῇ βιοτεύειν. Ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο· ἔπειτα θεόθεν κινεῖσθαι τοὺς ἄνδρας πληροφορηθείς, ἀσμένως ὑπεδέχετο, καὶ ἐντὸς ὀλίγου καιροῦ οἱ προσιόντες τὸν ἑκατὸν ἐπλήρωσαν ἀριθμὸν καὶ πάντας ἐκεῖνο τὸ ἄντρον ἐδέχετο. Ἐσιτοῦντο δὲ καὶ αὐτοὶ παραπλησίως τῷ παιδοτρίβῃ, τὸν κεγχριδίαν ἄρτον τοῖς ἁλσὶν ἡδυνόμενον.

Ἐξεπαίδευσε δὲ αὐτοὺς τῇ μὲν νυκτὶ ἔνδον τοῦ σπηλαίου ὁμοῦ πάντας τὴν ὑμνῳδίαν προσφέρειν, μετὰ δὲ τὴν ἕω ἀνὰ δύο κατὰ τὴν ἔρημον ἐξιέναι· καὶ τὸν μὲν τὰ γόνατα κάμπτοντα τὴν ὀφειλομένην τῷ Δεσπότῃ προσφέρειν προσκύνησιν, τὸν δὲ ᾄδειν ἑστῶτα ψαλμοὺς Δαβιτικοὺς δεκαπέντε. Εἶτα ἐναλλάττειν τὸ ἔργον, καὶ τὸν μὲν ἀνιστάμενον ᾄδειν, τὸν δὲ εἰς γῆν κάμπτοντα προσκυνεῖν· καὶ τοῦτο ἐξ ἑωθινοῦ μέχρι δείλης ὀψίας διετέλουν ποιοῦντες. Πρὸ δὲ ἡλίου δυσμῶν πάντες πανταχόθεν συνίεσαν, καὶ τὴν ἑσπερινὴν ὑμνῳδίαν κοινῇ τῷ Δεσπότῃ προσέφερον, εἶτα

ἐν τῷ ἄντρῳ ἀνακλιθέντες, οἱ μὲν ἔνθεν οἱ δὲ ἔνθεν, τὴν εὐτελῆ ἐκείνην τροφὴν προσίεντο.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἰουλιανὸς κατοικοῦσεν ἀρκετὸν χρόνον εἰς ἕνα φυσικὸν σπήλαιον, χωρὶς καθόλου νὰ τὸ διαμορφώσῃ μὲ τὰ χέρια του. Ἐκεῖ μέσα ἐπεδίδετο εἰς αὐστηρὰν ἄσκησιν (ἡ τροφή του ἦτο ψωμὶ ἀπὸ κεχρὶ μὲ τὰ πίτουρα, προσφάγι τὸ ἁλάτι, γλυκύτατον ποτόν, τὸ νερὸ ὅπως τὸ ἔδιδεν ἡ φύσις, φαγητόν του δὲ καὶ πλουσία ἀπόλαυσις ὑπῆρχε ἡ διαρκὴς καὶ ἀδιάκοπος νοερὰ ἐπικοινωνία μὲ τὸν Θεόν). Ὁ τρόπος αὐτὸς τῆς ζωῆς του προσείλκυσε πολλούς, οἱ ὁποῖοι ἐπληροφορήθησαν τὴν φιλοσοφίαν του αὐτήν· ἄλλοι ἀπ᾽ αὐτοὺς κατοικοῦσαν πλησίον, ἄλλοι μακράν. Ὅλοι αὐτοὶ ἐπεθύμουν νὰ παραμείνουν κοντά του καὶ νὰ ζήσουν εἰς τὸ ἑξῆς ἔχοντες αὐτὸν ὡς διδάσκαλον. Ὁ Ὅσιος ἠρνεῖτο εἰς τὰς ἀρχὰς νὰ τοὺς δεχθῇ· ἔπειτα ὅμως ἀπὸ μυστικὴν ἐσωτερικὴν πληροφορίαν τῆς ψυχῆς του, ὅτι οἱ ἄνθρωποι αὐτοὶ παρακινοῦνται ἀπὸ τὸν Θεόν, τοὺς ἐδέχετο εὐχαρίστως. Ἔτσι ἐντὸς ὀλίγου ἐκεῖνοι ποὺ ἦλθαν κοντά του ἔγιναν ἑκατὸν καὶ τοὺς ἐχώρεσεν ὅλους ἐκεῖνο τὸ σπήλαιον. Ἐτρέφοντο καὶ αὐτοὶ ὅπως ὁ γυμναστής των μὲ τὸ κέχρινον ψωμί, τὸ ὁποῖον ἐνοστίμιζαν κάπως μὲ ἁλάτι.

Τοὺς ἐγύμνασε δὲ ὡς ἑξῆς: κατὰ τὴν νύκτα ὅλοι μαζὶ μέσα εἰς τὸ σπήλαιον ἔψαλλαν τὴν ἀγρυπνίαν· τὴν αὐγὴν δύο - δύο ἐξήρχοντο εἰς τὴν ἔρημον καὶ ὁ μὲν ἕνας ἀνέπεμπε γονατιστὸς τὴν ὀφειλομένην προσκύνησιν εἰς τὸν Δεσπότην Θεόν, ἐνῷ ὁ ἄλλος ἔψαλλεν ὄρθιος δεκαπέντε ψαλμοὺς τοῦ Δαβίδ. Κατόπιν ἤλλασσαν εἰς τὴν πνευματικὴν αὐτὴν ἐργασίαν καὶ ὁ μὲν γονατιστὸς ἐσηκώνετο καὶ ἔψαλλεν, ἐνῷ ὁ ὄρθιος ἐγονάτιζε καὶ ἔκαμε τὰς μετανοίας. Αὐτὴν τὴν ἐργασίαν τὴν ἔκαναν συνεχῶς ἀπὸ τὸ πρωῒ ἕως ἀργὰ τὸ ἀπόγευμα. Πρὶν ἀπὸ τὴν δύσιν τοῦ ἡλίου ἐμαζεύοντο ὅλοι ἀπὸ παντοῦ καὶ ἔκαναν ἀπὸ κοινοῦ ὅλοι μαζὶ τὸν ἑσπερινόν. Μετὰ συνεκεντρώνοντο εἰς τὸ σπήλαιον καὶ ἐκάθηντο, ἄλλοι ἀπ᾽ ἐδῶ καὶ ἄλλοι ἐκεῖ, καὶ ἔτρωγαν τὸ λιτὸν φαγητόν των.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΗΣΥΧΑΖΩΝ ἐν τῷ κελλίῳ σου, τύπωσον σεαυτὸν ἐν τῷ ἐσθίειν, διδοὺς τὴν χρείαν τῷ σώματί σου, ἵνα βαστάσῃ σε ποιῆσαι τὰς λειτουργίας σου, καὶ ἵνα μὴ θέλῃς παραβαλεῖν ἔξω· ἅπαξ δὲ ἔσθιε τῆς ἡμέρας, καὶ δὸς τὴν χρείαν τῷ σώματί σου, ὥς τε ἀναστῆναί σε ἔτι θέλοντα φαγεῖν.

Ἑρμηνεία

ΟΤΑΝ ἡσυχάζῃς εἰς τὸ κελλίον σου, κανόνισε τὸν ἑαυτόν σου εἰς τὸ ζήτημα τῆς τροφῆς, ὥστε νὰ τρώγῃς αὐτὸ ποὺ εἶναι ἀναγκαῖον διὰ τὸ σῶμα σου, διὰ νὰ ἀνθέξῃς εἰς τὰς ὑπηρεσίας σου καὶ νὰ μὴ θέλῃς νὰ ἐξέλθῃς ἔξω. Μίαν φορὰν τὴν ἡμέραν νὰ τρώγῃς καὶ δῶσε τὸ ἀπολύτως ἀ-

παραίτητον εἰς τὸ σῶμα σου, ὥστε νὰ σηκωθῆς ἐνῷ ἀκόμη θέλεις νὰ φάγῃς.

Ε'. Γρηγορίου τοῦ Διαλόγου

ΠΑΡΑΔΟΣΙΣ ἦν ἐν τῇ Μονῇ τῇ κατὰ τὸν Ὅσιον Πατέρα Βενέδικτον, ὑπ᾿ αὐτοῦ νομοθετηθεῖσα, ἵνα, ἐὰν ἀποσταλῶσιν ἀδελφοὶ εἰς διακονίαν, μήτε βρώσεως μήτε πόσεως μεταλαμβάνειν, μέχρις ἂν ἐν τῇ Μονῇ ὑποστρέψωσι· καὶ οὗτος ὁ κανὼν ἀκριβῶς παρὰ πᾶσι τοῖς ἐν τῇ Μονῇ ἐφυλάττετο.

Ἐν μιᾷ οὖν ἀδελφοί τινες τῆς τοιαύτης Μονῆς εἰς διακονίαν ὑπὸ τοῦ Ὁσίου ἀποσταλέντες καὶ πολὺ διάστημα τῆς ὁδοῦ διανύσαντες, ἑσπέρας ἤδη καταλαβούσης, οὐκ ἔφθασαν ἀναλῦσαι εἰς τὴν Μονήν. Ὑπὸ οὖν τῆς ὥρας κατεπειγόμενοι, εἴς τινος Παρθένου σεμνοτάτης κελλίον κατέλυσαν, καὶ τροφῆς μετέλαβον. Εἶτά τινα ἐξ αὐτῶν πρὸς τὸν Πατέρα ἀπέστειλαν αἰτήσασθαι κατὰ τὸ ἔθος εὐχήν, ἵνα μεταλάβωσι τροφῆς, ὃν καὶ νυκτὸς παραγενόμενον ἰδὼν ὁ μέγας, ἠρώτησε λέγων· ποῦ μετελάβετε τροφῆς; Ὁ δὲ εἶπεν· οὐδαμοῦ, Πάτερ· ὁ δὲ Ἅγιος· ἵνα τί ψεύδει; οὐκ ἐν τῷ κελλίῳ τῆς δε τῆς Παρθένου κατελύσατε καὶ τροφῆς μετελάβετε; οὐχὶ ἀνὰ τόσα ποτήρια ἐπίετε; ὁ δὲ διελεγχθείς, πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ, ᾐτεῖτο συγγνώμην.

Ὁ οὖν συμπαθέστατος Πατὴρ ἀφῆκεν αὐτοῦ τὸ ἁμάρτημα, καὶ τοὺς λοιποὺς δὲ ἐπανελθόντας τῇ ἐπαύριον ὁμοίως διελέγξας καὶ ἱκανῶς ἐπιστύψας τοῖς λόγοις, ἐπεὶ καὶ αὐτοὶ ἡμαρτηκέναι ὡμολόγουν, ἑαυτοὺς καταβαλόντες εἰς ἔδαφος καὶ ἀξιοῦντες συγχωρηθῆναι, καὶ συγγνώμην καὶ αὐτοῖς τοῦ σφάλματος ἐδωρήσατο πληροφορίαν λαβὼν παρ᾿ αὐτῶν, τοῦ λοιποῦ μηκέτι παραβῆναι τὴν παραδεδομένην ὑπ᾿ αὐτοῦ ἐντολὴν μέχρι τελευταίας ἀναπνοῆς.

Ἑρμηνεία

ΥΠΗΡΧΕ μία παράδοσις εἰς τὴν Μονὴν τοῦ Ὁσίου Πατρὸς Βενεδίκτου, καθιερωθεῖσα ἀπὸ τὸν ἴδιον· σύμφωνα μὲ αὐτήν, ἂν ἀποσταλοῦν ἀδελφοὶ εἰς ἐξωτερικὴν ὑπηρεσίαν, οὔτε τρώγουν οὔτε πίνουν τίποτα, μέχρις ὅτου ἐπιστρέψουν εἰς τὸ Μοναστήρι. Αὐτὸς ὁ κανὼν ἐτηρεῖτο μὲ ἀκρίβειαν ἀπὸ ὅλους τοὺς Μοναχούς.

Μίαν ἡμέραν λοιπὸν μερικοὶ ἀδελφοὶ αὐτῆς τῆς Μονῆς ἀπεστάλησαν ἀπὸ τὸν Ὅσιον εἰς ὑπηρεσίαν καὶ ἀφοῦ διήνυσαν μεγάλην ἀπόστασιν, δὲν ἐπρόφθασαν νὰ ἐπιστρέψουν, ὅταν ἦλθε τὸ βράδυ. Ἐπειδὴ πλέον εἶχε προχωρήσει ἡ ὥρα ἠναγκάσθησαν νὰ παραμείνουν εἰς τὸ κελλὶ μιᾶς σεμνοτάτης Παρθένου, καὶ ἔφαγον. Ὅταν ἐπέστρεψαν ἔστειλαν κάποιον ἀπὸ αὐτοὺς πρὸς τὸν Πατέρα, διὰ νὰ ζητήσῃ, κατὰ τὴν συνήθειαν, εὐχήν, διὰ νὰ φάγουν. Μόλις τὸν εἶδεν ὁ Μέγας, ὅταν ἔφθασε τὴν νύκτα, τὸν ἠρώτησε:

— Ποῦ ἐφάγατε;

— Πουθενά, Πάτερ· ἀπήντησεν ὁ Μοναχός.

— Διατί ψεύδεσαι; Δὲν παρεμείνατε εἰς τὸ κελλὶ τῆς Παρ-

θένου ἐκείνης, ὅπου καὶ ἐφάγατε; Δὲν ἤπιατε τόσα ποτήρια ὁ καθένας σας;

Ὁ Μοναχὸς τρομαγμένος ἀπὸ τὴν προορατικὴν δύναμίν τοῦ Ὁσίου, ἠλέγχθη πολὺ διὰ τὴν παράβασιν καὶ ἀφοῦ ἔπεσεν εἰς τοὺς πόδας του, ἐζητοῦσε συγχώρησιν.

Ὁ συμπαθέστατος Πατὴρ τὸν συνεχώρησεν. Οἱ ὑπόλοιποι ἐπέστρεψαν τὸ πρωΐ εἰς τὸ Μοναστήρι. Καὶ ἐκείνους τότε τοὺς ἐμάλωσεν αὐστηρά. Ἐπειδὴ δὲ καὶ ἐκεῖνοι ὡμολογοῦσαν, ὅτι ἡμάρτησαν καὶ ἔπεσαν μάλιστα εἰς τὸ ἔδαφος παρακαλοῦντες νὰ συγχωρηθοῦν, τοὺς συνεχώρησε καὶ αὐτούς. Κατόπιν τὸν διαβεβαίωσαν ὅλοι ὅτι εἰς τὸ ἑξῆς ποτὲ πλέον δὲν θὰ παραβοῦν, μέχρι τελευταίας των ἀναπνοῆς, τὴν ἐντολήν, ποὺ τοὺς παρέδωσεν.



ΥΠΟΘΕΣΙΣ ΚΒ΄

Ὅτι οὐ δεῖ δι' ἡδονήν, ἀλλὰ πρὸς χρείαν ἐσθίειν καὶ ὅτι ὁ μὴ πρὸς ἡδονὴν ἐσθίων κἂν ἡδέα τὰ βρώματα ᾖ οὐδὲν ζημιοῦται.

Δὲν πρέπει νὰ τρώγωμεν δι' εὐχαρίστησιν, ἀλλὰ διὰ τὴν σωματικὴν ἀνάγκην· ἐκεῖνος ποὺ δὲν τρώγει δι' εὐχαρίστησιν, καὶ ἂν ἀκόμη τὰ φαγητὰ εἶναι ἀπολαυστικά, εἰς τίποτα δὲν ζημιώνεται.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΟΣΙΟΣ Σάββας, νέος ὢν ἔτι καὶ ἐν τῇ μονῇ τῇ καλουμένῃ Φλαβιαναὶ διάγων, ἣ ἐν Καππαδοκίᾳ μέν ἐστιν, εἴκοσι δὲ σταδίοις Μουταλάσκης τῆς αὐτοῦ κώμης διέστηκεν, ἤσκει μὲν ἑαυτὸν καὶ τὴν πᾶσαν ἄλλην ἐγκράτειαν, οὐχ ἥκιστα δὲ ὁπόση περὶ γλυκασμόν ἐστι φάρυγγος καὶ γαστρὸς εὐπάθειάν τε καὶ θεραπείαν.

Ἐν μιᾷ οὖν εἰργάζετο τὸν τοῦ Μοναστηρίου παράδεισον, μῆλα δὲ τῶν ἐκεῖ δένδρων ἀπαιωρούμενα ἔσαινέ τε αὐτοῦ τὴν ὄρεξιν καὶ πρὸ τῆς ὥρας εἰς βρῶσιν ἐκίνει. Ἡττήθη μὲν οὖν τῆς τῶν μήλων ὄψεως (καὶ γὰρ ἦν ὡραῖα τὴν ὅρασιν), ἅτε δὴ καὶ αὐτὸς ἄνθρωπος ὢν καὶ ἀνθρωπίναις ἐπιθυμίαις θελγόμενος. Ἡττήθη δὲ τοσοῦτον, ὥς τε λαβεῖν τῇ χειρὶ τὸ μῆλον. Εἶτα τοιαύτην εἶναι συνεὶς τὴν ἐπιβουλὴν τοῦ πονηροῦ, καὶ ὡς ἔθος αὐτοῦ κλέπτειν ἀεὶ τὴν ἡδονὴν ὡς δέλεαρ προβαλλόμενον, ἔπειτα δὲ καὶ τῷ καρπῷ κρύπτεσθαι τὸν ὄφιν ὑπονοήσας, καὶ ὅπως ἄρα καὶ τοὺς προπάτορας ἡδονὴ καὶ βρῶσις ἐκβαλόντα τοῦ Παραδείσου, μυρίοις ὅσοις κακοῖς περιέπειραν.

Ταῦτα ἐκεῖνος καλῶς διανοηθείς, ῥίπτει κατὰ γῆς εὐθέως τὸ μῆλον, καὶ τοῖς ποσὶν ὡς εἶχε καταπεπατηκώς, συμπατεῖ μετὰ τοῦ μήλου καὶ τὴν ἐπιθυμίαν, καὶ ὀφθαλμοὺς αὐτὴν ἐκνικήσασαν ποσὶν ἐξυβρίζει, τοιοῦτον εἰς τὸ ἑξῆς θέμενος ἑαυτῷ νόμον ὥς τε τὸν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον μὴ μήλου τὸ παράπαν φαγεῖν μηδὲ γαστρὸς ὀρέξει χαρίσασθαι.

Ἑρμηνεία

Ο ΟΣΙΟΣ Σάββας, ὅταν ἦτο ἀκόμη νέος καὶ ἐζοῦσεν εἰς τὴν Μονὴν Φλαβιανῶν, ἡ ὁποία εὑρίσκεται εἰς τὴν Καππαδοκίαν, καὶ ἀπέχει εἴκοσι στάδια* ἀπὸ τὴν Μουταλάσκην, τὸ χωριὸ τοῦ Ὁσίου ὑπέβαλλε μὲν τὸν ἑαυτόν του εἰς γενικὴν ἄσκησιν καὶ ἐγκράτειαν· ἐξ ἴσου ὅμως ἠσκεῖτο καὶ εἰς τὴν ἐγκράτειαν, ποὺ ἀναφέρεται εἰς τὰς ἡδονὰς τοῦ λάρυγγος, τὴν περιποίησιν καὶ καλοπέρασιν τῆς κοιλίας.

Μίαν ἡμέραν λοιπὸν εἰργάζετο εἰς τὸν κῆπον τοῦ Μοναστηρίου. Τὰ μῆλα ἐκρέμοντο ἀπὸ τὰ δένδρα τοῦ κήπου, ἐκεντοῦσαν τὴν ὄρεξίν του καὶ τὸν ἐπαρακινοῦσαν νὰ φάγῃ πρὸ τῆς ὥρας. Εἰς μίαν λοιπὸν στιγμὴν ἐνικήθη ἀπὸ τὴν θέαν τῶν μήλων (διότι, πραγματικά, ἦσαν ὡραῖα νὰ τὰ βλέπῃς), ὡσὰν ἄνθρωπος ποὺ ἦτο καὶ αὐτὸς καὶ ἐξηπατᾶτο ἀπὸ τὰς ἀνθρωπίνους ἐπιθυμίας. Καὶ τόσον μόνον ἐνικήθη, ὥστε νὰ πάρῃ τὸ μῆλον εἰς τὸ χέρι. Ἀμέσως ὅμως ἔφερεν εἰς τὸν νοῦν του ὅτι αὐτὸ ἦτο ἐπιβουλὴ τοῦ πονηροῦ καὶ ὅτι συνηθίζει (ὁ πονηρὸς) νὰ ἐξαπατᾷ χρησιμοποιῶν πάντοτε ὡς δόλωμα τὴν ἡδονήν· ἐθυμήθηκεν ἀκόμη, ὅτι ὁ ὄφις ἐκρύπτετο μέσα εἰς τὸν καρπὸν καὶ ὅτι μὲ τὴν ἡδονὴν καὶ τὴν βρῶσιν ἐξεδίωξε τοὺς Προπάτορας ἀπὸ τὸν Παράδεισον καὶ ἔτσι περιέπεσαν εἰς πάρα πολλὰ κακά.*

Ἀφοῦ λοιπὸν ἐκεῖνος τὰ ἐσκέφθη ὅλα αὐτὰ καλά, ρίπτει ἀμέσως κατὰ γῆς τὸ μῆλο καὶ ἀφοῦ τὸ κατεπάτησεν, ὅπως ἦτο, μὲ τοὺς πόδας του, ἐπάτησε, μαζὶ μὲ τὸ μῆλον καὶ τὴν ἐπιθυμίαν. Ἔτσι αὐτὴν τὴν ἐπιθυμίαν, ποὺ τοῦ ἐνίκησε τὰ μάτια, τὴν ταπεινώνει μὲ τοὺς πόδας του· ὡς κανόνα δὲ ἔθεσεν εἰς τὸν ἑαυτόν του τὸν ὅρον, ποτὲ ὅσον ζῇ νὰ μὴ φάγῃ καθόλου μῆλον, οὔτε νὰ χαρισθῇ εἰς τὴν ἐπιθυμίαν τῆς κοιλίας του.

---

* Τὸ στάδιον ἦτο μέτρον μήκους τῶν ἀρχαίων καὶ ἰσοδυναμοῦσε πρὸς 100 ὀργυιὰς ἢ 181 σημερινὰ μέτρα περίπου.

** Ὅταν ὁ Θεὸς ἔπλασε τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἔθεσεν αὐτοὺς εἰς τὸν Παράδεισον καὶ ἀφοῦ ἔδωσεν εἰς αὐτοὺς ἐντολὴν νὰ μὴ φάγουν ἀπὸ τὸν καρπὸν τοῦ δένδρου τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, διότι τὴν ἡμέραν ποὺ θὰ φάγουν ἐκ τῶν καρπῶν αὐτοῦ θὰ ἀποθάνουν. Ὁ ὄφις ὅμως παρεπλάνησε τὴν γυναῖκα, ὅτι ἐὰν φάγουν ἀπὸ τοὺς καρποὺς τοῦ δένδρου αὐτοῦ θὰ γίνουν ὡς θεοί, καὶ ἡ Εὔα παρασυρθεῖσα ἔφαγε καὶ ἔδωσε καὶ εἰς τὸν Ἀδὰμ καὶ ἔφαγε καὶ ἐκεῖνος. Τότε ἠνοίχθησαν οἱ ὀφθαλμοί των, ἐγνώρισαν τὸ καλὸν καὶ τὸ κακόν, καὶ ἰδόντες ὅτι ἦσαν γυμνοὶ ἔρραψαν φύλλα συκῆς... (Γεν. Κεφ. Β', 15—17 καὶ Γ' 1—7). Διὰ τὴν παρακοήν των ὁ Θεὸς ἐξεδίωξεν αὐτοὺς ἐκ τοῦ Παραδείσου. Ὁ δὲ καρπὸς τοῦ δένδρου τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ λέγεται ὅτι ἦτο μῆλον. Αὐτὰ ἐνεθυμήθη ὁ Ἅγιος Σάββας, ὅτε ἥπλωσε τὴν χεῖρα καὶ ἔκοψε τὸ μῆλον ἀπὸ τὸν κῆπον τοῦ Μοναστηρίου.

Β'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ οὕτω τὴν νηστείαν ἐφίλει, ὡς μηδέποτε θέλειν ταύτης διαζευχθῆναι μηδὲ βραχύ. Φυλακὴν γὰρ καὶ θεμέλιον πασῶν τῶν λοιπῶν ἀρετῶν ταύτην ἡγεῖτο. Εἴ ποτε οὖν ἀνάγκης γενομένης ἐτράφη παρὰ τὸ σύνηθες, τὸ ἐναντίον ὑφίστατο. Ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον καὶ συνέπιπτεν ὁ τοῦ σώματος ὄγκος· τοῦ γὰρ κινοῦντος ἀηδισθέντος, συναλλοιοῦται καὶ τὸ κινούμενον, καὶ ὅπως ἂν ἡ ἀρχὴ διατεθῇ, ἀκολουθεῖν πάντως ἀνάγκη καὶ τὰ ἐξ αὐτῆς ἠρτημένα. Οἷς μὲν γὰρ καθ' ἡδονὴν ἡ τροφὴ προσφέρεται, εὐθαλὴς ὁ τοῦ σώματος ὄγκος ἐστίν· οἱ δὲ ἀνηδόνως καὶ ἀνορέκτως ἐσθίοντες, τὸ ἐναντίον πάσχουσιν· ἰσχνοῦται γὰρ αὐτῶν καὶ συμπίπτει ἡ σὰρξ καὶ ὠχριᾷ τούτοις ἡ ἐπιφάνεια, καὶ μαρτυροῦσι τῷ λόγῳ οἱ ἄρρωστοι.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ τόσον πολὺ ἠγάπα τὴν νηστείαν, ὥστε ποτὲ δὲν ἤθελε νὰ τὴν ἀποχωρισθῇ, ἔστω καὶ δι' ὀλίγον. Τὴν ἐθεωροῦσε φύλακα καὶ θεμέλιον ὅλων τῶν ἄλλων ἀρετῶν. Ἂν, λοιπόν, κάποτε ἔτρωγεν, ἀπὸ ἀνάγκην, κάτι περισσότερον ἀπὸ τὸ συνηθισμένον, εἶχε τὸ ἀντίθετον ἀποτέλεσμα. Ἐκιτρίνιζε, δηλαδή, καὶ ἀδυνάτιζε· διότι ὅταν ἀηδιάσῃ κανεὶς ἐκεῖνο, ποὺ τὸν παρακινεῖ (νὰ τρώγῃ), τότε ἀσφαλῶς καταστρέφεται μαζὶ καὶ τὸ ἀποτέλεσμα τοῦ κινήτρου, ἡ ὠφέλεια (τοῦ φαγητοῦ) καὶ ἀπὸ τὴν ἀρχικὴν ψυχικὴν διάθεσιν ἐξαρτῶνται, κατὰ φυσικὴν συνέπειαν, ὅλα τὰ ἐπακόλουθα. Διότι ἐκεῖνοι, ποὺ τρώγουν ἀπὸ εὐχαρίστησιν, παχαίνουν, ἐνῷ ἐκεῖνοι, ποὺ τρώγουν χωρὶς ὄρεξιν καὶ εὐχαρίστησιν, παθαίνουν τὸ ἀντίθετον· ἀδυνατίζει, δηλαδή, ζαρώνει τὸ σῶμα των, καὶ κιτρινίζουν. Τὴν ἀλήθειαν αὐτὴν ἐπιβεβαιώνουν οἱ ἄρρωστοι.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΩΝ τις εἰς Θηβαΐδα οἰκῶν, Ἀντιανὸς ὀνόματι, ἐν τῇ νεότητι αὐτοῦ πολλὰς πολιτείας καὶ μεγάλας ἐποίησε, εἰς δὲ τὸ γῆρας αὐτοῦ ἠσθένησε καὶ ἐτυφλώθη. Οἱ οὖν ἀδελφοὶ πολλὴν παράκλησιν διὰ τὴν ἀσθένειαν προσέφερον αὐτῷ καὶ παρέβαλλον αὐτόν. Αὐτὸς γὰρ διὰ τῶν οἰκείων χειρῶν τὴν τροφὴν προσιέσθαι διὰ τὴν ἀσθένειαν οὐκ ἠδύνατο. Ἠρώτησαν οὖν τινες περὶ αὐτοῦ τὸν Ἀββᾶν Ἀϊώ, ὃς ἦν μέγας καὶ ὀνομαστός, τί γίνεται διὰ τὴν πολλὴν παράκλησιν ταύτην; καὶ εἶπεν αὐτοῖς. Λέγω ὑμῖν, ὅτι ἐὰν ἡ καρδία αὐτοῦ θέλῃ καὶ συγκαταβαίνῃ ἡδέως, ἐὰν φάγῃ ἓν φοινίκιον διὰ ἡδονήν, ὁ Θεὸς αἴρει αὐτὸ ἐκ τοῦ κόπου αὐτοῦ· ἐὰν δὲ μὴ συγκαταβαίνῃ, ἀλλὰ μὴ θέλων λαμβάνει, ὁ Θεὸς τὸν κόπον αὐτοῦ τηρεῖ σῶον, ὅτι μὴ θέλων βιάζεται, κἀκεῖνοι μισθὸν ἔχουσιν.

2. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν Ἀββᾶν Μεγέθιον λέγοντες, ὅτι ἐὰν περισσεύσῃ ἔψημα εἰς τὴν ἄλλην ἡμέραν, θέλεις ἵνα φάγωσιν οἱ ἀδελφοὶ αὐτό; Ἀπεκρίθη ὁ γέρων· ἐὰν ἠρήμωται, οὐκ ἔστι καλὸν ἵνα ἀναγκασθῶσιν οἱ ἀδελφοὶ φα-

γεῖν αὐτὸ καὶ ἀσθενήσωσιν, ἀλλὰ ῥιφήτω· εἰ δὲ καλόν ἐστιν, καὶ διὰ ἡδονὴν ἄλλο ἑψηθῇ, ἐκεῖνο δὲ ῥιφῇ, τοῦτο κακόν ἐστιν.

3. Εἶπέ τις τῶν Πατέρων, ὅτι οἱ ὀφθαλμοὶ τοῦ χοίρου φυσικῶς ἔχουσι τὴν πλάσιν, ὥς τε ἀνάγκῃ βλέπειν εἰς τὴν γῆν καὶ μηδέποτε ἀνανεῦσαι εἰς τὸν οὐρανὸν δύνασθαι. Οὕτω φησὶ καὶ τοῦ ταῖς ἡδοναῖς ἐγγλυκανθέντος ἡ ψυχή ἅπαξ πρὸς τὸν τῆς ἡδυπαθείας κατολισθήσασα βόρβορον, τὰ ἄνω φρονῆσαι οὐ δύναται.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων, ποὺ κατοικοῦσεν εἰς Θηβαΐδα, ὁ Ἀντιανός, εἶχεν ἐπιδοθῇ. κατὰ τὴν νεότητά του, εἰς μεγάλην καὶ ἐπίπονον ἄσκησιν· εἰς τὰ γηρατειά του ὅμως ἠσθένησε καὶ ἐτυφλώθη. Οἱ ἀδελφοί, λοιπόν, τὸν ἐπεριποιοῦντο πάρα πολύ, διὰ τὴν ἀσθένειάν του, καὶ ἤρχοντο καθημερινῶς κοντά του· διότι ἀπὸ τὴν ἀρρώστεια του καὶ τὴν ἀναπηρίαν του δὲν ἠμποροῦσε, μὲ τὰ χέρια του, νὰ φέρῃ εἰς τὸ στόμα του τὸ φαγητόν. Μερικοὶ ἀδελφοὶ ἠρώτησαν, δι' αὐτόν, τὸν Ἀββᾶν Ἀϊώ, ποὺ ἦτο σπουδαῖος καὶ ὀνομαστός.

—Ἀββᾶ — τοῦ εἶπον — τί γίνεται τώρα μὲ αὐτὴν τὴν πολλὴν περιποίησιν;

Ἐκεῖνος τοὺς ἀπήντησε:

— Σᾶς λέγω ὅτι ἂν ἡ καρδιά του ἀποζητῇ τὴν περιποίησιν καὶ τὴν ἀποδέχεται, μὲ εὐχαρίστησιν, ἂν φάγῃ ἕνα χουρμὰν δι' εὐχαρίστησιν τοῦ στομάχου, τότε ὁ Θεὸς τὸν ἀφαιρεῖ ἀπὸ τὴν ἄσκησίν του· ἂν ὅμως δὲν ἐπιθυμῇ μὲν τὰς περιποιήσεις αὐτάς, ἀλλὰ παρὰ τὴν θέλησίν του λαμβάνει (αὐτά, ποὺ τοῦ προσφέρετε), ὁ Θεὸς διασώζει ἀκέραιον τὸν μισθὸν διὰ τὸν κόπον του, διότι χωρὶς νὰ θέλῃ πιέζεται ἀπ' αὐτούς, ποὺ τὸν περιποιοῦνται, οἱ ὁποῖοι, βέβαια, ἔχουν μισθόν.

2. Ἠρώτησαν μερικοὶ Πατέρες τὸν Ἀββᾶν Μεγέθιον:

—Ἂν περισσεύσῃ φαγητὸν διὰ τὴν ἄλλην ἡμέραν, θέλεις νὰ τὸ φάγουν οἱ ἀδελφοί;

—Ἂν ἔχῃ χαλάσει —ἀπήντησεν ὁ Ἀββᾶς — δὲν εἶναι καλὸν νὰ ὑποχρεωθοῦν οἱ ἀδελφοὶ νὰ τὸ φάγουν καὶ νὰ ἀρρωστήσουν· ἂς πεταχθῇ λοιπόν. Ἂν ὅμως εἶναι καλὸν καὶ μαγειρευθῇ ἄλλο, χάριν ἡδονῆς τῆς κοιλίας, πεταχθῇ δὲ ἐκεῖνο, ποὺ ἔμεινε, αὐτὸ εἶναι κακόν.

† 3. Εἶπε κάποιος Ἀσκητικὸς Πατήρ· τὰ μάτια τοῦ χοίρου εἶναι ἔτσι ἀπὸ τὴν φύσιν πλασμένα, ὥστε κατ' ἀνάγκην νὰ βλέπουν πρὸς τὴν γῆν καὶ ποτὲ νὰ μὴ ἠμποροῦν νὰ κοιτάξουν ἐπάνω πρὸς τὸν Οὐρανόν. Ἔτσι εἶναι — συνέχισε — καὶ ἡ ψυχὴ ἐκείνου, ποὺ παρεσύρθη ἀπὸ τὰς ἡδονάς· ἂν κατρακυλήσῃ μίαν φορὰν εἰς τὸν βοῦρκον τῆς ἡδυπαθείας, δὲν ἠμπορεῖ πλέον νὰ σκεφθῇ τὰ ἐπουράνια.

Δ' Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ἡ γαστριμαργία σε πολεμῇ ἐν ἐπιθυμίᾳ ἐδεσμάτων, μνήσθητι τῆς δυσωδίας αὐτῶν καὶ ἀναπαύει.

Ἑρμηνεία

ΑΝ σὲ πολεμῇ ἡ γαστριμαργία μὲ τὴν ἐπιθυμίαν τῶν διαφόρων φαγητῶν, ἐνθυμήσου ἀμέσως τὴν δυσωδίαν των καὶ τότε θὰ ἡσυχάσῃς.

Ε'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΣΩΜΑΤΙΚΑΙΣ ἡδοναῖς πέρα τοῦ δέοντος ἐναπολαύσας, ἑκατονταπλασίοσι πόνοις ἀποτίσει τὴν περίσσειαν. Ὁ πιστεύων περὶ τῶν μελλόντων, τῶν ὧδε ἡδέων ἀδογματίστως ἀπέχεται· ὁ δὲ ἀπιστῶν, ἡδὺς καὶ ἀνάλγητος γίνεται. Μὴ εἴπῃς, πῶς ἡδυπαθήσει ὁ πένης μὴ ἔχων τὰ αἴτια; δύναται γάρ τις καὶ διὰ μόνων τῶν λογισμῶν ἀθλιωτέρως ἡδυπαθεῖν.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ ἀπήλαυσε τὰς σωματικὰς ἡδονὰς πάρα πάνω ἀπὸ ὅσον ἔπρεπε, θὰ πληρώσῃ μὲ ἑκατονταπλασίους πόνους τὸ πλῆθος τῶν ἡδονῶν αὐτῶν. Ἐκεῖνος ποὺ πιστεύει εἰς τὰ μελλοντικὰ ἀγαθά, ἀπέχει ἀπὸ τὰ εὐχάριστα τοῦ κόσμου τούτου χωρὶς νὰ πολυεξετάζῃ· ἐκεῖνος ὅμως ποὺ ἀπιστεῖ γίνεται φιλήδονος καὶ ἄπονος. Νὰ μὴ εἴπῃς πῶς ἠμπορεῖ νὰ ἐπιθυμήσῃ ἀπολαύσεις ὁ πτωχός, ἀφοῦ δὲν ἔχει τὰ μέσα; Διότι ἠμπορεῖ κανεὶς καὶ μόνον μὲ τοὺς λογισμοὺς νὰ ἀπολαμβάνῃ τὰς ἡδονάς, πολὺ πιὸ χειρότερα.

ΣΤ'. Τοῦ Ἁγίου Διαδόχου

ΠΑΝΤΑ τὰ κατασκευαστὰ πόματα, ἃ δὴ προπόματα καλοῦσιν οἱ ταύτης τεχνῖται τῆς ἐπινοίας, ὡς ἔοικε, διὰ τὸ ὁδηγεῖν εἰς γαστέρα τὸ πλῆθος τῶν βρωμάτων, οὐ δεῖ μεταδιώκειν τοὺς θέλοντας τὰ οἰδαίνοντα μέλη κολάζειν τοῦ σώματος. Οὐ γὰρ δὴ μόνον ἡ ποιότης αὐτῶν ἐπιβλαβὴς τοῖς ἀγωνιζομένοις σώμασι γίνεται, ἀλλὰ καὶ αὐτὴ ἡ παράλογος αὐτῶν σύγκρασις πλήττει λίαν τὴν θεόφοβον συνείδησιν. Τί γὰρ ἄρα τὸ λεῖπον τῇ τοῦ οἴνου φύσει, ἵνα διαφόρων ἡδυσμάτων ἐπιμιξίᾳ ἡ τούτου στερρότης θηλύνοιτο;

Ὁ Κύριος ἡμῶν, ὁ ταύτης τῆς ἱερᾶς πολιτείας διδάσκαλος Ἰησοῦς Χριστός, ὄξος ἐν τῷ πάθει πεπότισται παρὰ τῶν ὑπουργούντων τοῖς διαβολικοῖς ἐπιτάγμασιν, ἵνα ὑπογραμμὸν ἡμῖν, ὡς ἐμοὶ δοκεῖ, ἐναργῆ καταλίπῃ τῆς τῶν ἱερῶν ἀγώνων διαθέσεως. Οὐ δεῖ γάρ φησι τοῖς ἡδύνουσι βρώμασιν ἢ πόμασι τοὺς ἀγωνιζομένους κατὰ τῆς ἁμαρτίας τὸν κατ' αὐτῆς ποιεῖσθαι πόλεμον, ἀλλὰ μᾶλλον τοῦ πικροῦ τῆς μάχης μετὰ καρτερίας ἀνέχεσθαι. Προστεθείτω δὲ καὶ ὕσσωπον τῷ σπόγγῳ τῆς ὕβρεως, ὅπως ἂν τελείως ἐμφέροιτο τῷ ὑποδείγματι τὸ σχῆμα τῆς ἡμῶν καθάρσεως· τὸ μὲν γὰρ δριμὺ τῶν ἀγώνων ἴδιον, τὸ δὲ καθαριστικὸν πάντως τῆς τελειώσεως.

Ἑρμηνεία

ΟΛΑ τὰ τεχνητὰ ποτά, τὰ ὁποῖα οἱ κατασκευασταί των τὰ ὀνομάζουν ὀρεκτικά, ἐπειδή, ὅπως φαίνεται, διεγείρουν τὴν ὄρεξιν διὰ

νὰ εἰσέρχεται εἰς τὴν κοιλίαν πλῆθος φαγητῶν, πρέπει νὰ τὰ ἀποφεύγουν ἐκεῖνοι ποὺ θέλουν νὰ τιμωροῦν τὰ μέλη τοῦ σώματος, ποὺ φουσκώνουν ἀπὸ αὐτὰ τὰ ποτά, διότι ὄχι μονάχα ἡ ποιότης των ἀποβαίνει ἐπιβλαβὴς διὰ τὰ ἀγωνιζόμενα σώματα, ἀλλὰ καὶ τὸ περίεργον ἀνακάτευμά των ζημιώνει πάρα πολὺ τὴν ψυχὴν τοῦ θεοφοβουμένου. Διότι τί λείπει ἀπὸ τὴν φύσιν τοῦ οἴνου, ὥστε μὲ τὴν ἀνάμιξιν διαφόρων μυρωδικῶν νὰ μεταβάλλεται ἡ φυσική του κατάστασις;

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ διδάσκαλος αὐτῆς τῆς ἱερᾶς πολιτείας, ἐποτίσθη ὄξος εἰς τὸ πάθος Του, ἀπὸ ἐκείνους ποὺ ἐκτελοῦσαν τὰ διαβολικὰ προστάγματα. Κατὰ τὴν γνώμην μου συνέβη αὐτό, διὰ νὰ μᾶς δείξῃ ὁλοφάνερα μὲ ποίαν ψυχικὴν διάθεσιν πρέπει νὰ ἀποδυώμεθα εἰς τοὺς ἱεροὺς αὐτοὺς ἀγῶνας· διότι δὲν πρέπει — λέγει — οἱ ἀγωνιζόμενοι ἐναντίον τῆς ἁμαρτίας νὰ κάμνουν τὸν πόλεμον ἐναντίον της μὲ φαγητὰ καὶ ποτά, ποὺ διεγείρουν εἰς ἡδονήν, ἀλλὰ καρτερικὰ μᾶλλον νὰ ὑπομένουν τὴν πικρίαν τῆς μάχης. Ἂς προστεθῇ δὲ καὶ ὕσσωπος* εἰς τὸ σφουγγάρι τῆς ὕβρεως, διὰ νὰ ὁμοιάζῃ τελείως τὸ σχῆμα τῆς ψυχικῆς μας καθάρσεως μὲ τὸ παράδειγμα (τοῦ Σταυροῦ)· ἡ πικράδα δηλαδὴ εἶναι γνώρισμα τῶν ἀγώνων, ἡ κάθαρσις ὅμως εἶναι ὁπωσδήποτε ἀποτέλεσμα τῆς τελειώσεως.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

ΩΣ ΠΕΡ τὰς ἡμέρας διαδέχονται αἱ νύκτες καὶ τὰ θέρη οἱ χειμῶνες, οὕτω καὶ ἡδονὴν λῦπαι καὶ ὀδύναι, εἴτε ἐν τῷ παρόντι, εἴτε ἐν τῷ μέλλοντι.

Ἑ ρ μ η ν ε ί α

ΟΠΩΣ τὰς ἡμέρας διαδέχονται αἱ νύκτες καὶ τὰ καλοκαίρια οἱ χειμῶνες, ἔτσι καὶ τὴν ἡδονὴν διαδέχονται πόνοι καὶ λύπαι, εἴτε εἰς αὐτὴν τὴν παροῦσαν ζωήν, εἴτε εἰς τὴν μέλλουσαν.

---

* Ὁ ὕσσωπος εἶναι φυτὸν ἀρωματικὸν καὶ φαρμακευτικόν, χρησιμοποιούμενον πολὺ ἀπὸ τοὺς Ἰουδαίους, προβάλλεται δὲ ἐνταῦθα ὡς παράδειγμα ἐκ τοῦ Πάθους τοῦ Κυρίου. Τότε ἐπὶ τοῦ Σταυροῦ ὢν προσηλωμένος διὰ νὰ ἀπολυτρώσῃ ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἀφοῦ εἶδεν ὅτι ἅπας ὁ θεῖος σκοπὸς τῆς ἐπὶ γῆς ἐνσάρκου παρουσίας Αὐτοῦ συνετελέσθη διὰ νὰ τελειωθῇ ἡ προφητεία τοῦ Προφήτου Δαβὶδ ἡ λέγουσα «Καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος» (Ψαλμ. ΞΗ' 24) λέγει: «Διψῶ». Τότε οἱ ἀχάριστοι Ἰουδαῖοι λαβόντες ἕνα ὕσσωπον καὶ προσδέσαντες ἐπ' αὐτοῦ σπόγγον ἐνέπλησαν εἰς τὸ ὄξος καὶ «προσήνεγκαν αὐτοῦ τῷ στόματι» (Ἰωάνν. ΙΘ' 28—29. Βλέπε πλατύτερον ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος ΙΓ', σελ. 516. Ἔκδοσις 6' καὶ ἑπομ. σελ. 601).

Η'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ὁ διάβολος τῷ ἐλαττώματι τοῦ Μοναχοῦ ἀεὶ ἐπιτίθεται· ὡς γὰρ ἔφη τις τῶν ἁγίων, ἔθος διὰ μακροῦ βεβαιωθέν, φύσεως ἰσχὺν λαμβάνει, καὶ μᾶλλον ἐν τοῖς ἀμελεστέροις. Πᾶν οὖν βρῶμα ὃ κατ' ἐπιθυμίαν ζητεῖς, μὴ θελήσῃς λαβεῖν, καὶ μάλιστα ὑγιαίνων· τὰ δὲ ἀπὸ Θεοῦ σοι ἀποστελλόμενα ἐσθίων, εὐχαρίστει πᾶσαν ὥραν.

2. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν Ἀββᾶν Μακάριον τὸν Αἰγύπτιον λέγοντες· πῶς ὅτε ἐσθίεις καὶ ὅτε νηστεύεις τὸ σῶμά σου ὁμοίως ξηρόν ἐστι; καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· τὸ ξύλον τὸ στρέφον τὰ καιόμενα φρύγανα δι' ὅλου ἐσθίεται ὑπὸ τοῦ πυρός· οὕτως ἐὰν καθαρεύσῃ ἄνθρωπος τὸν νοῦν αὐτοῦ ἐν τῷ φόβῳ τοῦ Θεοῦ, κατεσθίει τὸ σῶμα αὐτοῦ.

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἰσίδωρον λέγων· διατὶ οἱ δαίμονες οὕτω σε φοβοῦνται σφόδρα; καὶ ἀπεκρίθη ὁ γέρων, ὅτι ἀφ' οὗ γέγονα Μοναχός, ἀσκῶ μηδέποτε συγχωρῆσαι τὴν ὀργὴν προσαναβῆναι τῷ λάρυγγί μου· ὀργήν, οἶμαι, τὴν ἡδονὴν λέγει, δι' ἣν καθ' ἑαυτῶν κινοῦμεν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ πόνοις πολλαπλασίοσι καθυποβαλλόμεθα.

4. Ἔλεγεν ὁ αὐτός, ὅτι τεσσαρακοστὸν ἤδη ἔτος ἔχω, ἀφ' οὗ αἰσθάνομαι τῆς κατὰ διάνοιαν ἁμαρτίας, καὶ οὐδέποτε συγκατεθέμην οὔτε ἐπιθυμίᾳ οὔτε θυμῷ.

5. Ἠνέχθησάν ποτε σταφυλαὶ τῷ Ἀββᾷ Μακαρίῳ καὶ ἐπεθύμει ταύτας φαγεῖν· ἀλλ' ἐνδεικνύμενος τὴν ἑαυτοῦ ἐγκράτειαν, ἀπέστειλεν αὐτὰς πρὸς ἀδελφὸν κάμνοντα καὶ σταφυλῶν ὀρεγόμενον. Δεξάμενος οὖν ταύτας ὁ ἀδελφός, λίαν περιχαρὴς γέγονε· μὴ βουλόμενος δὲ καὶ αὐτὸς τὴν ἰδίαν ἐπιθυμίαν πληρῶσαι, πρὸς ἄλλον ἀδελφὸν αὐτὰς ἐξαπέστειλε, δηλώσας ὡς αὐτὸς ἀνορέκτως ἔχει περὶ τὰ βρώματα· τοῦτο δὲ εἶπε κρύπτων τὴν ἑαυτοῦ ἐργασίαν τῆς ἐγκρατείας. Κἀκεῖνος δεξάμενος, τὸ αὐτὸ ἐποίησε, καὶ διὰ τὸ ὀρέγεσθαι αὐτῶν οὐ μετέλαβεν, ἀλλὰ πρὸς ἕτερον ἀδελφὸν αὐτὰς ἐξαπέστειλε, κἀκεῖνος ὁμοίως εἰς ἄλλον.

Οὕτως εἰς πολλοὺς ἀδελφοὺς ἐλθοῦσαι αἱ σταφυλαί, καὶ μὴ ὑπ' οὐδενὸς αὐτῶν ὅλως ἀπογευσθεῖσαι, τελευταῖον πάλιν εἰς τὸν Ἀββᾶν Μακάριον ἀνεσώθησαν, τοῦ ἔσχατον αὐτὰς ὑποδεξαμένου ἀδελφοῦ ἀγνοοῦντος ὅτι παρ' ἐκείνου ἀρχῆθεν ἐξαπεστάλησαν, καὶ ὡς μέγα τι δῶρον ταύτας αὐτῷ προσκομίσαντος. Ὁ δὲ γέρων, ἐπιγνοὺς ταύτας καὶ πολυπραγμονήσας καὶ μαθὼν τὸ γενόμενον, ἐθαύμασε καὶ ηὐχαρίστησε τῷ Θεῷ ἐπὶ τῇ τοσαύτῃ ἐγκρατείᾳ τῶν ἀδελφῶν.

6. Ὁ Ἀββᾶς Πίωρ, ὅτε ἔμελλεν ἐσθίειν, περιεπάτει καὶ οὕτω περιπατῶν ἤσθιε. Πυθομένου δέ τινος διατί τοῦτο ποιεῖ, οὐ βούλομαι, ἔφη, ὡς ἔργῳ τῷ βρώματι χρᾶσθαι, ἀλλ' ὡς παρέργῳ. Καὶ πρὸς ἕτερον δὲ τὸ αὐτὸ ἐρωτήσαντα ἀπεκρίθη, ἵνα μὴ ἐν τῷ ἐσθίειν φησὶν ἡδονῆς τινος ἀπὸ τῶν βρωμάτων αἰσθάνηται ἡ ψυχή μου, διὰ τοῦτο ἐν τῷ περιπατεῖν ἀσχολῶ ταύτην καὶ περισπῶ, ὡς ἂν μὴ τὸν νοῦν ἔχῃ προσηλωμένον τοῖς βρώμασιν.

7. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην περὶ πολιτείας· καὶ ἀπεκρίθη ὁ γέρων· εἶπε Δανιὴλ ὁ Προφήτης, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον.

8. Διηγήσαντο περί τινος γέροντος, ὅτι ἐπεθύμησέ ποτε φαγεῖν συκίδιον·

καὶ λαβὼν αὐτό, μὴ ἡττηθεὶς τῇ ἐπιθυμίᾳ, ἐκρέμασε πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ οὕτως ἐδάμαζεν ἑαυτόν, ὅτι ὅλως ἐπεθύμησεν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπε· ὁ διάβολος ἀπασχολεῖται συνεχῶς μὲ τὸ ἐλάττωμα τοῦ Μοναχοῦ· διότι ὅπως εἶπε κάποιος Ἅγιος, συνήθεια, ποὺ παραμένει πολὺν χρόνον, ἀποκτᾷ δύναμιν φύσεως καὶ πρὸ παντὸς εἰς τοὺς ἀμελεστέρους. Κάθε λοιπὸν φαγητόν, ποὺ τὸ ἀναζητεῖς μὲ ἐπιθυμίαν ζωηράν, νὰ μὴ θελήσῃς νὰ τὸ πάρῃς, καὶ μάλιστα ὅταν εἶσαι ὑγιής. Νὰ τρώγῃς αὐτὰ ποὺ σοῦ στέλλει ὁ Θεὸς καὶ νὰ Τὸν εὐχαριστῇς κάθε ὥραν.

2. Μερικοὶ Πατέρες ἠρώτησαν τὸν Ἀββᾶν Μακάριον τὸν Αἰγύπτιον· διατί, τοῦ λέγουν, καὶ ὅταν τρώγῃς καὶ ὅταν νηστεύῃς, τὸ σῶμα σου εἶναι πάντοτε ἀδύνατον;

Ἐκεῖνος ἀπήντησεν:

— Τὸ ξύλον, ποὺ συστρέφει εἰς τὴν φωτιὰν τὰ φρύγανα, κατατρώγεται τελείως ἀπὸ τὸ πῦρ· ἔτσι καὶ ὁ ἄνθρωπος, ἂν ἐπιτύχῃ τὴν κάθαρσιν τοῦ νοῦ του, μὲ τὸν φόβον τοῦ Θεοῦ, κατατρώγει τὸ σῶμα του.

3. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἰσίδωρον· διατί, τοῦ λέγει, σὲ φοβοῦνται οἱ δαίμονες;

— Διότι — ἀπήντησεν ὁ Ἀββᾶς Ἰσίδωρος — ἀπὸ τότε ποὺ ἔγινα Μοναχὸς ἀγωνίζομαι νὰ μὴ ἐπιτρέψω οὐδέποτε νὰ ἀναβῇ εἰς τὸν λάρυγγά μου ἡ ὀργή. Ἔχω τὴν γνώμην, ὅτι ὁ Ἀββᾶς Ἰσίδωρος ὀργὴν ἐννοοῦσε τὴν ἡδονήν, ἐξαιτίας τῆς ὁποίας προκαλοῦμεν ἐναντίον μας τὴν ὀργὴν τοῦ Θεοῦ καὶ ἔτσι ὑποβαλλόμεθα εἰς πολὺ περισσοτέρους κόπους.

4. Ὁ ἴδιος ἔλεγεν: Ἔχω σαράντα ἤδη χρόνους ἀπὸ τότε ποὺ αἰσθάνομαι τὴν κατὰ διάνοιαν ἁμαρτίαν καὶ οὐδέποτε ὑπεχώρησα οὔτε εἰς τὴν ἐπιθυμίαν οὔτε εἰς τὸν θυμόν.

5. Κάποτε προσέφεραν σταφύλια εἰς τὸν Ἀββᾶν Μακάριον καὶ ἐπιθυμοῦσε νὰ τὰ φάγῃ. Συγκρατούμενος ὅμως ἀπὸ τὴν ἐγκράτειάν του, τὰ ἀπέστειλε πρὸς ἕνα ἄρρωστον ἀδελφόν, ποὺ ἐπιθυμοῦσε νὰ φάγῃ σταφύλια. Μόλις τὰ ἔλαβεν ὁ ἀδελφὸς ἐδοκίμασε μεγάλην χαράν. Ἐπειδὴ ὅμως καὶ αὐτὸς δὲν ἤθελε νὰ ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν του, τὰ ἔστειλεν εἰς ἄλλον ἀδελφόν, καὶ τοῦ παρήγγειλεν ὅτι τάχα αὐτὸς δὲν ἔχει ὄρεξιν διὰ φαγητόν. Αὐτὸ τὸ εἶπε διὰ νὰ ἀποκρύψῃ τὸ ἔργον τῆς ἐγκρατείας. Καὶ ἐκεῖνος ὅμως τὸ ἴδιον ἔκαμεν· ἐπειδὴ ἐπιθυμοῦσε τὰ σταφύλια, δὲν τὰ ἔφαγε, ἀλλὰ τὰ ἔστειλεν εἰς ἄλλον ἀδελφόν. Καὶ ἐκεῖνος ὁμοίως εἰς ἄλλον.

Ἔτσι περιῆλθον εἰς πολλοὺς ἀδελφοὺς τὰ σταφύλια, χωρὶς κανένας νὰ τὰ δοκιμάσῃ. Τελευταῖα ἐπεστράφησαν πάλιν εἰς τὸν Ἀββᾶν Μακάριον· διότι ὁ τελευταῖος ἀδελφός, ποὺ τὰ ἔλαβε, ἐπειδὴ δὲν ἐγνώριζεν, ὅτι ἀρχικῶς ἀπεστάλησαν ἀπὸ ἐκεῖνον, τοῦ τὰ ἔστειλεν ὡσὰν μεγάλο δῶρον. Ὁ Γέρων μόλις τὰ ἀνεγνώρισε καὶ ἀφοῦ ἐξήτασε τὴν ὑπόθε-

σιν, ἔμαθεν αὐτὸ ποὺ ἔγινε· τότε ἐθαύμασε καὶ ηὐχαρίστησε τὸν Θεὸν διὰ τὴν τόσον μεγάλην ἐγκράτειαν τῶν ἀδελφῶν.

6. Ὁ Ἀββᾶς Πίωρ, ὅταν ἐπρόκειτο νὰ φάγῃ, ἐπερπατοῦσε καὶ ἔτσι περιπατῶν ἔτρωγε. Ὅταν δὲ τὸν ἠρώτησε κάποιος διατί τὸ κάμνει αὐτό, ἀπήντησεν ὅτι δὲν θέλει νὰ μεταχειρίζεται τὴν τροφὴν ὡς ἐργασίαν, ἀλλ' ὡς πάρεργον. Καὶ πρὸς ἄλλον, ὁ ὁποῖος τὸν ἠρώτησε διὰ τὸ ἴδιον πρᾶγμα, ἔδωσε τὴν ἑξῆς ἀπάντησιν· διὰ νὰ μὴ αἰσθάνεται ἡ ψυχή μου εὐχαρίστησιν ὅταν τρώγω τὸ φαγητόν, προσπαθῶ νὰ τὴν ἀπασχολῶ καὶ νὰ τὴν ξεγελῶ εἰς τὸ περπάτημα, ὥστε νὰ μὴ ἔχῃ συνεχῶς τὸν νοῦν της προσηλωμένον εἰς τὰ φαγητά.

7. Πῶς πρέπει νὰ ζῶ; ἠρώτησεν ἕνας ἀδελφὸς τὸν Ἀββᾶν Σισώην.

—Ὁ Προφήτης Δανιὴλ — τοῦ ἀπήντησεν ὁ Γέρων — εἶπεν· ἄρτον ἐπιθυμιῶν δὲν ἔφαγα (Δανιὴλ ι΄, 3).

8. Διηγήθησαν δι' ἕνα Γέροντα ὅτι κάποτε ἐπεθύμησε νὰ φάγῃ ἕνα συκαλάκι. Ἀφοῦ λοιπὸν τὸ ἐπῆρε, δὲν ἐνικήθη ἀπὸ τὴν ἐπιθυμίαν τῆς βρώσεως· τὸ ἐκρέμασεν ἀπέναντί του διὰ νὰ τὸ βλέπῃ καὶ ἔτσι ἐδάμαζε τὸν ἑαυτόν του, ἐπειδὴ ἀρχικῶς ἐνικήθη ἀπὸ τὴν ἐπιθυμίαν.



ΥΠΟΘΕΣΙΣ ΚΓ΄

Πῶς δεῖ καὶ ποίῳ σκοπῷ τὸν Μοναχὸν ἐν τῇ τραπέζῃ καθέζεσθαι καὶ τῶν παρατιθεμένων ἐφάπτεσθαι καὶ τίνα τηρεῖν καὶ μετὰ τὴν τράπεζαν.

Πῶς καὶ διὰ ποῖον σκοπὸν πρέπει νὰ κάθηται εἰς τὴν τράπεζαν ὁ Μοναχός, πῶς νὰ ἐγγίζῃ τὰ φαγητὰ καὶ ποῖα νὰ φυλάττῃ μετὰ τὴν τράπεζαν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕ τις τῶν Πατέρων, ὅτι τρία τάγματά εἰσιν ἔντιμα μᾶλλον παρὰ τοῖς Μοναχοῖς, οἷς δεῖ ἡμᾶς μετὰ φόβου καὶ χαρᾶς πνευματικῆς προσέρχεσθαι· ἡ κοινωνία τῶν ἁγίων Μυστηρίων, ἡ τράπεζα τῶν ἀδελφῶν, καὶ ὁ νιπτὴρ αὐτῶν.

2. Διηγεῖτο δὲ καί τι τοιοῦτον· ὅτι ἦν τις γέρων μέγας καὶ διορατικός, συνέβη δὲ αὐτόν ποτε καθεσθῆναι μετὰ πλειόνων ἀδελφῶν· καὶ ἐν τῷ ἐσθίειν αὐτοὺς προσεῖχεν ὁ γέρων τῷ πνεύματι καὶ ἔβλεπε τοὺς μὲν ἐσθίοντας μέλι, τοὺς δὲ ἄρτον, τοὺς δὲ κόπρον. Καὶ ἐθαύμαζεν ἐν ἑαυτῷ, καὶ ἐδέετο τοῦ Θεοῦ λέγων· Κύριε, ἀποκάλυψόν μοι τὸ μυστήριον τοῦτο, ὅτι τὰ αὐτὰ βρώματα πᾶσι προτεθέντα ἐπὶ τῆς τραπέζης, ἐν τῷ ἐσθίειν οὕτως ἐνηλλαγμένα φαίνονται. Καὶ ἦλθεν αὐτῷ φωνὴ ἄνωθεν λέγουσα, ὅτι οἱ ἐσθίοντες μέλι, οὗτοί εἰσιν οἱ μετὰ φόβου καὶ τρόμου καὶ χαρᾶς πνευματικῆς καθεζόμενοι ἐπὶ τῆς τραπέζης καὶ ἀδιαλείπτως προσευχόμενοι καὶ ἡ εὐχὴ αὐτῶν ὡς θυμίαμα ἀνέρχεται πρὸς τὸν Θεόν.

Οἱ δὲ τὸν ἄρτον ἐσθίοντες, οὗτοί εἰσιν οἱ εὐχαριστοῦντες ἐπὶ τῇ μεταλήψει τῶν ὑπὸ Θεοῦ δεδωρημένων. Οἱ δὲ τὴν κόπρον ἐσθίοντες, οὗτοί εἰσιν οἱ γογγύζοντες καὶ λέγοντες· τοῦτο καλόν, τοῦτο σαπρόν. Οὐ χρὴ οὖν, φησι, ταῦτα λογίζεσθαι, ἀλλὰ μᾶλλον δοξολογεῖν τὸν Θεὸν καὶ ὕμνους ἀναπέμπειν αὐτῷ, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Ἀποστόλου· «εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε ἄλλο τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

3. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἰδοὺ παραβάλλω εἰς τόπον μετὰ ἀδελφῶν καὶ παρατίθησιν ἡμῖν φαγεῖν· καὶ ἴσως οἱ ἀδελφοὶ ἢ δι᾽ ἐγκράτειαν, ἢ ἀπὸ

βρώσεώς εἰσι καὶ οὐ θέλουσι φαγεῖν, ἐγὼ δὲ πεινῶ, τί ποιήσω; Καὶ ἀπεκρίθη ὁ γέρων· ἐὰν σὺ πεινᾷς, πρόσεχε τοῖς καθημένοις πόσοι εἰσίν· ὁμοίως δὲ σκόπει καὶ τὰ παρατιθέμενα· καὶ ὃ δοκιμάζεις, ὅτι λαγχάνει σοι μέρος, τοῦτο φάγε καὶ οὐκ ἔστι σοι πρόσκομμα· τὴν γὰρ χρείαν σου ἐποίησας· ἐὰν δὲ ἡττηθῇς καὶ πλεῖον φάγῃς, τοῦτο ἥττημά σοί ἐστιν.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀπὸ τοὺς Πατέρας ἔλεγεν· εἰς ἡμᾶς τοὺς Μοναχοὺς τρία πράγματα εἶναι τὰ κατ' ἐξοχὴν σοβαρὰ καὶ εἰς τὰ ὁποῖα πρέπει νὰ προσερχώμεθα μὲ φόβον καὶ πνευματικὴν χαράν· ἡ κοινωνία τῶν ἁγίων Μυστηρίων, ἡ τράπεζα τῶν ἀδελφῶν, καὶ τὸ μέρος ὅπου πλύνονται.

2. Ὁ ἴδιος διηγεῖτο καὶ τοῦτο τὸ ἀξιόλογον. Κάποτε — ἔλεγεν — ἦτο κάποιος Γέρων, ἀξιοσέβαστος καὶ διορατικός. Μίαν ἡμέραν λοιπὸν ἐκάθισε νὰ φάγῃ μὲ πολλοὺς ἀδελφούς. Καθὼς ἔτρωγον, ὁ Γέρων ἐπρόσεχε καὶ ἔβλεπε μὲ τοὺς πνευματικούς του ὀφθαλμοὺς ἄλλους νὰ τρώγουν μέλι, ἄλλους ἄρτον καὶ ἄλλους κόπρον. Αὐτὸ τὸν ἔκαμε νὰ ἀπορήσῃ καὶ παρεκάλει τὸν Θεόν. Ἐξήγησέ μου —ἔλεγε— Κύριε, αὐτὸ τὸ μυστήριον, πῶς ἐνῷ ἐπάνω εἰς τὴν τράπεζαν εἶναι τοποθετημένα τὰ ἴδια φαγητὰ δι' ὅλους, ἐν τούτοις τὴν στιγμὴν ποὺ τὰ τρώγουν φαίνονται τόσον διαφορετικά; Εἰς ἐξήγησιν τῆς ἀπορίας του ἤκουσε φωνὴν ἀπὸ τὸν Οὐρανόν, ἡ ὁποία τοῦ ἔλεγεν· αὐτοί, ποὺ φαίνονται ὅτι τρώγουν μέλι, εἶναι ἐκεῖνοι ποὺ κάθονται εἰς τὸ τραπέζι μὲ φόβον καὶ τρόμον καὶ πνευματικὴν χαράν, ποὺ προσεύχονται ἀδιαλείπτως καὶ ἡ εὐχή τους ἀναβαίνει πρὸς τὸν Θεὸν ὡς θυμίαμα.

Αὐτοί, ποὺ φαίνονται ὅτι τρώγουν ψωμί, εἶναι ἐκεῖνοι ποὺ εὐχαριστοῦν τὸν Θεόν, καθὼς τρώγουν, δι' αὐτὰ ποὺ τοὺς ἐδώρησε. Τέλος αὐτοί, ποὺ φαίνονται ὅτι τρώγουν κόπρον, εἶναι ἐκεῖνοι οἱ ὁποῖοι γογγύζουν, καθὼς τρώγουν καὶ λέγουν: αὐτὸ εἶναι καλόν, αὐτὸ εἶναι ἄσχημον. Δὲν πρέπει λοιπὸν νὰ σκεπτώμεθα αὐτά, ἀλλὰ μᾶλλον νὰ δοξολογοῦμεν τὸν Θεὸν καὶ νὰ Τὸν ὑμνοῦμεν, διὰ νὰ ἐφαρμόζεται ἐκεῖνο ποὺ εἶπεν ὁ Ἀπόστολος· «Εἴτε τρώγετε εἴτε πίνετε εἴτε ὅ,τιδήποτε ἄλλο κάμνετε, ὅλα πρὸς δόξαν Θεοῦ νὰ τὰ κάμνετε» (Α´ Κορ. ι´, 31).

3. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα:

— Συμβαίνει —τοῦ λέγει— νὰ ὑπάγω κάπου μαζὶ μὲ ἀδελφοὺς καὶ μᾶς παραθέτουν τράπεζαν διὰ νὰ φάγωμεν· οἱ ἀδελφοὶ ἢ ἀπὸ ἐγκράτειαν ἢ διότι ἴσως ἔχουν φάγει, δὲν θέλουν νὰ φάγουν· ἐγὼ ὅμως πεινῶ. Τί πρέπει νὰ κάμνω τότε;

Ὁ Γέρων τοῦ ἀπήντησε:

—Ἂν πεινᾷς, πρόσεχε πόσοι εἶναι αὐτοί, ποὺ κάθονται· μέτρησε συγχρόνως καὶ τὰς μερίδας, ποὺ ἔχουν τοποθετήσει. Ἂν λοιπὸν διαπιστώσῃς ὅτι ἔχουν καὶ διὰ σὲ μερίδα, τότε φάγε αὐτὸ ποὺ σοῦ ἀνήκει καὶ δὲν ὑπάρχει ἐμπόδιον διὰ σέ, διότι ἔφαγες ἐκεῖνο ποὺ ἦτο ἀναγκαῖον.

"Αν ὅμως νικηθῇς ἀπὸ τὴν λαιμαργίαν καὶ φάγῃς περισσότερον, αὐτὸ εἶναι ἁμάρτημα.

Β'. Τοῦ 'Αββᾶ 'Ησαΐου

ΑΔΕΛΦΕ, καθήμενος ἐν τῇ τραπέζῃ μετὰ ἀδελφῶν, νεώτερος ὤν, μὴ εἴπῃς ἐν ἑαυτῷ τόνῳ φάγε, ἀλλὰ μνήσθητι τῶν ἁμαρτιῶν σου, ἵνα μὴ ἐσθίῃς μεθ' ἡδονῆς, καὶ ἔκτεινον τὴν χεῖρά σου μόνον ὡς βιαζόμενος φαγεῖν. Ἐὰν δὲ ἔστι τι ἔμπροσθεν ἄλλου, μὴ ἐκτείνῃς τὴν χεῖρά σου εἰς αὐτό· τὰ δὲ ἱμάτιά σου ἔστωσαν σκεπάζοντα τοὺς πόδας σου, καὶ τὰ γόνατά σου κεκολλημένα εἰς ἄλληλα. Ἐσθίων δὲ μὴ ἐπάρῃς τὸ πρόσωπόν σου ἐπὶ τὸν πλησίον καὶ μὴ πρόσχῃς ὧδε καὶ ὧδε καὶ μὴ λαλήσῃς λόγῳ τινά, ἐκτὸς μεγάλης ἀνάγκης. Μὴ ἐκτείνῃς τὴν χεῖρα σου εἰς τίποτε θέλων αὐτό, εἰ μὴ πρότερον εἴπῃς «εὐλόγησον»· πίνων δὲ τὸ ὕδωρ, μὴ ἐάσῃς τὸν λάρυγγά σου ψόφον ποιεῖν ὡς οἱ κοσμικοί. Ἐὰν παύσῃ ἐσθίων, ἐγειρομένων τῶν ἀδελφῶν, ἐγέρθητι καὶ αὐτὸς καὶ μὴ καθίσῃς μετά τινος ὁμιλῆσαι μήτε λόγους τοῦ Θεοῦ, ἀλλ' εἴσελθε εἰς τὸ κελλίον σου καὶ κλαῦσον τὰς ἁμαρτίας σου.

2. Ἐὰν παραβάλῃς εἰς ἀδελφὸν εἴτε εἰς Κοινόβιον, πᾶν ἡδὺ εὑρισκόμενον μὴ δῷς τῷ στόματί σου εἰς πλησμονήν, ἵνα θελήσῃς εὐθέως ἐλθεῖν εἰς τὸ κελλίον, καὶ μὴ προδότης σαυτοῦ γένῃ. Καθεζομένῳ δέ σοι μετὰ τῶν ἀδελφῶν, ἐὰν ἔλθῃ σοι φλέγμα, μὴ ρίψῃς αὐτὸ ἐνώπιον αὐτῶν, ἀλλὰ ἀνάστηθι καὶ ρίψον αὐτὸ ἔξω. Μὴ διάτεινε τὸ σῶμά σου ὁρώμενον ὑπὸ ἀνθρώπων· ἐὰν πνίγῃ σε χάσμη, μὴ ἀνοίξῃς τὸ στόμά σου ἔμπροσθεν αὐτῶν καὶ φεύξεται ἀπὸ σοῦ. Μὴ ἀνοίξῃς τὸ στόμα σου γελῶν τὸ σύνολον· σημεῖον γάρ ἐστιν ἀφοβίας.

Ἐὰν ἐσθίητε τίποτε ἐν τῇ τραπέζῃ, καὶ ἔστι τις ἐξ ὑμῶν μὴ θέλων αὐτό, μὴ εἴπῃ, ὅτι οὐ δύναμαι φαγεῖν, ἀλλὰ βιασάτω ἑαυτὸν ἕως θανάτου, καὶ ὁ Θεὸς αὐτὸν ἀναπαύει. Ἐὰν ὁ ἀδελφός σου ἑψήσῃ ἑψητὸν καὶ μὴ καλῶς γένηται, μὴ εἴπῃς αὐτῷ ὅτι κακῶς ἕψησας· θάνατος γάρ ἐστι τῇ ψυχῇ σου, ἀλλ' ἐρεύνησον σεαυτὸν ὅτι ἧς σὺ ἀκούσας παρὰ ἄλλου πῶς ἔμελες θλίβεσθαι, καὶ ἀναπαύει.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ὅταν καθήσῃς εἰς τὴν τράπεζαν μαζὶ μὲ ἄλλους ἀδελφοὺς καὶ εἶσαι νεώτερός των, μὴ εἴπῃς μέσα σου: φάγε καλά. Ἐνθυμήσου τὰς ἁμαρτίας σου, διὰ νὰ μὴ τρώγῃς μὲ εὐχαρίστησιν καὶ ἅπλωνε, μὲ συστολήν, τὸ χέρι σου ὡσὰν νὰ σὲ πιέζουν νὰ φάγῃς. "Αν ὑπάρχῃ κάτι ἐμπρὸς εἰς ἄλλον, μὴ ἁπλώσῃς τὸ χέρι σου πρὸς αὐτό. Τὰ φορέματά σου νὰ σκεπάζουν τὰ πόδια σου καὶ τὰ γόνατά σου νὰ εἶναι κολλημένα τὸ ἕνα μὲ τὸ ἄλλο. Ὅταν τρώγῃς, νὰ μὴ σηκώσῃς τὸ πρόσωπόν σου πρὸς τὸ μέρος τοῦ πλησίον καὶ νὰ μὴ προσέχῃς ἐδῶ καὶ ἐκεῖ· οὔτε νὰ ὁμιλήσῃς ἔστω καὶ ἕνα λόγον, ἐκτὸς ἂν εἶναι μεγάλη ἀνάγκη. Νὰ μὴ ἁπλώσῃς τὸ χέρι σου σὲ κάτι ποὺ θὰ θελήσῃς ἐὰν προηγουμένως δὲν εἴπῃς· «εὐλόγησόν». Ὅταν πίνῃς νερὸν νὰ μὴ κάνῃς θόρυβον μὲ τὸν λάρυγγά σου, καθὼς τὸ καταπίνεις, ὅπως οἱ κοσμικοί. Ὅταν θὰ σταματήσῃς νὰ τρώγῃς, νὰ σηκωθῇς καὶ σὺ μόλις σηκωθοῦν οἱ ἀδελφοί, καὶ νὰ μὴ κα-

θίσῃς νὰ συνομιλήσῃς μὲ κανένα οὔτε ἀκόμη καὶ λόγους Θεοῦ, ἀλλ' ἀμέσως νὰ εἰσέλθῃς εἰς τὸ κελλί σου καὶ νὰ κλαύσῃς τὰς ἁμαρτίας σου.

2. Ἂν ἐπισκεφθῇς ἀδελφὸν ἢ Κοινόβιον, νὰ μὴ φάγῃς χορταστικὰ κάθε τι εὔγευστον, ποὺ θὰ εὑρεθῇ, διὰ νὰ θελήσῃς νὰ ἔλθῃς ἀμέσως εἰς τὸ κελλίον σου καὶ πρόσεξε μὴ προδώσῃς τὸν ἑαυτόν σου. Ὅταν κάθεσαι μαζὶ μὲ ἄλλους ἀδελφούς, ἂν σοῦ ἔλθῃ εἰς τὸν λάρυγγα φλέγμα, νὰ μὴ τὸ πτύσῃς ἐμπρός των· ἀλλὰ σήκω καὶ πτύσε ἔξω. Νὰ μὴ τεντώνεσαι, ἐνῷ σὲ βλέπουν οἱ ἄνθρωποι. Ἐὰν σὲ πιάσῃ χασμουρητόν, νὰ μὴ ἀνοίξῃς τὸ στόμα σου ἐμπρὸς εἰς ἄλλους καὶ θὰ σοῦ φύγῃ. Νὰ μὴ γελᾷς μὲ θόρυβον καὶ ὁλάνοικτον τὸ στόμα σου, διότι αὐτὸ εἶναι σημεῖον ἀναιδείας.

Ἂν τρώγετε εἰς τράπεζαν καὶ εὑρεθῇ κάποιος ἀπὸ σᾶς, ὁ ὁποῖος δὲν θέλει τὸ φαγητόν, ἃς μὴ εἴπῃ δὲν ἠμπορῶ νὰ τὸ φάγω· ἀλλὰ ἃς πιέσῃ μέχρι θανάτου τὸν ἑαυτόν του καὶ ὁ Θεὸς θὰ τὸν ξεκουράσῃ. Ἂν μαγειρεύσῃ ὁ ἀδελφός σου κάτι καὶ δὲν γίνῃ καλόν, μὴ τοῦ εἴπῃς ὅτι ἄσχημα ἐμαγείρευσες, διότι αὐτὸ εἶναι θάνατος διὰ τὴν ψυχήν σου· ἐξέτασε τὸν ἑαυτόν σου πόσον θὰ ἐστενοχωρεῖσο, ἂν τὸ ἤκουες αὐτὸ ἀπὸ ἄλλον καὶ τότε θὰ ἀναπαυθῇς ψυχικά.

Γ'. Τοῦ Ἁγίου Διαδόχου

ΤΟ ΑΠΟ πάντων τῶν παρατιθεμένων ἢ κιρνωμένων ἐσθίειν καὶ πίνειν εὐχαριστοῦντας τῷ Θεῷ, οὐδαμῶς τῷ κανόνι τῆς γνώσεως μάχεται· πάντα γὰρ καλὰ λίαν· τὸ δὲ τῶν ἡδέων καὶ πολλῶν ἡδέως ἀπέχεσθαι, καὶ διακριτικωτάτων ὑπάρχει καὶ γνωστικωτάτων. Οὐκ ἂν δὲ τῶν παρόντων ἡδέων ἡδέως καταφρονήσωμεν, εἰ μὴ τῆς τοῦ Θεοῦ γλυκύτητος ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ γευσώμεθα.

Ἑρμηνεία

ΤΟ νὰ τρώγωμεν καὶ νὰ πίνωμεν ἀπὸ ὅλα ὅσα παρατίθενται εἰς τὴν τράπεζαν ἢ μᾶς κερνοῦν καὶ νὰ εὐχαριστοῦμεν τὸν Θεόν, αὐτὸ καθόλου δὲν ἀντιμάχεται τὸν κανόνα τῆς ἐσωτερικῆς γνώσεως, διότι ὅλα εἶναι καλά· τὸ νὰ ἀπέχωμεν ὅμως μὲ εὐχαρίστησιν ἀπὸ τὰ εὐχάριστα καὶ πολλὰ εἶναι γνώρισμα τῶν πολὺ διακριτικῶν καὶ ἐκείνων, οἱ ὁποῖοι ἔχουν προχωρήσει πάρα πολὺ εἰς τὴν ἐσωτερικὴν γνῶσιν. Δὲν ἠμποροῦμεν δὲ νὰ καταφρονήσωμεν εὐχαρίστως τὰ εὐχάριστα ποὺ εὑρίσκονται ἐμπρός μας, ἂν δὲν δοκιμάσωμεν τὴν γλυκύτητα τοῦ Θεοῦ μὲ τὴν ἐσωτερικὴν ἄσκησιν καὶ τὴν πληροφορίαν τῆς χάριτος.

Δ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΤΟ ΑΝΑΓΝΩΣΙΝ ἐπιτελεῖσθαι ἐν τοῖς κατὰ Ἀνατολὴν Κοινοβίοις κατὰ τὸν καιρὸν τῆς ἑστιάσεως, οὐκ ἀπὸ τοῦ κανόνος τῶν Αἰγυπτίων, ἀλλ' ἀπὸ τῶν Καππαδοκῶν παραδεδόσθαι ἐγνώκαμεν, οἵτινες οὐ πνευματικῆς ἕνεκεν τοσοῦτον γυμνασίας, ὅσον ἡσυχίας χάριν τῆς περὶ τὰς ὁμιλίας τὸ τοιοῦτον διετυπώσαντο. Παρὰ

δὲ τοῖς Αἰγυπτίοις, καὶ μάλιστα τοῖς Ταβεννησιώταις, τοσαύτη σιωπὴ ὑπὸ πάντων παρέχεται, ἡνίκα εἰς ἓν τοσοῦτον πολυαρίθμητον πλῆθος τῶν ἀδελφῶν συνάγεται κατὰ τὸν καιρὸν τῆς ἑστιάσεως, ὅση σχεδὸν ἐν ἄλλοις οὐχ εὑρίσκεται οὕτως, ὡς μηδὲ τολμᾶν γρῦξαι τινὰ παρεκτὸς τοῦ ἀρχηγοῦ τῆς τραπέζης, ὅς τις εἰ χρεία τινὸς γένηται, κρούσματι μᾶλλον ἢ φωνῇ τοῦτο σημαίνει. Καὶ τὰ κουκούλια δὲ ἕως κάτω τῶν βλεφάρων φοροῦσιν οὗτοι, ἵνα μὴ ρεμβοὺς τοὺς ὀφθαλμοὺς ἔχοντες, περιεργότερον ἀλλήλοις ἐνορῶσι, τῇ δὲ τραπέζῃ μόνῃ καὶ τῇ τοῦ τρέφοντος Θεοῦ Εὐχαριστίᾳ προσατενίζωσι. Μεγάλη δέ τις παραφυλακή ἐστι παρ' αὐτοῖς ὅπως μηδεὶς ἔξωθεν τῆς τραπέζης τροφῆς μεταλάβοι.

Ἑρμηνεία

ΤΟ νὰ γίνεται ἀνάγνωσις εἰς τὰ Κοινόβια τῆς 'Ανατολῆς, κατὰ τὴν ὥραν τοῦ φαγητοῦ, ὅπως γνωρίζομεν μᾶς παρεδόθη ἀπὸ τὸ τυπικὸν τῶν Καππαδοκῶν καὶ ὄχι τῶν Αἰγυπτίων. Οἱ Καππαδόκες καθώρισαν τὴν ἀνάγνωσιν, ὄχι τόσον χάριν πνευματικῆς ἀσκήσεως, ὅσον διὰ νὰ μὴ ὁμιλοῦν οἱ τρώγοντες κατὰ τὴν ὥραν τοῦ φαγητοῦ. Εἰς τοὺς Αἰγυπτίους δὲ καὶ μάλιστα εἰς τοὺς Ταβεννησιώτας ἐπικρατεῖ τέτοια σιωπή, ὅταν συγκεντρωθῇ τὸ πολυάριθμον ἐκεῖνο πλῆθος, κατὰ τὴν ὥραν τοῦ φαγητοῦ, ὅση, σχεδόν, δὲν συναντᾶται πουθενὰ ἀλλοῦ. Οὔτε γρῦ δὲν ἀκούεται, ἐκτὸς ἀπὸ τὸν ἀρχηγὸν τῆς τραπέζης, ὁ ὁποῖος καὶ αὐτὸς ἂν χρειασθῇ κάτι τὸ φανερώνει μᾶλλον μὲ ἐλαφρὸν κτύπημα, παρὰ μὲ φωνήν. Καὶ τὰ κουκούλια ἐκεῖνοι τὰ κατεβάζουν ἕως τὰ βλέφαρα διὰ νὰ μὴ περιφέρουν ἄσκοπα τὰ βλέμματά των, καὶ παρακολουθοῦν μὲ περισσοτέραν περιέργειαν ὁ ἕνας τὸν ἄλλον, ἀλλὰ νὰ προσέχουν μόνον εἰς τὴν τράπεζαν καὶ εἰς τὴν εὐχαριστίαν τοῦ Θεοῦ ποὺ τοὺς τρέφει. Προσέχουν δὲ πάρα πολὺ οἱ Ταβεννησιῶται, νὰ μὴ πάρῃ κανεὶς τροφὴν ἔξω ἀπὸ τὴν τράπεζαν.

Ε'. 'Εν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ οἱ Πατέρες, ὅτι ἐσθιόντων ποτὲ τῶν ἀδελφῶν ἐν ἀγάπῃ, ἐγέλασεν εἷς ἀδελφὸς ἐπὶ τῆς τραπέζης· καὶ ἰδὼν αὐτὸν ὁ 'Αββᾶς 'Ιωάννης ἔκλαυσεν εἰπών· τί ἄρα ἔχει ὁ ἀδελφὸς οὗτος ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι ἐγέλασεν, ὀφείλων μᾶλλον κλαῦσαι ὅτι ἀγάπην ἐσθίει;

2. 'Ησθένησέ τις τῶν γερόντων, καὶ μὴ δυνάμενος δέξασθαι τροφὴν ἐπὶ πολλὰς ἡμέρας, παρεκαλεῖτο ὑπὸ τοῦ ἰδίου μαθητοῦ ἐπιτρέψαι αὐτῷ ποιῆσαι μικρὸν λακέντιον· ὁ δὲ ἐπέτρεψεν. 'Απελθὼν δὲ ὁ ἀδελφὸς ἐποίησε καὶ ἤνεγκεν αὐτῷ φαγεῖν. Ἦσαν δὲ ἐκεῖ δύο ἀγγεῖα κρεμάμενα, τὸ μὲν ἓν ἔχον μέλι, τὸ δὲ ἕτερον ἔλαιον ἀπὸ λινοσπέρματος, ὃ φύσει δυσῶδες ὂν καὶ παντελῶς ἄβρωτον, εἰς τὸν λύχνον ἐχρημάτιζε. Τοῦ οὖν ἀδελφοῦ θέλοντος βαλεῖν εἰς τὸ βρῶμα τοῦ γέροντος ἐκ τοῦ μέλιτος, λήθη γέγονε καὶ ἀντὶ τοῦ μέλιτος ἐκ τοῦ λινοσπέρματος ἔβαλε καὶ οὕτω προσήνεγκε τὸ βρῶμα τῷ γέροντι· ὁ δὲ γευσάμενος, ᾔσθετο μὲν τὴν τοῦ μαθητοῦ ἄγνοιαν, οὐδὲν δὲ ἐλάλησεν, ἀλλ' ἔφαγε σιωπῶν.

'Ηνάγκασεν οὖν ὁ ἀδελφὸς αὐτὸν καὶ πάλιν φαγεῖν· ὁ δὲ βιασάμενος ἑαυ-

τὸν ἔφαγε μικρόν. Ὡς οὖν ἐνέκειτο ὁ ἀδελφὸς παρακαλῶν αὐτὸν καὶ ἔτι φαγεῖν, ἔφη ὁ γέρων· φύσει οὐ δύναμαι πλεῖον φαγεῖν, τέκνον. Ὁ δὲ ὡς προθυμοποιούμενος δῆθεν τὸν γέροντα καὶ ἀνακινῶν τὴν αὐτοῦ ὄρεξιν ὑπὸ τῆς ἀσθενείας καταπεσοῦσαν, εἶπε· καλόν ἐστιν, Ἀββᾶ· ἰδοὺ κἀγὼ τρώγω μετὰ σοῦ. Ὡς δὲ ἐγεύσατο, μαθὼν ὃ ἐποίησεν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ λέγων· οὐαί μοι, Ἀββᾶ, ὅτι ἀπέκτεινά σε, καὶ σὺ τὴν ἁμαρτίαν ἔθηκας ἐπ' ἐμέ, ὅτι οὐκ ἐλάλησας. Ἀπεκρίθη ὁ γέρων· ἀνάστα, τέκνον, καὶ μὴ θλιβῇς· εἰ γὰρ ἤθελεν ὁ Θεὸς ἵνα φάγω μέλι, μέλι εἶχες βαλεῖν.

3. Εἶπε γέρων· καθίσας φαγεῖν τὸν τῆς γαστριμαργίας δαίμονα ὑπερθέσει νίκα καὶ κάτεχε λέγων αὐτῷ· μεῖνον, οὐ γὰρ πεινάσεις· καὶ σεμνῶς ἔσθιε, καὶ ὅσον ἐπείγει ἐκεῖνος, πλέον σὺ ὁμαλῶς ἔσθιε· καὶ γὰρ οὕτως ἐπείγει τινά, ὡς θέλειν ἀπὸ μιᾶς πάντα φαγεῖν.

Ἑ ρ μ η ν ε ί α

ΔΙΗΓΟΥΝΤΟ οἱ Πατέρες ὅτι κάποτε, ἐνῷ ἔτρωγον οἱ ἀδελφοὶ εἰς τράπεζαν ἀγάπης, ἐγέλασε κάποιος ἀδελφός· μόλις τὸν εἶδεν ὁ Ἀββᾶς Ἰωάννης ἔκλαυσε καὶ εἶπε· τί νὰ ἔχῃ, ἄραγε, αὐτὸς ὁ ἀδελφὸς εἰς τὴν καρδίαν του, ποὺ ἐγέλασεν, ἐνῷ ὤφειλε μᾶλλον νὰ κλαύσῃ, διότι τρώγει εἰς ἀγάπην;

2. Ἠσθένησε κάποτε ἕνας Γέρων· καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ φάγῃ τροφὴν ἐπὶ πολλὰς ἡμέρας, τὸν παρεκάλει ὁ ὑποτακτικός του νὰ τοῦ ἐπιτρέψῃ νὰ τοῦ κάμῃ ὀλίγην κρέμαν. Ὁ Γέρων τοῦ ἐπέτρεψεν. Ἔτρεξε τότε ὁ ὑποτακτικός, ἔκαμε τὴν κρέμαν καὶ τοῦ τὴν ἔφερε νὰ φάγῃ. Ἀπὸ τὴν ὀροφὴν τοῦ κελλίου ἐκρέμοντο δύο ἀγγεῖα· τὸ μὲν ἕνα εἶχε μέλι καὶ τὸ ἄλλο ἔλαιον ἀπὸ λιναρόσπορον, τὸ ὁποῖον ἐκ φύσεως ἔχει μιὰ ἄσχημη μυρουδιὰ καὶ δὲν τρώγεται καθόλου, τὸ ἐχρησιμοποιοῦσαν δὲ διὰ νὰ ἀνάβουν τὸν λύχνον. Ὁ ὑποτακτικὸς λοιπὸν ἀπὸ ἀπροσεξίαν ἔβαλεν εἰς τὴν κρέμαν ἀντὶ μέλι λιναρόλαδον καὶ ἔτσι τὸ ἔφερε νὰ τὸ φάγῃ ὁ Γέρων. Μόλις τὸ ἐδοκίμασεν ὁ Γέρων, ἀντελήφθη ἀμέσως τὸ λάθος τοῦ ὑποτακτικοῦ· δὲν εἶπεν ὅμως τίποτα, ἀλλὰ τὸ ἔφαγε χωρὶς νὰ ὁμιλήσῃ.

Ὁ ὑποτακτικὸς τὸν ἐπίεσε καὶ πάλιν νὰ φάγῃ· καὶ ἐκεῖνος πιεζόμενος ἔφαγεν ὀλίγον. Ἐπειδὴ ἐπέμενεν ὁ ὑποτακτικὸς νὰ τὸν παρακαλῇ νὰ φάγῃ ὀλίγον ἀκόμη, ὁ Γέρων εἶπε· πραγματικά, παιδί μου, δὲν ἠμπορῶ νὰ φάγω ἄλλο. Τότε ὁ ὑποτακτικὸς διὰ νὰ προτρέψῃ τάχα τὸν Γέροντα καὶ νὰ τοῦ κεντήσῃ τὴν ὄρεξιν ποὺ εἶχε χαθῇ ἀπὸ τὴν ἀσθένειαν, τοῦ εἶπε· Εἶναι καλὴ ἡ κρέμα, Ἀββᾶ μου, νὰ καὶ ἐγὼ τρώγω μαζί σου. Μόλις ὅμως τὴν ἔβαλεν εἰς τὸ στόμα του ὁ ὑποτακτικός, ἀντελήφθη ἀμέσως τὸ λάθος ποὺ ἔκαμε καὶ ἀμέσως ἔπεσεν εἰς τὰ πόδια του καὶ τοῦ εἶπε:

—Ἀλλοίμονον εἰς ἐμέ, Ἀββᾶ, διότι σὲ ἐσκότωσα· καὶ σὺ ἠνέχθης τὴν ἁμαρτίαν μου αὐτήν, διότι δὲν ὡμίλησες.

— Σήκω ἐπάνω, τέκνον μου, — τοῦ εἶπεν ὁ Γέρων — καὶ μὴ στενοχωρῆσαι· διότι ἂν ὁ Θεὸς ἤθελε νὰ φάγω μέλι, μέλι θὰ εἶχες βάλει.

3. Ἕνας Γέρων εἶπε· ὅταν καθίσῃς νὰ φάγῃς, νὰ νικᾷς τὸν δαίμονα τῆς λαιμαργίας μὲ τὴν ἀναβολήν· νὰ τὸν συγκρατῇς καὶ νὰ τοῦ λέγῃς· περίμενε, διότι δὲν θὰ πεινάσῃς. Νὰ τρώγῃς μὲ σεμνότητα καὶ ὅσον ὁ δαίμων τῆς γαστριμαργίας σὲ βιάζει, τόσον σὺ τρῶγε πλέον ἤρεμα· διότι ἔτσι ἐκβιάζει τὸν ἄνθρωπον, τὸν παρακινεῖ, δηλαδή, νὰ τὰ φάγῃ ὅλα διὰ μιᾶς.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΚΡΕΙΣΣΟΝ ἐστιν ἐσθίειν καὶ εὐχαριστεῖν τῷ Κυρίῳ, ἢ μὴ ἐσθίοντα κατακρίνειν τοὺς ἐσθίοντας καὶ εὐχαριστοῦντας τῷ Κυρίῳ. Ἀδελφέ, ἐκάθισας ἐπὶ τῆς τραπέζης; φάγε ἄρτον, καὶ μὴ καταλάλει τοῦ πλησίον, ἵνα μὴ εὑρεθῇς κρεωφαγῶν τὸν ἀδελφόν σου διὰ τῆς καταλαλιᾶς· διότι γέγραπται· «οἱ κατεσθίοντε τὸν λαόν μου ἐν βρώσει ἄρτου, τὸν Κύριον οὐκ ἐπεκαλέσαντο». Ὑγιαίνων τῇ πίστει ἔσθιε πᾶν τὸ παρατιθέμενόν σοι ἐν Κυρίῳ. Εἰ δὲ παρατεθῇ ὑμῖν τι βρώσιμον ὃ σὺ οὐκ ὀρέγῃ φαγεῖν, μὴ αὐτὸ ἀπόστρεφε, τῶν πλειόνων βουλομένων ἐσθίειν, καὶ εὐχαριστεῖν Κυρίῳ.

Ἐκάθισας ἐπὶ τραπέζης; ἑαυτῷ πρόσεχε καὶ μὴ περιβλέπου ὡς ἀπαίδευτος. Ἀπαιδευσία ἐστὶ Μοναχῷ ἐσθίειν τὰ σῶα, τῶν κλασμάτων παρατεθειμένων. Μὴ ἐξουθένει τὰ κλάσματα· ὁ γὰρ Κύριος εἶπε τοῖς ἑαυτοῦ μαθηταῖς συναγαγεῖν τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. Ἀδελφέ, ἐὰν εὐκαιρήσῃ ποτήριον οἴνου, μετὰ τὴν εὐχὴν σπουδαίως εἰς τὸ κελλίον σου πορεύθητι, καὶ κλείσας τὴν θύραν εὐχαρίστει τῷ Κυρίῳ τῷ οἰκονομοῦντι· τὸ γὰρ ἀπὸ τραπέζης πληθύνειν λόγους, ἔποπτα καὶ συντρίμματα γεννᾷ. Ἀνὴρ μέθυσος πράττει καὶ λαλεῖ ἑσπέρας ἃ μὴ δεῖ καὶ ὄρθρου μεταμελεῖται· καὶ ἐὰν πάλιν εὕρῃ οἶνον, τοῖς αὐτοῖς πάλιν χρᾶται. Εἰ ἐπειράσθης ἅπαξ, φύλαξαι τοῦ λοιποῦ· γέγραπται γάρ· «ὁ γεγενημένος ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ».

Τίμα πάντας διὰ τὸν Κύριον, τιμὴν μὴ ἀπαιτῶν, καὶ παρὰ Κυρίου εὑρήσεις χάριν· γέγραπται· «ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων, οὐκ ἀγαθός· ὁ τοιοῦτος ψωμῷ ἄρτου ἀποδώσεται ἄνδρα, καὶ μὴ εὐλαβούμενος πρόσωπον ἀδελφοῦ αὐτοῦ, κόπῳ παιδευθήσεται». Ἐὰν συνεσθίῃς ἀδελφοῖς, κατὰ κανόνα χάλα ἐν τῷ πίνακι, ἤτοι κατὰ τάξιν· καὶ γὰρ τρυγὼν καὶ χελιδὼν ἀγροῦ στρουθίου ἐφύλαξαν καιροὺς εἰσόδου αὐτῶν. Χάλα, καὶ μὴ ἐνέαζε διὰ τοὺς μικροτέρους σου, ἤγουν μὴ ἐκείνων ὡς μικροτέρων καταφρονῶν· ἅπαξ αὐτῶν ἐκτεινόντων τὴν χεῖρα, δὶς αὐτὸς ἔκτεινε προφθάνων αὐτούς. Σὺ δέ, ἀγαπητέ, ὅλην τὴν ἡμέραν διετέλεσας νῆστις, καὶ περὶ στιγμῆς ὥρας ταράττει, ἢ μᾶλλον ὁ Πατὴρ τὸ πάντας ἀναμένειν καὶ τοὺς μικροτέρους προτρέπεται, καὶ μὴ τῆς βρώσεως προαπάρχεσθαι, ἀλλ' ἅμα τοῖς ἀδελφοῖς τὴν χεῖρα χαλᾶν ἐν τῷ πίνακι.

Ὁ σιωπῶν ἐπὶ τραπέζης ὅμοιός ἐστι τῷ μετὰ μέλιτος ἐσθίοντι τὸν ἑαυτοῦ ἄρτον· ὁ δὲ πληθύνων λόγους, ἐκταράσσει καὶ τὸν ἥσυχον. Μετὰ καταστάσεως ἔσθιε καὶ τὸ πόμα σου ἔστω ἀθόρυβον. Ἀδελφέ, ἔφαγες ἄρτον καὶ ἐνεπλήσθης; δὸς δόξαν τῷ χορτάσαντί σε Θεῷ· εἰ δὲ ἐν βραχεῖ ἠρκέσθης παρὰ μικρὸν τῆς χρείας λαβών, δόξασον ὁμοίως ἐν ἑαυτῷ τόν σε ἐνισχύσαντα Κύριον, καὶ μὴ λέγε ἐνώπιον πάντων εἰ μὴ τοσοῦτον ἄρτον οὐκ ἔφαγον· εἰ γὰρ τοῦτο εἴπῃς ἢ σπουδάσῃς διαγνω-

σθῆναι ὃ ἐποίησας, ἀπέχεις σου τὸν μισθόν· εἰ δὲ καὶ κατακρίνων τοὺς ἐσθίοντας καὶ εὐχαριστοῦντας τοῦτο εἴρηκας, ἀπώλεσάς σου πᾶσαν τὴν ἐργασίαν καὶ ταῖς χερσὶ τῶν ἐχθρῶν παρέδωκας σεαυτόν.

Ἑρμηνεία

ΕΙΝΑΙ προτιμότερον νὰ τρώγη κανεὶς καὶ νὰ εὐχαριστῇ τὸν Κύριον παρὰ νὰ μὴ τρώγη καὶ νὰ κατακρίνη αὐτοὺς ποὺ τρώγουν καὶ εὐχαριστοῦν τὸν Κύριον. Ἀδελφέ, ἐκάθισες εἰς τὸ τραπέζι; Φάγε ἄρτον καὶ μὴ κατηγορῇς τὸν πλησίον σου, διὰ νὰ μὴ κατηγορηθῇς ἀπὸ τὸν Θεόν, ὅτι τρώγεις τὰς σάρκας τοῦ ἀδελφοῦ σου μὲ τὴν καταλαλιάν· διότι ἔχει γραφῇ· «αὐτοὶ ποὺ τρώγουν τὸν λαόν μου, ὅπως τρώγουν τὸ ψωμί, δὲν ἐκάλεσαν εἰς βοήθειάν των τὸν Κύριον» (Ψαλμ. ιγ΄, 4). Ὅταν δὲν εἶσαι ἄρρωστος εἰς τὴν πίστιν, τρῶγε ὅ,τι σοῦ προσφέρουν καὶ δόξαζε τὸν Κύριον. Ἂν σᾶς προσφερθῇ φαγητὸν ποὺ σὺ δὲν τὸ θέλεις, μὴ τὸ καταφρονήσῃς, ὅταν οἱ περισσότεροι θέλουν νὰ φάγουν καὶ νὰ εὐχαριστοῦν τὸν Κύριον.

Παρεκάθησες εἰς τὴν τράπεζαν, διὰ τὸ φαγητόν; Πρόσεχε τὸν ἑαυτόν σου καὶ μὴ κοιτάζῃς δεξιὰ καὶ ἀριστερὰ ὡς ἀμόρφωτος. Εἶναι ἀμόρφωτος ὁ Μοναχὸς ποὺ τρώγει τὰ ὁλόκληρα, ὅταν προσφέρωνται εἰς τὸ τραπέζι τὰ κομμάτια· διότι ὁ Κύριος εἶπεν εἰς τοὺς Μαθητάς Του νὰ μαζεύσουν τὰ κομμάτια, ποὺ ἐπερίσσευσαν, διὰ νὰ μὴ χαθῇ τίποτα*. Ἀδελφέ, ἂν σοῦ τύχῃ εὐκαιρία νὰ πίῃς ἕνα ποτήρι κρασί, πήγαινε γρήγορα, μετὰ τὴν εὐχαριστίαν, εἰς τὸ κελλί σου, κλεῖσε τὴν θύραν καὶ νὰ εὐχαριστῇς τὸν Κύριον, ποὺ τὰ οἰκονομεῖ ὅλα· διότι τὸ νὰ ἀρχίζῃ ἡ πολυλογία μετὰ τὸ φαγητόν, ἔχει δυσάρεστα ἐπακόλουθα καὶ προκαλεῖ βλάβην. Ὁ μεθυσμένος ἄνθρωπος πράττει καὶ λαλεῖ τὸ βράδυ ἐκεῖνα ποὺ δὲν πρέπει, καὶ τὸ πρωῒ μετανοεῖ· ἂν ὅμως εὕρῃ κρασί, πάλιν τὰ ἴδια κάμνει. Ἂν τὴν ἔπαθες μίαν φοράν, φυλάξου εἰς τὸ ἑξῆς· διότι λέγει ἡ Ἁγία Γραφή· «αὐτὸς ποὺ εἶναι τοῦ Θεοῦ προφυλάσσει τὸν ἑαυτόν του καὶ ὁ πονηρὸς δὲν τὸν ἐγγίζει» (Α΄ Ἰωάν. ε΄, 18).

Νὰ τιμᾷς ὅλους διότι εὐχαριστεῖται ὁ Κύριος, χωρὶς νὰ ζητῇς τιμὴν καὶ θὰ εὕρῃς χάριν ἀπὸ τὸν Θεόν. Λέγει ἡ Ἁγία Γραφή· «ὅποιος δὲν σέβεται τοὺς δικαίους δὲν εἶναι καλός· αὐτὸς δι' ἕνα κομμάτι ψωμὶ ἠμπορεῖ νὰ προδώσῃ ἄνθρωπον καὶ ἐπειδὴ δὲν ἔχει σὲ ὑπόληψιν τὸν ἀδελφόν του θὰ τιμωρηθῇ σκληρά». (Παροιμ. κη΄, 21). Ἐὰν συντρώγῃς

---

* Τὰ λεγόμενα ἐνταῦθα ἀναφέρονται εἰς τὸ θαῦμα τοῦ χορτασμοῦ τῶν πέντε χιλιάδων ἀνδρῶν, ἐκτὸς τῶν γυναικῶν καὶ τῶν παιδίων, διὰ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων, τοὺς ὁποίους ηὐλόγησεν ὁ Ἰησοῦς. Μὲ τὴν εὐλογίαν τοῦ Κυρίου οἱ πέντε ἄρτοι καὶ οἱ δύο ἰχθῦς τόσον ἐπληθύνθησαν, ὥστε ὄχι μόνον ἐχόρτασεν ὅλος ἐκεῖνος ὁ κόσμος, ὁ ὁποῖος παρηκολούθει τὴν διδασκαλίαν Του, ἀλλὰ καὶ ἀπὸ τὰ κομμάτια ποὺ ἐπερίσσευσαν ἐγέμισαν δώδεκα κοφίνους (Ματθ. Κεφ. ΙΔ΄, 13—20).

μὲ ἀδελφούς, νὰ ἁπλώνῃς μὲ σειρὰν καὶ τάξιν τὸ χέρι σου εἰς τὸ πιάτο*. Διότι καὶ τὸ τρυγόνι καὶ τὸ χελιδόνι μὲ τὴν σειράν τους κατέρχονται ἀπὸ τὰς φωλεάς των εἰς τὸ χωράφι, διὰ νὰ τσιμπήσουν κάποιον σπόρον. Ἅπλωνε τὸ χέρι σου καὶ μὴ προσποιῆσαι ἔκπληξιν διὰ τοὺς μικροτέρους σου· δηλαδὴ νὰ μὴ τοὺς προσβάλλῃς ἐπειδὴ εἶναι μικρότεροι. Ὅταν ἐκεῖνοι ἁπλώνουν μίαν φορὰν τὸ χέρι τους, σὺ ἅπλωνέ το δύο, διὰ νὰ ἔλθῃς εἰς τὸ ἴδιον μέτρον μαζί των. Σύ, ἀγαπητέ, ὅλην τὴν ἡμέραν ἔμεινες νηστικὸς καὶ ἀδημονεῖς τώρα διὰ μίαν στιγμήν; Ἀγωνιᾷς ἐπειδὴ ὁ Ἡγούμενος προτρέπει νὰ περιμένωμεν ὅλους καὶ τοὺς μικροτέρους καὶ νὰ μὴ ἀρχίζουν τὸ φαγητόν, ἀλλὰ μαζὶ μὲ ὅλους τοὺς ἀδελφοὺς νὰ ἀρχίζουν νὰ ἁπλώνουν τὸ χέρι των εἰς τὸ πιάτο;

Ἐκεῖνος, ποὺ δὲν ὁμιλεῖ κατὰ τὴν ὥραν τοῦ φαγητοῦ, ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ τρώγει τὸ ψωμί του μὲ μέλι· ἐνῷ ἐκεῖνος, ποὺ φλυαρεῖ, ταράζει ψυχικὰ καὶ τὸν ἥσυχον. Τρῶγε μὲ ἠρεμίαν καὶ νὰ πίνῃς χωρὶς θόρυβον. Ἀδελφέ, ἔφαγες ἄρτον καὶ ἐχόρτασες; Δόξασε τὸν Θεὸν ποὺ σὲ ἐχόρτασεν. Ἂν ἠρκέσθης εἰς τὸ ὀλίγον καὶ ἔφαγες ὀλιγώτερον ἀπὸ ὅσον ἐχρειάζεσο, δόξασε πάλιν ἀπὸ μέσα σου τὸν Κύριον, ποὺ σὲ ἐνίσχυσεν (εἰς αὐτὴν τὴν ἐγκράτειαν) καὶ νὰ μὴ λέγῃς ἐμπρὸς εἰς ὅλους· ἐγὼ δὲν ἔφαγα παρὰ μονάχα ὀλίγον ψωμί. Διότι ἂν τὸ εἴπῃς αὐτό, ἢ φροντίσῃς νὰ γίνῃ γνωστὸν αὐτὸ ποὺ ἔκαμες, ἔχασες τὸν μισθόν σου. Ἐὰν δὲ τὸ εἶπες αὐτό, διὰ νὰ κατακρίνῃς ἐκείνους, ποὺ τρώγουν καὶ εὐχαριστοῦνται, τότε ἔχασες ὅλον σου τὸν κόπον καὶ παρεδόθης εἰς τὰ χέρια τῶν ἐχθρῶν σου.



* Εἰς τὰ Ἀσκητήρια τοῦ καιροῦ ἐκείνου τὸ φαγητὸν ἐτοποθετεῖτο ἐπὶ τῆς τραπέζης εἰς κοινὸν πιάτον (πιατέλα) διὰ πάντας τοὺς ἀδελφοὺς καὶ ἕκαστος ἔτρωγεν ἐξ αὐτοῦ μὲ τὴν σειράν του, ἐμβαπτίζων τὸν ἄρτον του εἰς τὸ ἄρτυμα.

ΥΠΟΘΕΣΙΣ ΚΔ΄

Περὶ βρώσεως καὶ πόσεως, καὶ πότε καὶ πῶς τίνων οὐ μετέχειν ἢ ἀπέχεσθαι.

Περὶ φαγητοῦ καὶ ποτοῦ· πότε καὶ πῶς εἰς ποῖα δὲν πρέπει νὰ μετέχωμεν ἢ ἀπὸ ποῖα νὰ ἀπέχωμεν.

Α΄. Παλλαδίου πρὸς Λαῦσον Πραιπόσιτον

ΑΝΔΡΙΖΟΥ ἐν πάσῃ συνέσει, παρακαλῶ, δοῦλε τοῦ Θεοῦ Λαῦσε, καὶ προσχήματι ἀνθρωπαρεσκείας τινὸς κρίσεως μὴ ὅρκῳ πεδήσῃς τὴν προαίρεσιν, καθὼς πεπόνθασιν οἱ πολλοί, οἵτινες φιλονείκῳ κενοδοξίᾳ τὸ μὴ φαγεῖν τόδε ἢ πιεῖν τόδε ἀλόγως ὤμοσαν, δουλώσαντες τὸ αὐτεξούσιον τῇ ἀνάγκῃ τοῦ ὅρκου· εἶτα πάλιν τούτῳ ὑπέπεσον οἰκτρῶς, ἢ φιλοζωΐᾳ καὶ ἀκηδίᾳ, ἢ ἀσθενείᾳ σώματος καὶ ἐπιθυμίᾳ ἡδονῆς τινος τὴν ἐπιορκίαν ὠδινήσαντες. Λόγῳ τοίνυν μεταλαμβάνων καὶ λόγῳ ἀπεχόμενος οὐχ ἁμαρτήσεις ποτέ· ἄμεινον γὰρ ἡ μετὰ λόγου οἰνοποσία τῆς μετὰ τύφου ὑδροποσίας, καὶ θέα μοι τοὺς μετὰ λόγου θεοσεβείας τὸν οἶνον πίνοντας, καὶ πάλιν τοὺς ἀλόγως ἀπωσαμένους τὸν οἶνον.

Ἔπιεν οἶνον ποτὲ Ἰωσὴφ παρ' Αἰγυπτίοις, ἔπιε δὲ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ κατηγορήθη φάγος καὶ οἰνοπότης. Μανιχαῖοι δὲ καί τινες τῶν σοφῶν Ἑλλήνων ὑδροποτήσαντες, τῇ οἰήσει δεσμευθέντες, τὸν ὄλεθρον τῆς τοῦ Θεοῦ ἀγνωσίας οὐ διέφυγον· οὐ γὰρ ψεκτὴ ἢ ἐπαινετὴ ἡ ὕλη τῶν βρωμάτων ἢ πομάτων, ἀλλ' ἡ γνώμη τῶν καλῶς ἢ κακῶς χρωμένων τῇ ὕλῃ.

Περὶ δὲ τῶν μετεχόντων ἢ ἀπεχομένων τῆς ὕλης εἶπεν ὁ Κύριος· «ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς», ἅτινά ἐστι κατὰ τὸν Ἀπόστολον «ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια, ἁγνεία». Ὁ δὲ ἀγωνιζόμενος τοιούτους ἔχειν καρπούς, πάντα μὲν ἐγκρατεύεται, ἀναλόγως δὲ οὐ βρώσεται, οὐδὲ πίεται, οὐδὲ συνοικήσει τινὶ πονηρῷ συνειδότι. Ὑγιαίνων μὲν ἀφέξεται τῶν πιαινόντων, ἀρρωστῶν δὲ ἢ ὀδυνώμενος ἢ ἐν περιστάσε-

σιν ὧν ἢ πρὸς ἀνατροπὴν κενῆς δόξης χρήσεται αὐτοῖς μετρίως ὡς φαρμάκοις, πρὸς ἴασιν μόνον ψυχῆς καὶ σώματος, εὐχαριστῶν τῷ Θεῷ.

Ἑ ρ μ η ν ε ί α

ΓΕΝΟΥ γενναῖος καὶ πολὺ συνετὸς σὲ παρακαλῶ, Λαῦσε*, δοῦλε τοῦ Θεοῦ. Πρόσεξε νὰ μὴ δέσῃς μὲ ὅρκον τὴν προαίρεσίν σου μὲ τὸ πρόσχημα νὰ ἀρέσῃς εἰς τοὺς ἀνθρώπους, καθὼς ἔπαθαν οἱ πολλοί, οἱ ὁποῖοι ἀπὸ ἄκαιρον φιλοδοξίαν νὰ μὴ φάγουν τοῦτο ἢ νὰ μὴ πίουν ἐκεῖνο, ὡρκίσθησαν παραλόγως καὶ ὑπεδούλωσαν τὸ αὐτεξούσιόν των εἰς τὸν δεσμὸν τοῦ ὅρκου· καὶ οἱ ὁποῖοι, κατόπιν πάλιν, παρέβησαν ἐλεεινῶς τὸν ὅρκον των καί, ἢ ἀπὸ φιλοζωΐαν καὶ ἀμέλειαν, ἢ ἀπὸ σωματικὴν ἀσθένειαν καὶ ἐπιθυμίαν κάποιας ἡδονῆς, ἐδοκίμασαν τὴν πικρίαν τῆς ἐπιορκίας. Ὅταν λοιπὸν μεταλαμβάνῃς τροφῆς μὲ μέτρον καὶ περίσκεψιν καὶ πάλιν μὲ περίσκεψιν ἀπέχῃς, ποτὲ δὲν θὰ ἁμαρτήσῃς· διότι εἶναι προτιμότερον νὰ πίνῃς κρασὶ μὲ λογικὸν μέτρον, παρὰ νὰ πίνῃς μὲ ὑπερηφάνειαν νερόν. Πάρε ὡς παράδειγμα ἐκείνους ποὺ ἔπιναν μὲ μέτρον καὶ εὐσέβειαν τὸ κρασὶ καὶ ἐκείνους, πάλιν, ποὺ τὸ ἀπέκρουσαν ἀπὸ παράλογον ὑπερηφάνειαν.

Ἔπιε κάποτε κρασὶ ὁ Ἰωσὴφ ὅταν ἦτο μὲ τοὺς Αἰγυπτίους, ἔπιε καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μαζὶ μὲ τοὺς Μαθητάς Του καὶ τὸν κατηγόρησαν (οἱ Φαρισαῖοι) ὡς φάγον καὶ οἰνοπότην. Ἀντίθετα οἱ Μανιχαῖοι* καὶ μερικοὶ σοφοὶ Ἕλληνες, ποὺ ἔπιναν μόνον νερό, ᾐχμαλωτίσθησαν ἀπὸ τὸν ἐγωϊσμόν των καὶ δὲν ἠμπόρεσαν νὰ ἀποφύγουν τὴν καταστροφὴν ἀπὸ τὴν ἀγνωσίαν τοῦ Θεοῦ. Διότι αὐτὰ καθ' ἑαυτὰ τὰ φαγητὰ καὶ τὰ ποτὰ δὲν εἶναι ἀξιοκατάκριτα ἢ ἐπαινετά· αὐτὸ ἐξαρτᾶται ἀπὸ τὴν διάθεσιν ἐκείνων οἱ ὁποῖοι τὰ μεταχειρίζονται καλῶς ἢ κακῶς.

Δι' αὐτούς, ποὺ μετέχουν τῆς ὕλης ἢ ἀπέχουν ἀπὸ αὐτήν, ὁ Κύριος εἶπε· «θὰ τοὺς ἀναγνωρίσετε ἀπὸ τοὺς καρποὺς των»! Αὐτοὶ δὲ οἱ

---

* Λαῦσος ὁ Πραιπόσιτος ἦτο πατρίκιος εἰς τὴν Κωνσταντινούπολιν, ἤκμασε δὲ κατὰ τοὺς χρόνους τοῦ Αὐτοκράτορος Θεοδοσίου τοῦ Α' (379— 395 μ.Χ.). Οὗτος εἶχε πολυτελέστατον οἶκον εἰς Κων/πολιν, παρὰ τὴν μεγάλην πλατεῖαν τοῦ Κωνσταντίνου καὶ ἐπὶ τῆς μεγάλης ὁδοῦ τῆς Κωνσταντινουπόλεως τῆς λεγομένης Μέσης ἢ Ρηγίας, ὁ ὁποῖος κατεστράφη κατὰ τὴν μεγάλην πυρκαϊὰν τοῦ 476 μ.Χ. Πρὸς τοῦτον ἔγραφεν ὁ Ὅσιος Παλλάδιος τὸ Λαυσαϊκὸν ἐξ οὗ εἶναι εἰλημμένον τὸ δίδαγμα τοῦτο, ὡς ἐπίσης καὶ ἅπαντα τὰ ἐπ' ὀνόματι Παλλαδίου τεμάχια τοῦ «Εὐεργετινοῦ».

** Μανιχαῖοι ἐλέγοντο οἱ ὀπαδοὶ τῆς θρησκείας τοῦ Μάνεντος. Ἡ θρησκεία αὐτὴ ἐμφανισθεῖσα κατὰ τὸν Γ' μ.Χ. αἰῶνα προῆλθεν ἐκ τῆς ἀρχαίας περσικῆς θρησκείας καὶ οὐδεμίαν σχέσιν εἶχε μὲ τὸν Χριστιανισμόν. Ὅταν ὅμως ἡ θρησκεία αὐτὴ διεδόθη εἰς τὸ ρωμαϊκὸν κράτος, ἐπῆρε πολλὰ στοιχεῖα ἀπὸ τὸν Ἰουδαϊσμὸν καὶ τὸν Χριστιανισμόν, ὥστε εἰς τὴν Μικρὰν Ἀσίαν ἰδίως οἱ Μανιχαῖοι παρουσιάζοντο ὡς ὀρθόδοξοι. Ἐμισοῦντο ὅμως ὑπὸ τῶν Ὀρθοδόξων καὶ ἐθεωρεῖτο βαρεῖα ὕβρις τὸ νὰ ἀποκαλέσῃ κανεὶς κάποιον «Μανιχαῖον».

καρποί, κατὰ τὸν Ἀπόστολον Παῦλον· εἶναι: «ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, καλωσύνη, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια, ἁγνεία»! Ἐκεῖνος, λοιπόν, ποὺ ἀγωνίζεται νὰ ἀποκτήσῃ τέτοιους καρπούς, ἐγκρατεύεται ἀπὸ ὅλα καὶ ἀνάλογα δὲν θὰ φάγῃ, οὔτε θὰ πιῇ, οὔτε θὰ συγκατοικήσῃ μὲ κάποιον ποὺ θὰ ἔχῃ πονηρὰν συνείδησιν. Ἔτσι ὅταν θὰ εἶναι ὑγιὴς θὰ ἀποφεύγῃ τὰ φαγητά, ποὺ παχαίνουν, ὅταν δὲ θὰ εἶναι ἄρρωστος ἢ θὰ πονᾷ ἢ θὰ εὑρίσκεται εἰς δυσκόλους περιστάσεις ἢ διὰ νὰ ἀνατρέψῃ τὴν κενοδοξίαν, τότε θὰ χρησιμοποιήσῃ μέτρια φαγητὰ καὶ ποτά, ὡς φάρμακα, διὰ τὴν θεραπείαν τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ θὰ εὐχαριστῇ τὸν Θεόν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΑΝΕΒΗ ποτὲ ὁ Ἀββᾶς Ξανθίας ἀπὸ τῆς σκήτεως εἰς Τερενοῦθιν καὶ ὅπου κατέλυσε διὰ τὸν κόπον τῆς ἀσκήσεως. Ἤνεγκαν αὐτῷ ὀλίγον οἶνον· προσήνεγκαν δέ τινες αὐτῷ δαιμονιζόμενον, καὶ ἤρξατο ὁ δαίμων ὑβρίζειν τὸν γέροντα λέγων· πρὸς τὸν οἰνοπότην τοῦτον ἠνέγκατέ με; Καὶ ὁ γέρων οὐκ ἤθελεν αὐτὸν ἐκβαλεῖν, διὰ δὲ τὸν ὀνειδισμὸν εἶπε· πιστεύω τῷ Θεῷ, ὅτι οὐ μὴ τελέσω τὸ ποτήριον τοῦτο ἕως οὗ ἐξέλθῃς. Καὶ ὡς ἤρξατο ὁ γέρων πίνειν, ἔκραξεν ὁ δαίμων λέγων· κ α ί ε ι ς μ ε, κ α ί ε ι ς μ ε· καὶ πρὸ τοῦ τελέσαι ἐξῆλθε διὰ τῆς χάριτος τοῦ Χριστοῦ.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ξανθίας ἀνέβηκεν ἀπὸ τὴν σκήτην εἰς Τερενοῦθιν*, ὅπου ἔμεινε διὰ νὰ ἀναπαυθῇ ἀπὸ τὸν κόπον τῆς ἀσκήσεως. Τότε τοῦ προσέφεραν ὀλίγον κρασί. Μερικοὶ δὲ τοῦ ἔφεραν ἕνα δαιμονιζόμενον, διὰ νὰ τὸν θεραπεύσῃ. Ὁ δαίμων τότε ἤρχισε νὰ τὸν ὑβρίζῃ. «Μὲ ἐφέρατε» — ἔλεγεν — «εἰς αὐτὸν ἐδῶ τὸν μέθυσον;» Ὁ Γέρων δὲν ἤθελε νὰ ἐκδιώξῃ ἀπὸ ταπείνωσιν τὸν δαίμονα· διὰ δὲ τὸν χλευασμόν, ποὺ τοῦ ἔκανε, εἶπε· πιστεύω εἰς τὸν Θεόν, ὅτι δὲν θὰ τελειώσω αὐτὸ τὸ ποτήρι μέχρις ὅτου ἐξέλθῃς. Καὶ μόλις ἤρχισεν ὁ Γέρων νὰ πίνῃ ἔκραξεν ὁ δαίμων· μὲ καίεις, μὲ καίεις. Καὶ πράγματι· πρὶν τελειώσῃ τὸ ποτήρι μὲ τὸ κρασί, ὁ δαίμων, μὲ τὴν χάριν τοῦ Χριστοῦ, εἶχεν ἐξέλθει ἀπὸ τὸν δαιμονισμένον.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΕΝ ΤΗι ἐγκρατείᾳ ἀναγκαῖον καὶ τοῦτο παραφυλάττειν, ἤγουν τὸ μὴ ἀπέχεσθαί τινος βρώματος ὡς βδελυκτοῦ καὶ ἀποτροπαίου· τοῦτο γὰρ ἐπικατάρατόν ἐστι καὶ δαιμονιῶδες ὅλως. Οὐ γὰρ ὡς φαύλων τῶν παχυτέρων βρωμάτων ἀπεχόμεθα, μὴ γένοιτο, ἀλλ' ἵνα τὰ φλεγμαίνοντα πάθη τῆς σαρκὸς ποσῶς καταστείλωμεν διὰ τῆς ξηρᾶς καὶ λεπτῆς διαίτης, καὶ οὕτω μὲν τὴν σάρκα κολάζωμεν πρεπόν-

---

* Βλέπε ὑποσημείωσιν β' σελ. 624 τοῦ Α' Τόμου τοῦ Εὐεργετινοῦ.

τως, ὅταν ὑγιαίνῃ, ὅταν δὲ ἀσθενῇ, πιαίνωμεν ταύτην μετρίως, ὡς ἂν εἰς τὰ ἀναγκαῖα συνεργῇ τῇ ψυχῇ καὶ τὸν καλὸν ἀγῶνα σὺν αὐτῇ ἀγωνίζηται.

Ἑρμηνεία

Κατὰ τὸν ἀγῶνα τῆς ἐγκρατείας εἶναι ἀνάγκη νὰ προσέχωμεν καὶ τὸ ἑξῆς· νὰ μὴ ἀποφεύγωμεν δηλαδὴ κάποιο φαγητὸν ἐπειδὴ τὸ ἀηδιάζομεν καὶ τὸ σιχαινόμεθα, διότι αὐτὸ εἶναι τελείως σατανικὸν καὶ ἐπικατάρατον. Διότι δὲν ἀποφεύγομεν τὰ φαγητά, ποὺ παχαίνουν, ἐπειδὴ δὲν εἶναι καλά, μὴ γένοιτο· ἀλλὰ διὰ νὰ κατευνάσωμεν κάπως τὰ σαρκικὰ πάθη μὲ τὴν ξηρὰν καὶ λιτὴν δίαιταν. Ἔτσι τιμωροῦμεν τὸ σῶμα, ὅπως τοῦ πρέπει, ὅταν εἶναι ὑγιές· ὅταν ὅμως εἶναι ἄρρωστον, τὸ δυναμώνομεν ὀλίγον, διὰ νὰ βοηθῇ τὴν ψυχὴν εἰς τὰ ἀναγκαῖα καθήκοντα καὶ νὰ συναγωνίζηται μαζί της τὸν καλὸν ἀγῶνα.

Δ'. Τοῦ Ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου

Ἐρώτησις

ΕΑΝ ΤΙΣ ὁρίσῃ τὸ ἀγαθὸν μεθ' ὅρκου ποιῆσαι, οἷον ἐπί τινα χρόνον οἴνου μὴ γεύσασθαι, ἢ νηστεῦσαι, ἢ ἄλλο τι τοιοῦτον ποιῆσαι, εἶτα ἐκ ῥαθυμίας μὴ ἰσχύσῃ πληρῶσαι ὃ ἐπεχείρησε, τί ὀφείλει ποιῆσαι;

Ἑρμηνεία

ΑΝ κάποιος ὁρκισθῇ νὰ κάμῃ τὸ καλόν, ὅπως π.χ. νὰ μὴ δοκιμάσῃ κρασὶ ἐπὶ ὡρισμένον χρόνον, ἢ νὰ νηστεύσῃ, ἢ νὰ ἐπιτελέσῃ κάτι παρόμοιον καὶ μετά, ἀπὸ ἀμέλειαν, δὲν ἠμπορέσῃ νὰ ἐκτελέσῃ ἐκεῖνο, ποὺ ἥρκισε, τί πρέπει νὰ κάμῃ;

Ἀπόκρισις

ΚΑΘΟΛΟΥ μὲν τὸ ὁρίζειν τοιοῦτον μεθ' ὅρκου, σφαλερὸν καὶ ἀποτρόπαιον· οὐ γὰρ ἀνάγκῃ, ἀλλ' αὐτεξουσίῳ διαρκούμεθα προαιρέσει· καὶ οὐ χρὴ βίᾳ ὅρκου καταδουλοῦν τὸ τῆς γνώμης ἐλεύθερον, οὔτε τινός τῶν τοῦ Θεοῦ κτισμάτων ὡς φαύλου ἀπέχεσθαι, ἀλλὰ τῇ διακρίσει χρᾶσθαι πρὸς πάντα. Ὅμως οἱ Μακάριοι Πατέρες, οἱ τὰς ἱερὰς ἡμῖν εὐχὰς συντάξαντες, ἐποίησαν καὶ περὶ τῆς τοιαύτης ὑποθέσεως εὐχὴν διὰ τοῦ ἱερέως λύουσαν τὸν ἄνθρωπον. Εἴρηται γὰρ τοῖς τοῦ Θεοῦ ἀληθινοῖς ἱερεῦσιν, ὅτι ἃ λύσετε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ· πλὴν καὶ ὁ λύσας τὸν ὅρκον καὶ παραβάς, ὀφείλει ἐξομολογεῖσθαι τῷ Θεῷ, καταμεμφόμενος τὴν οἰκείαν ῥαθυμίαν καὶ ὀλιγωρίαν. Εἰ γὰρ βασιλεῖ φθαρτῷ συνταξάμενός τις οὐ τολμᾷ ἕως θανάτου παραβάτης ὀφθῆναι τῆς συνταγῆς, πόσῳ γε μᾶλλον ὁ πρὸς τὸν ἀθάνατον καὶ οὐράνιον βασιλέα ὑπόσχεσίν τινα σὺν ὅρκῳ ποιησάμενος, εἶτα ἀθετήσας ὃ ἐπηγγείλατο, ἔνοχος τιμωρίας ἐστίν; ὅμως ἡ μετάνοια πάντα δύναται.

Ἑ ρ μ η ν ε ί α

ΓΕΝΙΚΩΣ τὸ νὰ δεσμευώμεθα διὰ κάτι παρόμοιον μὲ ὅρκον εἶναι σφαλερὸν καὶ ἐπιζήμιον· διότι δὲν πρέπει νὰ ἀγωνιζώμεθα διὰ τὸ καλὸν ἀπὸ καταναγκασμόν, ἀλλ' ἐξ ἐλευθέρας προαιρέσεως. Δὲν πρέπει λοιπὸν νὰ δεσμεύωμεν τὴν ἐλευθερίαν τῆς γνώμης μας εἰς τὸν ἐξαναγκασμὸν τοῦ ὅρκου, οὔτε νὰ ἀπέχωμεν περιφρονητικὰ ἀπὸ κάποιο δημιούργημα τοῦ Θεοῦ, ἐπειδή, τάχα, εἶναι κακόν, ἀλλὰ νὰ τὰ χρησιμοποιοῦμεν ὅλα μὲ διάκρισιν.


Ὡστόσον οἱ μακάριοι Πατέρες, οἱ ὁποῖοι συνέταξαν τὰς ἱερὰς εὐχάς, ἔκαμαν καὶ διὰ τὴν περίπτωσιν αὐτὴν μίαν εὐχήν, ἡ ὁποία ἀπαλλάσσει τὸν ἄνθρωπον, διὰ τοῦ ἱερέως ἀπὸ τὴν αὐτοδέσμευσιν τοῦ ὅρκου. «...εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσον, ἢ ὅρκῳ ὑπήχθησαν». Ἔχει διαταχθῆ ἀπὸ τὸν Θεὸν πρὸς τοὺς πραγματικοὺς ἱερεῖς ὅτι ὅσα θὰ λύσετε ἐπάνω εἰς τὴν γῆν, θὰ ἔχουν λυθῆ καὶ εἰς τὸν οὐρανὸν (Ματθ. κβ', 25). Πλὴν ὅμως αὐτὸς ποὺ κατέλυσε τὸν ὅρκον καὶ παρέβη τὴν ἔνορκον ὑπόσχεσιν, ὀφείλει νὰ ἐξομολογηθῇ εἰς τὸν Θεὸν καὶ νὰ κατηγορῇ τὸν ἑαυτόν του δι' ἀμέλειαν καὶ ἀδιαφορίαν. Διότι ἂν αὐτός, ποὺ θὰ κάμῃ μίαν συμφωνίαν μὲ φθαρτὸν βασιλέα, δὲν τολμᾷ μέχρι θανάτου νὰ παραβῇ τὴν συμφωνίαν, πόσον μᾶλλον δὲν θὰ κριθῇ ἔνοχος τιμωρίας ἐκεῖνος, ποὺ ἔδωσεν ἔνορκον ὑπόσχεσιν πρὸς τὸν ἀθάνατον καὶ οὐράνιον Βασιλέα καὶ μετὰ παρέβη ἐκεῖνο, ποὺ ὑπεσχέθη; Ὡστόσον ἡ μετάνοια τὰ ἐπανορθώνει ὅλα.

Ε'. Τοῦ Ἁγίου Διαδόχου

ΠΑΣΑΣ μὲν τὰς ἀλόγους ἐπιθυμίας οὕτω δεῖ μισεῖν τοὺς ἀγωνιζομένους, ὥς τε εἰς ἕξιν τὸ πρὸς αὐτὰς μῖσος κτήσασθαι· τὴν δὲ ἐπὶ τῶν πραγμάτων ἐγκράτειαν οὕτω χρὴ διατηρεῖν, ἵνα μὴ εἰς βδέλυξιν αὐτῶν ἔλθῃ τίς ποτε· τοῦτο γὰρ καὶ ἐπικατάρατόν ἐστι, καὶ δαιμονιῶδες ὅλον. Οὐ γὰρ ὡς φαύλων αὐτῶν ἀπεχόμεθα, μὴ γένοιτο, ἀλλ' ἵνα τῶν πολλῶν καὶ ἀχρήστων τροφῶν ἑαυτοὺς ἀποσπῶντες, τὰ φλεγμαίνοντα μέρη τῆς σαρκὸς συμμέτρως κολάζωμεν· λοιπὸν δὲ ἵνα καὶ τὸ ἡμῶν περίσσευμα εἰς οἰκονομίαν ἀρκοῦσαν τοῖς πτωχεύουσι γένηται, ὅπερ ἐστὶν ἀγάπης εἰλικρινοῦς γνώρισμα.

Ἑ ρ μ η ν ε ί α

ΤΟΣΟΝ πολὺ πρέπει οἱ ἀγωνιζόμενοι νὰ μισοῦν τὰς παραλόγους ἐπιθυμίας, ὥστε νὰ τοὺς γίνῃ συνήθεια αὐτὸ τὸ μῖσος. Τὴν ἐγκράτειαν ὅμως ἀπὸ ὡρισμένα πράγματα πρέπει νὰ τὴν διατηροῦμεν ἔτσι, ὥστε νὰ μὴ φθάσῃ κανεὶς εἰς τὸ σημεῖον νὰ σιχαθῇ ποτὲ αὐτὰ τὰ πράγματα· διότι αὐτὸ εἶναι καὶ σατανικὸν καὶ καταδικαστέον. Δὲν ἀπέχομεν δηλαδὴ ἀπὸ ὡρισμένα φαγητά, ἐπειδὴ εἶναι κακά, μὴ γένοιτο· ἀλλὰ διὰ νὰ ἀποφεύγωμεν ἀπὸ πολλὰς καὶ ἀχρήστους τροφὰς καὶ νὰ τιμωροῦμεν ἔτσι μὲ κάποιο μέτρον τὰ μέρη τῆς σαρκός, ποὺ ἐπαναστατοῦν. Ἀκόμη, μὲ τὴν ἀποφυγὴν αὐτῶν τῶν δαπανηρῶν φαγητῶν ἐξοικονομοῦ-


Ὁ ἅγιος Ἀναστάσιος
ἡγούμενος τῆς μονῆς Σινᾶ
χεὶρ Δ. Ῥίτσου

μεν, ἐν συνεχείᾳ, τὸ περίσσευμά μας, διὰ νὰ ἱκανοποιήσωμεν καὶ τὰς ἀνάγκας τῶν πτωχῶν, πρᾶγμα ποὺ εἶναι γνώρισμα τῆς πραγματικῆς ἀγάπης.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΕΞΗΛΘΟΝ ποτὲ οἱ Πατέρες εἰς Ἀλεξάνδρειαν, κληθέντες ὑπὸ τοῦ μακαρίου Ἀρχιεπισκόπου Θεοφίλου, ἵνα ποιήσωσιν εὐχὴν καὶ καθέλῃ τὰ εἴδωλα. Καὶ ἐσθιόντων αὐτῶν μετ' αὐτοῦ, παρετέθη κρέας μόσχιον καὶ ἤσθιον μηδὲν διακρινόμενοι. Λαβὼν οὖν ὁ Ἀρχιεπίσκοπος ἓν κοπάδιν, ἔδωκε τῷ ἔγγιστα αὐτοῦ γέροντι λέγων· ἰδοὺ τοῦτο καλὸν κοπάδιν ἐστί, φάγε, Ἀββᾶ· οἱ δὲ γέροντες ἀκούσαντες εἶπον· ἡμεῖς ἕως ἄρτι λάχανα ἠσθίομεν, εἰ δὲ κρέα ἐστίν, ἡμεῖς οὐ τρώγομεν. Καὶ οὐκέτι προσέθετο οὐδὲ εἷς ἐξ αὐτῶν γεύσασθαι αὐτοῦ.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ οἱ Πατέρες ἐκλήθησαν ἀπὸ τὸν μακάριον Ἀρχιεπίσκοπον Θεόφιλον* καὶ μετέβησαν εἰς τὴν Ἀλεξάνδρειαν, διὰ νὰ κάμουν εὐχὴν νὰ κρημνίσῃ τὰ εἴδωλα. Εἰς τὴν τράπεζαν λοιπόν, ὅπου παρεκάθησαν μαζί του, παρετέθη κρέας μόσχου καὶ οἱ Πατέρες ἔτρωγαν, χωρὶς καμμίαν διάκρισιν.

Εἰς κάποιαν στιγμὴν ἐπῆρεν ὁ Ἀρχιεπίσκοπος ἕνα κομμάτι κρέας καὶ τὸ προσέφερεν εἰς τὸν Γέροντα, ποὺ ἐκάθητο δίπλα του, λέγων·

— Νά, αὐτὸ εἶναι καλὸν κομμάτι —τοῦ εἶπε— φάγε το, Ἀββᾶ.

Μόλις τὸ ἤκουσαν αὐτὸ οἱ Γέροντες ἀπήντησαν·

—Ἡμεῖς, ἕως τώρα ἐτρώγαμεν λάχανα, ἐὰν λοιπὸν εἶναι κρέας, ἡμεῖς δὲν τρώγομεν.

Καὶ κανεὶς πλέον δὲν ἐδοκίμασεν ἀπὸ τὸ κρέας ἐκεῖνο.

---

* Πρόκειται περὶ τοῦ Πατριάρχου Ἀλεξανδρείας Θεοφίλου Α' (385—412), ὁ ὁποῖος ἐφήρμοσε μὲ μεγάλην αὐστηρότητα τὸ διάταγμα τοῦ αὐτοκράτορος Θεοδοσίου τοῦ Μεγάλου διὰ τὸ κλείσιμον τῶν εἰδωλολατρικῶν ναῶν, ὥστε ἐξ ὅλων τῶν ναῶν τῆς Αἰγύπτου μόνον ὁ ναὸς τῆς Ἴσιδος διεσώθη. Ὁ Πατριάρχης οὗτος ὑπῆρξεν εἷς ἐκ τῶν ἐχθρῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ΥΠΟΘΕΣΙΣ ΚΕ΄

Τίς ἡ διαφορὰ τοῦ τῆς πορνείας πολέμου καὶ πῶς δεῖ κατ᾽ αὐτοῦ ἀγωνίζεσθαι.

Ποῖος εἶναι ὁ πόλεμος τῆς πορνείας καὶ πῶς πρέπει νὰ ἀγωνιζώμεθα ἐναντίον του.

Α΄. Παλλαδίου

ὨΧΛΗΣΕ ποτε τῷ μακαρίῳ Εὐαγρίῳ τῷ Διακόνῳ ὁ τῆς πορνείας δαίμων εἰς βάρος, ὡς αὐτὸς ἡμῖν διηγήσατο, καὶ διὰ πάσης νυκτὸς γυμνὸς ἔστη ἐν φρέατι ἐν χειμῶνι, ὡς παγῆναι αὐτοῦ τὰς σάρκας.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ δαίμων τῆς πορνείας ἠνώχλησε πάρα πολὺ τὸν μακάριον Εὐάγριον τὸν Διάκονον· καί, ὅπως ὁ ἴδιος μᾶς διηγήθη, παρέμεινε γυμνὸς μίαν ὁλόκληρον νύκτα χειμῶνος εἰς ἕνα πηγάδι, ὥστε νὰ παγώσουν αἱ σάρκες του.

Β΄. Τοῦ αὐτοῦ

ΦΕΡΕΤΑΙ περὶ τοῦ μακαρίου Ἀμμωνίου, μαθητοῦ τοῦ Ὁσίου Παμβώ, τοιοῦτον διήγημα, ὅτι οὐδέποτε τῷ σώματι αὐτοῦ ἡδονῆς ἐπαναστάσης ἀτόπου τοῦ σαρκίου αὐτοῦ ἐφείσατο, ἀλλὰ σίδηρον ἐκπυρακτώσας προσετίθει τοῖς μέλεσιν αὐτοῦ, ὡς εἶναι αὐτὸν πάντοτε ἡλκωμένον.

Ἑρμηνεία

ΔΙΑ τὸν μακάριον Ἀμμώνιον, τὸν μαθητὴν τοῦ Ὁσίου Παμβώ, διηγοῦνται ὅτι ποτὲ δὲν ἐλυπήθηκε τὸ σῶμα του, ὁσάκις ἄτοπος ἐπανάστασις ἡδονῆς ἠγέρθη εἰς τὴν σάρκα του· ἀλλὰ πάντοτε μὲ πυρωμένον σίδηρον ἔκαιε τὰ μέλη του καὶ ἔτσι ἦτο συνεχῶς πληγωμένος.

Γ'. Τοῦ αὐτοῦ

ΤΩι ΓΕΝΝΑΙΩι Φιλορώμῳ τῷ Ἐπισκόπῳ, ἐν προοιμίοις τῆς ἀποταγῆς αὐτοῦ, ἐπέθετο σφοδροτάτως ὁ τῆς πορνείας πόλεμος, ὡς ἔλεγεν· ὃς τυραννήσας τὸ πάθος ἐξήλασε, καθάπερ πυρκαϊὰν ἄμετρον ὕδατι λαύρῳ κατασβέσας, ἄκρᾳ ἐγκρατείᾳ, σιδηροφορίᾳ τε καὶ ἐγκλεισμῷ, καὶ ἀποχῇ βρωμάτων, καὶ σιτίνου ἄρτου, καὶ πάντων τῶν διὰ πυρὸς διερχομένων· ἐν τούτοις διακαρτερήσας ἐπὶ δεκαοκτὼ ἔτη, θείᾳ συνεργείᾳ νικητὴς τοῦ τοιούτου πάθους ἐγένετο.

Ἑ ρ μ η ν ε ί α

Ο ΓΕΝΝΑΙΟΣ Φιλόρωμος ὁ Ἐπίσκοπος ἐδέχθη, —καθὼς μᾶς ἔλεγεν— εἰς τὰς ἀρχὰς τῆς καλογηρικῆς του ζωῆς, σφοδροτάτην τὴν ἐπίθεσιν τοῦ πολέμου τῆς πορνείας· κατώρθωσε ὅμως νὰ ἀποδιώξῃ τὸ πάθος αὐτὸ ἀπὸ ἐπάνω του, ἀφοῦ τὸ κατέσβεσεν ὅπως σβήνομεν τὴν πυρκαϊὰν μὲ ἄφθονον νερόν. Ἐπεδόθη δηλαδή, εἰς αὐστηροτάτην ἐγκράτειαν· ἐφόρεσε σίδηρα, ἐκλείσθη μέσα εἰς τὸ κελλί του, δὲν ἔτρωγε φαγητὸν οὔτε σιταρένιο ψωμὶ καὶ γενικὰ ὅσα ψήνονται εἰς τὴν φωτιάν. Ἐπέμεινεν εἰς αὐτὰ μὲ ὑπομονὴν ἐπὶ δεκαοκτὼ ἔτη καὶ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ κατενίκησε τὸ πάθος αὐτό.

Δ'. Γρηγορίου τοῦ Διαλόγου

ΗΣΥΧΑΖΟΝΤΙ ποτε τῷ Ἁγίῳ Βενεδίκτῳ, ὁ πειραστὴς παραγέγονεν ἐν σχήματι ὀρνέου μέλανος, ὅπερ κόσσυφον προσαγορεύουσι, καὶ τὸ πρόσωπον αὐτοῦ περιίπτατο ἀναιδῶς οὕτως, ὥς τε εἰ ἤθελεν ὁ Ἅγιος ταῖς χερσὶν αὐτὸν ἐκράτησεν ἄν. Γνοὺς οὖν ὁ Ὅσιος τὴν τοῦ ἐχθροῦ ἐνέδραν, τῷ σημείῳ τοῦ ζωοποιοῦ σταυροῦ ἑαυτὸν καθοπλίσας, τὸν ἐχθρὸν πεποίηκεν ἄφαντον. Μετὰ μικρὸν οὖν, τοιοῦτος αὐτῷ πειρασμὸς ἐκ τῆς σαρκὸς ἐπετέθη, οἷος οὐδέποτε αὐτῷ ἐγεγόνει· γυναῖκα γάρ τινα ἥν ποτε ὁ Ἅγιος ἑωράκει ὅτε ἦν νέος, σχηματίσας ὁ τῆς πορνείας δαίμων, ταύτην τοῖς τοῦ δικαίου ὀφθαλμοῖς παρεστήσατο καὶ τοσαύτην αὐτῷ ἐκ τῆς σαρκὸς ἀνῆψε τὴν πύρωσιν, ὥς τε παρὰ βραχὺ σαλευθῆναι αὐτὸν ὑπὸ τῆς ψυχικῆς ἀκηδίας καὶ ἐπὶ τὸν κόσμον παλινδρομῆσαι.

Ἀλλ' ἡ τοῦ Θεοῦ σωτήριος χάρις ἐνίσχυσε τοῦτον, ὥς τε καταπαλαῖσαι τὸν ἐχθρόν, καὶ νίκην κατὰ τῶν παθῶν ἄρασθαι· σώφρονι γὰρ λογισμῷ καὶ ἀνδρείῳ ἀναλαβὼν ἑαυτόν, ἀναβλέψας ὁρᾷ σύνεγγυς πλῆθος πολὺ κνιδῶν τε καὶ ἀκανθῶν. Καὶ ἀποδυσάμενος τὸ ἱμάτιον, γυμνὸν ἑαυτὸν ἔρριψεν εἰς αὐτάς, καὶ ἐπὶ πολλαῖς ταῖς ὥραις ἦν ἐν αὐταῖς κυλιόμενος, ὥς τε ἅπαν τὸ σῶμα τοῖς κέντροις τῶν ἀκανθῶν καὶ κνιδῶν κατακοπέν, αἵμασι περιρρέεσθαι. Τὰς οὖν τοιαύτας ἀλγηδόνας γενναίως ὑπενεγκών, τοῦ τῆς σαρκὸς πολέμου περιεγένετο· καὶ ἔκτοτε, Θεοῦ χάριτι, ἐν παντὶ τῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ οὐκέτι ὁ τῆς πορνείας δαίμων ἐκεῖνος παρενοχλῆσαι αὐτῷ ἐτόλμησεν, καθὼς ἐκεῖνος τοῖς ἑαυτοῦ μαθηταῖς ὕστερον διηγήσατο.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ σατανᾶς ἦλθεν εἰς τὸν ἀσκητὴν Ἅγιον Βενέδικτον, μὲ σχῆμα μαύρου πουλιοῦ, τοῦ κοτσυφιοῦ. Καὶ τόσον ἀδιάντροπα ἐπετοῦσε γύρω ἀπὸ τὸ πρόσωπόν του, ὥστε ἂν ἤθελεν ὁ Ἅγιος θὰ ἠμποροῦσε νὰ τὸν συλλάβῃ μὲ τὰ χέρια του. Μόλις ἀντελήφθη ὁ Ἅγιος τὴν παγίδα τοῦ ἐχθροῦ, ὡπλίσθη μὲ τὸ σημεῖον τοῦ Σταυροῦ καὶ τὸν ἔκαμεν ἄφαντον. Μετὰ ὅμως ἀπὸ ὀλίγην ὥραν ἐφούντωσε μέσα του ἕνας τέτοιος σαρκικὸς πόλεμος, τὸν ὁποῖον ποτὲ ἄλλοτε δὲν εἶχε δοκιμάσει. Ὁ διάβολος δηλαδὴ ἐχρησιμοποίησε τὴν μορφὴν μιᾶς γυναικός, τὴν ὁποίαν κάποτε εἶχεν ἴδει ὁ Ἅγιος, ὅταν ἦτο νέος καὶ τὴν παρουσίασεν ἐμπρὸς εἰς τὰ μάτια του· τόσον δὲ πολὺ ἤναψε τὴν σαρκικὴν ἐπιθυμίαν εἰς τὴν ψυχήν του, ὥστε ὀλίγον ἔλειψε νὰ κλονισθῇ καὶ νὰ ἐπιστρέψῃ πάλιν εἰς τὸν κόσμον.

Εἰς τὴν δραματικὴν ὅμως ἐκείνην στιγμὴν τὸν ἐνίσχυσεν ἡ σωτήριος Χάρις τοῦ Θεοῦ, ὥστε νὰ καταπολεμήσῃ τὸν ἐχθρὸν καὶ νὰ κερδήσῃ τὴν νίκην κατὰ τῶν παθῶν. Ἐστήριξε τὸν ἑαυτόν του μὲ λογισμοὺς σωφροσύνης καὶ ψυχικῆς ἀνδρείας· καθὼς λοιπὸν εἶδεν ἐκεῖ κοντά του μίαν ἔκτασιν ἀπὸ τσουκνίδες καὶ ἀγκάθια, ἔβγαλε τὰ ροῦχα του καὶ ἔπεσε γυμνὸς ἐπάνω εἰς αὐτά. Ἐπὶ πολλὰς ὥρας ἐκυλίετο εἰς τὰ ἀγκάθια καὶ τὰς τσουκνίδας, ὥστε νὰ καταπληγωθῇ τὸ σῶμα του καὶ νὰ τρέχῃ αἷμα. Ἔτσι, ἀφοῦ ὑπέμεινε μὲ γενναιότητα τοὺς πόνους αὐτούς, κατώρθωσε νὰ νικήσῃ τὸν σαρκικὸν πόλεμον· ἀπὸ τότε δέ, μὲ τὴν χάριν τοῦ Θεοῦ, ποτὲ πλέον εἰς τὸν ὑπόλοιπον χρόνον, ποὺ ἔζησεν, δὲν ἐτόλμησε νὰ τὸν ἐνοχλήσῃ ὁ δαίμων τῆς πορνείας, ὅπως ὁ ἴδιος διηγήθη εἰς τοὺς μαθητάς του.

Ε΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παύλου τοῦ Θηβαίου

ΕΝ ΤΩι ΚΑΙΡΩι Δεκίου καὶ Βαλλεριανοῦ τῶν δυσσεβῶν βασιλέων, τίς τῶν Ἁγίων κρατηθεὶς ὑπὸ τῶν ἀπίστων καὶ πολλὰς ὑποστὰς τιμωρίας, πρὸς ταῖς ἄλλαις καὶ ταύτην ἔπαθεν· ἰδόντες γὰρ αὐτὸν οἱ ἀσεβεῖς νεότητος εὖ ἔχοντα καὶ ἡλικίας ἄνθει καὶ ὥρᾳ κεκοσμημένον, καὶ τοῦτο ὕλην οἱ πονηροὶ εὑρόντες καὶ βουληθέντες οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ λυμήνασθαι τοῦ γενναίου, τί ποιοῦσι καὶ ποίαν εἰς τοῦτον τὴν μηχανὴν ἐξευρίσκουσιν; Εἰς κῆπον ἀγαγόντες αὐτὸν μαλακόν τινα καὶ καλὸν ἀνθοῦντα, ἔνθα καὶ στωμνὴ ἦν λίαν μαλακὴ καὶ ἁβρῶς τὸ σῶμα διαναπαύουσα, ἐν ταύτῃ τὸν ἀθλητὴν ὕπτιον ἀνακλίνουσι καὶ μηδὲ τὰς χεῖρας τῶν δεσμῶν ἀφέντες, λείπουσι μόνον.

Ἐτελεύτα δὲ αὐτοῖς ἡ ἐπίνοια εἰς πρᾶγμα κομιδῇ βέβηλον καὶ μύσους μεστόν· μετὰ γὰρ τὴν ἐξέλευσιν ἐκείνων εἰσήγετο κόρη τις, τὸ εἶδος μὲν εὐπρεπής, τὴν ψυχὴν δὲ καὶ λίαν δυσειδὴς καὶ ἀκόλαστος, ἥτις τῷ γενναίῳ ἐκείνῳ συνανακλιθεῖσα τὰ πάντα ἔπραττε μυσαρώτερα. Περιεφύετο αὐτῷ, συνεπλέκετο, περιέργως ἠσπάζετο, κατέψα, ὢ μιαρᾶς χειρός, αἰδοῦς ἥπτετο, διὰ πάντων ὅλως ἐκκαλουμένη πρὸς ἡδονήν.

Τί οὖν ἔδει ποιεῖν τὴν σώφρονα ψυχὴν ἐκείνην; τί ἔδει ἀποροῦντα πρὸς τοσούτου κακοῦ λύσιν, καὶ διώσασθαι τὴν μιαρὰν μὴ δυνάμενον; εὗρεν ἐκεῖνος καὶ

οὐκ ἠπόρησε, λίαν μισοπόνηρος ὤν. Ἔρωτι γὰρ ἀντιστήσας ἔρωτα, τῷ ἀκολάστῳ τὸν θεϊκόν, καὶ δεῖξαι θελήσας ὅτι ῥᾷον ἂν ὁ καθαρὸς καὶ φιλόθεος οὐδὲ μέλους οὐδὲ σαρκὸς φείσεται, ἵνα μόνον ἑαυτῷ τὸ σῶφρον σῶον διαφυλάξῃ, δήγματι τὴν ἑαυτοῦ γλῶτταν ἐκκόψας καὶ διαμασησάμενος, ἀντὶ φιλήματος τῇ ὄψει τῆς πόρνης προσπτύει, πάθει πάθος καὶ ἡδονὴν ὀδύνῃ σβέσαι καλῶς διανοησάμενος.

Ἑ ρ μ η ν ε ί α

ΕΙΣ τὰ χρόνια τῶν ἀσεβῶν βασιλέων Δεκίου καὶ Βαλλεριανοῦ συνελήφθη ἀπὸ τοὺς ἀπίστους κάποιος Ἅγιος. Αὐτὸς λοιπὸν μέσα εἰς τὰ πολλὰ βασανιστήρια, που ὑπέστη, ὑπεβλήθη καὶ εἰς τὸ ἑπόμενον: Ὅταν τὸν εἶδαν οἱ ἀσεβεῖς ὅτι ἦτο ἕνας ὡραῖος νέος, εἰς τὸ ἄνθος τῆς ἡλικίας του, εὑρῆκαν τοῦτο οἱ πονηροὶ ὡς ὑλικὸν καὶ ἐσκέφθησαν νὰ μιάνουν ὄχι μονάχα τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχὴν τοῦ γενναίου. Τί κάνουν λοιπὸν καὶ ποίαν μηχανὴν ἀνακαλύπτουν διὰ νὰ τὸ ἐπιτύχουν; Τὸν ὡδήγησαν εἰς ἕνα κῆπον δροσερὸν καὶ ὁλάνθιστον, ὅπου ὑπῆρχε καὶ στρῶμα πολὺ ἁπαλὸν καὶ ἀναπαυτικὸν διὰ τὸ σῶμα· εἰς αὐτὸ λοιπὸν ἐξάπλωσαν ἀνάσκελα τὸν ἀθλητὴν καὶ χωρὶς νὰ τοῦ λύσουν τὰ δεσμὰ ἀπὸ τὰ χέρια, τὸν ἄφησαν μόνον.

Οἱ βασανισταὶ ἐσκέπτοντο πρᾶγμα βέβηλον καὶ ἀηδιαστικόν. Ἀφοῦ ἐξῆλθαν ἐκεῖνοι, ὡδηγήθη μία κόρη, ὡραία κατὰ τὸ πρόσωπον, μὲ ψυχὴν ὅμως πάρα πολὺ ἄσχημον καὶ ἀκόλαστον. Αὐτὴ λοιπὸν ἔπεσε δίπλα εἰς τὸν ἀθλητὴν τοῦ Χριστοῦ καὶ ἔπραττεν ὅλα τὰ ἀηδιαστικά· τὸν ἀγκάλιαζε, τὸν ἐφιλοῦσε μὲ ἀναίδειαν, τὸν ἐψηλάφιζεν, —ὢ ἁμαρτωλὸν χέρι— εἰς τὰ γεννητικά του ὄργανα καὶ μὲ ὅλα αὐτὰ ἐπροσπαθοῦσε νὰ τὸν ἐρεθίσῃ εἰς τὴν ἐπιθυμίαν τῆς σαρκικῆς ἡδονῆς.

Τί ἔπρεπε τότε νὰ κάμῃ ἡ φρόνιμος ἐκείνη ψυχή; Τί ἔπρεπε νὰ κάμῃ, ἀφοῦ δὲν ἠμποροῦσε νὰ ἀπαλλαγῇ ἀπὸ τὸ μεγάλο ἐκεῖνο κακὸν καὶ νὰ ἀποδιώξῃ μακρὰν τὴν διεφθαρμένην ἐκείνην κόρην; Καὶ ὅμως δὲν ἐδυσκολεύθη νὰ εὕρῃ τὴν λύσιν, ἐπειδὴ ἐμισοῦσε πάρα πολὺ τὴν πονηρίαν. Εἰς τὸν ἔρωτα ἀντέταξεν ἔρωτα· εἰς τὸν ἀκόλαστον ἔρωτα τῆς διεφθαρμένης νέας τὸν ἰδικόν του τὸν θεϊκόν. Καὶ θέλων νὰ δείξῃ ὅτι ὁ καθαρὸς καὶ φιλόθεος ἠμπορεῖ εὔκολα οὔτε τὸ σῶμα του, οὔτε τὰ μέλη του νὰ μὴ λογαριάσῃ, ἀρκεῖ νὰ διαφυλάξῃ τὴν σωφροσύνην του, ἀφοῦ ἔκοψε μὲ τὰ δόντια του τὴν γλῶσσαν του καὶ τὴν ἐμάσησεν, ἀντὶ διὰ φίλημα τὴν ἔπτυσεν εἰς τὸ πρόσωπον τῆς πόρνης. Ἐσκέφθη πολὺ καλὰ νὰ σβύσῃ τὸ πάθος μὲ τὸ πάθος καὶ τὴν ἡδονὴν μὲ τὸν πόνον.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ γέρων· πόθεν μοι τὸ εἰς πορνείαν πειράζεσθαι; καὶ ἀπεκρίθη· ἐκ τοῦ πολλὰ ἐσθίειν καὶ κοιμᾶσθαι.

2. Εἶπε πάλιν· ἐὰν ἡ φύσις ἐγείρῃ τὰς ἐπιθυμίας, ἀλλ' ἡ τῆς ἀσκήσεως ἐπίτασις ἀποσβέννυσι ταύτας.

Ἑρμηνεία

— ΑΠΟ ποῦ προέρχεται ὁ πειρασμὸς τῆς πορνείας; Ἠρώτησαν ἕνα Γέροντα· καὶ ἐκεῖνος ἀπήντησε:

—Ἀπὸ τὸ πολὺ φαγητὸν καὶ τὸν πολὺν ὕπνον.

2. Ὁ ἴδιος Γέρων εἶπε πάλιν:

—Ἡ φύσις τοῦ ἀνθρώπου γεννᾷ τὰς ἐπιθυμίας· ἀλλ' ἡ ἔντασις τῆς ἀσκήσεως τὰς ἐξαφανίζει.

Ζ'. Τοῦ Ἀββᾶ Μάρκου

ΔΕΙ ΤΟΝ ΝΕΟΝ οὕτως ὑποτάσσειν τὴν νεότητα αὐτοῦ τῷ λόγῳ τοῦ Θεοῦ, ὡς αὐτὸς ὁ λόγος ἀπαιτεῖ. «Παραστήσατε γάρ φησι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν», πᾶσαν τε νοτίδα ἐπιθυμίας σαρκικῆς δι' ὀλιγοδείας καὶ ὀλιγοποσίας καὶ ὁλονύκτων ἀγρυπνιῶν ψύξαι καὶ ξηράναι, ἵνα καὶ αὐτὸς ἐκ τῆς διαθέσεως εἴπῃ· «Ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην», καὶ ἐπιγνοὺς ὅτι τοῦ Χριστοῦ ἐστι, τὴν ἑαυτοῦ σάρκα σταυρῶσαι σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, οὐ μόνον τὴν πρᾶξιν τῆς πορνείας, ἀλλὰ καὶ τὴν ἐνεργουμένην ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐν σαρκὶ ἀκαθαρσίαν.

Καὶ οὐ μόνον ἕως τούτου ἵστησι τὸν ἀγῶνα ὁ ἀληθινῆς καὶ ἀμολύντου καὶ ὁλοτελοῦς παρθενίας στέφανον ἐκδεχόμενος· ἀλλ' ἐπακολουθῶν τῇ Ἀποστολικῇ διδασκαλίᾳ, καὶ αὐτοῦ τοῦ πάθους τὴν σημασίαν καὶ κίνησιν νεκροῦν ἀγωνίζεται. Καὶ οὐδὲ οὕτως ἔτι πληροφορεῖται ὁ σφοδρῷ ἔρωτι τὴν Ἀγγελικὴν καὶ ἄχραντον παρθενίαν ἐν τῷ ἰδίῳ σώματι κατασκηνῶσαι ἐκδεχόμενος, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν μόνῳ τῷ λογισμῷ ψιλῆς ἐπιθυμίας ἐνθύμησιν, ἄνευ κινήσεως καὶ ἐνεργείας σωματικοῦ πάθους ἐν παραρριπισμῷ νοὸς ἀνερχομένην, ἐξαφανισθῆναι εὔχεται. Τοῦτο δὲ διὰ τῆς ἄνωθεν δυνάμεως καὶ βοηθείας καὶ ἐπιχορηγίας τοῦ πνεύματος μόνης κατορθοῦσθαι δυνατόν, εἰ ἄρα τινές εἰσιν οἱ τῆς χάριτος ταύτης καταξιούμενοι.

Οὕτως ὁ τῆς καθαρᾶς καὶ ἀχράντου παρθενίας τὸν στέφανον ἐκδεχόμενος καὶ δι' αὐτὸν ἔρωτι θείῳ τιτρωσκόμενος, σταυροῖ δι' ἀσκητικῶν πόνων τὴν σάρκα. Νεκροῖ τὰ ἐπὶ τῆς γῆς μέλη τῇ ἐπιτάσει καὶ ἐπιμονῇ τῆς ἐγκρατείας, διαφθείρων τὸν ἔξω ἄνθρωπον, λεπτύνων αὐτὸν καὶ δίκην ρινίου κόπτων, καὶ κατεσκηλιτευμένον αὐτὸν ἀπεργαζόμενος, ἵνα διὰ πίστεως καὶ ἀγώνων καὶ τῇ τῆς χάριτος ἐνεργείᾳ ὁ ἔσω ἀνακαινίζηται ἡμέρᾳ καὶ ἡμέρᾳ ἐπὶ τὸ κρεῖττον προκόπτων. Ἀγάπῃ αὐξανόμενος, ἐλπίδι μεγαλυνόμενος, ἀγαλλιάσει πνεύματος εὐφραινόμενος, εἰρήνῃ Χριστοῦ βραβευόμενος, χρηστότητι ἀγόμενος, συνέσει καὶ γνώσει φωτιζόμενος, σοφίᾳ λαμπρυνόμενος, ταπεινοφροσύνῃ ὁδηγούμενος.

Ταύταις καὶ ταῖς ὁμοίαις ἀρεταῖς ἀνακαινιζόμενος ὁ νοῦς ὑπὸ τοῦ πνεύματος, τῆς θεοειδοῦς εἰκόνος τὸν χαρακτῆρα ἐν ἑαυτῷ γνωρίζει, καὶ τῆς δεσποτικῆς ὁμοιώσεως τὸ νοητὸν καὶ ἄρρητον κάλλος συνίησι καὶ τῆς αὐτοδιδάκτου καὶ αὐτομαθοῦς σοφίας τοῦ ἐνδιαθέτου νόμου τὸν πλοῦτον καταλαμβάνει.

Ἑρμηνεία

Ο ΝΕΟΣ πρέπει νὰ ὑποτάσσῃ τὴν νεότητά του εἰς τὸν λόγον τοῦ Θεοῦ, ὥστε σύμφωνα μὲ τὴν ἀπαίτησιν αὐτοῦ τοῦ λόγου, «παρουσιάσατε» — καθὼς λέγει ἡ Ἁγία Γραφὴ — «τὰ σώματά σας θυσίαν ζωντανήν, ἁγίαν, εὐάρεστον εἰς τὸν Θεόν, ποὺ εἶναι ἡ πραγματικὴ λατρεία» (Ρωμ. ιβ΄, 1), νὰ ἀποξηράνῃ καὶ νὰ παγώσῃ ἀκόμη καὶ κάθε σκέψιν σαρκικῆς ἐπιθυμίας μὲ τὴν ὀλιγοφαγίαν καὶ τὴν ὀλιγοποσίαν καὶ μὲ τὰς ὁλονυκτίους ἀγρυπνίας· διὰ νὰ ἠμπορέσῃ νὰ εἴπῃ καὶ αὐτὸς ἀπὸ τὰ βάθη τῆς καρδίας του· «Ἐκακουχήθην πάρα πολύ· ἔγινα ὡς ἕνας κατάξηρος ἀσκὸς εἰς τὴν πρωϊνὴν παγωνιὰν καὶ ὅμως δὲν ἐλησμόνησα τὰς ἐντολάς Σου» (Ψαλμ. ριη΄, 83). Ἂς κατανοήσῃ καλῶς ὅτι ἀνήκει εἰς τὸν Χριστὸν διὰ νὰ σταυρώσῃ τὴν σάρκα του μαζὶ μὲ τὰ παθήματα καὶ τὰς ἐπιθυμίας (Γαλατ. ε΄, 24) καὶ νὰ νεκρώσῃ τὰ μέλη, ποὺ ἀποτελοῦν τὴν ἕδραν τῶν γηΐνων σαρκικῶν ἀπολαύσεων (Κολασ. γ΄, 5). Ἔτσι ὄχι μονάχα τὴν πορνείαν θὰ νικήσῃ, ἀλλὰ θὰ ἀπαλλαγῇ καὶ ἀπὸ κάθε σαρκικὴν ἀκαθαρσίαν, ποὺ ἐνεργεῖται ἀπὸ τὰ πονηρὰ πνεύματα.

Ἐκεῖνος ὁ ὁποῖος ἐπιδιώκει τὸν στέφανον τῆς πραγματικῆς, τῆς ἀμολύντου καὶ ὁλοκληρωτικῆς παρθενίας, δὲν σταματᾷ ἕως ἐδῶ τὸν ἀγῶνα· ἀλλὰ ἀγωνίζεται, σύμφωνα μὲ τὴν Ἀποστολικὴν διδασκαλίαν, νὰ νεκρώσῃ καὶ αὐτὴν ἀκόμη τὴν σκέψιν τοῦ πάθους καὶ τὴν κίνησίν του εἰς τὴν ψυχήν. Ἀλλ' οὔτε καὶ μὲ αὐτὸ ἀκόμη δὲν ἔχει τὴν πληροφορίαν ὅτι ἀγωνίζεται σωστὰ ἐκεῖνος ποὺ μὲ σφοδρὰν ἀγάπην περιμένει νὰ κατασκηνώσῃ εἰς τὸ σῶμα του ἡ Ἀγγελικὴ καὶ ἄχραντος παρθενία. Δι' αὐτὸ καὶ προσεύχεται νὰ ἐξαφανισθῇ ἀπὸ τὸν λογισμὸν καὶ αὐτὴ ἀκόμη ἡ ἐνθύμησις τῆς ἁπλῆς ἐπιθυμίας, ποὺ ἀνεβαίνει εἰς τὸν νοῦν ἀπὸ παραπλάνησίν του, χωρὶς καμμίαν κίνησιν καὶ ἐνέργειαν σωματικοῦ πάθους. Αὐτὸ βέβαια εἶναι δυνατὸν νὰ κατορθωθῇ μόνον μὲ τὴν δύναμιν καὶ βοήθειαν τοῦ Θεοῦ καὶ μὲ τὴν ἐνίσχυσιν τοῦ Ἁγίου Πνεύματος, ἂν βέβαια ὑπάρχουν μερικοί, οἱ ὁποῖοι εἶναι ἄξιοι αὐτῆς τῆς Χάριτος.

Ἔτσι ἐκεῖνος ποὺ ἐπιδιώκει νὰ πάρῃ τὸν στέφανον τῆς καθαρᾶς καὶ ἀχράντου παρθενίας καὶ κατακυριεύεται δι' αὐτὸν ἀπὸ θεϊκὸν ἔρωτα, σταυρώνει τὴν σάρκα του μὲ ἀσκητικοὺς κόπους, νεκρώνει τὰ ἐπὶ τῆς γῆς μέλη (αὐτόθι) μὲ τὴν ἔντασιν καὶ ἐπιμονὴν τῆς ἐγκρατείας. Ἀφοῦ δὲ ἐξασθενίσῃ τὸν ἐξωτερικὸν ἄνθρωπον καὶ τὸν ἀδυνατίσῃ, ὡσὰν νὰ τὸν ἐλέπτυνε μὲ λίμαν, τότε καταντᾷ σωστὸς σκελετός, ὁπόταν ὁ ἐσωτερικὸς ἄνθρωπος ἀνανεώνεται, μὲ τὴν πίστιν καὶ τοὺς ἀγῶνας καὶ τὴν ἐνέργειαν τῆς χάριτος καὶ προκόπτει καθημερινῶς πρὸς τὸ καλύτερον. Αὐξάνεται κατὰ τὴν ἀγάπην, μεγαλύνεται κατὰ τὴν ἐλπίδα, εὐφραίνεται ἀπὸ τὴν πνευματικὴν χαράν, βραβεύεται μὲ τὴν εἰρήνην τοῦ Χριστοῦ, ὁδηγεῖται ἀπὸ τὴν καλωσύνην, φωτίζεται ἀπὸ τὴν σύνεσιν καὶ τὴν γνῶσιν, λαμπρύνεται ἀπὸ τὴν σοφίαν καὶ κατευθύνεται ἀπὸ τὴν ταπεινοφροσύνην.

Ἀνανεούμενος ὁ νοῦς ἀπὸ τὸ πνεῦμα μὲ αὐτὰς καὶ τὰς παρομοίας

ἀρετὰς ἀνακαλύπτει μέσα του τὸ ἐκτύπωμα τῆς θεϊκῆς εἰκόνος, ἐννοεῖ τὸ νοητὸν καὶ ἀπερίγραπτον κάλλος ἀντιλαμβάνεται τελείως τὴν αὐτοδίδακτον σοφίαν ποὺ μανθάνει μόνος του ἀπὸ τὸν πλοῦτον τοῦ ἐμφύτου εἰς ἡμᾶς ἠθικοῦ νόμου.

Η΄. Τοῦ Ἁγίου Μαξίμου

ΒΑΡΥΣ ὁ τῆς πορνείας δαίμων καὶ σφόδρα ἐπιτίθεται τοῖς κατὰ τοῦ πάθους ἀγωνιζομένοις, καὶ μάλιστα ἐν τῇ ἀμελείᾳ τῆς διαίτης καὶ ἐν ταῖς συντυχίαις τῶν γυναικῶν. Λεληθότως γὰρ τῇ λειότητι τῆς ἡδονῆς ὑποκλέπτων τὸν νοῦν, μετέπειτα ἐπεμβαίνει διὰ τῆς μνήμης ἡσυχάζοντι, τό τε σῶμα ἐμπυρίζων καὶ ποικίλας μορφὰς τῷ νῷ παριστῶν, πρὸς τὴν συγκατάθεσιν τῆς ἁμαρτίας αὐτὸν ἐκκαλεῖται, ἃς ἐὰν θέλῃς μὴ ἐγχρονίζειν ἐν σοὶ νηστείαν ἀναλαβοῦ καὶ κόπον, καὶ ἀγρυπνίαν, καὶ τὴν καλὴν ἡσυχίαν μετ' ἐκτενοῦς προσευχῆς. Ὅταν τὸν νοῦν σου οἱ δαίμονες τῆς σωφροσύνης ἐκβαλόντες τοῖς τῆς πορνείας λογισμοῖς περικυκλῶσι, τότε μετὰ δακρύων λέγε πρὸς τὸν Δεσπότην· «ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με».

Ἑρμηνεία

† ΕΙΝΑΙ πολὺ δυνατὸς ὁ δαίμων τῆς πορνείας καὶ μετὰ σφοδρότητος ἐπιτίθεται ἐναντίον ὅσων ἀγωνίζονται κατὰ τοῦ πάθους αὐτοῦ· πρὸ παντὸς δὲ ἐναντίον ἐκείνων, ποὺ παραμελοῦν τὴν νηστείαν καὶ δὲν προσέχουν τὰς συναναστροφάς των μὲ γυναῖκας. Ξεγελᾷ σιγὰ - σιγά, μὲ τὴν ἁπαλότητα τῆς ἡδονῆς, τὸν νοῦν καὶ μετά, ὅταν ἡσυχάζῃ, εἰσορμᾷ, μὲ τὴν ἀνάμνησιν, μέσα εἰς αὐτόν, ὁπόταν φλογίζει τὸ σῶμα καὶ παρουσιάζει εἰς τὸν νοῦν διαφόρους μορφάς, διὰ νὰ τὸν παρακινήσῃ νὰ συγκατατεθῇ εἰς τὴν ἁμαρτίαν. Ἂν λοιπὸν θέλῃς νὰ μὴ παραμείνουν πολὺ εἰς τὸν νοῦν σου αἱ παραστάσεις αὐταί, νήστευε, κοπίαζε καὶ ἀγρύπνει, καὶ χρησιμοποίησε τὴν καλὴν ἡσυχίαν μαζὶ μὲ τὴν διαρκῆ προσευχήν. Ὅταν οἱ δαίμονες ἀπομακρύνουν ἀπὸ τὴν σωφροσύνην τὸν νοῦν σου καὶ τὸν περικυκλώσουν μὲ τοὺς λογισμοὺς τῆς πορνείας, τότε νὰ λέγῃς, μὲ δάκρυα, πρὸς τὸν Δεσπότην· «ἀφοῦ μὲ ἔβγαλαν ἔξω τώρα μὲ περιεκύκλωσαν» (Ψαλμ. ιστ΄, 11)· «Σὺ ὁ Ὁποῖος εἶσαι ἡ ἀγαλλίασίς μου, σῶσον με ἀπὸ αὐτούς, ποὺ μὲ πολιορκοῦν» (Ψαλμ. λα΄, 7).

Θ΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν Παλλάδιον λέγων· Πάτερ, εἰπέ μοι, τί ποιήσω; ὅτι τρία ἔτη ἔχω ἤδη νηστεύων ζευγάρια ζευγάρια, ἤγουν ἀνὰ δύο ἡμέρας, τῇ δὲ τρίτῃ καταλύω, καὶ οὐ δύναμαι ἀπαλλαγῆναι ἐκ τοῦ δαίμονος τῆς πορνείας. Ἀπεκρίθη ὁ γέρων· τέκνον, ὅτε ὁ Θεὸς τὸν Προφήτην Ἠσαΐαν πρὸς τοὺς Ἰσραηλίτας ἀπέστειλεν, οὗτος εἶπεν αὐτῷ· «ἀναβόησον ἐν ἰσχύϊ καὶ μὴ φείσῃ· καὶ ἀνάγγειλον τῷ λαῷ τὰς ἁμαρτίας αὐτῶν· ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι καὶ ἐγγίζειν μοι ἐπιθυμοῦσι λέγοντες· τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ ἔγνως; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ οὐκ οἶδες;» Ἀπεκρίθη δὲ αὐτοῖς ταῦτα· «ὅτι ἐν ταῖς ἡμέραις

τῶν νηστειῶν ὑμῶν εὑρίσκεσθε ποιοῦντες τὰ θελήματα ὑμῶν, καὶ τοὺς ὑποχειρίους ὑμῶν κακοποιεῖτε καὶ πάντας τοὺς ὑπεναντίους ὑμῶν κατανύσσετε, καὶ νηστεύετε εἰς κρίσεις καὶ μάχας ὥς τε ἀκουστὴν γενέσθαι ἐνώπιον Κυρίου τὴν κραυγὴν ὑμῶν. Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος, οὐδ᾽ ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς, οὐδ᾽ οὕτως κληθήσεται νηστεία δεκτή».

Καὶ σὺ οὖν, τέκνον, ἐὰν νηστεύσῃς ἀπὸ βρωμάτων, κακολογῇς δέ τινα, ἢ κατακρίνῃς, ἢ μνησικακῇς, ἢ λογισμοὺς πονηροὺς παραδέχῃ, ἢ ἐπιθυμῶν τινος τῶν ἡδέων ἢ τῶν ἀπηγορευμένων κατ᾽ ἔννοιαν συγκατατίθῃ τῇ ἐπιθυμίᾳ, πῶς τοῦ τῆς πορνείας ἀπαλλαγήσῃ πολέμου; ἢ ἀγνοεῖς ὅτι πᾶς ὁ πληρῶν τὴν ἐπιθυμίαν αὐτοῦ κατ᾽ ἔννοιαν καὶ χωρὶς τῶν ἔξωθεν βρωμάτων κεκόρεσται καὶ μεθύει; Εἰ οὖν θέλεις τὴν νηστείαν σου δεκτὴν εἶναι τῷ Θεῷ, πρὸ πάντων φύλαξαι ἀπὸ παντὸς ῥήματος πονηροῦ, ἀπὸ πάσης καταλαλιᾶς καὶ κατακρίσεως καὶ ἀκοὴν ματαίαν μὴ παραδέξῃ κατὰ τὸ γεγραμμένον. Καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ πάσης μνησικακίας καὶ αἰσχροκερδείας, καὶ δάμασόν σου τὸ σῶμα ἐν πλήθει μετανοιῶν καὶ ἀγρυπνιῶν καὶ λοιπῶν κόπων ἐν κρυπτῇ μελέτῃ, καὶ ἐν τῷ μέλλειν κοιμηθῆναι, μὴ ἀναπέσῃς, ἀλλὰ καθήμενος ὕπνωσον. Ἐν τούτοις γὰρ καὶ τοῖς τοιούτοις ἡ νεότης παιδαγωγουμένη δύναται, χάριτι Θεοῦ, τοῦ τῆς πορνείας περιγενέσθαι πολέμου.

Διὰ τοῦτο καὶ οἱ Πατέρες ἐθέσπισαν μὴ ἐν κελλίῳ ἢ ἡσυχαστηρίῳ καθέζεσθαι, ἀλλ᾽ ἐν Κοινοβίῳ διάγειν, καὶ κόποις δαμάζεσθαι πλείοσι. Πρὸς τούτοις, καὶ τραχέα καὶ ῥακώδη μὴ μαλακὰ ἀμφιέννυσθαι, καὶ ἐν πάσῃ ἀσφαλείᾳ ὑπὸ τῶν προεστώτων κρατεῖσθαί τε καὶ φυλάττεσθαι. Ἡ γὰρ ἀργία καὶ ἡ ἄνεσις καὶ τὸ δὶς τῆς ἡμέρας ἐσθίειν, καὶ ὁ πολὺς ὕπνος οὐ μόνον τὸν τῆς πορνείας δαίμονα, ἀλλὰ καὶ τὸν τῆς ἀκηδίας καὶ τὸν τῆς κενοδοξίας καὶ τὸν τῆς ὑπερηφανείας ἡμῖν ἐπεγείρειν εἰώθασιν.

2. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος· λογίζομαι ὅτι ἔχει τὸ σῶμα κίνησιν φυσικὴν συναναφυρεῖσαν αὐτῷ, ἀλλ᾽ οὐκ ἐνεργεῖ μὴ θελούσης τῆς ψυχῆς· μόνον δὲ σημαίνει ἐν τῷ σώματι ἀπαθῆ κίνησιν. Ἔστι δὲ καὶ ἄλλη κίνησις, ἐκ τοῦ τρέφειν καὶ θάλπειν τὸ σῶμα βρώμασι καὶ πόμασιν, ἐξ ὧν ἡ θέρμη τοῦ σώματος διεγείρει τὸ σῶμα πρὸς ἐνέργειαν· διὸ καὶ παραγγέλλων φησὶν ὁ Ἀπόστολος· «Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία». Καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ· «Βλέπετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ». Ἔστι δὲ καὶ ἑτέρα τις κίνησις τοῖς ἀγωνιζομένοις, ἐξ ἐπιβουλῆς καὶ φθόνου δαιμόνων ἐπιγινομένη. Ὥς τε εἰδέναι δεῖ ὅτι τρεῖς εἰσιν αἱ τῆς σωματικῆς ἐπιθυμίας κινήσεις· μία μὲν φυσική· ἑτέρα δὲ ἐξ ἀδιαφορίας βρωμάτων· ἡ δὲ τρίτη ἀπὸ δαιμόνων. Χρὴ οὖν τὸν ἀγωνιζόμενον, τὴν τούτων διαφορὰν ἐπιστάμενον καὶ μὴ ἀγνοοῦντα τὰ αἴτια, καταλλήλως πρὸς ἑκάστην καὶ προσφυῶς ἀγωνίζεσθαι.

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· τί ποιήσω, ὅτι πολεμοῦμαι εἰς τὴν πορνείαν καὶ εἰς τὸν θυμόν; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἔλεγεν ὁ Δαβίδ, ὅτι «τὸν μὲν λέοντα ἐπάτασσον, τὴν δὲ ἄρκτον ἀπέπνιγον»· δηλοῦντος τοῦ λόγου, ὅτι δεῖ τὸν μὲν θυμὸν ἀποκόπτειν τῇ μακροθυμίᾳ, τὴν δὲ πορνείαν θλίβειν ἐν κόποις καὶ νηστείᾳ.

4. Διηγήσατό ὁ Ἀββᾶς Φωκᾶς, ὅτι μετελθὼν εἰς σκῆτιν ὁ Ἀββᾶς Ἰάκωβος ἐπολεμήθη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, καὶ ἐγγὺς τοῦ κινδυνεῦσαι γενόμενος, ἦλθε πρός με καὶ ἀνέθετο τὰ καθ' ἑαυτόν. Εἶτα λέγει μοι· εἰς τό δε τὸ σπήλαιον ἀπέρχομαι ἀπὸ τῆς αὔριον· παρακαλῶ δέ σε, διὰ τὸν Κύριον, μηδενὶ εἰπεῖν τὰ περὶ ἐμοῦ, ἀλλὰ μέτρησον τεσσαράκοντα ἡμέρας, καὶ ὅταν πληρωθῶσιν, ποίησον ἀγάπην καὶ δεῦρο πρός με βαστάζων Ἁγίαν Κοινωνίαν· καὶ εἰ μὲν εὕρῃς με θανόντα, θάψον με, εἰ δὲ ἔτι ζῶ, ἵνα μεταλάβω τῆς Ἁγίας Κοινωνίας· καὶ ταῦτα εἰπὼν ἀπῆλθε.

Πληρωθείσης οὖν τῆς τεσσαρακοστῆς λαβὼν τὴν Ἁγίαν Κοινωνίαν καὶ ἄρτον κοινὸν καθαρὸν μετὰ ὀλίγου οἴνου, ἀπῆλθον πρὸς αὐτόν. Καὶ ὡς μόνον ἐπλησίασα τῷ σπηλαίῳ ὠσφράνθην πολλῆς δυσωδίας, ἥτις ἐκ τοῦ σώματος αὐτοῦ γέγονε· καὶ εἶπον ἐν ἑαυτῷ· ἀνεπαύθη ὁ μακάριος. Εἰσελθὼν δὲ εἰς τὸ σπήλαιον εὗρον αὐτὸν ἡμιθανῆ κείμενον, καὶ ὡς εἶδέ με, κινήσας τὴν δεξιὰν χεῖρα αὐτοῦ ὀλίγον, ὅσον ἠδύνατο, ἐσήμανε διὰ τοῦ σχήματος τῆς χειρὸς περὶ τῆς Ἁγίας Κοινωνίας. Ἐγὼ δὲ εἶπον, ἔχω.

Ἀνοίξας οὖν μετὰ βίας τὸ στόμα αὐτοῦ μικρόν, καὶ καταλεπτύνας μέρος τι τοῦ τιμίου σώματος ἐν τῷ ζωοποιῷ αἵματι, ἐνέχεα εἰς τὸ στόμα αὐτοῦ· ὁ δὲ μεταλαβὼν ἐνίσχυσεν. Εἶτα βρέξας ἐγὼ ἐκ τοῦ κοινοῦ ἄρτου ψιχία προσήνεγκα αὐτῷ καὶ προσελάβετο, καὶ μετὰ μικρὸν πάλιν ἕτερα, καθὼς ἠδύνατο λαβεῖν. Καὶ οὕτω διὰ τῆς χάριτος τοῦ Χριστοῦ ἐνδυναμωθείς, μετὰ μίαν ἡμέραν ἐξῆλθε σὺν ἐμοὶ ὁδεύων, καὶ ἦλθεν ἐπὶ τὸ ἴδιον κελλίον, ἀπαλλαγεὶς χάριτι Θεοῦ τοῦ ὀλεθρίου πολέμου τῆς πορνείας.

5. Ἀδελφός τις ἐπολεμεῖτο εἰς πορνείαν· καὶ ἦν ὁ πόλεμος ὡς πῦρ καιόμενον ἐν τῇ καρδίᾳ αὐτοῦ νυκτὸς καὶ ἡμέρας· ὁ δὲ ἠγωνίζετο μηδὲ συγκαταβῆναι ὅλως τῷ λογισμῷ. Καὶ μετὰ πολὺν χρόνον ἔφυγεν ὁ πόλεμος μηδὲν ἰσχύσας κατὰ τοῦ ἀδελφοῦ διὰ τὴν ὑπομονὴν αὐτοῦ, καὶ εὐθέως φῶς ἦλθεν ἐν τῇ καρδίᾳ αὐτοῦ.

6. Ἕτερος μαθητὴς μεγάλου γέροντος ἐπολεμήθη ὁμοίως εἰς πορνείαν, καὶ ἠγωνίζετο γενναίως· ὁ δὲ γέρων, βλέπων αὐτὸν κοπιῶντα, λέγει αὐτῷ· θέλεις παρακαλέσω τὸν Θεὸν καὶ κουφίζει τὸν πόλεμον ἀπὸ σοῦ; Ὁ δὲ εἶπεν· εἰ καὶ κοπιῶ, Ἀββᾶ, ἀλλὰ βλέπω ἐκ τοῦ κόπου καρπὸν εἰς ἐμέ· τοῦτο δὲ παρακάλεσον τὸν Θεόν, ἵνα μοι δῷ ὑπομονὴν τοῦ ὑπενεγκεῖν· ἔφη αὐτῷ ὁ γέρων, ὅτι ἐν προκοπῇ εἶ καὶ ὑπερέβης με.

7. Εἶπε γέρων πρός τινα ἀδελφὸν ὑπὸ πορνείας ὀχλούμενον· ἀδελφέ, κοιμώμενος θέλεις σωθῆναι; ὕπαγε, κάμε, πόνεσον, ζήτησον, καὶ εὑρίσκεις· γρηγόρησον καὶ κροῦσον, καὶ ἀνοίγεταί σοι. Εἰσὶν ἐν τῷ κόσμῳ παμμακάριοι, καὶ ἀπὸ τοῦ πολλὰ τύπτεσθαι καὶ ἑστάναι καὶ εὐτονεῖν στεφανοῦνται. Πολλάκις δὲ καὶ εἷς ὑπὸ δύο τυπτόμενος, εὐτονήσας ταῖς πληγαῖς, τοὺς τύπτοντας ἐνίκησεν. Εἰ οὖν ἐκεῖνοι διὰ τὸν τῆς σαρκὸς πορισμὸν τοσαύτην ὑπομονὴν ἐπιδείκνυνται, οὐ πολλῷ μᾶλλον σὺ εὐτονώτερον σταθήσῃ καὶ ἀγωνίσῃ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν; καὶ ταῦτα ἔχων καὶ σύμμαχον τὸν Θεόν.

8. Ἀδελφός τις ἦν ἀγωνιστὴς ἐν σκήτει· καὶ ὑπέβαλεν αὐτῷ ὁ ἐχθρὸς μνήμην γυναικός τινος εὐειδοῦς, ἣν ἑώρακέ ποτε ἐν Αἰγύπτῳ, καὶ ἔθλιβεν αὐτὸν σφόδρα. Κατ' οἰκονομίαν οὖν ἕτερος ἀδελφὸς ἐλθὼν ἀπὸ Αἰγύπτου εἰς σκῆτιν, παρέ-

6αλεν αὐτῷ, καὶ συλλαλῶν αὐτῷ εἶπεν ὅτι ἡ γυνὴ τοῦ δεῖνος ἀπέθανεν· ἦν δὲ αὕτη εἰς ἣν ἐπολεμεῖτο ὁ ἀδελφός. Καὶ ὡς ἤκουσε, λαβὼν τὸν λεβήτωνα αὐτοῦ, ἀπῆλθεν ἐκεῖ καὶ ἐρωτᾷ τὰ περὶ τῆς γυναικός· καὶ μαθών, ἤνοιξε νυκτὸς τὸν τάφον αὐτῆς καὶ ἐξέμαξε τοὺς ἰχῶρας αὐτῆς τῷ ἑαυτοῦ λεβήτωνι καὶ ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ, ἐπιφερόμενος τὸν λεβήτωνα μεστὸν ὄντα τῶν ἰχώρων τοῦ νεκροῦ σώματος καὶ δυσωδίαν ἀφόρητον ἀποπνέοντα. Καὶ ὅτε ἠνώχλει αὐτῷ ὁ τῆς πορνείας λογισμὸς ἐτίθει τὸν λεβήτωνα ἔμπροσθεν αὐτοῦ καὶ ἔλεγε τῷ λογισμῷ· ἰδοὺ ἡ ἐπιθυμία, ἣν ζητεῖς· ἔχεις αὐτήν, χόρτασον σεαυτόν. Καὶ οὕτως ἐβασάνιζεν ἑαυτὸν ἐν τῇ ἀφορήτῳ ἐκείνῃ δυσωδίᾳ, ἕως τελείως ἐξ αὐτοῦ κατηργήθη ὁ πόλεμος.

9. Ἦλθέ ποτέ τις ἐν σκήτει θέλων γενέσθαι Μοναχός, ἔχων καὶ τὸν υἱὸν αὐτοῦ μετ' αὐτοῦ ἤδη ἀπογαλακτισθέντα· καὶ ἔμειναν ὁμοῦ ἐν κελλίῳ χρόνον ἱκανόν. Ὁ δὲ παῖς, αὐξήσας καὶ γεγονὼς νεώτερος, ἤρξατο ὑπὸ τοῦ πολέμου τῆς σαρκὸς ἐνοχλεῖσθαι δεινῶς· καὶ μὴ δυνάμενος ἀντισχεῖν, εἶπε τῷ πατρὶ αὐτοῦ. Ὑπάγω εἰς τὸν κόσμον· οὐ γὰρ ἰσχύω τὸν πόλεμον ὑπενεγκεῖν. Ὁ δὲ πατὴρ αὐτοῦ ἐπέμενε παρακαλῶν αὐτὸν μὴ τοῦτο ποιῆσαι. Ἔφη δὲ ὁ νεώτερος· Ἀββᾶ, οὐ δύναμαι, ἔασόν με ἀπελθεῖν· λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· ἄκουσόν μου, τέκνον, ἅπαξ τοῦτο, καὶ λάβε σεαυτῷ τεσσαράκοντα ζεύγη ἄρτων, ὁμοίως καὶ θαλλία ἡμερῶν τεσσαράκοντα, καὶ πορεύθητι εἰς τὴν ἐνδοτέραν ἔρημον, καὶ μεῖνον ἐκεῖ τεσσαράκοντα ἡμέρας, καὶ τοῦ Κυρίου τὸ θέλημα γενέσθω. Ὁ δὲ ὑπήκουσε τῷ πατρὶ αὐτοῦ· καὶ ἀναστὰς εἰσῆλθεν εἰς τὴν ἔρημον καὶ ἔμεινε κοπιῶν ἐκεῖ, καὶ πλέκων τὰ θαλλία ξηρά, καὶ τὸν ἄρτον ἐσθίων ξηρόν.

Οὕτως οὖν ποιῶν καὶ ἡσυχάσας νυχθήμερα εἴκοσιν, εἶδε τὴν ἐνέργειαν ὡς αἰθιόπισσαν παραστᾶσαν αὐτῷ· τοιαύτην δὲ δυσωδίαν ἀπέπνει, ὡς μηδὲ δύνασθαι τὸν νέον ὅλως καρτερῆσαι αὐτήν· διὸ καὶ σπουδαίως ἐδίωκεν αὐτήν· ἡ δὲ οὕτω διωκομένη ἔφη πρὸς αὐτόν. Ἐγὼ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων γλυκεῖα φαίνομαι καὶ σὺ νῦν ἐκδιώκεις με; ἀλλὰ γίνωσκε, ὅτι διὰ τὴν ὑπακοήν σου καὶ τὸν κόπον σου οὐκ ἀφῆκέ με ὁ Θεὸς ἀπατῆσαί σε, καὶ ἐνεφάνισέ σοι τὴν δυσωδίαν μου. Ὁ δὲ ἀναστὰς καὶ εὐχαριστήσας τῷ Θεῷ, ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ καὶ λέγει αὐτῷ. Οὐκέτι θέλω ἀπελθεῖν εἰς τὸν κόσμον, Ἀββᾶ· ἑώρακα γὰρ τὴν ἐνέργειαν καὶ τὴν δυσωδίαν αὐτῆς. Ἦν δὲ καὶ ὁ πατὴρ αὐτοῦ πληροφορηθεὶς περὶ αὐτοῦ, καὶ εἶπε τῷ νέῳ· εἰ ἔμεινας τεσσαράκοντα ἡμέρας καὶ ἐφύλαξας τὴν ἐντολήν, εἶχες ἰδεῖν μείζονα θεωρίαν.

10. Ἕτερος γέρων ἦλθεν ὁμοίως εἰς σκῆτιν, ἐπαγόμενος καὶ τὸν ἴδιον υἱὸν ἔτι θηλάζοντα, καὶ μὴ εἰδότα τί ἐστι γυνή. Ὡς οὖν αὐξήσας γέγονεν ἀνήρ, ἐδείκνυον αὐτῷ κατὰ τοὺς ὕπνους οἱ δαίμονες τὰ σχήματα τῶν γυναικῶν· ὁ δὲ ἀνήγγειλε τῷ πατρὶ αὐτοῦ ἃ ἐθεώρει· καὶ ἀκούσας ὁ γέρων ἐθαύμασε τὴν τῶν ἐχθρῶν δολιότητα. Ποτὲ οὖν ἀναβάντος αὐτοῦ εἰς Αἴγυπτον καὶ τοῦ νεωτέρου συνόντος αὐτῷ, ὡς ὑπήντησαν γυναιξί, λέγει ὁ νέος τῷ πατρὶ αὐτοῦ. Ἀββᾶ, οὗτοί εἰσιν οἱ ἐρχόμενοι νυκτὸς πρός με εἰς σκῆτιν. Ἀπεκρίθη ὁ γέρων αὐτῷ· τέκνον, οὗτοί εἰσιν οἱ Μοναχοὶ τῶν κωμῶν· ἄλλο δὲ σχῆμα ἔχουσιν οὗτοι καὶ ἄλλο οἱ ἐρημῖται· καὶ εὐθέως ὑπέστρεψαν εἰς τὴν κέλλαν αὐτῶν.

11. Ἀδελφὸς εἶπε γέροντι· τί ποιήσω ὅτι ἀποκτείνει με ὁ ρυπαρὸς λογισμός; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἡ μήτηρ, ὅτε θέλει ἀπογαλακτῆσαι τὸ παιδίον αὐτῆς,

σκίλλαν βάλλει εἰς τὸν μαστὸν αὐτῆς· καὶ ἔρχεται τὸ παιδίον κατὰ τὸ ἔθος θηλάσαι καὶ γευσάμενον τῆς σκίλλας, φεύγει διὰ τὴν πικρίαν. Καὶ σὺ οὖν βάλλε σκίλλαν. Ἠρώτησεν ὁ ἀδελφός· τίς ἐστιν ὁ λόγος, πάτερ; καὶ ἀπεκρίθη ὁ γέρων· ἀντὶ τῆς σκίλλας, βάλλε ἐν σεαυτῷ τὴν μνήμην τοῦ θανάτου καὶ τῶν κολαστηρίων τοῦ μέλλοντος αἰῶνος.

Ἑρμηνεία

† ΕΝΑΣ ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Παλλάδιον:

— Πάτερ, τί νὰ κάμω; Ἐπὶ τρία χρόνια νηστεύω δύο - δύο ἡμέρας συνεχῶς καὶ τρώγω τὴν τρίτην. Καὶ ὅμως δὲν ἠμπορῶ νὰ ἀπαλλαγῶ ἀπὸ τὸν δαίμονα τῆς πορνείας.

Ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὅταν ὁ Θεὸς ἔστειλε τὸν Προφήτην Ἡσαΐαν πρὸς τοὺς Ἰσραηλίτας, τοῦ εἶπε· «Φώναξε δυνατὰ καὶ μὴ διστάσῃς· καὶ φανέρωσε εἰς τὸν λαὸν τὰς ἁμαρτίας αὐτῶν· καθημερινὰ μὲ ἀναζητοῦν καὶ ἐπιθυμοῦν νὰ μὲ πλησιάσουν· ἡμεῖς ἐνηστεύσαμεν —λέγουν— καὶ δὲν τὸ ἔμαθες; ἐταπεινώσαμεν τὰς ψυχάς μας καὶ δὲν τὸ γνωρίζεις;» Ἀπεκρίθη δὲ εἰς αὐτοὺς τὰ ἑξῆς· «κατὰ τὰς ἡμέρας τῶν νηστειῶν σας, ἐκτελεῖτε τὰ θελήματά σας καὶ κακομεταχειρίζεσθε αὐτοὺς ποὺ ἐξουσιάζετε καὶ καταπληγώνετε τοὺς ἀντιθέτους σας· καὶ νηστεύετε διὰ νὰ κρίνετε καὶ νὰ φιλονικῆτε, ὥστε νὰ ἀκούσῃ ὁ Θεὸς τὴν κραυγήν σας. Δὲν ἐζήτησα αὐτὴν τὴν νηστείαν, λέγει ὁ Κύριος· οὔτε, ἀκόμη, καὶ ἂν λυγίσῃς τὸν τράχηλόν σου, ὅπως τὸν κρίκον καὶ στρώσῃς διὰ στρῶμα ἕνα σακκὶ μὲ στάκτην, οὔτε τότε θὰ εἶναι δεκτὴ ἡ νηστεία σου» (Ἡσ. νη΄, 1—5).

Καὶ σὺ λοιπόν, τέκνον μου, ἂν νηστεύῃς ἀπὸ φαγητὰ καὶ κακολογῇς κάποιον, ἢ κατακρίνῃς, ἢ μνησικακῇς, ἢ δέχεσαι πονηροὺς λογισμούς, ἢ κάμνῃς μὲ τὸν νοῦν σου συγκατάθεσιν διὰ κάποιο εὐχάριστον, ποὺ ἐπιθυμεῖς ἢ ἀπηγορευμένον, πῶς θὰ ἀπαλλαγῇς ἀπὸ τὸν πόλεμον τῆς πορνείας; Ἢ δὲν γνωρίζεις ὅτι καθένας, ποὺ ἱκανοποιεῖ νοερὰ τὴν ἐπιθυμίαν του, χορταίνει καὶ μεθᾷ, ἔστω καὶ χωρὶς τὰ ὑλικὰ φαγητά; Ἂν λοιπὸν θέλῃς νὰ γίνῃ δεκτὴ ἡ νηστεία σου ἀπὸ τὸν Θεόν, φυλάξου, πρὸ παντός, ἀπὸ κάθε πονηρὸν λόγον, ἀπὸ καταλαλιὰν καὶ κατάκρισιν καὶ μὴ παραδεχθῇς ὅσα μάταια θὰ ἀκούσῃς (Ἡσαΐας νη΄, 5), ὅπως λέγει ἡ Ἁγία Γραφή. Καθάρισε τὴν καρδίαν σου ἀπὸ κάθε μολυσμὸν σαρκὸς καὶ πνεύματος, ἀπὸ κάθε μνησικακίαν καὶ αἰσχροκέρδειαν· δάμασε τὴν σάρκα σου μὲ πολλὰς μετανοίας καὶ ἀγρυπνίας, καὶ λοιποὺς κόπους, μὲ νοερὰν μελέτην τῶν λόγων τοῦ Θεοῦ καὶ ὅταν πρόκειται νὰ κοιμηθῇς, νὰ μὴ ξαπλώσῃς ἀναπαυστικὰ εἰς τὸ κρεββάτι, ἀλλὰ νὰ κοιμηθῇς καθιστός. Μὲ αὐτὰ καὶ τὰ παρόμοια ὅταν διαπαιδαγωγηθῇ ἡ νεότης, θὰ ἠμπορέσῃ, μὲ τὴν χάριν τοῦ Θεοῦ, νὰ νικήσῃ τὸν πόλεμον τῆς πορνείας.

Δι' αὐτὸ καὶ οἱ Πατέρες ἐθέσπισαν νὰ μὴ διαμένωμεν εἰς κελλίον ἢ εἰς Ἡσυχαστήριον, ἀλλὰ νὰ ζῶμεν εἰς τὸ Κοινόβιον καὶ νὰ δαμάζωμεν τὸ σῶμα μας μὲ περισσοτέρους κόπους. Ἀκόμη ὥρισαν νὰ ἐνδυώμεθα μὲ

σκληρὰ καὶ σχισμένα ἐνδύματα καὶ ὄχι μὲ μαλακά· νὰ μᾶς κατευθύνουν δὲ καὶ νὰ μᾶς περιφρουροῦν μὲ προσοχὴν οἱ προεστῶτες. Διότι ἡ ἀργία καὶ ἡ ἄνεσις καὶ τὸ νὰ τρώγωμεν δύο φορὰς τὴν ἡμέραν καὶ ὁ πολὺς ὕπνος ἐξεγείρουν συνήθως ἐναντίον μας ὄχι μόνον τὸν δαίμονα τῆς πορνείας, ἀλλὰ καὶ τοὺς δαίμονας τῆς ἀκηδίας, τῆς κενοδοξίας καὶ τῆς ὑπερηφανείας.

2. Ὁ Ἀββᾶς Ἀντώνιος εἶπεν· ἔχω τὴν γνώμην ὅτι τὸ σῶμα ἔχει ἔμφυτον καὶ φυσικὴν τὴν κίνησιν πρὸς τὰς ἐπιθυμίας· δὲν ἐνεργεῖ ὅμως χωρὶς νὰ θέλῃ ἡ ψυχή. Παραμένει ἁπλῶς εἰς τὸ σῶμα μας ὡς ἀπαθὴς κίνησις. Ὑπάρχει δὲ καὶ ἄλλη κίνησις ἐπιθυμίας, ποὺ γεννᾶται ἀπὸ τὴν περιποίησιν καὶ τὴν διατροφὴν τοῦ σώματός μας μὲ φαγητὰ καὶ ποτά, ἀπὸ τὰ ὁποῖα παράγεται θέρμη, ἡ ὁποία διεγείρει τὸ σῶμα πρὸς τὰς ἐπιθυμίας. Δι' αὐτὸ καὶ ὁ Ἀπόστολος Παῦλος παραγγέλλει· «μὴ μεθᾶτε μὲ οἶνον, εἰς τὸν ὁποῖον ὑπάρχει ἡ ἀσωτία» (Ἐφεσ. ε', 18). Καὶ ὁ Κύριος μᾶς λέγει εἰς τὸ Εὐαγγέλιόν Του· «Προσέχετε μήπως αἱ καρδίαι σας γίνουν βαρειὲς ἀπὸ τὴν κραιπάλην καὶ τὴν μέθην» (Λουκ. κα', 34). Ὑπάρχει, ἀκόμη, καὶ μία ἄλλη κίνησις εἰς τοὺς ἀγωνιζομένους, ἐκείνη, ποὺ προκαλεῖται ἀπὸ ἐπιβουλὴν καὶ φθόνον τῶν δαιμόνων. Πρέπει λοιπὸν νὰ γνωρίζωμεν ὅτι ὑπάρχουν τρεῖς κινήσεις σωματικῆς ἐπιθυμίας· μία φυσική, μία ἀπὸ κατάχρησιν φαγητῶν καὶ ἡ τρίτη ἀπὸ τοὺς δαίμονας. Δι' αὐτὸ ὁ ἀγωνιζόμενος ὀφείλει νὰ γνωρίζῃ καλῶς τὴν μεταξύ των διαφορὰν καὶ νὰ μὴ ἀγνοῇ τὰ αἴτια, ὥστε νὰ ἀντιμετωπίζῃ τὴν κάθε μίαν μὲ τὸν κατάλληλον τρόπον.

3. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τί νὰ κάμω, διότι πολεμοῦμαι ἀπὸ τὴν πορνείαν καὶ τὸν θυμόν;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὁ Δαβὶδ ἔλεγε· «τὸ μὲν λεοντάρι τὸ ἐκτυποῦσα, τὴν δὲ ἀρκούδα τὴν ἔπνιγα» (Βασιλ. Α' ιζ', 34—37). Αὐτὸ σημαίνει ὅτι τὸν θυμὸν πρέπει νὰ τὸν ἀποκόπτωμεν μὲ τὴν μακροθυμίαν καὶ τὸ πάθος τῆς πορνείας νὰ τὸ καταπιέζωμεν μὲ κόπους καὶ νηστείαν.

4. Ὁ Ἀββᾶς Φωκᾶς διηγήθη τὸ ἑξῆς· Ὅταν ὁ Ἀββᾶς Ἰάκωβος ἐπῆγεν εἰς σκήτην, ἐπολεμήθη πάρα πολὺ ἀπὸ τὸν δαίμονα τῆς πορνείας. Μόλις ἔφθασεν εἰς τὸν κίνδυνον τῆς ἁμαρτίας, μὲ ἐπεσκέφθη καὶ μοῦ ἐξωμολογήθη. Ἔπειτα μοῦ λέγει:

— Αὔριον πηγαίνω εἰς τὸ τάδε σπήλαιον. Σὲ παρακαλῶ λοιπόν, διὰ τὸν Κύριον, νὰ μὴ εἴπῃς εἰς κανένα τίποτα δι' ἐμέ. Νὰ ὑπολογίσῃς τεσσαράκοντα ἡμέρας καὶ ὅταν συμπληρωθοῦν, κάνε ἀγάπην καὶ ἔλα νὰ μὲ εὕρῃς κρατῶν ἐπάνω σου τὴν Ἁγίαν Κοινωνίαν. Καὶ ἂν ἔχω ἀποθάνει, θάψε με· ἂν πάλιν ζῶ ἀκόμη θὰ μοῦ δώσῃς νὰ μεταλάβω τὴν Ἁγίαν Κοινωνίαν.

Ἀφοῦ μοῦ εἶπεν αὐτά, ἔφυγεν.

Ὅταν λοιπὸν συνεπληρώθη ἡ τσσαρακοστὴ ἡμέρα, ἐπῆρα τὴν Ἁγίαν Κοινωνίαν, ὀλίγον καθαρὸν κοινὸν ἄρτον, μαζὶ μὲ ὀλίγον οἶνον

καὶ ἐπῆγα νὰ τὸν συναντήσω. Καθὼς δὲ ἐπλησίασα τὸ σπήλαιον, ὠσφράνθην πολλὴν δυσωδίαν, ποὺ προήρχετο ἀπὸ τὸ σῶμα του· καὶ εἶπα μέσα μου· ἀνεπαύθη ὁ μακάριος. Ὅταν ἐμπῆκα μέσα εἰς τὸ σπήλαιον, τὸν εὗρον νὰ κείτεται μισοπεθαμένος· μόλις μὲ εἶδε, ἐκίνησεν ὀλίγον τὸ δεξί του χέρι, ὅσον ἠμποροῦσε καὶ μοῦ ἔκανε νόημα διὰ τὴν Ἁγίαν Κοινωνίαν. Ἐγὼ τοῦ ἀπήντησα, ὅτι ἔχω.

Τότε ἤνοιξα, μὲ μεγάλην δυσκολίαν, ὀλίγον τὸ στόμα του καὶ ἀφοῦ ἔβαλα ἕνα πολὺ μικρὸν κομματάκι ἀπὸ τὸ τίμιον Σῶμα εἰς τὸ ζωοποιὸν Αἷμα, τοῦ τὸ ἔδωσα εἰς τὸ στόμα· ἐκεῖνος μόλις μετέλαβεν, ἐπῆρε δύναμιν. Ἔπειτα ἔβρεξα ὀλίγα ψίχουλα ἀπὸ τὸ κοινὸν ψωμί, τοῦ τὰ ἔδωσα καὶ τὰ ἐπῆρε· καὶ μετ' ὀλίγον ἄλλα, ὅσα ἠμποροῦσε νὰ πάρῃ. Ἔτσι, ἀφοῦ ἐδυνάμωσε, μὲ τὴν χάριν τοῦ Χριστοῦ, μετὰ μίαν ἡμέραν ἐβγῆκεν ἀπὸ τὸ σπήλαιον, ἐβάδισε μαζί μου καὶ ἦλθεν εἰς τὸ κελλίον του. Κατόπιν αὐτῆς τῆς ἐντατικῆς ἀσκήσεως, ἀπηλλάγη μὲ τὴν χάριν τοῦ Θεοῦ ἀπὸ τὸν ὀλέθριον πόλεμον τῆς πορνείας.

5. Ἕνας ἀδελφὸς ἐπολεμεῖτο ἀπὸ τὴν πορνείαν· καὶ ὁ πόλεμος αὐτὸς ἦτο ὡσὰν φωτιά, ποὺ ἔκαιεν εἰς τὴν καρδιά του νύκτα καὶ ἡμέραν· ἠγωνίζετο δὲ νὰ μὴ κάμῃ καθόλου συγκατάβασιν μὲ τὸν λογισμόν του. Μετὰ πολὺν χρόνον ἔφυγεν ὁ πόλεμος, χωρὶς νὰ ἠμπορέσῃ νὰ βλάψῃ καθόλου τὸν ἀδελφὸν λόγῳ τῆς ὑπομονῆς ποὺ ἔδειξεν. Ἀμέσως τότε ἔλαμψε φῶς εἰς τὴν καρδίαν του.

6. Ἕνας ἄλλος, μαθητὴς μεγάλου Γέροντος, ἐπολεμήθη ἐπίσης ἀπὸ τὴν πορνείαν καὶ ἠγωνίζετο μὲ γενναιότητα. Ὁ Γέροντάς του, ποὺ τὸν ἔβλεπε νὰ κοπιάζῃ, τοῦ λέγει· θέλεις νὰ παρακαλέσω τὸν Θεὸν νὰ σὲ ἐλαφρώσῃ ἀπὸ τὸν πόλεμον;

—Ἂν καὶ κοπιάζω, Ἀββᾶ, —ἀπήντησεν ὁ ὑποτακτικὸς— βλέπω ὅμως καρπὸν ἀπὸ τὸν κόπον αὐτόν· δι' αὐτὸ παρεκάλεσε τὸν Θεὸν νὰ μοῦ δώσῃ ὑπομονὴν νὰ ὑποφέρω.

—Ἔχεις προκόψει, τοῦ ἀπήντησεν ὁ Γέρων, καὶ μὲ ἐξεπέρασες.

† ⑦ Εἶπεν ἕνας Γέρων πρὸς κάποιον ἀδελφόν, ποὺ ἐπολεμεῖτο ἀπὸ τὴν πορνείαν.

—Ἀδελφέ, κοιμώμενος θέλεις νὰ σωθῇς; Πήγαινε κοπίασε, πόνεσε, ζήτησε καὶ θὰ εὕρῃς· ἀγρύπνησε καὶ κτύπησε τὴν θύραν τοῦ ἐλέους καὶ θὰ σοῦ ἀνοιχθῇ. Ὑπάρχουν εἰς τὸν κόσμον τρισευτυχισμένοι, ποὺ στεφανώνονται, ἐπειδὴ δέχονται πολλὰ κτυπήματα καὶ ὅμως στέκονται καὶ δυναμώνουν. Πολλὰς φορὰς δὲ καὶ ἕνας μόνον, ἂν καὶ ἐκτυπᾶτο ἀπὸ δύο, ἐνεδυναμώθη ἀπὸ τὰς πληγὰς καὶ ἐνίκησεν αὐτοὺς ποὺ τὸν ἐκτυποῦσαν. Ἂν λοιπὸν ἐκεῖνοι, διὰ σωματικὸν κέρδος, δεικνύουν τέτοιαν ὑπομονήν, δὲν πρέπει νὰ σταθῇς σὺ μὲ μεγαλυτέραν ἀντοχὴν καὶ νὰ ἀγωνισθῇς διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν καὶ μάλιστα ὅταν ἔχῃς σύμμαχον τὸν Θεόν;

8. Ἔζη εἰς τὴν σκήτην ἕνας ἀδελφὸς ἀγωνιστής· καὶ ὁ ἐχθρὸς τοῦ ἔφερεν εἰς τὸν νοῦν τὴν ἀνάμνησιν μιᾶς ὡραίας γυναικός, ποὺ εἶδε κάποτε εἰς τὴν Αἴγυπτον καὶ τὸν ἐστενοχωροῦσε πάρα πολύ. Κατ' οἰκονομίαν

λοιπὸν τὸν ἐπεσκέφθη ἕνας ἄλλος ἀδελφός, ποὺ ἐπέστρεψεν ἀπὸ τὴν Αἴγυπτον εἰς τὴν σκήτην καὶ τοῦ εἶπε, καθὼς συνωμιλοῦσαν, ὅτι ἀπέθανεν ἡ γυναῖκα τοῦ τάδε. Ἐπρόκειτο δὲ περὶ ἐκείνης, διὰ τὴν ὁποίαν ἐπολεμεῖτο ὁ ἀδελφός. Μόλις τὸ ἤκουσεν ὁ ἀδελφός, ἐπῆρε τὸ ράσον του, ἐπῆγεν εἰς τὴν Αἴγυπτον καὶ ἐζήτει πληροφορίας διὰ τὴν γυναῖκα. Ἀφοῦ ἔμαθεν, ἐπῆγε τὴν νύκτα εἰς τὸ νεκροταφεῖον καὶ ἤνοιξε τὸν τάφον της· ἐσφόγγισε τὰς σάρκας τοῦ πτώματος μὲ τὸ ράσον του, ἔφερε δὲ μαζί του τὸ ράσον του, ποὺ ἦτο ποτισμένον ἀπὸ τὰ ὑγρὰ τοῦ νεκροῦ σώματος καὶ ἀνέδιδεν ἀφόρητον δυσωδίαν, καὶ ἐπέστρεψεν εἰς τὸ κελλίον του. Ἔκτοτε, ὁσάκις τὸν ἐνωχλοῦσεν ὁ λογισμὸς τῆς πορνείας, ἐτοποθέτει ἐμπρός του τὸ βρωμισμένον ράσον καὶ ἔλεγεν εἰς τὸν λογισμόν του· νὰ ἡ ἐπιθυμία, ποὺ ζητεῖς, τὴν ἔχεις· χόρτασε ἀπὸ αὐτήν. Ἔτσι ἐβασάνιζε τὸν ἑαυτόν του μὲ τὴν ἀφόρητον ἐκείνην δυσωδίαν, μέχρις ὅτου ἔφυγε τελείως ἀπὸ ἐπάνω του ὁ πόλεμος ἐκεῖνος.

9. Κάποτε ἦλθεν εἰς τὴν σκήτην κάποιος διὰ νὰ γίνῃ Μοναχὸς καὶ εἶχε μαζὶ τὸν μικρὸν υἱόν του, ποὺ μόλις εἶχε σταματήσει τὸ μητρικὸν γάλα· παρέμειναν δὲ μαζὶ εἰς τὸ κελλίον ἀρκετὸν χρόνον. Τὸ παιδὶ ἐμεγάλωσε καὶ ἔγινε ἄνδρας· ἤρχισε δὲ νὰ πολεμῆται φοβερὰ ἀπὸ τὸν σαρκικὸν πόλεμον. Καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἀντέξῃ, εἶπεν εἰς τὸν πατέρα του:

— Πηγαίνω εἰς τὸν κόσμον, διότι δὲν ἠμπορῶ νὰ ἀντέξω τὸν πόλεμον.

Ὁ πατέρας του τὸν παρεκάλει νὰ μὴ τὸ κάμῃ αὐτό.

—Ἀββᾶ, ἄφησέ με νὰ φύγω —ἐπέμενεν ὁ υἱός— διότι δὲν ἠμπορῶ ἄλλο.

— Παιδί μου, ἄκουσέ με διὰ τελευταίαν φορὰν — τοῦ εἶπεν ὁ πατέρας του—· πάρε μαζί σου σαράντα ζευγάρια ψωμιὰ καὶ φοινικοβλάσταρα δι᾽ ἐργασίαν σαράντα ἡμερῶν καὶ πήγαινε εἰς τὴν βαθυτέραν ἔρημον. Μεῖνε ἐκεῖ σαράντα ἡμέρας καὶ ἂς γίνῃ τὸ θέλημα τοῦ Κυρίου.

Ὁ νέος ὑπήκουσε, πράγματι, εἰς τὸν πατέρα του. Ἐσηκώθη, μετέβη εἰς τὴν ἔρημον καὶ παρέμεινε κοπιάζων ἐκεῖ· ἔπλεκε τὰ ξηρὰ φοινικοβλάσταρα καὶ ἔτρωγε τὸν ξηρὸν ἄρτον.

Ἔτσι λοιπόν, ἀφοῦ ἐπέρασεν μὲ ἡσυχίαν εἴκοσι ἡμερονύκτια, εἶδε νὰ παρουσιάζεται ἐμπρός του ἡ ἐνέργεια τοῦ πειρασμοῦ ὁμοία μὲ ἀραπίναν· ἐσκόρπιζε δὲ τόσην δυσοσμίαν, ὥστε ὁ νέος δὲν ἠμποροῦσε καθόλου νὰ τὴν ἀντέξῃ. Δι᾽ αὐτὸ καὶ μὲ ὅλην του τὴν δύναμιν ἤρχισε νὰ τὴν διώχνῃ. Ἡ ἀραπίνα, καθὼς τὴν ἔδιωχνε, τοῦ εἶπε· ἐγὼ φαίνομαι γλυκειὰ εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ σὺ τώρα μὲ διώχνεις; Μάθε ὅμως, ὅτι διὰ τὴν ὑπακοήν σου καὶ τὸν κόπον σου ὁ Θεὸς δὲν μὲ ἄφησε νὰ σὲ ἐξαπατήσω καὶ σοῦ παρουσίασε τὴν δυσωδίαν μου. Κατόπιν αὐτοῦ ὁ νέος ἐσηκώθη, ηὐχαρίστησε τὸν Θεὸν καὶ ἐπέστρεψεν εἰς τὸν πατέρα του.

— Δὲν θέλω πλέον, Ἀββᾶ, νὰ γυρίσω ὀπίσω εἰς τὸν κόσμον —τοῦ εἶπε— διότι εἶδα τὴν σατανικὴν ἐνέργειαν καὶ τὴν δυσωδίαν της.

Ἐν τῷ μεταξὺ καὶ ὁ πατέρας του εἶχε πληροφορηθῆ ἀπὸ τὸν Θεὸν διὰ τὴν ὀπτασίαν αὐτὴν καὶ τοῦ λέγει:

—Ἂν ἔμενες εἰς τὴν ἔρημον σαράντα ἡμέρας καὶ ἐφύλαττες πιστὰ τὴν ἐντολήν, ποὺ σοῦ ἔδωσα, θὰ ἔβλεπες ἀσφαλῶς μεγαλύτερα πράγματα.

10. Ὁμοίως καὶ ἕνας ἄλλος Γέρων ἦλθεν εἰς τὴν σκήτην καὶ ἔφερε μαζί του καὶ τὸν υἱόν του, ἐνῷ ἀκόμη ἦτο βρέφος καὶ ἐθήλαζε καὶ δὲν ἐγνώριζε τί εἶναι γυναίκα. Ὅταν λοιπὸν ἐμεγάλωσε καὶ ἔγινεν ἄνδρας, τοῦ παρουσίαζον οἱ δαίμονες εἰς τὸν ὕπνον του γυναῖκας· ἐκεῖνος ἐξωμολογήθη εἰς τὸν πατέρα του αὐτὰ ποὺ ἔβλεπε, καὶ ὁ Γέρων ἐθαύμασε τὴν ὑπουλότητα τῶν ἐχθρῶν τῆς ψυχῆς μας.

Κάποτε ὁ πατέρας ἀνέβηκε εἰς τὴν Αἴγυπτον, μαζὶ μὲ τὸν υἱόν του, καὶ ὅταν συνήντησαν γυναῖκα, λέγει ὁ υἱὸς πρὸς τὸν πατέρα:

—Ἀββᾶ, αὐτοὶ εἶναι ποὺ μὲ ἐπισκέπτονται τὴν νύκτα εἰς τὴν σκήτην.

— Παιδί μου, αὐτοὶ εἶναι οἱ Μοναχοὶ τῶν χωρίων —τοῦ ἀπήντησεν ὁ πατέρας— ἄλλο σχῆμα ἔχουν αὐτοὶ καὶ ἄλλο οἱ ἐρημῖται.

Μετὰ ἀπὸ αὐτὸ ἐπέστρεψαν ἀμέσως εἰς τὸ κελλί των.

11. Τί νὰ κάμω, ποὺ μὲ σκοτώνει ὁ αἰσχρὸς λογισμός; ἠρώτησεν ἕνας ἀδελφὸς κάποιον Γέροντα.

Ἐκεῖνος τοῦ ἀπήντησεν:

—Ἡ μητέρα, ὅταν θέλῃ νὰ ἀποκόψῃ τὸ παιδί της ἀπὸ τὸν θηλασμόν, βάζει εἰς τὸν μαστόν της σκιλλοκρομμύδαν. Ἔτσι τὸ παιδὶ ἔρχεται, κατὰ τὴν συνήθειάν του, νὰ θηλάσῃ καὶ μόλις δοκιμάσῃ τὴν σκιλλοκρομμύδαν φεύγει ἀπὸ τὴν πικράδαν της. Βάλε λοιπὸν καὶ σὺ σκιλλοκρομμύδαν.

— Τί σημαίνει, πάτερ μου, αὐτὸς ὁ λόγος;

Εἰς τὴν ἐρώτησιν αὐτὴν τοῦ ἀδελφοῦ ὁ Γέρων ἀπήντησεν:

—Ἀντὶ σκιλλοκρομμύδας, φέρε εἰς τὸν νοῦν σου τὸν θάνατον καὶ τὰ βασανιστήρια τῆς κολάσεως.

Ἐκ τοῦ αὐτοῦ

12. Ο ΑΥΤΟΣ ἠρώτησεν ἄλλον γέροντα περὶ τοῦ αὐτοῦ λογισμοῦ· καὶ εἶπεν αὐτῷ ὁ γέρων· ἐγὼ οὐδέποτε ἐπολεμήθην εἰς πρᾶγμα τοιοῦτον. Καὶ ἀκούσας ὁ ἀδελφὸς ἐσκανδαλίσθη· καὶ ἀναστὰς ἐξῆλθε μηδὲ συνταξάμενος τῷ γέροντι. Καὶ ἀπῆλθε πρὸς ἄλλον γέροντα καὶ ἀνήγγειλεν αὐτῷ λέγων· ἰδοὺ τό δε μοι εἶπεν ὁ δεῖνα ὁ γέρων καὶ ἐσκανδαλίσθην ὅτι ὑπὲρ φύσιν ἐλάλησεν. Ἔφη αὐτῷ ὁ γέρων· οὐχ ἁπλῶς τοῦτο εἶπέ σοι ὁ ἄνθρωπος τοῦ Θεοῦ· διὸ ὑπόστρεψον συντόμως, μετανόησον αὐτῷ καὶ παρακάλεσον ἵνα εἴπῃ σοι τὴν δύναμιν τοῦ λόγου.

Ὁ δὲ ἀδελφὸς ἐπανελθὼν εὐθὺς εἰς τὸν γέροντα, ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι ἀφρόνως ἐποίησα ἀσυντάκτως ἐξελθών· ἀλλὰ παρακαλῶ σε, ἑρμήνευσόν μοι πῶς οὐδέποτε ἐπολεμήθης εἰς πορνείαν; Λέγει αὐ-

τῷ ὁ γέρων· ἀφ' οὗ γέγονα Μοναχός, οὐκ ἐχορτάσθην οὔτε ἄρτου οὔτε ὕδατος οὔτε ὕπνου, καὶ ἡ μέριμνα τούτων πάνυ ὀχλοῦσά μοι οὐκ ἀφῆκέ με αἰσθανθῆναι τοῦ πολέμου, οὗ εἴρηκας. Καὶ ὠφεληθεὶς ὁ ἀδελφὸς ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ.

13. Ἀδελφός τις ἐπειράσθη ὑπὸ τοῦ δαίμονος τῆς πορνείας δεινῶς· τέσσαρες γὰρ δαίμονες, εἰς εἶδος γυναικῶν εὐμορφοτάτων μετασχηματισθέντες, ἐπέστησαν αὐτῷ καὶ ἔμειναν ἐπὶ τεσσαράκοντα ἡμέρας παλαίοντες μετ' αὐτοῦ, πρὸς τὸ ἐφελκύσασθαι αὐτὸν εἰς αἰσχρὰν μῖξιν. Ἐκείνου δὲ ἀνδρείως ἀγωνισαμένου καὶ μὴ ἡττηθέντος, ὁ Θεὸς ἰδὼν αὐτοῦ τὴν ὑπομονήν, ἀπέστησε τὸν πόλεμον ἀπ' αὐτοῦ, ἐχαρίσατο δὲ αὐτῷ μηκέτι ὀχληθῆναι ὑπὸ πυρώσεως σαρκικῆς.

14. Ἀδελφός τις ἠρώτησε γέροντα λέγων· Ἀββᾶ, ὅτι ἡ κοιλία μου θλίβει με καὶ οὐ δύναμαι αὐτὴν καταλῦσαι· καὶ λοιπὸν στρηνιᾷ τὸ σῶμα μου. Λέγει αὐτῷ ὁ γέρων· εἰ μὴ βάλῃς ἐπ' αὐτῷ φόβον καὶ νηστείαν, οὐκ ὀρθοποδεῖς εἰς τὴν ὁδὸν τοῦ Θεοῦ. Καὶ εἶπεν αὐτῷ παραβολὴν τοιαύτην, ὅτι ἄνθρωπός τις ὥδευεν ἐπικαθήμενος ὄνῳ, ἡ δὲ ὄνος ἔφερεν αὐτὸν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ παρεκνεύουσα· ὁ δὲ λαβὼν τὴν ῥάβδον, ἣν ἐπεφέρετο, ἔτυπτεν αὐτήν. Εἶπε δὲ ἡ ὄνος· μὴ τύπτε με, καὶ ἀπὸ τοῦ νῦν ὀρθοποδῶ· καὶ ὡς προέκοψε μικρόν, κατῆλθεν ἀπὸ τῆς ὄνου, θεὶς τὴν ῥάβδον εἰς τὸ δισάκκιον ἐπάνω τῆς ὄνου, οὐκ ᾔδει δὲ ἡ ὄνος ὅτι ἡ ῥάβδος ἐπάνω αὐτῆς ἐστι. Καὶ ὡς εἶδε τὸν κύριον αὐτῆς μὴ βαστάζοντα ῥάβδον, καταφρονήσασα αὐτοῦ, ἤρξατο πάλιν παρεκνεύειν, καὶ περιφέρεσθαι ὧδε κἀκεῖ εἰς τὰ σπόριμα· δραμὼν δὲ ὁ κύριος αὐτῆς ἔλαβε τὴν ῥάβδον καὶ οὐκ ἐπαύσατο τύπτων αὐτήν, ἕως οὗ ὠρθοπόδησεν. Οὕτω καὶ ἐπὶ τοῦ σώματος· ἡνίκα στρηνιᾷ καὶ παρεκνεύειν ποιεῖ σε τὴν ὁδὸν τοῦ Θεοῦ, τύψον αὐτὸ νηστείᾳ καὶ ὀρθοποδεῖ· καὶ ἐπικείσθω αὕτη αὐτῷ ἀεὶ σὺν τῷ φόβῳ τοῦ Θεοῦ.

Ἑ ρ μ η ν ε ί α

12. Ὁ ἴδιος ἀδελφὸς ἠρώτησεν ἕνα ἄλλον Γέροντα διὰ τὸν ἴδιον λογισμόν.

Ὁ Γέρων τοῦ ἀπήντησεν· ἐγὼ οὐδέποτε ἐδοκίμασα πόλεμον διὰ παρόμοιον πρᾶγμα.

Μόλις ἤκουσεν αὐτὸ ὁ ἀδελφὸς ἐσκανδαλίσθη, ἐσηκώθη καὶ ἔφυγε, χωρὶς νὰ ζητήσῃ οὔτε τὴν ἄδειαν τοῦ Γέροντος. Ἀμέσως ἐπεσκέφθη ἄλλον Γέροντα καὶ τοῦ ἀνέφερεν, ὅτι αὐτὸ μοῦ εἶπεν ὁ τάδε Γέρων καὶ ἐσκανδαλίσθην, διότι ἐλάλησε πέραν ἀπὸ τὴν φύσιν.

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Δὲν σοῦ τὸ εἶπε ἔτσι ἁπλῶς (χωρὶς κάποιο νόημα) ὁ ἄνθρωπος τοῦ Θεοῦ. Δι' αὐτὸ γύρισε σύντομα πίσω, βάλε μετάνοιαν καὶ παρακάλεσέ τον νὰ σοῦ εἴπῃ τὴν σημασίαν τῶν λόγων του.

Πραγματικὰ ἐπέστρεψεν ἀμέσως ὁ ἀδελφὸς εἰς τὸν πρῶτον Γέροντα, τοῦ ἔβαλε μετάνοιαν καὶ τοῦ εἶπε:

— Συγχώρησέ με, Ἀββᾶ, διότι ἀνεχώρησα ἀπερίσκεπτα, χωρὶς τὴν ἄδειάν σου· ἀλλά, σὲ παρακαλῶ, ἐξήγησέ μου πῶς ποτὲ δὲν ἐπολεμήθης ἀπὸ τὴν πορνείαν;

Ὁ Γέρων τότε τοῦ ἀπήντησεν·

—'Από τότε πού έγινα Μοναχός, ποτέ δέν εχόρτασα ούτε ψωμί ούτε νερόν, ούτε ύπνον· καί επειδή μέ ενωχλούσε πάρα πολύ ή στέρησίς των, δέν ημπόρεσα νά αισθανθώ τόν πόλεμον, διά τόν οποίον μού ωμίλησες.

'Ωφελημένος από τήν απάντησιν αυτήν ό αδελφός ανεχώρησεν εις τό κελλί του.

13. Κάποιος αδελφός εβασανίσθη φοβερά από τόν δαίμονα τής πορνείας. Τέσσαρες δαίμονες, μεταμορφωθέντες εις ωραιοτάτας γυναίκας, παρουσιάσθησαν ενώπιόν του καί έμειναν σαράντα ημέρας παλαίοντες μαζί του, διά νά τόν παρασύρουν εις αισχράν πράξιν. 'Εκείνος όμως ηγωνίσθη ανδρείως καί δέν ενικήθη. Τότε ό Θεός, πού είδε τήν υπομονήν του, απεμάκρυνεν από επάνω του τόν πόλεμον καί τού έδωσε τήν χάριν ποτέ πλέον νά μή ενοχληθή από σαρκικήν πύρωσιν.

14. Ένας αδελφός ηρώτησε κάποιον Γέροντα:

—'Αββά, μέ στενοχωρεί ή κοιλία μου καί δέν ημπορώ νά τήν συγκρατήσω. 'Εξ αιτίας αυτού αφηνιάζει ή σάρκα μου.

'Ο Γέρων τού απήντησεν εις αυτά:

—'Εάν επάνω εις αυτό δέν στηρίξης φόβον καί νηστείαν, δέν θά πορευθής σωστά εις τόν δρόμον τού Θεού.

Διά νά τό αντιληφθή καλύτερα, τού είπε καί τήν εξής παραβολήν· Κάποιος άνθρωπος επήγαινε καβάλλα εις ένα όνον. 'Ο όνος τόν έφερεν εδώ καί εκεί, διότι επαραστρατούσεν από τόν ορθόν δρόμον. Τότε ό επιβάτης, μέ τήν ράβδον πού εκράτει, τόν εκτυπούσεν. 'Ο όνος τού λέγει· μή μέ κτυπάς καί από εδώ καί εμπρός θά ακολουθώ τόν καλόν δρόμον. Όταν επροχώρησεν ολίγον, κατέβηκεν από τόν όνον ό άνθρωπος καί έβαλε τήν ράβδον μέσα εις τό δισάκκι. 'Ο όνος δέν εγνώριζεν, ότι ή ράβδος ευρίσκεται επάνω του. Μόλις λοιπόν είδε τόν κύριόν του, ότι δέν κρατεί ράβδον, τόν κατεφρόνησε καί ήρχισε πάλιν νά φεύγη από τόν ίσιον δρόμον καί νά περιφέρεται εδώ καί εκεί εις τά καλλιεργημένα χωράφια. Μόλις είδεν αυτό ό άνθρωπος, έτρεξεν, αρπάζει τήν ράβδον καί δέν εσταμάτησε νά κτυπά τόν όνον, μέχρις ότου ηκολούθησε καί πάλιν τόν σωστόν δρόμον.

—Έτσι συμβαίνει καί μέ τό σώμα· —κατέληξεν εις τό συμπέρασμα ό Γέρων.—Όταν αφηνιάζη ή σάρκα καί σέ κάμνει καί φεύγης από τόν δρόμον τού Θεού, κτύπησέ την μέ νηστείαν καί θά επανεύρη πάλιν τόν ορθόν δρόμον. Ας ευρίσκεται πάντοτε τό σώμα κάτω από τήν νηστείαν μαζί μέ τόν φόβον τού Θεού.

ΥΠΟΘΕΣΙΣ ΚΣΤ΄

Ὅτι τελείως τοῦ τῆς πορνείας πολέμου οὐκ ἔστιν ἄλλως ἀπαλλαγῆναι εἰμὴ ἐκ Θεοῦ βοηθείας, ἣ τοῖς ἀγωνιζομένοις ἐπακολουθεῖ καὶ τὶς ἡ τελεία ἁγνεία.

Δὲν εἶναι δυνατὸν νὰ ἀπαλλαγῶμεν τελείως ἀπὸ τὸν πόλεμον τῆς πορνείας κατ᾿ ἄλλον τρόπον, παρὰ μόνον μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ἡ ὁποία συνοδεύει τοὺς ἀγωνιζομένους. Ποία εἶναι ἡ τελεία ἁγνεία.

Α΄. Παλλαδίου

Ο ΜΑΚΑΡΙΟΣ Μωϋσῆς ὁ αἰθίοψ, ὃς τὸ πρὶν ἦν ἀφηγούμενος ληστηρίου μεγάλου, ὕστερον δὲ γέγονε Μοναχὸς δοκιμώτατος καὶ Πρεσβύτερος καὶ τοῖς μεγάλοις Πατράσι συνηριθμήθη, οὗτος κατ᾿ ἀρχὰς τῆς ἀποταγῆς αὐτοῦ ἐπολεμήθη ὑπὸ τοῦ τῆς πορνείας δαίμονος ἐπὶ τοσοῦτον, ὡς μικροῦ δεῖν τῆς προσθέσεως ἐκπεσεῖν. Ἀντεπαρετάξατο δὲ αὐτὸς τῷ ἐχθρῷ διὰ νηστείας ἄκρας καὶ ἡσυχίας. Ἐγκλείσας γὰρ ἑαυτὸν ἐν τῇ κέλλῃ ὑποθήκῃ τοῦ μεγάλου Ἰσιδώρου τοῦ τῆς σκήτεως, ἐπὶ πολὺν χρόνον ἀπρόϊτος ἦν οὐδὲν ἄλλο ἐσθίων, πλὴν ἄρτου λίτραν ξηροῦ, καὶ πλεῖστον εἰργάζετο, καὶ πεντήκοντα εὐχὰς τὴν ἡμέραν ἐποίει. Ἔπειτα καὶ δι᾿ ἀγρυπνίας ἐπιτεταμένης ἀντηγωνίσατο, διὰ πάσης τῆς νυκτὸς μὴ κοιμώμενος ἐπὶ ἓξ ἔτη, καὶ κατατήξας τὸ σῶμα τελείως ἔμεινεν ἔτι πυρούμενος καὶ ἀδιαφόρως ἐνυπνιαζόμενος. Εἶτα ἑτέρᾳ σκληραγωγίᾳ ὑπέβαλεν ἑαυτόν· ἐξερχόμενος γὰρ ταῖς νυξίν, ἀπήει εἰς τὰς κέλλας τῶν γερόντων ἀδελφῶν, τῶν μὴ δυναμένων τὴν χρείαν τοῦ ὕδατος κομίζειν, καὶ λαμβάνων τὰς ὑδρίας, αὐτῶν ἀγνοούντων, ἐπλήρου τοῦ ὕδατος· ἦν γὰρ παρά τισιν αὐτῶν τὸ ὕδωρ ἀπὸ πέντε σημείων.

Ἐν μιᾷ οὖν τῶν νυκτῶν, ἐγκύψαντι αὐτῷ εἰς τὸ φρέαρ ἐπὶ τῷ τὴν ὑδρίαν πληρῶσαι τινὸς Μοναχοῦ, ὁ δαίμων δέδωκεν αὐτῷ κατὰ τῶν ψοῶν ῥοπάλῳ τινί, καὶ ἀφῆκεν αὐτὸν ἐν τῷ τόπῳ κεῖσθαι νεκρόν· οὐ γὰρ ἔφερεν ὁ βάσκανος τοῦ ἀθλητοῦ τὴν καρτερίαν. Τῇ ἐπιούσῃ ἐλθών τις τῶν Μοναχῶν καὶ εὑρὼν αὐτὸν κείμενον καὶ ψυχορραγοῦντα, ὑποστρέψας ἀπήγγειλε τῷ Μεγάλῳ Ἰσιδώρῳ.

Παραγενόμενος οὖν ἐκεῖνος μετά τινων καὶ λαβὼν αὐτὸν ἤγαγεν ἐν τῇ Ἐκκλησίᾳ, καὶ οὕτως ἐνόσησεν, ὡς μόλις ἐπ' ἐνιαυτὸν γενέσθαι ἐν ἰσχύϊ. Τότε λέγει αὐτῷ ὁ μέγας τοῦ Χριστοῦ ἱερεὺς Ἰσίδωρος· παῦσαι λοιπὸν τοῖς δαίμοσι πολεμῶν, ἀδελφὲ Μωϋσῆ, καὶ μὴ αὐτοῖς οὕτως ἐπέμβαινε· μέτρα γάρ εἰσι καὶ τῆς εἰς δαίμονας πάλης ἐν τῇ ἀσκήσει. Ὁ δὲ ἀδάμας τοῦ Χριστοῦ Μωϋσῆς λέγει αὐτῷ· οὐ μὴ παύσομαι μάχεσθαι μετ' αὐτῶν, ἕως οὗ παύσηταί μου ἡ φαντασία τῶν ἐνυπνίων. Τότε λέγει αὐτῷ ὁ Μέγας Ἰσίδωρος· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀπὸ τοῦ νῦν πέπαυταί σου τὰ ἀπρεπῆ ἐνύπνια· λοιπὸν μετὰ παρρησίας τοῖς θείοις πρόσελθε καὶ κοινώνησον μυστηρίοις· ἵνα γὰρ μὴ καυχήσῃ ὡς τῇ σῇ ἀσκήσει περιγέγονας τούτου τοῦ πάθους, διὰ τοῦτο σφοδρῶς ὑπ' αὐτοῦ κατεδυναστεύθης πρὸς τὸ συμφέρον σοι, ἵνα μὴ δι' ἐπάρσεως κατενεχθῇς.

Ταῦτα ἀκούσας ὑπέστρεψεν ἐπὶ τὴν κέλλαν, λοιπὸν προσέχων μεθ' ἡσυχίας ἐμμέτρως τῇ ἀσκήσει καὶ τοῦ ἀκολάστου πάθους ἀπαλλαγείς.

Ἑρμηνεία

Ο ΜΑΚΑΡΙΟΣ Μωϋσῆς ὁ αἰθίοψ, ποὺ ἦτο προηγουμένως ἀρχηγὸς μεγάλης συμμορίας λῃστῶν καὶ ἔπειτα ἔγινε σπουδαιότατος Μοναχός, Πρεσβύτερος καὶ ἐφάμιλλος τῶν μεγάλων Πατέρων, ὅταν πρωτοέγινε μοναχὸς ἐπολεμήθη τόσον πολὺ ἀπὸ τὸν δαίμονα τῆς πορνείας, ὥστε παρ' ὀλίγον νὰ παραιτηθῇ ἀπὸ τὸν σκοπόν του. Ἀντεπολέμησεν ὅμως τὸν ἐχθρὸν τῆς ψυχῆς μὲ αὐστηρὰν νηστείαν καὶ ἡσυχίαν. Ἐκλείσθηκε δηλαδὴ μέσα εἰς τὸ κελλί του, κατὰ συμβουλὴν τοῦ μεγάλου Ἰσιδώρου τῆς σκήτης, καὶ ἐπὶ πολὺν χρόνον δὲν ἐξήρχετο καθόλου· δὲν ἔτρωγε τίποτε ἄλλο ἐκτὸς ἀπὸ μίαν λίτραν* ξηρὸ ψωμί, εἰργάζετο πάρα πολὺ καὶ ἔκανε πενῆντα εὐχὰς τὴν ἡμέραν. Ἔπειτα ἐπολέμησε τὸν ἐχθρὸν τῆς ψυχῆς καὶ μὲ συνεχῆ ἀγρυπνίαν, ἐπὶ ἓξ ἔτη δὲν ἐκοιμήθη καθόλου τὴν νύκτα καὶ μολονότι ἀδυνάτισε τελείως τὸ σῶμα του, ἐν τούτοις ἐξηκολούθησε νὰ βασανίζεται ἀπὸ τὸ πάθος καὶ νὰ βλέπῃ ὄνειρα χωρὶς νὰ τὸ θέλῃ. Κατόπιν αὐτοῦ ὑπεβλήθη εἰς ἄλλην σκληραγωγίαν· ἐξήρχετο, δηλαδή, τὴν νύκτα καὶ ἐπήγαινεν εἰς τὰ κελλία τῶν γερόντων μοναχῶν, ποὺ δὲν ἠμποροῦσαν νὰ μεταφέρουν νερὸ καὶ ἀφοῦ ἔπαιρνε τὰς στάμνας των, χωρὶς αὐτοὶ νὰ τὸ γνωρίζουν, τὰς ἐγέμιζε νερόν, διότι ἡ πηγὴ ἀπεῖχεν ἀπὸ τὰ κελλία μερικῶν πέντε σημεῖα**.

Μίαν νύκτα λοιπόν, καθὼς εἶχε σκύψει εἰς τὸ πηγάδι, διὰ νὰ γεμίσῃ τὴν στάμναν κάποιου Μοναχοῦ, τὸν ἐκτύπησεν ὁ δαίμων εἰς τὰ ὀπίσθιά του μὲ ἕνα ρόπαλον καὶ ἔπεσεν ἐπὶ τόπου, ὡς νεκρός· διότι δὲν ὑπέφερεν ὁ φθονερὸς καὶ μνησίκακος τὴν καρτερικότητα τοῦ ἀθλητοῦ. Τὴν ἄλλην ἡμέραν ἦλθεν εἰς τὸ πηγάδι κάποιος μοναχὸς καὶ τὸν εὑρῆκε ξα-

* Τὸ λίτρον εἶναι σήμερον μονὰς βάρους καὶ ἰσοδυναμεῖ μὲ 360 γραμμάρια.

** Σημεῖον ἐνταῦθα σημαίνει ἀπόστασις ἐπὶ ὁδοῦ, ἐπὶ τῆς ὁποίας ὑπῆρχον σημάδια, διὰ νὰ διακρίνεται αὐτὴ ἀπὸ τοὺς ὁδοιπόρους.

πλωμένον καὶ νὰ ψυχορραγῇ· ἐγύρισεν ἀμέσως καὶ ἀνέφερε τὸ πρᾶγμα εἰς τὸν μεγάλον Ἰσίδωρον. Ἐκεῖνος τότε ἦλθε, μὲ μερικοὺς ἄλλους, ἐπῆρε τὸν Μωϋσῆν καὶ τὸν ὡδήγησεν εἰς τὴν Ἐκκλησίαν· τόσον βαρέως δὲ ἀρρώστησεν, ὥστε μόλις μετὰ ἕνα χρόνον ἠμπόρεσε νὰ δυναμώσῃ.

Ἀφοῦ ἐθεραπεύθη, τοῦ λέγει ὁ μέγας ἱερεὺς τοῦ Χριστοῦ Ἰσίδωρος:

— Σταμάτησε ἀπ' ἐδῶ καὶ ἐμπρὸς νὰ πολεμᾷς τοὺς δαίμονας, ἀδελφὲ Μωϋσῆ, καὶ μὴ τοὺς ἐναντιώνεσαι τόσον ἐπίμονα· διότι ὑπάρχουν καὶ μέτρα κατὰ τὴν ἄσκησιν, εἰς τὴν πάλην ἐναντίον τῶν δαιμόνων.

Εἰς αὐτὰ ὁ ἀδάμας τοῦ Χριστοῦ Μωϋσῆς τοῦ ἀπαντᾷ:

— Δὲν θὰ παύσω νὰ πολεμῶ μαζί τους, μέχρι νὰ σταματήσῃ καὶ εἰς ἐμὲ ἡ φαντασία τῶν ἐνυπνίων.

Τότε τοῦ λέγει, ἐκ δευτέρου, ὁ Μέγας Ἰσίδωρος:

— Μὲ τὴν δύναμιν τοῦ ὀνόματος τοῦ Χριστοῦ ἔπαυσαν, δι' ἐσέ, ἀπὸ αὐτὴν τὴν στιγμὴν τὰ σατανικὰ ὄνειρα. Εἰς τὸ ἑξῆς νὰ προσέρχεσαι καὶ νὰ κοινωνῇς τὰ θεῖα μυστήρια. Διὰ νὰ μὴ καυχηθῇς ὅτι τάχα μὲ τὴν ἄσκησίν σου ἐνίκησες αὐτὸ τὸ πάθος, δι' αὐτὸ ἐβασανίσθης τόσον πολὺ ἀπὸ τὸν σατανᾶν· πρὸς τὸ συμφέρον σου, διὰ νὰ μὴ ὑπερηφανευθῇς.

Ἀφοῦ ἤκουσεν αὐτὰ ἐγύρισεν εἰς τὸ κελλί του καὶ εἰς τὸ ἑξῆς ἐπρόσεχεν ὥστε νὰ ζῇ εἰς ἡσυχίαν καὶ νὰ ἀγωνίζεται μὲ μέτρον· καὶ ἀπηλλάγη ἀπὸ τὸ ἀκόλαστον πάθος.

Τοῦ αὐτοῦ

ΠΑΧΩΝ ΤΙΣ ὀνόματι, περὶ τὰ ἑβδομήκοντα ἔτη ζήσας, ἐκαθέζετο ἐν τῇ σκήτει. Συνέβη δέ με ὀχληθέντα ὑπὸ τοῦ τῆς ἀκολασίας δαίμονος, τοῖς λογισμοῖς συνεχόμενον δυσφορεῖν πρὸς τὰς νυκτερινὰς φαντασίας. Μὴ ἀνεχόμενος οὖν τὸ πρᾶγμα τινὶ ἀναθέσθαι, ἐξῆλθον τῆς ἐρήμου ὑπὸ τοῦ πάθους ἐλαυνόμενος. Λεληθότως δὲ παραβαλὼν εἰς τὴν πανέρημον, συνέτυχον τοῖς κατὰ τὴν σκῆτιν ἁγίοις ἀνδράσιν ἐπὶ ἡμέρας δεκαπέντε, ἐν οἷς δὴ καὶ τῷ Πάχωνι.

Εὑρὼν οὖν αὐτὸν ἀκεραιότερον καὶ ἀσκητικώτερον, ἐθάρσησα αὐτῷ τὰ τῆς διανοίας μου. Καὶ λέγει μοι ὁ Ἅγιος οὕτως· μὴ ξενίσῃ σε τὸ πρᾶγμα· οὐ γὰρ πάσχεις αὐτὸ ἀπὸ ῥαθυμίας· μαρτυρεῖ γάρ σοι καὶ ὁ τόπος καὶ ἡ σπάνις τῶν χρειῶν, καὶ τὸ μὴ εἶναι ἐν συντυχίᾳ τῶν γυναικῶν, ἀλλὰ μᾶλλον ἀπὸ σπουδῆς κατὰ ἀρετὴν συμβαίνει σοι τοῦτο παρὰ τοῦ ἐναντίου. Τριπλοῦς γάρ ἐστιν ὁ πορνικὸς πόλεμος, καὶ ποτὲ μὲν ἡ σὰρξ ἐπιτίθεται ἡμῖν εὐπαθοῦσα, ποτὲ δὲ τὰ πάθη ἐπανίστανται διὰ τῶν λογισμῶν, ἔστι δὲ ὅτε καὶ ὁ δαίμων βασκαίνων τυραννεῖ. Ἐγὼ γὰρ πολλὰ παρατηρήσας εὗρον τοῦτο· ἰδοὺ γὰρ ὡς ὁρᾷς με γέρων εἰμί, καὶ ἔχω ἐν τῇ κέλλῃ ταύτῃ τεσσαράκοντα ἔτη φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας, καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ μέχρις ἄρτι πειράζομαι.

Καὶ ὤμνυε λέγων, ὅτι μετὰ τὸ πεντηκοστόν με ἄγειν ἔτος, ἐπὶ δώδεκα ἔτη, οὐ νύκτα μοι συνεχώρησεν, οὐχ ἡμέραν ἐπιτιθέμενός μοι οὗτος ὁ δαίμων. Ὑπονοή-

σας οὖν ὅτι ἀπέστη μου ὁ Θεὸς διὸ καὶ καταδυναστεύομαι, ἡρετισάμην ἀποθανεῖν μᾶλλον ἀλόγως ἢ πάθει ἀσχημονῆσαι αἰσχρῶς. Καὶ ἐξελθὼν τῆς κέλλης περιήειν τὴν ἔρημον· καὶ εὑρὼν σπήλαιον ὑαίνης ἔθηκα ἐμαυτὸν γυμνὸν ἵνα φάγῃ με τὰ θηρία. Καὶ γενομένης ἑσπέρας βαθείας ἐξῆλθον οἱ θῆρες ὅ τε ἄρρην καὶ ἡ θήλεια, καὶ ὠσφράνθησάν μου ἀπὸ ποδῶν ἄχρι κεφαλῆς, καὶ περιλείξαντές με ἀνεχώρησαν ἀπ' ἐμοῦ.

Κείμενος οὖν ἐκεῖ ἕως πρωῒ ὡς δοκῶν βρωθῆναι, ἐπελογισάμην ὅτι πάντως ἐφείσατό μου ὁ Θεός, καὶ ἀναστὰς ὑπέστρεψα εἰς τὴν κέλλαν. Καρτερήσας δὲ ὁ δαίμων ἡμέρας ὀλίγας, πάλιν ἐπέθετό μοι τοῦ προτέρου σφοδρότερον, ὡς παρὰ μικρόν με καὶ βλασφημῆσαι. Μετασχηματισθεὶς γὰρ εἰς αἰθιόπισσαν κόρην, ἣν ἑωρακά ποτε ἐν νεότητί μου ἐν τῷ θέρει καλαμωμένην, ἐπεκάθισέ μου ἐν τοῖς γόνασι καὶ ἐπὶ τοσοῦτόν με κεκίνηκεν, ὡς νομίσαι με συγγενέσθαι μετ' αὐτῆς. Ἀπομανεὶς οὖν ἐγὼ ἔδωκα αὐτῇ ῥάπισμα καὶ οὕτω γέγονεν ἄφαντος· καὶ πιστεύετέ μοι λέγοντι, ὅτι τῆς δυσωδίας τῆς χειρός μου ἐπὶ δύο ἔτη ἀνασχέσθαι οὐκ ἠδυνήθην.

Μικροψυχήσας οὖν καὶ ἐν τούτῳ μειζόνως καὶ ἀπευδοκήσας ἐμαυτοῦ εἰς τέλος, ἐξῆλθον εἰς τὴν πανέρημον ἀλώμενος καὶ εὗρον ἀσπίδα μικράν, καὶ λαβὼν αὐτὴν προσφέρω τοῖς γεννητικοῖς μου μορίοις, ἵνα κἂν οὕτω δηχθεὶς ὑπ' αὐτῆς ἀποθάνω. Καὶ προστρίψας τὴν κεφαλὴν τοῦ θηρίου τοῖς μορίοις, ὡς αἰτίοις μοι τοῦ πειρασμοῦ γενομένοις, οὐδὲ οὕτως ἐδήχθην προνοίᾳ τῆς χάριτος. Μετὰ δὲ ταῦτα ἤκουσα φωνῆς ἐλθούσης ἐν τῇ διανοίᾳ μου· ἄπελθε, Πάχων, ἀγωνίζου· διὰ γὰρ τοῦτο ἀφῆκά σε ἐπὶ τοσοῦτον δυναστευθῆναι, ἵνα μὴ μέγα φρονήσῃς, ὡς ἰδίᾳ δυνάμει τοῦ δαίμονος τούτου περιγενόμενος, ἀλλ' ἐπεγνωκὼς σου τὴν ἀσθένειαν, μηδέποτε θαρρήσῃς τῇ πολιτείᾳ σου, ἀλλ' ἀεὶ πρόστρεχε τῇ τοῦ Θεοῦ βοηθείᾳ.

Οὕτω πληροφορηθείς, ἀνέκαμψα εἰς τὴν κέλλαν. Μετὰ θάρσους λοιπὸν καθίσας καὶ μηκέτι φροντίσας τοῦ κατὰ τὴν γυναικομανίαν πολέμου, εἰρηνεύσας ἐκ τῆς μάχης ἐκείνης τὰς ὑπολοίπους ἡμέρας, ὁ δὲ δαίμων, ἐγνωκώς μου τὴν εἰς αὐτὸν καταφρόνησιν, λοιπὸν αἰσχυνθείς, οὐκέτι μοι ἴσχυσεν ἐγγίσαι. Τούτοις τοῖς λόγοις καὶ παλαίσμασι τοῖς πρὸς τὸν σατανᾶν ὁ Ἅγιος Πάχων στηρίξας με καὶ γενναιότερον πρὸς τοὺς πόνους ἀλείψας με, καὶ φέρειν ῥᾳδίως ἐκδιδάξας τοῦτον τὸν πόλεμον, ἀπέπεμψεν ἐν πᾶσιν ἀνδρίζεσθαί με παρακελευσάμενος.

Ἑρμηνεία

ΕΙΣ τὴν σκήτην ἐκάθητο κάποιος, ὀνομαζόμενος Πάχων, ποὺ ἔζησε περίπου ἑβδομῆντα χρόνια. Μοῦ συνέβη λοιπὸν νὰ ἐνοχληθῶ ἀπὸ τὸν δαίμονα τῆς ἀκολασίας, νὰ βασανίζωμαι ἀπὸ τοὺς αἰσχροὺς λογισμοὺς καὶ νὰ στενοχωροῦμαι ἀπὸ τὰς νυκτερινὰς σατανικὰς φαντασίας. Ἐπειδὴ δὲ δὲν ἤθελα νὰ ἐμπιστευθῶ σὲ κανένα τὴν περίπτωσίν μου, ἐβγῆκα ἔξω ἀπὸ τὴν ἔρημον παρασυρόμενος ἀπὸ τὸ πάθος. Χωρὶς νὰ τὸ καταλάβω ἔφθασα εἰς τὴν βαθεῖαν ἔρημον, ὅπου ἔμεινα ἐπὶ δεκαπέντε ἡμέρας, μαζὶ μὲ ἁγίους ἄνδρας τῆς σκήτης, μεταξὺ τῶν ὁποίων ἦτο καὶ ὁ Πάχων.

Ἐπειδὴ δὲ τὸν εὗρον περισσότερον ἀκέραιον καὶ πλέον ἀσκητικὸν ἀπὸ τοὺς ἄλλους, ἔλαβα τὸ θάρρος νὰ τοῦ ἐμπιστευθῶ τοὺς λογισμούς

μου. Ὁ Ἅγιος, εἰς ἀπάντησιν, μοῦ λέγει· μὴ σὲ παραξενεύῃ τὸ πρᾶγμα, διότι δὲν πάσχεις ἀπὸ ραθυμίαν· αὐτὸ τὸ βεβαιώνει καὶ ὁ τόπος καὶ τὸ ὅτι εἶναι πολὺ σπάνια τὰ ἀπαραίτητα καὶ τὸ ὅτι δὲν συναναστρέφεσαι μὲ γυναῖκας. Αὐτὸ σοῦ συμβαίνει μᾶλλον ἀπὸ τὸν ἐχθρὸν (τῆς ψυχῆς μας) διότι φροντίζεις διὰ τὴν ἀρετήν. Ὁ πόλεμος δηλαδὴ τῆς πορνείας εἶναι τριῶν εἰδῶν· καὶ ἄλλοτε μὲν μᾶς ἐπιτίθεται ἡ σάρξ, ὅταν τὴν περιποιούμεθα, ἄλλοτε ἐπαναστατοῦν τὰ πάθη μὲ τοὺς λογισμούς, εἰς ὡρισμένας δὲ περιπτώσεις μᾶς τυραννεῖ καὶ ὁ δαίμων ἀπὸ φθόνον. Αὐτὸ τὸ διεπίστωσα ἀπὸ πολλὰς παρατηρήσεις. Ὅπως βλέπεις εἶμαι γέρων καὶ ἔχω εἰς αὐτὸ τὸ κελλὶ σαράντα χρόνια, φροντίζων διὰ τὴν σωτηρίαν μου· καὶ ὅμως εἰς αὐτὴν τὴν ἡλικίαν πειράζομαι ἀκόμη.

Μοῦ ἔλεγε δὲ μὲ ὅρκον, πῶς ἀφοῦ συνεπλήρωσα τὸ πεντηκοστὸν ἔτος, ἐπὶ δώδεκα χρόνια δὲν μὲ ἄφησε αὐτὸς ὁ σατανᾶς ἥσυχον οὔτε ἡμέραν οὔτε νύκτα χωρὶς νὰ μοῦ ἐπιτεθῇ. Ἐπειδὴ λοιπὸν ὑπέθεσα ὅτι μὲ ἐγκατέλειψεν ὁ Θεὸς καὶ διὰ τοῦτο βασανίζομαι, ἐπροτίμησα ἀνόητα νὰ ἀποθάνω, παρὰ νὰ παρασυρθῶ ἀπὸ τὸ πάθος καὶ νὰ ἀσχημονήσω αἰσχρῶς. Ἀφοῦ λοιπὸν ἐβγῆκα ἀπὸ τὸ κελλί μου, περιτριγύριζα εἰς τὴν ἔρημον· εὑρῆκα ἕνα σπήλαιον μιᾶς ὑαίνης* καὶ ἐκάθησα ἐκεῖ γυμνὸς διὰ νὰ μὲ φάγουν τὰ θηρία. Κατὰ τὸ ἀπόγευμα ἐβγῆκαν ἀπὸ τὸ σπήλαιον τὰ θηρία, τὸ ἀρσενικὸν καὶ τὸ θηλυκόν, μὲ ἐμύρισαν ἀπὸ τὰ πόδια ἕως τὸ κεφάλι καὶ ἀφοῦ μὲ ἔγλειψαν, ἔφυγαν ἀπὸ κοντά μου.

Παρέμεινα ἐκεῖ ἐξαπλωμένος ἕως τὸ πρωΐ, διότι εἶχον τὴν γνώμην, ὅτι θὰ φαγωθῶ· ἔπειτα ἐσκέφθην ὅτι μὲ ἐλυπήθη ὁπωσδήποτε ὁ Θεὸς καὶ δι' αὐτὸ ἐσηκώθηκα καὶ ἐπέστρεψα εἰς τὸ κελλί μου. Ὁ δαίμων ἐπερίμενεν ὀλίγας ἡμέρας καὶ μοῦ ἐπετέθη πάλιν σφοδρότερον ἀπὸ πρίν. Τόσον δὲ ὑπέφερα ὥστε παρ' ὀλίγον νὰ βλασφημήσω. Μετεμορφώθη, δηλαδή, εἰς μίαν αἰθιόπισσαν κόρην, ποὺ εἶδα κάποτε εἰς τὰ νειᾶτα μου νὰ μαζεύῃ, κατὰ τὸ θέρος, στάχυα ὀπίσω ἀπὸ τοὺς θεριστάς· ἐκάθισεν εἰς τὰ γόνατά μου καὶ τόσον πολὺ μὲ ἠρέθισεν, ὥστε νὰ νομίσω ὅτι συνευρέθην μαζί της. Ὡσὰν τρελλὸς δὲ ἀπὸ τὴν ὀργήν μου τῆς ἔδωσα ἕνα χαστούκι καὶ ἐξηφανίσθη· καὶ πιστεύσατέ με ὅταν σᾶς λέγω, ὅτι ἐπὶ δύο ὁλόκληρα ἔτη δὲν ἠμποροῦσα νὰ ἀντέξω τὴν δυσοσμίαν τοῦ χεριοῦ μου.

Αὐτὸ μὲ ἔκαμε νὰ ὀλιγοψυχήσω ἀκόμη περισσότερον καὶ νὰ ἀπελπισθῶ. Τέλος ἐβγῆκα πάλιν εἰς τὴν πλέον ἀφιλόξενον ἔρημον καὶ περιεπλανώμην ἀσκόπως. Ἐκεῖ εὑρῆκα μίαν μικρὰν ἀσπίδα** καὶ ἀφοῦ τὴν ἔπιασα μὲ τὰ χέρια μου, τὴν ἔβαλα ἐπάνω εἰς τὰ γεννητικά μου ὄργανα μήπως μὲ δαγκάσῃ καὶ ἀποθάνω. Ἔτριψα μάλιστα τὸ κεφάλι τοῦ φιδιοῦ εἰς τὰ γεννητικά μου ὄργανα, ἐπειδὴ τὰ ἐθεωροῦσα αἰτίαν τοῦ πειρασμοῦ μου· παρὰ ταῦτα δὲν μὲ ἐδάγκωσε, ἀπὸ φροντίδα τῆς θείας Χάριτος.

---

* Βλέπε ὑποσημείωσιν τῆς σελίδος 508 τοῦ Α' Τόμου.

** Βλέπε ὑποσημείωσιν τῆς σελίδος 356 τοῦ Α' Τόμου.

Μετὰ ἀπὸ αὐτὰ ἤκουσα μίαν φωνὴν μέσα εἰς τὴν διάνοιάν μου. Πήγαινε, Πάχων —μοῦ ἔλεγε— νὰ ἀγωνίζεσαι· διότι δι' αὐτὸ σὲ ἄφησα τόσον καιρὸν νὰ βασανισθῇς, διὰ νὰ μὴ ὑπερηφανευθῇς, ὅτι μὲ τὴν δύναμίν σου, τάχα, ἐνίκησες αὐτὸν τὸν δαίμονα. Ἀφοῦ λοιπὸν ἀναγνωρίσῃς τὴν ἀδυναμίαν σου, ποτὲ νὰ μὴ ξεθαρρευθῇς διὰ τὴν ἄσκησίν σου, ἀλλὰ πάντοτε νὰ προστρέχῃς εἰς τὴν βοήθειαν τοῦ Θεοῦ.

Μετὰ τὴν ἐσωτερικὴν αὐτὴν πληροφορίαν, ἐπέστρεψα εἰς τὸ κελλί μου· ἐπῆρα πλέον θάρρος καὶ εἰς τὸ ἑξῆς ἐκάθισα χωρὶς πλέον νὰ φροντίζω διὰ τὸν πόλεμον τῆς γυναικομανίας, εἰρήνευσα ἀπὸ τὴν μάχην ἐκείνην τὰς ὑπολοίπους ἡμέρας καὶ ὁ δαίμων, ὅταν εἶδε τὴν καταφρόνησιν ποὺ τοῦ ἔκαμα, ἔμεινε κατεντροπιασμένος καὶ δὲν ἠμπόρεσε μετέπειτα νὰ μὲ πλησιάσῃ.

Μὲ αὐτὰ τὰ λόγια καὶ τὰ παλαίσματά του πρὸς τὸν σατανᾶν μὲ ἐστήριξεν ὁ Ἅγιος Πάχων, μὲ ἔκαμε νὰ εἶμαι γενναιότερος πρὸς τοὺς κόπους καὶ μὲ ἐδίδαξε νὰ ὑποφέρω ἀγογγύστως τὸν πόλεμον αὐτόν· ἔπειτα μὲ κατευώδωσεν, ἀφοῦ μὲ συνεβούλευσε νὰ τὰ ἀντιμετωπίσω ὅλα μὲ γενναιότητα.

Τοῦ αὐτοῦ

ΗΛΙΑΣ ΤΙΣ ὀνόματι, ἄριστος ἀσκητής, σφόδρα γέγονε φιλοπάρθενος, τοῦ ἀσθενεστέρου μέρους ποιούμενος πρόνοιαν. Εἰσὶ γὰρ τοιαῦται ψυχαί, αἷς μαρτυρεῖ τὸ τέλος, ὅτι κατ' ἀρετὴν τοῦτο ποιοῦσιν. Οὗτος κατοικτείρας τὸ τάγμα τῶν ἀσκητριῶν, ἐν Ἀφρικῇ τῇ πόλει ἔχων ἀναλώματα, ᾠκοδόμησε μεγάλην μονὴν καὶ συνήγαγε πάσας τὰς ἀλωμένας ἐν τῷ Μοναστηρίῳ, ἀκολούθως αὐτῶν φροντίζων εἰς πάντα, ποιήσας αὐταῖς πᾶσαν ἀνάπαυσιν καὶ ὅσα ἀπαιτεῖ ὁ ἀσκητικὸς βίος. Αὗται δὲ ἐκ διαφόρων βίων καὶ συνηθείας ἰδίας ἠγμέναι, συνεχεῖς μάχας ἐποίουν μετ' ἀλλήλων, ὁ δὲ εἰρήνευεν αὐτὰς ἐπὶ δύο ἔτη.

Ἔπειτα ἐπειράσθη ὑπὸ τοῦ ἐναντίου εἰς ἡδονὴν καὶ ἀναχωρήσας τοῦ Μοναστηρίου νῆστις ἐπλανᾶτο κατὰ τὴν ἔρημον ἐπὶ ἡμέρας δύο, δεόμενος τοῦ Θεοῦ καὶ λέγων, ὅτι, Κύριε, ἢ ἀπόκτεινόν με, ἵνα μὴ ἴδω ταύτας θλιβομένας, ἢ τὸ πάθος μου λάβε, ἵνα αὐτῶν φροντίζω κατὰ λόγον. Ἦσαν δὲ ὡσεὶ τριακόσιαι· καὶ γενομένης ἑσπέρας ὕπνωσεν ἐν τῇ ἐρήμῳ, καὶ ὡς αὐτὸς διηγήσατο, ἦλθον τρεῖς Ἄγγελοι πρὸς αὐτόν, καὶ λέγουσιν αὐτῷ· τί ἐξῆλθες ἀπὸ τοῦ γυναικείου Μοναστηρίου; Καὶ διηγεῖται αὐτοῖς τὸ πρᾶγμα εἰπών, ὅτι ἐφοβήθην, μήποτε ἐμαυτὸν κἀκείνας βλάψω. Καὶ λέγουσιν αὐτῷ· ἐάν σε τοῦ πάθους τούτου ἀπαλλάξωμεν, ἀπέρχει καὶ φροντίζεις αὐτῶν; Ἐπὶ τούτοις συνέθετο.

Τότε ὁ εἷς κατέσχεν αὐτοῦ τοὺς πόδας, καὶ ὁ ἕτερος τὰς χεῖρας, ὁ δὲ τρίτος λαβὼν ξυρόν, ἐξέτεμεν αὐτοῦ τοὺς διδύμους, οὐκ ἐν ἀληθείᾳ, κατ' ἔκστασιν δὲ καὶ φαντασίαν. Ὡς δὲ ἐνόμισεν ὅτι καὶ ἀπετμήθη καὶ ἐθεραπεύθη. Εἶτα ἐπερωτῶσιν αὐτόν· ᾐσθήθης ὠφελείας τινός; Λέγει ἐκεῖνος· σφόδρα ὠφέλημαι κουφισθείς, καὶ πέπεισμαι ἀπηλλάχθαι καὶ τοῦ πόνου καὶ τοῦ πάθους. Οἱ δὲ λέγουσιν αὐτῷ· ἄπελθε οὖν εἰς τὸ ἀσκητήριόν σου. Ὁ δὲ ὑπέστρεψε μετὰ πέντε ἡμέρας, καὶ πενθοῦντος περὶ αὐτοῦ παντὸς τοῦ ἀσκητηρίου, εἰσέρχεται ἔνδον καὶ ἔκτοτε ἔμεινεν ἐν κελ-

λίῳ πλησίον τοῦ Μοναστηρίου, ἐξ οὗ ἐγγύτερος ὢν συνεχῶς αὐτὰς διωρθοῦτο, ἐπιζήσας ἄλλα τεσσαράκοντα ἔτη διαβεβαιούμενος τοῖς Πατράσιν, ὅτι οὐκ ἀνέβη ἐπὶ τὸν νοῦν μου γυναικείου πάθους ἐπιθυμία καὶ ἐν τοιούτῳ χαρίσματι ἀπαθείας ἐτελειώθη.

Ἑρμηνεία

ΕΖΗ κάποτε ἕνας ἄριστος ἀσκητής, ποὺ ὠνομάζετο Ἠλίας. Αὐτὸς ἀγαποῦσε πάρα πολύ, κατὰ Χριστόν, τὰς μοναχὰς καὶ ἐφρόντιζε διὰ τὰς ἀσθενεστέρας αὐτὰς ὑπάρξεις. Ὑπάρχουν, πράγματι, τέτοιαι ψυχαί, τῶν ὁποίων τὸ τέλος ἐπιβεβαιώνει ὅτι αὐτὸ τὸ κάνουν ἀπὸ ἀρετήν. Αὐτός, ἀπὸ εὐσπλαγχνίαν πρὸς τὰς ἀσκητρίας, καὶ ἐπειδὴ εἶχε τὰ οἰκονομικὰ μέσα εἰς μίαν πόλιν τῆς Ἀφρικῆς, ἔκτισεν ἕνα μεγάλο Μοναστήρι καὶ ἐμάζευσεν ἐκεῖ ὅλας τὰς περιπλανωμένας μοναχάς· μετὰ τὰς ἐφρόντιζε δι' ὅλα, ἐξησφάλισε δὲ εἰς αὐτὰς κάθε ἀνάπαυσιν καὶ ὅσα ἀπαιτεῖ ὁ ἀσκητικὸς βίος. Αὐταὶ ὅμως ἐπειδὴ προήρχοντο ἀπὸ διαφορετικὰ κοινωνικὰ περιβάλλοντα καὶ ἡ κάθε μία εἶχε τὴν συνήθειάν της, ἐφιλονείκουν συνεχῶς μεταξύ των· καὶ αὐτὸς ἐπὶ δύο ἔτη τὰς εἰρήνευε.

Μετὰ ταῦτα ὁ ἐχθρὸς τῆς ψυχῆς τὸν ἐπείραξε μὲ τὴν ἐπιθυμίαν τῆς σαρκικῆς ἡδονῆς. Ἀμέσως τότε ἀνεχώρησεν ἀπὸ τὸ Μοναστήρι καὶ περιεπλανᾶτο δύο ἡμέρας νηστικὸς εἰς τὴν ἔρημον· παρεκάλει τὸν Θεὸν καὶ τοῦ ἔλεγε· Κύριε, ἢ σκότωσέ με, διὰ νὰ μὴ τὰς ἴδω νὰ στενοχωροῦνται, ἢ πάρε μου τὸ πάθος, διὰ νὰ τὰς φροντίζω μὲ ψυχικὴν ἠρεμίαν. Αἱ μοναχαὶ ἦσαν, περίπου, τριακόσιαι.

Ὅταν ἦλθε τὸ βράδυ ἐκοιμήθη εἰς τὴν ἔρημον. Ὅπως δὲ ὁ ἴδιος διηγήθη, τὸν ἐπεσκέφθησαν τρεῖς Ἄγγελοι καὶ τοῦ λέγουν· Διατί ἔφυγες ἀπὸ τὸ γυναικεῖον Μοναστήρι; Ἐκεῖνος τοὺς ἐξήγησε τὸ ζήτημα καὶ προσέθεσε· Ἐφοβήθηκα μήπως βλάψω καὶ τὸν ἑαυτόν μου καὶ ἐκείνας. —Ἂν σὲ ἀπαλλάξωμεν ἀπὸ τὸ πάθος — τοῦ προτείνουν — θὰ ἐπιστρέψῃς νὰ φροντίζῃς δι' αὐτάς; Καὶ συνεφώνησεν ὁ Ἠλίας μὲ αὐτὴν τὴν πρότασιν.

Τότε ὁ ἕνας τοῦ ἐκράτησε τὰ πόδια καὶ ὁ ἄλλος τὰ χέρια καὶ ὁ τρίτος ἐπῆρε ξυράφι καὶ τοῦ ἀπέκοψε τὰ γεννητικά του ὄργανα, ὄχι βεβαίως πραγματικά, ἀλλ' εἰς τὸ ὅραμά του. Τοῦ ἐφάνη δὲ ὅτι, κατὰ τὴν ἔκστασιν αὐτήν, ἐθεραπεύθη. Ἔπειτα τὸν ἐρωτοῦν οἱ Ἄγγελοι:

—Ἔνοιωσες καμμίαν ὠφέλειαν;

— Πάρα πολὺ ὠφελήθηκα —ἀπήντησεν ἐκεῖνος— καὶ ἐλάφρωσα. Εἶμαι βέβαιος ὅτι ἀπηλλάγην καὶ ἀπὸ τὸν πόνον καὶ ἀπὸ τὸ πάθος.

Μετὰ τὴν ὁμολογίαν αὐτὴν τοῦ λέγουν πάλιν:

— Γύρισε λοιπὸν τώρα εἰς τὸ ἀσκητήριόν σου.

Πράγματι, μετὰ πέντε ἡμέρας ἐπέστρεψεν, ἐνῷ ὅλαι ἐπενθοῦσαν διὰ τὴν ἐξαφάνισίν του. Ἐμπῆκε μέσα καὶ ἀπὸ τότε παρέμεινεν εἰς ἕνα μικρὸν κελλὶ κοντὰ εἰς τὸ Μοναστήρι, ἀπὸ τὸ ὁποῖον τὰς κατηύθυνε καὶ ὅπου ἐχρειάζετο τὰς διώρθωνε. Ἔζησε δὲ ἄλλα σαράντα χρόνια καὶ

ὅπως διεβεβαίωνε τοὺς Πατέρας ποτὲ δὲν ἦλθεν εἰς τὸν νοῦν του ἐπιθυμία πάθους διὰ γυναῖκας· καὶ μὲ τὸ χάρισμα αὐτὸ τῆς ἀπαθείας ἔφθασε εἰς τὸ μακάριον τέλος.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ἧς ἐν ἀσκήσει, μὴ θαρρήσῃ ἡ καρδία σου ἐν αὐτῇ, ὅτι αὕτη σε φυλάττει, ἀλλ' εἰπὲ τῷ λογισμῷ σου ὅτι διὰ τῆς κακουχίας τοῦ σώματος ὁ Θεὸς εἰσακούει τῆς ταλαιπωρίας μου.

Ἑρμηνεία

ΑΝ ἐπιδίδεσαι εἰς ἄσκησιν, νὰ μὴ στηρίξῃ τὸ θάρρος της ἡ καρδία σου εἰς αὐτήν, ὅτι τάχα αὐτὴ σὲ προφυλάγει. Νὰ εἰπῇς εἰς τὸν λογισμόν σου ὅτι ἐπειδὴ κακουχῶ τὸ σῶμα μου, ἀκούει ὁ Θεὸς τὴν ταλαιπωρίαν μου.

Γ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΕΙ ΕΣΤΙΝ ἡμῖν σπουδὴ κατὰ τὸν Ἀπόστολον νομίμως ἀθλῆσαι καὶ στεφανωθῆναι, νικήσαντες τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, μὴ ἡμετέρᾳ δυνάμει ἢ ἀσκήσει θαρρήσωμεν, ἀλλὰ τῇ βοηθείᾳ τοῦ Δεσπότου ἡμῶν Θεοῦ. Οὐ παύεται γὰρ ὁ ἄνθρωπος πολεμούμενος ὑπὸ τοῦ πνεύματος τούτου, ἕως οὗ ἐν ἀληθείᾳ πιστεύσῃ, ὅτι οὐκ ἰδίᾳ σπουδῇ οὐδὲ ἰδίῳ καμάτῳ, ἀλλὰ τῇ τοῦ Θεοῦ σκέπῃ καὶ βοηθείᾳ ἀπαλλάττεται ταύτης τῆς νόσου, καὶ εἰς τὸ ὕψος τῆς ἁγνείας ἀνέρχεται.

Καὶ γὰρ ὑπὲρ φύσιν ἐστὶ τὸ πρᾶγμα καὶ τρόπον τινὰ ἔξω τοῦ σώματος γίνεται ὁ τοὺς ἐρεθισμοὺς τῆς σαρκὸς καὶ τὰς ἡδονὰς ταύτης καταπατήσας, καὶ τούτου χάριν ἀδύνατόν ἐστιν ἄνθρωπον, ἵνα οὕτως εἴπω, τοῖς ἰδίοις πτεροῖς πρὸς τὸ ὑψηλὸν τοῦτο καὶ οὐράνιον βραβεῖον τῆς ἁγιωσύνης ἀναπτῆναι καὶ μιμητὴν Ἀγγέλων γενέσθαι, εἰ μὴ ἡ χάρις τοῦ Θεοῦ ἀπὸ τῆς γῆς τοῦτον καὶ τοῦ βορβόρου ἀναγάγοι. Οὐδεμιᾷ γὰρ ἄλλῃ ἀρετῇ μᾶλλον οἱ σαρκὶ συνδεδεμένοι ἄνθρωποι τοῖς πνευματικοῖς καὶ νοεροῖς Ἀγγέλοις ἐξομοιοῦνται, ὡς τῇ τῆς σωφροσύνης. Διὰ ταύτης γὰρ ἔτι ἐν τῇ γῇ ὄντες καὶ διάγοντες, ἔχουσι, κατὰ τὸν Ἀπόστολον, ἐν οὐρανοῖς τὸ πολίτευμα.

Δεῖγμα δὲ τοῦ τὴν ἀρετὴν ταύτην τελείως κεκτῆσθαι ἡμᾶς, τὸ μηδεμιᾷ εἰκόνι αἰσχρᾶς φαντασίας ἐν τοῖς ὕπνοις τὴν ψυχὴν προστρέχειν. Εἰ γὰρ καὶ μὴ λογίζεται ἁμαρτία ἡ τοιαύτη κίνησις, ὅμως τεκμήριον ὑπάρχει τοῦ νοσεῖν τὴν ψυχήν, καὶ μήπω τοῦ πάθους ἀπηλλάχθαι, καὶ τούτου χάριν τὰς συμβαινούσας ἡμῖν ἐν τοῖς ὕπνοις αἰσχρὰς φαντασίας, ἔλεγχον εἶναι τῆς προλαβούσης ῥαθυμίας, καὶ τῆς ἐν ἡμῖν ἀσθενείας πιστεύειν ὀφείλομεν. Καὶ γὰρ τὴν ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς κεκρυμμένην νόσον φανεροποιεῖ ἡ συμβαίνουσα ῥύσις ἡμῖν ἐν τῇ τοῦ ὕπνου ἀνέσει. Οἱ γὰρ εἰς τὸ ἄκρον τῆς ἁγιωσύνης καὶ ἁγνείας ἐλάσαντες, οὔτε ἐν τῷ ὕπνῳ ταῖς φαντασίαις προστρέχουσιν, οὔτε ἐγρηγορότες κινήσεως ὅλως αἰσθάνονται.

2. Οἵῳ ἀνδρὶ ἐν τῇ σκήτει συνέτυχον, ὃς ὑπὲρ τοὺς λοιποὺς Πατέρας τὸν τῆς ἁγνείας στέφανον λαμπρότερον περιέκειτο· καὶ ἐν αὐτῷ γὰρ τῷ τῆς ὄψεως χαρακτῆρι ἡ τῆς ψυχῆς καθαρότης ἐπέλαμπεν, ὃς ἐκ θείας χάριτος ὑπεραναβὰς καὶ

τοὺς τῆς φύσεως ὅρους, καὶ τὴν φυσικὴν ἀπηρνήσατο κίνησιν. Καὶ γὰρ ὡς ἐκ τῶν εἰδότων τὰ κατ' αὐτὸν ἀκριβῶς ἔμαθον, νηστείαις καὶ ἀγρυπνίαις καὶ δάκρυσιν οὗτος ἐπὶ πολὺ τὸν Θεὸν ἱκετεύων, ὥς τε τὸ τῆς σωφροσύνης δῶρον χαρισθῆναι αὐτῷ, ἔτυχε παρὰ τοῦ ἀγαθοῦ Δεσπότου τῆς αἰτήσεως. Καὶ ὁρᾷ ἐν ὀπτασίᾳ νυκτερινῇ Ἄγγελον δῆθεν τὴν γαστέρα αὐτοῦ διανοίξαντα, καὶ μᾶζαν τῇ χειρὶ πεπυρωμένην σαρκὸς ἐκ τῶν ἐγκάτων αὐτοῦ ἀποσπάσαντα, καὶ πάλιν τὰ κατὰ τὴν γαστέρα αὐτοῦ ἀποκαταστήσαντα, καὶ εἰπόντα αὐτῷ· ἰδοὺ ἀφειλόμην ἀπὸ σοῦ τῆς σαρκικῆς ἐπιθυμίας τὰ ὑπεκκαύματα, καὶ ἀπὸ τῆς σήμερον γίνωσκε τὴν ἁγνείαν σοι παρὰ Θεοῦ δεδωρῆσθαι, ἣν πιστῶς μεθ' ὑπομονῆς ἐζήτησας.

Ἑ ρ μ η ν ε ί α

ΑΝ πραγματικὰ ἐνδιαφερώμεθα, κατὰ τὸν Ἀπόστολον, νὰ ἀθλήσωμεν νόμιμα καὶ νὰ στεφανωθῶμεν (Β΄ Τιμοθ. 6΄, 5), ἀφοῦ νικήσωμεν τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, ἂς μὴ στηρίξωμεν τὸ θάρρος μας εἰς τὴν δύναμίν μας ἢ τὴν ἄσκησίν μας, ἀλλὰ εἰς τὴν βοήθειαν τοῦ Δεσπότου μας Θεοῦ. Διότι ὁ ἄνθρωπος δὲν θὰ σταματήσῃ νὰ πολεμῆται ἀπὸ αὐτὸ τὸ πνεῦμα, ὥσπου νὰ πιστεύσῃ πραγματικὰ ὅτι θὰ ἠμπορέσῃ νὰ ἀπαλαγῇ ἀπὸ αὐτὴν τὴν νόσον καὶ νὰ ἀνυψωθῇ εἰς τὸ ὕψος τῆς ἁγνείας μονάχα μὲ τὴν σκέπην καὶ βοήθειαν τοῦ Θεοῦ καὶ ὄχι μὲ τὴν ἰδικήν του φροντίδα ἢ τὸν κόπον.

Διότι βεβαίως τὸ πρᾶγμα εἶναι ἀνώτερον ἀπὸ τὴν ἀνθρωπίνην φύσιν καί, κατὰ κάποιον τρόπον, αὐτὸς ποὺ θὰ καταπατήσῃ τοὺς ἐρεθισμοὺς τῆς σαρκὸς καὶ τὰς ἡδονάς της ὑπερβαίνει τοὺς ὅρους τῆς φύσεως. Εἶναι ὅμως ἀδύνατον ὁ ἄνθρωπος νὰ ἐπιτύχῃ τοῦτο μόνος του, δηλαδὴ νὰ πετάξῃ μὲ τὰ ἰδικά του πτερά, —διὰ νὰ ὁμιλήσω ἔτσι— πρὸς τὸ ὑψηλὸν τοῦτο καὶ οὐράνιον βραβεῖον τῆς ἁγιωσύνης καὶ νὰ γίνῃ μιμητὴς τῶν Ἀγγέλων, ἂν δὲν τὸν ἀνεβάσῃ ἀπὸ τὴν γῆν καὶ τὸν βόρβορον ἡ Χάρις τοῦ Θεοῦ. Διότι μὲ καμμίαν ἄλλην ἀρετήν, ἐκτὸς ἀπὸ τὴν σωφροσύνην δὲν ἐξομοιώνονται οἱ σάρκινοι ἄνθρωποι μὲ τοὺς πνευματικοὺς καὶ νοεροὺς Ἀγγέλους. Μὲ αὐτὴν δηλαδὴ τὴν ἀρετήν, ἂν καὶ εὑρίσκονται καὶ ζοῦν εἰς τὴν γῆν, ἔχουν, κατὰ τὸν Ἀπόστολον, τὸ πολίτευμά τους εἰς τοὺς Οὐρανοὺς (Φιλιπ. γ΄, 20).

Ἀπόδειξις δὲ ὅτι ἀπεκτήσαμεν τελείως τὴν ἀρετὴν αὐτὴν εἶναι τὸ νὰ μὴ τρέχῃ ψυχή μας, ὅταν κοιμώμεθα, εἰς αἰσχρὰ ὄνειρα. Διότι ἂν καὶ ἡ κίνησις αὐτὴ τῆς ψυχῆς εἰς τὸν ὕπνον δὲν λογαριάζεται ἁμαρτία, ὅμως εἶναι ἀπόδειξις ὅτι νοσεῖ καὶ δὲν ἔχει ἀκόμη ἀπαλλαγῆ ἀπὸ τὸ πάθος. Διὰ τοῦτο πρέπει νὰ πιστεύωμεν ὅτι αἱ αἰσχραὶ φαντασίαι, αἱ ὁποῖαι μᾶς ἔρχονται εἰς τὸν ὕπνον, φανερώνουν τὴν προηγουμένην ῥαθυμίαν καὶ ἀδυναμίαν μας. Τὴν νόσον, δηλαδή, ποὺ κρύβεται εἰς τὰ ἀπόκρυφα τῆς ψυχῆς μας, ξεσκεπάζει ἡ ῥεῦσις, ποὺ μᾶς συμβαίνει εἰς τὴν ἄνεσιν τοῦ ὕπνου. Διότι ἐκεῖνοι ποὺ ἔφθασαν εἰς τὸ ἔπακρον τῆς ἁγιωσύνης καὶ τῆς ἁγνείας, οὔτε ὅταν κοιμῶνται προστρέχουν εἰς τὰς ἁμαρ-

τωλὰς φαντασίας τῶν ὀνείρων, οὔτε ὅταν εἶναι ξυπνητοὶ αἰσθάνονται καθόλου κίνησιν ἁμαρτωλῆς ἐπιθυμίας.

2. Μὲ ἕνα τοιοῦτον ἅγιον ἄνδρα ἐγνωρίσθην εἰς τὴν σκήτην, ποὺ ἦτο, στολισμένος μὲ τὸν λαμπρότερον στέφανον τῆς ἁγνείας· καὶ εἰς αὐτὸ ἀκόμη τὸ πρόσωπόν του ἔλαμπεν ἡ καθαρότης τῆς ψυχῆς του. Αὐτὸς μὲ τὴν βοήθειαν τῆς Θείας Χάριτος ἐξεπέρασε τοὺς ὅρους τῆς φύσεως καὶ ἀπέβαλε τελείως καὶ αὐτὴν τὴν φυσικὴν κίνησιν τῆς ἐπιθυμίας. Διότι, ὅπως ἐξηκρίβωσα ἀπὸ ἐκείνους, ποὺ τὸν ἐγνώριζον καλῶς, ἱκέτευε πάρα πολὺ τὸν Θεὸν μὲ νηστείας καὶ ἀγρυπνίας καὶ δάκρυα, διὰ νὰ τοῦ χαρισθῇ τὸ δῶρον τῆς σωφροσύνης· πράγματι δὲ εἰς τὸ τέλος ὁ ἀγαθὸς Δεσπότης ἱκανοποίησε τὸ αἴτημά του. Βλέπει εἰς νυκτερινὴν ὀπτασίαν ἕνα Ἄγγελον, ὁ ὁποῖος τοῦ ἄνοιξε, τάχα, τὴν κοιλίαν του καὶ ἀπέσπασε, μὲ τὸ χέρι του, ἀπὸ τὰ σπλάγχνα του μίαν πυρωμένην μᾶζαν σαρκὸς καὶ πάλιν, μετὰ τὴν ἐγχείρησιν αὐτήν, τοῦ ἐτακτοποίησε τὴν κοιλίαν.

— Νά, σοῦ ἀφήρεσα —τοῦ εἶπε— τὰ ἐρεθίσματα τῆς σαρκικῆς ἐπιθυμίας καὶ γνώριζε ὅτι ἀπὸ σήμερα ἡ ἁγνεία, τὴν ὁποίαν μὲ πίστιν καὶ ὑπομονὴν ἐζήτησες, σοῦ ἐδωρήθη ἀπὸ τὸν Θεόν.

Δ΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἀγωνιστής, ὑπὸ τῆς πορνείας ὀχλούμενος, ἠρώτησε τὸν Ἀββᾶν Ἀγάθωνα λέγων· τί ποιήσω; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ὕπαγε, ῥίψον ἐνώπιον τοῦ Θεοῦ τὴν δύναμίν σου, καὶ ἕξεις ἀνάπαυσιν.

2. Διηγήσαντο περὶ τῆς Ἀμμᾶς Σάρρας, ὅτι ἔμεινε δεκατρία ἔτη πολεμουμένη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, καὶ οὐδέποτε ηὔξατο ἀποστῆναι τὸν πόλεμον, ἀλλὰ μᾶλλον ἔλεγεν· ὁ Θεὸς δός μοι ἰσχύν. Ἐν μιᾷ οὖν σφοδρῶς ὑπ᾿ αὐτῆς ὀχλουμένη, ἀνῆλθεν εἰς τὸ δωμάτιον αὐτῆς προσεύξασθαι· καὶ ὤφθη αὐτῇ σωματικῶς τὸ πνεῦμα τῆς πορνείας καὶ εἶπεν αὐτῇ· σύ με ἐνίκησας, Σάρρα; ἀπεκρίθη ἐκείνη· οὐκ ἐνίκησά σε ἐγώ, ἀλλ᾿ ὁ Δεσπότης μου Χριστός.

3. Ἀνήρ τις ἀποταξάμενος τῷ κόσμῳ παρεγένετο εἰς σκῆτιν καὶ γέγονε Μοναχός. Ἦν δὲ ἀγωνιστής· συνέβη δὲ αὐτὸν φθόνῳ τοῦ πονηροῦ πολεμηθῆναι εἰς γυναῖκα. Καὶ ὡς ἐπέκειτο ὁ πόλεμος, ἀνήγγειλε τοῦτο τοῖς Πατράσιν· οἱ δὲ εἰδότες ὅτι ἐργάτης ἐστίν, ἐτίθουν αὐτῷ πολιτείας, ὁ δὲ προθύμως καταδεχόμενος ἐπετέλει, ὑφ᾿ ὧν τὸ σῶμα αὐτοῦ ἠσθένησε τοσοῦτον, ὡς μηδὲ ἀναστῆναι ἔτι δύνασθαι. Κατ᾿ οἰκονομίαν δὲ τοῦ Θεοῦ, τὶς τῶν Πατέρων παρέβαλεν ἀπὸ ξένης εἰς σκῆτιν, καὶ ἀπελθὼν πρὸς ἄλλους γέροντας, ἦλθε διερχόμενος καὶ πρὸς τὴν αὐτοῦ κέλλαν, ἣν ἰδὼν ἀνεῳγμένην, ἐθαύμασε πῶς οὐδεὶς ἐξῆλθεν ἐκεῖθεν εἰς ὑπάντησιν αὐτοῦ. Εἶπε δὲ πρὸς ἑαυτόν, μήποτε ὁ ἐν ταύτῃ οἰκῶν ἀσθενεῖ;

Προσελθὼν οὖν ἔκρουσε, καὶ ὡς οὐδεὶς προήρχετο, εἰσῆλθε καὶ εὗρεν αὐτὸν κείμενον ἀσθενοῦντα καὶ λέγει αὐτῷ· τί ἔχεις, πάτερ; Ὁ δὲ διηγήσατο αὐτῷ τὰ κατ᾿ αὐτόν, πῶς πολεμούμενοςεἰς γυναῖκα ἀνήγγειλε τοῖς Πατράσιν,, καὶ ἐπέθηκαν αὐτῷ πολιτείας διαφόρους, ἃς καὶ ποιοῦντός μου, φησί, τὸ μὲν σῶμα ἠσθένησε, ὁ δὲ πόλεμος αὔξει. Ὁ δὲ γέρων ἀκούσας, οἱ μὲν Πατέρες, ὡς δυνατοί, καλῶς ἐπέθεντό σοι τὰς πολιτείας, πλὴν εἴ μου ἀκούεις τῆς ταπεινώσεως, ἔασον λοι-

πὸν τὰς πολιτείας, ἐπεὶ μὴ εὗρες ὠφέλειαν ἐξ αὐτῶν, καὶ μεταλάμβανέ σου τὴν μικρὰν τροφὴν εἰς τὸν καιρὸν αὐτῆς καὶ ποιῶν τὴν μικράν σου σύναξιν. Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου καὶ τὴν ἀδυναμίαν σου· ἐν γὰρ τοῖς σοῖς πόνοις οὐ δυνήσει τοῦ πολέμου περιγενέσθαι. Ἴσθι δὲ ὅτι τὸ σῶμα ἡμῶν ὡς ἱμάτιόν ἐστιν· ἐὰν ἐπιμεληθῇς αὐτοῦ σώζεται, ἐὰν δὲ ἀμελήσῃς σήπεται. Ὁ δὲ ἐποίησεν οὕτω, καὶ ἐντὸς ἡμερῶν ὀλίγων ἀπέστη ὁ πόλεμος ἀπ᾽ αὐτοῦ.

4. Ἀναχωρητής τις ἦν παρθένος, γυναῖκα σχεδὸν ἀγνοῶν, καὶ τί ἐστιν ἡ πορνεία. Ἔλεγε δὲ αὐτός, ὅτι τὸ μέλος τοῦτο ἔχει ὁ ἄνθρωπος εἰς τὸ προχωρεῖν τὸ ὕδωρ, ὃν τρόπον ἐν τῷ βαυκαλίῳ ἐστὶ τὸ μασθίον εἰς τὸ κενοῦν τὸ ἐν αὐτῷ ὕδωρ. Καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, ὁρᾷ τοὺς δαίμονας ὡς αἰθίοπας κύκλῳ κινοῦντας αὐτῷ τὸ πάθος. Ἐπυροῦτο μὲν οὖν καὶ ἐπεθύμει, ἠγνόει δὲ ἐξ ἀπειρίας τίνος καθέστηκεν ἐραστής.

Ἐν μιᾷ οὖν δείκνυσιν αὐτῷ ὁ διάβολος ἄνδρα μετὰ γυναικὸς τὸ μῦσος ἐργαζόμενον. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ὑπερβολὴν τῆς κακίας τοῦ δαίμονος, ἐσκέπασε τὸν ἀδελφόν, ὁδηγήσας εἰς γέροντά τινα μέγαν ἀπελθεῖν, ὃς διδάξας αὐτὸν πῶς δεῖ πρὸς τοὺς δαίμονας ἀγωνίσασθαι ἀπέλυσε. Καὶ ὑποστρέψας ὁ ἀδελφὸς ἠγωνίσατο δεόμενος τοῦ Θεοῦ, καὶ ἔδωκεν αὐτῷ ὁ Θεὸς τοσοῦτον προκόψαι ὡς καὶ μεγάλου αὐτὸν ἀξιωθῆναι χαρίσματος· ἐπληροφορεῖτο γὰρ περὶ τῆς ψυχῆς ἑκάστου τῶν ἀποθνησκόντων ἀδελφῶν, εἰ καλῶς εἶχεν ἢ κακῶς, καὶ ποῦ μέλλει ἀπελθεῖν.

5. Ἀδελφὸς οἰκῶν ἐν τῇ ἐρήμῳ ὠχλήθη ὑπὸ πορνείας καὶ ἀπελθὼν εὗρε φωλεὸν ὑαίνης, καὶ εἰσελθὼν ἐν αὐτῷ ἔμεινεν ἄσιτος ἐπὶ ἓξ ἡμέρας. Εἶτα ἐλθούσης τῆς ὑαίνης, ἰδὼν αὐτὴν καὶ φοβηθεὶς εἶπε· Κύριε, ἐὰν μέλλω τὸ σῶμά μου μιᾶναι, δὸς αὐτῇ ἐξουσίαν κατ᾽ ἐμοῦ, εἰ δὲ μή, σῶσόν με ἀπ᾽ αὐτῆς. Καὶ εὐθέως ἤκουσε φωνῆς λεγούσης· εὐνουχήσαντες αὐτὸν ἀπολύσατε, καὶ παραχρῆμα ἀπέστη ὁ πόλεμος ἀπ᾽ αὐτοῦ.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἀγωνιστής, ποὺ ἠνωχλεῖτο ἀπὸ λογισμοὺς πορνείας, κατέφυγεν εἰς τὸν Ἀββᾶν Ἀγάθωνα.

— Τί νὰ κάμω; τὸν ἠρώτησε.

— Πήγαινε, τοῦ ἀπήντησεν ὁ Γέρων, ταπείνωσε τὴν δύναμίν σου ἐνώπιον τοῦ Θεοῦ καὶ θὰ ἔχῃς ἀνάπαυσιν.

1. Διηγοῦντο διὰ τὴν Ἀμμᾶν* Σάρραν, ὅτι ἐπὶ δέκα τρία ἔτη ἐπολεμεῖτο ἔντονα ἀπὸ τὸν δαίμονα τῆς πορνείας καὶ ποτὲ δὲν παρεκάλεσε νὰ τῆς φύγῃ ὁ πόλεμος. Ἀπ᾽ ἐναντίας ἔλεγε· Θεέ μου, δυνάμωσέ με. Μίαν ἡμέραν λοιπόν, ποὺ ἠνωχλεῖτο ἰσχυρῶς ἀπὸ πορνικοὺς λογισμούς, ἀνέβηκεν εἰς τὸ δωμάτιόν της νὰ προσευχηθῇ καὶ τῆς ἐφανερώθη σωματικὰ τὸ πνεῦμα τῆς πορνείας.

---

* Ἀμμὰ ἢ Ἀμμὰς εἶναι τὸ ἀντίστοιχον τοῦ Ἀββᾶ, ὅταν πρόκειται διὰ Μοναστήριον γυναικῶν. Ὅπως δηλαδὴ ὁ ἡγούμενος Μοναστηρίου ἀνδρῶν λέγεται καὶ Ἀββᾶς, οὕτως ἡ ἡγουμένη μοναστηρίου γυναικῶν λέγεται καὶ Ἀμμά. (Ἡ κυρία σημασία τῆς λέξεως εἶναι Μῆτερ, ἀντίστοιχον τοῦ Πάτερ).

— Σὺ μὲ ἐνίκησες, Σάρρα; τὴν ἠρώτησε.

— Δὲν σὲ ἐνίκησα ἐγώ, ἀλλ' ὁ Δεσπότης μου Χριστός, ἀπήντησεν ἐκείνη.

3. Κάποιος ἄνδρας ἀρνήθηκε τὸν κόσμον, ἦλθεν εἰς σκήτην καὶ ἔγινε Μοναχός. Ἦτο ἀγωνιστής. Συνέβη λοιπὸν ἀπὸ φθόνον τοῦ πονηροῦ νὰ πολεμηθῇ ἀπὸ τὴν ἐπιθυμίαν γυναικός. Καθὼς δὲ τὸν ἐπλησίαζεν ὁ πόλεμος, τὸ ἐφανέρωσεν εἰς τοὺς Πατέρας. Ἐκεῖνοι, ἐπειδὴ τὸν ἐγνώριζαν ὅτι ἦτο ἀγωνιστής, τοῦ ἐπέβαλλον ἀσκήσεις, τὰς ὁποίας ἐξετέλει μὲ προθυμίαν. Ἀπὸ τὰς ἀσκήσεις ἐξησθένησε τόσον πολὺ τὸ σῶμα του, ὥστε νὰ μὴ ἠμπορῇ οὔτε νὰ σηκωθῇ.

Κατ' οἰκονομίαν Θεοῦ ἦλθεν εἰς τὴν σκήτην κάποιος ξενομερίτης Πατήρ. Ἀφοῦ ἐπεσκέφθη λοιπὸν διαφόρους ἄλλους Γέροντας, ἐπέρασε καὶ ἀπὸ τὸ κελλὶ τοῦ Μοναχοῦ αὐτοῦ. Ἐθαύμασεν ὅμως, διότι ἐνῷ ἦτο ἀνοικτὴ ἡ θύρα τοῦ κελλίου, δὲν ἐβγῆκεν ἔξω κανεὶς νὰ τὸν προϋπαντήσῃ. Εἶπε δὲ ἀπὸ μέσα του· μήπως ἄραγε εἶναι ἄρρωστος αὐτὸς ποὺ κατοικεῖ εἰς αὐτὸ τὸ κελλί;

Ἀφοῦ λοιπὸν ἐπλησίασεν, ἐκτύπησεν, ἀλλὰ κανεὶς δὲν παρουσιάσθη. Δι' αὐτὸ εἰσῆλθε καὶ εὑρῆκε τότε τὸν Μοναχὸν αὐτὸν νὰ κείτεται ἄρρωστος.

— Τί ἔχεις, πάτερ; τὸν ἐρωτᾷ.

Εἰς ἀπάντησιν ὁ Μοναχὸς διηγήθη τὰ βάσανά του, ὅτι δηλαδὴ πολεμεῖται ἀπὸ ἐπιθυμίαν γυναικός· ὅτι τὸ ἐφανέρωσεν εἰς τοὺς Πατέρας καὶ ὅτι ἐκεῖνοι μοῦ ἐπέβαλλον διαφόρους ἀσκήσεις, τὰς ὁποίας καθὼς ἐξετέλουν —εἶπεν ἐν τέλει— τὸ μὲν σῶμα μου ἠσθένησε, ἐνῷ ὁ πόλεμος μεγαλώνει.

Ἀφοῦ ἤκουσεν ὅλα αὐτὰ ὁ Γέρων, τοῦ ἀπήντησεν:

—Οἱ Πατέρες, ὡς δυνατοί, καλὰ σοῦ ὥρισαν αὐτὰς τὰς ἀσκήσεις. Πλὴν ἂν θέλῃς, ἄκουσε καὶ ἐμὲ τὸν ταπεινόν· ἄφησε εἰς τὸ ἑξῆς τὰς ἀσκήσεις, ἀφοῦ δὲν εὗρες ἀπὸ αὐτὰς καμμίαν ὠφέλειαν, τρῶγε τὴν ὀλίγην τροφήν σου κατὰ τὴν ὥραν τοῦ φαγητοῦ καὶ κάνε τὴν μικράν σου ἀκολουθίαν. Ἀνάθεσε εἰς τὸν Κύριον τὴν μέριμνάν σου (Ψαλμ. νδ΄, 23) καὶ τὴν ἀδυναμίαν σου· διότι μονάχα μὲ τοὺς κόπους σου δὲν θὰ ἠμπορέσῃς νὰ νικήσῃς εἰς αὐτὸν τὸν πόλεμον.

Μάθε δὲ ὅτι τὸ σῶμα μας εἶναι ὅπως ἕνα φόρεμα. Ἐὰν τὸ φροντίσῃς, θὰ διατηρηθῇ ἐὰν τὸ παραμελήσῃς, θὰ κατασραφῇ.


Ὁ Μοναχὸς ἔκαμε, πράγματι, ὅπως τοῦ συνέστησεν ὁ ξενομερίτης Γέρων καὶ ἐντὸς ὀλίγων ἡμερῶν ἔφυγεν ἀπὸ ἐπάνω του ὁ πόλεμος.

4. Ἦτο κάποιος ἀναχωρητής, ποὺ παρέμεινε πραγματικὰ παρθένος, δὲν ἐγνώριζε σχεδὸν γυναῖκα, καθὼς καὶ τί εἶναι πορνεία. Ἔλεγε δὲ ὅτι τὸ γενετήσιον ὄργανον τὸ ἔχει ὁ ἄνθρωπος διὰ νὰ φεύγῃ τὸ νερόν, ὅπως ἀκριβῶς εἰς τὸ δοχεῖον ὑπάρχει τὸ στόμιον διὰ νὰ ἀδειάζωμεν τὸ νερὸ ποὺ εὑρίσκεται εἰς αὐτό. Μετὰ τὴν σκέψιν αὐτήν, καθὼς ὕψωσε τὰ μάτια του, βλέπει τοὺς δαίμονας, ὡς μαύρους νὰ τὸν κυκλώ-

νουν καὶ νὰ τοῦ ἐρεθίζουν τὸ πάθος. Ἄναβε λοιπὸν ἀπὸ τὴν ἐπιθυμίαν, δὲν ἐγνώριζεν ὅμως, ἀπὸ ἔλλειψιν πείρας, τί πρᾶγμα ἦτο ἐκεῖνο ποὺ ἐπεθύμει.

Μίαν ἡμέραν τοῦ παρουσιάζει ὁ διάβολος ἕνα ἄνδρα νὰ διαπράττῃ τὴν ἁμαρτίαν μὲ μίαν γυναῖκα. Βλέπων ὁ Θεὸς τὴν ὑπερβολὴν τῆς κακίας τοῦ δαίμονος ἐσκέπασε τὸν ἀδελφὸν καὶ τὸν ὡδήγησε νὰ ὑπάγῃ πρὸς ἕνα μεγάλον Γέροντα, ὁ ὁποῖος τὸν ἐδίδαξε πῶς πρέπει νὰ ἀγωνίζεται ἐναντίον τῶν δαιμόνων καὶ κατόπιν τὸν ἄφησε νὰ ἐπιστρέψῃ εἰς τὸ κελλί του. Ἀφοῦ ἐγύρισεν ὁ ἀδελφὸς ἠγωνίσθη παρακαλῶν τὸν Θεόν. Ὁ Θεὸς τοῦ ἔδωσε πράγματι τὴν δύναμιν νὰ προκόψῃ τόσον, ὥστε νὰ ἀξιωθῇ νὰ λάβῃ καὶ ἕνα μεγάλο χάρισμα· ἐπληροφορεῖτο δηλαδὴ (ὑπὸ τῆς θείας Χάριτος) διὰ τὴν ψυχὴν τοῦ καθενός, ποὺ ἀπέθνησκεν, ἐὰν εὑρίσκετο εἰς καλὴν ἢ κακὴν κατάστασιν καὶ ποῦ πρόκειται νὰ ὑπάγῃ.

5. Ἕνας ἀδελφὸς ὁ ὁποῖος ἐκατοικοῦσε εἰς τὴν ἔρημον, ἠνωχλήθη ἀπὸ λογισμοὺς πορνείας. Ἐπῆγε λοιπὸν καὶ εὗρε φωλεὰν ὑαίνης καὶ ἀφοῦ εἰσῆλθεν εἰς αὐτήν, παρέμεινε νηστικὸς ἐπὶ ἓξ ἡμέρας. Ὅταν ἦλθεν ἡ ὕαινα, τὴν εἶδε καὶ ἐφοβήθη. Κύριέ μου — εἶπεν — ἂν πρόκειται νὰ μιάνω τὸ σῶμα μου, δῶσε εἰς αὐτὴν ἐξουσίαν ἐναντίον μου· διαφορετικὰ γλύτωσέ με ἀπὸ αὐτήν. Καὶ ἀμέσως ἤκουσε φωνήν, ποὺ ἔλεγεν. Ἀφοῦ τὸν εὐνουχήσετε, ἐλευθερώσατέ τον· καὶ ἀμέσως ἔφυγεν ὁ πόλεμος ἀπὸ ἐπάνω του.



ΥΠΟΘΕΣΙΣ ΚΖ'

Τίς ἡ τιμὴ τῆς ἁγνείας καὶ τίς ἡ τῆς πορνείας ἀτιμία, καὶ ἑκατέρων τὰ τέλη καὶ ἀνταποδόματα, καὶ νῦν καὶ ἐν τῷ μέλλοντι.

Ποία εἶναι ἡ τιμὴ τῆς ἁγνείας καὶ ποία ἡ ἀτιμία τῆς πορνείας· καὶ ποία ἡ πληρωμὴ καὶ ἀνταπόδοσις τῶν δύο καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ εἰς τὴν μέλλουσαν.

Α'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΘΕΛΕΙΣ, ἀδελφέ, μαθεῖν πῶς χαλεπὴ ἡ πορνεία καὶ ὀλέθριος; ἀναλόγισαι, ὅτι οὓς οὐκ ἴσχυσαν δήγματα ὄφεων θανατῶσαι ἐν τῇ ἐρήμῳ, τούτους ἡ πορνεία ἐν Μαδιὰμ κατέστρωσε, καὶ διὰ ταύτην καὶ θυσίαν εἰδώλων ἐσθίειν οὐ παρῃτήσαντο. Ὅθεν ἔπεσον ἐκ τοῦ λαοῦ ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες.

Ἑρμηνεία

ΘΕΛΕΙΣ, ἀδελφέ, νὰ μάθῃς πόσον φοβερὰ καὶ καταστρεπτικὴ εἶναι ἡ πορνεία; Σκέψου ὅτι ἐκείνους, ποὺ δὲν ἠμπόρεσαν νὰ θανατώσουν εἰς τὴν ἔρημον τὰ δαγκώματα τῶν φιδιῶν, αὐτοὺς τοὺς ἔρριξε κάτω νεκροὺς ἡ πορνεία εἰς τὴν Μαδιάμ· ἐξ αἰτίας αὐτῆς καὶ κρέατα ἀκόμη εἰδωλολατρικῆς θυσίας ἔφαγον. Ἕνεκα δὲ τῆς παραβάσεως αὐτῆς ἔπεσαν κάτω νεκροί, εἰς μίαν μόνον ἡμέραν, εἴκοσι τρεῖς χιλιάδες ἀπὸ τὸν λαόν.*

---

* Τὰ γεγονότα τὰ ὁποῖα ὑπαινίσσεται ἐνταῦθα ὁ συγγραφεὺς εἶναι τὰ ἑξῆς: Πορευόμενοι ἐν τῇ ἐρήμῳ οἱ Ἑβραῖοι ἐξεκίνησαν ἐκ τοῦ ὄρους Ὢρ καὶ περιεκύκλωσαν τὴν γῆν Ἐδώμ. Ἀλλ' ὁ λαὸς ὠλιγοψύχησεν εἰς τὸν δρόμον, ὡς στερούμενος ἄρτου καὶ ὕδατος, καὶ ἤρχισε νὰ γογγύζῃ κατὰ τοῦ Μωϋσέως. Τότε ὁ Θεὸς ὠργίσθη κατὰ τῶν Ἑβραίων καὶ ἔστειλεν ἐναντίον αὐτῶν δηλητηριώδεις ὄφεις, ὅποιος δὲ ἐδαγκάνετο ὑπὸ τῶν ὄφεων ἀπέθνησκεν. Οὕτως ἀπέθανε «λαὸς πολὺς τῶν υἱῶν

Β'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· τί ποιήσω, Ἀββᾶ, ὅτι πολεμοῦμαι δεινῶς ὑπὸ τῆς πορνείας; Ὁ δὲ γέρων εἶπεν αὐτῷ· περὶ τούτου τοῦ λογισμοῦ ἀσφάλισαι ὅση δύναμίς σοί ἐστι· καὶ γὰρ ἐκ τούτου τοῦ λογισμοῦ ἀπόγνωσις σωτηρίας τῷ ἡττηθέντι γίνεται. Ὥς περ γὰρ πλοῖον τρικυμίαις καὶ κλύδωνι καὶ θαλάσσῃ μαχόμενον, ἐὰν τὸ πηδάλιον ἀποβάλῃ, ἐγγὺς μέν ἐστι τοῦ κινδυνεῦσαι, πλὴν ἔτι πλέει· ὁμοίως ἐὰν τὸ κερατίδιν κλασθῇ ἢ ἄλλο τι τῶν πρὸς ἀσφάλειαν τοῦ πλέειν ἀπολέσῃ, ἔτι οἱ ἐν αὐτῷ ἐν ἐλπίσιν εἰσὶ χρησταῖς τοῦ σκάφους σῳζομένου.

Οὕτω καὶ ὁ Μοναχὸς ἐὰν ῥαθυμῇ εἰς τὰ ἄλλα πάθη, ἤγουν ῥαθυμῶν νικᾶται ὑπό τινος τῶν ἄλλων παθῶν, προσδοκᾷ διὰ μετανοίας περιγενέσθαι αὐτῶν. Ἐὰν δὲ ἅπαξ εἰς τὸ πάθος τῆς πορνείας παραπέσῃ, ὡς ναυαγήσας εἰς ἀπόγνωσιν ἔρχεται, τοῦ πλοίου κάτω ἀπελθόντος.

2. Εἶπε γέρων· μικρὸν ἀψίνθιον ἀχρειοῖ κεράμιον μέλιτος, καὶ μία ἁμαρτία σωματικὴ ἀπελαύνει τῆς Βασιλείας τῶν οὐρανῶν καὶ τῇ γεέννῃ τοῦ πυρὸς παραπέμπει. Φεῦγε, ὦ ταπεινὲ Μοναχέ, σωματικὴν ἁμαρτίαν ὡς πῦρ, ἵνα μὴ ὑπὸ ταύτης καταφλεχθῇς.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

— Τί νὰ κάμω, —τοῦ λέγει— Ἀββᾶ, ποὺ πολεμοῦμαι φοβερὰ ἀπὸ τὴν πορνείαν;

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Πρόσεξε νὰ ἀσφαλισθῇς ἐναντίον αὐτοῦ τοῦ λογισμοῦ ὅσον ἠμπορεῖς· διότι ὅποιος νικηθῇ ἀπὸ αὐτὸν τὸν λογισμὸν κινδυνεύει νὰ χάσῃ κάθε ἐλπίδα τῆς σωτηρίας του. Ὅπως ἀκριβῶς τὸ πλοῖον, ὅταν ἀγωνίζεται μὲ τὴν τρικυμίαν, τὴν θαλασσοταραχὴν καὶ τὰ κύματα, ἂν

Ἰσραήλ». Ὁ λαὸς μετενόησε διὰ τὴν ἁμαρτίαν του καὶ ἐζήτησεν ἀπὸ τὸν Μωϋσῆν νὰ παρακαλέσῃ τὸν Θεὸν νὰ τὸν σώσῃ. Τότε ὁ Μωϋσῆς, κατὰ διαταγὴν τοῦ Θεοῦ, κατεσκεύασε χάλκινον ὄφιν, τὸν ὁποῖον ἔστησεν εἰς ὑψηλὸν μέρος· ὅποιον δὲ ἐδάγκανον οἱ ὄφεις, ὅταν ἔστρεφε τὸ βλέμμα πρὸς τὸν χάλκινον ὄφιν, ἐσώζετο (Ἀριθ. κεφ. ΚΑ' 4—9). Ὅταν βραδύτερον οἱ Ἑβραῖοι ἔφθασαν εἰς Σαττείν, ἐν τῇ χώρᾳ Μωάβ, ἐβεβηλώθησαν ἐν τῇ πορνείᾳ μὲ τὰς θυγατέρας Μωάβ, ἔφαγον δὲ καὶ ἀπὸ τὰ κρέατα τῶν εἰδωλολατρικῶν θυσιῶν, πρᾶγμα τὸ ὁποῖον ἀπηγορεύετο αὐστηρῶς, καὶ ἐπροσκύνησαν τὰ εἴδωλα. Ὁ Κύριος ὠργίσθη διὰ τὴν ἀσέβειαν αὐτὴν καὶ διέταξε τὸν Μωϋσῆν νὰ τιμωρήσῃ τοὺς παραβάτας. Καὶ ὁ Μωϋσῆς διέταξε τὰς φυλὰς τοῦ Ἰσραήλ, νὰ τιμωρήσῃ ἕκαστος τὸν συγγενῆ αὐτοῦ, ὁ ὁποῖος ὑπέπεσεν εἰς ἁμαρτίαν. Ἐτιμωρήθησαν τότε διὰ θανάτου εἴκοσι τέσσαρες χιλιάδες Ἑβραῖοι, πολὺ περισσότεροι ἀπὸ ὅσους ἀπέθανον ἀπὸ τὰ δήγματα τῶν ὄφεων. (Ἀριθμοί, κεφ. ΚΕ', 1—9).

τοῦ φύγῃ τὸ τιμόνι, διατρέχει κίνδυνον, ἀλλ' ὅμως πλέει ἀκόμη· ἐπίσης καὶ ἂν σπάσῃ ὁ ἱστὸς (κατάρτι) ἢ χάσῃ κάτι ἄλλο ἀπὸ αὐτά, ποὺ ἀσφαλίζουν τὸ ταξίδι, ἠμποροῦν ἀκόμη οἱ ἐπιβάται νὰ ἐλπίζουν, ὅτι θὰ σωθῇ τελικὰ τὸ σκάφος.

Ἔτσι ἀκριβῶς καὶ ὁ Μοναχὸς ἠμπορεῖ νὰ περιμένῃ ὅτι μὲ τὴν μετάνοιαν θὰ ἐπιβληθῇ εἰς τὰ διάφορα ἄλλα πάθη, ἐὰν εἰς κάποιο ἀπ' αὐτὰ νικᾶται ἀπὸ ἀμέλειαν ἢ ῥαθυμίαν. Ἂν ὅμως διὰ μίαν φορὰν περιπέσῃ εἰς τὸ πάθος τῆς πορνείας, τότε ἀπελπίζεται ὅπως ὁ ναυαγός, ὅταν τὸ πλοῖον πλέον βυθίζεται.

2. Ἕνας Γέρων εἶπεν· ὀλίγη ἀψιθιὰ* ἀχρηστεύει ὁλόκληρον δοχεῖον μὲ μέλι· καὶ μία σωματικὴ ἁμαρτία ἀπομακρύνει ἀπὸ τὴν Βασιλείαν τῶν Οὐρανῶν καὶ στέλλει εἰς τὴν γέενναν τοῦ πυρός. Φεῦγε μακρυά, ταπεινὲ Μοναχέ, ἀπὸ τὴν σωματικὴν ἁμαρτίαν, ὅπως ἀπὸ τὴν φωτιάν, διὰ νὰ μὴ κατακαῇς ἀπὸ αὐτήν.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΩΣ ΠΕΡ θυμίαμα εὐφραίνει αἴσθησιν, οὕτω καὶ ἐπὶ τῇ ἁγνείᾳ εὐφραίνεται τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ κατοικεῖ ἐν τῷ ἀνθρώπῳ. Ὥς περ δὲ ὗς τέρπεται εἰς κύλισμα βορβόρου, οὕτω καὶ οἱ δαίμονες τέρπονται ἐπὶ τῇ δυσωδίᾳ τῆς πορνείας. Φῶς μέγα καὶ χαρὰ καὶ εἰρήνη καὶ ὑπομονὴ κατοικεῖ ἐν τῇ ἁγνείᾳ. Λύπη δὲ καὶ ἀκηδία καὶ ὕπνος ἀκόρεστος καὶ σκότος ζοφερὸν συνέζευκται τῇ πορνείᾳ. Ἀγάπα, Μοναχέ, τὴν ἁγνείαν ἐν ἀγάπῃ Χριστοῦ· οὕτω γὰρ ἁρμόζει τῇ σῇ πολιτείᾳ, ὃν τρόπον σκέπαρνον τέκτονι.

2. Ἀδελφέ, μὴ οὕτω τὸ σῶμα ἀφόβως φιλοκάλει καλλωπίζων, ἀλλ' ἄκουε τοῦ Ἀποστόλου λέγοντος· τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. Οὐκ οἶδας οἵῳ ἐχθρῷ προσπαλαίεις; οὐκ οἶδας ὅτι χαλεπόν ἐστιν εἶναι παγίδα ἑτέρας ψυχῆς; Καὶ τοῦτο δὲ γίνωσκε, ὅτι ἐὰν ὁ ἔξωθεν ἄνθρωπος εἴη κεκαλλωπισμένος καὶ εὐειδής, ἡ δὲ ψυχή ἐστιν ἐρρυπωμένη ἔνδον, οὐ χρονιεῖ τούτου τὸ κάλλος διαφθαρῆναι. Ἐὰν δὲ κτήσῃ κάλλος ψυχῆς, συμφωνήσει ἐκ τοῦ κάλλους αὐτῆς καὶ εἰς τὸν ἔξω ἄνθρωπον, καὶ τοῦτο τὸ κάλλος σοι διαμενεῖ.

Ἑρμηνεία

ΟΠΩΣ τὸ θυμίαμα μᾶς προκαλεῖ εὐάρεστα συναισθήματα, ἔτσι καὶ τὸ Ἅγιον Πνεῦμα εὐχαριστεῖται εἰς τὴν ἁγνείαν καὶ κατοικεῖ εἰς τὸν ἁγνὸν ἄνθρωπον. Ὅπως, πάλιν, ὁ χοῖρος χαίρεται νὰ κυλίεται εἰς τὸν βόρβορον, ἔτσι καὶ οἱ δαίμονες διασκεδάζουν μὲ τὴν δυσωδίαν τῆς πορνείας. Εἰς τὴν ἁγνείαν κατοικεῖ ὁλόλαμπρον φῶς καὶ χαρὰ καὶ εἰ-

* Ἡ ἀψιθιὰ εἶναι φυτὸν φρυγανῶδες τοῦ γένους Ἀρτεμισία. Εἶναι ἀρωματικὴ καὶ πολὺ πικρή. Σήμερον τόσον ἡ ἀψιθιὰ ὅσον καὶ τὸ ἐξ αὐτῆς παραγόμενον αἰθέριον ἔλαιον χρησιμοποιοῦνται εὐρύτατα εἰς τὴν φαρμακευτικήν. Δι' αὐτὸ ὁ Γέρων ἐδῶ ἐννοεῖ ὅτι ὀλίγη ἀψιθιὰ μὲ τὴν μεγάλην πικράδαν της ἐὰν ριφθῇ εἰς ἕνα δοχεῖον μὲ μέλι τὸ ἀχρηστεύει.

ρήνη καὶ ὑπομονή. Ἐνῷ μὲ τὴν πορνείαν ἔχουν συνδεθῆ λύπη καὶ ψυχικὴ κατάπτωσις καὶ ἀχόρταστος ὕπνος καὶ σκότος πυκνόν. Νὰ ἀγαπᾷς, Μοναχέ, τὴν ἁγνείαν μὲ ἀγάπην Χριστοῦ· διότι αὐτὸ ταιριάζει εἰς τὴν ἀσκητικὴν ζωήν σου ὅπως τὸ σκεπάρνι εἰς τὸν μαραγκόν.

2. Ἀδελφέ, νὰ μὴ περιποιῆσαι καὶ νὰ καλλωπίζῃς τόσον ἄφοβα τὸ σῶμα σου, ἀλλὰ νὰ προσέχῃς αὐτό, ποὺ λέγει ὁ Ἀπόστολος· «νὰ ἀποφεύγῃς τὰς ἐπιθυμίας τῆς νεότητος» (Β΄ Τιμ. 6΄, 22). Δὲν γνωρίζεις μὲ ποῖον ἐχθρὸν παλαίεις; Δὲν γνωρίζεις ὅτι εἶναι φοβερὸν νὰ γίνεσαι παγὶς (σκάνδαλον) ἄλλης ψυχῆς; Καὶ αὐτὸ ἀκόμη νὰ γνωρίζῃς· ἂν ὁ ἐξωτερικὸς ἄνθρωπος εἶναι στολισμένος καὶ ὡραῖος, ἡ δὲ ψυχὴ ἀπὸ μέσα ἔχει ἀσχημίσει, δὲν θὰ ἀργήσῃ καὶ ἡ σωματικὴ ὡραιότης νὰ χαλάσῃ. Ἂν ὅμως ἀποκτήσῃς ψυχικὴν ὡραιότητα θὰ ξεχυθῇ ἀπὸ τὴν ὡραιότητα αὐτὴν καὶ εἰς τὸν ἐξωτερικὸν ἄνθρωπον, ὁπόταν ἡ ὡραιότης αὐτὴ θὰ παραμείνῃ.



ΥΠΟΘΕΣΙΣ ΚΗ'

Ὅτι καὶ τὸ τοὺς αἰσχροὺς λογισμοὺς παραδέχεσθαι καὶ μὴ εὐθέως ἀποκρούεσθαι ὁμοίως καὶ τὸ περιέργως βλέπειν καὶ αἰσχρὰ λαλεῖν ἢ ἀκούειν ὑπὸ τιμωρίαν ἐστίν· ἡ δὲ συγκατάθεσις ἐπίσης τῇ πράξει κολάζεται, καὶ ὅτι διὰ πολλῶν καὶ ποικίλων μεθοδειῶν τὸ πνεῦμα τῆς πορνείας προσβάλλει, διὸ καὶ προσεκτέον ἀεί.

Ὅτι καὶ τὸ νὰ παραδέχεται κανεὶς τοὺς αἰσχροὺς λογισμοὺς καὶ νὰ μὴ τοὺς ἀπομακρύνῃ ἀμέσως, ὅπως ἐπίσης καὶ τὸ νὰ βλέπῃ κανεὶς περίεργα καὶ νά λαλῇ ἢ νὰ ἀκούῃ αἰσχρὰ εἶναι ἄξια τιμωρίας· ἡ συγκατάθεσις (εἰς τὸν αἰσχρὸν λογισμὸν) τιμωρεῖται τὸ ἴδιον μὲ τὴν πρᾶξιν· τὸ πνεῦμα τῆς πορνείας μᾶς ἐπιτίθεται μὲ πολλοὺς καὶ διαφόρους τρόπους, διὰ τοῦτο πρέπει πάντοτε νὰ προσέχωμεν.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΑΔΕΛΦΟΣ τις ἦν ἐν τῇ τοῦ Ἁγίου Εὐθυμίου Λαύρᾳ, Ῥωμαῖος τὸ γένος, Αἰμιλιανὸς τὴν κλῆσιν, βίον δὴ χρηστὸν μετιών, καὶ σωφροσύνην ὡς μάλιστα τὴν καλὴν ἐξ αὐτῆς τῆς νεότητος ἀσπασάμενος. Τούτῳ νυκτός ποτε διαγενομένης Κυριακῆς, χαλεπὸν ἐκ τῆς σαρκὸς ὁ ἐχθρὸς κεκίνηκε πόλεμον, πρὸς ὃν ἀντέχειν εἰς τέλος ἀπαγορεύσας, ἐνεδίδου ἤδη καὶ τοῖς λογισμοῖς ὑποκατεκλίνετο. Οὕτως ἔχων καὶ ὑπὸ τοῦ πάθους πολιορκούμενος, ἐντυγχάνει περὶ τὸν ὄρθρον ἐρχομένῳ πρὸς τὴν σύναξιν τῷ Ἁγίῳ, καί τις ἐξ αὐτοῦ προσέβαλλε δυσωδία, τὸ χαλεπὸν ἐκεῖνο πάθος τῷ μεγάλῳ δηλοῦσα.

Ὀσφρανθεὶς οὖν αὐτῆς ὁ θεῖος Εὐθύμιος καὶ γνοὺς τὴν ἐπιβουλήν, ἐπιτιμᾷ τῷ διενοχλοῦντι πονηρῷ δαίμονι, καὶ παραχρῆμα ὕπτιος μὲν ἐπὶ τοῦ ἐδάφους ὁ ἀδελφὸς ἔκειτο σπαράττων ἑαυτὸν καὶ κλονῶν καὶ ἀφρὸν ἐκπτύων, συνίεσαν δὲ καὶ πολλοὶ τῶν Μοναχῶν ἐπ' αὐτῷ.

Φῶς τοίνυν ὁ Μέγας Εὐθύμιος ἐνεχθῆναι κελεύσας, διὰ τὸ καὶ τὸν τόπον εἶναι ζοφώδη καὶ ἀφεγγῆ, ὁρᾶτε τὸν ἀδελφόν, ὦ Πατέρες καὶ ἀδελφοί, φησὶ πρὸς αὐτούς, ὅπως ἐν ἀρετῇ ζῶν ἐκ παιδὸς καὶ σωφροσύνης ἐπιμελούμενος, νῦν διὰ τὸ μικρὸν ἐνδοῦναι τοῖς σαρκικοῖς πάθεσι κεῖται πᾶσιν ἡμῖν θέαμα θρήνων ἄξιον; Διὸ πάσῃ φυλακῇ τὴν διάνοιαν ἑκάστῳ τὴν ἑαυτοῦ τηρητέον, μὴ λάθῃ καὶ διὰ φαντασίας δή τινος κλέψας ἡμᾶς ὁ ἐχθρὸς καὶ εἰς τὸ τῆς ἀπωλείας καταγαγὼν βάραθρον, κἂν γὰρ ἄτοπος ἡμῖν ἐγγένηται λογισμὸς εἰς ἐπιθυμίαν ἀκόλαστον ἐρεθίζων, ἡμεῖς δὲ μὴ τὴν πρώτην εὐθὺς ἐκπολεμηθῆναι τούτῳ σπουδάσωμεν, ἀλλ' οἷον εὐμενῶς αὐτὸν τῇ διανοίᾳ παραδεξώμεθα, οὐμενουν ἐλεύθεροι κακίας ἐσόμεθα, ἀλλὰ καὶ σώμασι μὴ πλησιάζοντες, ὡς πεπορνευκότες κατὰ διάνοιαν κριθησόμεθα.

Ἐπεξήει δέ τι καὶ τοιοῦτον, ὅπερ φησίν, ἐμοὶ τῶν Αἰγυπτίων τινὲς γερόντων ποτὲ διηγήσαντο. Ἦν τις ἐν πόλει βίου μὲν θαυμαστοῦ παρὰ πᾶσι νομιζόμενος, καὶ πολλὴν δῆθεν πρὸς τὸν Θεὸν πλουτήσας τὴν οἰκειότητα, πυκνὰ δὲ ταῖς ἀληθείαις παροργίζων αὐτὸν ἐν τῷ κρυπτῷ κινήματι τῆς καρδίας, διὰ τῆς πρὸς τοὺς φαύλους λογισμοὺς τάχα συγκαταθέσεως, ὥς τε κἂν μὴ τῷ ἔργῳ, ἀλλ' οὖν τῇ διανοίᾳ ῥᾳδίως πλημμελεῖν.

Βαρείᾳ δὲ ὁ τοιοῦτος ποτὲ νόσῳ περιπεσών, περὶ τὰς ἐσχάτας ἀναπνοὰς ἦν, καὶ ἤδη θάνατον ἔβλεπεν. Ὀδυρμὸς δὲ κατεῖχε τὴν πόλιν, καὶ ἡλικία πᾶσα ἐκόπτετο, καὶ τοῦ ἀνδρός, εἴ περ οἷόν τε προαναρπασθῆναι πάντες ἐπηύχοντο, βέλτιον ἡγούμενοι τοῦτο παθεῖν, ἢ ἀνδρὸς οὕτω διὰ πάσης ᾀδομένου γλώττης τὴν ἐκδημίαν ἰδεῖν.

Τῶν διορατικῶν δέ τις ἐν τοσούτῳ τὴν πόλιν παραβαλών, καὶ τὸ βαρὺ τοῦτο καὶ πάνδημον πένθος ὁρῶν, ἔπειτα καὶ τὸ πλῆθος ἀκούων μετ' οἰμωγῆς ἐκεῖνον οὕτως ἀνακλαιόμενον, ὁ Ἅγιος, ὁ Πατήρ, ὁ Σωτὴρ ὁ ἡμέτερος, οὗ τῇ πρὸς Θεὸν πρεσβείᾳ πάντες ἐσμὲν σωζόμενοι, ποία λοιπὸν ἡμῖν ἔσται σωτηρίας ἐλπίς; ποία μετὰ τοῦτον ἀσφάλεια;

Ταῦτα ὁ διορατικὸς ἐκεῖνος ἀνὴρ ἰδών τε καὶ ἀκούσας, ἀπήει μετὰ σπουδῆς πρὸς αὐτὸν εὐχῆς ἀξιωθῆναί τινος καὶ εὐλογίας κατεπειγόμενος. Ἐπεὶ δὲ ἤδη καὶ πλησίον ἦν, ὁρᾷ μὲν τοὺς μὲν λαμπροτάτους τῶν πολιτῶν, ὁρᾷ δὲ τὸν τῶν ἱερέων κλῆρον, πρὸς δὲ καὶ αὐτὸν τὸν Ἐπίσκοπον λαμπάδας διὰ χειρὸς ἔχοντας καὶ τὴν τοῦ σώματος προπομπὴν ἀναμένοντας. Εἶτα παρωσάμενος τὸ πλῆθος καὶ πρὸς τὸν κείμενον εἰσελθών, εὑρίσκει μὲν αὐτὸν ἔτι ἐμπνέοντα ὀλίγον, βλέπει δέ τι θέαμα κρυπτοῖς ὀφθαλμοῖς, καὶ ἰδεῖν φοβερὸν καὶ ἀκοῦσαι δακρύων ἄξιον.

Ἐδόκει γάρ τις αὐτῷ πύρινον οἷον τριόδοντα εἰς τὴν ἐκείνου καθιέναι καρδίαν, καὶ τὴν ψυχήν, φεῦ, βιαίως ἐκεῖθεν καὶ πικρῶς ἀνασπᾶν. Ἔπειτα καὶ φωνῆς ἄνωθεν ἀκούειν, ὃν τρόπον οὐκ ἀνέπαυσέ με, λεγούσης, ἡ ψυχὴ αὕτη οὐδὲ μίαν μόνην ἡμέραν, τὸν αὐτὸν δήπου τρόπον μηδὲ σὺ παύσῃ σπαράττων αὐτήν, καὶ σφοδρῶς ἕλκων καὶ τιμωρούμενος.

Ταῦτα πρὸς τοὺς παρόντας τῶν ἀδελφῶν ὁ Εὐθύμιος διεξῆλθεν, εἶτα καὶ παραινέσεως ἑξῆς ἥπτετο, προσεκτικοὺς αὐτοὺς εἶναι καὶ εἰς ἀεὶ εὐπρεπεῖς περὶ τὴν τῆς ψυχῆς ἔξοδον προμηθούμενος, Αἰμιλιανός, λέγων, οὗτος ὑμῖν ὑπόδειγμα ἔστω, ὃν καὶ διὰ τοῦτο πάντως ὁ Θεὸς περιεῖδεν αἰσχρῶς οὑτωσὶ καὶ ἀθλίως ἐν τοῖς ἁπάντων ὑμῶν ὀφθαλμοῖς ὑπὸ τοῦ τῆς φιληδονίας κατεργασθῆναι πικροῦ δαίμονος,

ἵν' αὐτοὶ γένησθε βελτίους, καὶ ἀπὸ τῆς εἰς αὐτὸν τιμωρίας ὑμεῖς κερδάνητε. Ἀλλὰ γὰρ δεηθῶμεν, φησί, τοῦ Θεοῦ τῆς τοιαύτης ἐπιβουλῆς ἀνεθῆναι τὸν ἄνδρα.

Καὶ ὁ μὲν αὐτίκα τοῦ ἀδελφοῦ ὑπερηύχετο, ὁ δὲ τόπος εὐθὺς ἀπὸ δυσωδίας ἀνεπέπληστο, θείου καθάπερ τινὸς ὑποκαιομένου, καὶ φωνὴ τῇ δυσωδίᾳ ἐπηκολούθει, ἐγώ εἰμι τὸ τῆς πορνείας, λέγουσα, πνεῦμα. Καὶ τὸ ἑξῆς σωφρονῶν ὁ ἀδελφὸς καὶ νήφων ἀνίστατο, σκεῦος ἐκλογῆς καὶ αὐτός, κατὰ τὸν θεῖον Ἀπόστολον, τὸ ἀπ' ἐκείνου γενόμενος.

Καὶ τελευτῶν δὲ ὁ μέγας ταῦτα τοῖς ἀδελφοῖς ἐπισκήπτων εἶπεν, ὅτι ὁ λογισμοῖς ἀτόποις προσπαλαίων τῶν ἀδελφῶν ἀσφαλιζέσθω ὑμῖν ἀεί, καὶ παραινέσεως ἀπολαυέτω διηνεκοῦς καὶ διδασκαλίας καὶ ὑποθήκης, μὴ λάθῃ κατὰ μικρὸν ὑποσκελισθείς, καὶ πτῶμα χαλεπὸν τῷ διαβόλῳ γενόμενος.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀδελφός, ἀπὸ τὴν Ρώμην, ὀνομαζόμενος Αἰμιλιανός, ἔζη κάποτε εἰς τὴν Λαύραν* τοῦ Ἁγίου Εὐθυμίου. Αὐτὸς εἶχεν ἐνάρετον βίον καὶ ἀπὸ τὴν νεανικήν του ἡλικίαν ἠκολούθησε τὴν τόσον καλὴν σωφροσύνην. Κάποιαν νύκτα, πρὸς τὸ ξημέρωμα Κυριακῆς, ὁ ἐχθρὸς τῆς ψυχῆς ἐξεσήκωσεν ἐναντίον του φοβερὸν σαρκικὸν πόλεμον, πρὸς τὸν ὁποῖον δὲν ἠδυνήθη νὰ ἀνθέξῃ μέχρι τέλους καὶ δι' αὐτὸ ἤρχισε νὰ ὑποχωρῇ καὶ νὰ παραδίδεται εἰς τοὺς αἰσχροὺς λογισμούς. Ἔτσι καθὼς

---

* Λαύρα παρὰ τοῖς Βυζαντινοῖς ἐκαλεῖτο συστὰς μοναστικῶν κελλίων ἐντὸς τῶν ὁποίων ἔζων καὶ ἠγωνίζοντο κατὰ μόνας οἱ ἀσκηταί. Μεταγενεστέρως ἀπεκλήθησαν Λαῦραι αἱ μεγάλαι καὶ πολυάνθρωποι Μοναί. Τοιαῦται Λαῦραι ἱδρύθησαν πολλαὶ πέριξ τῶν ἀσκητηρίων, εἰς τὰ ὁποῖα ἠγωνίσθησαν μεγάλοι Ὅσιοι Πατέρες καὶ διακεκριμένοι Ἀσκηταὶ ὅπως ὁ Ὅσιος Χαρίτων (276 μ.Χ.), ὁ Ὅσιος Εὐθύμιος (473 μ.Χ.), ὁ Ὅσιος Σάββας (533 μ.Χ.), καὶ ἄλλοι μεγάλοι Ὅσιοι Πατέρες, ἡ ἀρετὴ τῶν ὁποίων εἵλκυεν, ὡς ὁ μαγνήτης τὸν σίδηρον, τὰς καλοπροαιρέτους ἐκείνας ψυχάς, αἵτινες ἐγκαταλείπουσαι τὰ τοῦ κόσμου τερπνὰ καὶ ἡδέα ἤρχοντο πλησίον αὐτῶν διὰ νὰ ἀγωνίζωνται, ἔχουσαι αὐτοὺς ὡς ὁδηγοὺς καὶ διδασκάλους, ἀλλὰ καὶ ὡς ζῶντα παραδείγματα τῆς ἐπιπόνου ἀλλ' οὐρανοδρόμου πορείας των πρὸς τὰ ἄνω σκηνώματα. Ἡ Λαύρα τοῦ Ἁγίου Εὐθυμίου, περὶ ἧς ἐνταῦθα γίνεται λόγος, ἀπεῖχε περὶ τὰ 15 χλμ. ἀπὸ τῶν Ἱεροσολύμων. Εἶχε δὲ ὁ Ὅσιος Εὐθύμιος ἱδρύσει δύο Λαύρας. Μίαν εἰς τὸν Χείμαρρον δέκα μίλλια μακρὰν τῆς Ἱερουσαλὴμ καὶ ὑπεράνω τοῦ σπηλαίου εἰς τὸ ὁποῖον ὁ Ὅσιος ἠσκήτευεν ὁμοῦ μετὰ τοῦ Ὁσίου Θεοκτίστου, μετὰ τὴν ἀναχώρησίν των ἀπὸ τὴν Φαράν, ἑτέραν δὲ εἰς τὸ μέρος εἰς τὸ ὁποῖον ἡσύχαζεν ὁ Ὅσιος μετὰ τὴν ἐπιστροφήν του ἀπὸ τὴν ἔρημον Ζίφ· ἀπεῖχε δὲ ἀπὸ τῆς πρώτης Λαύρας περὶ τὰ τρία μίλλια. Ἔκτισε δὲ καὶ ἕτερον Μοναστήριον ὁ Ὅσιος εἰς τὴν ἔρημον Ζὶφ εἰς τὸ σπήλαιον εἰς τὸ ὁποῖον ἐκρύβη ὁ Δαβὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ (Α' Βασ. κγ', 14). Ὁ ἐνταῦθα ἀναφερόμενος Αἰμιλιανὸς ἐμόναζεν εἰς τὴν δευτέραν Λαύραν τοῦ Ἁγίου Εὐθυμίου. (Βλέπε περὶ τούτων κατὰ πλάτος ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος Α' σελ. 484. Τὸ συμβὰν τοῦ Αἰμιλιανοῦ ἀναφέρεται ἐν σελίδι 492).

ἦτο εἰς αὐτὴν τὴν κατάστασιν καὶ πολιορκούμενος ἀπὸ τὸ πάθος, συναντᾷ κατὰ τὴν αὐγὴν τὸν Ἅγιον, ποὺ ἤρχετο εἰς τὸν Ναὸν διὰ τὴν ἀκολουθίαν τοῦ Ὄρθρου. Κάποια δυσοσμία τότε, ποὺ ἀνεδίδετο ἀπὸ τὸν Αἰμιλιανόν, ἠνώχλησε τὸν Μεγάλον, καὶ τοῦ ἐφανέρωσεν ἔτσι τὸ φοβερὸν πάθος.

Μόλις λοιπὸν ὠσφράνθηκε τὴν δυσοσμίαν ἐκείνην ὁ Ἅγιος Εὐθύμιος καὶ ἀντελήφθη τὴν σατανικὴν ἐνέργειαν, ἐπιτιμᾷ ἀμέσως τὸν πονηρὸν δαίμονα, ποὺ ἐνωχλοῦσε τὸν ἀδελφὸν καὶ ἀμέσως αὐτὸς ἔπεσεν ἀνάσκελα εἰς τὸ ἔδαφος, ἐσπάραζεν, ἔτρεμε καὶ ἔβγαζεν ἀφροὺς ἀπὸ τὸ στόμα του· ἐν τῷ μεταξὺ ἐμαζεύθησαν καὶ πολλοὶ Μοναχοὶ γύρω του.

Ἀφοῦ δὲ διέταξεν ὁ Μέγας Εὐθύμιος νὰ φέρουν φῶς, ἐπειδὴ ὁ τόπος ἦτο σκοτεινὸς καὶ χωρὶς φῶς, εἶπε πρὸς τοὺς συγκεντρωθέντας· Ἀδελφοὶ καὶ Πατέρες, βλέπετε τὸν ἀδελφόν; Ἀπὸ μικρὸ παιδὶ ἔζουσεν ἐνάρετα καὶ ἐφρόντιζε διὰ τὴν σωφροσύνην· τώρα ὅμως, ἐπειδὴ ὀλίγον ὑπεχώρησεν εἰς τὰ σαρκικὰ πάθη, εὑρίσκεται ἐμπρός μας ἐξαπλωμένος θέαμα ἀξιοθρήνητον! Διὰ τοῦτο πρέπει ὁ καθένας μας μὲ ὅλην του τὴν προσοχὴν νὰ περιφρουρῇ τὴν διάνοιάν του, μήπως μᾶς ξεγελάσῃ ὁ ἐχθρὸς μὲ καμμίαν φαντασίαν καὶ ἔτσι μᾶς παρασύρῃ εἰς τὸ βάραθρον τῆς ἀπωλείας. Ἂν δηλαδὴ μᾶς ἔλθῃ εἰς τὸν νοῦν κάποιος αἰσχρὸς λογισμὸς νὰ μᾶς ἐρεθίσῃ μὲ ἀκόλαστον ἐπιθυμίαν καὶ δὲν φροντίσωμεν εὐθὺς ἐξ ἀρχῆς νὰ τὸν καταπολεμήσωμεν, ἀλλὰ τὸν δεχθοῦμεν κάπως εὐχάριστα, τότε ὄχι μονάχα δὲν θὰ εἴμεθα ἀπηλλαγμένοι ἀπὸ ἁμαρτίαν, ἀλλὰ καὶ ἂν ἀκόμη δὲν πορνεύσωμεν μὲ τὸ σῶμα μας, ὁπωσδήποτε θὰ κριθῶμεν ἀπὸ τὸν Θεὸν ὡσὰν νὰ ἔχωμεν διαπράξει πορνείαν μὲ τὴν σκέψιν μας.

Ἐν συνεχείᾳ μᾶς διηγήθη καὶ μίαν ὠφέλιμον ἱστορίαν, τὴν ὁποίαν, ὅπως εἶπεν, ἤκουσεν ἀπὸ μερικοὺς Αἰγυπτίους Γέροντας.

Κάποτε —ἔλεγεν— ὑπῆρχεν εἰς μίαν πόλιν κάποιος, ποὺ ἐθεωρεῖτο ἀπὸ ὅλους, ὅτι ἔζουσεν ἀξιοθαύμαστα. Ὅλοι ἐνόμιζαν ὅτι εἶχεν ἀποκτήσει μεγάλην οἰκειότητα πρὸς τὸν Θεόν· εἰς τὴν πραγματικότητα ὅμως τὸν παρώργιζε πολὺ συχνά, μὲ τὰ κρυφὰ κινήματα τῆς καρδίας του. Γρήγορα δηλαδὴ ἔκανε συγκατάθεσιν μὲ τοὺς αἰσχροὺς λογισμούς, ὥστε ἂν ὄχι μὲ πρᾶξιν, μὲ τὸν νοῦν του ὅμως εὔκολα ἔπιπτεν εἰς τὴν ἁμαρτίαν.

Κάποτε ὁ ἄνθρωπος ἐκεῖνος ἀρρώστησε βαρειὰ καὶ ἔφθασεν εἰς τὰ τελευταῖα του· ἔβλεπεν δὲ ἤδη τὸν θάνατον νὰ τὸν πλησιάζῃ. Ὅλοι οἱ πολῖται ὠδύροντο, ἔκλαιον δὲ μικροὶ καὶ μεγάλοι καὶ ἐπαρακαλοῦσαν, ἂν ἦτο δυνατόν, νὰ ἀποθάνουν πρὶν ἀπὸ τὸν ἄνθρωπον ἐκεῖνον· ἐπροτιμοῦσαν δηλαδὴ νὰ πάθουν οἱ ἴδιοι αὐτὸ τὸ κακόν, παρὰ νὰ ἴδουν τὸν θάνατον ἀνδρός, τὸν ὁποῖον ὅλοι ἐπαινοῦσαν.

Ἐν τῷ μεταξὺ ἦλθεν εἰς τὴν πόλιν κάποιος διορατικὸς Γέροντας. Καθὼς λοιπὸν ἔβλεπε τὸ βαρὺ καὶ παλλαϊκὸν ἐκεῖνο πένθος καὶ ἤκουε τὸ πλῆθος νὰ τὸν θρηνῇ σπαρακτικὰ μὲ αὐτὰ τὰ λόγια· ὁ Ἅγιος, ὁ Πατέ-

ρας μας, ὁ Σωτήρας μας, ποὺ ἐσωθήκαμεν ὅλοι μὲ τὰς πρὸς τὸν Θεὸν πρεσβείας του, ποίαν ἀπ' ἐδῶ καὶ ἐμπρὸς ἔχομεν ἐλπίδα σωτηρίας; πῶς θὰ εἴμεθα ἀσφαλεῖς μετὰ τὸν θάνατόν του;

Δι' αὐτό, μετὰ ἀπὸ ὅσα εἶδε καὶ ἤκουσεν, ἔτρεξε γρήγορα πρὸς τὸν ἑτοιμοθάνατον, διὰ νὰ ἀξιωθῇ νὰ πάρῃ τὴν εὐχήν του. Μόλις ἔφθασε πλησίον βλέπει νὰ περιμένουν οἱ ἄρχοντες τῆς πόλεως, ὁ ἱερὸς κλῆρος, ἀκόμη καὶ ὁ ἴδιος ὁ Ἐπίσκοπος, νὰ κρατοῦν λαμπάδας εἰς τὰ χέρια των καὶ νὰ περιμένουν τὴν ἐκφορὰν τοῦ νεκροῦ. Ἀφοῦ λοιπὸν ἔσπρωξε τὸ πλῆθος, ἦλθε κοντὰ εἰς τὸν ἑτοιμοθάνατον, ποὺ τὸν εὑρῆκε νὰ ἀναπνέῃ ὀλίγον ἀκόμη. Τότε βλέπει μὲ τὰ μάτια τῆς ψυχῆς του θέαμα ἀξιοδάκρυτον, φοβερὸν νὰ τὸ ἰδῇ καὶ νὰ τὸ ἀκούσῃ κανείς! Τοῦ ἐφάνη, δηλαδή, ὅτι κάποιος ἐκρατοῦσε μίαν πυρίνην τρίαιναν καὶ τὴν ἐκάρφωνεν εἰς τὴν καρδίαν τοῦ μελλοθανάτου καὶ ὅτι —ἀλλοίμονον— ἐξερρίζωνεν ἀπὸ ἐκεῖ, μὲ ὁρμὴν καὶ μανίαν, τὴν ψυχήν του. Τοῦ ἐφάνη, ἀκόμη, ὅτι ἤκουσε φωνὴν ἀπὸ τὸν οὐρανὸν νὰ λέγῃ· ὅπως δὲν μὲ ἀνέπαυσεν ἡ ψυχὴ αὐτὴ οὔτε μίαν ἡμέραν, ἔτσι καὶ σὺ νὰ μὴ σταματήσῃς νὰ τὴν σπαράζῃς, καὶ νὰ τὴν ξερριζώνῃς μὲ δύναμιν καὶ νὰ τὴν τιμωρῇς.

Αὐτὰ διηγήθη πρὸς τοὺς παρόντας ἀδελφοὺς ὁ Εὐθύμιος καὶ κατόπιν τοὺς συνεβούλευσε. Νὰ εἶσθε πάντοτε προσεκτικοὶ —τοὺς ἔλεγεν— καὶ πάντοτε ἕτοιμοι, σκεπτόμενοι τὴν ἔξοδον τῆς ψυχῆς σας ἐκ τοῦ σώματος. Αὐτὸς ἐδῶ ὁ Αἰμιλιανὸς ἂς σᾶς γίνῃ παράδειγμα. Δι' αὐτὸ ἀκριβῶς ὁ Θεὸς τὸν ἐπεριφρόνησε τόσον πολὺ καὶ ἐπέτρεψε νὰ βασανισθῇ τόσον ἐλεεινὰ ἐμπρὸς εἰς τὰ μάτια σας ἀπὸ τὸν φαρμακερὸν δαίμονα τῆς φιληδονίας διὰ νὰ διορθωθῆτε σεῖς καὶ νὰ κερδίσετε ὠφέλιμον διδασκαλίαν ἀπὸ τὴν τιμωρίαν του. Ἂς παρακαλέσωμεν ὅμως τὸν Θεὸν νὰ ἀνακουφίσῃ αὐτὸν τὸν ἄνθρωπον ἀπὸ μίαν τοιαύτην ἐνέργειαν τοῦ πειρασμοῦ.

Ἀμέσως ὁ Μέγας Εὐθύμιος ἔκαμεν εὐχὴν διὰ τὸν ἀδελφὸν καὶ τὴν ἰδίαν στιγμὴν ὁ τόπος ἐγέμισεν ἀπὸ δυσωδίαν, ὡσὰν νὰ ἐκαίετο θειάφι. Μαζὶ δὲ μὲ τὴν δυσωδίαν ἠκούσθη μία φωνή, ποὺ ἔλεγεν· ἐγὼ εἶμαι τὸ δαιμόνιον τῆς πορνείας. Μετὰ ἀπὸ αὐτὸ ὁ ἀδελφὸς ἐσηκώθη ἀμέσως φρόνιμος καὶ ἥσυχος, πραγματικὸν σκεῦος ἐκλογῆς καὶ αὐτὸς γενόμενος, κατὰ τὸν θεῖον Ἀπόστολον, ὕστερα ἀπὸ αὐτό, ποὺ τοῦ συνέβη.

Τέλος ὁ Μέγας Εὐθύμιος ἔδωσε τὰς ἑξῆς παραγγελίας εἰς τοὺς ἀδελφούς. Ὅποιος ἀπὸ τοὺς ἀδελφοὺς ἀγωνίζεται ἐναντίον ἀτόπων λογισμῶν, ἂς ἀσφαλίζεται πάντοτε καὶ ἂς λαμβάνῃ συνεχῶς συμβουλάς, ἂς δέχεται διδασκαλίας καὶ παραινέσεις, μήπως ἐξαπατηθῇ καὶ νικηθῇ καὶ ἔτσι καταντήσῃ, ἀπὸ τὸν διάβολον, ἀξιοθρήνητον πτῶμα.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΤΩι ΜΑΚΑΡΙΩι Σάββᾳ πορευομένῳ ποτὲ πρὸς τὸν Ἰορδάνην, ἐπαγομένῳ δὲ καί τινα τῶν φοιτητῶν, νέον τὴν ἡλικίαν, πλῆθος αὐτοῖς κοσμικῶν ὑπήντα, παρ' οἷς καὶ νεᾶνις ἦν εὐπρεπὴς τὴν μορφήν, ὄψεσιν ἀφυλάκτου παγὶς οὐχ ὑπερβῆναι

ραδία. Μετὰ γὰρ τὸ παρελθεῖν ἐκείνους, ὁ Σάββας ἀποπειρώμενος οἷα τοῦ μαθητοῦ, σοὶ δέ, φησι, ποταπὴ ἔδοξεν εἶναι ἡ κόρη; ἐμοὶ γὰρ ἑτερόφθαλμος οὖσα ἐφάνη. Ὁ δὲ οὐχί, Πάτερ, ἔφη, ἀλλὰ τοὺς δύο ἔχουσα ἦν. Καὶ ὅς, ἠπάτησαι, τέκνον, ἄρα; ἐκκέκοπται γὰρ ἀτεχνῶς ἅτερος τῇ κόρῃ. Ὁ δὲ μαθητὴς ἀγνοῶν εἶναι πεῖραν σοφοῦ τὴν ἐρώτησιν, τὸ καλῶς ἐκείνῳ γνωσθὲν καλῶς ὑπ' αὐτοῦ γνωσθῆναι ζητοῦντος, οὐχί, ὦ Πάτερ, ἔφη ἀλλὰ καὶ λάμποντας πολὺ αὐτῇ μᾶλλον τοὺς ὀφθαλμοὺς καὶ ἰδεῖν ἡδίστους. Καὶ ὁ Σάββας· πόθεν δέ σοι τὸ ἀκριβῶς εἰδέναι περὶ τούτου καὶ ἰσχυρῶς διατείνεσθαι; Ἐγώ, ἔφη, ἐπιμελῶς προσέσχον αὐτῇ καὶ σαφῶς ἔγνων ἀμφοτέρους ἔχειν τοὺς ὀφθαλμούς.

Ἐπεὶ οὖν ἤδη ὁ μαθητὴς ἐντὸς ἀρκύων ἦν, τηνικαῦτα ὁ θεῖος Σάββας φανερῶς ἐλέγχων, ποῦ δέ σοι κεῖται, φησί, τὸ παράγγελμα, τὸ μὴ ἐπιστήσῃς ὄμμα πρὸς αὐτήν, καὶ μὴ συναρπασθῇς σοῖς βλεφάροις; Τοιγαροῦν οὐκέτι μοι συνὼν ἔσῃ τὸ ἀπὸ τοῦδε, οὐδὲ τῷ κελλίῳ μοι συμπαραμενεῖς, ἕως ἂν ἐθισθήσῃ μὴ οὕτω πλανᾶσθαι, ἀλλὰ κατὰ χώραν μένειν ὁ ὀφθαλμός.

Οὕτως εἰπών, παραπέμπει ἐκεῖνον εὐθὺς εἰς τὸ καστέλλιον· εἶτα χρόνον ἱκανὸν ἐκεῖ διατρίψαντα καὶ καλῶς παιδαγωγηθέντα καὶ οἷον εἰπεῖν ἀρκοῦσαν ὀφθαλμῷ τίσαντα δίκην τῇ ἀψεύστῳ μεταμελείᾳ καὶ τοῖς τῆς καρδίας ἀλγήμασιν, εἰσδέχεται πάλιν αὐτὸν ὁ Μακάριος καὶ τοῖς τοῦ κελλίου συναριθμεῖ.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ὁ μακάριος Σάββας ἐπορεύετο πρὸς τὸν Ἰορδάνην, μαζὶ μὲ κάποιον δόκιμον μοναχόν, νέον κατὰ τὴν ἡλικίαν. Εἰς τὸν δρόμον συνήντησαν πλῆθος ἀπὸ κοσμικούς· μεταξὺ αὐτῶν ἦτο καὶ μία ὡραιοπρόσωπος κόρη, παγὶς διὰ τὰ μάτια τοῦ ἀπροσέκτου, ἀπὸ τὴν ὁποίαν δὲν ἦτο εὔκολον νὰ διαφύγῃ κανείς.

Ἀφοῦ λοιπὸν ἐπέρασαν, ὁ Σάββας, διὰ νὰ δοκιμάσῃ τὸν μαθητήν του, τὸν ἐρωτᾷ:

— Πῶς σοῦ ἐφάνηκεν ἐκείνη ἡ νέα; νομίζω ὅτι εἶχεν ἕνα μονάχα μάτι.

—Ὄχι, Πάτερ, —ἀπήντησεν ὁ δόκιμος— εἶχε καὶ τὰ δύο της μάτια.

— Μήπως ἔχεις κάνει λάθος, παιδί μου; ἐπέμενεν ὁ Σάββας· διότι κάπως ἀδέξια εἶχεν ἀφαιρεθῆ τὸ ἕνα μάτι τῆς κόρης.

Ὁ δόκιμος ὅμως, ἐπειδὴ δὲν ἐκατάλαβεν, ὅτι ἡ ἐρώτησις τοῦ σοφοῦ ἔγινε διὰ νὰ τὸν δοκιμάσῃ, καὶ ἐκεῖνο, ποὺ ὁ ἴδιος ἐγνώριζε καλὰ ἐζητοῦσε νὰ μάθῃ ἀπὸ αὐτόν, ἐπέμενεν.

—Ὄχι πάτερ μου, —τοῦ εἶπεν— ἀλλὰ καὶ τὰ δύο της μάτια ἦσαν λαμπερὰ καὶ πολὺ ὡραῖα νὰ τὰ βλέπῃς.

Τότε ὁ Σάββας τοῦ ἀπήντησε (μὲ αὐστηρότητα).

—Ἀπὸ ποῦ τὸ γνωρίζεις αὐτὸ καὶ τόσον πολὺ ἐπιμένεις;

—Ἐγώ, εἶπεν, ἐπιμελῶς τὴν ἐπρόσεξα καὶ ἐβεβαιώθηκα, ὅτι ἔχει καὶ τὰ δύο της μάτια.

Ἔτσι, ἀφοῦ ἐπαγιδεύθη ὁ δόκιμος, ἤρχισε πλέον φανερὰ νὰ τὸν ἐλέγχῃ ὁ θεῖος Σάββας.

— Ποῦ ἐπέταξες —τοῦ λέγει— τὴν παραγγελίαν, νὰ μὴ στρέψῃς τὸ βλέμμα σου πρὸς αὐτήν (Παροιμ. στ΄, 25 καὶ θ΄,18), καὶ νὰ μὴ αἰχμαλωτισθῇς ἀπὸ τὰ βλέφαρά σου; Ἀπὸ τώρα λοιπὸν καὶ εἰς τὸ ἑξῆς, ποτὲ πλέον δὲν θὰ εἶσαι μαζί μου· οὔτε θὰ παραμένῃς εἰς τὸ κελλί μου, μέχρις ὅτου συνηθίσῃς νὰ μὴ περιφέρῃς ἐδῶ καὶ ἐκεῖ τὸ βλέμμα σου, ἀλλὰ νὰ κρατῇς ἀκίνητα τὰ μάτια σου.

Ἀφοῦ τοῦ εἶπεν αὐτά, τὸν στέλλει ἀμέσως εἰς τὸ φρούριον. Ἐκεῖ παρέμεινε πολὺν χρόνον καὶ διεπαιδαγωγήθη καλὰ καὶ οὕτως εἰπεῖν, μὲ τὴν πραγματικὴν μετάνοιαν καὶ τοὺς πόνους τῆς καρδίας, ἐτιμωρήθη ἀρκετὰ δι' ἐκείνην τὴν ἡδονικὴν κίνησιν τοῦ ὀφθαλμοῦ του. Δι' αὐτὸ καὶ ὁ Μακάριος Σάββας τὸν συγκαταλέγει μαζὶ μὲ τοὺς ἄλλους μοναχοὺς τοῦ κελλίου.

Γ΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς συνειλεγμένας, ὅτι δεῖ ἑκάστην ἡμῶν ἐπιγινώσκουσαν τὸ ἑαυτῆς ἐπάγγελμα μὴ πρὸς τὰ κάτω φέρεσθαι, ἀλλὰ τῶν ὑψηλοτέρων ἀεὶ ἐφίεσθαι. Οὐκ ἀγνοεῖτε γὰρ τὴν ἐν τῷ Εὐαγγελίῳ παραβολήν, περὶ τῶν ἑκατὸν καὶ ἑξήκοντα καὶ τριάκοντα. Ἡ μὲν οὖν ἑκατοντάς, τὸ ἡμέτερόν ἐστιν ἐπάγγελμα· ἡ δὲ ἑξηκοντάς, τὸ τῶν ἐγκρατῶν τάγμα· ἡ δὲ τριακοντάς, τῶν σωφρόνως βιούντων.

Καὶ ἀπὸ μὲν τῶν τριάκοντα ἐπὶ τὰ ἑξήκοντα καλὸν μεταβαίνειν· ἀπὸ γὰρ τῶν μικροτέρων ἐπὶ τὰ μείζω καλὸν προκόπτειν· ἀπὸ δὲ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα καταφέρεσθαι οὐκ ἀκίνδυνον· ὁ γὰρ ἅπαξ νεύσας ἐπὶ τὰ χείρω, οὐδὲ ἐν τούτοις στῆναι δύναται, ἀλλ' ὡς ἐν βυθῷ τῆς ἀπωλείας φέρεται.

Τινὲς γοῦν παρθενίαν ἐπαγγειλάμεναι καὶ ἀσθενείᾳ γνώμης τὸν λογισμὸν ὑποσυρόμεναι, προφάσεις ἐν ἁμαρτίαις προφασίζονται, λέγουσαι πρὸς ἑαυτάς, ὅτι ἐὰν σωφρόνως, μᾶλλον δὲ ἀφρόνως, βιώσωμεν, κἂν τῶν τριάκοντα ἀξιούμεθα, αὕτη δὲ ἡ γνώμη τοῦ ἐχθροῦ ἐστιν. Ὁ γὰρ ἐκ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα ἐρχόμενος, ὑπὸ τοῦ ἐχθροῦ ἐμπαίζεται· ὡς γὰρ στρατιώτης φυγὰς ὁ τοῦτο δράσας κρίνεται, καὶ οὐχ ὅτι πρὸς τὴν ἐλάττω στρατείαν κεχώρηκε συγγνώμης ἄξιος, ἀλλ' ὅτι τῆς μείζονος ἀπέστη τὴν τιμωρίαν λαμβάνει.

Δεῖ οὖν ἐκ τῶν ἐλαττόνων ἡμᾶς ἀεὶ ἐπὶ τὰ μείζω προβαίνειν, τῶν μὲν ὀπίσω ἐπιλανθανομένας, κατὰ τὴν Ἀποστόλου διάταξιν, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινομένας, καὶ κατὰ τὸ ἐπάγγελμα ἡμῶν σωφροσύνην τὴν εἰς ἄκρον ἐπιδείκνυσθαι. Καὶ εἰ παρὰ ταῖς κοσμικαῖς δοκεῖ σωφροσύνη πολιτεύεσθαι, ἀλλὰ συμπάρεστιν αὐτῇ καὶ ἀφροσύνη, διὰ τὸ ταῖς ἄλλαις πάσαις αἰσθήσεσιν αὐταῖς ἁμαρτάνειν. Καὶ γὰρ ὁρῶσιν ἀπρεπῶς, καὶ γελῶσιν ἀτάκτως, ἡμεῖς δὲ καὶ τούτων ἀφέμεναι ἐπαναβῶμεν ταῖς ἀρεταῖς, καὶ ἀπὸ μὲν τῶν ὀφθαλμῶν ἀφέλωμεν τὴν ματαίαν φαντασίαν· καὶ γάρ φησιν ἡ γραφή, οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν.

Δεῖ δὲ καὶ τὴν γλῶσσαν κωλύειν τῶν τοιούτων ἁμαρτημάτων· ἀθέμιτον γὰρ τῶν ὕμνων ὄργανον αἰσχρὰ προφέρειν ῥήματα. Ταῦτα δὲ δυνατὸν φυλάττειν, ἐὰν

μὴ ταῖς προόδοις συνεχῶς χρώμεθα· διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κἂν μὴ βουλώμεθα, οἱ κλέπται εἰσίασιν. Πῶς γὰρ δύναται οἶκος καπνοῦ ἐκ τῶν ἔξωθεν κινηθέντος καὶ τῶν θυρῶν ἀνοιγεισῶν μὴ μελαίνεσθαι;

Ἀναγκαίως οὖν παραιτεῖσθαι προσήκει τὰς εἰς τὴν ἀγορὰν προελεύσεις. Κἂν γὰρ καὶ τὸ ἀδελφοὺς ἢ γονεῖς γυμνοὺς ἰδεῖν βαρὺ καὶ ἀπρεπὲς ἡγώμεθα, πόσῳ γε μᾶλλον ἐπιβλαβὲς ἡμῖν ἔσται θεωρῆσαι ἐπὶ τῶν πλατειῶν τοὺς ἀπρεπῶς γεγυμνωμένους ἢ καὶ ἀκόλαστα ἀκοῦσαι ῥήματα; Ὁπηνίκα δὲ καὶ εἰς τοὺς οἴκους ἑαυτὰς καθείρξωμεν, οὐδὲ τότε τὸ ἀμέριμνον ἔχειν ὀφείλομεν, ἀλλά, κατὰ τὸ γεγραμμένον, ἀδιαλείπτως γρηγορεῖν. Ὅσον γὰρ ἑαυτὰς ἀσφαλιζόμεθα πρὸς σωφροσύνην, τοσοῦτον δριμυτέροις παλαίομεν λογισμοῖς. Ὅσον γὰρ προκόπτουσιν οἱ ἀθληταί, τοσοῦτον καὶ μείζοσι συμπλέκονται ἀνταγωνισταῖς.

Ὅρα οὖν πόσον ἀπέπτης, καὶ οὐκ ὀλιγωρήσεις τὰ παρόντα. Τὴν ὑλικὴν καὶ ἔμπρακτον ἐνίκησας πορνείαν; τὴν διὰ τῶν αἰσθήσεών σοι προστίθησιν ὁ ἐχθρός· ὅταν δὲ καὶ ταύτης ἑαυτὸν κωλύσῃς, ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ἐμφωλεύει, τὸν ἄϋλόν σοι κινῶν πόλεμον· πρόσωπα γὰρ εὐπρεπῆ καὶ ὁμιλίας ἀρχαίας ταῖς ἡσυχαζούσαις παρεισφέρει.

Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι· γέγραπται γάρ· ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς· ἡ πρὸς τὰς φαντασίας συγκατάθεσις, ἐφάμιλλός ἐστι τῇ κοσμικῇ πορνείᾳ· δυνατοὶ γάρ, φησι, δυνατῶς ἐτασθήσονται. Μέγας οὖν ὁ πρὸς τὸ πνεῦμα τῆς πορνείας ἀγών· τὸ γὰρ ἐν κακοῖς κεφάλαιον τοῦ ἐχθροῦ πρὸς ἀπώλειαν ψυχῆς τοῦτό ἐστι, καὶ τοῦτο αἰνιττόμενος ὁ μακάριος Ἰὼβ ἔλεγε περὶ τοῦ διαβόλου· «ὁ ἔχων τὴν δύναμιν ἐπ' ὀμφαλοῦ γαστρός».

Πολλαῖς οὖν καὶ διαφόροις μηχαναῖς τὸ τῆς πορνείας κέντρον κινεῖ ὁ διάβολος κατὰ τῶν φιλοχρίστων ἀνθρώπων· πολλάκις γοῦν καὶ ἀγάπην ἀδελφικὴν μεθώρμισεν ὁ κακόφρων εἰς τὴν οἰκείαν κακίαν. Καὶ γὰρ παρθένους φυγούσας γάμον καὶ φαντασίαν πᾶσαν τοῦ βίου διὰ σχέσεως ἀδελφικῆς ὑπεσκέλισε, καὶ Μοναχοὺς δὲ ἔτρωσε πᾶν ὁτιοῦν ἀποφυγόντας πορνικὸν σχῆμα, ἀλλὰ καὶ αὐτοὺς ἠπάτησε δι' εὐλαβοῦς ὁμιλίας· τοῦ γὰρ ἐχθροῦ ἔργον τὸ ἀμφιαζόμενον τὰ ἀλλότρια τὰ οἰκεῖα λανθανόντως ἐνεργεῖν· δείκνυσι σίτου κόκκον καὶ ὑποτίθησιν αὐτῷ παγίδα.

Οἶμαι δὲ καὶ τὸν Κύριον περὶ τούτου λέγειν, ὅτι ἔρχονται πρὸς ἡμᾶς ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Γενώμεθα οὖν ἡμεῖς φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιαι ὡς αἱ περιστεραί· καὶ κατὰ μὲν τῶν αὐτοῦ παγίδων πανούργῳ τῷ λογισμῷ χρησώμεθα πρὸς τὸ μὴ λανθάνειν ἡμᾶς τὰ αὐτοῦ μηχανήματα, τὸ γὰρ ὅμοιον διὰ τοῦ ὁμοίου ταχέως διαγινώσκεται, τὸ δὲ ἀκέραιον τῆς περιστερᾶς τῷ καθαρῷ τῆς πράξεως ἐπιδειξώμεθα.

Δέον οὖν ἡμᾶς πάντοτε νήφειν καί, κατ' ἔννοιαν λαμβανούσας τοῦ ἐχθροῦ τὴν δεινότητα, φυλάττειν ἑαυτὰς ἀπὸ τῶν ποικίλων αὐτοῦ ἐπιβουλῶν· καὶ γὰρ ὡς εἴρηται καὶ διὰ τῶν ἔξωθεν πραγμάτων πολεμεῖ, καὶ διὰ τῶν ἔνδον λογισμῶν προσβάλλει, καὶ πλέον διὰ τῶν ἔνδον.

Χρεία οὖν ἡμῖν πρὸς τὸν πόλεμον τοῦτον ἀσκήσεως ἐπιπόνου, καὶ προσευχῆς ἀδιαλείπτου· ἀλλὰ ταῦτα μὲν γενικῶς ἐπὶ παντὸς λογισμοῦ ὀλεθρίου ἀλεξιτήρια πέφυκε· δεῖ δὲ καὶ εἰδικαῖς τισιν ἐννοίαις κατὰ τοῦ λοιμοῦ τούτου χρᾶσθαι καὶ ἀνθυποφέρειν αὐτῷ τὰ ἐναντία. Καὶ εἰ παραστῇ ἐν τῇ διανοίᾳ ὄψεως εὐπρεποῦς

φαντασία, τῷ λόγῳ ὁ νοῦς τὸ παριστάμενον ἐκεῖνο εἴδωλον τιμωρείτω, καὶ τοὺς μὲν ὀφθαλμοὺς αὐτοῦ ἐκκολαπτέτω, τῶν δὲ παρειῶν τὰς σάρκας ἐξαιρείτω, ὑποτεμνέτω δὲ καὶ τὰ χείλη, καὶ λοιπὸν ὁράτω πῆγμα ὀστέων γυμνῶν δυσειδὲς καὶ κατανοείτω τί ἦν τὸ ποθούμενον. Ἔτι δὲ ὑπογραφέτω ὁ λογισμὸς καὶ πᾶν τοῦ ἐρωμένου τὸ σῶμα, ἕλκη βρύον σηπεδονώδη τε καὶ βαρύοσμα, καὶ εἰς ἰχῶρας καὶ ἕλκη διαλυόμενον, οἷα τὰ τῶν νεκρῶν, ἢ καὶ αὐτὴν νεκρὰν τοῖς ἔνδοθεν ὀφθαλμοῖς ὑποτιθέτω.

Οὕτω γὰρ ὁ νοῦς ἀηδίας ὑποπλησθεὶς ἀποσβέσει τὸν πρὸς αὐτὸ πόθον, καὶ ἑαυτὸν τῆς ματαίας πλάνης ἰσχύσει ἀναχαιτίσαι, λογιζόμενος ὅτι τὸ φιλούμενον οὐδὲν ἄλλο ἦν ἢ αἷμα σὺν φλέγματι μεμιγμένον, ὅπερ καὶ ὑφάσματος χρείαν παρέχειν τοῖς ζώοις καὶ λοιπὸν τῆς ἡδυπαθείας ἀποστήσεται· οὕτω γὰρ καὶ τῶν ὑπογαστρίων ἡδονῶν κρατῆσαι τις εὐχερῶς, σὺν Θεῷ, δύναται.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγε πρὸς τὰς καλογραίας, ποὺ εἶχαν συγκεντρωθῆ: Κάθε μία ἀπὸ ἡμᾶς πρέπει νὰ γνωρίζῃ καλὰ τὴν ἀποστολήν της, νὰ μὴ γλυστρᾷ πρὸς τὰ κάτω, ἀλλὰ πάντοτε νὰ ἐπιθυμῇ τὰ ὑψηλότερα. Διότι δὲν πρέπει νὰ ἀγνοῆτε τὴν παραβολὴν τοῦ Εὐαγγελίου διὰ τὰ ἑκατὸν καὶ τὰ ἑξήκοντα καὶ τὰ τριάκοντα (Ματθ. ιγ΄, 8). Ἡ ἑκατοντὰς λοιπὸν συμβολίζει τὴν ἰδικήν μας ἀποστολήν· ἡ ἑξηκοντὰς συμβολίζει τὸ τάγμα αὐτῶν ποὺ ἐγκρατεύονται, καὶ ἡ τριακοντὰς αὐτὰς ποὺ ζοῦν μὲ σωφροσύνην.

Εἶναι λοιπὸν καλὸν ἀπὸ τὰ τριάκοντα νὰ πηγαίνωμεν εἰς τὰ ἑξήκοντα διότι εἶναι καλὸν νὰ προχωρῇ κανεὶς ἀπὸ τὰ μικρότερα πρὸς τὰ μεγαλύτερα, ἐνῷ εἶναι ἐπικίνδυνον νὰ πίπτῃ ἀπὸ τὰ μεγαλύτερα πρὸς τὰ μικρότερα. Διότι ἐκεῖνος, ποὺ μίαν φορὰν θὰ στραφῇ πρὸς τὰ χειρότερα οὔτε εἰς αὐτὰ θὰ ἠμπορέσῃ νὰ σταθῇ μέχρις ὅτου βυθισθῇ εἰς τὸν βυθὸν τῆς ἀπωλείας.

Μερικαὶ λοιπόν, αἱ ὁποῖαι ὑπεσχέθησαν παρθενίαν καὶ δὲν εἶναι σταθεραὶ εἰς τὴν γνώμην των, παρασύρονται ἀπὸ τὸν λογισμόν των. Ἔτσι προφασίζονται προφάσεις ἐν ἁμαρτίαις καὶ λέγουν πρὸς τὸν ἑαυτόν τους· ἂν ζήσωμεν μὲ σωφροσύνην —μᾶλλον μὲ ἀφροσύνην θὰ ἔλεγα— θὰ κερδίσωμεν τοὐλάχιστον τὰ τριάκοντα. Αὐτὴ ὅμως ἡ σκέψις προέρχεται ἀπὸ τὸν ἐχθρόν. Διότι ἐκεῖνος ποὺ ἔρχεται ἀπὸ τὰ μεγαλύτερα πρὸς τὰ μικρότερα, ἐμπαίζεται ἀπὸ τὸν ἐχθρόν. Αὐτὸς ποὺ θὰ κάμνῃ αὐτὸ θεωρεῖται ὡς στρατιώτης, ὁ ὁποῖος ἐλιποτάκτησεν ἀπὸ τὴν μάχην καὶ ὄχι ὡς στρατιώτης ποὺ κατετάγη εἰς στράτευμα ὀλιγωτέρας πολεμικῆς σημασίας· δι' αὐτὸ δὲν συγχωρεῖται, ἀλλ' ἀπεναντίας τιμωρεῖται, διότι ἐγκατέλειψε τὴν σπουδαιοτέραν στρατιωτικὴν παράταξιν.

Πρέπει λοιπὸν ἡμεῖς νὰ προοδεύωμεν συνεχῶς ἀπὸ τὰ μικρότερα πρὸς τὰ μεγαλύτερα· νὰ ἐγκαταλείπωμεν εἰς τὴν λήθην τὰ παρελθόντα, κατὰ τὴν Ἀποστολικὴν διάταξιν (Φιλιπ. γ΄, 14), νὰ προχωρῶμεν δὲ συνεχῶς πρὸς ἐκεῖνα ποὺ εὑρίσκονται ἐμπρός μας καί, σύμφωνα μὲ τὴν

ὑπόσχεσίν μας νὰ ἐπιδεικνύωμεν τὴν πλέον αὐστηρὰν σωφροσύνην. Καὶ αἱ κοσμικαὶ γυναῖκες ἔχουν τὴν γνώμην, ὅτι πρέπει νὰ ζοῦν μὲ σωφροσύνην· ὡστόσον ὅμως μαζὶ μὲ τὴν σωφροσύνην τῶν κοσμικῶν ὑπάρχει καὶ ἀφροσύνη, διότι αὐταὶ ἁμαρτάνουν μὲ ὅλας τὰς ἄλλας αἰσθήσεις. Καὶ ἀδιάντροπα κοιτάζουν καὶ μὲ ἀναίδειαν γελοῦν· ἡμεῖς ὅμως, ἀφοῦ ἀφήσωμεν αὐτά, ἂς ἀναβῶμεν ὑψηλότερα, πρὸς τὰς ἀρετὰς καὶ ἂς ἀποδιώξωμεν ἀπὸ τὰ μάτια μας κάθε ἀνωφελῆ φαντασίαν· διότι καὶ ἡ Ἁγία Γραφὴ λέγει: τὰ μάτια σου ἂς βλέπουν σωστὰ (Παροιμ. δ΄, 25). Συγχρόνως δὲ καὶ τὴν γλῶσσαν μας πρέπει νὰ ἐμποδίζωμεν ἀπὸ τὰ σχετικὰ ἁμαρτήματα, διότι δὲν εἶναι σωστὸν τὸ ὄργανον τῶν ὕμνων νὰ προφέρῃ αἰσχροὺς λόγους.

Ὅλα αὐτὰ θὰ ἠμπορέσωμεν νὰ τὰ τηρήσωμεν ἂν δὲν ἐξερχώμεθα συχνὰ ἀπὸ τὸ Μοναστήρι· διότι ἔστω καὶ ἂν δὲν θέλωμεν , οἱ κλέπται εἰσέρχονται εἰς τὴν ψυχήν μας ἀπὸ τὰς αἰσθήσεις. Διότι πῶς εἶναι δυνατὸν νὰ μὴ μαυρίσῃ τὸ σπίτι ἀπὸ καπνόν, ποὺ καπνίζει ἔξω, ὅταν ἀνοιχθοῦν αἱ θύραι;

Κατ' ἀνάγκην λοιπὸν πρέπει νὰ ἀποφεύγωμεν νὰ πηγαίνωμεν εἰς τὴν ἀγοράν. Διότι ἂν θεωροῦμεν βαρὺ καὶ ἄπρεπον νὰ ἴδωμεν γυμνοὺς τοὺς γονεῖς καὶ τὰ ἀδέλφια μας, πόσον μᾶλλον θὰ εἶναι δι' ἡμᾶς βλαβερὸν νὰ ἴδωμεν εἰς τὰς πλατείας αὐτοὺς ποὺ ἔχουν γυμνωθῆ ἀδιάντροπα, ἢ νὰ ἀκούσωμεν αἰσχρὰ λόγια; Καὶ εἰς τὰ σπίτια μας ἀκόμη ὅταν κλεισθῶμεν, οὔτε καὶ τότε πρέπει νὰ εἴμεθα ἀμέριμνοι, ἀλλὰ σύμφωνα μὲ αὐτὸ ποὺ γράφει συνεχῶς νὰ ἐπαγρυπνῶμεν (Α΄ Θεσ. ε΄, 17). Διότι ὅσον περισσότερον ἀσφαλιζόμεθα πρὸς τήρησιν τῆς σωφροσύνης, τόσον περισσότερον παλαίομεν μὲ περισσότερον ἐρεθιστικοὺς λογισμούς. Ὅσον δηλαδὴ προκόπτουν οἱ ἀθληταί, τόσον καὶ ἀνταγωνίζονται πρὸς ἰσχυροτέρους ἀντιπάλους.

Κοίταξε λοιπὸν πόσον ἀπεμακρύνθης καὶ δὲν θὰ ἀδιαφορήσῃς διὰ τὰ παρόντα. Ἐνίκησες, παραδείγματος χάριν, τὴν ὑλικὴν καὶ σαρκικὴν πορνείαν; ὁ ἐχθρὸς θὰ σὲ ἐνοχλήσῃ (μὲ τὴν νοερὰν) διὰ τῶν αἰσθήσεων. (Ὅταν καὶ ἀπὸ αὐτὴν φυλάξῃς τὸν ἑαυτόν σου, τότε θὰ φωλιάσῃ εἰς τὴν διάνοιάν σου καὶ θὰ κινήσῃ ἐναντίον σαυ τὸν ἀόρατον πόλεμον. Θὰ παρουσιάζῃ δηλαδὴ εἰς τὰς ἀσκητρίας πρόσωπα ὡραῖα καὶ παλαιὰς συναναστροφάς, ποὺ ἔχουν λησμονηθῆ.)

Πρέπει λοιπὸν νὰ μὴ δεχώμεθα καθόλου τὰ δημιουργήματα αὐτὰ τῆς φαντασίας· διότι λέγει ἡ Ἁγία Γραφή. Ἂν ξεσηκωθῆ ἐναντίον σου πόλεμος τοῦ ἐξουσιάζοντος πνεύματος (τοῦ διαβόλου), μὴ ἀφήσῃς τὸν τόπον σου, δηλαδὴ μὴ ὑποχωρήσῃς καὶ δεχθῇς τοὺς λογισμούς. Ἡ συγκατάθεσις εἰς αὐτὰ τὰ δημιουργήματα τῆς φαντασίας εἶναι ἴδια μὲ τὴν κοσμικὴν πορνείαν· διότι οἱ δυνατοί, λέγει ἡ Ἁγία Γραφή, θὰ κριθοῦν αὐστηρά. Εἶναι λοιπὸν μεγάλος ὁ ἀγὼν ἐναντίον τοῦ δαιμονίου τῆς πορνείας, διότι τὸ σπουδαιότερον κακόν, ποὺ διαθέτει ὁ ἐχθρὸς διὰ τὴν ἀπώλειαν ψυχῆς, εἶναι αὐτό. Αὐτὸ ἐννοοῦσεν ὁ μακάριος Ἰώβ, ὅταν ἔλεγε διὰ τὸν διάβολον·

«αὐτὸς ποὺ ἔχει τὴν δύναμιν εἰς τὸν ὀμφαλὸν τῆς κοιλίας» (Ἰὼβ μ', 11).

Μὲ πολλὰς καὶ διαφόρους μηχανὰς κινεῖ ὁ διάβολος τὸ κέντρον τῆς πορνείας ἐναντίον τῶν φιλοχρίστων ἀνθρώπων. Πολλάκις ὁ κακόβουλος διάβολος μετέβαλε καὶ αὐτὴν τὴν ἀδελφικὴν ἀγάπην εἰς τὴν ἰδικήν του κακίαν. Καὶ παρθένους δηλαδή, ποὺ ἠρνήθησαν τὸν γάμον καὶ κάθε κοσμικὴν ἐπίδειξιν, τὰς ἐπαγίδευσε μὲ τὴν ἀδελφικὴν σχέσιν· καὶ Μοναχούς, οἱ ὁποῖοι ἀπέφυγαν ὁποιονδήποτε πορνικὸν σχῆμα, τοὺς ἐπλήγωσε καὶ τοὺς ἐξηπάτησε μὲ εὐλαβῆ συνομιλίαν. Διότι ἔργον τοῦ ἐχθροῦ εἶναι νὰ ὑποκρίνεται τὰ ξένα καὶ μὲ πονηρὸν τρόπον νὰ πράττῃ τὰ ἰδικά του· παρουσιάζει κόκκον σίτου καὶ κάτω ἀπὸ αὐτὸν τοποθετεῖ παγίδα.

Νομίζω ὅτι καὶ ὁ Κύριος δι' αὐτὸν λέγει, ὅτι ἔρχονται κοντά μας μὲ ἐνδύματα προβάτου, ἐνῷ ἀπὸ μέσα εἶναι ἁρπακτικοὶ λύκοι (Ματθ. ζ', 15). Ἂς γίνωμεν λοιπὸν συνετοὶ ὅπως τὰ φίδια καὶ ἀκέραιοι ὅπως τὰ περιστέρια (Ματθ. ι', 16). Πρὸς ἀπόκρουσιν τῶν παγίδων του ἂς μεταχειρισθῶμεν καὶ ἡμεῖς πανοῦργον λογισμόν, διὰ νὰ μὴ μᾶς ξεγελοῦν τὰ μηχανήματά του, ἐπειδὴ τὸ ὅμοιον ἀναγνωρίζεται γρήγορα ἀπὸ τὸ ὅμοιον· μὲ τὴν καθαρότητα δὲ τῆς πράξεώς μας ἂς ἐπιδείξωμεν τὸ ἀκέραιον τῆς περιστερᾶς.

Εἶναι ἀνάγκη λοιπὸν πάντοτε νὰ προσέχωμεν καὶ ἀφοῦ ἐννοήσωμεν καλῶς πόσον φοβερὸς εἶναι ὁ ἐχθρός,ποὺ μᾶς πολεμεῖ, νὰ προφυλασσώμεθα ἀπὸ τὰς διαφόρους ἐπιβουλάς του· διότι ὅπως ἐλέχθη, καὶ μὲ τὰ ἐξωτερικὰ πράγματα μᾶς πολεμεῖ καὶ μὲ τοὺς ἐσωτερικοὺς λογισμοὺς μᾶς προσβάλλει καὶ πολὺ περισσότερον μὲ τοὺς ἐσωτερικούς.

Ἔχομεν λοιπὸν ἀνάγκην, διὰ νὰ νικήσωμεν εἰς τὸν πόλεμον αὐτόν, ἀπὸ ἐπίπονον ἄσκησιν καὶ ἀδιάλειπτον προσευχήν· αὐτὰ ἔχουν ἀποδειχθῆ προστατευτικὰ πρὸς ἀπόκρουσιν γενικῶς παντὸς βλαβεροῦ λογισμοῦ. Πρέπει ὅμως νὰ μεταχειριζώμεθα ἐναντίον τοῦ ὀλεθρίου καὶ καταστρεπτικοῦ αὐτοῦ πολέμου καὶ μερικὰς εἰδικὰς σκέψεις καὶ νὰ ἀντιτάσσωμεν ἔτσι εἰς αὐτὸν τὰ ἀντίθετα. Ἂν παρουσιασθῇ εἰς τὴν διάνοιάν μας ἡ φανταστικὴ εἰκόνα ἑνὸς ὡραίου προσώπου, ἂς καταστρέφει ὁ νοῦς μὲ τὴν δύναμιν τοῦ λογικοῦ τὸ παρουσιαζόμενον ἐκεῖνο εἴδωλον· ἂς τοῦ βγάζῃ τὰ μάτια, ἂς ἀφαιρῇ τὰς σάρκας ἀπὸ τὰς παρειάς, ἂς τοῦ κόπτῃ τὰ χείλη καὶ ἂς βλέπῃ εἰς τὸ ἑξῆς ἕνα ἄσχημον σύμπλεγμα ἀπὸ γυμνὰ κόκκαλα καὶ τότε ἂς σκεφθῇ τί ἦτο αὐτὸ ποὺ ἐποθοῦσεν. Ἂς σχηματίσῃ ἀκόμη ἡ σκέψις καὶ ὁλόκληρον τὸ σῶμα τοῦ ἀγαπημένου ὡς νὰ εἶναι γεμᾶτον ἀπὸ βρωμερὰς πληγάς, ποὺ σαπίζουν, νὰ διαλύεται εἰς δύσοσμα σάπια αἵματα, ὅπως τὰ σώματα τῶν νεκρῶν. Ἂς βλέπῃ δὲ ἀκόμη καὶ τὸν ἑαυτόν της κάθε μιὰ ἀπὸ ἡμᾶς, μὲ τὰ μάτια τῆς ψυχῆς της, νεκρόν.

Ἔτσι ὁ νοῦς θὰ γεμίσῃ μὲ ἀηδίαν, θὰ σβύσῃ τὸν πόθον πρὸς τὸ πρόσωπον τῆς σαρκικῆς ἐπιθυμίας καὶ θὰ ἠμπορέσῃ νὰ ἀναχαιτίσῃ τὸν ἑαυτόν του ἀπὸ τὴν ματαίαν πλάνην· θὰ σκέπτεται ὅτι τὸ ἀγαπώμενον δὲν ἦτο τίποτε ἄλλο παρὰ αἷμα ἀνακατωμένον μὲ τὴν ὕλην τῶν σαρκῶν, ποὺ προσφέρεται ὡς καταφύγιον εἰς τοὺς σκώληκας. Κατόπιν αὐτοῦ ὁ

νοῦς θὰ ἀπομακρυνθῇ ἀπὸ τὴν ἡδυπάθειαν καὶ θὰ ἠμπορέσῃ κανείς, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ κυριαρχήσῃ εὔκολα ἐπὶ τῶν σαρκικῶν ἡδονῶν.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, οἱ ἀρχαῖοι μόσχους καὶ κριοὺς καὶ ἀμνοὺς πάντες εἰς θυσίαν προσέφερον τῷ Κυρίῳ, ἡμεῖς δὲ τὸ ἑαυτῶν σῶμα προσηνέγκαμεν αὐτῷ ἐν Πνεύματι Ἁγίῳ. Μηκέτι οὖν μωμήσωμεν τοῦτο ἢ ῥυπώσωμεν ἐν τοῖς ἀπηγορευμένοις, ἵνα μὴ ὡς ἱερόσυλοι θανάτῳ παραδοθῶμεν, ἀλλ' ἅγιον αὐτὸ καὶ ἄρτιον τηρήσωμεν. Πρὸς δὲ τὸ τηρεῖν τὴν ἁγιωσύνην τοῖς μὲν νοῦν ἔχουσι νηφάλιον ἀρκεῖ ἡ τοῦ Θεοῦ μνήμη, ἧς αἱ ἀκτῖνες φωτίζουσι τὴν καρδίαν, οἱ δὲ ἔτι ἀσθενῶς διακείμενοι πρὸς τὴν τοιαύτην ἔννοιαν, χρήζουσί τινων ὑποδειγμάτων πρὸς κατόρθωσιν τῆς τοιαύτης ἀρετῆς.

Λάβωμεν οὖν ὑπόδειγμα τοὺς κατὰ τὸν κόσμον ἀνδραγαθοῦντας ἐν τοῖς πολέμοις, ὧν τὰς εἰκόνας ἐπὶ τοίχων καὶ σανίδων διαγράφουσι, τὰ κατὰ τὸν πόλεμον πάντα ἀνιστοροῦντες ἐπιμελῶς, καὶ τοὺς μὲν φεύγοντας δεικνύντες, τοὺς δὲ διώκοντας, καὶ τούτους μὲν βάλλοντας ἢ τιτρώσκοντας καὶ δίκην ἀσταχύων τοὺς ἀντιπάλους θερίζοντας, τοὺς δὲ ἐλεεινῶς καταπίπτοντας καὶ ἀκόσμως ψυχορραγοῦντας. Πολλοὶ δὲ καὶ τὰς τῶν ἁγίων ἀθλήσεις ἐν τοῖς εὐκτηρίοις οἴκοις διαγράφουσι πρὸς ζῆλον τῶν νωθροκαρδίων καὶ ἀνάμνησιν τῶν ἀγωνισαμένων καὶ ἀριστευσάντων κατὰ τῶν ἐναντίων.

Ὡς οὖν καὶ τοῦ ἡμετέρου πρὸς λεπτὸν ἀναγράφεσθαι μέλλοντος, καὶ ἐν ὑψηλῷ ἀνατίθεσθαι πρὸς ἐπίδειξιν πάντων τῶν οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, σπουδάσωμεν κατορθῶσαι τὴν ἀρετήν, ἵνα μηδὲν αἰσχρὸν ἢ ψεκτὸν περὶ ἡμῶν ἐν τῇ εἰκόνι ἀναγραφῇ· οὐκ ἔστι γὰρ κρυπτὸν ὃ οὐ γνωσθήσεται καὶ τὰ ἑξῆς.

Αἴσχρότατον οὖν ἀληθῆ ἄνδρα ἐν εἰκόνι θεάσασθαι γυναικὶ ὁμιλοῦντα ἀσέμνως, καὶ μάλιστα τὸν δοκοῦντα σχῆμα εὐλαβείας περικεῖσθαι. Εἰ δὲ καὶ μετὰ ἄρρενος, κατὰ τὸν εἰπόντα· «ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι», τίς ἄρα δυνηθῇ τῇ εἰκόνι ἐνατενίσαι; φευκτὸν καὶ μισητὸν ἀληθῶς καὶ τὸ θέαμα. Εἰ οὖν ἐν τῇ τοιαύτῃ ἀτιμίᾳ καὶ αἰσχρότητι οὐ βουλόμεθα θεαθῆναι ὑπὸ πάσης τῆς κτίσεως, τοῦτο λογιζώμεθα πάντοτε, ὅτε ὑπὸ αἰσχρῶν λογισμῶν πολεμούμεθα, καὶ πάντως αἰσχυνθέντες καὶ ἀποναρκήσαντες, τοῦ πάθους περιγενόμεθα, τῆς χάριτος συνεργούσης.

Οὕτως οὖν χρὴ φυλάσσειν τὸ σῶμα ἡμῶν ἁμαρτίας, εἰς τὸ μὴ ψεύσασθαι τῷ δημιουργῷ· δῶρον γὰρ προσηγάγομεν ἑαυτοὺς τῷ Κυρίῳ καὶ οὐκέτι ἔχομεν ἐξουσίαν τοῦ ἑαυτῶν σώματος· εἴτε γὰρ στενούμεθα εἴτε πολεμούμεθα, οὐ δυνάμεθα ἔτι ἐφέλκεσθαι τὸ δῶρον πρὸς τὸ ἴδιον θέλημα. Ὥσπερ γὰρ ὁ εὐξάμενος εὐχὴν τῷ Θεῷ καὶ προσενεγκὼν αὐτῷ δῶρόν τι ὃ διὰ τοῦ ἱερέως ἐν τῷ ναῷ ἀνατίθησιν, οὐκέτι τοῦ λοιποῦ ἐξουσίαν ἔχει ἀφελεῖν ὃ προσήνεγκε, κἂν μεταμεληθῇ ἴσως, εἰ δὲ καὶ λάθρᾳ τοῦτο ὑφελέσθαι ἐπιχειρήσας φωραθῇ, οὐχ ὡς τὸ ἴδιον ἀφελόμενος ἀπολυθήσεται τοῦ ἐγκλήματος, ἀλλ' ὡς ἱερόσυλος κολασθήσεται, οὕτω καὶ οἱ τῷ Θεῷ ἀφιερώσαντες ἑαυτοὺς οὐκέτι τοῦ ἰδίου ἐξουσιάζουσι σώματος.

Εἰ δὲ καὶ ἔτι ὀχλεῖ ἡ ἐπιθυμία, ἐγκύψωμεν εἰς μνημεῖον καὶ ἴδωμεν τὰ τῆς

φύσεως ἡμῶν μυστήρια, τὸν ἐπάλληλον τῶν ὀστέων σωρόν, κρανία σαρκῶν γεγυμνωμένα, καὶ τὰ λοιπὰ τῶν ὀστέων. Ἐκεῖνα δὲ θεασάμενοι ἑαυτοὺς ἐν ἐκείνοις νομίσωμεν θεωρεῖν καὶ λογισώμεθα ποῦ τοῦ παρόντος ἄνθους τὸ κάλλος καὶ ἡ τῆς παρειᾶς εὔχροια καὶ ἡ λοιπὴ εὐμορφία, καὶ διὰ ταύτης τῆς ἐνθυμήσεως σβεσθήσεται ἡ πύρωσις τῆς σαρκός.

Ἔστι δὲ καὶ δι᾽ ἑτέρων λογισμῶν πολεμῆσαι καὶ καταγωνίσασθαι τὸ πάθος συνεργείᾳ Θεοῦ. Ὁ γὰρ ἐχθρὸς ἐνοχλῶν συνεχῶς διὰ τῆς πυρώσεως τῷ ἀδελφῷ, ὑποτίθησιν αὐτῷ λογισμοὺς τοιούτους καὶ λέγει· ἕως τίνος ὑποφέρεις τὸν κόπον καὶ τὴν ὄχλησιν τοῦ πάθους; τέλεσόν σου ἅπαξ τὴν ἐπιθυμίαν, ἵνα μηκέτι πολεμηθῇς καὶ πάλιν μετανοεῖς· οὐδὲν γάρ ἐστι τὸ πρᾶγμα· μιᾶς ὥρας, καὶ εὐθὺς παρῆλθε· φιλάνθρωπος δὲ καὶ συμπαθὴς ὁ Θεός, καὶ πάλιν σε μετανοοῦντα προσδέξεται. Ὁ δὲ ἀδελφὸς δι᾽ ἀντιρρήσεως τοιαύτης ἀνατρέψει αὐτὸν λέγων. Ὦ ἐχθρὲ τοῦ γένους ἡμῶν καὶ τῆς σωτηρίας πολέμιε· ὑποβάλλεις μοι ἕως τίνος ὑπομενῶ τὸν κόπον; καὶ λέγω σοι, ἕως οὗ ἐπίδῃ ὁ Κύριος τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἀφήσῃ πάσας τὰς ἁμαρτίας μου, σοῦ τοῦ ἀντιδίκου μου ὡς τὴν χήραν ἐλευθερώσάς με. Οὐκ οἶδας δέ, διάβολε, ὅτι ἐὰν ἐθίσῃ θηρίον σαρκοφαγεῖν, πικρότερον εἰς τὸ ἑξῆς πρὸς τὸ πάθος καθίσταται;

Πῶς οὖν ὑποβάλλεις μοι λέγων, ὅτι ἐὰν ποιήσῃς ἅπαξ σου τὴν ἐπιθυμίαν, οὐκέτι ἐνοχληθήσῃ; τίς δέ μοι καὶ ὑπισχνεῖται, ὅτι ἐὰν φθείρω μου τὴν σάρκα, εὑρήσω καιρὸν μετανοίας καὶ οὐχὶ συνελκυσθῶ ἅμα τοῖς ἐργαζομένοις τὴν ἀνομίαν; σκιὰ γὰρ τυγχάνει ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς. Τί δὲ καὶ οὐκ ἐν μιᾷ ὥρᾳ ἔσται; ἐάν περ ἀρῶ μάχαιραν καὶ ἀνακείρω ἐμαυτόν; Μᾶλλον μὲν οὖν διὰ τοῦτο οὐκ ὀφείλω σου ἀκοῦσαι, ἵνα μὴ ἐν μιᾷ ὥρᾳ ἀπολέσω πλοῦτον αἰώνιον, καὶ ἃ συνῆξα διὰ τῶν τοσούτων χρόνων καὶ καμάτων τὰς ἀρετὰς ἐργαζόμενος ἐν βραχείᾳ ῥοπῇ σκορπίσας, αἰχμάλωτός σοι γενήσομαι.

Λέγεις δὲ καὶ τὸ πρᾶγμα εἶναι μικρόν; καὶ ἄκουε, ἐχθρὲ τῆς ζωῆς ἡμῶν καὶ ἐπίβουλε, οἵα τιμὴ κεῖται τοῖς τὸ πάθος τοῦτο, ὃ σὺ λέγεις μικρόν, νικήσασι δι᾽ εὐσέβειαν καὶ οἵα τιμωρία τοῖς αὐτῷ ἡττηθεῖσιν ἡτοίμασται. Καὶ ὁ σώφρων Ἰωσὴφ οὐχὶ τὸ πάθος τοῦτο νικήσας ἐν πάσαις ταῖς γενεαῖς ἐπαινεῖται καὶ μεγαλύνεται ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τὸ δὲ τῆς Αἰγυπτίας ὄνειδος ὁμοίως καταγελᾶται ἐν τῷ κόσμῳ παντὶ κηρυσσόμενον; Καὶ ἡ μακαρία δὲ Σωσάννα οὐχὶ παρὰ πάντων ἐγκωμιάζεται ἄχρι τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας, ὡς μὴ τῇ ἐπιθυμίᾳ ταύτῃ ἐνδοῦσα, ἀλλὰ διὰ τὸ τηρῆσαι τὴν σωφροσύνην καὶ θανάτου καταφρονήσασα; Οἱ δὲ Πρεσβύτεροι καὶ Κριταί, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν, ἡττηθέντες τούτῳ τῷ πάθει, λιθοβοληθέντες ἀπέθανον καὶ κατέλιπον ἑαυτοῖς ὄνομα πονηρὸν εἰς τὰς μετὰ ταῦτα γενεάς;

Ἀπόστηθι οὖν ἀπ᾽ ἐμοῦ, ἐργάτα τῆς ἀνομίας καὶ πολέμιε τῶν ψυχῶν. Κύριος ὁ Θεὸς ὁ δοὺς τοῖς ἀνθρώποις τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον, αὐτὸς ἐπιτιμήσαι σοι καὶ ἀπράκτους θήσοι τὰς σὰς μηχανὰς καὶ τὰ ἔνεδρα, ὅτι ἐνεδρεύεις ὥς περ λέων καταπιεῖν τὴν ψυχήν μου· τὸ γὰρ γλυκύ σου, πικρόν ἐστι καὶ τὸ λεῖόν σου, βόθυνός ἐστι κατάγων εἰς ἀπώλειαν, καὶ τὰ χαρίσματά σου φθορᾶς καὶ θανάτου πεπλήρωνται.

Ὑποβάλλεις μοι γὰρ ἀθετῆσαι τὴν τοσαύτην χάριν, ἣν ἔλαβον παρὰ τοῦ

Κυρίου μου, καὶ λυπῆσαι τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν ᾧ ἐσφραγίσθην εἰς ἡμέραν ἀπολυτρώσεως, καὶ τὰ μέλη τοῦ Χριστοῦ πόρνης μέλη ποιῆσαι; καὶ τὸν ἁγιασμὸν ἀπολέσαι, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον καὶ ἀτελευτήτου χαρᾶς καὶ δόξης ἐκπεσεῖν τοῦ Κυρίου μου καὶ κληρονομῆσαι σὺν σοὶ τὸ ἄσβεστον πῦρ, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τὰς λοιπὰς κολάσεις τὰς αἰωνίους, αἵτινες σὺν σοὶ καὶ τοῖς σοῖς Ἀγγέλοις παρὰ Θεοῦ ἡτοιμάσθησαν; Ταῦτά μοι ποιῆσαι καὶ παθεῖν ἐν βραχεῖ ὑποβάλλεις, καὶ λέγεις μοι ὅτι οὐδέν ἐστι τὸ πρᾶγμα;

Οἶδα μὲν ὅτι ἐὰν ἀκούσω σου, σὺ μὲν ἀπελεύσῃ εὐαγγελιζόμενος τῷ πατρί σου τῷ σατανᾷ τὴν ἐμὴν ἀπώλειαν συγχαίρων τῷ ἐμῷ πτώματι, ἐγὼ δὲ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς αἰσχυνθήσομαι. Ἀλλ' οὐ πεισθήσομαί σοι, διάβολε· κρεῖσσον γάρ μοί ἐστιν ἵνα σὺ ἐνοχλῇς ὥς περ κύων, ἢ ἵνα γελάσῃς κατ' ἐμοῦ τοῦτον τὸν γέλωτα. «Κύριος γάρ μου στερέωμα καὶ καταφυγὴ καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου καὶ ἐπ' αὐτῷ ἐλπιῶ καὶ τῶν σῶν παγίδων σωθήσομαι». Πρὸς τούτοις, ἀγαπητέ, ἐπίφερε κατ' αὐτοῦ τὸν φόβον τῆς γεέννης καὶ τὴν πικρίαν τῶν κολάσεων, καὶ οὕτω τῷ φόβῳ τοῦ πυρὸς ἐκείνου τὸ ἐν σοὶ πῦρ μαρανθήσεται.

Εἰ δὲ βούλει, παραστήσω σοι καί τι βραχὺ ἀπεικόνισμα τῆς ἐν γεέννῃ τιμωρίας, ἵνα διὰ τοῦ μικροῦ τούτου τὴν ἀπέραντον καὶ ἀφόρητον ἐκείνην ὀδύνην ὡς ἐκ στοχασμοῦ καταμάθῃς. Οὐκ εἰσῆλθες εἰς βαλανεῖον ποτέ, καὶ ἑώρακας ἐκεῖ ἄνδρας λελυμένους ἐκ τῆς πυρᾶς καὶ εἰς τὴν νερὰν βαλλομένους; Ἐν ἐκείνῃ δὲ τῇ φλογὶ τῇ μελλούσῃ διαδέχεσθαι τοὺς ἁμαρτωλούς, οὔτε νεροφόρος παράκειται, οὔτε θύρα καὶ ἔκβασις ὑπάρχει, οὔτε φέγγος, οὔτε ἄνεμος ἀναψύχων, οὔτε ἐὰν βοήσῃ τις μεγάλῃ τῇ φωνῇ φλογιζόμενος ἔστιν ὁ βοηθῶν ἢ παρακαλῶν. Γέγραπται γάρ· «ἡ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος».

Οὐχ ἑώρακας δὲ καὶ αὐτὴν τὴν κάμινον τὴν ὑποκαίουσαν τὸ βαλανεῖον, ποῖον φόβον παρέχει τῷ μόνον πλησιάσαντι; Ἐκεῖ δέ, ἀντὶ ξύλου, ἀσεβεῖς κατακαίονται θείῳ πυρί, καὶ αἱ ἁμαρτίαι αὐτῶν ἐκείνην τὴν φλόγα σφοδροτέρως ἀνάπτουσι, καὶ ἀφόρητον αὐτοῖς ἐμποιοῦσι τὴν κόλασιν. Γέγραπται γάρ· «ὀργή, θυμὸς καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κακὸν κατεργαζομένου καὶ ἁμαρτάνοντος».

Ταῦτα οὖν, ἀδελφέ, ἀναλόγισαι καὶ διαλυθήσεται ἡ ἐπιθυμία τῆς ἡδονῆς ἐκ τῆς διανοίας σου, ὡς διαλύεται κηρὸς ἀπὸ προσώπου πυρός. Φύλαττε δὲ καὶ τοὺς σοὺς ὀφθαλμοὺς καὶ ἀπόστρεφε τοῦ μὴ ἰδεῖν ματαιότητας. Δεινὸς γὰρ ὑπάρχει προδότης ὁ ὀφθαλμὸς ὁ μετέωρος. Διὰ μὲν γὰρ τῶν λοιπῶν αἰσθήσεων ὁ νοῦς προσφάτως τὸν πόλεμον δέχεται, καὶ ἀπελθόντος τοῦ πράγματος ἢ τοῦ ἐναντίου ἐπισυμβαίνοντος, συναπῆλθε καὶ ἀπηλάθη καὶ ὁ ἐξ αὐτοῦ πόλεμος. Ὁ δὲ διὰ τῶν ὀφθαλμῶν, καὶ παρόντος τοῦ πράγματος καὶ ἀπόντος, δεινῶς πολεμεῖ, μᾶλλον δὲ καὶ πλέον ἀπόντος ἢ παρόντος ὀδυνᾷ τὴν ψυχήν, τὴν ἐπιθυμίαν ἀνάπτων.

Οἷόν τι λέγω· ἤκουσέ τις ἡδυφωνίας μουσικῶν καὶ παρῆλθεν· εἶτα ἤκουσε φωνῆς πένθους, καὶ ὀδυρμοῦ, καὶ διὰ τοῦ θρήνου ἀπεκρούσθη ἡ ἡδυφωνία τῶν μουσικῶν· ὁμοίως ἐγεύσατο μέλιτος, εἶτα καὶ πικροῦ τινος εἴδους, καὶ ἐσβέσθη ἡ γλυκύτης τοῦ μέλιτος ὑπὸ τῆς ἐσχάτης πικρότητος. Παραπλησίως δὲ καὶ ἐπὶ τῆς ὀσφρήσεως· ὠσφρήσατό τις εὐωδίας τινός, ἔπειτα καὶ δυσωδίας, καὶ ἀπηλάθη ἡ τῆς εὐω-

δίας ἡδύτης τῇ ἀηδίᾳ τῆς δυσωδίας. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἀφῆς· ἥψατό τις ὕδατος ψυχροῦ, μετὰ τοῦτο ἥψατο καὶ βράζοντος, καὶ ἡ ζέσις τοῦ θερμοῦ ἤμβλυνε τὴν προτέραν ψυχρότητα.

Ὁ δὲ διὰ τοῦ μετεώρου ὀφθαλμοῦ πόλεμος, καὶ παρούσης τῆς ὕλης καὶ ἀπούσης, καταφλέγει τὸν νοῦν τῇ ἐπιθυμίᾳ. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐνυπνίοις αἰσχροῖς φαντάζει τὴν καρδίαν· οἱ γὰρ δαίμονες, εὑρόντες παρείσδυσιν διὰ τοῦ λογισμοῦ, διαγράφουσι τὸν πειρασμὸν ἐν τῇ διανοίᾳ καὶ ἀσχολοῦντες τὸν νοῦν, εἰς ἡδυπαθείας αὐτὸν καταφέρουσι.

Διὸ γέγραπται· «ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον». Ἐν γὰρ τῇ ἥττῃ τῶν ὀφθαλμῶν ἀρχὴν λαμβάνει ἡ ἁμαρτία, εἰς ἣν ὁ νοῦς, εἰ μὴ θᾶττον ἐκνήψῃ, κατὰ μικρὸν πάντως ἐκκυλισθήσεται, καθὼς καὶ ὁ Κύριος διεμαρτύρετο λέγων· «πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Ταύτην δὲ τὴν μοιχείαν ἐκριζοῖ τὸ κάτω ἀεὶ ἔχειν τὸ ὄμμα, ἄνω δὲ τὴν ψυχήν. Βοηθεῖ δὲ τούτῳ καὶ ἡ ἐγκράτεια· ὁ γὰρ κρατήσας φησὶ γαστρός, ἐκράτησε βλέμματος. Φεῦγε λόγους αἰσχρούς, καὶ ἐκφεύξῃ λογισμοὺς ρυπαρούς.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ὅλοι οἱ ἀρχαῖοι προσέφεραν εἰς τὸν Θεὸν ὡς θυσίαν μόσχους καὶ κριοὺς καὶ ἀμνούς· ἡμεῖς ὅμως προσεφέραμεν εἰς Αὐτὸν τὸ σῶμα μας μὲ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. Ἂς μὴ τὸ μιάνωμεν λοιπὸν ποτὲ ἢ ἂς μὴ τὸ λερώσωμεν μὲ τὰ ἀπηγορευμένα, διὰ νὰ μὴ παραδοθῶμεν εἰς θάνατον ὡς ἱερόσυλοι, ἀλλ' ἂς τὸ διατηρήσωμεν ἅγιον καὶ ἄρτιον. Διὰ νὰ παραμένωμεν εἰς τὴν ἁγιωσύνην εἶναι ἀρκετή, δι' ἐκείνους ποὺ ἔχουν καθαρὰν διάνοιαν, ἡ συνεχὴς ἐνθύμησις τοῦ Θεοῦ, τῆς ὁποίας αἱ ἀκτῖνες φωτίζουν τὴν καρδίαν· ἐκεῖνοι ὅμως, οἱ ὁποῖοι ἔχουν ἀκόμη ἀδυναμίας, ἐκτὸς ἀπὸ αὐτὴν τὴν ἐνέργειαν τοῦ νοῦ, ἔχουν ἀνάγκην καὶ ἀπὸ μερικὰ παραδείγματα διὰ νὰ κατορθώσουν μίαν τοιαύτην ἀρετήν.

Ἂς λάβωμεν λοιπὸν ὡς παράδειγμα τοὺς κοσμικούς, οἱ ὁποῖοι ἀνδραγαθοῦν εἰς τὸν πόλεμον· τοὺς ζωγραφίζουν ἐπάνω εἰς τοίχους καὶ σανίδια καὶ ἐξιστοροῦν μὲ κάθε λεπτομέρειαν ὅλα τὰ πολεμικά των κατορθώματα. Εἰς τὴν ἀναπαράστασιν αὐτὴν παρουσιάζονται οἱ ἐχθροὶ νὰ φεύγουν καὶ αὐτοὶ νὰ τοὺς καταδιώκουν, νὰ τοὺς κτυποῦν, νὰ τοὺς πληγώνουν καὶ νὰ τοὺς θερίζουν ὅπως τὰ στάχυα· νὰ πίπτουν ἀξιοθρήνητοι νεκροὶ οἱ ἀντίπαλοι καὶ νὰ ξεψυχοῦν ἄδοξα. Πολλοὶ πάλιν ζωγραφίζουν εἰς τοὺς ναοὺς τὰ κατορθώματα καὶ τὰ μαρτύρια τῶν Ἁγίων, διὰ νὰ ἐνθυμοῦνται αὐτοὺς οἱ βραδυκίνητοι ὅτι ἠγωνίσθησαν ἐναντίον τῶν ἀντιπάλων καὶ ἐβραβεύθησαν καὶ ἔτσι νὰ ξυπνᾷ μέσα των ἡ ἐπιθυμία νὰ τοὺς μιμηθοῦν.

Ἐπειδὴ λοιπὸν πρόκειται νὰ ἐξιστορηθῇ καὶ ὁ βίος μας λεπτομερῶς καὶ νὰ ἐκτεθῇ εἰς ὑψηλὸν μέρος, διὰ νὰ τὸν ἴδουν ὅλα τὰ οὐράνια καὶ ἐπίγεια καὶ καταχθόνια κατὰ τὴν ἡμέραν τῆς Κρίσεως, ἂς προσέξωμεν, νὰ κατορθώσωμεν τὴν ἀρετήν, διὰ νὰ μὴ ἀναγραφῇ εἰς ἐκείνην τὴν

εἰκόνα δι' ἡμᾶς κανένα αἰσχρὸν ἀξιοκατάκριτον· διότι δὲν ὑπάρχει τίποτα κρυφόν, τὸ ὁποῖον δὲν θὰ γίνῃ γνωστὸν (Ματθ. ι', 26).

Εἶναι λοιπὸν πολὺ αἰσχρὸν νὰ ἴδωμεν εἰς εἰκόνα ἕνα πραγματικὸν ἄνδρα νὰ συνομιλῇ ἄσεμνα μὲ γυναῖκα καὶ μάλιστα νὰ εἶναι καὶ μοναχός. Ἂν, πάλιν συνομιλῇ (ἄσεμνα) μὲ ἀρσενικόν, σύμφωνα μὲ τὸ νόημα τοῦ ρητοῦ «ἀρσενικοὶ μὲ ἀρσενικοὺς ἀσχημονοῦν» (Ρωμ. α', 27), ἄραγε τότε ποῖος θὰ ἠμπορέσῃ νὰ κοιτάξῃ αὐτὴν τὴν εἰκόνα; Καὶ μόνον τὸ θέαμα αὐτὸ εἶναι πραγματικὰ ἀποκρουστικὸν καὶ μισητόν. Ἂν λοιπὸν δὲν θέλωμεν νὰ μᾶς ἰδῇ ὁλόκληρος ἡ κτίσις εἰς μίαν τοιαύτην ἀτιμίαν καὶ αἰσχρότητα, αὐτὸ ἀκριβῶς νὰ σκεπτώμεθα πάντοτε, ὁσάκις πολεμούμεθα ἀπὸ αἰσχροὺς λογισμούς· ὁπωσδήποτε τότε θὰ συνερχώμεθα ἀπὸ τὴν νάρκην καὶ αἰσθανόμενοι ἐντροπὴν (δι' αὐτοὺς τοὺς λογισμούς μας) θὰ νικῶμεν τὸ πάθος μὲ τὴν βοήθειαν τῆς Θείας Χάριτος.

Ἔτσι πρέπει νὰ προφυλάσσωμεν τὸ σῶμα μας ἀπὸ τὴν ἁμαρτίαν καὶ νὰ μὴ γινώμεθα ψεῦσται ἐνώπιον τοῦ Δημιουργοῦ· διότι προσεφέραμεν τοὺς ἑαυτούς μας ὡς δῶρον εἰς τὸν Κύριον καὶ δὲν ἔχομεν πλέον ἐξουσίαν ἐπάνω εἰς τὸ σῶμα μας. Εἴτε, δηλαδή, στενοχωρούμεθα, εἴτε πολεμούμεθα, δὲν ἠμποροῦμεν νὰ ἀποτραβήξωμεν τὸ δῶρον (καὶ νὰ τὸ χρησιμοποιήσωμεν) ὅπως θέλομεν. Ὅπως δηλαδὴ ἐκεῖνος, ποὺ ἔταξε κάτι εἰς τὸν Θεὸν καὶ τοῦ ἔφερε κάποιο δῶρον, τὸ ἀφιερώνει, διὰ τοῦ ἱερέως εἰς τὸν Ναόν, ἀπὸ ἐκείνην δὲ τὴν στιγμὴν δὲν ἔχει πλέον ἐξουσίαν νὰ ἀφαιρέσῃ αὐτὸ ποὺ προσέφερεν, ἔστω καὶ ἂν μεταμεληθῇ. Ἂν συλληφθῇ νὰ ἐπιχειρῇ νὰ ἀφαιρέσῃ κρυφὰ τὸ δῶρον ποὺ ἀφιέρωσεν, δὲν θὰ ἀπαλλαγῇ διὰ τὸ ἔγκλημά του αὐτό, μὲ τὴν δικαιολογίαν ὅτι ἀφαιρεῖ ἰδικόν του πρᾶγμα, ἀλλὰ θὰ τιμωρηθῇ ὡς ἱερόσυλος. Ἔτσι λοιπὸν ἀκριβῶς καὶ ἐκεῖνοι ποὺ ἔχουν ἀφιερωθῆ εἰς τὸν Θεόν, δὲν ἐξουσιάζουν πλέον τὸ σῶμα των.

Ἂν ὅμως, παρ' ὅλα αὐτά, μᾶς ἐνοχλῇ ἀκόμη ἡ σαρκικὴ ἐπιθυμία, ἂς σκύψωμεν ἐπάνω εἰς τὸν τάφον καὶ ἂς ἴδωμεν τὰ μυστήρια τῆς φύσεώς μας· τὸν σκελετόν, τὰ ἀπογυμνωμένα ἀπὸ τὰς σάρκας κρανία, καὶ τὰ ὑπόλοιπα ὀστᾶ. Ἀφοῦ δὲ τὰ ἴδωμεν, ἂς θεωρήσωμεν, ὅτι βλέπομεν εἰς ἐκεῖνα τοὺς ἑαυτούς μας καὶ τότε ἂς σκεφθῶμεν ποῦ ἐπῆγε τὸ κάλλος τοῦ ἄνθους τῆς παρούσης ζωῆς, τὸ ὡραῖον χρῶμα εἰς τὸ πρόσωπον καὶ ἡ ὑπόλοιπος ὡραιότης. Μὲ αὐτὴν τὴν σκέψιν θὰ σβήσῃ ἡ φλόγα τῆς σαρκός.

Καὶ μὲ ἄλλους λογισμοὺς εἶναι δυνατὸν νὰ πολεμήσωμεν καὶ νὰ νικήσωμεν αὐτὸ τὸ πάθος μὲ τὴν βοήθειαν τοῦ Θεοῦ. Ὁ ἐχθρός, ὁ ὁποῖος ἐνοχλεῖ συνεχῶς τὸν ἀδελφὸν μὲ τὴν ἔξαψιν τῆς σαρκικῆς ἐπιθυμίας, ἐμβάλλει εἰς τὸν νοῦν τέτοιους περίπου λογισμούς: Μέχρι πότε — τοῦ λέγει — θὰ ὑποφέρῃς τὸν κόπον καὶ τὴν ἐνόχλησιν τοῦ πάθους; Ἱκανοποίησε μίαν μόνον φορὰν τὴν ἐπιθυμίαν σου διὰ νὰ μὴ πολεμηθῇς πλέον καὶ κατόπιν μετανοεῖς. Διότι δὲν εἶναι τίποτε· μιᾶς ὥρας ὑπόθεσις καὶ ἔπειτα ἐπέρασε. Ὁ Θεὸς δέ, ἐπειδὴ εἶναι φιλάνθρωπος καὶ συμπαθής,

πάλιν θὰ σὲ δεχθῇ, ὅταν μετανοήσῃς. Ὁ ἀδελφὸς τότε ἂς τὸν ἀνατρέψῃ μὲ τὴν ἑξῆς ἀντίρρησιν. Ὦ ἐχθρὲ τοῦ γένους μας — ἂς τοῦ εἴπῃ — καὶ πολέμιε τῆς σωτηρίας μας, μοῦ βάζεις εἰς τὸν νοῦν μέχρι πότε θὰ ὑπομένω τὸν κόπον; Σοῦ ἀπαντῶ: ἕως ὅτου ὁ Κύριος ἴδῃ μὲ συγκατάβασιν τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ συγχωρήσῃ τὰς ἁμαρτίας μου (Ψαλ. κδ΄, 18), καὶ μὲ ἀπελευθερώσῃ, ὅπως τὴν χήραν (Λουκ. ιη΄, 3—8) ἀπὸ τὸν ἀντίδικόν μου. Δὲν γνωρίζεις δέ, διάβολε, ὅτι ἂν συνηθίσῃ τὸ θηρίον νὰ τρώγῃ ἀνθρώπους* τότε θὰ γίνῃ ἐκ τῆς συνηθείας ἀγριώτερον; Πῶς λοιπὸν φέρεις εἰς τὸν νοῦν μου τὴν σκέψιν ὅτι ἂν μίαν φορὰν κάμῃς τὴν ἐπιθυμίαν σου, ποτὲ πλέον δὲν θὰ ἐνοχληθῇς; Καὶ ποῖος θὰ μοῦ ὑποσχεθῇ ὅτι ἂν φθείρω τὸ σῶμα μου, θὰ εὕρω καιρὸν μετανοίας καὶ δὲν θὰ παρασυρθῶ εἰς τὴν κόλασιν μαζὶ μὲ τοὺς ἐργαζομένους τὴν ἀνομίαν; Διότι ἡ ζωή μας ἐπάνω εἰς τὴν γῆν εἶναι μία σκιά. Καὶ τί δὲν ἠμπορεῖ νὰ γίνῃ μέσα εἰς μίαν ὥραν; Ἂν πάρω μαχαίρι καὶ αὐτοκτονήσω;

Δι' αὐτὸ λοιπὸν ἀκριβῶς δὲν πρέπει νὰ σὲ ἀκούσω, διὰ νὰ μὴ χάσω, μέσα εἰς μίαν ὥραν, αἰώνιον πλοῦτον καὶ ὅσα ἐμάζεψα τόσα χρόνια, μὲ κόπους ἐργαζόμενος τὰς ἀρετάς, νὰ τὰ σκορπίσω εἰς μίαν στιγμὴν καὶ νὰ γίνω αἰχμάλωτός σου. Καὶ λέγεις ὅτι τὸ πρᾶγμα εἶναι μικρόν; Μάθε, κακόβουλε ἐχθρὲ τῆς ζωῆς μας, ποία τιμὴ ἐπιφυλάσσεται εἰς ἐκείνους, οἱ ὁποῖοι ἐνίκησαν, μὲ τὴν εὐσέβειάν των, αὐτὸ τὸ πάθος, τὸ ὁποῖον σὺ λέγεις μικρὸν καὶ ποία τιμωρία, ἀντιθέτως, ἔχει ἑτοιμασθῆ δι' αὐτούς, ποὺ ἐνικήθησαν ἀπὸ αὐτό. Μήπως ὁ σώφρων Ἰωσὴφ δὲν ἐπαινεῖται ἀπὸ ὅλας τὰς γενεὰς καὶ δὲν δοξάζεται εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν, ἐπειδὴ ἐνίκησε τὸ πάθος αὐτό, ἐνῷ, ἀντιθέτως, δὲν χλευάζεται ἡ Αἰγυπτία διὰ τὴν αἰσχρὰν πρᾶξιν της, καθὼς κηρύσσεται εἰς ὅλον τὸν κόσμον; Καὶ ἡ τρισευτυχισμένη Σωσάννα δὲν ἐγκωμιάζεται ἀπὸ ὅλους μέχρι σήμερον καὶ θὰ ἐγκωμιάζεται εἰς τοὺς αἰῶνας, διότι δὲν ὑπεχώρησεν εἰς αὐτὴν τὴν ἐπιθυμίαν, ἀλλὰ διετήρησε τὴν σωφροσύνην της καὶ κατεφρόνησε τὸν θάνατον; Ἐνῷ οἱ Πρεσβύτεροι καὶ Κριταί, οἱ ὁποῖοι ἐκυβερνοῦσαν τὸν λαόν, ἐπειδὴ ἐνικήθησαν ἀπὸ αὐτὸ τὸ πάθος, ἐθανατώθησαν μὲ λιθοβολισμὸν καὶ ἄφησαν κακὸν ὄνομα εἰς τὰς ἐπομένας γενεάς.**

Φύγε λοιπὸν ἀπὸ κοντά μας, ἐργάτα τῆς ἀνομίας, ποὺ πολεμεῖς τὰς ψυχάς. Κύριος ὁ Θεός, ὁ ὁποῖος ἔδωσεν εἰς τοὺς ἀνθρώπους τὸ πνεῦμα Του τὸ Ἅγιον ἂς σὲ τιμωρήσῃ καὶ ἂς ἀχρηστεύσῃ τὰς μηχανὰς καὶ τὰς παγίδας σου, διότι ἐνεδρεύεις ὅπως τὸ κρυμμένο λεοντάρι νὰ καταπίῃς

* Πράγματι πολλοὶ ἐπιστήμονες ἀναφέρουν ὅτι διάφορα θηρία, ἰδίως λέοντες καὶ τίγρεις, ὅταν ἅπαξ γευθοῦν κρέας ἀνθρώπου, ἔπειτα τὸ προτιμοῦν ἀπὸ κάθε ἄλλο καὶ ἐγκαθιστάμενα πλησίον κατῳκημένων τόπων προσπαθοῦν πάντοτε νὰ ἁρπάσουν ἄνθρωπον νὰ τὸν καταβροχθίσουν.

* Περὶ τῆς Σωσάννας καὶ τῶν συκοφαντῶν αὐτῆς βλέπε ὑποσημείωσιν τῆς σελίδος 335 τοῦ Α΄ τόμου τοῦ «Εὐεργετινοῦ».

τὴν ψυχήν μου· διότι ἐκεῖνο, ποὺ παρουσιάζεις ὡς γλυκύ, εἶναι πικρὸν καὶ τὸ ἴσιωμά σου εἶναι λάκκος, ποὺ ὁδηγεῖ εἰς τὴν ἀπώλειαν καὶ τὰ χαρίσματά σου εἶναι γεμᾶτα ἀπὸ φθορὰν καὶ θάνατον.

Φέρεις εἰς τὸν νοῦν μου τὴν σκέψιν νὰ ἀρνηθῶ τὴν τόσον μεγάλην χάριν ποὺ ἔλαβα ἀπὸ τὸν Κύριόν μου καὶ νὰ λυπήσω τὸ Ἅγιον Πνεῦμα, μὲ τὸ ὁποῖον ἐσφραγίσθην διὰ νὰ ἀπολυτρωθῶ καὶ νὰ κάμω τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης (Α´ Κορ. στ´, 15); Μὲ προτρέπεις νὰ χάσω τὸν ἁγιασμόν, χωρὶς τὸν ὁποῖον δὲν θὰ ἴδῃ κανεὶς τὸν Κύριον (Ἑβρ. ιβ´, 14) καὶ νὰ ξεπέσω ἀπὸ τὴν ἀτελεύτητον χαρὰν καὶ δόξαν τοῦ Κυρίου μου καὶ νὰ κληρονομήσω μαζί σου τὸ ἄσβεστον πῦρ καὶ τὸν ἀκοίμητον σκώληκα καὶ τὰς ὑπολοίπους αἰωνίους τιμωρίας, ποὺ ἔχουν ἑτοιμασθῆ ἀπὸ τὸν Θεὸν δι' ἐσὲ καὶ τοὺς ὑπηρέτας σου (Ματθ. κε´, 41); Αὐτὰ μοῦ συνιστᾷς νὰ κάμω καὶ νὰ πάθω εἰς ἐλάχιστον χρονικὸν διάστημα καὶ μοῦ λέγεις ὅτι δὲν εἶναι τίποτα αὐτὸ τὸ πρᾶγμα;

Γνωρίζω καλὰ ὅτι ἐὰν σὲ ἀκούσω, σὺ θὰ τρέξῃς νὰ φέρῃς εἰς τὸν πατέρα σου, τὸν σατανᾶν, ὡς καλὴν εἴδησιν, τὴν ἰδικήν μου ἀπώλειαν καὶ θὰ χαρῇς μαζί του διὰ τὴν πτῶσιν μου· ἐγὼ ὅμως θὰ παρουσιασθῶ κατεντροπιασμένος ἐμπρὸς εἰς τὸν ἐπουράνιον Πατέρα μου. Δὲν θὰ μὲ πείσῃς, διάβολε· διότι εἶναι καλύτερον δι' ἐμὲ νὰ μὲ ἐνοχλῇς ὡς σκύλος, παρὰ νὰ γελάσῃς εἰς βάρος μου διὰ τὸ τοιοῦτον πάθημά μου. «Ὁ Κύριός μου εἶναι στερέωμά μου καὶ καταφύγιόν μου καὶ ἐκεῖνος ποὺ φροντίζει διὰ τὴν σωτηρίαν μου. Ὁ Κύριος ὑπερασπίζει τὴν ζωήν μου καὶ εἰς αὐτὸν θὰ ἐλπίσω καὶ θὰ σωθῶ ἀπὸ τὰς παγίδας σου» (Ψαλ. γ´, 3— ιζ´, 30— κστ´, 1—ο´, 3).

Ἐκτὸς ἀπὸ αὐτά, ἀγαπητέ, φέρε ἀκόμη εἰς τὸν νοῦν σου τὸν φόβον τῆς γεέννης καὶ τὴν πικρίαν τῆς κολάσεως· καὶ ἔτσι μὲ τὸν φόβον ἐκείνου τοῦ πυρὸς θὰ μαρανθῇ μέσα σου τὸ πῦρ τῆς πορνείας.

Ἂν δὲ θέλῃς, θὰ σοῦ παρουσιάσω καὶ μίαν μικρὰν εἰκόνα τῆς τιμωρίας εἰς τὴν γέενναν, διὰ νὰ συμπεράνῃς, ἀπὸ αὐτὸ τὸ παραμικρόν, πόσον ἀπέραντος καὶ ἀνυπόφορος θὰ εἶναι ἐκεῖνος ὁ πόνος. Δὲν ἔτυχε ποτὲ νὰ εἰσέλθῃς εἰς λουτρὸν καὶ νὰ ἴδῃς ἐκεῖ ἄνδρας, ποὺ ἔχουν παραλύσει ἀπὸ τὴν θερμότητα, μὲ πόσην λαχτάραν τρέχουν νὰ δροσισθοῦν εἰς τὸν λουτῆρα μὲ τὸ δροσερὸν νερόν; Εἰς ἐκείνην ὅμως τὴν φλόγα, ἡ ὁποία πρόκειται νὰ ὑποδεχθῇ τοὺς ἁμαρτωλούς, οὔτε λουτὴρ μὲ δροσερὸν νερὸν βρίσκεται κοντά, οὔτε θύρα ἐξόδου ὑπάρχει, οὔτε φῶς, οὔτε δροσερὸς ἀήρ, οὔτε καὶ ἐὰν φωνάξῃ κανείς, καθὼς θὰ καίγεται ἀπὸ τὴν φλόγα, μὲ δυνατὴν φωνήν, θὰ εὑρεθῇ κάποιος νὰ τὸν βοηθήσῃ ἢ νὰ τὸν παρηγορήσῃ. Διότι λέγει ἡ Ἁγία Γραφή· «ἡ κρίσις θὰ εἶναι χωρὶς ἔλεος δι' αὐτὸν ποὺ δὲν ἔδειξεν εὐσπλαγχνίαν» (Ἰακ. β´, 13).

Δὲν ἐπρόσεξες δὲ καὶ τὴν φωτιὰν ποὺ καίει κάτω ἀπὸ τὸ λουτρόν, πόσον φοβίζει καὶ ἐκεῖνον ποὺ μόνον θὰ τὴν πλησιάσῃ; Ἐκεῖ εἰς τὴν κόλασιν, ἀντὶ ξύλων, κατακαίονται ἀπὸ τὸ θεϊκὸν πῦρ ἀσεβεῖς, καὶ αἱ ἁμαρτίαι των φουντώνουν περισσότερον ἐκείνην τὴν φλόγα καὶ τοὺς κά-

μνουν ἀνυπόφορον τὴν κόλασιν. Διότι, καθὼς λέγει ἡ 'Αγία Γραφή, «θὰ ἐκσπάση ὀργή, θυμός, καὶ θλῖψις δὲ καὶ στενοχώρια θὰ πλημμυρίση κάθε ψυχήν, ποὺ ἐξακολουθεῖ νὰ κάμνη τὸ κακὸν καὶ νὰ ἁμαρτάνη» (Ρωμ. β', 8—9).

Αὐτὰ λοιπόν, ἀδελφέ, νὰ σκέπτεσαι καὶ θὰ διαλυθῆ ἀπὸ τὴν διάνοιάν σου ἡ ἐπιθυμία τῆς ἡδονῆς, ὅπως διαλύεται τὸ κερὶ ἀπὸ τὴν φωτιάν. Προφύλασσε δὲ καὶ τὰ μάτια σου καὶ γύριζέ τα ἀλλοῦ, διὰ νὰ μὴ ἴδης ματαιότητας. Διότι ὁ ὀφθαλμός, ὁ ὁποῖος ἐπιπόλαια γυροφέρνει τὸ βλέμμα, εἶναι προδότης. Διότι μὲ τὰς μὲν ὑπολοίπους αἰσθήσεις ὁ νοῦς πολεμεῖται μόνον ὅσον ὑπάρχει καὶ ἡ αἰτία ποὺ τὸν προκαλεῖ· ὅταν ὅμως φύγη ἡ αἰτία ἢ μᾶς συμβῆ κάτι ἀντίθετον, τότε, μαζὶ μὲ τὴν αἰτίαν, ἔφυγε καὶ ἐξεδιώχθη ἀπὸ τὸν νοῦν μας καὶ ὁ πόλεμος ποὺ προεκλήθη ἀπὸ τὴν αἰτίαν αὐτήν. 'Ο πόλεμος ὅμως ποὺ προκαλεῖται ἀπὸ τὰ μάτια, ἐξακολουθεῖ φοβερὸς καὶ ὅταν ὑπάρχη ἡ αἰτία καὶ ὅταν ἐκλείψη· μᾶλλον δὲ καὶ περισσότερον στενοχωρεῖ τὴν ψυχὴν ὅταν ἐκλείψη ἡ αἰτία, παρὰ ὅταν ὑπάρχη, διότι ἀνάπτει τότε ἡ ἐπιθυμία.

Καὶ ἐξηγοῦμαι τί ἐννοῶ· κάποιος ἤκουσε γλυκύφθογγον μουσικὴν καὶ ἔφυγε, κατόπιν δὲ ἤκουσε φωνὴν πένθους καὶ ὀδυρμόν· ἡ γλυκύφθογγος μουσικὴ ἐξεδιώχθη ἀπὸ τοὺς θρήνους. 'Επίσης κάποιος ἐγεύθη μέλι καὶ ἀμέσως κατόπιν κάτι πικρόν· ἡ γλυκύτης τοῦ μέλιτος ἐξηφανίσθη ἀπὸ τὴν τελευταίαν πικράδα. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὴν ὄσφρησιν· ἐμύρισε κανεὶς κάποιαν εὐωδίαν καὶ κατόπιν κάποιαν δυσωδίαν· ἔφυγεν ἀμέσως ἡ εὐχαρίστησις τῆς εὐωδίας ἀπὸ τὴν ἀηδίαν τῆς δυσωδίας. Κάτι ἀνάλογον συμβαίνει καὶ μὲ τὴν ἀφήν· ἤγγισε κανεὶς ψυχρὸν νερὸν καὶ κατόπιν θερμόν; 'Η θερμότητα τοῦ ζεστοῦ νεροῦ ἐξουδετέρωσε τὴν προηγουμένην ψυχρότητα.

'Ο πόλεμος ὅμως ποὺ προκαλεῖται ἀπὸ τὴν ἐπιπολαίαν περιπλάνησιν τοῦ βλέμματος, καὶ ὅταν ὑπάρχη τὸ ἀντικείμενον τῆς ὁράσεως καὶ ὅταν φύγη, καταφλέγει τὸν νοῦν μὲ τὴν ἐπιθυμίαν. Ὄχι δὲ μόνον αὐτό, ἀλλὰ καὶ μὲ αἰσχρὰ ὄνειρα ἐξαπατᾷ τὴν καρδίαν· διότι οἱ δαίμονες, ἀφοῦ εὕρουν ἄνοιγμα εἰς τὸν λογισμὸν καὶ εἰσέλθουν, σχεδιάζουν εἰς τὴν διάνοιαν τὸν πειρασμόν, ἀπασχολοῦν μὲ αὐτὸν τὸν νοῦν καὶ τὸν παρασύρουν εἰς φιληδόνους σκέψεις.

Διὰ τοῦτο λέγει ἡ 'Αγία Γραφή· «ἡ διαρκὴς ἀπασχόλησις μὲ τὴν ἐπιθυμίαν ἀναστατώνει νοῦν ἄκακον» (Σοφ. Σολομ. δ', 12). Ὅταν δηλαδὴ νικηθοῦν οἱ ὀφθαλμοί, ἀρχίζει ἡ ἁμαρτία, πρὸς τὴν ὁποίαν ὁπωσδήποτε θὰ κατρακυλήση ὁ νοῦς, ἂν δὲν συνέλθη γρήγορα, σύμφωνα μὲ τὴν βεβαίωσιν τοῦ Κυρίου, «ὅποιος ἴδη γυναῖκα, διὰ νὰ τὴν ἐπιθυμήση, ἐμοίχευσεν ἤδη αὐτὴν εἰς τὴν καρδίαν του» (Ματθ. ε', 28). Αὐτὴν τὴν μοιχείαν ξεριζώνει τὸ νὰ ἔχωμεν συνεχῶς γυρισμένον πρὸς τὰ κάτω τὸ βλέμμα πρὸς τὰ ἐπάνω δὲ τὴν ψυχήν. Εἰς αὐτὸ βοηθεῖ καὶ ἡ ἐγκράτεια· διότι — λέγει — αὐτός, ποὺ θὰ κυριαρχήση τῆς κοιλίας του, ἐκυριάρ-

χησε καὶ τοῦ βλέμματός του. Νὰ ἀποφεύγῃς λόγια αἰσχρὰ καὶ θὰ ἀποφύγῃς, τότε, καὶ τοὺς ρυπαροὺς λογισμούς.

Ε'. Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΕΑΝ ὑπάρχῃ εἰς πόλιν ἢ εἰς κώμην, οἱ ὀφθαλμοί σου ἔστωσαν βλέποντες κάτω, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου· ἐὰν πρὸς ὕδωρ στῇς ἢ καὶ ἀναγκαίας χρείας χάριν καθίσῃς, μὴ καταφρονήσῃς, ἀλλὰ μνήσθητι τοῦ Θεοῦ, ὅτι προσέχει σοι, μέλλων δὲ κοιμηθῆναι, ἔσο περιεζωσμένος τὴν ζώνην σου. Ἄσκησον δὲ μὴ εἰσενεγκεῖν τὰς χεῖράς σου ἔνδον σου· πολλὰ γὰρ πάθη ἔχει τὸ σῶμα, ἅτινα ἐπιτελεῖ ἡ καρδία. Μὴ καταδέξῃ ποτὲ κοιμηθῆναι μετά τινος εἰς ἓν ψιάθιον, νεώτερος ὤν, εἰμὴ μετὰ τοῦ ἀδελφοῦ σου ἢ τοῦ Ἀββᾶ σου, καὶ τοῦτο μετὰ φόβου καὶ μὴ μετὰ καταφρονήσεως.


Μὴ καταφρονήσῃς τοῖς ὀφθαλμοῖς ἐνδυόμενος τὰ ἱμάτιά σου, μηδὲ καλὸν ἱμάτιον φορέσῃς νεώτερος ὢν ἕως οὗ φθάσῃς εἰς ἡλικίαν ἀνδρός· ἴασις γάρ σοι ἐστί. Μὴ οἰκήσῃς εἰς τόπον ἐν ᾧ ἥμαρτες εἰς Θεόν. Φύλαξον σεαυτὸν μὴ αἰχμαλωτισθῆναι εἰς ἃ ἥμαρτες, ἵνα μὴ ἀνακαινισθῶσιν ἐν σοί. Φύλαξον τοὺς ὀφθαλμούς σου, καὶ ἡ καρδία σου οὐ μὴ βλέψῃ πονηρά. Ὁ ἐπιβλέπων εἴς τινα ἐν ἡδονῇ, μοιχείαν ἐπιτελεῖ· ἐὰν κάλλος σώματος ἕλκῃ τὴν καρδίαν σου, μνήσθητι τῆς δυσωδίας αὐτοῦ καὶ ἀναπαύῃ. Ἐὰν ἡδονὴ γυναικῶν ἡδίστη σοί ἐστι, μνήσθητι τῶν ἀποθανουσῶν ἤδη ποῦ ἀπῆλθον καὶ ἀναπαύει.

Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα ὥς περ ἐγκρατεύῃ ἀπὸ τῆς πορνείας, οὕτως ἐγκρατεύσῃ καὶ ἀπὸ τῶν ἐπιθυμιῶν τῶν ὀφθαλμῶν, καὶ τῆς ἀκοῆς, καὶ τῆς γλώττης, καὶ τῆς ἀφῆς, ἵνα τοὺς ὀφθαλμούς σου πάντοτε ἔχῃς σεαυτῷ προσέχοντας καὶ τῷ ἐργοχείρῳ σου, καὶ μὴ κατανοήσῃς ἄνθρωπον, εἰ μήπου γνῷς ὅτι χρεία εὐλογός ἐστι. Γυναικὶ δὲ ἢ ἄρρενι εὐπροσώπῳ τὸ καθόλου μὴ πρόσχῃς χωρὶς ἀνάγκης, τὰς δὲ ἀκοάς σου οὐ μὴ συγχώρει ἀκούειν ὁμιλίας ἀνωφελῶς, καὶ τὸ στόμα σου δὲ σιωπάτω καὶ μὴ λαλείτω ὅλως μὴ οὔσης ἀνάγκης.

Ἑρμηνεία

ΕΑΝ εὑρίσκεσαι εἰς πόλιν ἢ εἰς χωρίον οἱ ὀφθαλμοί σου ἂς βλέπουν πρὸς τὰ κάτω, διὰ νὰ μὴ ξεσηκώνῃς πολέμους ἐντός σου, ὅταν θὰ εἶσαι μόνος εἰς τὸ κελλί σου. Ἂν σταθῇς κάπου νὰ πιῇς νερὸν ἢ καθίσῃς διὰ σοβαρὰν ἀνάγκην, νὰ μὴ χαλαρώσῃς τὴν προσοχήν σου· θυμήσου ὅτι ὁ Θεὸς σὲ προσέχει. Ὅταν πρόκειται νὰ κοιμηθῇς, νὰ εἶσαι ζωσμένος μὲ τὴν ζώνην σου. Συνήθιζε νὰ μὴ βάζῃς τὰ χέρια σου κατάσαρκα εἰς τὸ σῶμα σου, διότι τὸ σῶμα ἔχει πολλὰ πάθη, τὰ ὁποῖα ἐκτελεῖ ἡ καρδία. Νὰ μὴ δεχθῇς ποτὲ νὰ κοιμηθῇς μὲ ἄλλον σὲ μίαν ψάθαν, ὅταν εἶσαι νέος, παρὰ μονάχα μὲ τὸν ἀδελφόν σου ἢ τὸν Ἀββᾶν σου· καὶ αὐτὸ μὲ φόβον καὶ ὄχι ἀπρόσεκτα.

Μὴ παραμελήσῃς νὰ προσέχῃς τὰ μάτια σου, ὅταν θὰ φορῇς τὰ φορέματά σου, οὔτε νὰ φορέσῃς καλὸν φόρεμα, ὅταν θὰ εἶσαι ἀκόμη νέος, μέχρις ὅτου γίνῃς ὥριμος ἄνδρας· διότι αὐτὸ εἶναι θεραπεία διὰ σέ.


Ὁ ὍΣΙΟΣ ἩΣΑΪΑΣ Ὁ ἈΝΑΧΩΡΗΤΉΣ
Ράλλης Κοψίδης
1963

Μὴ κατοικήσῃς εἰς τόπον, εἰς τὸν ὁποῖον ἡμάρτησες ἐνώπιον τοῦ Θεοῦ. Προφυλάξου νὰ μὴ αἰχμαλωτισθῇ ἡ σκέψις σου ἀπὸ ἐκεῖνα ποὺ ἡμάρτησες, διὰ νὰ μὴ ἀνανεωθοῦν μέσα σου. Πρόσεξε τοὺς ὀφθαλμούς σου καὶ ἡ καρδία σου ἂς μὴ κοιτάξῃ πονηρά. Ἐκεῖνος ποὺ βλέπει μὲ φιλήδονον διάθεσιν κάποιον ἄλλον, διαπράττει μοιχείαν· ἂν παρασύρῃ σωματικὸν κάλλος τὴν καρδίαν σου, ἐνθυμήσου τὴν δυσωδίαν του καὶ θὰ εὕρῃς ἀνάπαυσιν. Ἐὰν σοῦ εἶναι πολὺ εὐχάριστος ἡ ἡδονὴ τῶν γυναικῶν, ἐνθυμήσου ἐκείνας αἱ ὁποῖαι ἤδη ἀπέθανον καὶ θὰ ἔχῃς ψυχικὴν γαλήνην.

Πρόσεχε αὐστηρὰ τὸν ἑαυτόν σου, ὥστε ὅπως ἐγκρατεύεσαι ἀπὸ τὴν πορνείαν, ἔτσι νὰ ἐγκρατευθῇς καὶ ἀπὸ τὰς ἐπιθυμίας τῶν ὀφθαλμῶν καὶ τῆς ἀκοῆς καὶ τῆς γλώσσης καὶ τῆς ἁφῆς, διὰ νὰ εἶναι ἀφωσιωμένα τὰ μάτια σου εἰς σὲ καὶ εἰς τὸ ἐργόχειρόν σου· νὰ μὴ κοιτάξῃς προσεκτικὰ ἄνθρωπον, ἐκτὸς ἂν ἀντιληφθῇς ὅτι ὑπάρχει σοβαρὰ ἀνάγκη. Ὡραῖον ἄνδρα ἢ γυναῖκα μὴ προσέξῃς ἐκτὸς ἀπὸ ἀνάγκην. Νὰ μὴ ἐπιτρέψῃς εἰς τὰ αὐτιά σου νὰ ἀκούουν ὁμιλίας ἀνωφελεῖς καὶ τὸ στόμα σου ἂς εἶναι κλειστὸν καὶ ἂς μὴ ὁμιλῇ καθόλου, ἂν δὲν ὑπάρχῃ ἀνάγκη.

ΣΤ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΤΑ ΜΕΝ ἄλλα πάθη ἐν τῇ ψυχῇ μόνον τὴν μάχην ἔχουσιν, ὁ δὲ τῆς πορνείας πόλεμος διπλοῦς καθέστηκεν ἐν ψυχῇ καὶ σώματι συνιστάμενος, διὸ καὶ διπλῆν τὴν πρὸς αὐτὸν πάλην ἀναδέξασθαι χρή. Οὐδὲ γὰρ ἱκανὴ ὑπάρχει μόνη ἡ σωματικὴ νηστεία πρὸς κτῆσιν τῆς τελείας σωφροσύνης καὶ ἀληθοῦς ἁγνείας, εἰ μὴ καὶ καρδίας γένηται συντριμμός, καὶ εὐχὴ πρὸς Θεὸν ἐκτενής, καὶ πυκνὴ τῶν Γραφῶν μελέτη, καὶ κάματος καὶ ἐργόχειρον, ἅπερ δύνανται τὰς ἀτάκτους ὁρμὰς τῆς ψυχῆς συστέλλειν καὶ ἐκ τῶν αἰσχρῶν φαντασιῶν ἀνακαλεῖσθαι αὐτήν. Πρό γε πάντων συμβάλλεται ταπείνωσις ψυχῆς, ἧς χωρὶς οὐδὲ πορνείας, οὐδὲ τῶν ἄλλων παθῶν δυνήσεταί τις περιγενέσθαι.

Προηγουμένως τοίνυν χρὴ πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν ἀπὸ ρυπαρῶν λογισμῶν· ἐκ γὰρ ταύτης προέρχονται, κατὰ τὴν τοῦ Κυρίου φωνήν, διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι καὶ τὰ λοιπά. Καὶ γὰρ ἡ νηστεία οὐ μόνον πρὸς κακουχίαν τοῦ σώματος ἡμῖν προστέτακται, ἀλλὰ καὶ πρὸς νῆψιν τοῦ νοός, ἵνα μὴ τῷ πλήθει τῶν βρωμάτων σκοτωθεὶς ἀδυνατήσῃ πρὸς τὴν τῶν λογισμῶν παραφυλακήν.

Χρὴ τοίνυν μὴ μόνον ἐν τῇ σωματικῇ νηστείᾳ τὴν πᾶσαν σχολὴν ἐνδείκνυσθαι, ἀλλὰ καὶ ἐν τῇ προσοχῇ τῶν λογισμῶν καὶ ἐν τῇ πνευματικῇ μελέτῃ, ὧν χωρὶς ἀδύνατον πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ἁγνείας ἀνελθεῖν.

Σπουδάζωμεν οὖν καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ Κυρίου φωνήν, τὸ ἔνδον τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἔξω καθαρόν. Καὶ γὰρ ὁ ἰατρὸς τῶν ψυχῶν εἰδὼς τὴν νόσον ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς κεκρυμμένην, ἐκεῖ τὸ φάρμακον ἐναπέθετο, ἔνθα καὶ τὰς αἰτίας τῆς νόσου ὑπάρχειν ἐγίνωσκε, φάσκων, «ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», οὐ τοσοῦτον τοὺς περιέργους καὶ πορνικοὺς ὀφθαλμοὺς διορθούμενος, ὅσον τὴν ἔνδον ἐνιδρυμένην ψυχήν, ἥτις τοῖς ἐπ' ἀγαθῷ παρὰ Θεοῦ δοθεῖσιν

ὀφθαλμοῖς κακῶς κέχρηται. Τούτου χάριν καὶ ἡ σοφὴ παροιμία οὐ λέγει «πάσῃ φυλακῇ τήρει σοὺς ὀφθαλμούς», ἀλλὰ «πάσῃ φυλακῇ τήρει σὴν καρδίαν», ἐκείνην μάλιστα ἐπιτιθεῖσα τὴν ἰατρείαν τῇ φυλακῆς, τῇ κεχρημένῃ εἰς ὃ βούλεται τοῖς ὀφθαλμοῖς.

Τοιγαροῦν αὕτη ἔστω τῆς καθάρσεως ἡμῶν προφυλακή, ἵνα ὅταν ἐν τῇ ἡμετέρᾳ διανοίᾳ μνήμη γένηται γυναικός, ἀναδοθεῖσα διὰ τῆς διαβολικῆς κακουργίας, εἰ τύχοι μητρός, ἢ ἀδελφῆς, ἢ ἄλλων τινῶν γυναικῶν εὐλαβῶν, ταχέως ταύτην ἐκ τῆς ἡμετέρας καρδίας ἐκβάλωμεν, ἵνα μὴ ἐπὶ πολὺ διατριβόντων ἡμῶν ταύτῃ τῇ μνήμῃ ὁ τῶν ψυχῶν ἀπατεὼν ἐκ τούτων τῶν προσώπων κατακυλίσῃ καὶ κατακρημνίσῃ τὴν διάνοιαν εἰς αἰσχρὰς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις.

Καθῶς καὶ ἡ παρὰ Θεοῦ δοθεῖσα τῷ πρωτοπλάστῳ ἐντολὴ κελεύει τηρεῖν τὴν κεφαλὴν τοῦ ὄφεως, τουτέστι τῶν βλαβερῶν λογισμῶν τὰς ἀρχάς, δι' ὧν ἕρπειν εἰς τὰς ἡμετέρας ψυχὰς ἐπιχειρεῖ, ἵνα μὴ τῇ παραδοχῇ τῆς κεφαλῆς, ἥτις ἐστὶν ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ λοιπὸν τοῦ ὄφεως σῶμα, τουτέστι τὴν συγκατάθεσιν τῆς ἡδονῆς, παραδεξώμεθα, καὶ ἐκ τούτου λοιπὸν ἐπὶ τὴν ἀθέμιτον πρᾶξιν κατενεχθῇ ἡ διάνοια. Ἀλλὰ προσήκει, κατὰ τὸ γεγραμμένον, εἰς τὰς πρωΐας ἀποκτείνειν πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, ἤγουν τῷ φωτὶ τῆς γνώσεως διακρίνειν καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμῶν, κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν, καὶ ὡς ἔτι νήπιοί εἰσιν οἱ πονηροὶ λογισμοί, οὓς υἱοὺς Βαβυλῶνος ἡ γραφὴ καλεῖ.

Ἐὰν γὰρ διὰ τῆς ἡμετέρας συγκαταθέσεως ἀνδρισθῶσιν, οὐκ ἂν δίχα μεγάλου στεναγμοῦ καὶ καμάτου νικηθήσονται. Χρὴ δὲ γινώσκειν, ὅτι πρὸς τὸν πόλεμον τοῦτον καὶ ἡ ἀγρυπνία μεγάλα δύναται· ὥς περ γὰρ ἡ ἁγνεία καὶ ἡ παραφυλακὴ τῆς ἡμέρας τὴν νυκτερινὴν ἁγιωσύνην προπαρασκευάζουσιν, οὕτως ἡ νυκτερινὴ κατὰ Θεὸν ἀγρυπνία τὴν ἡμερινὴν τῇ ψυχῇ προοδοποιεῖ καθαρότητα.

Ἑρμηνεία

ΤΑ ΜΕΝ ἄλλα πάθη μόνον μέσα εἰς τὴν ψυχὴν ἔχουν τὸ κέντρον τῆς μάχης· ὁ πόλεμος ὅμως τῆς πορνείας εἶναι διπλός, διακρινόμενος εἰς ψυχικὸν καὶ εἰς σωματικόν. Δι' αὐτὸ πρέπει νὰ ἀναλάβωμεν διπλῆν πάλην ἐναντίον του. Δὲν εἶναι, δηλαδή, ἀρκετὴ ἡ σωματικὴ νηστεία διὰ τὴν ἀπόκτησιν τῆς τελείας σωφροσύνης καὶ τῆς πραγματικῆς ἁγνείας, ἂν δὲν συνοδεύεται ἀπὸ συντριβὴν καρδίας, ἀπὸ θερμὴν προσευχὴν πρὸς τὸν Θεόν, ἀπὸ τακτικὴν μελέτην τῆς Ἁγίας Γραφῆς, ἀπὸ κόπον καὶ ἐργόχειρον, ποὺ ἠμποροῦν νὰ περιορίζουν τὰς ἀτάκτους ὁρμὰς τῆς ψυχῆς καὶ νὰ τὴν ἀποτρέπουν ἀπὸ τὰς σαρκικὰς φαντασίας. Περισσότερον ὅμως ἀπὸ ὅλα βοηθεῖ εἰς τὴν νίκην ἡ ταπείνωσις τῆς ψυχῆς, χωρὶς τὴν ὁποίαν δὲν θὰ ἠμπορέσῃ κανεὶς νὰ καταβάλῃ οὔτε τὴν πορνείαν οὔτε τὰ ἄλλα πάθη.

Πρέπει λοιπὸν προηγουμένως νὰ προφυλάσσωμεν, μὲ ὅλην μας τὴν προσοχήν, τὴν καρδίαν μας ἀπὸ ἀκαθάρτους λογισμούς· διότι ἀπὸ αὐτὴν τὴν καρδίαν προέρχονται, ὅπως λέγει ὁ Κύριος, πονηραὶ σκέψεις, φόνοι, μοιχεῖαι, πορνεῖαι καὶ ὅλα τὰ ἄλλα (Ματθ. ιε', 19). Ἡ νηστεία

δηλαδὴ μᾶς ἔχει ὁρισθῆ ὄχι μόνον διὰ τὴν κακουχίαν τοῦ σώματος, ἀλλὰ καὶ διὰ τὴν νηφαλιότητα τοῦ νοῦ, διὰ νὰ μὴ ζαλισθῇ ἀπὸ τὸ πλῆθος τῶν φαγητῶν καὶ ἔτσι ἀδυνατίσῃ ἡ ἐπαγρύπνησίς του διὰ τοὺς λογισμούς. Πρέπει λοιπὸν νὰ μὴ φροντίζωμεν μόνον διὰ τὴν σωματικὴν νηστείαν, ἀλλὰ καὶ διὰ τὴν προσοχὴν τῶν λογισμῶν καὶ διὰ τὴν πνευματικὴν μελέτην, χωρὶς τὰ ὁποῖα μᾶς εἶναι ἀδύνατον νὰ ἀνέλθωμεν εἰς τὸ ὕψος τῆς πραγματικῆς ἁγνείας.

Ἄς φροντίζωμεν νὰ καθαρίζωμεν πρῶτα — ὅπως λέγει ὁ Κύριος — τὸ ἐσωτερικὸν τοῦ ποτηρίου καὶ τοῦ πιάτου, διὰ νὰ εἶναι καθαρὰ καὶ ἡ ἐξωτερικὴ ἐπιφάνεια.* Διότι καὶ ὁ ἰατρὸς τῶν ψυχῶν, ἐπειδὴ ἤξευρεν, ὅτι ἡ νόσος εὑρίσκεται κρυμμένη εἰς τὰ βάθη τῆς ψυχῆς, ἐκεῖ ἐτοποθέτησε καὶ τὸ φάρμακον, ὅπου ἐγνώριζεν ὅτι ὑπάρχει ἡ αἰτία τῆς νόσου· δι' αὐτὸ εἶπεν· «ἐκεῖνος, ποὺ θὰ ἴδῃ γυναῖκα, διὰ νὰ τὴν ἐπιθυμήσῃ, ἤδη ἐμοίχευσεν αὐτὴν εἰς τὴν καρδίαν του». Εἶπεν ἔτσι ὄχι τόσον διὰ νὰ διορθώσῃ τοὺς περιέργους καὶ πορνικοὺς ὀφθαλμούς, ὅσον διὰ νὰ προστατεύσῃ τὴν ψυχήν, ποὺ εὑρίσκεται μέσα μας καὶ χρησιμοποιεῖ κακῶς τὰ μάτια ποὺ μᾶς ἔδωσεν ὁ Θεὸς διὰ ἀγαθὸν σκοπόν. Χάριν αὐτοῦ καὶ ἡ σοφὴ παροιμία δὲν λέγει «μὲ ὅλην σου τὴν δύναμιν πρόσεχε τὰ μάτια σου», ἀλλὰ «μὲ ὅλην σου τὴν δύναμιν πρόσεχε τὴν καρδίαν σου» (Παροιμ. δ΄, 23)· εἰς τὴν καρδίαν, δηλαδή, ἀνέθεσε τὴν ἰατρικὴν φροντίδα τῆς αὐστηρᾶς προσοχῆς, διότι αὐτὴ χρησιμοποιεῖ τὰ μάτια ὅπως θέλει.

Ἑπομένως αὐτὴ ἄς εἶναι ἡ ἀπαρχὴ τῆς καθάρσεώς μας· ἂν τύχῃ, δηλαδή, καὶ ἔλθῃ εἰς τὴν διάνοιάν μας ἀνάμνησις γυναικός, τὴν ὁποίαν προεκάλεσε διαβολικὴ κακουργία, τῆς μητρός μας ἢ τῆς ἀδελφῆς μας ἢ κάποιων ἄλλων εὐλαβῶν γυναικῶν, νὰ τὴν ἐκδιώξωμεν ἀμέσως ἀπὸ τὴν καρδίαν μας. Πρέπει νὰ μὴ χρονοτριβήσωμεν πολὺ εἰς αὐτὴν τὴν ἐνθύμησιν καὶ εὕρῃ εὐκαιρίαν ὁ πανοῦργος ληστὴς τῶν ψυχῶν μας νὰ κατρακυλήσῃ, ἀπὸ αὐτὰ τὰ πρόσωπα, τὴν διάνοιάν μας καὶ νὰ τὴν κατακρημνίσῃ εἰς αἰσχρὰς καὶ ἐπιζημίους ἐνθυμήσεις.

Ἡ ἐντολὴ ποὺ ἐδόθη ἀπὸ τὸν Θεὸν εἰς τὸν πρωτόπλαστον παραγγέλλει νὰ προσέχωμεν τὸ κεφάλι τοῦ φιδιοῦ (Γενεσ. γ΄, 15)· δηλαδὴ τὰς

* Ἐνταῦθα ὁ συγγραφεὺς ὑπαινίσσεται τὸ κατηγορητήριον τοῦ Κυρίου ἐναντίον τῶν Γραμματέων καὶ Φαρισαίων, οἱ ὁποῖοι ἐξωτερικῶς προσεπάθουν νὰ φαίνωνται δίκαιοι, ἐλεήμονες, εὐσεβεῖς καὶ καλοί, ἐνῷ εἰς τὴν πραγματικότητα ἦσαν ἄδικοι, ἅρπαγες, μοιχοὶ καὶ οἱ ὑποκριταὶ (Ματθ. Κεφ. κγ', 13—36). Διὰ τοῦτο καὶ ὁ Κύριος λέγει εἰς αὐτούς: «οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας». Κατὰ ἀνάλογον τρόπον συνιστᾷ ἐνταῦθα ὁ Ἀββᾶς Κασσιανὸς νὰ μὴ νηστεύωμεν μόνον, ὥστε ἐξωτερικῶς νὰ φαινώμεθα εὐλαβεῖς, ἀλλὰ καὶ νὰ ἀποφεύγωμεν τοὺς πονηροὺς λογισμοὺς καὶ νὰ ταπεινωθῶμεν ἐνώπιον τοῦ Θεοῦ, διότι καὶ ἂν οἱ ἄνθρωποι πλανηθῶσιν ἀπὸ τὴν ἐξωτερικὴν ἐμφάνισιν, δὲν εἶναι ὅμως δυνατὸν νὰ ἐξαπατήσωμεν καὶ τὸν παντογνώστην Θεόν.

αἰτίας, αἱ ὁποῖαι γεννοῦν τοὺς πονηροὺς λογισμούς, διὰ τῶν ὁποίων ἐπιχειρεῖ νὰ εἰσέλθῃ εἰς τὰς ψυχάς μας. Ὅταν δεχθῶμεν τὸ κεφάλι ποὺ εἶναι ἡ προσβολὴ τοῦ λογισμοῦ, τότε καὶ τὸ ὑπόλοιπον σῶμα τοῦ φιδιοῦ θὰ δεχθῶμεν, δηλαδὴ τὴν συγκατάθεσιν τῆς ἡδονῆς· μετὰ ἀπὸ αὐτὸ πλέον ἡ διάνοιά μας θὰ καταπέσῃ εἰς τὴν ἀθέμιτον πρᾶξιν. Ἁρμόζει, σύμφωνα μὲ τὸ ρητὸν τῆς Ἁγίας Γραφῆς, νὰ φονεύωμεν εἰς τὰς πρωΐας ὅλους τοὺς ἁμαρτωλοὺς τῆς γῆς (Ψαλμ. ρ', 8)· νὰ διακρίνωμεν, δηλαδή, μὲ τὸ φῶς τῆς γνώσεως τοὺς ἁμαρτωλοὺς λογισμοὺς καὶ νὰ τοὺς ἐξολοθρεύωμεν ἀπὸ τὴν γῆν, ποὺ εἶναι ἡ καρδία μας, σύμφωνα μὲ τὴν διδασκαλίαν τοῦ Κυρίου, ὅταν οἱ πονηροὶ λογισμοὶ εἶναι ἀκόμη ὅπως τὰ νήπια, τοὺς ὁποίους ἡ Ἁγία Γραφὴ ὀνομάζει υἱοὺς Βαβυλῶνος (Ψαλμ. ρλστ', 8—9). Διότι ἂν οἱ πονηροὶ λογισμοὶ ἀνδρωθοῦν, μὲ τὴν συγκατάθεσίν μας, δὲν εἶναι δυνατὸν νὰ νικηθοῦν χωρὶς μεγάλον στεναγμὸν καὶ κόπον.

Πρέπει ἀκόμη νὰ γνωρίζωμεν ὅτι εἰς τὸν πόλεμον αὐτὸν προσφέρει μεγάλην βοήθειαν εἰς τὸν ἀγωνιζόμενον καὶ ἡ ἀγρυπνία· ὅπως δηλαδὴ ἡ ἁγνεία καὶ ἡ μεγάλη προσοχὴ τῆς ἡμέρας προπαρασκευάζουν τὴν νυκτερινὴν ἁγιωσύνην, ἔτσι καὶ ἡ νυκτερινή, κατὰ Θεόν, ἀγρυπνία προετοιμάζει διὰ τὴν ψυχὴν τὴν καθαρότητα τῆς ἡμέρας.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ὑπὸ λογισμῶν πορνείας ὀχλούμενος ἠρώτησε τὸν Ἀββᾶν Κύριλλον τὸν Ἀλεξανδρείας λέγων· τί ποιήσω, Πάτερ; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἐὰν λογισμοὺς οὐκ ἔχῃς, πρᾶξιν ἔχεις, ἤγουν εἰ οὐκ ἀνθίστασαι τοῖς λογισμοῖς, δηλονότι πράττεις αὐτούς, καὶ οὐκέτι ὀχλῇ ὑπ' αὐτῶν. Ὁ γὰρ ἐκπληρῶν ἃ οἱ λογισμοὶ ὑποτίθενται, πῶς ὑπ' αὐτῶν ὀχληθήσεται; Ἔφη οὖν ὁ γέρων πρὸς τὸν ἀδελφόν· μὴ συνήθειαν ἔχεις εἰς ὁμιλίαν γυναικός; καὶ εἶπεν ὁ ἀδελφός· οὔ, παλαιοὶ καὶ νέοι ζωγράφοι εἰσὶν οἱ λογισμοί μου, ἤγουν μνῆμαί εἰσιν ὀχλοῦσαί μοι καὶ λογισμῶν εἴδωλα. Λέγει αὐτῷ ὁ γέρων· νεκροὺς μὴ φοβοῦ, ἀλλὰ τοὺς ζῶντας φεῦγε καὶ ἐπεκτείνου μᾶλλον εἰς προσευχήν· νεκρούς φησι τὰς παλαιὰς μνήμας, ζῶντας δὲ τὰς κατὰ πρόσωπον ὁμιλίας.

2. Ἠρώτησεν ὁ Ἀββᾶς Ἀνοὺβ περὶ τῶν ἀκαθάρτων λογισμῶν, ὧν γεννᾷ ἡ καρδία τοῦ ἀνθρώπου, καὶ ἀπεκρίθη αὐτῷ ὁ Ἀββᾶς Ποιμήν· μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος αὐτήν; καὶ σὺ μὴ δώσῃς αὐτοῖς χεῖρα καὶ ἀργοῦσιν.

3. Εἶπεν ὁ αὐτός· δεῖ ἀγωνίζεσθαι τὸν ἄνθρωπον πρὸς τοὺς δύο λογισμούς, ἤτοι τὸν τῆς πορνείας καὶ τὸν τῆς καταλαλιᾶς, καὶ μήτε καταλαλεῖν τὸ σύνολον, μήτε ἐννοεῖν τῇ καρδίᾳ. Ἐὰν γὰρ θέλῃ διακρῖναι ὅλως αὐτούς, οὐκ ὠφελεῖται, ἀλλὰ βλάπτεται· ἀλλοτριωθεὶς δὲ ἐξ αὐτῶν, ἕξει ἀνάπαυσιν· ἀλλοτριοῦται δέ τις καταφεύγων εἰς τὸν Θεὸν καὶ αὐτοὺς ἀπωθούμενος.

4. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων λέγων· τί ποιήσω, ὅτι πάντοτε ὁ λογισμός μου εἰς τὴν πορνείαν ἐστί, καὶ οὐκ ἀφίησί με ἀναπαυθῆναι κἂν μίαν ὥραν καὶ θλίβεταί μου ἡ ψυχή; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ὅταν οἱ δαίμονες σπείρωσι τοὺς λογισμούς, μὴ συλλαλήσῃς αὐτοῖς· τῶν μὲν γὰρ ἐχθρῶν ἐστι τὸ ὑποβάλλειν

πάντοτε, καὶ οὐκ ἀμελοῦσιν, οὐ μέντοι καὶ βιάζεσθαι δύνανται· σὸν δέ ἐστι δέξασθαι ἢ μὴ δέξασθαι. Ἔμαθες τί ἐποίησαν οἱ Μαδιηναῖοι; πῶς ἐκαλλώπισαν τὰς θυγατέρας αὐτῶν καὶ ἔστησαν ἐξ ἐναντίας τῶν Ἰσραηλιτῶν; τινὰ δὲ ἐξ αὐτῶν οὐκ ἐβιάσαντο, ἀλλ' οἱ θέλοντες ἔπεσον μετ' αὐτῶν, ἄλλοι δὲ ἀγανακτήσαντες μετὰ ἀπειλῆς φόνῳ ἐχρήσαντο. Οὕτως ἐστὶ καὶ ἐπὶ τῶν λογισμῶν, ὅταν ἀρχὴν βάλωσι λαλεῖν, μὴ ἀποκριθῇς αὐτοῖς, ἀλλὰ ἀναστὰς εὖξαι καὶ βάλε μετάνοιαν λέγων· Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με καὶ βοήθησόν μου τῇ ἀσθενείᾳ, καὶ ὄψει συντόμως ὡς κηρὸν ἀπὸ προσώπου πυρὸς τηκομένους τοὺς λογισμοὺς καὶ ἐκλείποντας.

5. Εἶπέ τις τῶν Πατέρων, ὅτι πολυειδές ἐστι τὸ τῆς πορνείας πάθος· λέγει γὰρ ὁ Ἀπόστολος, ὅτι «πορνεία ἢ ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις». Ἡ πορνεία ἐστὶ τὸ ποιῆσαι εἰς τὸ σῶμα, ἡ δὲ ἀκαθαρσία τὸ ψηλαφᾶν τὸ σῶμα. Ὁ γέλως δὲ καὶ ἡ παρρησία, πολλάκις δὲ ὡς ἀπὸ θεοσεβείας τις διαλεγόμενος, ἢ διὰ διόρθωσιν, πληροῖ τὴν ἐπιθυμίαν κινηθέντος τοῦ πάθους. Ἐνίοτε δὲ καὶ ἀπὸ ὀσμῆς ἱματίου τοῦ ἀγαπωμένου, μή τι γε ἀφῆς ἢ ὁμιλίας. Δεῖ οὖν τὸν Μοναχὸν νήφειν ἑκάστης ὥρας, ἵνα μή, χαῦνος ὤν, ὀλισθαίνῃ εἰς τὰ προειρημένα, καὶ οὐ μόνον τὸ ἑαυτοῦ πάθος αὐξάνει καὶ τυραννικώτερον αὐτὸ καὶ δυσκαταγώνιστον ἀπεργάζεται, ἀλλὰ καὶ τὰ μέγιστα ζημιοῦται καὶ καταβλάπτεται.

6. Εἶπέ τις τῶν Πατέρων περὶ τῶν λογισμῶν τῆς πορνείας τῶν γεννωμένων ἐν τῇ καρδίᾳ καὶ μὴ συντελουμένων, ἤγουν μὴ διὰ πράξεως πληρουμένων, ὅτι ὥς περ ἐάν τις ἴδῃ ἀμπελῶνα καὶ ἐπιθυμήσῃ ἐν ὅλῃ καρδίᾳ αὐτοῦ φαγεῖν σταφυλήν, φοβούμενος δὲ μήποτε πιασθεὶς ὡς κλέπτων ἀποθάνῃ, οὐκ εἰσέλθῃ, ἀλλ' ἔξω τοῦ φραγμοῦ διερχόμενος κατασκοπεῖ τὸν ἀμπελῶνα καὶ περιβλέπεται, καὶ τοῦτο ποιῶν ἐὰν πιασθῇ, οὐκ ἀποθνήσκει ὁ τοιοῦτος, οὔτε γὰρ εἰσῆλθε τοῦ φραγμοῦ, οὔτε ἐγεύσατο, πληγὰς δὲ λαμβάνει ὅτι ὅλως ἐπιθυμήσας εὑρέθη κατάσκοπος, οὕτω καὶ ἐπιθυμῶν μέν, τὴν ἁμαρτίαν δὲ μὴ τελέσας εἰς ἔργον, οὐ θανάτου ἀλλὰ πληγῶν ἄξιος.

7. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων, ὅτι πολεμοῦμαι ὑπὸ τῆς πορνείας. Καὶ εἶπεν αὐτῷ ὁ γέρων· εἰ μὲν καλόν ἐστι, διατὶ ἀπέστης ἀπ' αὐτοῦ, ἤτοι τῷ κόσμῳ ἀποταξάμενος, εἰ δὲ σαπρόν, διατὶ ἐπιζητεῖς αὐτό;

8. Ἀδελφὸς συνώδευέ τινι καὶ ἡττήθησαν οἱ λογισμοὶ αὐτοῦ εἰς πορνείαν, καὶ ἀπελθὼν ἀνήγγειλε τοῖς πατράσι λέγων· τί ποιήσω, ὅτι οὐ παρακαλεῖται ἡ καρδία μου, ἐφ' ὅσον συγκατέβην τῷ πολέμῳ τοῦ ἐχθροῦ; ὡς ποιήσας γὰρ τὴν ἁμαρτίαν εἰμί. Καὶ εἶπον αὐτῷ οἱ Πατέρες· οὐκ ἔστι τελεία ἁμαρτία· ὁ μὲν ἐχθρὸς ἦλθε πειράσαι σε, ὁ δὲ Θεὸς ἐσκέπασέ σε.

Ὁ δὲ ἀδελφὸς ταῦτα ἀκούων οὐκ ἐπείθετο ὑπὸ τῆς λύπης καταβληθείς· καὶ διηγήσαντο αὐτῷ οἱ Πατέρες λέγοντες, ὅτι δύο ἀδελφοὶ σταλέντες ἀπὸ Κοινοβίου εἰς κώμην τινά, ὥδευον ὁμοῦ. Ἐπολεμήθη δὲ ὁ εἷς ὑπὸ τοῦ δαίμονος πεντάκις ἁμαρτῆσαι, ὁ δὲ ἀνιστάμενος ἐποίει εὐχήν, καὶ οὐ κατεκυριεύθη ὑπὸ τῶν λογισμῶν, ὅμως οὖν ἠνωχλήθη σφοδρῶς. Ὡς οὖν ὑπέστρεψαν πρὸς τὸν Πατέρα αὐτῶν, ἦν τὸ πρόσωπον τοῦ ἀδελφοῦ ἐκείνου τεταραγμένον, καὶ ἐρωτηθεὶς τί τὸ τῆς ταραχῆς αἴτιον, ἔβαλε μετάνοιαν λέγων· Εὖξαι, πάτερ, ὑπὲρ ἐμοῦ, ὅτι πέπτωκα εἰς πορνείας, καὶ διηγήσατο πῶς ἐπολεμήθη ὑπὸ τῶν λογισμῶν. Ὢν δὲ ὁ γέρων διορατικός, ἐ-

θεώρει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ πέντε στεφάνους, καὶ εἶπεν αὐτῷ· θάρσει, τέκνον· οὐ γὰρ ἡττήθης, ἀλλὰ μᾶλλον ἐνίκησας, ἐφ' ὅσον οὐκ ἐτέλεσας τὴν ἁμαρτίαν.

Καὶ σὺ οὖν, ἀδελφέ, οἱ γέροντες εἶπον, θάρσει καὶ μὴ λυπηθῇς, ὅτι οὐκ εἰς ἔργον τὴν ἁμαρτίαν ἤγαγες. Μέγας γὰρ ἀγών ἐστιν, ὅταν ἄνθρωπος, εὐκαιρίαν λαβών, ἐγκρατεύσηται, καὶ μέγαν μισθὸν ὑπὲρ τούτου λαμβάνει, ὅτι οὐκ ἔστιν ἄλλος πόλεμος τούτου ἰσχυρότερος καὶ ὀξύτερος· διὸ καὶ τὸ τούτου περιγενέσθαι δυσχερὲς λίαν καὶ ἔγκοπον. Τί γὰρ νομίζεις περὶ τοῦ μακαρίου Ἰωσήφ; ἀκόπως αὐτῷ τὸ τοιοῦτον κατωρθώθη; ὄχι, ἀλλὰ μετὰ πολλοῦ τοῦ καμάτου καὶ τοῦ ἀγῶνος καὶ ὡς ἐπὶ θεάτρου ἦν τὸ γινόμενον, καὶ ὁ Θεὸς αὐτὸς καὶ οἱ τῶν Ἁγίων Ἀγγέλων δῆμοι τὸν ἀθλητὴν ἄνωθεν ἐθεώρουν ἀγωνιζόμενον.

Ἐμάχετο δὲ πρὸς αὐτὸν ὁ διάβολος μετὰ πάσης τῆς πονηρᾶς αὐτοῦ φάλαγγος, τήν τε ἐπιθυμίαν τοῦ ἀνδρὸς ἀναφλέγοντες καὶ τὴν γυναῖκα πλεῖον ἐκθηριοῦντες. Ὅτε οὖν ἐνίκησεν ὁ ἀγωνοθέτης, πᾶσαι αἱ στρατιαὶ τῶν Ἀγγέλων φωνῇ μεγάλῃ ἔδωκαν δόξαν τῷ Θεῷ λέγοντες· ἐνίκησε ξένην νίκην ὁ ἀθλητής. Καλὸν οὖν, ἀδελφέ, τὸ μὴ δι' ἐνθυμήσεως πράττειν τὸ κακόν· εἰ δὲ πειράζῃ, ἀγώνισαι μὴ ἡττηθῆναι, ἤγουν μὴ ἐνεργῆσαι.

9. Εἶπε γέρων· ἐὰν πορνεία πολεμῇ τὸ σῶμά σου ἢ τὴν καρδίαν σου, ζήτησον πόθεν σοι ἐκινήθη ὁ πόλεμος καὶ διόρθωσαι, εἴτε ἀπὸ ὕπνου πολλοῦ, εἴτε ἀπὸ ὑψηλοφροσύνης, ἢ ἐὰν ἔχῃς ἑαυτὸν καλλίονά τινος ἢ ἔκρινάς τινα ἁμαρτήσαντα. Χωρὶς γὰρ τούτων, οὐ πολεμεῖται ἄνθρωπος εἰς πορνείαν.

10. Εἶπε πάλιν· ἐὰν πέσῃς εἰς πορνείαν καὶ ἔστιν ἐγγὺς τοῦ τόπου, ἐν ᾧ οἰκεῖς, τὸ πρόσωπον μεθ' οὗ ἔπεσας, ἀναχώρησον ἐκ τοῦ τόπου ἐκείνου, ἐπεὶ οὐ μετανοεῖς.

11. Ἀδελφὸς ἠρώτησε γέροντα διὰ τὰ πάθη τὰ σωματικά, ἤτοι τοὺς λογισμοὺς τῆς πορνείας. Καὶ ἀπεκρίθη ὁ γέρων· οὗτοί εἰσιν οἱ ᾄδοντες τῇ εἰκόνι τοῦ Ναβουχοδονόσορ. Εἰ μὴ γὰρ οἱ αὐληταὶ καὶ κιθαρισταὶ ἐσαμβύκησαν τοῖς ἀνθρώποις, οὐκ ἂν προσεκύνησαν τῇ εἰκόνι. Οὕτω καὶ οἱ δαίμονες, ᾄδουσι τῇ ψυχῇ ἐν τοῖς παθήμασιν, ἤγουν τὰ πάθη διεγείροντες, εἰ ἄρα ἀπατήσειεν αὐτήν, καὶ πείσειεν καταπεσεῖν εἰς τὴν κατ' ἐνέργειαν ἁμαρτίαν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφός, ὁ ὁποῖος ἠνωχλεῖτο ἀπὸ λογισμοὺς πορνείας, ἠρώτησε τὸν Ἀββᾶν Κύριλλον τὸν Ἀλεξανδρείας:*

---

* Πρόκειται περὶ Κυρίλλου τοῦ Α΄ Πατριάρχου Ἀλεξανδρείας (375—444 μ.Χ.), ὅστις ὑπῆρξεν εἷς ἀπὸ τοὺς σπουδαιοτέρους Ἐπισκόπους τῆς Ἀνατολῆς. Ἦτο ἀνεψιὸς τοῦ Πατριάρχου Θεοφίλου καὶ μετὰ τὸν θάνατόν του, παρὰ τὴν ἀντίδρασιν τῶν Ἀρειανῶν, ἐξελέγη Πατριάρχης Ἀλεξανδρείας. Κατεδίωξε τοὺς Ναβατιανοὺς καὶ τοὺς Ἰουδαίους καὶ βραδύτερον ἐκήρυξεν ἀμείλικτον πόλεμον κατὰ τοῦ αἱρετικοῦ Νεστορίου, λαβὼν μέρος εἰς τὴν Γ΄ ἐν Ἐφέσῳ Οἰκουμενικὴν Σύνοδον, ἡ ὁποία κατεδίκασε τὴν αἵρεσιν τῶν Νεστοριανῶν. Ἔγραψε πολλὰ θεολογικὰ συγγράμματα καὶ γενικῶς θεωρεῖται ἕνας ἀπὸ τοὺς σπουδαιοτέρους Πατέρας τῆς Ἐκκλησίας.

— Τί θὰ κάμω — τὸν ἐρωτᾷ — Πάτερ;

Ὁ Γέρων τοῦ ἀπεκρίθη:

—Ἂν δὲν ἔχῃς λογισμούς, τότε θὰ ἔχῃς πρᾶξιν· δηλαδὴ ἂν δὲν ἀντιστέκεσαι εἰς τοὺς λογισμούς, εἶναι φανερὸν ὅτι ἐφαρμόζεις αὐτοὺς εἰς τὴν πρᾶξιν καὶ δὲν ἐνοχλεῖσαι πλέον ἀπὸ αὐτούς. Διότι ἐκεῖνος ποὺ ἐκτελεῖ ὅσα τοῦ λέγουν οἱ λογισμοί, πῶς θὰ ἐνοχληθῇ ἀπὸ αὐτούς; Κατόπιν ἠρώτησεν ὁ Γέρων τὸν ἀδελφόν:

— Μήπως συνηθίζεις νὰ συνομιλῇς μὲ γυναῖκα;

—Ὄχι — ἀπήντησεν ὁ ἀδελφὸς — οἱ λογισμοί μου εἶναι παλαιοὶ καὶ νέοι ζωγράφοι, δηλαδὴ ἐνθυμήσεις ποὺ μὲ ἐνοχλοῦν καὶ φαντασίαι, τὰς ὁποίας δημιουργοῦν οἱ λογισμοί.

Λέγει πρὸς αὐτὸν ὁ Γέρων:

—Μὴ φοβεῖσαι τοὺς νεκρούς, ἀλλὰ νὰ φεύγῃς ἀπὸ τοὺς ζωντανοὺς καὶ νὰ ἀφοσιώνεσαι περισσότερον εἰς τὴν προσευχήν.

Νεκροὺς ἐννοοῦσεν ὁ Γέρων τὰς παλαιὰς ἐνθυμήσεις, ζωντανοὺς δὲ τὰς συνομιλίας μὲ διάφορα πρόσωπα.

2. Ὁ Ἀββᾶς Ἀνοὺβ ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα διὰ τοὺς ἀκαθάρτους λογισμοὺς ποὺ γεννᾷ ἡ καρδία τοῦ ἀνθρώπου, καὶ ἐκεῖνος τοῦ ἀπήντησε:

—Μήπως ἡ ἀξίνη ἠμπορεῖ νὰ πάρῃ μόνη της ἀξίαν, χωρὶς ἐκεῖνον ὁ ὁποῖος τὴν χρησιμοποιεῖ διὰ νὰ σκάπτῃ; Ἔτσι καὶ σύ, μὴ ἐκτελῇς τοὺς λογισμοὺς καὶ θὰ ἀδρανήσουν.

3. Εἶπε, πάλιν, ὁ ἴδιος· ὁ ἄνθρωπος πρέπει νὰ ἀγωνίζεται ἐναντίον δύο λογισμῶν, δηλαδὴ ἐναντίον τῆς πορνείας καὶ τῆς κακολογίας. Νὰ μὴ κακολογῇ καθόλου οὔτε νὰ ἀφήνῃ τὴν καρδίαν του νὰ ἀσχολῆται μὲ πονηρὰς σκέψεις, διότι ἂν θέλῃ νὰ ἐξετάσῃ λεπτομερῶς τοὺς λογισμούς του, δὲν ὠφελεῖται, ἀλλὰ βλάπτεται. Ἂν ἀποξενωθῇ ἀπὸ αὐτοὺς τοὺς λογισμούς, θὰ ἔχῃ ἀνάπαυσιν· ἀποξενώνεται δὲ κανεὶς μὲ τὸ νὰ καταφεύγῃ εἰς τὸν Θεὸν καὶ νὰ ἀπομακρύνῃ τοὺς κακοὺς λογισμούς του ἀπὸ τὴν σκέψιν του.

4. Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον Πατέρα. Τί θὰ κάνω; — τὸν ἐρωτᾷ — ποὺ ὁ λογισμός μου ἀσχολεῖται πάντοτε μὲ τὴν πορνείαν καὶ δὲν μὲ ἀφήνει νὰ ἀναπαυθῶ ἔστω καὶ μίαν ὥραν καὶ θλίβεται ἡ ψυχή μου;

Εἰς αὐτὰ ὁ Γέρων τοῦ ἀπήντησε:

—Ὅταν οἱ δαίμονες σπείρουν τοὺς λογισμούς, μὴ συνομιλήσῃς μαζί των. Ἔργον τῶν ἐχθρῶν εἶναι νὰ φέρουν πάντοτε εἰς τὸν νοῦν μας τοιαύτας σκέψεις καὶ δὲν τὸ παραμελοῦν· δὲν ἠμποροῦν ὅμως καὶ νὰ σὲ βιάσουν. Ἰδικόν σου δὲ ἔργον εἶναι νὰ δεχθῇς ἢ νὰ μὴ δεχθῇς τοὺς πονηροὺς λογισμούς. Ἐδιάβασες τὶ ἔκαναν οἱ Μαδιηναῖοι*; Πῶς ἐκαλλώ-

---

* Οἱ Μαδιηναῖοι διὰ νὰ παρασύρουν εἰς τὸν ὄλεθρον τοὺς Ἑβραίους, ἀντὶ νὰ πολεμήσουν ἐναντίον των, ἐκαλλώπισαν τὰς θυγατέρας των καὶ παρέσυραν πολλοὺς

πισαν τὰς θυγατέρας των καὶ ἐστάθησαν ἀπέναντι τῶν Ἰσραηλιτῶν; Κανένα ἀπὸ αὐτοὺς δὲν ἐβίασαν, ἀλλ' ὅσοι ἤθελαν ἔπεσαν μὲ τὰς θυγατέρας τῶν Μαδιηναίων εἰς τὴν ἁμαρτίαν· ἐνῷ ἄλλοι, ἀπὸ ἀγανάκτησιν, τὰς ἠπείλησαν καὶ ἐχρησιμοποίησαν καὶ φόνον ἀκόμη. Ἔτσι συμβαίνει καὶ μὲ τοὺς λογισμούς· ὅταν ἀρχίσουν νὰ ὁμιλοῦν (εἰς τὴν ψυχήν σου) μὴ ἀποκριθῆς εἰς αὐτούς, ἀλλὰ σήκω νὰ προσευχηθῆς καὶ βάλε μετάνοιαν. Υἱὲ τοῦ Θεοῦ — νὰ λέγης — ἐλέησέ με καὶ βοήθησέ με εἰς τὴν ἀσθένειάν μου, καὶ θὰ ἰδῆς σύντομα νὰ λειώνουν οἱ λογισμοί, ὅπως τὸ κερὶ καὶ νὰ χάνωνται.

5. Κάποιος ἀπὸ τοὺς Πατέρας εἶπεν ὅτι τὸ πάθος τῆς πορνείας εἶναι πολύμορφον· διότι λέγει ὁ Ἀπόστολος· «πορνεία, ἢ ἀκαθαρσία, ἢ πλεονεξία, νὰ μὴ ἀναφέρεται μεταξύ σας, ὅπως πρέπει εἰς τοὺς Ἁγίους» (Ἐφεσ. ε', 3). Πορνεία εἶναι ἡ σωματικὴ ἁμαρτία, ἀκαθαρσία δὲ ἡ ψηλάφησις τῶν μελῶν τοῦ σώματος. Τὰ γέλια δὲ καὶ ἡ παρρησία, πολλάκις δὲ καὶ ἡ ἐκ θεοσεβείας συνομιλία, ἢ καὶ ἡ πρὸς διόρθωσιν γενομένη, ὅταν κινηθῇ ἐντός μας τὸ πάθος, ἱκανοποιοῦν τὴν φιλήδονον ἐπιθυμίαν. Μερικὰς φορὰς ἐξυπνᾷ μέσα μας τὸ πάθος καὶ ἀπὸ τὴν ὀσμὴν τοῦ φορέματος ἀγαπωμένου προσώπου· πόσῳ μᾶλλον ἀπὸ τὸ ἄγγισμα ἢ τὴν συναναστροφήν. Πρέπει λοιπὸν ὁ μοναχὸς ἀνὰ πᾶσαν ὥραν νὰ ἀγρυπνῇ, διὰ νὰ μὴ ἀποχαυνωθῇ καὶ γλυστρήσῃ εἰς αὐτὰ ποὺ ἀνέφερα· ἔτσι ὄχι μονάχα αὐξάνει τὸ πάθος του καὶ τὸ κάνει δυσκολονίκητον, ἀλλὰ ζημιώνεται καὶ βλάπτεται πάρα πολύ.

6. Κάποιος ἄλλος ἀπὸ τοὺς Πατέρας ἔλεγε διὰ τοὺς λογισμοὺς τῆς πορνείας, οἱ ὁποῖοι γεννῶνται εἰς τὴν καρδίαν, ἀλλὰ δὲν ὁλοκληρώνονται, δηλαδὴ δὲν πραγματοποιοῦνται, τὰ ἑξῆς: Οἱ λογισμοὶ αὐτοὶ εἶναι ὡσὰν νὰ ἴδῃ κάποιος ἕνα ἀμπέλι καὶ νὰ ἐπιθυμήσῃ μὲ ὅλην του τὴν καρδίαν νὰ φάγῃ σταφύλια· ἐπειδὴ ὅμως φοβᾶται μήπως τὸν πιάσουν ὡς κλέπτην καὶ τὸν φονεύσουν, δὲν εἰσέρχεται, ἀλλὰ περιφέρεται ἔξω ἀπὸ τὸν φράκτην, κατασκοπεύει τὸ ἀμπέλι καὶ τὸ κοιτάζει ἀπὸ ὅλα τὰ μέρη. Ἐνῷ ὅμως ἀπασχολεῖται μὲ αὐτό, ἂν τὸν πιάσουν, δὲν θανατώνεται, διότι δὲν παρεβίασε τὸν φράκτην οὔτε ἔβαλεν εἰς τὸ στόμα του σταφύλια· τιμωρεῖται ὅμως, διότι κινούμενος ἀπὸ τὴν ἐπιθυμίαν του, συνελήφθη νὰ κατασκοπεύῃ. Ἔτσι καὶ ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὴν ἁμαρτίαν, ἀλλὰ δὲν τὴν πράττει, δὲν θανατώνεται μέν, ὅμως τιμωρεῖται.

7. Ἕνας ἀδελφὸς εἶπεν εἰς κάποιον Γέροντα· Πολεμοῦμαι ἀπὸ τὴν πορνείαν. Ὁ Γέρων τοῦ ἀπήντησε:

— Ἂν ἡ σαρκικὴ ἡδονὴ εἶναι καλόν, τότε διατὶ τὴν ἀπέρριψες καὶ ἔφυγες ἀπὸ τὸν κόσμον; Ἂν πάλιν εἶναι ἄσχημον, τότε διατί τὴν ἐπιζητεῖς;

ἐξ αὐτῶν εἰς τὴν σαρκικὴν ἁμαρτίαν καὶ εἰς τὴν χρῆσιν κρεάτων τῶν εἰδωλολατρικῶν θυσιῶν. Ἀλλ' ἡ τιμωρία τοῦ Θεοῦ ὑπῆρξε σκληρά. (Παράβαλε ὑποσημείωσιν τῆς σελίδος 317 τοῦ ἀνὰ χεῖρας τόμου).

8. Ἕνας ἀδελφὸς συνεπορεύετο μὲ κάποιον καὶ ἐνικήθη ἀπὸ λογισμοὺς πορνείας. Ἐπῆγε λοιπὸν ἀμέσως καὶ τὸ ἐξωμολογήθη εἰς τοὺς Πατέρας:

— Τί νὰ κάμω; Ἡ καρδία μου δὲν ἡσυχάζει, ἐφ' ὅσον ἔδειξα συγκατάβασιν εἰς τὸν πόλεμον τοῦ ἐχθροῦ. Εἶναι ὡς νὰ ἔχω διαπράξει τὴν ἁμαρτίαν.

Οἱ Πατέρες τοῦ ἀπήντησαν:

—Ἡ ἁμαρτία δὲν εἶναι τελειωμένη· ὁ ἐχθρὸς ἦλθε νὰ σὲ παρασύρῃ εἰς τὴν ἁμαρτίαν, ὁ Θεὸς ὅμως σὲ ἐσκέπασεν.

Ὁ ἀδελφὸς ὅμως δὲν ἐπείθετο μὲ αὐτὰ ποὺ ἤκουε, ἀλλὰ κατεβάλλετο ἀπὸ τὴν λύπην. Οἱ Πατέρες τότε τοῦ διηγήθησαν τὴν ἑξῆς ἱστορίαν. Δύο ἀδελφοὶ — τοῦ εἶπαν — ἐστάλησαν ἀπὸ τὸ κοινόβιον εἰς ἕνα χωρίον καὶ ἐβάδιζαν μαζί. Ὁ ἕνας ἀπὸ αὐτοὺς ἐπολεμήθη πέντε φορὰς ἀπὸ τὸν δαίμονα νὰ ἁμαρτήσῃ· ἐκεῖνος ὅμως ἐσηκώνετο κάθε φορὰν καὶ προσηύχετο· ἔτσι δὲν ἐνικήθη ἀπὸ τοὺς λογισμούς, ἐνωχλήθηκεν ὅμως σφοδρότατα.

Ὅταν λοιπὸν ἐπέστρεψαν εἰς τὸν πνευματικόν των Πατέρα, τὸ πρόσωπον ἐκείνου τοῦ ἀδελφοῦ ἦτο ταραγμένον. Εἰς ἐρώτησιν δὲ τοῦ πνευματικοῦ του Πατρὸς ποία ἦτο ἡ αἰτία τῆς ταραχῆς του, ἐκεῖνος ἔβαλε μετάνοιαν καὶ εἶπε:

— Πάτερ,κάμε προσευχὴν δι' ἐμέ, διότι ἔπεσα εἰς πορνείαν· καὶ διηγήθη πῶς ἐπολεμήθη ἀπὸ τοὺς λογισμούς.

Ἐν τῷ μεταξὺ ὁ Γέρων, ἐπειδὴ ἦτο διορατικός, ἔβλεπεν ἐπάνω εἰς τὴν κεφαλὴν τοῦ πολεμηθέντος ἀδελφοῦ πέντε στεφάνους καὶ δι' αὐτὸ τοῦ εἶπε:

—Ἔχε θάρρος, τέκνον, διότι δὲν ἐνικήθης, ἀλλ' ἐνίκησες, ἐφ' ὅσον δὲν ἐτέλεσες τὴν ἁμαρτίαν.

Ἀφοῦ ἐτελείωσαν, εἶπον τότε οἱ Γέροντες ἀπευθυνόμενοι πρὸς τὸν θλιβόμενον ἀπὸ τοὺς λογισμοὺς ἀδελφόν:

— Καὶ σὺ λοιπόν, ἀδελφέ, ἔχε θάρρος καὶ μὴ λυπᾶσαι, διότι δὲν ἔπραξες τὴν ἁμαρτίαν. Εἶναι βέβαια μεγάλος ἀγών, ὅταν ὁ ἄνθρωπος, ἐνῷ τοῦ παρέχεται ἡ εὐκαιρία νὰ ἁμαρτήσῃ, ἐγκρατευθῇ· λαμβάνει δὲ μισθὸν ἀπὸ αὐτὸν τὸν ἀγῶνα, διότι δὲν ὑπάρχει ἄλλος πόλεμος περισσότερον ἰσχυρὸς καὶ περισσότερον σκληρὸς ἀπὸ αὐτόν· δι' αὐτὸ δύσκολα καὶ μὲ πολὺ κόπον θὰ ἐπιβληθῇ κανείς.

Τί γνώμην, δηλαδή, ἔχεις διὰ τὸν μακάριον Ἰωσήφ; Χωρὶς κόπον κατώρθωσε τὸ γνωστόν του κατόρθωμα; Ὄχι! Ἀλλὰ μετὰ πολὺν κόπον καὶ ἀγῶνα καὶ ὡσὰν νὰ συνέβαινεν αὐτὸ ποὺ ἐγίνετο μέσα εἰς θέατρον, ὅπου ὁ ἴδιος ὁ Θεός, τὰ πλήθη τῶν Ἁγίων καὶ τῶν Ἀγγέλων ἔβλεπον ἀπὸ ὑψηλὰ τὸν ἀθλητὴν νὰ ἀγωνίζεται.

Ἐπολεμοῦσεν αὐτὸν ὁ διάβολος μὲ ὅλην του τὴν πονηρὰν φάλαγγα διὰ νὰ ἀνάψουν τὴν ἐπιθυμίαν τοῦ ἀνδρὸς καὶ νὰ ἐξαγριώσουν περισσότερον τὴν γυναῖκα. Ὅταν δὲ ἐνίκησεν ὁ ἀγωνιστής, τότε ὅλαι αἱ στρα-

ται τῶν Ἀγγέλων ἐδόξασαν, μὲ μεγάλην φωνήν, τὸν Θεόν. Ἐνίκησεν — ἔλεγον — καταπληκτικὴν νίκην ὁ ἀθλητής.

Εἶναι λοιπὸν καλόν, ἀδελφέ, νὰ μὴ διαπράξῃς τὸ κακὸν μὲ τὴν φαντασίαν σου· ἂν ὅμως πειράζεσαι, ἀγωνίσου καὶ μὴ νικηθῇς, δηλαδὴ νὰ μὴ πραγματοποιήσῃς τὴν ἁμαρτίαν.

9. Ἕνας Γέρων εἶπε· ἂν πορνεία πολεμῇ τὸ σῶμα σου ἢ τὴν καρδίαν σου, ἐξέτασε νὰ μάθῃς ἀπὸ ποῦ ἐκινήθη ὁ πόλεμος ἐναντίον σου καὶ διορθώσου· εἴτε ἀπὸ πολὺν ὕπνον, εἴτε ἀπὸ ὑψηλοφροσύνην, ἢ ἂν θεωρῇς τὸν ἑαυτόν σου καλύτερον ἀπὸ ἄλλον, ἢ ἂν κατέκρινες κάποιον ποὺ ἡμάρτησε, διότι χωρὶς αὐτὰ ὁ ἄνθρωπος δὲν πολεμεῖται ἀπὸ τὴν πορνείαν.

10. Εἶπε, πάλιν, ὁ ἴδιος· ἂν πέσῃς εἰς πορνείαν καὶ τὸ πρόσωπον, μὲ τὸ ὁποῖον ἡμάρτησες, εὑρίσκεται ἐκεῖ κοντὰ ποὺ κατοικεῖς, νὰ φύγῃς ἀπὸ τὸν τόπον ἐκεῖνον, διότι ἀλλέως δὲν μετανοεῖς.

11. Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα διὰ τὰ σωματικὰ πάθη, δηλαδὴ διὰ τοὺς λογισμοὺς τῆς πορνείας. Ὁ Γέρων τοῦ ἀπήντησεν· οἱ λογισμοὶ αὐτοὶ ὁμοιάζουν μὲ ἐκείνους ποὺ ἔψαλλαν ἐμπρὸς εἰς τὴν εἰκόνα τοῦ Ναβουχοδονόσορ. Ἂν οἱ αὐληταὶ καὶ οἱ κιθαρισταὶ δὲν ἔπαιζαν τὰ ὄργανά των διὰ νὰ ἐπηρεάσουν τοὺς ἀνθρώπους, δὲν θὰ ἐπροσκυνοῦσαν τὴν εἰκόνα*. Ἔτσι κάμνουν καὶ οἱ δαίμονες· τραγουδοῦν εἰς τὴν ψυχὴν τὰς διαφόρους ἁμαρτωλὰς ἐπιθυμίας, ξεσηκώνουν δηλαδὴ τὰ πάθη, μήπως τὴν ἐξαπατήσουν καὶ τὴν πείσουν νὰ διαπράξῃ πραγματικὴν ἁμαρτίαν.

Η'. Τοῦ Ἁγίου Ἐφραίμ

ΩΣ ΠΕΡ ἐπὶ κυνὶ ἐμβριθῶς ἀντίλεγε τῷ δαίμονι τῆς πορνείας καὶ μὴ θελήσῃς ὅλως συναπαχθῆναι τῷ τοιούτῳ λογισμῷ. Ἀπὸ γὰρ σπινθῆρος πληθύνεται ἀνθρακιά, καὶ ἀπὸ ἐνθυμήσεως κακῆς πλεονάζουσιν ἐπιθυμίαι κακαί. Ἀποτίναξον τὴν μνήμην αὐτῶν μᾶλλον ἢ δυσωδίαν βορβόρου.

---

* Ναβουχοδονόσορ ὁ βασιλεὺς τῆς Βαβυλῶνος κατεσκεύασεν εἰκόνα χρυσῆν, ὕψους 60 πήχεων καὶ πλάτους ἕξ, τὴν ὁποίαν ἔστησεν εἰς τὸ πεδίον Δεηρᾶ. Ἐκάλεσε δὲ τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας καὶ λοιποὺς ἄρχοντας τοῦ βασιλείου του εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος. Καὶ ὅταν ἐμαζεύθησαν ὅλοι ὁ κήρυξ ἐφώναξεν, ὅτι μόλις ἀκούσουν νὰ παίζῃ ἡ σάλπιγξ καὶ ἡ σῦριγξ καὶ ἡ κιθάρα καὶ ἡ σαμβύκη καὶ τὸ ψαλτήριον καὶ ὅλα τὰ ἄλλα μουσικὰ ὄργανα, νὰ πίπτουν ὅλοι καὶ νὰ προσκυνοῦν τὴν εἰκόνα τὴν χρυσῆν. Διότι ὁ μὴ προσκυνῶν θὰ ἐρρίπτετο ἀμέσως εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ πράγματι «ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαὶ καὶ γλῶσσαι προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς». (Δανιήλ, Κεφ. Γ', 1—7) (Παράβαλε καὶ σημείωσιν α' τῆς σελίδος 192 τοῦ ἀνὰ χεῖρας τόμου).

2. Ἀδελφός τις πολεμούμενος ὑπὸ τῆς πορνείας, ἐπιτιμῶν τῷ δαίμονι ἔλεγεν· ὕπαγε εἰς τὸ σκότος, σατανᾶ· ἆρά γε οὐκ οἶδας, εἰ καὶ ἀνάξιός εἰμι, μέλη Χριστοῦ βαστάζω; Καὶ εὐθὺς ἐπαύετο ἡ πύρωσις, ὃν τρόπον τις φυσήσας σβέσει λύχνον, ὥς τε αὐτὸν θαυμάζειν ἐν ἑαυτῷ ἐπὶ τούτῳ καὶ δοξάζειν τὸν Κύριον.

3. Ἐὰν ἐργαζομένῳ σοι ἐνοχλήσῃ τὸ πνεῦμα τῆς πορνείας, μὴ ὀκνήσῃς ἐκτεῖναί σου τὰς χεῖρας εἰς προσευχήν· εἰ δὲ καὶ σφοδροτέρως ἐπιτεθῇ σοι, ἀναστὰς κλῖνον γόνυ προσευχόμενος, καὶ ἡ εὐχὴ τῆς πίστεως ἀντιπολεμήσει ὑπὲρ σοῦ.

Ἑ ρ μ η ν ε ί α

ΩΣΑΝ νὰ ἔχῃς ἐμπρός σου σκύλον, νὰ ἀπευθύνεσαι μὲ σκληρότητα πρὸς τὸν δαίμονα τῆς πορνείας, καὶ νὰ μὴ θελήσῃς ποτὲ νὰ παρασυρθῇς ἀπὸ αὐτὸν τὸν λογισμόν. Διότι ἀπὸ μίαν σπίθαν φουντώνει ἡ φωτιὰ καὶ ἀπὸ μίαν κακὴν ἐνθύμησιν πλεονάζουν κακαὶ ἐπιθυμίαι. Τὴν ἐνθύμησιν τῶν λογισμῶν νὰ τὴν ἀποδιώξῃς περισσότερον ἀπὸ ὅσον ἀποφεύγεις τὴν δυσωδίαν τοῦ βορβόρου.

2. Ἕνας ἀδελφὸς ποὺ ἐπολεμεῖτο ἀπὸ πορνείαν, ἐπιτιμοῦσε τὸν δαίμονα· ὕπαγε εἰς τὸ σκότος — τοῦ ἔλεγε — σατανᾶ· μήπως δὲν γνωρίζεις, ὅτι, ἂν καὶ εἶμαι ἀνάξιος, κρατῶ μέλη Χριστοῦ; Καὶ ἀμέσως ἔπαυεν ἡ σαρκικὴ ἐπιθυμία, μὲ τὴν ἰδίαν εὐκολίαν ποὺ κάποιος σβύνει μὲ φύσημα τὸν λύχνον, ὥστε καὶ ὁ ἴδιος νὰ θαυμάζῃ ἀπὸ μέσα του καὶ νὰ δοξάζῃ δι' αὐτὸ τὸν Κύριον.

3. Ἂν σὲ ἐνοχλήσῃ τὸ δαιμόνιον τῆς πορνείας τὴν ὥραν ποὺ ἐργάζεσαι, μὴ βαρεθῇς νὰ ὑψώσῃς ἀμέσως τὰ χέρια σου διὰ προσευχήν· ἂν ἐξακολουθήσῃ νὰ σοῦ ἐπιτίθεται σφοδρότερον, τότε σήκω καὶ προσευχήσου, γονατιστός, καὶ ἡ εὐχὴ τὴν ὁποίαν μὲ πίστιν θὰ κάμῃς, θὰ πολεμήσῃ πρὸς χάριν σου τὸ δαιμόνιον.

ΥΠΟΘΕΣΙΣ ΚΘ΄

Ὅτι δεῖ καὶ τὰς τῶν γυναικῶν ὁμιλίας ἐκτρέπεσθαι, καὶ λοιπῶν τῶν τὴν ἐπιθυμίαν ἐρεθιζόντων.

Ὅτι πρέπει νὰ ἀποφεύγωμεν καὶ τὰς συναναστροφὰς τῶν γυναικῶν καὶ ὅσα ἄλλα ἐρεθίζουν τὴν ἐπιθυμίαν.

Α΄. Παλλαδίου

ΗΝ ΤΙΣ Μοναχὸς ἐν ἀκρωρείᾳ πόλεως τῆς Λυκῶ, ὄνομα αὐτῷ Ἰωάννης, ὃς ἀπελθοῦσιν ἡμῖν πρὸς αὐτὸν τοιαύτην διήγησιν διηγήσατο. Ἔφη γάρ, ὅτι ὑπῆρχέ τις μοναχὸς ἐν τῇ πλησίον ἐρήμῳ, ἐν πάσῃ ἀσκήσει διάγων καὶ ἐν ἐργοχείρῳ τὸν ἄρτον αὐτοῦ πορίζόμενος, καὶ ταῖς δεήσεσι παραμένων προέκοπτε ταῖς ἀρεταῖς. Καὶ λοιπὸν ἐν ἑαυτῷ ἀθλίως ἐθάρρησε καὶ τῇ καλῇ αὐτοῦ πολιτείᾳ· ὁ δὲ πειράζων ὡς τὸν Ἰὼβ αὐτὸν ἐξῃτήσατο. Καὶ δὴ φαντασίαν αὐτῷ ἐμποιεῖ πρὸς ἑσπέραν γυναικὸς εὐμόρφου πλανωμένης κατὰ τὴν ἔρημον, ἥτις εὑροῦσα τὴν θύραν ἀνεῳγμένην, εἰσεπήδησεν εἰς τὸ σπήλαιον, καὶ προσπεσοῦσα τοῖς γόνασιν αὐτοῦ ᾔτει παρ᾿ αὐτοῦ ἀνάπαυσιν, ὡς ἑσπέρας αὐτὴν καταλαβούσης.

Ὁ δὲ ἀφρονεστάτῃ ἀδιακρισίᾳ ἐλεήσας αὐτήν, ἀπρεπῶς ἐδέξατο αὐτὴν ἐν τῷ σπηλαίῳ, καὶ ἐπυνθάνετο αὐτῆς τὴν πλάνησιν. Ἡ δὲ εὐθέως ἀπήγγειλε καὶ λόγους αὐτῷ κολακείας καὶ ἀπάτης ὑπέσπειρε καὶ πολλὴν ὁμιλίαν. Καὶ τὸ ἐντεῦθεν λοιπὸν μειδίαμα καὶ γέλως, καὶ ἁφὴ χειρὸς καὶ γενείου καὶ αὐχένος, καὶ ᾐχμαλώτισε τελείως τὸν ἀσκητήν. Ὡς δὲ ἐκινεῖτο τοῖς λογισμοῖς, ἅτε δὴ τὴν ἐπιθυμίαν ἐν χερσὶν ἔχων, τὴν εὐκαιρίαν καὶ τὴν ἄδειαν λογιζόμενος τοῦ ἐκτελεῖν τὴν ἡδονήν, συγκατετίθετο λοιπὸν τῇ διανοίᾳ, καὶ συνελθεῖν αὐτῇ ἐπειρᾶτο, ἄφρων ἤδη καὶ θηλυμανὴς ἵππος γινόμενος.

Ἡ δὲ ἐξαίφνης μέγα ἀναβοήσασα ἄφαντος ἐκ τῶν χειρῶν αὐτοῦ γέγονεν ὥς περ σκιά τις ἀποδραμοῦσα· γέλως δὲ ἐν τῷ ἀέρι πολλῶν δαιμόνων ἀκούεται, ἐλεγχόντων αὐτὸν ὡς τῇ ἀπάτῃ αὐτῶν ὑποκύψαντα, καὶ μεγάλῃ τῇ φωνῇ βοώντων· πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· σὺ ὑψώθης ἕως τῶν οὐρανῶν, ἐταπεινώθης δὲ νῦν ἕως τῶν ἀβύσσων. Καὶ διανυκτερεύσας ἐν θρήνοις καὶ οἰμωγαῖς, ἀπέγνω τῆς

ἑαυτοῦ σωτηρίας, ὥσπερ οὐκ ὤφελε, καὶ εἰς τὸν κόσμον ὑπέστρεψε. Τοῦτο γάρ ἐστι τοῦ πονηροῦ τὸ ἐπιτήδευμα, ὅταν τινὰ καταπαλαίσῃ, εἰς ἀφροσύνην αὐτὸν καθίστησιν, ἵνα τοῦ λοιποῦ μηκέτι δύναται ἀναστῆναι. Ὅθεν, ὦ τέκνα, μανθάνομεν, ὅτι οὐ συμβάλλεται ἡμῖν ἡ τῶν γυναικῶν συντυχία, ἀλλὰ καὶ τὰ μέγιστα καταβλάπτει, ἀνεξάλειπτον ἐν ἡμῖν τυποῦσα μνήμην, ἣν ἐκ τῆς ὄψεως καὶ τῆς ὁμιλίας ἐπισπώμεθα.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Μοναχός, ὀνομαζόμενος Ἰωάννης, ποὺ ἔμενεν εἰς τὴν βουνοπλαγιὰν τῆς Λυκῶ*, μᾶς διηγήθη, ὅταν τὸν ἐπισκεφθήκαμεν, τὰ ἑξῆς: Ἐδῶ, εἰς τὴν γειτονικήν μας ἔρημον — εἶπεν — ὑπῆρχε κάποιος Μοναχός, ποὺ ἔζουσε μὲ αὐστηρὰν ἄσκησιν, ἐκέρδιζε τὸ ψωμί του μὲ τὸ ἐργόχειρόν του, καὶ μὲ τὰς συνεχεῖς προσευχάς του ἐπρόκοπτεν εἰς τὰς ἀρετάς. Ἔδωσεν ὅμως, κακῶς βέβαια, ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν του καὶ τὴν ἐνάρετον ζωήν του. Ὁ διάβολος τότε ἐζήτησε τὴν ἄδειαν ἀπὸ τὸν Θεὸν νὰ τὸν πειράξῃ, ὅπως τὸν Ἰώβ**. Κάποιαν ἡμέραν λοιπόν, πρὸς τὸ δειλινόν, τὸν ἔκαμε νὰ ἴδῃ, μὲ τὴν φαντασίαν του, μίαν ὡραίαν γυναῖκα, ἡ ὁποία, τάχα, περιεπλανᾶτο εἰς τὴν ἔρημον. Αὐτὴ λοιπὸν ἡ γυναῖκα — φάντασμα τοῦ διαβόλου — εὑρῆκεν ἀνοικτὴν τὴν θύραν τῆς σπηλιᾶς τοῦ Μοναχοῦ καὶ ἐμπῆκε μέσα· ἔπεσεν εἰς τὰ γόνατά του καὶ τὸν ἐπαρακαλοῦσε νὰ ἀναπαυθῇ κοντά του, ἐπειδή, τάχα, τὴν εὑρῆκεν ἡ νύκτα.

Ὁ Μοναχός, ἀπὸ ἀπερίσκεπτον ἀδιακρισίαν, τὴν ἐλυπήθη, τὴν ἐδέχθη, χωρὶς νὰ πρέπει, μέσα εἰς τὸ σπήλαιόν του καὶ τὴν ἐρωτοῦσε νὰ πληροφορηθῇ πῶς περιεπλανήθη. Ἐκείνη πρόθυμα ἤρχισε νὰ τοῦ διηγῆται μὲ ἀρκετὴν φλυαρίαν καὶ νὰ τοῦ λέγῃ λόγια κολακευτικὰ καὶ ἀπατηλά. Ἐν συνεχείᾳ ἀνεπτύχθη οἰκειότης, μειδιάματα καὶ γέλια καὶ πιάσιμο χεριοῦ καὶ γενειάδας καὶ αὐχένος· μὲ ὅλα αὐτὰ ἠχμαλώτισε τελείως τὸν ἀσκητήν. Ἔτσι ὁ Μοναχὸς ἐκυριεύθη τελείως ἀπὸ τὴν ἐπιθυμίαν καὶ παρεσύρετο ἀπὸ τοὺς αἰσχροὺς λογισμούς· ἐσκέπτετο πλέον τὴν κατάλληλον στιγμήν, διὰ νὰ ἐκπληρώσῃ τὴν σαρκικὴν ἐπιθυμίαν, διὰ τὴν ὁποίαν εἶχεν ἤδη συγκατατεθῇ εἰς τὴν διάνοιάν του καὶ ἐπροσπαθοῦσε νὰ συνευρεθῇ σαρκικῶς μαζί της. Εἶχε πλέον καταντήσει ὡς ἵππος ἐξηγριωμένος ἀπὸ τὴν μανίαν του διὰ τὴν ἀπόλαυσιν τοῦ θήλεος.

Τότε ἐκείνη ἐκβάλλει ἔξαφνα μίαν μεγάλην κραυγὴν καὶ ἔγινεν

---

* Ἡ Λυκὼ ἦτο πόλις τῆς Θηβαΐδος τῆς Αἰγύπτου. Εἰς ἕνα ἐκεῖ πλησίον ὄρος ὑψηλὸν καὶ δυσανάβατον ἡσύχαζεν ὁ Ὅσιος οὗτος Ἰωάννης, ἀσκητὴς περιβόητος καὶ θαυμάσιος. (Βλέπε περὶ τούτου πλατύτερον ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος Β' σελὶς 163, ὡς καὶ ἐν τῷ Α' Τόμῳ τοῦ «Εὐεργετινοῦ» σελὶς 23.

** Βλέπε περὶ τοῦ δικαίου Ἰὼβ πλατύτερον ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας», τόμος Ε' σελὶς 132.

ἄφαντος ἀπὸ τὰ χέρια του, ὅπως ἐξαφανίζεται ἡ σκιά. Ἀμέσως ἀκούονται εἰς τὸν ἀέρα γέλια πολλῶν δαιμόνων, οἱ ὁποῖοι τὸν εἰρωνεύοντο διότι ὑπέκυψεν εἰς τὴν ἀπάτην των καὶ τοῦ ἐφώναζαν δυνατά· ὅποιος ὑπερηφανεύεται, θὰ ταπεινωθῇ· σὺ ἀνυψώθηκες μέχρι τοῦ οὐρανοῦ ἀπὸ ὑπερηφάνειαν, καὶ τώρα ἐταπεινώθης ἕως τὴν ἄβυσον. Μετὰ ἀπὸ αὐτὸ ἔμεινεν ἄγρυπνος ὅλην τὴν νύκτα μὲ θρήνους καὶ στεναγμοὺς καὶ τὸ πρωΐ, ἀπηλπισμένος διὰ τὴν σωτηρίαν του, χωρὶς βέβαια νὰ πρέπει, ἐπέστρεψεν εἰς τὸν κόσμον.

Διότι αὐτὸ εἶναι τὸ τέχνασμα τοῦ διαβόλου· ὅταν, δηλαδή, νικήσῃ κάποιον, τὸν παρασύρει εἰς ἀπερισκέπτους καὶ ἁμαρτωλὰς πράξεις, διὰ νὰ μὴ ἠμπορῇ πλέον νὰ σηκωθῇ. Ἀπὸ αὐτὸ λοιπόν, παιδιά μου, μανθάνομεν, ὅτι δι' ἡμᾶς τοὺς Μοναχοὺς δὲν εἶναι καλὴ ἡ συναναστροφὴ μὲ γυναῖκας· ἀντιθέτως, μᾶς ζημιώνει πάρα πολύ, διότι, ἀπὸ τὰ πρόσωπα καὶ τὴν συνομιλίαν ἀποτυπώνεται εἰς τὴν ψυχήν μας ἀνεξάλειπτος ἡ ἐνθύμησίς των.

Β'. Γρηγορίου τοῦ Διαλόγου

ΕΝ ΟΣΩι, Πέτρε, τὰ τῶν μειζόνων ἀνδρῶν ἔργα διηγοῦμαι, αἴφνης εἰς μνήμην ἦλθον Ἀνδρέου τοῦ τῆς πόλεως Φούνδης Ἐπισκόπου, τὸ τί εἰς αὐτὸν ἡ θεία ἐλεημοσύνη πεποίηκε. Διόπερ μάλιστα τοῖς ἀναγινώσκουσι φυλάττειν παραινῶ, ἵνα οἱ τὸ σῶμα αὐτῶν τῇ ἐγκρατείᾳ καθιεροῦντες κατοικεῖν μετὰ γυναικῶν μὴ τολμῶσι, μήπως πτώματι τοσούτῳ τῷ λογισμῷ καθυποβληθῶσι· παρουσιάζουσα γὰρ μορφὴ τὴν ἐπιθυμίαν ἐρεθίζει, καὶ κακῶς αὐτὴν ἑαυτῇ ὑποκλίνει. Περὶ οὗ γὰρ πράγματος διηγοῦμαι διστάσαι οὐκ ἔστι· διότι τοσοῦτοι μάρτυρές εἰσιν, ὅσοι τῇ αὐτῇ πόλει κατοικοῦσιν.

Οὗτος τοίνυν ὁ εὐλαβέστατος ἀνὴρ τὴν ἑαυτοῦ ζωὴν πλήρη ἀρετῶν διήγαγε, καὶ δι' ἐγκρατείας τὴν τῶν ἔνδον φυλακὴν ἱερῶς διετήρησε. Μονάστριαν δέ τινα ἐκ πολλοῦ μεθ' ἑαυτοῦ συνοικοῦσαν εἶχε, ταύτην δὲ ἐκ τοῦ Ἐπισκοπείου ἢ τῆς ἑαυτοῦ φροντίδος ἀποβαλέσθαι οὐκ ἠθέλησεν, ἐν πληροφορίᾳ ὑπάρχων περὶ τῆς ἑαυτοῦ κἀκείνης ἁγνείας, ἀλλὰ κατοικεῖν αὐτὴν μεθ' ἑαυτοῦ ἐν τῷ Ἐπισκοπείῳ παρεχώρησεν. Ἐκ τούτου οὖν συνέβη τὸν ἀρχέκακον ἐχθρὸν εἴσοδον πειρασμοῦ ἐν τῇ τοῦ Ἐπισκόπου ψυχὴν ἐπιζητῆσαι. Ἤρξατο οὖν τὸ ταύτης κάλλος τοῖς νοητοῖς αὐτοῦ ὀφθαλμοῖς ὑποτίθεσθαι, καὶ ἐν τῇ κλίνῃ ἀναπεσόντα τὰ μὴ ἀνήκοντα αὐτὸν διαλογίζεσθαι παρεσκεύασεν.

Ἐν μιᾷ οὖν Ἰουδαῖος τις ἐκ τῶν τῆς Καμπανίας μερῶν ἐν τῇ Ῥώμῃ ἐρχόμενος, ἐν τῇ ὁδῷ ἑσπέρας αὐτὸν καταλαβούσης, μὴ ἔχων ὅπου καταλύσει, ἐν τῷ πλησίον τοῦ Ἀπόλλωνος ναῷ, ὃς ἦν αὐτόθι, πρὸς τὸ μεῖναι κατέλυσε. Φοβηθεὶς δὲ τὰ ἐν ἐκείνῳ τῷ τόπῳ γινόμενα μιάσματα, καίτοι πίστιν εἰς τὸν σταυρὸν μὴ ἔχων, ἑαυτὸν τῷ σημείῳ τοῦ σταυροῦ κατασφαλισάμενος, ἀνεκλίθη. Περὶ δὲ τὸ μεσονύκτιον, ἡσυχίας οὔσης, διά τε τὴν τοῦ τόπου ἐρημίαν καὶ τὴν ἑαυτοῦ μόνωσιν θροηθείς, γρηγορῶν ἔκειτο.

Αἴφνης οὖν ἀτενίσας εἶδε τῶν πονηρῶν πνευμάτων ὄχλον πολύν, ὡς ὅτι εἰς ὀφίκιον ἐξουσίας τινὸς προεπορεύοντο. Ὁ δὲ τῶν ἄλλων πρωτεύων, ἐν τῷ τοῦ αὐτοῦ

τόπου προεδρίῳ ἐκάθισε, καὶ ἤρξατο τῶν πνευμάτων τῶν παρισταμένων αὐτῷ τὰς πράξεις καὶ τὰ ἐπιτηδεύματα ἀνακρίνειν, ζητῶν μαθεῖν πόσην ἕκαστος κακίαν αὐτῶν καὶ πονηρίαν εἰργάσατο. Ἐν ὅσῳ δὲ πάντες αὐτῷ διηγοῦντο, ἅπερ κατὰ τῶν ἀνθρώπων εἰργάσαντο, εἷς ἐν τῷ μέσῳ εἰσπηδήσας, τὸν πειρασμὸν ὃν ἐξήγειρεν ἐν τῇ ψυχῇ Ἀνδρέου τοῦ Ἐπισκόπου διὰ τοῦ κάλλους τῆς συνοικούσης αὐτῷ ἐν τῷ Ἐπισκοπείῳ μοναστρίας, καὶ τὴν ταραχὴν τῆς σαρκὸς διεσάφησε.

Τοῦτο οὖν ὁ πονηρὸς δαίμων ἀκούσας ὁ τῶν λοιπῶν πνευμάτων προεστώς, πάνυ ἡδέως ἐδέξατο, καὶ μέγα κέρδος αὐτῷ προσενεχθῆναι ὡμολόγησεν, ὅτι ἁγίου ἀνδρὸς ψυχὴν ἐν σφάλματι ἀπωλείας ἐπέκλινεν. Ὁ δὲ ταῦτα ἀπαγγείλας δαίμων προσθεὶς εἶπε· μέχρι τῆς παρελθούσης ἡμέρας οὐ διέλειπον αὐτῷ ἐνοχλῶν καὶ τὸν λογισμὸν αὐτοῦ παρασύραι οὐκ ἠδυνήθην. Χθὲς δὲ πρὸς ἑσπέραν πεποίηκα, ὅπως τῶν ὀπισθίων τῆς ἱερᾶς παρθένου τῇ οἰκείᾳ χειρὶ ἐμπαθῶς ἅψηται. Τότε ὁ πονηρὸς διάβολος καὶ τοῦ ἀνθρωπίνου γένους ἀρχαῖος ἐχθρὸς τοῦτον κολακευτικῶς προσκαλεσάμενος, ἔφη· ὅπερ ἐνήρξω σπεῦσον πληρῶσαι, ἵνα ἐν τῇ πτώσει αὐτοῦ σὺ μόνος μεταξὺ τῶν λοιπῶν τὸ τῆς νίκης βραβεῖον κομίσῃ.

Ταῦτα οὖν ὁ Ἰουδαῖος καὶ ἰδὼν καὶ ἀκούσας, εἰς μεγάλην δειλίαν καὶ στενοχωρίαν περιέπεσεν. Ὁ δὲ τῶν πονηρῶν πνευμάτων πρωτεύων διάβολος τούτοις ἐπέτρεψεν, ἵνα ἐπιζητήσωσι τίς ἄρα ἐστὶν ὁ ἐν τῷ ναῷ αὐτῶν κατακλιθῆναι τολμήσας; Ἐλθόντα οὖν τὰ τῆς πονηρίας πνεύματα καὶ ἐπιμελῶς καταμανθάνοντα, ὡς εἶδον αὐτὸν τῷ σημείῳ τοῦ σταυροῦ ἐσφραγισμένον, θαυμάσαντες εἶπον· βαβαί! σκεῦος σάθουρον καὶ ἐσφραγισμένον ὑπάρχει· τοῦτο δὲ αὐτῷ μηνυσάντων, πᾶσα ἐκείνη ἡ τῶν πονηρῶν πνευμάτων ταραχὴ ἄφαντος γέγονεν.

Ὁ δὲ Ἰουδαῖος, ὁ ταῦτα ἰδὼν καὶ ἀκούσας, εὐθέως ἀνέστη καὶ πρὸς τὸν Ἐπίσκοπον μετὰ σπουδῆς παρεγένετο. Εὑρὼν οὖν αὐτὸν ἐν τῇ Ἐκκλησίᾳ κατ' ἰδίαν αὐτὸν ἔλαβε, καὶ παρ' αὐτοῦ μαθεῖν ἐπεζήτει ποίῳ πειρασμῷ συνέχεται. Ὁ δὲ αἰδούμενος οὐχ ὡμολόγει. Τότε ὁ Ἰουδαῖος εἶπεν· οὐχὶ τῇ τοῦ Θεοῦ δούλῃ τῇ δεῖνι αἰσχρῷ πόθῳ τοὺς ὀφθαλμοὺς ἐπεστήριξας; Ὁ δὲ Ἐπίσκοπος καὶ ἐπὶ τούτοις ἠρνεῖτο. Εἶπεν οὖν ὁ Ἰουδαῖος· διατί ἀρνεῖ; οὐχὶ μέχρι τούτου κατηνέχθης, ὅτι χθὲς πρὸς ἑσπέραν τοῖς ταύτης ὀπισθίοις ἐμπαθὼς τὴν χεῖρά σου προσήγγισας;

Τότε ὁ Ἐπίσκοπος τοῖς τούτου ρήμασιν ἐλεγχθείς, μετὰ πάσης ταπεινοφροσύνης ὡμολόγησεν ὅπερ πρότερον στερρῶς ἠρνεῖτο. Θέλων δὲ ὁ Ἰουδαῖος τὴν αἰσχύνην τοῦ σφάλματος αὐτοῦ παραμυθήσασθαι, διηγήσατο αὐτῷ πῶς τοῦτο διέγνω, καὶ ὁποῖα περὶ αὐτοῦ ἐν τῷ συναθροισμῷ τῶν πονηρῶν πνευμάτων ἀκήκοε. Ταῦτα δὲ ὁ Ἐπίσκοπος ἀκούσας καὶ ἐπιγνούς, εὐθέως ἐν τῇ γῇ κατακλιθείς, ἑαυτὸν εἰς προσευχὴν δέδωκεν· παραχρῆμα τε ἐκ τοῦ Ἐπισκοπείου οὐ μόνον τὴν τοῦ Θεοῦ δούλην ἐκείνην, ἀλλὰ καὶ πᾶσαν θήλειαν ἥν περ εἰς τὴν αὐτῆς ὑπουργίαν εἶχεν ἀπεβάλετο, τὸν δὲ ναὸν τοῦ Ἀπόλλωνος εὐκτήριον τοῦ μακαρίου Ἀνδρέου τοῦ Ἀποστόλου πεποίηκεν.

Ἀπηλλάγη δὲ καὶ τοῦ τῆς σαρκὸς αὐτοῦ πειρασμοῦ, χάριτι Θεοῦ παντελῶς ἐξ αὐτοῦ ἀπελαθέντος, τόν τε Ἰουδαῖον πρὸς τὴν αἰώνιον ζωὴν ἐπεσπάσατο· τὰ γὰρ μυστήρια τῆς πίστεως τοῦτον διδάξας, καὶ τῷ τοῦ Βαπτίσματος ὕδατι καθαρίσας, εἰς τὸν τῆς Ἁγίας Ἐκκλησίας κόλπον ἤγαγε. Γέγονεν οὖν ὥς τε τὸν Ἑβραῖον τὸν εἰς τὴν ἑτέρου σωτηρίαν τρέχοντα, εἰς τὴν ἰδίαν καταντῆσαι, καὶ ὁ παντοδύναμος

Θεὸς ἐκ τούτου ἕτερον εἰς ζωὴν ἀγαθὴν ἤγαγεν, ὅθεν ἄλλον ἐν αὐτῇ φυλαχθῆναι ηὐδόκησε.

Πέτρος

ΤΟΥΤΟ τὸ γεγονὸς πρᾶγμα, ὅπερ ἀκήκοα, καὶ φόβον παρέχει καὶ ἐλπίδα σωτηρίας.

Γρηγόριος

ΟΥΤΩ καὶ ἁρμόζει, τῇ τοῦ Θεοῦ ἡμᾶς εὐσπλαγχνίᾳ πάντοτε πεποιθέναι, καὶ τὴν ἡμετέραν δειλιᾶν ἀσθένειαν· ἰδοὺ γὰρ καὶ τὴν τοῦ Παραδείσου κέδρον σαλευθεῖσαν ἠκούσαμεν, ἀλλ' οὐκ ἐκριζωθεῖσαν, ὅπως τοῖς ἀσθενέσιν ἡμῖν, διὰ μὲν τῆς σαλεύσεως αὐτῆς φόβος γένηται, θάρσος δὲ διὰ τὴν αὐτῆς σταθερότητα ὕστερον.

Ἑρμηνεία

ΚΑΘΩΣ διηγοῦμαι, Πέτρε, τὰ ἔργα τῶν μεγάλων ἀνδρῶν, ἦλθεν εἰς τὸν νοῦν μου ὁ Ἐπίσκοπος τῆς Φούνδης* Ἀνδρέας, τὸ τί δηλαδὴ ἔπραξεν εἰς αὐτὸν ἡ εὐσπλαγχνία τοῦ Θεοῦ. Δι' αὐτὸ καὶ μὲ ὅλην μου τὴν δύναμιν συμβουλεύω ἐκείνους ποὺ ἀφιέρωσαν τὸ σῶμα των εἰς τὴν ἐγκράτειαν, νὰ μὴ τολμοῦν νὰ συγκατοικοῦν μὲ γυναῖκας, μήπως ἀπὸ τὸν λογισμὸν περιπέσουν εἰς μίαν τόσον μεγάλην πτῶσιν. Διότι ἡ γυναικεία μορφὴ ἐρεθίζει τὴν ἐπιθυμίαν καὶ σιγὰ - σιγὰ τὴν παρασύρει πρὸς τὸν ἑαυτόν της. Διὰ τὴν ὑπόθεσιν, ποὺ πρόκειται νὰ διηγηθῶ, δὲν θὰ διστάσω, διότι ὑπάρχουν τόσοι μάρτυρες, ὅσοι κατοικοῦν εἰς αὐτὴν τὴν πόλιν.

Αὐτὸς λοιπὸν ὁ εὐλαβέστατος ἀνὴρ ἔζουσε μίαν ἐνάρετον ζωὴν καὶ μὲ τὴν ἐγκράτειαν διετήρησεν ἱερὰν ἐπαγρύπνησιν μέσα εἰς τὴν ψυχήν του ἐπὶ τῶν λογισμῶν του. Ἐπὶ πολὺν καιρὸν συγκατοικοῦσε μὲ κάποιαν Μοναχήν· αὐτὴν λοιπὸν δὲν ἠθέλησεν οὔτε ἀπὸ τὸ Ἐπισκοπεῖον νὰ τὴν ἀπομακρύνῃ οὔτε νὰ παύσῃ νὰ φροντίζῃ δι' αὐτήν. Μὲ τὴν βεβαιότητα δὲ καὶ τῆς ἰδικῆς του καὶ τῆς ἰδικῆς της ἁγνότητος ἐξακολουθοῦσε νὰ συγκατοικῇ μαζί της καὶ τῆς ἐπέτρεπε μάλιστα νὰ παραμένῃ μαζί του εἰς τὸ Ἐπισκοπεῖον. Ἀπὸ αὐτὴν λοιπὸν τὴν συγκατοίκησιν προσεπάθησεν ὁ ἀρχέκακος ἐχθρὸς νὰ εἰσέλθῃ εἰς τὴν ψυχὴν τοῦ Ἐπισκόπου, διὰ νὰ τὸν πειράξῃ. Ἄρχισε λοιπὸν νὰ παρουσιάζῃ τὸ κάλλος τῆς Μοναχῆς εἰς τὰ μάτια τῆς ψυχῆς του καὶ ὅταν ἔπεφτε εἰς τὸ κρεβάτι του, διὰ νὰ κοιμηθῇ, τὸν ἔκαμνε νὰ σκέπτεται ἐκεῖνα ποὺ δὲν τοῦ ἐταίριαζαν.

Μίαν ἡμέραν κάποιος Ἰουδαῖος ἀπὸ τὰ μέρη τῆς Καμπανίας**

---

* Αὐτὴ ἦτο πόλις παλαιὰ τῆς Ἰταλίας κειμένη πλησίον τῆς Ρώμης καὶ τιμωμένη μὲ θρόνον Ἐπισκόπου.

** Ἡ Καμπανία εἶναι ἐπαρχία τῆς Κεντρικῆς Ἰταλίας, περιλαμβάνουσα τὴν περιοχὴν ἡ ὁποία εὑρίσκεται γύρω ἀπὸ τὴν Ρώμην μέχρι τῆς θαλάσσης, ὅπου χύνεται ὁ ποταμὸς Τίβερις.

ἤρχετο εἰς τὴν Ρώμην· ἐπειδὴ δὲ ἐνύκτωσεν εἰς τὸν δρόμον καὶ δὲν εἶχε ποῦ νὰ διανυκτερεύσῃ, παρέμεινεν εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ποὺ εὑρίσκετο ἐκεῖ κοντά. Ἀπὸ φόβον δὲ διὰ τὰ δαιμόνια ποὺ ὑπῆρχον ἐκεῖ, ἔκαμε τὸ σημεῖον τοῦ σταυροῦ, ἂν καὶ δὲν ἐπίστευεν εἰς τὸν σταυρόν, καὶ ἔπεσε νὰ κοιμηθῇ. Κατὰ τὰ μεσάνυχτα καὶ ἐνῷ ἐπικρατοῦσεν ἡσυχία, ἐξύπνησεν ἀπὸ τὸν φόβον τῆς ἐρημιᾶς καὶ τῆς μοναξιᾶς του καὶ παρέμεινεν ἄγρυπνος.

Ἔξαφνα λοιπὸν ὕψωσε τὸ βλέμμα του καὶ εἶδε πλῆθος ἀπὸ πονηρὰ πνεύματα, ὡσὰν νὰ ἀποτελοῦσαν τιμητικὴν συνοδείαν κάποιου ἄρχοντος. Τότε ὁ ἀρχηγὸς ἐκάθισεν εἰς τὸ προεδρεῖον τοῦ τόπου ἐκείνου καὶ ἤρχισε νὰ ἐξετάζῃ τὰς πράξεις καὶ τὰ τεχνάσματα τῶν πονηρῶν πνευμάτων, ποὺ εὑρίσκοντο ἐκεῖ καὶ ἐζητοῦσε νὰ μάθῃ ποίαν κακίαν διέπραξε τὸ καθένα ἀπὸ αὐτά. Ἐνῷ λοιπὸν ὅλοι οἱ δαίμονες τοῦ ἀνέφεραν ὅσα κακὰ διέπραξαν ἐναντίον τῶν ἀνθρώπων, ἐπροχώρησεν ἕνας ἀπ' αὐτοὺς εἰς τὸ μέσον καὶ ἤρχισε νὰ ἀφηγεῖται λεπτομερῶς τὸν πειρασμόν, ποὺ ἐξεσήκωσεν εἰς τὴν ψυχὴν τοῦ Ἐπισκόπου Ἀνδρέου, μὲ τὴν ὡραιότητα τῆς Μοναχῆς ποὺ συγκατοικοῦσε μὲ αὐτὸν εἰς τὸ Ἐπισκοπεῖον, καθὼς καὶ τὴν ταραχὴν τῆς σαρκὸς ποὺ ἤρχισε νὰ δοκιμάζῃ.

Μόλις ἤκουσεν αὐτὸ ὁ ἀρχηγὸς τῶν δαιμόνων, ηὐχαριστήθη πάρα πολὺ καὶ ὡμολόγησεν ὅτι τὸ κέρδος του θὰ ἦτο μεγάλον, ἂν κατώρθωνε τελικῶς νὰ παρασύρῃ τὴν ψυχὴν τοῦ ἁγίου ἀνδρὸς εἰς θανάσιμον σφάλμα. Ἐν τῷ μεταξὺ ὁ δαίμων ποὺ ἀνέφερεν αὐτὰ προσέθεσε· μέχρι προχθὲς δὲν ἔπαυα νὰ τὸν ἐνοχλῶ, ἀλλὰ δὲν ἠμπόρεσα νὰ παρασύρω τὸν λογισμόν του· χθὲς ὅμως τὸ βράδυ τὰ κατάφερα νὰ ἐγγίσῃ μὲ ἐμπάθειαν τὸ χέρι του εἰς τὰ ὀπίσθια τῆς καλογραίας. Τότε ὁ πονηρὸς διάβολος καὶ ἀρχαῖος ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους προέτρεψε, μὲ κολακευτικὰ λόγια, αὐτὸν τὸν δαίμονα· αὐτό, ποὺ ἤρχισες, τρέξε νὰ τὸ τελειώσῃς, διὰ νὰ κερδίσῃς μόνος ἀνάμεσα εἰς τοὺς ἄλλους, μὲ τὴν πτῶσιν τοῦ Ἐπισκόπου, τὸ βραβεῖον τῆς νίκης.

Μόλις ὁ Ἰουδαῖος εἶδε καὶ ἤκουσεν αὐτὰ ἐφοβήθη καὶ ἐστενοχωρήθη πάρα πολύ. Ὁ δὲ ἀρχηγὸς τῶν πονηρῶν πνευμάτων, ὁ ἀρχιδιάβολος, τοὺς παρήγγειλε νὰ ἐξετάσουν ποῖος εἶναι ἐκεῖνος ποὺ ἐτόλμησε νὰ κοιμηθῇ εἰς τὸν ναόν. Μόλις λοιπὸν ἦλθον κοντὰ εἰς τὸν Ἰουδαῖον τὰ πονηρὰ πνεύματα καὶ τὸν ἐξήτασαν προσεκτικά, ἐθαύμασαν, ὅταν διεπίστωσαν ὅτι ἔχει σφραγισθῆ μὲ τὸ σημεῖον τοῦ σταυροῦ καὶ εἶπαν: πώ! πώ! ἕνα ἄχρηστον σκεῦος καὶ ὅμως ἔχει σφραγισθῆ. Ὅταν εἶπαν αὐτὰ εἰς τὸν ἀρχισατανᾶν, ὅλον ἐκεῖνο τὸ πλῆθος τῶν πονηρῶν πνευμάτων, ποὺ ἐπροκαλοῦσε τὴν ταραχήν, ἔγινεν ἄφαντον.

Τότε ὁ Ἰουδαῖος, ὁ ὁποῖος εἶδε καὶ ἤκουσεν αὐτά, ἀμέσως ἐσηκώθηκε καὶ ἔτρεξε νὰ συναντήσῃ τὸν Ἐπίσκοπον. Ἀφοῦ λοιπὸν τὸν εὗρῆκεν εἰς τὴν Ἐκκλησίαν, τὸν ἐπῆρε ἰδιαιτέρως καὶ ἐπροσπαθοῦσε νὰ μάθῃ ἀπ' αὐτὸν ἀπὸ ποῖον πειρασμὸν κατέχεται. Ἐκεῖνος ὅμως δὲν ὡμολογοῦσε τίποτε ἀπὸ ἐντροπήν. Ὁ Ἰουδαῖος ἐπέμενε: δὲν ἔρριξες — τοῦ

εἶπε — ἀπὸ αἰσχρὸν πόθον τὰ μάτια σου ἐπάνω εἰς τὴν δεῖνα δούλην τοῦ Θεοῦ; Ὁ Ἐπίσκοπος καὶ αὐτὸ τὸ ἠρνεῖτο. Κατόπιν αὐτοῦ λοιπὸν τοῦ εἶπεν ὁ Ἰουδαῖος:

— Διατὶ ἀρνεῖσαι; Δὲν ἔφθασες μέχρι τοῦ σημείου, νὰ ἐγγίσῃς τὸ χέρι σου, μὲ ἐμπάθειαν, εἰς τὰ ὀπίσθιά της;

Τότε ὁ Ἐπίσκοπος ἠσθάνθη ἔλεγχον μὲ τὰ λόγια αὐτὰ καὶ ὡμολόγησε μὲ μεγάλην ταπεινοφροσύνην αὐτὸ ποὺ προηγουμένως ἠρνεῖτο ἐπίμονα. Διὰ νὰ τὸν παρηγορήσῃ δὲ ὁ Ἰουδαῖος διὰ τὴν ἐντροπὴν ποὺ ἐδοκίμασεν ἀπὸ τὸ σφάλμα, τοῦ διηγήθη πῶς τὸ ἔμαθε καὶ τί ἤκουσεν εἰς τὴν συνάθροισιν ἐκείνην τῶν πονηρῶν πνευμάτων. Μόλις ἤκουσεν αὐτὰ ὁ Ἐπίσκοπος καὶ ἐκατάλαβε τὸ μεγάλο σφάλμα, μετενόησεν· ἀμέσως λοιπὸν ἔπεσεν εἰς τὸ ἔδαφος καὶ παρεδόθη εἰς θερμὴν προσευχὴν μετανοίας· συγχρόνως ἐξεδίωξεν ἀμέσως ἀπὸ τὸ Ἐπισκοπεῖον ὄχι μόνον ἐκείνην τὴν δούλην τοῦ Θεοῦ, ἀλλὰ καὶ κάθε ἄλλην γυναῖκα ποὺ εἶχε διὰ νὰ τὴν ὑπηρετῇ· τέλος, μετέβαλεν εἰς Χριστιανικὸν ναόν, ἐπ' ὀνόματι τοῦ Ἁγίου Ἀνδρέου, τὸν εἰδωλολατρικὸν ναὸν τοῦ Ἀπόλλωνος.

Ἔτσι ἀπηλλάγη τελείως ἀπὸ τὸν σαρκικὸν πειρασμόν, ὁ ὁποῖος μὲ τὴν χάριν τοῦ Θεοῦ ἐξεδιώχθη τελείως καὶ τὸν Ἰουδαῖον ὡδήγησε πρὸς τὴν αἰώνιον ζωήν· τὸν ἐδίδαξε, δηλαδή, τὰ Μυστήρια τῆς Πίστεώς μας καὶ ἀφοῦ τὸν ἐκαθάρισε μὲ τὸ Ἅγιον Βάπτισμα, τὸν ἔφερεν εἰς τοὺς κόλπους τῆς Ἁγίας Ἐκκλησίας μας.

Συνέβη λοιπὸν μὲ τὸν τρόπον αὐτόν, ὥστε ὁ Ἑβραῖος, ὁ ὁποῖος ἔτρεξεν εἰς τὴν σωτηρίαν κάποιου ἄλλου νὰ φθάσῃ καὶ εἰς τὴν ἰδικήν του. Καὶ ἔτσι ὁ Παντοδύναμος Θεὸς ὡδήγησεν εἰς τὴν ἀγαθὴν ζωὴν ἐκεῖνον ὁ ὁποῖος ἠθέλησε τὸν ἄλλον (δηλαδὴ τὸν Ἐπίσκοπον) εἰς αὐτὴν νὰ διαφυλαχθῇ.

Πέτρος

ΑΥΤΟ τὸ γεγονὸς ποὺ ἤκουσα, γεννᾷ καὶ φόβον καὶ ἐλπίδα σωτηρίας.

Γρηγόριος

ΕΤΣΙ καὶ πρέπει· νὰ ἔχωμεν πάντοτε ἐμπιστοσύνην εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ μας καὶ νὰ φοβούμεθα τὴν ἰδικήν μας ἀδυναμίαν. Ἐμάθαμεν βέβαια ὅτι ἐσαλεύθη ἡ κέδρος τοῦ Παραδείσου, ἀλλὰ καὶ ὅτι δὲν ἐξερριζώθη, διὰ νὰ τὴν ἔχωμεν ἡμεῖς οἱ ἀδύνατοι ὡς παράδειγμα· ἀπὸ τὸν κλονισμὸν τῆς κέδρου νὰ φοβηθῶμεν, ἔπειτα δὲ νὰ πάρωμεν θάρρος ἀπὸ τὴν σταθερότητά της.

Τοῦ αὐτοῦ

ΕΝ ΤΟΙΣ τῆς Καμπανίας μέρεσιν, ἐν τῷ ὄρει τῷ εἰς Μαρσὴν, ἀνήρ τις σφόδρα εὐλαβέστατος, Μαρτῖνος ὄνομα, τὸν μονήρη βίον διετέλεσεν, ἐν σπηλαίῳ

στενοτάτῳ ἐπὶ πολλοὺς χρόνους ἑαυτὸν κατακλείσας. Ἐξεδίδετο δὲ αὐτῷ ἐκ τῆς πέτρας τοῦ σπηλαίου, νεύσει τοῦ παντοδυνάμου Θεοῦ, νοτὶς ὕδατος ὅση αὐτῷ εἰς χρείαν καθημερινὴν διήρκει. Ὁ δὲ ἀρχέκακος ἐχθρὸς τῇ ὑπομονῇ τοῦ Ἁγίου φθονῶν, ἐκδιῶξαι τοῦτον ἐκ τοῦ σπηλαίου ἐπειρᾶτο· καὶ δὴ εἰσελθὼν εἰς ὄφιν, τὸ φίλον αὐτῷ θηρίον, παρεσκεύασε τοῦτον εἰς τὸ σπήλαιον εἰσέρχεσθαι, καὶ εὐχομένου αὐτοῦ ἁπλοῦσθαι ἔμπροσθεν. Ὁ Ἅγιος ἀπτόητος παντάπασιν ἦν, παρετίθει δὲ τῷ ἐκείνου στόματι τὴν αὐτοῦ χεῖρα ἢ καὶ τὸν πόδα λέγων· ἐὰν ἄδειαν ἔλαβες τοῦ βλάψαι με, ἐγὼ οὐ κωλύω.

Μέχρις οὖν τριετίας ἀδιαλείπτως τοῦτο ἐγίνετο. Εἶτα ὁ ἐχθρὸς ὑπὸ τῆς τοσαύτης αὐτοῦ ὑπομονῆς καὶ δυνάμεως νικηθείς, ἔβρυξε καὶ ἑαυτὸν ὁ ὄφις κατὰ τὸ πλάγιον τοῦ ὄρους εἰς κρημνὸν δέδωκε. Πάντα δὲ τὰ ἐν τῷ τόπῳ ἐκείνῳ δάση τῇ ἐξ αὐτοῦ ἐκπορευομένῃ φλογὶ κατεφλέχθη, τοῦ Θεοῦ ἀναγκάζοντος αὐτὸν ἐπιδεῖξαι πόσης ὑπῆρχε δυνάμεως, ὃς νικηθείς, κατῃσχυμμένος ἀνεχώρησε. Κατανόησον οὖν αὐτῷ ἐν ποίᾳ τοῦ νοὸς φυλακῇ ἔστη ὁ τοῦ Θεοῦ ἄνθρωπος οὗτος, ὃς μετὰ ὄφεως τριετίαν ἀμερίμνως συνῴκησεν.

Πέτρος

ΤΗι ἀκοῇ καὶ μόνῃ δειλιῶ.

Γρηγόριος

ΟΥΤΟΣ οὖν ὁ εὐλαβέστατος ἀνήρ, ἀπ' ἀρχῆς ἡνίκα ἐν τῷ σπηλαίῳ κατέκλεισεν ἑαυτόν, ὥρισεν ἵνα τοῦ λοιποῦ γυναῖκα μὴ ἴδῃ, οὐχ ὡς τὴν φύσιν βδελυσσόμενος, ἀλλὰ τῷ κινδύνῳ τοῦ πειρασμοῦ φοβούμενος περιπεσεῖν, τῷ ἐκ τοῦ θεωρουμένου κάλλους συμβαίνοντι. Γυνὴ δέ τις τοῦτο ἀκούσασα, τεθαρρηκότως εἰς τὸ ὄρος ἀνῆλθε, καὶ εἰς τὸ σπήλαιον αὐτοῦ ἀναιδῶς παρεγένετο. Ἰδὼν δὲ αὐτὴν ὁ Ἅγιος ἐκ μήκους ἐρχομένην, καὶ ἐκ τῶν ἱματίων ἐπιγνοὺς ὅτι γυνή ἐστιν, ἑαυτὸν εἰς εὐχὴν δέδωκε, καὶ ἐν τῇ γῇ τὴν ἑαυτοῦ ὄψιν ἐπεστήριξεν· ἐπὶ τοσοῦτον δὲ ἡπλωμένος ἐν τῇ προσευχῇ προσεκαρτέρησεν, ἕως οὗ τὸ ἀναιδὲς ἐκεῖνο γύναιον ἀτονῆσαν ἐκ τῆς θυρίδος τοῦ κελλίου αὐτοῦ ἀπέστη, καὶ κατελθοῦσα ἐκ τοῦ ὄρους τῇ αὐτῇ ἡμέρᾳ τὴν ζωὴν ἐπλήρωσε, καὶ ἐκ τούτου πᾶσι γνώριμον γέγονεν, ὅτι σφόδρα τῷ παντοδυνάμῳ Θεῷ ἀπήρεσε τὸ ταύτῃ τῇ τόλμῃ τὸν αὐτοῦ δοῦλον λυπῆσαι.

Ἑρμηνεία

ΕΙΣ τὴν Καμπανίαν* καὶ ἐπάνω εἰς τὸ ὄρος Μαρσὴν ἠσκήτευεν ἕνας πάρα πολὺ εὐλαβὴς ἄνθρωπος, ὁ Μαρτῖνος· αὐτὸς παρέμεινεν ἔγκλειστος, ἀρκετὰ χρόνια, εἰς ἕνα στενὸν σπήλαιον. Ἀπὸ τὸν βράχον τοῦ σπηλαίου αὐτοῦ ἔβγαιναν, πρὸς χάριν του, μὲ θεϊκὸν πρόσταγμα, μερικαὶ σταγόνες νεροῦ, ὅσον ἔφθανε διὰ τὰς καθημερινάς του ἀνάγκας. Ὁ ἀρχέκακος ἐχθρός, ἀπὸ φθόνον διὰ τὴν ὑπομονὴν τοῦ Ἁγίου, ἐπροσπαθοῦσε νὰ τὸν ἐκδιώξῃ ἀπὸ τὸ σπήλαιον. Ἀφοῦ λοιπὸν εἰσῆλθεν εἰς ὄφιν, τὸ ἀγαπημένον του θηρίον, ἐκανόνισε νὰ εἰσέρχεται οὗτος εἰς τὸ

---

* Βλ. ὑποσημείωσιν 6' τῆς σελίδος 357 τοῦ ἀνὰ χεῖρας τόμου.

σπήλαιον καὶ ὅταν προσηύχετο ὁ Ἅγιος, νὰ ἁπλώνεται ἐμπρός του. Ὁ Ἅγιος ὅμως παρέμενε τελείως ἀτάραχος· ἐπλησίαζε δὲ εἰς τὸ στόμα τοῦ φιδιοῦ τὸ χέρι του ἢ τὸ πόδι του καὶ τοῦ ἔλεγεν· ἂν ἐπῆρες ἄδειαν ἀπὸ τὸν Θεὸν νὰ μὲ βλάψῃς, ἐγὼ δὲν σὲ ἐμποδίζω.

Αὐτὸ λοιπὸν διήρκεσεν ἐπὶ τρία συνεχῆ ἔτη. Ἔπειτα ἐνικήθη ὁ ἐχθρὸς ἀπὸ τὴν τόσον μεγάλην ὑπομονὴν καὶ δύναμιν τοῦ Ἁγίου· ἐμούγκρισε καὶ τὸ φίδι κατεκρημνίσθη ἀπὸ τὴν βουνοπλαγιάν. Ὅλα δὲ τὰ δάση εἰς ἐκεῖνον τὸν τόπον κατεκάησαν ἀπὸ τὴν φλόγα, ποὺ ἔβγαινεν ἀπὸ τὸν ὄφιν. Ὁ Θεὸς ὑπεχρέωσε τὸν σατανᾶν νὰ δείξῃ πόσην δύναμιν εἶχε, εἰς τὸ τέλος ὅμως ἐνικήθη καὶ ἔφυγε κατεντροπιασμένος. Φέρε λοιπὸν εἰς τὴν σκέψιν σου πόσην προσοχὴν καὶ ἐπαγρύπνησιν νοῦ κατέβαλεν ὁ ἄνθρωπος αὐτὸς τοῦ Θεοῦ ἀφοῦ, ἐπὶ τρία χρόνια ἐκατοικοῦσε μαζὶ μ' ἕνα φίδι, χωρὶς νὰ φοβηθῇ ποτέ.

Πέτρος

ΑΙ! μόνον ποὺ τὸ ἀκούω, τρομάζω.

Γρηγόριος

ΑΥΤΟΣ λοιπὸν ὁ εὐλαβέστατος ἀνήρ, ἀπὸ τὴν ἀρχήν, ποὺ ἐκλείσθη εἰς τὸ σπήλαιον, ἔθεσεν ὅρον εἰς τὸν ἑαυτόν του νὰ μὴ ἴδῃ γυναῖκα, ὄχι διότι ἐβδελύσσετο τὴν γυναῖκα, ἀλλὰ διότι ἐφοβεῖτο μήπως περιπέσῃ εἰς κίνδυνον πειρασμοῦ, ἀπὸ τὸ γυναικεῖον κάλλος ποὺ θὰ ἔβλεπεν.

Ὅταν τὸ ἤκουσεν αὐτὸ μία γυναίκα, ἀνέβηκε μὲ θράσος εἰς τὸ ὄρος καὶ ἦλθεν ἀδιάντροπα εἰς τὸ σπήλαιον τοῦ Ἁγίου. Μόλις τὴν εἶδεν ὁ Ἅγιος νὰ ἔρχεται ἀπὸ μακρὰν καὶ ἀνεγνώρισεν ἀπὸ τὰ ἱμάτια, ὅτι ἦτο γυναίκα, ἤρχισε νὰ προσεύχεται καὶ ἀκούμπησε τὸ πρόσωπόν του εἰς τὸ ἔδαφος, διὰ νὰ μὴ βλέπῃ ἐμπρός του. Παρέμεινε δὲ προσευχόμενος εἰς τὴν ἐδαφιαίαν αὐτὴν στάσιν τόσον, ἕως ὅτου ἀπηλπίσθη ἡ ἀδιάντροπη ἐκείνη γυναίκα καὶ ἀπεμακρύνθη ἀπὸ τὸ παράθυρον τοῦ κελλιοῦ. Μόλις δὲ κατέβηκεν ἀπὸ τὸ ὄρος, ἀπέθανε τὴν ἴδιαν ἡμέραν καὶ ἔγινε γνωστὸν εἰς ὅλους, διότι δὲν ἤρεσε καθόλου εἰς τὸν Θεὸν νὰ λυπήσῃ μὲ τέτοιαν ἀναίδειαν τὸν δοῦλον Του.

Δ΄. Τοῦ Ἁγίου Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ

ΠΟΘΟΣ ποτὲ θεῖος γυναῖκα εἰλήφει τὸν μέγαν Συμεὼν ἰδεῖν ὀφθαλμοῖς, καὶ τῆς παρ' αὐτοῦ χάριτος καὶ εὐλογίας ἀπολαῦσαι· ἀλλ' ἦν αὐτῇ τῆς ἐπιθυμίας ἐμπόδιον ὁ τοῦ στύλου περίβολος, γυναιξὶν ἀπείργων τὴν εἴσοδον. Ἡ φιλάρετος τοίνυν ἐκείνη, τῷ πυρὶ τοῦ καλοῦ τούτου ἁλισκομένη ἔρωτος, λογισμούς τε πάντας ἀνεκίνει πρὸς ἑαυτήν.

Καί τινων ποτὲ κατὰ θέαν τοῦ ἀνδρὸς πορευομένων στρατιωτῶν, τὴν ὁμοίαν τούτοις ἀναβολὴν περιθεμένη, ὅλη τε πρὸς τὸ ἐκείνων σχῆμα μεταβαλοῦσα, καὶ πᾶσαν ὑπόνοιαν κλέψασα, ἐπὶ τὸν ἵππον ἀναβᾶσα, συνίππευέ τε αὐτοῖς καὶ τὴν ὁδὸν ὡς τάχος διήνυεν.

Ἐπειδὴ δὲ κατέλαβον τὸν περίβολον, ἀποβαίνουσι τῶν ἵππων οἱ στρατιῶται καὶ τούτους οἷα παρά τινι τῶν συστρατιωτῶν τῇ γυναικὶ καταλείπουσιν, οὔπω δῆλον ὂν ὡς εἴη γυνή. Ἡ δὲ τὴν παρακαταθήκην ἑτοίμως ἐδέξατο, τῶν ἴσων καὶ αὐτὴ τυχεῖν ἐθέλουσα, καὶ τὸν οἰκεῖον πάλιν αὐτοῖς παρακαταθέσθαι ἵππον, ἐπειδὰν θεασάμενοι τὸν Ἅγιον ἀναστρέψωσιν. Ἐπεὶ οὖν ὡς τὸν Ἅγιον ἦλθον οἱ στρατιῶται καὶ ἔτυχον ἤδη ὧν ἐπεθύμουν, στρατιώτης μὲν εἷς ἐξ ὑμῶν ὑπελήφθη, ὁ θεῖος πρὸς αὐτούς φησι Συμεών, ὑμεῖς δὲ ἐπειδὴ πρὸς αὐτὸν ἐπανέλθητε, εἴπατε τούτῳ. ὡς ἡ τῆς ψυχῆς σου προσευχὴ εἰς τὰ ὦτα Κυρίου ἀνέβη, καὶ ηὐλόγησέ σε Κύριος ὁ Θεός, ὁ ἐξεταστὴς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ εὐλογημένος εἶ τῷ Κυρίῳ, τὸ πέρας ἔχοντι τῆς σπουδῆς μηκέτι σοι δεήσει τῆς πρὸς τὰ ἐνταῦθα ὁδοῦ.

Ταῦτα τοῦ θαυμαστοῦ Συμεὼν εἰρηκότος, ἐξιόντες οἱ στρατιῶται τοῦ περιβόλου κατεπλήττοντο μὲν τῆς προρρήσεως τὸν ἄνδρα, ἐθαύμαζον δὲ καὶ τὸν ὑπολειφθέντα δῆθεν στρατιώτην τῆς ἀρετῆς. Ἐπεὶ τοίνυν ἐξῆλθον τοῦ περιβόλου, ἀπαγγέλλουσι μὲν ἅπερ εἰπεῖν ἐπετράπησαν, πολλῇ δὲ πρὸς τὴν μακαρίαν ἐκείνην κέχρηνται τῇ δεήσει, τίς τε εἴη καὶ ὅ,τι ποτέ ἐστι τῶν αὐτῇ κατωρθωμένων τὸ μέγεθος δηλῶσαι· οὐδὲ γὰρ ἂν πάντως ἔλεγον τὸ μελιχρὸν ἐκεῖνο καὶ ἡδὺ στόμα τοῦ Συμεὼν διὰ πολλῆς σε οὕτω τῆς μνήμης ἦγεν, εἰ μή τις λανθάνων πλοῦτος ἀρετῶν ἐν σοὶ τεθησαύριστο.

Ἡ δὲ γνοῦσα ὡς ἄρα τὸν Ἅγιον τὸ κατ᾿ αὐτὴν οὐδὲν ἐλελήθει, ἀνακαλύπτει τοῖς ἀνδράσι καὶ μὴ βουλομένη τὰ πάντα, καί φησιν· ἐμὲ μέν, ἀδελφοί, πολὺν χρόνον θεῖος εἶχεν ἔρως κατὰ θέαν τοῦ θείου τούτου ἀνδρὸς ἀφικέσθαι, καὶ τῆς ἐν αὐτῷ τοῦ Πνεύματος χάριτος αὐτοῖς ὀφθαλμοῖς ἀπολαῦσαι. Ἐπειδὴ δὲ οὐκ ἐφεῖτο γυναιξὶν ἐπιβαίνειν τοῦ περιβόλου, δέον ᾠήθην κρύψαι τὴν φύσιν (εἰμὶ γὰρ γυνὴ) καὶ τὴν θέαν σοφίσασθαι· ἀλλ᾿ ἐπειδὴ καὶ γνώστης κρυφίων ὁ ἀνὴρ καὶ οὐδὲ οὕτως λαθεῖν ἔξεστιν, ἄπειμι λοιπὸν καὶ οὐκ ἀντιφθέγγομαι τῷ προστάγματι. Ἠξίωμαι γὰρ ἤδη τῆς εὐλογίας, οὐ δι᾿ ὧν ἔδοξα λαθεῖν, ἀλλ᾿ ἀφ᾿ ὧν ἑάλων τῆς χάριτος ἀπολαύσασα.

Τοιαῦτα τῆς χρηστῆς ἐκείνης γυναικὸς διεξελθούσης, ἐπὶ πλέον θαυμάσαντες τὸν ἄνδρα οἱ στρατιῶται, πρὸς τὰ οἰκεῖα ἕκαστος ἐπανίεσαν.

Ἑρμηνεία

ΚΑΠΟΙΑΝ γυναῖκα κάποτε κατέλαβε θεϊκὸς πόθος νὰ ἴδῃ μὲ τὰ μάτια της τὸν μέγαν Συμεὼν* καὶ νὰ ἀπολαύσῃ τὴν χάριν καὶ τὴν εὐλογίαν του. Διὰ τὴν ἐπιθυμίαν της ὅμως αὐτὴν ἦτο ἐμπόδιον ὁ περίβολος γύρω ἀπὸ τὸν στῦλον, ὁ ὁποῖος ἠμπόδιζε τὴν εἴσοδον εἰς τὰς γυναῖκας. Ἡ φιλάρετος ὅμως ἐκείνη γυναίκα, κυριευμένη ἀπὸ τὴν ἐπιθυμίαν τῆς καλῆς αὐτῆς ἀγάπης, ἐσκέπτετο συνεχῶς αὐτὸ τὸ πρᾶγμα.

Κάποτε λοιπὸν ἐπήγαιναν μερικοὶ στρατιῶται, διὰ νὰ ἴδουν τὸν Ἅγιον· τότε καὶ ἐκείνη ἐφόρεσε τὴν ἰδίαν μὲ ἐκείνους στολὴν καὶ ἤλλαξε τελείως τὴν ἐμφάνισίν της, ὥστε νὰ φαίνεται ὡς στρατιώτης. Ἔτσι μεταμφιεσμένη ἀπέφυγε κάθε ὑπόνοιαν καὶ ἀφοῦ ἀνέβηκεν εἰς τὸ ἄλογον,

---

* Πρόκειται περὶ τοῦ Ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου.

ἐπήγαινε μαζὶ μὲ τοὺς ἄλλους στρατιώτας καβάλλα τὸν ἴδιον δρόμον, ὅσον ἠμποροῦσε γρηγορώτερα.

Ὅταν δὲ ἔφθασαν εἰς τὸν περίβολον τοῦ στύλου, ἀφιππεύουν ἀπὸ τὰ ἄλογά των οἱ στρατιῶται καὶ τὰ ἀφήνουν εἰς τὴν γυναῖκα, ὡσὰν νὰ ἦτο κάποιος συστρατιώτης των, διότι δὲν εἶχε φανερωθῇ ἀκόμη ὅτι ἦτο γυνή. Ἐκείνη ἐδέχθη πρόθυμα τὴν φροντίδα αὐτήν, ἐπειδὴ καὶ αὐτὴ ἤθελε νὰ ἐπιτύχῃ τὰ ἴδια, καὶ νὰ τοὺς ἐμπιστευθῇ, μὲ τὴν σειράν της, τὸ ἄλογόν της, ὅταν θὰ ἐπέστρεφαν ἀπὸ τὴν ἐπίσκεψίν των εἰς τὸν Ἅγιον. Ἀφοῦ λοιπὸν οἱ στρατιῶται ἦλθον εἰς τὸν Ἅγιον καὶ ἐπέτυχον ἐκεῖνα ποὺ ἐπιθυμοῦσαν, τοὺς λέγει ὁ θεῖος Συμεών:

— Παρέμεινεν εἰς τὸν περίβολον κάποιος στρατιώτης ἀπὸ σᾶς· ὅταν λοιπὸν θὰ γυρίσετε κοντά του, νὰ τοῦ εἰπῆτε ὅτι ἡ προσευχὴ τῆς ψυχῆς σου ἀνέβη εἰς τὰ αὐτιὰ τοῦ Κυρίου καὶ σὲ εὐλόγησε Κύριος ὁ Θεός, ποὺ γνωρίζει καλὰ τὰς ἐνθυμήσεις καὶ τὰς σκέψεις τῶν καρδιῶν μας. Εἶσαι εὐλογημένος ἐνώπιον τοῦ Κυρίου καὶ ἐπειδὴ ἐτελείωσεν ὁ σκοπὸς τοῦ ταξιδιοῦ σου, μὴ φροντίσῃς νὰ ἔλθῃς ἕως ἐδῶ.

Μετὰ τοὺς λόγους αὐτοὺς τοῦ θαυμαστοῦ Συμεών, οἱ στρατιῶται, καθὼς ἐξήρχοντο ἀπὸ τὸν περίβολον, ἐθαύμαζον τὸν Ἅγιον διὰ τὴν προφητικήν του δύναμιν, ἀλλὰ καὶ τὸν δῆθεν στρατιώτην, ποὺ ἔμεινεν ὀπίσω, διὰ τὴν ἀρετήν του. Ἀφοῦ λοιπὸν ἐβγῆκαν ἀπὸ τὸν περίβολον, λέγουν μὲν εἰς τὸν νομιζόμενον στρατιώτην ὅσα διετάχθησαν, παρεκάλουν δὲ πάρα πολὺ τὴν μακαρίαν ἐκείνην γυναῖκα, ποὺ ἐφαίνετο ὡς στρατιώτης, νὰ τοὺς φανερώσῃ ποῖος ἦτο καὶ πόσον μεγάλα ἦσαν τὰ κατορθώματά του· διότι — ἔλεγον — οὐδέποτε τὸ μελιστάλακτον καὶ γλυκὸν ἐκεῖνο στόμα τοῦ Συμεών, δὲν θὰ σὲ ἀνέφερε τόσον πολύ, ἂν δὲν ἔχῃς εἰς τὰ ἀπόκρυφα τῆς ψυχῆς σου θησαυρισμένον κάποιον πλοῦτον ἀρετῶν.

Ἐκείνη τότε, ὅταν ἀντελήφθη, ὅτι τίποτα ἀπὸ ὅσα τὴν ἀφωροῦσαν δὲν ἐξέφυγε τὴν προσοχὴν τοῦ Ἁγίου, φανερώνει εἰς τοὺς ἄνδρας, καὶ χωρὶς νὰ τὸ θέλῃ, ὅλα καὶ τοὺς λέγει· ἀπὸ πολὺν καιρὸν μὲ εἶχε καταλάβει ἡ ἰσχυρὰ ἐπιθυμία νὰ ἔλθω νὰ ἴδω τὸν θεῖον τοῦτον ἄνδρα καὶ νὰ ἀπολαύσω μὲ τὰ ἴδια μου τὰ μάτια τὴν χάριν τοῦ Πνεύματος ποὺ κατοικεῖ εἰς αὐτόν. Ἐπειδὴ ὅμως δὲν ἐπετρέπετο εἰς τὰς γυναῖκας νὰ εἰσέλθουν εἰς τὸν περίβολον, ἐνόμισα ὅτι ἔπρεπε νὰ κρύψω τὸ γένος μου (διότι εἶμαι γυναίκα) καὶ νὰ μηχανευθῶ τρόπον νὰ τὸν ξεγελάσω. Ἀλλ' ἐπειδὴ ὁ Ἅγιος γνωρίζει ὅλας τὰς κρυφὰς σκέψεις καὶ δὲν ἦτο δυνατὸν νὰ ξεγελασθῇ φεύγω καὶ δὲν ἀντιλέγω εἰς τὴν διαταγήν του. Ἔχω ἄλλωστε ἀξιωθῆ νὰ πάρω τὴν εὐλογίαν του, ὄχι μὲ τὸν τρόπον ποὺ ἐνόμισα ὅτι θὰ τὸν ξεγελάσω, ἀλλ' ἀπήλαυσα τὴν χάριν ἐκείνων ποὺ ἐπεθύμησα, δηλαδή, νὰ ἴδω τὸν Ὅσιον.

Αὐτὰ διηγήθη ἡ καλὴ ἐκείνη γυναίκα καὶ ἀφοῦ οἱ στρατιῶται ἐθαύμασαν ἀκόμη περισσότερον τὸν Ἅγιον, ἐπέστρεψαν εἰς τὰ σπίτια των.

Ε΄. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Μαρτινιανοῦ

Ο ΑΓΙΟΣ Μαρτινιανὸς πολλοὺς χρόνους οἰκήσας τὴν ἔρημον καὶ πᾶν ἀρετῆς εἶδος κατωρθωκώς, ὕστερον ἐπηρείᾳ τοῦ πονηροῦ παραμικρὸν ἦλθε τοῦ κινδυνεῦσαι. Καὶ γὰρ γυναῖκα τινά, ἣν ὁ σατανᾶς εἰς τὸ πειράσαι τὸν δίκαιον ἐξήγειρε, δεξάμενος ἐν τῇ ἰδίᾳ κέλλῃ ὡς πλανωμένην ἐν τῇ νυκτί, ἵνα μὴ ἀπόληται, τοσοῦτον ὑπὸ τῶν αὐτῆς ἐρωτικῶν λόγων τὸν νοῦν ἐσαλεύθη, ὡς συγκαταθέσθαι τῇ ἁμαρτίᾳ, κἂν εὐθὺς ἐλέει Θεοῦ, τοῦ πάθους ἀνενεγκών, ἑαυτὸν ἀποτόμως ἐκόλασεν. Καὶ πυρὰν ὑφάψας ἐν τῷ μέσῳ αὐτῆς ἔστη ἐφ᾽ ἱκανὸν ὡς δεινῶς καταφλεχθῆναι τοὺς πόδας, καὶ οὕτω τῇ τοῦ πυρὸς καύσει τὸ τῆς ἐπιθυμίας ἔσβεσε πῦρ καὶ διέδρασε τὸν κίνδυνον.


Μέχρις οὖν ἑπτὰ μηνῶν ἐκεῖνος τῇ κέλλῃ προσκαρτερήσας, ἐπεὶ ἀδυνάτως εἶχε διὰ τὰς ἐκ τῆς καύσεως πληγάς, μετὰ τοῦτο τοῦ ἐκ τῶν πληγῶν πόνου λωφήσαντος, τῆς κέλλας ἀπαναστὰς καὶ πρὸς τῇ θαλάσσῃ γενόμενος, πέτραν τινὰ στενὴν προσωτέρω τῆς θαλάσσης καὶ μακρὰν ἀφεστῶσαν τῆς γῆς κατοικεῖ, ὑπὸ ναυκλήρου τινὸς εἰς ταύτην ὁδηγηθείς, ὃς εὐσεβὴς ὤν, καὶ τὴν ἀναγκαίαν χρείαν τῶν ἄρτων καὶ τὸ ὕδωρ αὐτῷ ἐχορήγει. Ἀλλὰ κἀκεῖ ὁ ἐχθρὸς πειρασμὸν αὐτῷ τοῦ προτέρου χείρονα ἐπανίστησιν.

Ἤδη γὰρ ἓξ ἐνιαυτῶν διελθόντων, ἐξ ὅτου ὁ Μαρτινιανὸς τὴν στενὴν πέτραν ἐκείνην ἀσκεπὴς ὅλως καὶ αἴθριος κατοικεῖν εἵλετο, καὶ τοῦ ἑβδόμου ἐνστάντος, πλοῖον τὸν τόπον διϊὸν ἀνδρῶν καὶ γυναικῶν πλῆρες, φυλάξας ὁ πονηρός, ἀνέμῳ τινὶ βιαίῳ προσαράσσει τῇ πέτρᾳ, καὶ αὐτὸ μὲν συνέτριψε παραχρῆμα, τοὺς ἐπιβάτας δὲ τοῖς ὕδασιν εὐθὺς ἀποπνίγει. Μία δέ τις κόρη, τὴν ὥραν ὑπερφυής, σανίδος ἐπιλαβομένη μιᾶς, καὶ τῆς πέτρας ἐν χρῷ γενομένη, ἀπηρτήθη τε αὐτῆς καὶ βοᾶν ἤρξατο, ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ, οἴκτειρον ἀπολλυμένην, ὄρεξον χεῖρα, πρόφθασον, ἤδη με ὁ βυθὸς λαμβάνει.

Ἰδὼν οὖν ὁ μακάριος ὡς ἐπὶ ξυροῦ ἡ ἀπώλεια καὶ ὅτι μηδαμόθεν αὐτῇ ἄλλοθεν σωτηρία, ὑπομειδιάσας, καὶ τοῦτο, ἔφη, τέχνη σή, πονηρέ· ἀλλ᾽ οὐ νικήσεις αὐτὸς τὴν δύναμιν τοῦ Χριστοῦ, ἐφ᾽ ᾧ περ ἐγὼ πέποιθα. Καὶ εὐθὺς εἰς οὐρανὸν ἀποβλέψας, Κύριε, Κύριε, ἔφη, εἰς ὃν ἐγὼ πέποιθα, μὴ ἐάσῃς με ἀπολέσθαι τὸν τὴν κινδυνεύουσαν σῶσαι βουλόμενον, ἀλλὰ τὸ συμφέρον αὐτῆς μοι κατὰ ψυχὴν οἰκονόμησον.

Οὕτως εἰπών, ὀρέγει τῇ γυναικὶ χεῖρα καὶ ἀνάγει τοῦ ὕδατος· ἐπεὶ δὲ καὶ εἰς ὄψιν αὐτῆς ἀπεῖδε, καὶ ὅπως περικαλλὴς ἔγνω, ἀληθῶς γε, ἔφη, οὐ συμφωνήσει χόρτος καὶ πῦρ, οὐ δυνατὸν ἐμὲ καὶ σὲ κοινὰς ἔχειν διατριβάς, ἐπεὶ σῆψις ἐν ἀμφοτέροις διὰ τοῦ πονηροῦ ἔσται. Σὺ τοίνυν ὑπόμεινον ἐνταῦθα καὶ μηδὲν δειλιάσῃς· ἔστι γὰρ καὶ ἄρτος καὶ ὕδωρ ἄχρις ἂν ἔλθῃ ὁ ναύκληρος, ὃς τὰ τῆς χρείας μοι κομίζειν εἰώθει· ὅταν δὲ καὶ ἀφίκοιτο, διασάφησον αὐτῷ τὸ συμβεβηκός, κἀκεῖνος ἀπάξει σε τῶν ἐνταῦθα καὶ εἰς τὴν πόλιν τὴν σὴν τὸ λοιπὸν πορεύσῃ.

Οὕτως εἰπὼν τὸ σημεῖον τοῦ σταυροῦ τοῖς ὕδασιν ἐπιβάλλει, ὁ Θεός, ἐπευξάμενος, οὗ τῇ ἐπιτιμήσει θάλασσά τε καὶ ἄνεμοι ὑπακούουσιν, ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ μὴ ἐάσῃς ἀπολέσθαι· ἰδοὺ γὰρ ἐπὶ τῷ ὀνόματί σου τῷ φοβερῷ τοῖς ὕδασιν ἐμαυτὸν ἐπιτρέπω, κρίνας οὕτως ἀπολέσθαι μᾶλλον ἢ πάθει σώματος ἁλῶναι. Εἶτα καὶ


Ο ΟϹΙΟϹ ΜΑΡΤΙΝΙΑΝΟϹ
Ράλλης Κοψίδης 63

πρὸς τὴν κόρην ἐπιστραφεὶς καὶ σωτηρίαν αὐτῇ ψυχῆς διευξάμενος, καθῆκεν ἑαυτὸν τῇ θαλάσσῃ· δύο δὲ παραχρῆμα δελφῖνες ἑαυτοὺς ὑποθέντες καὶ ἀσφαλῶς τὸν ἄνδρα τοῖς νώτοις διαβαστάσαντες, ἐξάγουσι τῶν ὑδάτων.

Ὡς δὲ καὶ τῆς γῆς ἀπέβη ὁ ὅσιος, εὐχαριστήσας τῷ Θεῷ τῆς παραδόξου ταύτης ἐκκομιδῆς, εἶθ' οὕτω λογισμοῖς ἐδίκαζε μαχομένοις καὶ τί ποιητέον ἐσκόπει, οὔτε γάρ, φησιν, ἐν τοῖς ὄρεσιν οὔτε μὴν ἐν τοῖς ὕδασιν ἀφίησιν ἠρεμεῖν ὁ ἐχθρός. Καλὸν οὖν πείθεσθαι κελεύοντι τῷ Χριστῷ, διωκομένους ἀπὸ τῆς δε τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν. Καὶ οὕτως εἰπὼν φυγῇ ἐχρήσατο λέγων· φεῦγε Μαρτινιανέ, μή σε πειρασμὸς καταλάβῃ, φεῦγε, ταπεινὲ μοναχέ· καὶ οὕτω διετέλει φεύγων, μέχρι τῆς ἐσχάτης αὐτοῦ ἀναπνοῆς.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Μαρτινιανὸς ὕστερα ἀπὸ πολλὰ χρόνια, ποὺ κατώκησεν εἰς τὴν ἔρημον καὶ κατώρθωσεν ὅλας τὰς ἀρετάς, ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ ἐκινδύνευσε πάρα πολὺ νὰ ἁμαρτήσῃ. Μίαν νύκτα δηλαδὴ ἐδέχθη νὰ φιλοξενήσῃ εἰς τὸ κελλί του μίαν γυναῖκα, ποὺ περιεπλανᾶτο τάχα εἰς τὴν ἔρημον διὰ νὰ μὴ χαθῇ· αὐτὴν λοιπὸν ἐξεσήκωσεν ὁ Σατανᾶς διὰ νὰ πειράξῃ τὸν δίκαιον. Τόσον πολὺ δὲ ἐσαλεύθη ὁ νοῦς του ἀπὸ τὰ ἐρωτικὰ λόγια της, ὥστε νὰ συγκατατεθῇ νὰ ἁμαρτήσῃ· τὴν τελευταίαν ὅμως στιγμὴν συνῆλθεν ἀπὸ τὸ πάθος, μὲ τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ἐτιμώρησεν αὐστηρὰ τὸν ἑαυτόν του. Ἄναψε φωτιὰν καὶ ἐστάθη ἀρκετὴν ὥραν μέσα εἰς αὐτήν, ὥστε νὰ κατακαοῦν φρικτὰ τὰ πόδια του, καὶ ἔτσι μὲ τὸ κάψιμο τῆς φωτιᾶς ἔσβυσε τὴν φλόγα τῆς ἐπιθυμίας καὶ ἐξέφυγε τὸν κίνδυνον.

Παρέμεινε λοιπὸν ἑπτὰ μῆνας εἰς τὸ κελλί του, ἐπειδὴ ἦτο ἀδύνατον νὰ περιπατήσῃ ἀπὸ τὰ ἐγκαύματα. Ὅταν ἐμετριάσθη ὁ πόνος ἀπὸ τὰς πληγάς, ἐβγῆκεν ἔξω ἀπὸ τὸ κελλί του καὶ ἐπῆγεν εἰς τὴν ἀκροθαλασσιάν, ἀπὸ ὅπου κάποιος εὐσεβὴς ναυτικὸς τὸν ὡδήγησε σὲ κάποιον στενὸν βράχον, μακρὰν ἀπὸ τὴν ξηρὰν καὶ κατώκησεν ἐκεῖ. Ὁ ναυτικὸς αὐτὸς τοῦ ἐπήγαινε τὸ ἀπαραίτητον νερὸν καὶ ἄρτον. Καὶ ἐκεῖ ὅμως ὁ ἐχθρὸς τοῦ ξεσηκώνει ἕνα πειρασμόν, χειρότερον ἀπὸ τὸν πρῶτον.

Εἶχαν περάσει ἤδη ἓξ χρόνια ἀπὸ τότε ποὺ ὁ Μαρτινιανὸς ἀπεφάσισε νὰ κατοικήσῃ εἰς ἐκεῖνον τὸν στενὸν βράχον καὶ νὰ παραμένῃ τελείως εἰς τὸ ὕπαιθρον. Ὅταν ἔφθασεν εἰς τὸν ἕβδομον χρόνον, παρεφύλαξεν ὁ πονηρὸς κάποιο πλοῖον, ποὺ ἐπερνοῦσε κοντά, γεμᾶτον ἄνδρας καὶ γυναῖκας· ἔξαφνα, μὲ ἕνα βίαιον ἄνεμον ποὺ ἐξεσήκωσε, τὸ παρέσυρεν ἐπάνω εἰς τὸν βράχον, ἐτσάκισεν ἀμέσως τὸ πλοῖον καὶ ἔπνιξε τοὺς ἐπιβάτας εἰς τὴν θάλασσαν. Μόνον μία κόρη, πολὺ νέα, ἥρπασε μίαν σανίδα καὶ ἐπλησίασε πρὸς τὸν βράχον· ἐπιάσθηκεν ἀπὸ κάπου καὶ ἤρχισε νὰ φωνάζῃ:

—Ἐλέησέ με, δοῦλε τοῦ Θεοῦ· λυπήσου με, διότι χάνομαι· δός μου τὸ χέρι σου, πρόφθασε, διότι ἤδη πνίγομαι.

Μόλις εἶδεν ὁ μακάριος ὅτι παρὰ τρίχα θὰ ἐχάνετο ἡ νέα καὶ ὅτι ἀπὸ πουθενὰ ἀλλοῦ δὲν ὑπῆρχε δι' αὐτὴν σωτηρία, ἐχαμογέλασε· καὶ αὐτὸ δικό σου τέχνασμα — εἶπε — εἶναι, πονηρέ· ἀλλὰ δὲν θὰ νικήσῃς σὺ τὴν δύναμιν τοῦ Χριστοῦ, εἰς τὸν Ὁποῖον ἐγὼ ἔχω ἐμπιστοσύνην. Ἀμέσως τότε ὕψωσε τὸ βλέμμα του εἰς τὸν οὐρανόν, καὶ προσηυχήθη· Κύριε, Κύριε — εἶπε — εἰς τὸν ὁποῖον ἔχω ἐμπιστευθῆ τὸν ἑαυτόν μου, μὴ μὲ ἀφήσῃς νὰ χαθῶ, ἐνῷ θέλω νὰ σώσω τὴν νέαν ποὺ κινδυνεύει, ἀλλ' οἰκονόμησε τὰ συμφέροντα εἰς αὐτὴν καὶ εἰς τὴν ψυχήν μου.

Μετὰ ἀπὸ τὴν προσευχὴν αὐτὴν ἁπλώνει τὸ χέρι του πρὸς τὴν νέαν καὶ τὴν ἀνασύρει ἀπὸ τὴν θάλασσαν. Ἀφοῦ δὲ τὴν ἐκοίταξεν εἰς τὸ πρόσωπον καὶ εἶδεν ὅτι ἦτο ὡραία, εἶπε· πραγματικὰ δὲν θὰ ταιριάσουν ἡ φωτιὰ καὶ τὸ χορτάρι· δὲν εἶναι δυνατὸν ἐσὺ καὶ ἐγὼ νὰ μένωμεν εἰς τὸ ἴδιον μέρος, ἐπειδὴ θὰ μᾶς καταστρέψῃ καὶ τοὺς δύο ὁ πονηρός. Σὺ λοιπὸν μεῖνε ἐδῶ καὶ μὴ φοβηθῇς καθόλου· ὑπάρχει ψωμὶ καὶ νερό, μέχρις ὅτου ἔλθῃ ὁ ναυτικός, ποὺ συνηθίζει νὰ μοῦ φέρνῃ αὐτὰ ποὺ μοῦ χρειάζονται. Ὅταν θὰ ἔλθῃ, νὰ τοῦ διηγηθῇς ὅσα συνέβησαν καὶ ἐκεῖνος θὰ σὲ πάρῃ ἀπ' ἐδῶ καὶ θὰ ὑπάγῃς ἔπειτα εἰς τὴν πόλιν σου.

Ὕστερα ἀπὸ τὰ λόγια αὐτὰ ἐσταύρωσε τὴν θάλασσαν καὶ προσηυχήθη πάλιν· Θεέ μου, εἰς τὴν διαταγὴν τοῦ Ὁποίου ὑπακούουν θάλασσα καὶ ἄνεμοι, ἐπίβλεψε καὶ εἰς ἐμὲ καὶ μὴ μὲ ἀφήσῃς νὰ χαθῶ, διότι εἰς τὸ Ὄνομά Σου, τὸ φοβερόν, παραδίδω τὸν ἑαυτόν μου εἰς τὰ ὕδατα καὶ ἐπροτίμησα νὰ χαθῶ καλύτερα μὲ αὐτὸν τὸν τρόπον, παρὰ νὰ κυριευθῶ ἀπὸ σωματικὸν πάθος. Ἔπειτα ἐξαναγύρισε πρὸς τὴν νέαν καὶ ἀφοῦ ηὐχήθη τὴν σωτηρίαν τῆς ψυχῆς της, ἔπεσεν εἰς τὴν θάλασσαν· ἀμέσως δὲ δύο δελφίνια ἐχαμήλωσαν κάτω ἀπὸ αὐτόν, ἐκράτησαν γερὰ τὸν Ἅγιον εἰς τὴν πλάτην των καὶ τὸν ἔβγαλαν ἀπὸ τὴν θάλασσαν!

Μόλις ὁ Ὅσιος ἀπεβιβάσθη εἰς τὴν ξηράν, ηὐχαρίστησε τὸν Θεὸν διὰ τὴν θαυμαστὴν αὐτὴν σωτηρίαν του. Κατόπιν ἐσκέπτετο τί νὰ κάμῃ, διότι οἱ λογισμοί του ἀντιπολεμοῦσαν μεταξύ των. Οὔτε εἰς τὰ βουνὰ — ἐμονολογοῦσεν — οὔτε εἰς τὴν θάλασσαν μὲ ἀφήνει νὰ ἡσυχάσω ὁ ἐχθρός. Καλὰ λοιπὸν εἶναι νὰ ὑπακούσω εἰς τὸν Χριστόν, ποὺ μᾶς παραγγέλλει, ὅταν μᾶς διώκουν ἀπὸ μίαν πόλιν, νὰ φεύγωμεν εἰς τὴν ἄλλην (Ματθ. ι', 23). Ἀφοῦ εἶπεν αὐτά, ἔφυγε. Φεῦγε Μαρτινιανέ, — ἔλεγε — διὰ νὰ μὴ σὲ συλλάβῃ πειρασμός, φεῦγε, ταπεινὲ μοναχέ. Ἔτσι δὲ ἐπέρασε τὴν ὑπόλοιπον ζωήν του, μέχρι τῆς τελευταίας του ἀναπνοῆς, μὲ τὸ νὰ φεύγῃ ἀπὸ τόπου εἰς τόπον*.

---

* Φεύγων ὁ Ὅσιος Μαρτινιανὸς ἀπὸ τόπου εἰς τόπον ἔφθασε τέλος καὶ εἰς τὰς Ἀθήνας, ἔνθα καὶ ἐτελειώθη κατὰ τὴν ἰδίαν ἐκείνην ἡμέραν τῆς ἐνταῦθα ἀφίξεώς του καὶ δὴ ἐν τῷ Ἱερῷ Ναῷ τῶν Εἰσοδείων τῆς Θεοτόκου τῆς ἐπιλεγομένης Καπνικαρέας. (Βλέπε περὶ τοῦ Ἁγίου τούτου ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος Β' σελ. 316)

ΣΤ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου

ΠΕΡΙ τὸν Κάνωπον τοῦ Μεγάλου Ἀρσενίου διατρίβοντος (ἓν δὲ καὶ τοῦτο τῶν ἑπτὰ στομάτων τοῦ Νείλου), ἀφίκετό τις ἀπὸ Ρώμης συγκλητική, σφόδρα μὲν πλουσία, σφόδρα δὲ καὶ θεοφιλής. Σκοπὸς δὲ αὐτῇ τῆς ἀφίξεως Ἀρσένιον κατιδεῖν, καὶ ἅμα μὲν ὠφελείας αὐτὴν τυχεῖν, ἅμα δὲ κἀκεῖνον φιλοφροσύναις ταῖς κατὰ Θεὸν δεξιώσασθαι. Αὕτη τὸν Ἀρχιεπίσκοπον Θεόφιλον ὑποδεξάμενον αὐτὴν καὶ ξενίσαντα, ἐμμελῶς ἠξίου πεῖσαι τὸν Ἅγιον ὀφθαλμῶν αὐτὴν ἀξιῶσαι τῶν ἑαυτοῦ.

Ὁ μὲν οὖν ἀπῄει καὶ προσελθὼν ἠξίου λίαν θερμῶς, ὁ δὲ οὐκ ἠνείχετο, καίτοι τοῦ Ἀρχιεπισκόπου, πρὸς τοῖς ἄλλοις οἷς προέτεινε εἰς πειθώ, καὶ τὸν πόνον τῆς μακρᾶς ἐκείνης ὁδοῦ προστεθεικότος, καὶ κάμπτειν οὕτω πειρωμένου τὸν Ἀρσένιον, οὐκ ἤνεγκε τοῦτο ἡ συγκλητικὴ μαθοῦσα· ἠρέθιζε γὰρ αὐτὴν ἥ τε πίστις ἡ πρὸς τὸν ὅσιον καὶ ὁ πόθος. Ἀμέλει καὶ κόπου καὶ αἰδοῦς καὶ πάντων ὑπεριδοῦσα, τῆς πρὸς αὐτὸν ὁδοῦ εἴχετο, θεάσασθαι βουλομένη.

Προσελθοῦσα γοῦν ἔξω τῆς κέλλης διάγοντι τῷ Ἁγίῳ, προκαταβάλλει ἑαυτὴν τοῖς ποσὶν ἐκείνου· καὶ ὃς ἀνίστησι μετ᾽ ὀργῆς καὶ προσχών, εἰ τὸ πρόσωπόν μου, ἔφη, θέλεις ὁρᾶν, ὅρα τοῦτο. Τὴν δὲ δέος σὺν αἰδοῖ κατασχόν, μηδὲ ἀτενίσαι ὅλως μεθῆκεν αὐτήν.

Εἶτα πάλιν προσθείς, οὐκ ἤκουσας, ἔφη, τὰ ἔργα δήπουθεν τὰ ἐμά, καὶ διὰ ταῦτα ἐπόθησας ἐλθεῖν πρὸς ἡμᾶς; πῶς δὲ καὶ ἐθάρσησας τοσοῦτον τε ὑπομεῖναι πλοῦν, κἀνταῦθα καταλαβεῖν; οὐκ οἶσθα ὅτι γυνὴ εἶ καὶ οὔ σοι θεμιτὸν αἱ ἔξοδοι; Ἀλλὰ τοῦτό σοι ἐπὶ νοῦν ἦλθεν ὡς ἔοικε τὸ ἐπανελθεῖν αὖθις εἰς Ρώμην καὶ δῆλον καὶ ταῖς ἄλλαις γυναιξὶ θέσθαι, ὅτι τεθέαμαι τὸν Ἀρσένιον· τὸ δὲ ἐντεῦθεν ἔμπλεων γυναικῶν θεῖναι τὴν θάλασσαν πρὸς ἡμᾶς φοιτᾶν οὐδέποτε παυομένων.

Ἡ δέ, οὐκ ἐάσω, Πάτερ, ἔφη, τοῦ Θεοῦ μοι συμπράττοντος, οὐδὲ μίαν ἐνταῦθα τῶν γυναικῶν ἀφικέσθαι, ἀλλ᾽ αὐτὸς ὑπερεύχεσθαί μου καὶ μνημονεύειν μὴ διαλείποις. Καὶ ὅς, εὔχομαι τῷ Θεῷ, εἶπε, μᾶλλον τῆς ἐμῆς καρδίας τὴν σὴν ἀπαλειφθῆναι μνήμην.

Τοῦτον ἀκούσασαν ἐκείνην πλείστη περιέσχε βαρυθυμία, πυρετός τε αὐτῆς καθίκετο, καὶ πρὸς Ἀλεξάνδρειαν ὑποστρέφειν ἔγνω, ὅπερ ἐπεὶ εἰς ἀκοὰς ἦλθε τῷ Ἐπισκόπῳ, πρὸς ἐπίσκεψιν αὐτῆς ὡς τάχος ἐφοίτα.

Εἶτα καὶ τὴν αἰτίαν, ἥτις εἴη τῆς νόσου, ἐρόμενος καὶ μαθών, πράως αὐτὴν ὑπῄει καὶ ὁμαλῶς, οὐκ ἔδει σε, λέγων, ἐφ᾽ οἷς ἤκουσας, οὕτως ἀνιαθῆναι· οὐδὲ γὰρ ἀπεχθείας οἱ λόγοι, ἀλλ᾽ ἀσφαλείας ἀκραιφνεστάτης, ἐπεὶ μηδὲ σὺ ἀγνοεῖς οἵους σύνηθες τῷ πονηρῷ πολέμους διὰ γυναικῶν ἐγείρειν τοῖς Θεῷ δουλεύειν προελομένοις. Ὅπερ οὖν ἔφη σοι ὁ γέρων, διὰ τοῦτο ἔφη· ἐπεὶ ἐκεῖνος οὐ παύσεται, οὐ μενοῦν τῆς σῆς ψυχῆς, ἀλλὰ καὶ πάντων τῶν Χριστιανῶν ἀδιαλείπτως ὑπερευχόμενος. Τούτοις ἡ γυνὴ τοῖς λόγοις ἰασθεῖσα τὴν λύπην, οἴκαδε ἐπανῄει.

Ἑρμηνεία

ΟΤΑΝ ὁ Μέγας Ἀρσένιος ἔμενε κοντὰ εἰς τὸν Κάνωπον (ἕνα

ἀπὸ τὰ ἑπτὰ στόμια τοῦ Νείλου)*, ἦλθεν ἀπὸ τὴν Ρώμην κάποια Συγκλητική**, πάρα πολὺ πλουσία καὶ θεοσεβής, διὰ νὰ γνωρίσῃ τὸν Ὅσιον καὶ νὰ τὸν τιμήσῃ μὲ κατὰ Θεὸν φιλοφροσύνας. Τὴν συγκλητικὴν αὐτὴν ὑπεδέχθη καὶ ἐφιλοξένησεν ὁ Ἀρχιεπίσκοπος Θεόφιλος***, τὸν ὁποῖον παρεκάλει ἐπίμονα νὰ πείσῃ τὸν Ἅγιον νὰ τῆς ἐπιτρέψῃ νὰ τὸν ἴδῃ.

Ὁ Ἀρχιεπίσκοπος ἐπῆγε, πραγματικά, καὶ τὸν παρεκάλει ἐπιμόνως. Ἐκεῖνος ὅμως δὲν ἤθελε νὰ ἀκούσῃ τίποτα, ἂν καὶ ὁ Ἀρχιεπίσκοπος, διὰ νὰ τὸν πείσῃ, ἐπρόσθεσεν, ἐκτὸς τῶν ἄλλων, καὶ τὸν κόπον ἀπὸ τὸ μῆκος τῆς μεγάλης ὁδοῦ· μὲ αὐτὰ δὲ προσπαθοῦσε νὰ πείσῃ τὸν Ἀρσένιον. Ὅταν δὲ ἔμαθεν αὐτὸ ἡ Συγκλητικὴ ἐστενοχωρήθη· διότι τὴν ἐπαρακινοῦσαν καὶ ἡ εὐλάβεια ποὺ ἔτρεφε πρὸς τὸν Ὅσιον καὶ ὁ πόθος, χάριν τῶν ὁποίων παρέβλεψε, πραγματικά, καὶ κόπον καὶ ἀξιοπρέπειαν καὶ ὅλα καὶ ἐπῆρε τὸν δρόμον ποὺ θὰ τὴν ἔφερε πρὸς αὐτόν, ἐπειδὴ ἤθελε νὰ τὸν ἴδῃ.

Ἦλθε λοιπὸν καὶ συνήντησε τὸν Ἅγιον ἔξω ἀπὸ τὸ κελλί του, καὶ ἔπεσεν εἰς τὰ πόδια του. Ὁ Ἅγιος τὴν ἐσήκωσε θυμωμένος καὶ ἀφοῦ τὴν ἐκοίταξε καλά, τῆς εἶπε:

—Ἂν θέλῃς νὰ ἴδῃς τὸ πρόσωπόν μου, βλέπε το.

Ἐκείνη τότε κατελήφθη ἀπὸ φόβον καὶ ἐντροπὴν καὶ οὔτε ἁπλῶς νὰ τὸν κοιτάξῃ δὲν ἠμπόρεσεν.

Ἐν συνεχείᾳ προσέθεσεν ὁ Ἅγιος:

— Δὲν ἐπληροφορήθης τὰ ἔργα μου ἀπὸ πουθενὰ καὶ δι' αὐτὸ ἐπεθύμησες νὰ ἔλθῃς κοντά; Πῶς ἐπῆρες τὸ θάρρος νὰ ἐπιχειρήσῃς τόσον μακρινὸν ταξίδι καὶ νὰ ἔλθῃς ἐδῶ; Δὲν γνωρίζεις ὅτι εἶσαι γυναίκα καὶ δὲν σοῦ ἐπιτρέπεται νὰ κάμνῃς τέτοια ταξίδια; Ἀλλ' ὅπως φαίνεται ἔβαλες εἰς τὸν νοῦν σου νὰ ἐπανέλθῃς πάλιν εἰς τὴν Ρώμην καὶ νὰ

* Ὁ Νεῖλος ποταμὸς εἶναι ὁ μεγαλύτερος ποταμὸς τῆς Ἀφρικῆς καὶ ὁ δεύτερος ποταμὸς τῆς γῆς εἰς μῆκος (πρώτου ὄντος τοῦ Μισσισιπῆ 6.950 χλμ.). Πηγάζει ἀπὸ τὴν λίμνην Βικτωρίαν Νυάνζαν τῆς Κεντρικῆς Ἀφρικῆς καὶ ἀφοῦ διατρέξῃ 6.500 χιλιόμετρα χύνεται εἰς τὴν Μεσόγειον θάλασσαν. Κατὰ τὴν διαδρομήν του δέχεται τὰ ὕδατα καὶ ἄλλων μεγάλων ποταμῶν καὶ παραποτάμων. Ἀπὸ τὸ Κάϊρον καὶ κάτω ὁ Νεῖλος χωρίζεται εἰς πολλοὺς βραχίονας, οἱ ὁποῖοι σχηματίζουν τὸ περίφημον δέλτα τοῦ Νείλου, καὶ τέλος χύνεται εἰς τὴν Μεσόγειον θάλασσαν δι' ἑπτὰ στομίων. Ἓν ἀπὸ τὰ στόματα αὐτὰ εἶναι ὁ Κάνωπος. (Βλέπε καὶ ὑποσημ. τῆς σελ. 59 τοῦ Α' Τόμου).

** Σύζυγος δηλαδὴ Ρωμαίου συγκλητικοῦ. Συγκλητικοὶ δὲ ὠνομάζοντο τὰ μέλη τῆς Ρωμαϊκῆς Συγκλήτου, ἡ ὁποία ἦτο τὸ ἀνώτερον νομοθετικὸν σῶμα τοῦ Ρωμαϊκοῦ κράτους, ἡ Γερουσία ὅπως θὰ ἐλέγαμεν σήμερον περίπου.

*** Θεόφιλος Α' πατριάρχης Ἀλεξανδρείας πατριαρχεύσας κατὰ τὰ ἔτη 385—412 μ.Χ. Ἦτο θεῖος τοῦ διαδόχου του Πατριάρχου Κυρίλλου Α' καὶ σύγχρονος τοῦ Μεγάλου Ἀρσενίου, ὁ ὁποῖος ἔζησε κατὰ τὰ ἔτη 350—445 μ.Χ. (βλ. ὑποσημείωσιν τῆς σελ. 286 καὶ τῆς σελ. 347 τοῦ ἀνὰ χεῖρας τόμου).

γνωστοποιήσης καὶ εἰς τὰς ἄλλας γυναῖκας, ὅτι εἶδα τὸν Ἀρσένιον, καὶ μὲ αὐτὸ νὰ γεμίσῃς τὴν θάλασσαν ἀπὸ γυναῖκας, αἱ ὁποῖαι δὲν θὰ παύσουν συνεχῶς νὰ μᾶς ἐπισκέπτωνται.

Ἡ γυναίκα ἐκείνη (ἡ συγκλητικὴ) τοῦ ἀπήντησε:

—Μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, Πάτερ, δὲν θὰ ἀφήσω νὰ ἔλθῃ ἐδῶ οὔτε μία γυναίκα· ἀλλὰ σὺ (σὲ παρακαλῶ) μὴ παύσῃς νὰ προσεύχεσαι εἰς τὸν Θεὸν δι' ἐμὲ καὶ νὰ μὲ μνημονεύῃς.

Καὶ ἐκεῖνος τῆς εἶπε πάλιν:

—Ἀντιθέτως· θὰ παρακαλῶ τὸν Θεὸν νὰ σβύσῃ ἀπὸ τὴν καρδίαν μου ἡ ἐνθύμησίς σου.

Μόλις τὸ ἤκουσεν αὐτὸ ἐκείνη, κατελήφθη ἀπὸ μεγάλην λύπην καὶ τὴν κατέλαβε πυρετός· ἔσπευσε δὲ νὰ ἐπιστρέψῃ εἰς τὴν Ἀλεξάνδρειαν. Ὅταν ἔμαθεν αὐτὸ τὸ πρᾶγμα ὁ Ἐπίσκοπος, ἔτρεξεν ἀμέσως νὰ τὴν ἐπισκεφθῇ. Ἀφοῦ δὲ ἔμαθε ποία ἦτο ἡ αἰτία τῆς ἀσθενείας της, ἤρχισε νὰ τὴν παρηγορῇ μὲ καλὸν καὶ ἤρεμον τρόπον. Δὲν ἔπρεπε — τῆς εἶπε — νὰ λυπηθῇς τόσον πολὺ δι' ὅσα ἤκουσες, διότι τὰ λόγια αὐτὰ δὲν προέρχονται ἀπὸ μῖσος, ἀλλὰ ἀπὸ καθαρὰν διάθεσιν (πνευματικῆς) ἀσφαλείας. Ἄλλωστε οὔτε καὶ σὺ ἀγνοεῖς ποίους πολέμους συνηθίζει νὰ ξεσηκώνῃ ὁ πονηρός, μὲ τὰς γυναῖκας, ἐναντίον ἐκείνων, οἱ ὁποῖοι ἀπεφάσισαν νὰ δουλεύσουν τὸν Θεὸν ὡς Μοναχοί. Ὅσα σοῦ εἶπε λοιπὸν ὁ Γέρων, δι' αὐτὸ τὰ εἶπε· διότι ἐκεῖνος δὲν θὰ παύσῃ νὰ προσεύχεται ἀδιαλείπτως ὄχι μονάχα διὰ τὴν ψυχήν σου, ἀλλὰ καὶ δι' ὅλους τοὺς Χριστιανούς.

Μὲ αὐτοὺς τοὺς λόγους παρηγορήθη ἡ γυναίκα διὰ τὴν λύπην της καὶ ἐπέστρεψεν εἰς τὴν πατρίδα της.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ἐὰν ἐξέλθῃ ἀδελφὸς εἰς διακονίαν καὶ συναντήσῃ αὐτῷ γυνὴ κατὰ τὴν ὁδόν, πῶς δύναται φυγεῖν τὸν πόλεμον τῆς πορνείας; Καὶ ἀπεκρίθη ὁ γέρων· τὸν πόλεμον ἴσως οὐ δύναται φυγεῖν, τὴν δὲ πρᾶξιν δύναται ἐκφυγεῖν, ἐὰν σιωπήσῃ τὴν ὥραν τῆς ἀπαντήσεως. Ὥς περ γὰρ τὸ πυρέκβολον συγκρουόμενον μετὰ τοῦ θειαφίου ἐκβάλλει τὸ πῦρ, οὕτως ἡ λαλιὰ τῆς γυναικὸς συγκρουομένη μετὰ ἀνδρὸς τὴν ἁμαρτίαν ἐργάζεται.

2. Εἶπεν ὁ Ἀββᾶς Ἰσαάκ· μὴ καταδέχθητε οἱ μοναχοὶ συνοικεῖν μετὰ παιδίων· τέσσαρες γὰρ Ἐκκλησίαι εἰς σκῆτιν ἔρημοι γεγόνασι διὰ τὰ παιδία.

3. Εἶπε γέρων, ὅτι παιδίον βάλλον τὸν λόγον αὐτοῦ μεταξὺ τῶν μειζοτέρων αὐτοῦ, ὅμοιόν ἐστιν ἀνθρώπῳ ῥίπτοντι πῦρ ἐν τῷ κόλπῳ τοῦ ἀδελφοῦ αὐτοῦ.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Ἂν ἕνας Μοναχὸς μεταβαίνῃ δι' ὑπηρεσίαν καὶ τὸν συναντήσῃ γυναίκα εἰς τὸν δρόμον του, πῶς ἠμπορεῖ νὰ ἀποφύγῃ τὸν πόλεμον τῆς πορνείας;

Ὁ Γέρων τοῦ ἀπεκρίθη:

— Τὸν πόλεμον ἴσως δὲν ἠμπορεῖ νὰ τὸν ἀποφύγῃ· τὴν πρᾶξιν ὅμως ἠμπορεῖ νὰ ἀποφύγῃ, ἂν δὲν ὁμιλήσῃ τὴν ὥραν τῆς συναντήσεως. Διότι ὅπως ἡ τσακμακόπετρα, ὅταν συγκρουσθῇ μὲ τὸ θειάφι, βγάζει τὴν φωτιάν, ἔτσι καὶ ἡ ὁμιλία τῆς γυναίκας, ὅταν συναντηθῇ μὲ ἄνδρα, ἑτοιμάζει τὴν ἁμαρτίαν.

2. Ὁ Ἀββᾶς Ἰσαὰκ εἶπε· μὴ δέχεστε καθόλου οἱ Μοναχοὶ νὰ μένετε στὸ ἴδιον κελλὶ μὲ παιδιά· διότι τέσσαρες Ἐκκλησίαι ἐρημώθησαν εἰς τὴν σκήτην διὰ τὰ παιδιά.

3. Ἕνας Γέρων εἶπε · παιδὶ ποὺ συνομιλεῖ μεταξὺ τῶν μεγαλυτέρων του, ὁμοιάζει μὲ ἄνθρωπον ποὺ ρίπτει φωτιὰν εἰς τὸν κόλπον τοῦ ἀδελφοῦ του.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ἐὰν διαλέγῃ πρὸς ἡλικίαν νεάζουσαν καὶ τῇ εὐχροίᾳ ἐπανθοῦσαν, τήρει τὸν ὀφθαλμόν, μήποτε ἡ ἐπιθυμία ἐπιθολώσῃ σου τὸν νοῦν καὶ ἄρξῃ ἀποτείνειν λόγους ἐμπαθεῖς, καὶ εὑρεθῇς ἄκροις μὲν χείλεσι περὶ σωφροσύνης ὁμιλῶν, ἀσελγαίνων δὲ τῇ ψυχῇ. Ἀλλ' ὅταν ἐμπέσῃ σοι τοιαύτη ὁμιλία, τὰ πλείονα κάτω νεύων διαλέγου, καὶ διὰ συντόμου τὸν λόγον ἀποτεμών, ἐπιλαβοῦ τῆς σιωπῆς. Φησὶ γὰρ ἡ γραφή· ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, ἂν συνομιλῇς μὲ νεαρὸν ἄνθρωπον ποὺ λάμπει ἀπὸ τὴν ὡραιότητα τῆς νεότητος, πρόσεχε τὸν ὀφθαλμόν σου μὴ τυχὸν ἡ ἐπιθυμία σου θολώσῃ τὸν νοῦν καὶ ἀρχίσῃς νὰ ἀπευθύνῃς λόγια ἐμπαθῆ· ἔτσι θὰ καταντήσῃς νὰ ὁμιλῇς μὲ τὰ χείλη σου περὶ σωφροσύνης, ἐνῷ στὴν ψυχήν σου θὰ ἀσελγαίνῃς. Ὅταν σοῦ τύχῃ μία τέτοια ὁμιλία, νὰ συνομιλῇς μὲ τὰ μάτια χαμηλωμένα κάτω καὶ ἀφοῦ τελειώσῃς σύντομα τὴν συνομιλίαν, νὰ ἐπαναλάβῃς καὶ πάλιν τὴν σιωπήν. Διότι ἡ Ἁγία Γραφὴ λέγει· ἀπεπλάνησε τὸν ἑαυτόν του μὲ πολλὴν ὁμιλίαν (Παροιμ. ζ', 21).

Θ'. Ἀντιόχου τοῦ Παντέκτου

ΚΑΛΟΝ ἐστι, ἀδελφοί, καὶ ἁρμόδιον ἡμῖν τοῖς ἅπαξ φυγοῦσι τὸν κόσμον καὶ ἐπαγγειλαμένοις Θεῷ ἁγνοὺς ἑαυτοὺς καὶ ἀσπίλους τηρῆσαι, τοῦ ἀπέχεσθαι τῆς τῶν γυναικῶν ὁμιλίας, εἰ δυνατὸν καὶ τῆς θέας. Ἡ γὰρ τῆς γυναικὸς ὄψις βέλος ἐστὶ γέμον φαρμάκου, καὶ ἣν ἂν τρώσῃ ψυχήν, εὐθὺς ἐν αὐτῇ τὸν ἰὸν ἀποτίθεται, καὶ ὅσον χρονίζει, τοσοῦτον πλείονα τὴν σῆψιν ἐργάζεται· καὶ ὥς περ σπινθὴρ χρονίσας ἐν ἀχύροις ἐγείρει φλόγα, οὕτω μνήμη γυναικὸς παραμένουσα ἐξάπτει ἐπιθυμίαν· καὶ ὥς περ τὴν τοῦ λύχνου λαμπάδα τρέφει ἔλαιον, οὕτω καὶ τὸν τῆς ἡδονῆς πυρσὸν ἐξάπτει ἡ τῆς γυναικὸς συντυχία. Φύγωμεν οὖν ἀπ' αὐτῶν, ἀγαπητοί, ὅτι δηλητήριόν εἰσιν αἱ αὐτῶν συντυχίαι καὶ εὐχερῶς ἀναιροῦσι τὰς ψυχὰς ἡμῶν.

Ἀκούσωμεν δὲ τί περὶ αὐτῶν καὶ ἡ θεία διαγορεύει γραφή. Λέγει οὖν ὁ Παροιμιαστής· «διὰ γυναικὸς ἀρχὴ ἁμαρτίας καὶ δι' αὐτῆς ἀποθνήσκομεν πάντες»· καὶ ἐπάγει· «μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ παρρησίαν ἐπὶ σέ». Καὶ πάλιν· «υἱέ μου, μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῇς σοῖς βλεφάροις, ὅτι γυνὴ ἀνδρῶν ψυχὰς τιμίας ἀγρεύει· πλανᾷ γὰρ τὸν ἄνθρωπον πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν· ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς, καὶ ὥς περ βοῦς ἐπὶ σφαγὴν ἄγεται, ἢ ὡς κύων ἐπὶ δεσμούς, οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει. Μὴ οὖν ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν· ὁδοὶ γὰρ ᾅδου ὁ οἶκος αὐτῆς κατάγουσαι εἰς τὰ ταμεῖα τοῦ θανάτου. Μακρὰν δὲ ποίησον ἀπ' αὐτῆς σὴν ὁδὸν καὶ μὴ ἐγγίσῃς πρὸς θύραις οἴκου αὐτῆς, ἵνα μὴ πληθῶσιν ἀλλότριοι σῆς ἰσχύος καὶ μεταμεληθῇς ἐπ' ἐσχάτων».

Τούτῳ οὖν καὶ ἡμεῖς πειθώμεθα, καὶ μακρύνωμεν ἑαυτοὺς τῆς τῶν γυναικῶν θέας καὶ ὁμιλίας. Ἠκούσαμεν γὰρ περὶ τοῦ Σαμψὼν τοῦ Ναζιραίου, μεθ' οὗ πνεῦμα Κυρίου ἐπορεύετο, πῶς διὰ γυναικὸς εἰς τὸν τῆς ἀπωλείας κατηνέχθη βυθόν· καὶ Δαβὶδ δὲ ὁ Προφήτης ἐκ τῆς ἀφυλάκτου θέας ἁλούς, τῇ μοιχείᾳ τὸν φόνον ἐπισυνῆψε καὶ μυρίοις διὰ ταῦτα κακοῖς περιέπεσε. Τί δὲ ὁ Σολομὼν ὁ ἔχων σοφίαν ὑπὲρ ψάμμον, φρόνησίν τε καὶ χύμα καρδίας καὶ πλοῦτον, καὶ δόξαν πολλὴν ὑπὲρ πάντας ἀνθρώπους, οὐχὶ καὶ ὁ τηλικοῦτος διὰ γυναικὸς κατηνέχθη καὶ ἀποστάτης Κυρίου ἐγένετο; Καὶ οἱ πρεσβύτεροι δὲ καὶ κριταὶ τοῦ λαοῦ ἀπερισκέπτως ὁρῶντες, καὶ ἀλλοτρίῳ κάλλει προσέχοντες, ἐπειδὴ σφοδρὰν ἑαυτοῖς τὴν τῆς ἐπιθυμίας ἐξέκαυσαν κάμινον, καὶ ἐπαναστάντες τῇ μακαρίᾳ Σωσάννῃ ταύτης περιγενέσθαι οὐκ ἴσχυσαν, εἰς κατηγορίαν ψευδῆ μετετράπησαν, καὶ τῇ ἀθῴῳ ἀδίκως περιῆψαν τὸ ἑαυτῶν ἔγκλημα· ἀλλὰ φωραθέντες βιαίῳ θανάτῳ ἀπώλοντο.

Κρεῖττον οὖν προσεγγίσαι πυρὶ καιομένῳ ἢ γυναικί· πυρὸς μὲν γὰρ εἰ ἅψῃ, ὀδυνηθεὶς ἡδέως ἀναχωρήσεις. Εἰ δὲ γυναικὶ πλησιάσας προσέξεις τοῖς αὐτῆς ῥήμασι καὶ πληθύνας μετ' αὐτῆς ὁμιλίαν, οὐκέτι ἀναχωρῆσαι δυνήσῃ, καὶ μάλιστα εἰ νέος εἶ καὶ τὸν λογισμὸν ἀσθενής, ἀλλὰ κινδυνεύσεις ἐμπλακεὶς τοῖς δικτύοις αὐτῆς ὡς τὰ ἐμπεσόντα ζωΰφια τῷ τῆς ἀράχνης ἱστῷ.

Χρὴ οὖν τῷ τὴν ἁγνείαν φυλάττειν ἐθέλοντι, φεύγειν ἀπ' αὐτῆς, ὡς φεύγει τις ἀπὸ ὄφεως· διότι θανατηφόρος ἰός ἐστι τῇ ψυχῇ οὐ μόνον ἡ ταύτης ὁμιλία, ἀλλὰ καὶ ἡ περὶ αὐτὴν ἐνθύμησις. Οἶνος γάρ φησι καὶ γυναῖκες ἀποστήσουσι καρδίας σοφῶν· καὶ ὁ Ἐκκλησιαστής, «πικρότερον ὑπὲρ θάνατον καὶ χολὴν συντυχεῖν γυναικί». Τοῦτο δὲ τὸ πάθος καὶ ὁ φιλόψυχος Κύριος ψυχοφθόρον εἰδὼς καὶ ὀλέθριον, ἀπεφήνατο λέγων· «πᾶς ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

Ἑρμηνεία

ΚΑΛΟΝ εἶναι, ἀδελφοί μου, καὶ ταιριάζει εἰς ἡμᾶς ποὺ ἐφύγαμεν ἀπὸ τὸν κόσμον καὶ ὑπεσχέθημεν εἰς τὸν Θεὸν νὰ διατηρηθῶμεν ἁγνοὶ καὶ ἄσπιλοι, νὰ ἀποφεύγωμεν συναναστροφὰς μὲ γυναῖκας, ἐὰν εἶναι δυνατὸν οὔτε νὰ τὰς βλέπωμεν. Τὸ πρόσωπον τῆς γυναικὸς εἶναι

βέλος φαρμακερὸν καὶ ὁποιανδήποτε ψυχὴν πληγώσῃ, χύνει ἀμέσως εἰς αὐτὴν τὸ δηλητήριον· ὅσον δὲ περισσότερον χρόνον παραμένει, τόσον μεγαλυτέραν κάμνει τὴν σῆψιν. Ὅπως δὲ σπίθα ποὺ θὰ παραμείνῃ πολὺ εἰς τὰ ἄχυρα, σηκώνει φλόγα, ἔτσι καὶ ἐνθύμησις γυναικός, ἡ ὁποία μένει, ἐξάπτει τὴν ἐπιθυμίαν· καὶ ὅπως τὴν λάμψιν τοῦ λύχνου τὴν τροφοδοτεῖ τὸ ἔλαιον, ἔτσι καὶ τὴν φωτιὰ τῆς ἡδονῆς τὴν ἐξάπτει ἡ συναναστροφὴ τῆς γυναικός. Ἂς φύγωμεν λοιπόν, ἀγαπητοί μου, ἀπὸ αὐτάς, διότι ἡ συντροφιά των εἶναι δηλητήριον καὶ εὔκολα φονεύουν τὰς ψυχάς μας.

Ἂς ἀκούσωμεν τί μᾶς πληροφορεῖ δι' αὐτὰς καὶ ἡ Ἁγία Γραφή. Λέγει λοιπὸν ὁ Παροιμιαστής*· «ἀπὸ γυναῖκα ἤρχισεν ἡ ἁμαρτία καὶ ἐξ αἰτίας της ἀποθνήσκομεν ὅλοι» (Σοφ. Σειρ. κε', 24)· καὶ καταλήγει· «νὰ μὴ δώσῃς διέξοδον εἰς τὸ νερὸν οὔτε εἰς τὴν γυναῖκα θάρρος ἀπέναντί σου» (Αὐτόθι 25). Καὶ πάλιν (λέγει ὁ Παροιμιαστής· «υἱέ, νὰ μὴ σὲ νικήσῃ ἡ ἐπιθυμία ὡραιότητος γυναικός, οὔτε νὰ παρασυρθῇς ἀπὸ τὰ βλέφαρά σου, διότι ἡ γυναίκα τραβᾷ εἰς τὸ κακὸν τιμίας ψυχὰς ἀνδρῶν» (Παροιμ. στ', 25—26). Πλανεύει τὸν ἄνθρωπον μὲ τὴν πολλὴν συναναστροφὴν καὶ μὲ τὰ βρόχια τῶν χειλέων της τὸν παρέσυρεν εἰς τὴν ἁμαρτίαν· ἐκεῖνος ἐξαπατηθεὶς τὴν ἠκολούθησε καὶ ὁδηγεῖται ἀπὸ αὐτήν, ὡσὰν τὸ βόδι, εἰς σφαγήν, ἢ ὅπως ὁ σκύλος διὰ νὰ τὸν δέσουν, χωρὶς νὰ γνωρίζῃ ὅτι τρέχει διὰ νὰ χάσῃ τὴν ψυχήν του. Ἂς μὴ παρασυρθῇ λοιπὸν εἰς τοὺς δρόμους της ἡ καρδιά σου, διότι ἐνίκησε πολλοὺς ἀφοῦ τοὺς ἐτραυμάτισε καὶ ἀναρίθμητοι εἶναι ἐκεῖνοι, τοὺς ὁποίους ἐφόνευσε. Διότι δρόμοι Ἅδου εἶναι τὸ σπίτι της, ποὺ ὁδηγοῦν εἰς τὰς φυλακὰς τοῦ θανάτου· ἂς εἶναι μακρὰν ἀπ' αὐτὴν ὁ δρόμος σου καὶ μὴ πλησιάσῃς τὴν θύραν τοῦ σπιτιοῦ της, διὰ νὰ μὴ καρπωθοῦν οἱ ξένοι ἀπὸ τὴν δύναμίν σου καὶ εἰς τὸ τέλος μετανοήσῃς» (Παροιμ. ε', 8—11)**.

---

* Δηλαδὴ τὸ βιβλίον τῆς Παλαιᾶς Διαθήκης «Παροιμίαι Σολομῶντος».

** Ὁλόκληρος ἡ παράγραφος αὐτὴ ἔχει ληφθῆ, ὅπως βλέπομεν, ἀπὸ τὰ καταχωρούμενα ἐδάφια, ἀπὸ τὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης «Παροιμίαι Σολομῶντος» καὶ «Σοφία Σειρὰχ». Ὁ ἐπιθυμῶν νὰ διδαχθῇ περισσότερα ἀπὸ τὰς ψυχωφελεῖς καὶ σωτηριώδεις αὐτὰς διδασκαλίας ἠμπορεῖ νὰ μελετήσῃ ὁλόκληρα τὰ σημειούμενα κεφάλαια εἰς τὰ ὡς ἄνω βιβλία τῆς Παλαιᾶς Διαθήκης.

Ἡμεῖς ἐνταῦθα παραθέτομεν μόνον μερικὰ σχόλια ἐκ τῆς Ἑρμηνείας τῆς Παλαιᾶς Διαθήκης (Παροιμ. ε', 5—11) τοῦ ἀειμνήστου Πατρὸς Ἰωὴλ Γιαννακοπούλου, πρὸς καλυτέραν κατανόησιν τῶν νοημάτων τῆς παραγράφου ταύτης.

....Ἡ ἀκολασία λοιπὸν τὸ βῆμα ταχύνουσα φέρει τοὺς δουλεύοντας αὐτὴν εἰς τὸν Ἅδην. Τὰ βήματά της δὲν βαίνουν σταθερά, διότι εἶναι ὡς ὁ βαδίζων εἰς ἀμμώδη χείλη κρημνῶν καὶ ἀβύσσων. Σφαλεραὶ καὶ δυσδιάγνωστοι εἶναι αἱ τροχιαί της ὡς ἐκ τῶν πολλῶν μετασχηματισμῶν καὶ προσποιήσεων, ἀντιθέτως πρὸς τὴν τετιμημένην καὶ φιλαλήθη σοφίαν. Οὕτως ἐχόντων τῶν πραγμάτων μὴ εἰσέλθῃς ὄχι μόνον εἰς τὸν οἶκον τῆς γυναικὸς ταύτης, ἀλλὰ οὐδὲ εἰς τὰ ἐξώθυρα τῆς οἰκίας

Ἄς πειθαρχήσωμεν λοιπὸν καὶ ἡμεῖς εἰς τὸν ἱερὸν συγγραφέα καὶ ἄς ἀπομακρυνθῶμεν ἀπὸ τὴν συναναστροφὴν γυναικῶν, καὶ οὔτε νὰ τὰς βλέπωμεν. Ἔχομεν ἀκούσει ἀκόμα καὶ διὰ τὸν Σαμψὼν τὸν Ναζιραῖον, μὲ τὸν ὁποῖον συνεπορεύετο Πνεῦμα Κυρίου, ὅτι ἀπὸ τὴν γυναῖκα κατεκρημνίσθη εἰς τὸν βυθὸν τῆς ἀπωλείας*. Καὶ ὁ Δαβὶδ ὁ Προφήτης ἐκυριεύθη ἀπὸ τὸ ἀπρόσεκτον βλέμμα, καὶ διέπραξε μαζὶ μὲ τὴν μοιχείαν καὶ τὸν φόνον· ἐξ αἰτίας δὲ αὐτῶν περιέπεσεν εἰς ἀναρίθμητα δεινά**.

της μὴ πλησιάσῃς. Ἡ μόνη σωτηρία εἶναι αὕτη: Ἡ ἀπομάκρυνσις! «μὴ ἐγγίσῃς πρὸς θύραις». Σημείωσις λεπτή. Ἡ θύρα της εἶναι στόμα ἀβύσσου. Ἵνα μὴ ἀπογυμνωθῇς διὰ τῆς ἀκολασίας, τῆς ὑγείας σου καὶ τῆς περιουσίας σου, εἰς ἐκμεταλλευτάς, ἀνοικτίρμονας, ἕρμαιον τῶν ἐνστίκτων τοῦ θήλεος, εἰς ἀνελεήμονας ἐκφαυλιστρίας. «Οἶκοι ἀλλότριοι» εἶναι τὰ καταγώγια τῆς αἰσχύνης, τὰ ὁποῖα εἶναι τοῦ γνησίου οἴκου ἄρνησις. Οἱ καρποὶ τῶν κόπων, ἡ ὑγεία, ἡ περιουσία. Πόσαι περιουσίαι δὲν ἐξηνεμίσθησαν ἀπὸ τοὺς ἀσώτους.

* Ὁ Σαμψών, υἱὸς τοῦ Μανωὲ ἐκ τῆς φυλῆς Δάν, ὑπῆρξεν ὁ δωδέκατος κριτὴς τοῦ Ἰσραήλ. Ἀφιερωθεὶς ὑπὸ τῆς μητρός του εἰς τὸν Θεόν, διότι ἐγεννήθη κατὰ παραχώρησιν Θεοῦ, ἔγινεν ὀνομαστὸς διὰ τὴν μεγάλην σωματικήν του δύναμιν, πολεμήσας ἐναντίον τῶν Φιλισταίων, οἱ ὁποῖοι εἶχον ὑποδουλώσει τὸν Ἰσραὴλ ἐπὶ 20 ἔτη καὶ ἐπροξένησε μεγάλας καταστροφὰς εἰς αὐτούς. Κάποτε ὅμως ὁ Σαμψὼν μετέβη εἰς Ἀλσωρὴχ καὶ περιέπεσεν εἰς ἁμαρτίαν μὲ κάποιαν γυναῖκα ὀνόματι Δαλιδά. Τότε οἱ ἄρχοντες τῶν ἀλλοφύλων ὑπεσχέθησαν εἰς τὴν Δαλιδὰ μεγάλην χρηματικὴν ἀμοιβήν, ἐὰν κατώρθωνε νὰ μάθῃ ποῦ ὀφείλεται ἡ μεγάλη σωματικὴ δύναμις τοῦ Σαμψών, ὥστε νὰ κατορθώσουν νὰ τὸν συλλάβουν. Ἐπανειλημμένως ἡ Δαλιδὰ ἠρώτησε τὸν Σαμψὼν νὰ τῆς ἀποκαλύψῃ τὸ μυστικόν του, ἀλλὰ καὶ τὰς τρεῖς φορὰς δὲν εἶπεν εἰς αὐτὴν τὴν ἀλήθειαν. Τὴν τετάρτην τέλος φορὰν ἀπεκάλυψεν, ὅτι ἡ δύναμίς του ἑδράζεται εἰς τὰς μακρὰς τρίχας τῆς κεφαλῆς του. Τὴν νύκτα λοιπὸν ἡ Δαλιδὰ ἔκοψε τὴν κόμην του καὶ ὁ Σαμψών, ἐπειδὴ ἔχασε τὴν δύναμίν του, συνελήφθη ὑπὸ τῶν Φιλισταίων, ἐρρίφθη εἰς τὴν φυλακὴν καὶ ἐτυφλώθη. Μετὰ ἓν ἔτος καὶ κατὰ τὴν ἑορτὴν τοῦ θεοῦ τῶν Φιλισταίων Δαγών, ὁ Σαμψὼν ὡδηγήθη εἰς τὸν ναὸν διὰ νὰ γίνῃ περίγελως τῶν ἐχθρῶν του. Ἐν τῷ μεταξὺ ὅμως εἶχαν μεγαλώσει αἱ τρίχες τῆς κεφαλῆς του καὶ εἶχεν ἐπανέλθει ὅλη ἡ παλαιὰ σωματική του δύναμις. Ἀπὸ τὴν λύπην του ὁ Σαμψὼν ἔκλαυσε καὶ παρεκάλεσε τὸν Θεὸν νὰ τὸν ἐνισχύσῃ νὰ ἐκδικηθῇ τοὺς Φιλισταίους διὰ τὴν τύφλωσίν του. Κατόπιν ἥρπασε μὲ τὰς δύο χεῖρας του δύο ἀπὸ τοὺς κίονας τοῦ ναοῦ καὶ εἶπε τὸ περίφημον «ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων». Ἔσεισεν ἀμέσως τοὺς δύο κίονας καὶ ὅλος ὁ ναὸς κατεκρημνίσθη φονευθέντος καὶ τοῦ Σαμψὼν ἀλλὰ καὶ πολλῶν Φιλισταίων, περισσοτέρων ἀπὸ ὅσους ἐθανάτωσεν ὁ Σαμψὼν εἰς τὴν ζωήν του. (Κριταί, Κεφ. ΙΓ'—ΙΣΤ').

** Ὁ Δαβίδ, υἱὸς τοῦ Ἰεσσαὶ καὶ ἀπόγονος τῆς Ρούθ, εἶχε γεννηθῇ εἰς Βηθλεὲμ ἐκ τῆς φυλῆς Ἰούδα. Γενόμενος βασιλεὺς τῶν Ἑβραίων ἐδοξάσθη μὲ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἐμεγάλυνε τὸ κράτος του. Ἀλλ' ὑπέπεσεν ὡς ἄνθρωπος εἰς ἀ-

Τί μᾶς διδάσκει καὶ ὁ Σολομών, ὁ ὁποῖος εἶχε σοφίαν, περισσοτέραν καὶ ἀπὸ τὴν ἄμμον, φρόνησιν καὶ μεγαλοψυχίαν, πλούτη καὶ δόξαν πολλήν, περισσότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους; Μήπως καὶ αὐτός, ἐξ αἰτίας τῆς γυναικός, δὲν ἔπεσεν εἰς τὴν ἁμαρτίαν καὶ ἔγινεν ἀποστάτης Κυρίου;* Τί ἔπαθαν δὲ καὶ οἱ πρεσβύτεροι καὶ οἱ κριταὶ τοῦ λαοῦ μὲ τὸ νὰ ἰδοῦν ἀσυλλόγιστα καὶ νὰ προσέξουν ξένην ὡραιότητα; Ἐπειδὴ ἤναψαν ἔτσι μέσα των σφοδρὰν τὴν φλόγα τῆς ἐπιθυμίας, ἐπετέθησαν ἐναντίον τῆς μακαρίας Σωσάννας, ἀλλὰ δὲν ἠμπόρεσαν νὰ τὴν νικήσουν. Δι' αὐτὸ μετετράπησαν εἰς ψευδεῖς κατηγόρους καὶ ἀπέδωσαν εἰς τὴν ἀθώαν τὸ ἰδικόν των ἔγκλημα. Ἀπεκαλύφθησαν ὅμως καὶ ἀπέθανον μὲ βίαιον θάνατον!**

Εἶναι προτιμότερον νὰ πλησιάσωμεν τὴν ἀναμμένην φωτιὰν παρὰ τὴν γυναῖκα· διότι ἂν ἐγγίσῃς τὴν φωτιάν, εὔκολα θὰ ἀπομακρυνθῇς, ἐπειδὴ θὰ πονέσῃς. Ἂν πλησιάσῃς ὅμως γυναῖκα καὶ θαυμάσῃς τὰ λόγια της καὶ πυκνώσῃς τὴν συναναστροφήν σου μαζί της, δὲν θὰ ἠμπορέσῃς πλέον νὰ φύγῃς καὶ μάλιστα ἂν εἶσαι νέος καὶ ὁ λογισμός σου εἶναι ἀσθενικός· ἀλλὰ θὰ κινδυνεύσῃς νὰ ἐμπλακῇς εἰς τὰ δίκτυά της, ὅπως τὰ ζωῦφια ποὺ ἔπεσαν εἰς τὸν ἱστὸν τῆς ἀράχνης.

Αὐτὸς ποὺ θέλει νὰ φυλάττῃ ἁγνείαν πρέπει νὰ φεύγῃ ἀπὸ τὴν γυναῖκα, ὅπως φεύγει κανεὶς ἀπὸ τὸν ὄφιν· διότι διὰ τὴν ψυχὴν εἶναι θα-

---

μαρτήματα, ἓν τῶν ὁποίων ἦτο ἡ μοιχεία του μετὰ τῆς Βηθσαβεέ, συζύγου τοῦ στρατηγοῦ Οὐρία. Τὸ κάλλος τῆς Βηθσαβεὲ ἐσκανδάλισε τὸν Δαβίδ, ὅστις ἐπεθύμησεν αὐτὴν καὶ διὰ νὰ τὴν ἀποκτήσῃ, παρεσκεύασε τὸν θάνατον τοῦ Οὐρίου. Ἀποστείλας δηλ. τὸν Οὐρίαν πρὸς τὸν στρατηγὸν Ἰωάβ, διέταξε τοῦτον νὰ τὸν τοποθετήσῃ εἰς τὴν πλέον ἐπικίνδυνον θέσιν τῆς μάχης διὰ νὰ φονευθῇ, πρᾶγμα τὸ ὁποῖον καὶ ἐγένετο. Ἐκ τῶν παρανόμων σχέσεων τοῦ Δαβὶδ μετὰ τῆς Βηθσαβεὲ ἐγεννήθη τέκνον, τὸ ὁποῖον ὅμως ἀπέθανεν. Ὁ Θεὸς ἔστειλε τότε τὸν Προφήτην Νάθαν, ὁ ὁποῖος ἤλεγξε τὸν Δαβὶδ διὰ τὴν ἁμαρτίαν του, ὁ δὲ Δαβὶδ συναισθανθεὶς τὸ ἁμάρτημά του μετενόησεν εἰλικρινῶς καὶ ἐζήτησε τὴν συγχώρησιν τοῦ Θεοῦ, γράψας εἰς ἐκδήλωσιν τῆς μετανοίας του τὸν περίφημον Ν' ψαλμόν, ὁ ὁποῖος ἀρχίζει μὲ τοὺς στίχους: «Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου». Μετὰ τὸν θάνατον τοῦ Οὐρίου, ὁ Δαβὶδ ἔλαβε νόμιμον σύζυγον τὴν Βηθσαβεὲ καὶ ἐγέννησεν ἐξ αὐτῆς τὸν Σολομῶντα, ἀλλὰ παρὰ τὴν μετάνοιάν του ἐτιμωρήθη ὑπὸ τοῦ Θεοῦ καὶ μόνον οὕτω ἐξηγνίσθη.

* Ὁ Βασιλεὺς Σολομών, ὅπως λέγει ἡ Γραφή, ἦτο πολὺ φιλογύνης. Καὶ ἔλαβε πολλὰς γυναῖκας, ἐκ τῶν ὁποίων πλεῖσται ἦσαν ἀλλόφυλοι, ἀπὸ τὰς φυλὰς ἐκείνας ποὺ ἀπηγόρευσεν ὁ Θεὸς εἰς τοὺς υἱοὺς τοῦ Ἰσραήλ. Αἱ γυναῖκες αὐταὶ κατώρθωσαν νὰ παρασύρουν τὸν Σολομῶντα κατὰ τὴν γεροντικήν του ἡλικίαν καὶ ἀνήγειρε ναοὺς εἰς τοὺς εἰδωλολατρικοὺς θεούς. Διὰ τοῦτο ὁ Θεὸς τὸν ἐτιμώρησε καὶ μετὰ τὸν θάνατόν του τὸ βασίλειόν του διεμερίσθη εἰς δύο.

** Βλέπε ὑποσημείωσιν τῆς σελ. 335 τοῦ Α' τόμου τοῦ «Εὐεργετινοῦ» περὶ Σωσάννης.

νατηφόρον δηλητήριον ὄχι μονάχα ἡ συντροφιὰ μαζί της, ἀλλὰ καὶ ἡ ἐνθύμησίς της. Οἶνος — λέγει — καὶ γυναῖκες θὰ παρασύρουν καρδίας σοφῶν (Σοφ. Σειρ. ιθ΄, 2). Καὶ ὁ Ἐκκλησιαστὴς* λέγει, ὅτι εἶναι πικρότερον καὶ ἀπὸ τὸν θάνατον καὶ ἀπὸ τὴν χολὴν τὸ νὰ συναναστραφῇς γυναῖκα (Ἐκκλησ. ζ΄, 27). Ἐπειδὴ δὲ καὶ ὁ φιλόψυχος Κύριος ἐγνώριζεν ὅτι εἶναι ψυχοφθόρον καὶ καταστρεπτικὸν αὐτὸ τὸ πάθος, εἶπε· «κάθε ἕνας ποὺ θὰ κοιτάξῃ μὲ ἁμαρτωλὴν ἐμπάθειαν γυναῖκα, διὰ νὰ τὴν ἐπιθυμήσῃ, ἤδη διέπραξε μαζί της τὴν μοιχείαν εἰς τὴν καρδίαν αὐτοῦ» (Ματθ. ε΄, 28).

Ι΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ἀπέρχῃ εἰς κώμην ἢ εἰς πόλιν, οἱ ὀφθαλμοί σου ἔστωσαν βλέποντες κάτω, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου· πορευομένῳ δὲ ἐὰν εἴπῃ σοι γυνή, εἰρήνη σοι, ἀποκρίθητι αὐτῇ ἐν τῇ καρδίᾳ σου κάτω προσέχων τοῖς ὀφθαλμοῖς. Ἕως δὲ ἱματίων γυναικῶν, ἐὰν δύνῃ, μὴ πρόσχῃς. Μὴ καταδέξῃ ἐσθίειν μετὰ γυναικὸς ἢ ἔχειν φιλίαν μετὰ νεωτέρων, μηδὲ κοιμηθῆναι νεώτερον ὄντα μετά τινος εἰς ἓν ψιάθιον, εἰμὴ μετὰ τοῦ ἀδελφοῦ σου ἢ τοῦ Ἀββᾶ σου, καὶ τοῦτο μετὰ φόβου, καὶ μὴ μετὰ καταφρονήσεως.

Ἑ ρ μ η ν ε ί α

ΑΝ πηγαίνῃς εἰς χωρίον ἢ εἰς πόλιν, τὰ μάτια σου νὰ βλέπουν κάτω, διὰ νὰ μὴ ξεσηκώσῃς μέσα σου πολέμους, ὅταν θὰ ἐπιστρέψῃς εἰς τὸ κελλί σου. Ἂν σοῦ εἰπῇ μία γυναίκα «εἰρήνη σοι»**, καθὼς θὰ προχωρῇς εἰς τὸν δρόμον σου, ἀπάντησέ της μέσα εἰς τὴν καρδιά σου (χωρὶς νὰ ἀκουσθῇς), ἐνῷ τὰ μάτια σου νὰ κοιτάζουν κάτω (τὸ ἔδαφος). Ἀκόμη καὶ φορέματα γυναικῶν μὴ προσέξῃς, ἐὰν ἠμπορῇς. Μὴ δεχθῇς νὰ τρώγῃς μαζὶ μὲ γυναῖκα ἢ νὰ ἔχῃς φιλίαν μὲ νεαροὺς οὔτε νὰ κοιμηθῇς, ἂν εἶσαι νέος, μὲ ἄλλον ἐπάνω εἰς τὴν ἰδίαν ψάθαν, ἐκτὸς ἀπὸ τὸν ἀδελφόν σου ἢ τὸν Ἀββᾶν σου· καὶ αὐτὸ νὰ τὸ κάνῃς μὲ φόβον καὶ ὄχι ἀπὸ περιφρόνησιν πρὸς τὸν κίνδυνον.

ΙΑ΄. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἀποστελλόμενος εἴς τινα ἀπόκρισιν τοῦ Κοινοβίου μακρὰν ἀπέχοντος, ἠρώτησε τὸν γέροντα, εἰ καλούμενος ὑπὸ ἀγαπητῶν καταδέξηται συνε-

---

* Ὁ «Ἐκκλησιαστὴς» εἶναι βιβλίον τῆς Παλαιᾶς Διαθήκης ἀποτελούμενον ἀπὸ δώδεκα Κεφάλαια. Τοῦτο κατὰ τὴν παράδοσιν ἀποδίδεται εἰς τὸν Σολομῶντα καὶ πιστεύεται ὅτι ἐγράφη κατὰ τὴν γεροντικὴν αὐτοῦ ἡλικίαν. Ἑβραϊστὶ καλεῖται «Κοχέλεθ», ἀναφέρεται εἰς τὴν ματαιότητα τῶν ἐγκοσμίων καὶ καταλήγει εἰς τὸ συμπέρασμα, ὅτι μόνον ἡ εὐσέβεια καὶ ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ ἀποτελεῖ τὸ ἅπαν τῆς ἀληθινῆς σοφίας.

** Εἰρήνη σοι, χαιρετισμὸς τῆς ἐποχῆς τῆς ἀκμῆς τοῦ μοναχικοῦ βίου, ἀνάλογος πρὸς τὸ σημερινὸν «στὸ Θεό, στὴν εὐχὴ τοῦ Θεοῦ, στὸ καλὸ» κ.λ.π.

σθίειν γυναιξί. Καὶ ἀπεκρίθη ὁ γέρων μὴ δεῖν συνεσθίειν αὐταῖς ὅλως. Καὶ εἶπεν ὁ ἀδελφός· καὶ πόθεν οἶδα, ὅτε καλοῦμαι ὑπό τινος, εἰ μέλλει ἐλθεῖν γυνὴ συμφαγεῖν ἡμῖν ἵνα μὴ ἀπέλθω;

Ἀπεκρίθη ὁ γέρων· ἐρώτησον τὸν καλοῦντα σε, εἰ ἔστιν ἐκεῖ γυνή, καὶ ἐὰν εἴπῃ, ὅτι ναί, παραιτήσου λέγων· συγχώρησόν μοι, ὅτι ἐντολὴν ἔχω μὴ συνεσθίειν γυναιχί. Ἔφη ὁ ἀδελφός· ἐὰν δὲ ἐπιλαθόμενος ἐρωτῆσαι ἀπέλθω, καὶ συμβῇ ἔχειν γυναῖκα καὶ μετ' ἐμοῦ ἔλθῃ εἰς τὴν τράπεζαν, τί ποιήσω; Ἀπεκρίθη ὁ γέρων· ὀφείλεις λαβεῖν ἰδίᾳ τὸν καλέσαντά σε καὶ εἰπεῖν αὐτῷ. Συγχώρησόν μοι, ὅτι ἐπελαθόμην σοι προειπεῖν , ὅτι ἐντολὴν ἔχω μὴ συμφαγεῖν γυναιχί, ἀλλὰ ἀπόλυσόν με καὶ ὑπάγω· κἂν ἀποστήσῃ τὴν γυναῖκα, μεῖνον· εἰ δὲ μή, ἀναχώρησον, καὶ μὴ παρατρώσῃς τὴν ἐντολήν, ἵνα μὴ γεννηθῇ θάνατος ἐκ τῆς παρακοῆς· καὶ μὴ φοβηθῇς, οὐ γὰρ γίνεται εἰς σκάνδαλον, ἀλλ' εἰς οἰκοδομήν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφός, ποὺ τὸν ἔστελναν σὲ κάποια ὑπηρεσίαν, μακρυὰ ἀπὸ τὸ Κοινόβιον, ἠρώτησε τὸν Γέροντα ἄν, εἰς περίπτωσιν ποὺ τὸν προσκαλοῦσαν ἀγαπητὰ πρόσωπα, ἠμποροῦσε νὰ δεχθῇ νὰ συμφάγῃ μὲ γυναῖκας. Ὁ Γέρων τοῦ ἀπήντησε πῶς δὲν πρέπει καθόλου νὰ συμφάγῃ μὲ αὐτάς.

— Καὶ ἀπὸ ποῦ θὰ ἠξεύρω, ὅταν μὲ καλῇ κάποιος, ὅτι πρόκειται νὰ ἔλθῃ νὰ φάγῃ μαζί μας γυναίκα διὰ νὰ μὴ ὑπάγω;

— Νὰ ἐρωτήσῃς αὐτόν, ποὺ σὲ προσκαλεῖ — ἀπήντησεν ὁ Γέρων — ἂν ὑπάρχῃ ἐκεῖ γυναίκα· καὶ ἂν σοῦ ἀπαντήσῃ ναί, νὰ μὴ δεχθῇς τὴν πρόσκλησιν. Συγχώρησέ με, νὰ τοῦ εἰπῇς, ἔχω τὴν ἐντολὴν νὰ μὴ συντρώγω μὲ γυναῖκας.

Ὁ ἀδελφὸς ἠρώτησε πάλιν:

— Ἂν λησμονήσω νὰ ἐρωτήσω καὶ ὑπάγω καὶ ὑπάρχῃ ἐκεῖ γυναίκα καὶ προσέλθῃ νὰ φάγῃ μαζί μου εἰς τὸ τραπέζι, τί νὰ κάνω;

Εἰς αὐτὸ ὁ Γέρων ἀπεκρίθη:

— Τότε ὀφείλεις νὰ καλέσῃς ἰδιαιτέρως αὐτόν, ποὺ σὲ προσεκάλεσε καὶ νὰ τοῦ εἰπῇς: συγχώρησέ με, διότι ἐλησμόνησα νὰ σοῦ εἴπω ἀπὸ πρίν, ὅτι ἔχω ἐντολὴν νὰ μὴ φάγω μαζὶ μὲ γυναῖκα· δῶσε μου λοιπὸν τὴν ἄδειαν νὰ φύγω.

Ἂν ἐκεῖνος διώξῃ τὴν γυναῖκα, μεῖνε· διαφορετικὰ φύγε σὺ καὶ μὴ παραβιάσῃς τὴν ἐντολήν, διὰ νὰ μὴ προέλθῃ θάνατος ἀπὸ τὴν παρακοήν. Μὴ φοβηθῇς, διότι αὐτὸ δὲν γίνεται πρὸς σκανδαλισμόν, ἀλλὰ πρὸς οἰκοδομήν.

ΙΒ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Μακάριος· μὴ κοιμηθῇς εἰς κελλίον ἀδελφοῦ ἔχοντος κακὴν φήμην.

2. Ἔλεγον οἱ Πατέρες, ὅτι ἡ παγὶς τοῦ διαβόλου ἐν

τοῖς μοναχοῖς, ὑπὲρ τὰς γυναῖκας, τὰ παιδία εἰσίν.

3. Ἔλεγον πάλιν· ὅπου οἶνος καὶ παιδία, οὐκ ἔστι χρεία τοῦ σατανᾶ.

4. Εἶπε γέρων· τεκνία, τὸ ἅλας ἐκ τοῦ ὕδατός ἐστι, καὶ ἐὰν προσεγγίσῃ ὕδατι, λύεται καὶ ἀφανίζεται· ὁμοίως καὶ ὁ μοναχὸς ἐκ τῆς γυναικός ἐστι, καὶ ἐὰν προσεγγίσῃ γυναικί, λύεται καὶ ἀπόλλυται.

5. Εἶπεν ὁ μαθητὴς τοῦ Ἀββᾶ Σισώη πρὸς αὐτόν· Πάτερ, ἐγήρασας, λοιπὸν ἐγγὺς τῆς οἰκουμένης ἀπέλθωμεν. Ἔφη αὐτῷ ὁ γέρων· ὅπου οὐκ ἔνι γυνή, ἐκεῖ ἀπέλθωμεν. Λέγει ὁ μαθητὴς αὐτοῦ· καὶ τίς ἐστι τόπος, ἐν ᾧ οὐκ ἔστι γυνὴ εἰμὴ μόνον ἡ ἔρημος; Καὶ εἶπεν ὁ γέρων· οὐκοῦν ἆρόν με εἰς τὴν ἔρημον. Ἡσύχασε δὲ οὗτος ὁ γέρων ἐν τῷ ὄρει τοῦ Ἀββᾶ Ἀντωνίου ἔτη ἑβδομήκοντα δύο, οὐκ ὀλίγα καὶ πρότερον ἐν σκήτει διενεγκὼν μετὰ τοῦ Ἀββᾶ Ὢρ, καὶ ἴδε πῶς καὶ ἔτι ἑαυτὸν ἠσφαλίζετο.

6. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν γένηται ἀνάγκη ἐλθεῖν τινα εἰς συντυχίαν γυναικός, πῶς δεῖ αὐτὴν ἀπαντῆσαι; Καὶ ἀπεκρίθη ὁ γέρων· ἡ ἀνάγκη αὕτη ἐκ τοῦ διαβόλου ἐστί, πολλὰς καὶ ποικίλας προφάσεις ὡς ἀναγκαίας δῆθεν τοῦ δολίου προτείνοντος, ἵνα τὸν ἀγωνιζόμενον κατ᾿ αὐτοῦ μιᾷ τοῦτον χειρώσηται καὶ κατενέγκῃ μεθ᾿ ἑαυτοῦ πρὸς τὸ τῆς ἀπωλείας βάραθρον· πλὴν ἐάν, ὡς εἶπας, γένηταί ποτε ἀνάγκη συντυχίας γυναικί, μὴ ἐάσῃς αὐτὴν μετὰ σοῦ λαλῆσαι περισσόν. Καὶ σὺ δὲ ὅταν λαλῇς κεφαλαίωσον ἐν ὀλίγοις ῥήμασι, πολλὰς ὑποθέσεις εἰπὲ καὶ ταχὺ ἀπόλυσον αὐτήν· εἰ δὲ χρονίσεις μετ᾿ αὐτῆς, οὐκ ἐκφεύξῃ τῆς δυσωδίας αὐτῆς, ἀλλ᾿ ὁ λογισμός σου ταύτης πλησθεὶς χαυνωθήσεται καὶ καταπεσεῖται λοιπόν.

7. Ἀδελφός τις ἀπῆλθεν ἐπισκέψασθαι τὴν ἰδίαν ἀδελφὴν ἐν μοναστηρίῳ ἀσθενοῦσαν· ἦν δὲ πιστοτάτη καὶ μὴ καταδεχομένη ἰδεῖν ἄνδρα. Ἄλλως τε μηδὲ βουλομένη τὸν ἴδιον ἀδελφὸν προφάσει αὐτῆς εἰς μέσον γυναικῶν εἰσελθεῖν, ἐδήλωσεν αὐτῷ λέγουσα· πορεύου, ἀδελφέ, εὐχόμενος ὑπὲρ ἐμοῦ, καὶ χάριτι Χριστοῦ βλέπω σε ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

8. Ἀδελφὸς ἦν ὁδεύων μετὰ τῆς ἰδίας μητρός, γραΐδος τυγχανούσης· καὶ ὡς ἦλθον ἐπὶ τὸν ποταμόν, οὐκ ἠδύνατο ἡ γραῦς περάσαι. Λαβὼν οὖν ὁ υἱὸς αὐτῆς τὸ ἑαυτοῦ μαφόριον περιείλησε τὰς ἰδίας χεῖρας, καὶ οὕτω βαστάσας αὐτὴν ἀπήνεγκεν εἰς τὸ πέραν. Εἶτα λέγει αὐτῷ ἐκείνη· τέκνον, διατί ἐτύλιξας τὰς χεῖρας σου; Ὁ δὲ ἔφη· διότι τὸ σῶμα τῆς γυναικὸς πῦρ ἐστι, καὶ ἐκ τούτου ἔρχεται μνήμη ἄλλων γυναικῶν, καὶ διὰ τοῦτο οὕτως ἐποίησα, ἵνα μὴ τοῦ σώματός σου γυμνοῦ ἅψωμαι.

9. Εἶπεν ὁ Ἀββᾶς Δανιὴλ πρός τινα ἀδελφὸν ὑπὸ πορνείας ὀχλούμενον· μηδέποτε χαλάσῃς τὴν χεῖρά σου μετὰ γυναικὸς εἰς πινάκιον καὶ φάγῃς μετ᾿ αὐτῆς, καὶ ἐν τούτῳ φεύξῃ τὸν δαίμονα τῆς πορνείας.

10. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός· ὁ χορταζόμενος καὶ λαλῶν μετὰ παιδίου ἤδη ἐπόρνευσε τῷ λογισμῷ αὐτοῦ.

11. Εἶπεν ὁ Ἀββᾶς Καρίων· ἄνθρωπος μένων μετὰ παιδίου, εἰ μὲν οὐκ ἔστι δυνατός, ἔρχεται κάτω· εἰ δὲ δυνατὸς ὤν, οὐκ ἔρχεται κάτω, τέως οὐ προκόπτει.

12. Ἀναχωρητής τις ἦν ἐν τοῖς μέρεσιν τῆς Αἰγύπτου, καθήμενος εἰς μονοκελλίον ἐν τῇ ἐρήμῳ, καὶ ἦν ὀνομαστός. Κατ' ἐνέργειαν δὲ τοῦ διαβόλου γυνή τις ἄσεμνος, ἀκούσασα περὶ αὐτοῦ, ἔλεγε τοῖς νεωτέροις· τί θέλετέ μοι δοῦναι, καὶ καταβάλλω τὸν ἀναχωρητὴν ὑμῶν; Οἱ δὲ συνέθεντο δοῦναι αὐτῇ τι. Καὶ ἐξελθοῦσα ἑσπέρας, ἦλθεν ἐπὶ τὴν κέλλαν αὐτοῦ, ὡς πλανωμένη· καὶ στᾶσα παρὰ τὴν θύραν ἔκρουσεν. Ἐξελθὼν δὲ ὁ γέρων καὶ ἰδὼν αὐτὴν ἐταράχθη καὶ εἶπε· πῶς ὧδε παραγέγονας; Ἡ δὲ ἀπεκρίθη κλαίουσα· πλανωμένη ἦλθον ὧδε· ἀλλὰ ποίησον ἔλεος μετ' ἐμοῦ, καὶ μὴ ἐάσῃς με ὑπὸ τῶν θηρίων καταβρωθῆναι· καὶ σπλαγχνισθεὶς εἰσήνεγκεν αὐτὴν ἔσω.

Εἶτα ἐν τῇ νυκτὶ ἤρξατο ὁ διάβολος λογισμοὺς ἀκολασίας ὑποσπείρειν αὐτῷ. Ὁ δέ, γνοὺς τὸν πόλεμον τοῦ ἐχθροῦ, ἔφη πρὸς ἑαυτόν· αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ σκότος εἰσίν, ὁ δὲ υἱὸς τοῦ Θεοῦ φῶς ἐστί· καὶ ἀναστὰς ἀνῆψε τὸν λύχνον. Ὡς οὖν ἡ φλὸξ τῆς ἐπιθυμίας ἔτι ἐν αὐτῷ ηὔξανε καὶ δεινῶς τὸν ἄνδρα ἀνέφλεγε, πάλιν εἶπεν ἐν ἑαυτῷ· οἱ τὰ τοιαῦτα πράττοντες εἰς κόλασιν ὑπάγουσιν· ἐντεῦθεν οὖν δοκίμασον, εἰ δύνασαι ὑπενεγκεῖν τὸ πῦρ τὸ αἰώνιον. Καὶ θεὶς τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸ πῦρ ἐν τῷ λύχνῳ, οὐκ ἦρεν αὐτὸν ἕως τελείως ἐκάη· τῇ γὰρ ὑπερβολῇ τῆς πυρώσεως τῆς σαρκός, καιόμενος ὑπὸ τοῦ πυρός, οὐ τοσοῦτον ᾐσθάνετο. Καέντος οὖν τοῦ πρῶτον τεθέντος, ἑξῆς τὸν δεύτερον ἔθηκεν, εἶτα τὸν τρίτον, καὶ οὕτω ποιῶν ἕως πρωΐας πάντας τοὺς τῶν χειρῶν αὐτοῦ δακτύλους κατέκαυσεν.

Ἐκείνη δὲ ἡ ἀθλία, ὁρῶσα ἃ ἐποίει ὁ γέρων καὶ πῶς ἑαυτοῦ τοὺς δακτύλους κατέκαυσεν, ἐκ τοῦ φόβου ἀπεπάγη καὶ τελείως ἀπέψυξεν. Οἱ οὖν νεώτεροι, οἱ τὰς συνθήκας ποιήσαντες, ὡς γέγονε πρωΐ, ἦλθον πρὸς τὸν ἀναχωρητὴν καὶ ἠρώτησαν αὐτὸν λέγοντες· ἦλθεν ὧδε ὀψὲ γυνή; Καὶ ἀπεκρίθη αὐτοῖς· ναί, ἔσω κοιμᾶται. Οἱ δὲ εἰσελθόντες εὗρον αὐτὴν νεκράν, εἶτα λέγουσιν αὐτῷ· Ἀββᾶ, τέθνηκε; Τότε ὁ γέρων, ἀνακαλύψας τὰς χεῖρας αὐτοῦ, ἔδειξεν αὐτοῖς λέγων· ἰδοὺ τί ἐποίησέ μοι ἡ θυγάτηρ τοῦ διαβόλου· ἀπώλεσέ μου τοὺς δακτύλους. Καὶ διηγησάμενος αὐτοῖς τὰ κατ' αὐτὸν εἶπε· γέγραπται, μὴ ἀποδώσῃς κακὸν ἀντὶ κακοῦ· εὐξώμεθα οὖν ἵνα ἀναστῇ. Καὶ ποιήσας εὐχὴν ἤγειρεν αὐτὴν καὶ ἀπέλυσεν· ἡ δὲ ἀπελθοῦσα, ἐσωφρόνησε τοῦ λοιποῦ.

13. Ἔλεγον περὶ τινος γέροντος, ὅτι περιπατῶν εὗρεν ἴχνος γυναικὸς ἐν τῇ ὁδῷ, καὶ ἐκάλυψεν αὐτὸ λέγων· μήπως ἴδῃ αὐτὸ ἀδελφὸς καὶ πόλεμον λάβῃ.

14. Ἔλεγον περὶ μεγάλου γέροντος, ὅτι παρέβαλεν εἰς Κοινόβιον, καὶ εἶδε παιδίον ἐκεῖ, καὶ οὐκ ἤθελε κοιμηθῆναι ἐν τῷ τόπῳ. Καὶ λέγουσιν αὐτῷ οἱ μετ' αὐτοῦ ἀδελφοί· καὶ σὺ φοβεῖ, Ἀββᾶ; Ὁ δὲ εἶπε· φύσει οὐ φοβοῦμαι, τέκνα, ἀλλὰ τίς χρεία ἀργοῦ πολέμου;

15. Ἔλεγον ὅτι ἀπῆλθέ ποτε ὁ διάβολος καὶ ἔκρουσεν εἰς Κοινόβιον, καὶ ὑπήκουσε παιδίον τοῦ δοῦναι ἀπόκρισιν. Καὶ θεασάμενος ὁ δαίμων τὸ μειράκιον εἶπεν· Εἰ σὺ εἶ ἐνταῦθα, ἐμοῦ χρεία οὐκ ἔστιν.

16. Ἔλεγον οἱ Πατέρες, ὅτι οὐ φέρει ὁ Θεὸς τὰ παιδία

εἰς τὴν ἔρημον, ἀλλ' ὁ σατανᾶς, ἵνα καταστρέφῃ τοὺς εὐσεβῶς θέλοντας ζῆν.

17. Κατάπλευσέ ποτε πλοῖον ἐπὶ δίολκον, καὶ ὥρμησεν εἰς τὸ ὄρος τῶν μοναχῶν. Καὶ ἐξελθοῦσα γυνὴ ἐκ τοῦ πλοίου ἐκάθισεν ἐπὶ βουνοῦ· ἀδελφὸς δέ τις ἐθὼν γεμίσαι ὕδωρ ἐκ τοῦ ποταμοῦ, εἶδεν αὐτὴν καὶ ἀνέκαμψε πρὸς τὸν Πρεσβύτερον λέγων· ἰδοὺ παρὰ τὸν ποταμὸν γυνὴ καθέζεται, ὃ οὐδέποτε, Ἀββᾶ, γέγονεν ὧδε. Καὶ ἀκούσας ὁ γέρων ἔλαβε τὴν ῥάβδον, καὶ ἐξελθὼν ἔτρεχε κράζων καὶ λέγων· βοηθεῖτε, ἀδελφοί, ὅτι λῃσταί. Καὶ πάντες ἰδόντες αὐτὸν ἔτρεχον καὶ αὐτοὶ μετὰ ῥάβδων ἐπὶ τὸν ποταμόν. Οἱ δὲ ναῦται, ἰδόντες τὴν ὁρμὴν αὐτῶν, ἐνόησαν καὶ ἁρπάσαντες τὴν γυναῖκα εἰς τὸ πλοῖον, ἔκοψαν τὰ σχοινία καὶ ἀφῆκαν τὸ πλοῖον ἀπελθεῖν τῷ ῥεύματι.

18. Εἶπε γέρων· ἡ παγὶς τοῦ διαβόλου πρὸς τὸν ἄνθρωπον, καὶ μάλιστα νέον ὄντα, τὸ σῶμα ἐστί, καθὼς καὶ ὁ Ἀββᾶς Ἡσαΐας παραγγέλλει λέγων· μὴ κρατήσῃς χεῖρα τινὸς μηδὲ ἐγγίσῃς σώματι ἀλλοτρίῳ, ἐκτὸς ἀσθενείας μεγάλης καὶ τοῦτο μετὰ φόβου. Μηδὲ σοὶ χεὶρ προσεγγίσῃ ἀλλοτρία, μηδὲ προσκυνήσῃ σε, μηδὲ εἴπῃς ποτέ τινι ἆραι φθεῖρα ἀπὸ τοῦ πώγωνος ἢ τῆς κεφαλῆς σου ἢ ἐκ τοῦ ἱματίου σου οὗ φορεῖς, μηδὲ συγκοιμηθῇς πλησίον τινὸς τὸ σύνολον ἐν ὅλῃ τῇ ζωῇ σου. Μηδὲ δώσῃς ἀσπασμὸν παιδίῳ μὴ ἔχοντι γένειον, μηδὲ ἐν αὐτῇ τῇ Ἐκκλησίᾳ, μηδὲ ἐρχομένῳ ἀπὸ ξένης, μηδὲ συγγελάσῃς παιδίῳ, ἵνα μή σου ἀπόληται ἡ ψυχή, μηδὲ πλησίον αὐτοῦ καθίσῃς ἢ περιπατήσῃς. Καὶ ἐν ταῖς χρείαις δὲ τῆς γαστρός σου μὴ καθίσῃς ὅλως μετὰ ἑτέρου· ὁ γὰρ ἀληθινὸς εὐλαβὴς αἰσχύνεται καὶ ἑαυτόν· πολλοὶ δὲ καταφρονήσαντες τῶν πραγμάτων, ὡς μηδαμινῶν, ἔπεσον ἐξ αὐτῶν εἰς βόθρον καὶ ἀπώλοντο· ἕκαστον γὰρ κακὸν ἀπὸ μικροῦ ἄρχεται, καὶ οὕτω γίνεται μέγα.

Ἑρμηνεία

Ὁ Ἀββᾶς Μακάριος εἶπε· νὰ μὴ κοιμηθῇς εἰς κελλὶ ἀδελφοῦ ποὺ ἔχει κακὴν φήμην.

2. Οἱ Πατέρες ἔλεγον ὅτι ἡ παγίδα τοῦ διαβόλου διὰ τοὺς Μοναχούς, περισσότερον καὶ ἀπὸ τὰς γυναῖκας, εἶναι τὰ παιδιά.

3. Ἔλεγον πάλιν οἱ Πατέρες· ὅπου ὑπάρχει κρασὶ καὶ παιδιὰ δὲν χρειάζεται ὁ Σατανᾶς.

4. Ἕνας Γέρων εἶπε· παιδιά μου, τὸ ἁλάτι βγαίνει ἀπ' τὸ νερὸ καὶ ἂν πλησιάσῃ τὸ νερὸ λειώνει καὶ ἐξαφανίζεται· ἔτσι καὶ ὁ μοναχὸς ἀπὸ τὴν γυναῖκα προέρχεται, ἂν πλησιάσῃ ὅμως γυναῖκα, διαλύεται καὶ χάνεται.

5. Εἶπεν εἰς τὸν Ἀββᾶν Σισώην ὁ μαθητής του:

— Πάτερ μου, ἐγήρασας· ἂς ὑπάγωμεν λοιπὸν νὰ κατοικήσωμεν, ἀπ' ἐδῶ καὶ ἐμπρός, κοντὰ εἰς πόλιν.

Ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὅπου δὲν ὑπάρχει γυναίκα, ἐκεῖ νὰ ὑπάγωμεν.

Ὁ μαθητής του τὸν ἐρωτᾷ τότε:

— Καὶ ποῖος τόπος εἶναι, ποὺ νὰ μὴ ὑπάρχῃ γυναίκα, ἐκτὸς μονάχα ἀπὸ τὴν ἔρημον;

— Πήγαινέ με λοιπὸν εἰς τὴν ἔρημον, τοῦ ἀπήντησεν ὁ Γέρων.

Ὁ Γέρων δὲ αὐτὸς ἠσκήτευεν ἑβδομήντα δύο χρόνια εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου καὶ πρίν, ὄχι καὶ ὀλίγα, ἔζησεν εἰς τὴν σκήτην μαζὶ μὲ τὸν Ἀββᾶν Ὢρ· καὶ ἰδὲ πῶς καὶ τότε ἀκόμη ἐπρόσεχε τὸν ἑαυτόν του.

6. Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

—Ἂν παραστῇ ἀνάγκη νὰ συναντήσῃ κάποιος μίαν γυναῖκα, πῶς πρέπει νὰ τὴν συναντήσῃ;

Καὶ ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ἡ ἀνάγκη αὐτὴ προέρχεται ἀπὸ τὸν διάβολον· αὐτὸς ὁ δόλιος δημιουργεῖ πολλὰς καὶ διαφόρους προφάσεις ὡς ἀναγκαίας, διὰ νὰ ἁρπάσῃ μὲ κάποιαν ἀπὸ αὐτὰς τὸν ἀγωνιζόμενον καὶ νὰ τὸν παρασύρῃ μαζί του εἰς τὸ βάραθρον τῆς ἀπωλείας. Ὡστόσον, ἄν, ὅπως εἶπες, παρουσιασθῇ κάποτε ἀνάγκη νὰ συναντήσῃς γυναῖκα, μὴ τὴν ἀφήσῃς νὰ ὁμιλήσῃ μαζί σου πολλὰ λόγια. Καὶ σύ, ὅταν λαλῇς μαζί της, νὰ εἴπῃς αὐτὰ ποὺ θέλεις, μὲ ὀλίγα λόγια, ὅσαι πολλαὶ ὑποθέσεις καὶ ἂν εἶναι, καὶ ἄφησέ την νὰ φύγῃ γρήγορα. Διαφορετικά, ἂν θὰ παραμείνῃς πολλὴν ὥραν μαζί της, δὲν θὰ ἀποφύγῃς τὴ δυσωδίαν της· ὁ λογισμός σου θὰ γεμίσῃ ἀπὸ αὐτὴν τὴν δυσωδίαν, θὰ ἀδυνατίσῃ καὶ θὰ ὑποπέσῃ ὕστερα εἰς τὴν ἁμαρτίαν.

7. Κάποιος Μοναχὸς μετέβη νὰ ἐπισκεφθῇ τὴν ἀδελφήν του, ἡ ὁποία ἦτο ἄρρωστη εἰς Μοναστήριον. Ἡ Μοναχὴ αὐτὴ ἦτο πιστοτάτη καὶ δὲν ἐδέχετο νὰ ἴδῃ ἄνδρα· ἄλλωστε δὲν ἤθελεν οὔτε καὶ ὁ ἀδελφός της νὰ εἰσέλθῃ, ἐξ αἰτίας της, ἀνάμεσα εἰς γυναῖκας. Δι' αὐτὸ τοῦ ἐδήλωσε· Πήγαινε ἀδελφέ μου, νὰ εὔχεσαι δι' ἐμὲ καὶ μὲ τὴν Χάριν τοῦ Χριστοῦ θὰ σὲ ἰδῶ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

8. Κάποιος Μοναχὸς ἐπερπατοῦσε μαζὶ μὲ τὴν μητέρα του, ἡ ὁποία ἦτο γραῖα· καὶ ὅταν ἦλθον εἰς τὸν ποταμόν, δὲν ἠμποροῦσεν ἡ γραῖα νὰ περάσῃ. Ἐπῆρε λοιπὸν ὁ υἱός της τὸ μαφόριόν του*, ἐτύλιξε μὲ αὐτὸ τὰ χέρια του καὶ ἀφοῦ ἔτσι τὴν ἐβάσταξε, τὴν ἐπέρασεν ἀντίκρυ. Ὅταν ἐπέρασαν, τοῦ λέγει ἐκείνη:

— Διατὶ ἐτύλιξες, παιδί μου, τὰ χέρια σου;

—Διότι τὸ σῶμα τῆς γυναικὸς εἶναι φωτιά, ἀπήντησεν ὁ Μοναχός, καὶ ἀπ' αὐτὸ ἔρχεται ἐνθύμησις ἄλλων γυναικῶν. Δι' αὐτὸ ἔκαμα ἔτσι, διὰ νὰ μὴ ἐγγίσω τὸ σῶμα σου γυμνόν.

9. Εἶπεν ὁ Ἀββᾶς Δανιὴλ εἰς Μοναχόν, ὁ ὁποῖος ἠνωχλεῖτο ἀπὸ πορνείαν· ποτὲ μὴ ἁπλώσῃς τὸ χέρι σου μαζὶ μὲ γυναῖκα εἰς πιάτο καὶ φάγῃς μαζὶ μὲ αὐτήν· ἔτσι θὰ ἀποφύγῃς τὸ δαίμονα τῆς πορνείας.

---

* Τὸ μαφόριον ἢ μοφόριον ἦτο εἶδος ἐνδύματος, ἕνα εἶδος μπέρτας, τὸ ὁποῖον ἐρρίπτετο ἐπὶ τῶν ὤμων καὶ τοὺς ἐσκέπαζεν.

10. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός· ἐκεῖνος ποὺ χορταίνει φαγητὸν καὶ συνομιλεῖ μὲ παιδί, ἐπόρνευσεν ἤδη μὲ τὸν λογισμόν του.

11. Ὁ Ἀββᾶς Καρίων εἶπεν· ἄνθρωπος, ποὺ μένει μὲ παιδί, ἂν δὲν εἶναι δυνατός, πίπτει εἰς ἁμαρτίαν· ἄν, πάλιν, εἶναι δυνατός, δὲν πίπτει εἰς ἁμαρτίαν, ἀλλὰ καὶ δὲν προκόπτει.

12. Εἰς τὰ μέρη τῆς Αἰγύπτου ἔζουσε κάποιος Ἀναχωρητής· αὐτὸς ἐκατοικοῦσεν εἰς ἕνα μόνον μικρὸν κελλὶ μέσα εἰς τὴν ἔρημον καὶ ἦτο ὀνομαστός. Κατὰ διαβολικὴν ἐνέργειαν μία κοινὴ γυναίκα, ὅταν ἐπληροφορήθη δι' αὐτόν, εἶπεν εἰς τοὺς νέους· τί μοῦ δίδετε καὶ ἐγὼ θὰ παρασύρω εἰς τὴν ἁμαρτίαν τὸν ἀναχωρητήν σας. Ἐκεῖνοι συνεφώνησαν νὰ τῆς δώσουν κάτι.

Πραγματικὰ ἐβγῆκε τὸ βράδυ ἀπὸ τὴν πόλιν καὶ ἦλθεν ἔξω ἀπὸ τὸ κελλὶ τοῦ Ἀναχωρητοῦ, ὡσὰν νὰ εἶχε χάσει τάχα τὸν δρόμον. Ἐστάθη ἔξω ἀπὸ τὴν θύραν καὶ ἐκτύπησε. Μόλις ἐβγῆκε ὁ Γέρων καὶ τὴν εἶδε, ἐταράχθη.

— Πῶς ἔφθασες ἐδῶ; τὴν ἠρώτησεν ἐκεῖνος.

— Ἔχασα τὸν δρόμον μου, ἀπήντησεν ἐκείνη μὲ δάκρυα, ἀλλὰ λυπήσου με καὶ μὴ μὲ ἀφήσῃς νὰ καταφαγωθῶ ἀπὸ τὰ θηρία.

Ὁ Ἀναχωρητὴς τὴν εὐσπλαγχνίσθη καὶ τὴν ἔβαλεν εἰς τὸ κελλί του.

Τὴν νύκτα ἤρχισεν ὁ διάβολος νὰ τοῦ φέρνῃ εἰς τὸν νοῦν του λογισμοὺς ἀκολασίας. Ἐννοήσας τότε ἐκεῖνος τὸν πόλεμον τοῦ ἐχθροῦ, εἶπεν εἰς τὸν ἑαυτόν του· αἱ πονηρίαι τοῦ ἐχθροῦ εἶναι σκότος, ὁ δὲ υἱὸς τοῦ Θεοῦ εἶναι φῶς. Καὶ ἀμέσως ἐσηκώθηκε καὶ ἤναψε τὸν λύχνον. Ἐπειδὴ ὅμως μέσα του ἐφούντωνε ἡ φλόγα τῆς ἐπιθυμίας καὶ κατέκαιε φρικτὰ τὸν ἀσκητήν, εἶπε, πάλιν, εἰς τὸν ἑαυτόν του· ὅσοι κάμνουν αὐτὰ πηγαίνουν εἰς τὴν κόλασιν· δοκίμασε λοιπὸν ἀπ' ἐδῶ ἂν ἠμπορῇς νὰ ὑποφέρῃς τὸ αἰώνιον πῦρ, καὶ ἀμέσως ἔβαλε τὸν δάκτυλόν του εἰς τὴν φλόγα· δὲν τὸν ἀπεμάκρυνε δὲ ἕως ὅτου ἐκάη τελείως, διότι ἀπὸ τὴν ὑπερβολικὴν πύρωσιν τῆς σαρκὸς δὲν ᾐσθάνετο καὶ τόσον τὸν πόνον ἀπὸ τὸ κάψιμον τῆς φλόγας. Ἀφοῦ ἐκάηκεν ἔτσι ὁ πρῶτος δάκτυλος, ἔβαλε κατόπιν τὸν δεύτερον, μετὰ τὸν τρίτον καὶ ἔτσι μέχρι τὸ πρωῒ κατέκαυσεν, ὅλα τὰ δάκτυλα τῶν χεριῶν του.

Ἐκείνη ἡ ἀθλία, καθὼς ἔβλεπεν αὐτὰ ποὺ ἔκαμνεν ὁ Γέρων καὶ ὅτι ἔκαυσε τὰ δάκτυλά του, ἐπάγωσεν ἀπὸ τὸν φόβον της καὶ ἐξεψύχησεν.

Οἱ νέοι ποὺ ἔβαλαν μαζί της τὸ στοίχημα, μόλις ἐξημέρωσεν, ἦλθαν εἰς τὸν ἀναχωρητὴν καὶ τὸν ἠρώτησαν· μήπως ἦλθεν ἐδῶ χθὲς τὸ βράδυ κάποια γυναίκα;

— Ναί· τοὺς ἀπήντησεν ἐκεῖνος. Εἶναι μέσα καὶ κοιμᾶται.

Οἱ νέοι εἰσῆλθον εἰς τὸ κελλὶ καὶ τὴν εὗρον νεκράν.

— Ἀββᾶ, ἀπέθανεν; ἐρωτοῦν τὸν ἀσκητήν.

Εἰς ἀπάντησιν ὁ Γέρων τοὺς ἔδειξε τὰ χέρια του καὶ τοὺς λέγει:

— Νὰ τί μοῦ ἔκαμεν ἡ θυγατέρα τοῦ διαβόλου· μοῦ κατέστρεψε τὰ δάκτυλα.

Ἀφοῦ δὲ τοὺς διηγήθη τί τοῦ εἶχε συμβῆ, τοὺς εἶπεν:

— Ἔχει ὅμως γραφῆ: νὰ μὴ ἀποδώσῃς κακόν, διὰ τὸ κακὸν ποὺ σοῦ ἔκαμαν· ἂς προσευχηθῶμεν λοιπὸν νὰ ἀναστηθῇ. Μετὰ θερμὴν δὲ προσευχὴν ποὺ ἔκανε, τὴν ἀνέστησε καὶ τὴν ἄφησε νὰ φύγῃ. Ἐκείνη ἔφυγε καὶ ἀπὸ τότε ἐσωφρονίσθη.

13. Διὰ κάποιον Γέροντα ἔλεγον, ὅτι ἐνῷ ἐπερπατοῦσεν, εὑρῆκεν καθ' ὁδὸν πάτημα γυναίκας καὶ τὸ ἐσκέπασε. Μήπως τὸ ἴδῃ κανένας ἀδελφός, ἐμονολόγησε, καὶ πολεμηθῇ.

14. Ἔλεγαν διὰ κάποιον μεγάλον Γέροντα, ὅτι ἐπῆγεν εἰς Κοινόβιον καὶ εἶδεν ἐκεῖ ἕνα παιδί, καὶ δὲν ἤθελε νὰ κοιμηθῇ εἰς ἐκεῖνο τὸ μέρος. Οἱ ἀδελφοὶ ποὺ τὸν συνώδευαν (καὶ τὸ εἶδον αὐτὸ) τοῦ εἶπαν:

— Καὶ σὺ φοβᾶσαι, Ἀββᾶ;

— Πραγματικὰ δὲν φοβᾶμαι· ἀλλὰ ποία ἡ ἀνάγκη ματαίου πολέμου;

15. Κάποτε — διηγοῦνται — μετέβη ὁ διάβολος εἰς ἕνα Κοινόβιον καὶ ἐκτύπησε τὴν θύραν· τὸν ἤκουσεν ἕνα παιδὶ καὶ ἔδωσε τὴν ἀπάντησιν. Μόλις εἶδεν ὁ δαίμονας τὸ παιδί, εἶπεν· ἐφ' ὅσον εἶσαι σὺ ἐδῶ, ἐγὼ δὲν χρειάζομαι.

16. Οἱ Πατέρες ἔλεγον· δὲν φέρνει ὁ Θεὸς τὰ παιδιὰ εἰς τὴν ἔρημον, ἀλλὰ ὁ σατανᾶς, διὰ νὰ καταστρέφῃ αὐτοὺς ποὺ θέλουν νὰ ζοῦν μὲ εὐσέβειαν.

17. Ἔφθασε κάποτε ἕνα πλοῖον εἰς δίολκον* καὶ ἄραξεν εἰς τὸ ὄρος τῶν Μοναχῶν. Ἀπὸ τὸ πλοῖον ἐβγῆκε μία γυναίκα καὶ ἐκάθισεν ἐπάνω εἰς τὸ βουνόν. Κάποιος ἀδελφὸς ἦλθε νὰ πάρῃ νερὸ ἀπὸ τὸν ποταμόν, τὴν εἶδε καὶ ἐπέστρεψεν εἰς τὸν πρεσβύτερον, πρὸς τὸν ὁποῖον εἶπεν· εἰς τὴν ὄχθην τοῦ ποταμοῦ κάθεται μία γυναίκα, Ἀββᾶ, πρᾶγμα ποὺ ποτὲ δὲν ἔγινε ἐδῶ. Μόλις τὸ ἤκουσεν αὐτὸ ὁ Γέρων, ἐπῆρε τὸ ῥαβδί του καὶ ἀφοῦ ἐβγῆκεν ἀπὸ τὸ κελλί του ἔτρεχε· βοηθεῖτε, ἀδελφοί, ἔκραζε καὶ ἔλεγε, διότι ἔχουν ἔλθει λησταί. Καὶ ὅλοι, μόλις τὸν εἶδαν, ἔτρεχαν καὶ αὐτοὶ μὲ ῥάβδους πρὸς τὸν ποταμόν.

Οἱ ναῦται, ὅταν εἶδαν τὴν βιαίαν αὐτὴν ἐπίθεσιν, ἐκατάλαβαν καὶ

---

* Δίολκος ἐλέγετο κυρίως εἰδικὸς ξύλινος διάδρομος εἰς Κόρινθον, ποὺ συνέδεε διὰ ξηρᾶς τὰς δύο θαλάσσας (Κορινθιακὸν καὶ Σαρωνικὸν κόλπον). Δι' αὐτοῦ ἐσύροντο τὰ πλοῖα ἀπὸ τῆς μιᾶς θαλάσσης εἰς τὴν ἄλλην, διότι τότε δὲν εἶχε κοπῆ ὁ ἰσθμός. Ἔκτοτε δίολκος λέγεται κάθε παρόμοιος διάδρομος, ποὺ διηυκόλυνε τὴν διὰ ξηρᾶς μεταφορὰν πλοίου ἀπὸ μιᾶς θαλάσσης εἰς τὴν ἄλλην. Ἐνταῦθα πιθανὸν νὰ πρόκειται περὶ τοιούτου ξυλίνου διαδρόμου, ποὺ συνέδεε δύο τμήματα τοῦ ποταμοῦ Νείλου εἰς τὸ Δέλτα πλησίον τῆς ἐκβολῆς του εἰς τὴν θάλασσαν.

ἥρπασαν τὴν γυναῖκα εἰς τὸ πλοῖον, ἔκοψαν ἀμέσως τὰ σχοινιὰ καὶ τὸ ἄφησαν νὰ παρασυρθῇ ἀπὸ τὸ ρεῦμα.

18. Ἕνας Γέρων εἶπεν· ἡ παγίδα τοῦ διαβόλου διὰ τὸν ἄνθρωπον καὶ μάλιστα ὅταν εἶναι νέος, εἶναι τὸ σῶμα· ὅπως μᾶς παραγγέλλει καὶ ὁ Ἀββᾶς Ἠσαΐας. Μὴ κρατήσῃς χέρι ἀνθρώπου — λέγει — οὔτε νὰ πλησιάσῃς ξένον σῶμα, ἐκτὸς ὅταν εἶναι πολὺ ἄρρωστος ὁ ἄλλος καὶ αὐτὸ μὲ φόβον· οὔτε τὸ χέρι σου νὰ τὸ πλησιάσῃ ἄλλο, οὔτε νὰ σὲ χαιρετήσῃ· οὔτε νὰ εἰπῇς ποτὲ σὲ κανένα νὰ βγάλῃ τὴν ψεῖραν ἀπὸ τὰ γένεια, ἢ τὸ κεφάλι σου, ἢ ἀπὸ τὸ ἱμάτιον, ποὺ φορεῖς. Εἰς ὅλην σου τὴν ζωὴν ποτὲ νὰ μὴ κοιμηθῇς κοντὰ μὲ ἄλλον, οὔτε νὰ ἀσπασθῇς ἀγένειον παιδί, οὔτε εἰς αὐτὴν ἀκόμη τὴν Ἐκκλησίαν, ὅταν ἔρχεται ἀπὸ ἄλλο μέρος, οὔτε νὰ γελάσῃς μαζὶ μὲ μικρὸν παιδί, διὰ νὰ μὴ χαθῇ ἡ ψυχή σου, οὔτε νὰ καθίσῃς κοντά του ἢ νὰ περιπατήσῃς.

Καὶ διὰ τὰς ἀνάγκας τῆς κοιλίας σου, νὰ μὴ καθίσῃς καθόλου μαζὶ μὲ ἄλλον· διότι ὁ πραγματικὰ εὐλαβὴς ἐντρέπεται καὶ τὸν ἑαυτόν του. Πολλοὶ περιεφρόνησαν τὰ πράγματα αὐτά, ὡς ἀσήμαντα, δῆθεν· ὅμως κάθε κακὸ ἀπὸ μικρὸν ἀρχίζει καὶ ἔτσι μεγαλώνει.

ΙΓ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΕΓΑΣ κίνδυνος παιδίῳ ἐν Κοινοβίῳ, ἐάν περ ἀκυβερνησία ἐστὶν ἐν τῷ μέσῳ· ὁ δὲ ἐκτρέφων εὐαρέστως τῷ Θεῷ μακαριστός. Φεύγεις, ἀγαπητέ, τοὺς τοξεύοντας τὸ σῶμα; Φεῦγε μᾶλλον τοὺς τοξεύοντας τὴν ψυχήν. Φεύγεις ὄφιν δάκνοντα τὸ σῶμα; Φεῦγε μᾶλλον γυναῖκα δάκνουσαν τὴν ψυχήν. Ὁ καταμανθάνων κάλλος γυναικῶν ἐμφυτεύει ἐν τῇ ἰδίᾳ ψυχῇ ἐπιθυμίαν αὐτῆς· καὶ ὁ ἐνδελεχῶν πρὸ θύρας οἴκων αὐτῆς ὅμοιός ἐστι τῷ ἐπὶ κρυστάλλου περιπατοῦντι, ὅτι οὐ μακρὰν τὸ ὀλίσθημα ἀπ' αὐτοῦ. Φεύγεις, ἀγαπητέ, τὸ πῦρ, ἵνα μὴ καῇ σου τὸ σῶμα; Φεῦγε καὶ τὴν ἁμαρτίαν, ἵνα μὴ ἐν πυρὶ ἀσβέστῳ σε παραπέμψῃ καὶ καίηταί σου τὸ σῶμα σὺν τῇ ψυχῇ αἰωνίως. Ὥς περ δύο μαχηταί, οὕτω μοναχὸς συντυγχάνων μετὰ γυναικός, καὶ ὁ νήφων σκυλεύσει καὶ σκυλευθήσεται. Σωφροσύνη καὶ ὁμιλία γυναικὸς ὡς λέαινα μετὰ προβάτου ἐν οἴκῳ ἑνί.

Ἑρμηνεία

ΕΙΝΑΙ μεγάλος ὁ κίνδυνος ἂν εὑρίσκεται παιδὶ εἰς τὸ Κοινόβιον, ἐφ' ὅσον βέβαια ὑπάρχει καὶ ἀκυβερνησία εἰς τὸ μέσον· ἐκεῖνος ὅμως ποὺ ἀνατρέφει (ἕνα παιδὶ) ὅπως θέλει ὁ Θεὸς εἶναι εὐλογημένος. Ἀποφεύγεις, ἀγαπητέ μου, αὐτοὺς ποὺ τοξεύουν τὸ σῶμα; Καλλίτερα νὰ ἀποφεύγῃς αὐτοὺς ποὺ ρίπτουν τὰ βέλη των εἰς τὴν ψυχήν. Φεύγεις ἀπὸ τὸ φίδι, ποὺ δαγκώνει τὸ σῶμα; Καλλίτερα νὰ φεύγῃς ἀπὸ γυναῖκα, ποὺ δαγκώνει τὴν ψυχήν. Αὐτὸς ποὺ περιεργάζεται τὸ κάλλος γυναικῶν, φυτεύει μέσα εἰς τὴν ψυχήν του τὴν ἐπιθυμίαν δι' αὐτήν· καὶ ἐκεῖνος, ποὺ εὑρίσκεται συχνὰ ἐμπρὸς εἰς τὴν θύραν τοῦ οἴκου αὐτῶν ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ περιπατεῖ ἐπάνω εἰς κρύσταλλον, ἐπειδὴ δὲν εἶναι μακρὰν ἡ

στιγμὴ ποὺ θὰ γλιστρήση. Φεύγεις, ἀγαπητέ μου, ἀπὸ τὴν φωτιὰν διὰ νὰ μὴ καῇ τὸ σῶμα σου; Νὰ φεύγῃς μακρὰν καὶ ἀπὸ τὴν ἁμαρτίαν, διὰ νὰ μὴ σὲ ἀποστείλῃ εἰς τὸ ἄσβεστον πῦρ καὶ καίεται αἰωνίως τὸ σῶμα σου μαζὶ μὲ τὴν ψυχήν σου. Ὅπως δύο μονομάχοι, ἔτσι εἶναι καὶ ὁ μοναχός, ποὺ συναναστρέφεται μὲ γυναῖκα· καὶ προσεκτικὸς ἂν εἶναι καὶ θὰ νικήσῃ, ἀλλὰ καὶ θὰ νικηθῇ. Ἡ σωφροσύνη καὶ ἡ συναναστροφὴ μὲ γυναῖκα εἶναι ὅπως ἡ λέαινα μὲ τὸ πρόβατον εἰς τὴν ἰδίαν μάνδραν.



ΥΠΟΘΕΣΙΣ Λ΄

Ὅτι οὐ δεῖ τὸν πιστὸν ἀνέχεσθαι ὅλως ἀκούειν αὐλοῦ ἢ κιθάρας, ἢ τινος ἄλλου μέλους θυμελικοῦ, ἀλλ᾽ ὡς ὀλέθρια ταῦτα φεύγειν.

Ὅτι δὲν πρέπει καθόλου ὁ πιστὸς νὰ δέχεται νὰ ἀκούῃ φλογέραν ἢ κιθάραν, ἢ κανένα ἄλλο θεατρικὸν ὄργανον, ἀλλὰ νὰ τὰ ἀποφεύγῃ ὡς καταστρεπτικά.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΦΟΥΡΤΟΥΝΑΤΟΣ τις ἀνὴρ εὐγενέστατος, τὸν τοῦ Θεοῦ δοῦλον Βονιφάτιον τὸν Ἐπίσκοπον τῆς Φερνήτιδος πόλεως, ὃς μεγίσταις δυνάμεσιν ἔλαμψεν, ἱκέτευσεν ἐλθεῖν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ εὐλογῆσαι αὐτόν. Ὁ δέ, εἰδὼς ὅτι μετὰ πίστεως ὁ ἀνὴρ αἰτεῖται, προθύμως ὑπήκουσεν. Ἐλθὼν οὖν ὁ Ἐπίσκοπος εἰς τὴν τοῦ Φουρτουνάτου οἰκίαν, καὶ τῆς τραπέζης παρατεθείσης, πρὶν ἢ αὐτὸν τὴν ὡρισμένην εὐχὴν ἐν τῇ τραπέζῃ τῷ Θεῷ προσενέγκαι, ἀνήρ τις πένης ἔμπροσθεν τῆς θύρας μετὰ σείστρων παρέστη καὶ τὰ κύμβαλα ἔκρουσε, ζητῶν διὰ τούτων τροφήν. Ὁ οὖν Ἐπίσκοπος ἐπὶ τῷ τῶν κυμβάλων ἤχῳ περιπαθὴς γεγονὼς καὶ κατώδυνος, ἔφη· Οὐαί, οὐαί, ἀπέθανεν ὁ ἐλεεινὸς οὗτος· ἐγὼ ἐν τῇ τραπέζῃ τῆς εὐφροσύνης ἐλθών, οὔπω εἰς τὴν τοῦ Θεοῦ αἴνεσιν τὸ στόμα μου ἤνοιξα, οὗτος δὲ μετὰ σείστρων ἐλθὼν κύμβαλα ἔκρουσε. Καὶ προσθεὶς εἶπε· δότε αὐτῷ διὰ τὴν ἀγάπην τροφὴν καὶ ποτόν, γιγνώσκετε δὲ ὅτι ἀπέθανεν.

Ὁ οὖν ἄθλιος ἐκεῖνος ἀνήρ, ἄρτον καὶ οἶνον ἐκ τοῦ αὐτοῦ οἴκου λαβὼν καὶ μέλλων ἤδη τὴν θύραν ἐξελθεῖν, λίθῳ μεγίστῳ ἄνωθεν ἐκ τῶν κεράμων αὐτομάτως πεσόντι τὴν κεφαλὴν βάλλεται, καὶ εἰς τέλος ταύτην συνθρύπτεται. Ἡμιθανὴς οὖν ἀρθείς, τῇ ἑξῆς ἡμέρᾳ τέλει τοῦ βίου ἐχρήσατο, κατὰ τὴν τοῦ ἀνθρώπου τοῦ Θεοῦ ψῆφον, ἐξ οὗ πράγματος, Πέτρε, κατανοῆσαι ἐστί, πῶς οἱ Ἅγιοι φανεροὶ τυγχάνουσι· ναοὶ γάρ εἰσι τοῦ Θεοῦ, καὶ ἐάν ποτε εἰς ὀργὴν κινηθῶσιν, δι᾽ αὐτῶν τὴν δύναμιν ἐργάζεται καὶ τὴν ἐκδίκησιν ἐπάγει, οἵαν αὐτοὶ βούλονται.

Ἑρμηνεία

Ο ΦΟΥΡΤΟΥΝΑΤΟΣ, ἄνθρωπος εὐγενέστατος, παρεκάλεσε

κάποτε τὸν δοῦλον τοῦ Θεοῦ Βονιφάτιον, Ἐπίσκοπον τῆς Φερνήτιδος*, ποὺ διέλαμψε μὲ τὰ μεγάλα του θαύματα, νὰ ἔλθῃ εἰς τὴν οἰκίαν του καὶ νὰ τὸν εὐλογήσῃ. Ὁ Ἐπίσκοπος, ἐπειδὴ ἐβεβαιώθη ὅτι μὲ πίστιν τὸ ζητεῖ αὐτό, ἐδέχθη πρόθυμα.

Ἀφοῦ λοιπὸν ἦλθεν ὁ Ἐπίσκοπος εἰς τὸ σπίτι τοῦ Φουρτουνάτου καὶ ἔστρωσαν τὸ τραπέζι διὰ φαγητόν, πρὶν νὰ κάμουν τὴν προσευχὴν τῆς τραπέζης, παρουσιάσθη ἔξαφνα ἐμπρὸς εἰς τὴν θύραν κάποιος ζηνιᾶνος μὲ ντέφια καὶ ἐκτύπησε τὰ κύμβαλα, ζητιανεύωντας τροφήν. Ὁ Ἐπίσκοπος τότε ἐλυπήθηκε πάρα πολὺ καὶ ἐστενοχωρήθη ἀπὸ τὸν ἦχον τῶν κυμβάλων. Ἀλλοίμονον! ἀλλοίμονον! — εἶπε — ἀπέθανεν ὁ δυστυχισμένος αὐτός· ἐγὼ ἦλθα εἰς τὸ χαρούμενον τραπέζι καὶ ἀκόμη δὲν ἄνοιξα τὸ στόμα μου νὰ εὐχαριστήσω τὸν Θεόν, ἐνῷ αὐτὸς ἦλθε μὲ τὰ ντέφια του καὶ ἐκτύπησε τὰ κύμβαλα. Καὶ προσέθεσεν· δώσατέ του τροφὴν καὶ ποτόν, μάθετε ὅμως ὅτι ἀπέθανεν.

Ὁ ἄθλιος λοιπὸν ἐκεῖνος ἄνθρωπος, ἀφοῦ ἐπῆρε ἄρτον καὶ οἶνον ἀπὸ τὸ σπίτι ἐκεῖνο καὶ ἐνῷ ἐξήρχετο ἀπὸ τὴν θύραν, ἐκτύπησε τὸ κεφάλι του ἀπὸ κάποιαν μεγάλην πέτραν, ποὺ ἔπεσε μόνη της ἀπὸ τὰ κεραμίδια καὶ τελικὰ τὸ συνέτριψεν. Τὸν ἐσήκωσαν μισοπεθαμένον καὶ τὴν ἄλλην ἡμέραν ἀπέθανεν, ὅπως τὸ προεῖπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ. Ἀπὸ αὐτὸ τὸ πρᾶγμα, Πέτρε, ἠμπορεῖς νὰ ἐννοήσῃς, πῶς γίνονται φανεροὶ οἱ Ἅγιοι τοῦ Θεοῦ, διότι εἶναι ναοὶ τοῦ Θεοῦ· ἂν κάποτε λοιπὸν ὀργισθοῦν, ὁ Θεός, ποὺ κατοικεῖ εἰς αὐτούς, ἐνεργεῖ δι' αὐτῶν καὶ τιμωρεῖ ὅποιον θελήσουν αὐτοί.

---

* Ἀρχαία πόλις τῆς Ἰταλίας.

ΥΠΟΘΕΣΙΣ ΛΑ΄

Ὅτι ἐκ διαφόρων αἰτιῶν ὁ ἐνυπνιασμὸς γίνεται.

Ὅτι ὁ ἐνυπνιασμὸς (ἡ σπερματόρροια εἰς τὸν ὕπνον) προκαλεῖται ἀπὸ διαφόρους αἰτίας.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ γέρων περὶ τοῦ ἐνυπνιάζεσθαι· καὶ ἀπεκρίθη, ὅτι δεῖ τοῦτο ὅλως μὴ προσποιεῖσθαι, ἀλλὰ νομίζειν ἑαυτὸν ἀπονύσσεσθαι. Ἐὰν γὰρ περιπατῶν δημοσίᾳ ἴδῃς καπηλομαγειρεῖον, καὶ πλησιάσας ἐν τῷ παρέρχεσθαί σε μεταλάβῃς τῆς τῶν κρεῶν ἀναθυμιάσεως, ἔφαγες ἢ οὔ; πάντως ἐρεῖς ὅτι οὔ· οὕτως οὔτε ἐνυπνιάζεσθαι μολυσμόν σοι παρέξει. Ἐάν γάρ σε ἴδῃ ὁ ἐναντίος δειλόν, πλέον σοι ἐπεμβαίνει, παρατήρει δὲ ὅπως μὴ ἐν αἰσθήσει ἐλθὼν συγκαταβῇς τῇ διανοίᾳ· ἤγουν μὴ ἔξυπνος γενόμενος τῆς φαντασίας ἀναμνησθῇς καὶ συγκατάθῃ αὐτοῦ.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων ἠρωτήθη διὰ τὸν ἐνυπνιασμὸν καὶ ἀπεκρίθη, ὅτι δὲν πρέπει καθόλου αὐτὸ τὸ πρᾶγμα νὰ τὸ ἀποδίδωμεν ὡς ὑπεύθυνον ἁμαρτωλὴν ἐνέργειαν εἰς τὸν ἑαυτόν μας, ἀλλὰ νὰ νομίζωμεν ὅτι ἁπλῶς ἐκεντήθημεν ἀπὸ τὸν σατανᾶν. Ἂν δηλαδὴ καθὼς περιπατεῖς εἰς τὸν δημόσιον δρόμον ἴδῃς μαγειρεῖον καί, ὅταν περνᾷς ἀκριβῶς ἀπ᾽ ἔξω, αἰσθανθῇς τὴν μυρωδιὰν ἀπὸ τὰ κρέατα, ἔφαγες ἢ ὄχι; Βεβαίως θὰ ἀπαντήσῃς ὅτι ὄχι· ἔτσι ἀκριβῶς καὶ ὁ ἐνυπνιασμὸς δὲν σοῦ προξενεῖ μολυσμόν. Ἂν ὅμως ὁ ἀντίπαλος σὲ ἴδῃ φοβισμένον, περισσότερον σὲ ἐνοχλεῖ. Πρόσεχε μόνον ὅταν συνέλθῃς ἀπὸ τὸ ὄνειρον νὰ μὴ δεχθῇς εἰς τὴν σκέψιν σου ὅσα ἐμπαθῆ ἔβλεπες· δηλαδὴ μὴ τυχὸν ὅταν ἐξυπνήσῃς ἐνθυμηθῇς τὴν νυκτερινὴν φαντασίαν καὶ συγκατατεθῇς εἰς αὐτήν.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ πειράζῃ ἐν φαντασίᾳ συνουσίας ἐν τῇ νυκτί, φύλαξον ἐν τῇ καρδίᾳ σου μὴ λογίσασθαι αὐτὰ ἐν τῇ ἡμέρᾳ ποῖα σώματα τῆς φαντασίας ἦν, ἵνα μὴ μιανθῇς ἐν τῇ ἡδονῇ αὐτῶν, καὶ ἐπενέγκῃς ἑαυτῷ ὀργὴν πονηράν, ἀλλὰ παράρριπτε ἑαυτὸν τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ σου, καὶ βοηθεῖ σοι· οἰκτίρμων γάρ ἐστιν ἐπὶ τῇ ἀσθενείᾳ τοῦ ἀνθρώπου.

Ἑρμηνεία

ΑΝ ἐνοχλῆσαι τὴν νύκτα μὲ ὄνειρον ὅτι τάχα συνουσιάζεσαι, πρόσεξε νὰ μὴ σκεφθῇς τὴν ἡμέραν ποῖα ἦσαν τὰ πρόσωπα τῆς νυκτερινῆς φαντασίας, διὰ νὰ μὴ μιανθῇς ἀπὸ τὴν ἡδονήν των καὶ ἐπισύρῃς ἔτσι ἐναντίον σου αὐστηρὰν ὀργήν· ἀλλὰ νὰ ἐμπιστευθῇς τὸν ἑαυτόν σου, μὲ ὅλην σου τὴν καρδίαν, εἰς τὸν Θεὸν καὶ θὰ σὲ βοηθήσῃ, διότι εὐσπλαγχνίζεται τὸν ἄνθρωπον ὅταν ἀσθενῇ.

Γ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΙΝΕΣ μέν φασιν ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους, κινοῦσι τὸ πάθος τῆς πορνείας· εἶτα τὸ πάθος κινούμενον ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ τῆς μνήμης ἐπὶ τὸν νοῦν. Τινὲς δὲ ὅτι τῷ μὲν νῷ ἐν σχήματι γυναικὸς παραφαίνονται, τῶν δὲ μορίων τοῦ σώματος καθαπτόμενοι τὴν ὄρεξιν κινοῦσι, καὶ οὕτω γίνονται αἱ φαντασίαι. Ἕτεροι δὲ πάλιν, ὅτι τὸ πάθος τὸ ἐπικρατοῦν ἐν τῷ πλησιάζοντι δαίμονι κινεῖ τὸ πάθος, καὶ οὕτως ἀνάπτεται πρὸς τοὺς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὰς διὰ τῆς μνήμης. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν ὁμοίως. Οἱ μὲν οὕτως, οἱ δὲ οὕτω συμβαίνειν φάσκουσι· πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπῳ ἰσχύουσι τὸ πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ ψυχῇ ἀγάπης καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ λέγουν ὅτι οἱ δαίμονες ἐγγίζουν, εἰς τὸν ὕπνον, τὰ γεννητικὰ μόρια καὶ ἔτσι κινοῦν τὸ πάθος τῆς πορνείας· ἔπειτα, ὅταν τὸ πάθος κινηθῇ, φέρνει εἰς τὸν νοῦν, μὲ τὴν ἀνάμνησιν, τὴν μορφὴν τῆς γυναικός. Ἄλλοι πάλιν λέγουν ὅτι οἱ δαίμονες ἐμφανίζονται εἰς τὸν νοῦν μας ὡς γυναῖκες καὶ ὅτι ἐγγίζουν τὰ γεννητικὰ μόρια, διὰ νὰ κινήσουν τὴν ὄρεξιν καὶ ἔτσι γεννῶνται αἱ φαντασίαι τῶν ὀνείρων. Ὑπάρχουν ἐπίσης καὶ ἄλλοι ποὺ λέγουν ὅτι τὸ πάθος τὸ ὁποῖον ἐπικρατεῖ εἰς τὸν δαίμονα, ὁ ὁποῖος πλησιάζει, κινεῖ εἰς τὴν ψυχὴν τὸ ὅμοιον πάθος καὶ ἔτσι πυρώνεται ἡ ψυχὴ ἀπὸ τοὺς κακοὺς λογισμοὺς καὶ ἀνακαλεῖ εἰς τὴν μνήμην τὰς γυναικείας μορφάς. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὰς ἄλλας φανταστικὰς εἰκόνας τῶν ὀνείρων. Ἄλλοι λοιπὸν ἔτσι, ἄλλοι διαφορετικὰ λέ-

γουν ὅτι συμβαίνει ὁ ἐνυπνιασμός. Πλὴν ὅμως μὲ κανένα ἀπὸ τοὺς τρόπους, ποὺ εἴπαμεν, δὲν ἠμποροῦν οἱ δαίμονες νὰ κινήσουν ὁποιοδήποτε πάθος, ἂν ὑπάρχῃ εἰς τὴν ψυχὴν ἀγάπη καὶ ἐγκράτεια, οὔτε ὅταν εἴμεθα ξυπνητοί, οὔτε ὅταν κοιμώμεθα.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· συνήθισον κατὰ μικρὸν τὴν καρδίαν σου περὶ ἑνὸς ἑκάστου τῶν ἀδελφῶν λέγειν· ἐν ἀληθείᾳ οὗτος προάγει μου κατὰ Θεόν. Καὶ πάλιν· οὗτος σπουδαιότερός μου ἐστί. Καὶ οὕτω λοιπὸν ἔρχει εἰς τὸ ἔχειν σεαυτὸν ὑπὸ κάτω πάντων, καὶ οἰκεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν σοί. Ἐὰν δὲ ἐξουδενώσῃς ἄνθρωπον, ἀναχωρεῖ ἡ χάρις τοῦ Θεοῦ ἀπὸ σοῦ, καὶ παραδίδωσί σε εἰς μολυσμοὺς σαρκός, καὶ σκληρύνεταί σου ἡ καρδία, καὶ κατάνυξις οὐδεμία εὑρίσκεται ἐν σοί.

2. Ἠρωτήθη ὁ Ἀββᾶς Ποιμὴν περὶ τῶν μολυσμῶν καὶ ἀπεκρίθη, ὅτι ἐὰν στήσωμεν τὸ πρακτικόν, ἤτοι τὴν ἐνέργειαν τῆς ἁμαρτίας, καὶ νήψωμεν ἐπιμελῶς, ἤγουν πρὸς τοὺς λογισμούς, οὐχ εὑρήσομεν ἐν ἑαυτοῖς μολυσμόν.

3. Εἶπε γέρων· μέγας ὁ πρὸς τοὺς ἀνθρώπους φθόνος τοῦ διαβόλου· μὴ δυνάμενος γὰρ τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ ὕπαρ εἰς αἰσχροὺς λογισμοὺς ἐφελκύσασθαι, κἂν ἐν τῇ νυκτὶ φαντάζῃ αὐτούς, ἀλλ' οὐδὲν ἐκ τούτου κερδαίνει ὁ δόλιος. Εἰ γὰρ ἔκτρωμα κληρονομήσει πατέρα αὐτοῦ, καὶ αἱ φαντασίαι αὗται λογισθήσονται εἰς ἁμαρτίαν τοῖς ἐκλελεγμένοις ὑπὸ τοῦ Θεοῦ.

Ἑρμηνεία

ΕΙΠΕΝ ἕνας Γέρων· συνήθισε νὰ λέγῃς, σιγὰ — σιγά, ἀπὸ τὴν καρδιά σου, διὰ κάθε ἕνα ἀπὸ τοὺς ἀδελφούς· πραγματικὰ αὐτὸς εἶναι ἀνώτερος ἀπὸ ἐμέ, εἰς τὴν ἐκτέλεσιν τῶν ἐντολῶν τοῦ Θεοῦ. Καὶ πάλιν· αὐτὸς εἶναι σπουδαιότερος ἀπὸ ἐμέ. Ἔτσι θὰ φθάσῃς νὰ θεωρῇς τὸν ἑαυτόν σου κατώτερον ἀπὸ ὅλους, ὥστε νὰ κατοικήσῃ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐντός σου. Ἂν προσβάλῃς ἄνθρωπον, φεύγει ἡ χάρις τοῦ Θεοῦ ἀπὸ ἐσένα, καὶ σὲ παραδίδει εἰς μολυσμοὺς σαρκὸς καὶ σκληρύνεται ἡ καρδιά σου καὶ καμμίαν δυνατότητα κατανύξεως δὲν θὰ ἔχῃς.

2. Ἠρώτησαν τὸν Ἀββᾶν Ποιμένα, διὰ τοὺς μολυσμοὺς καὶ ἐκεῖνος ἀπήντησεν· ἂν σταματήσωμεν τὸ πρακτικόν, δηλαδὴ τὴν ἐνέργειαν τῆς ἁμαρτίας, καὶ προσέξωμεν αὐστηρὰ τοὺς λογισμούς μας, τότε δὲν θὰ εὕρωμεν εἰς τοὺς ἑαυτούς μας μολυσμόν.

3. Ἕνας Γέρων εἶπεν· εἶναι μεγάλος ὁ φθόνος τοῦ διαβόλου πρὸς τοὺς ἀνθρώπους. Ἐπειδὴ δὲν ἠμπορεῖ νὰ παρασύρῃ εἰς αἰσχροὺς λογισμοὺς τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ, ὅταν εἶναι ξυπνητοί, προσπαθεῖ νὰ τοὺς ἐνοχλῇ τὴν νύκτα μὲ τὰς φανταστικὰς σκηνὰς τῶν ὀνείρων· τίποτα ὅμως ἀπὸ αὐτὰ δὲν κερδίζει ὁ παμπόνηρος. Διότι ἂν παιδίον νεκρὸν ἄωρον (βρέφος προώρως γεννώμενον, ἐξάμβλωμα) ἠμπορεῖ νὰ κληρονομήσῃ τὸν πατέρα του, τότε καὶ αἱ φανταστικαὶ σκηναὶ τῶν ὀνείρων θὰ λογισθοῦν ἁμαρτίαι διὰ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ Θεοῦ.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΗ κοιμηθῇς ἔχων κατά τινος, ἵνα μὴ φαντασίαι αἰσχραὶ ἐκταράξουσί σε ἐν τῇ νυκτί.

Ἑρμηνεία

ΝΑ μὴ κοιμηθῇς θυμωμένος ἐναντίον κάποιου, διὰ νὰ μὴ σὲ ταράξουν τὴν νύκτα αἱ αἰσχραὶ φαντασίαι ὀνείρων.



ΥΠΟΘΕΣΙΣ ΛΒ΄

Ὅτι μεγίστη ἡ τοῦ πένθους ἐργασία, καὶ ποσαχῶς τὸ πένθος, καὶ τίς ἡ διαφορὰ τῶν δακρύων.

Εἶναι πάρα πολὺ μεγάλη ἡ ἐργασία τοῦ πένθους καὶ πόσων εἰδῶν εἶναι τὸ πένθος καὶ ποία ἡ διαφορὰ τῶν δακρύων.

Γρηγορίου τοῦ Διαλόγου

Πέτρος

ΑΙΤΩ, τιμιώτατε Δέσποτα, ἵνα μοι εἴπῃς πόσα εἰσὶ γένη τῆς κατανύξεως.

Γρηγόριος

ΕΝ ΠΟΛΛΟΙΣ εἴδεσι κάλλους, Πέτρε, ἡ κατάνυξις θεωρεῖται· ὅθεν καὶ Ἱερεμίας λέγει· «διαμερισμοὺς ὑδάτων ἐξήγαγεν ὁ ὀφθαλμός μου». Δύο τοίνυν εἰσὶ κεφαλαιωδέστερα γένη τῆς κατανύξεως· ὅταν γὰρ τὸν Θεὸν διψήσῃ ἡ ψυχή, πρῶτον μὲν τῷ φόβῳ κατανύσσεται, ἔπειτα δὲ τῷ πόθῳ. Ἐν πρώτοις μὲν γὰρ δάκρυσιν ἑαυτὴν κατατήκει, ὑπόμνησιν τῶν κακῶν αὐτῆς λαμβάνουσα, φοβουμένη περὶ αὐτῶν, ἵνα μὴ αἰωνίᾳ κολάσει ὑποπέσῃ. Ἡνίκα λοιπὸν ἐν πολλῇ στενοχωρίᾳ λύπης ὑπάρξῃ, τότε ἡ μὲν δειλία τέλος λαμβάνει, ἀμεριμνία δέ τις περὶ τῆς συγχωρήσεως καὶ παρρησία ἐν αὐτῇ γεννᾶται, καὶ λοιπὸν ἐν τῷ πόθῳ τῆς οὐρανίου χαρᾶς ἡ ψυχὴ ἐκκαίεται· καὶ ἥτις πρότερον ἔκλαιε φοβουμένη, ἵνα μὴ εἰς κρίσιν ἀπενεχθῇ, ἐν ὑστέρῳ πάλιν ἄρχεται κλαίειν πικρῶς, ὅτι ἀπέχει τῆς βασιλείας. Καθαρθεὶς γὰρ ὁ νοῦς κατοπτεύει ὁποῖοι τῶν Ἀγγέλων εἰσὶν οἱ χοροί, καὶ ποία αὐτῶν ἡ συμμετοχή, ποία τε τῶν μακαρίων πνευμάτων ἡ λαμπρότης καὶ ἡ μεγαλωσύνη, καὶ τίς ἡ αὐτοῦ τοῦ Θεοῦ κατόπτευσις.

Ἐπὶ πλείω τοίνυν καὶ πλείω θρηνεῖ, ὅτι τῶν διαμενόντων ἀγαθῶν στερεῖ-

ται. Οὕτως οὖν γίνεται ἵνα ἡ τελεία κατάνυξις ἐκ τοῦ φόβου τὴν ψυχὴν εἰς τὴν ἀγάπην παραπέμψῃ, ὅπερ καλῶς καὶ ἐν τῇ ἱερᾷ καὶ ἀληθινῇ ἱστορίᾳ γέγραπται περὶ Ἀσχᾶς τῆς θυγατρὸς Χάλεβ, ὅτι καθεζομένη ἐπὶ τῆς ὄνου ἐστέναξεν. Ὁ δὲ πατὴρ πρὸς αὐτὴν ἔφη· τί ἔχεις; Ἀποκριθεῖσα δὲ αὐτῷ εἶπε· δός μοι εὐλογίαν τὴν γῆν τῆς ἄρκτου, ὅτι ξηρὰν δέδωκάς μοι, πρόσθες μοι καὶ τὴν ὑδρευομένην. Καὶ ἔδωκεν αὐτῇ ὁ πατὴρ αὐτῆς τὴν ὑδρευομένην τὴν ἄνωθεν, καὶ τὴν ὑδρευομένην τὴν κάτωθεν. Ἀσχὰ τοίνυν ἐπὶ τῆς ὄνου καθεζομένη ἑρμηνεύεται ψυχή, ἡ τοῖς ἀλόγοις τῆς σαρκὸς κινήμασι προσκαθεζομένη· τὸ δὲ στενάξασα ᾐτήσατο παρὰ τοῦ πατρὸς τὴν γῆν τὴν ὑδρευομένην, τοῦτο δηλοῖ, ὅτι παρὰ τῷ κτίστῃ ἡμῶν μετὰ μεγάλου στεναγμοῦ δεῖ ἡμᾶς ζητεῖν τὸ τῶν δακρύων δῶρον.

Πολλοὶ γάρ εἰσι οἵτινες διδασκαλικοῦ μὲν χαρίσματος ἠξιώθησαν καὶ μετὰ παρρησίας τὸ τῆς ἀληθείας δικαίωμα λαλῆσαι, τοὺς ἐν θλίψεσι παραμυθήσασθαι, τοῖς δεομένοις ἐπαρκέσαι καὶ ζηλωταὶ γενέσθαι περὶ τὴν πίστιν, ἀκμὴν δὲ τὸ δῶρον τῶν δακρύων οὐκ ἔλαβον. Οὗτοι δηλαδὴ τὴν γῆν τῆς ἄρκτου τὴν ξηρὰν ἔχουσι, τῆς δὲ ὑδρευομένης ἔτι ἐπιδέονται· ἐν ἔργοις μὲν γὰρ ἀγαθοῖς πολιτεύονται, προσήκει δὲ ἵνα ἢ διὰ τὸν τῆς κρίσεως φόβον ἢ διὰ τὸν πόθον τῆς βασιλείας τῶν οὐρανῶν, τὰ κακά, ἃ πρότερον ἔπραξαν, θρηνήσωσι, καὶ οὕτω λοιπὸν ἔνθα οἱ μεγάλοι καὶ ζέοντες τῷ πόθῳ καὶ οὗτοι εἰσέλθωσιν.

Καθὼς δὲ εἶπον δύο τῆς κατανύξεως εἶναι γένη, ἔδωκεν αὐτῇ ὁ πατὴρ αὐτῆς τὴν γῆν τὴν ὑδρευομένην τὴν ἄνωθεν καὶ τὴν ὑδρευομένην τὴν κάτωθεν. Ὑδρευομένην τοίνυν τὴν ἄνωθεν λαμβάνει ἡ ψυχή, ἡ ἐν δάκρυσι πενθοῦσα τῇ τῆς ἐπουρανίου βασιλείας ἐπιθυμίᾳ, τὴν δὲ ὑδρευομένην τὴν κάτωθεν λαμβάνει ἡ θρηνοῦσα τῷ φόβῳ τῆς αἰωνίου κολάσεως, καίτοι γε πρῶτον ἡ ὑδρευομένη ἡ κάτω δίδοται, καὶ μετέπειτα ἡ ἄνω, ἀλλὰ καὶ διὰ τὸ ὑπερβάλλειν τῷ ἀξιώματι τὴν τοῦ τόπου κατάνυξιν, ἀναγκαῖον ὑπῆρχεν ἵνα πρότερον τῆς ἄνωθεν ὑδρευομένης ἐπιμνησθῇ ἡ ἱστορία καὶ ἐν ὑστέρῳ τῆς κάτωθεν.

Ἑρμηνεία

Πέτρος

ΣΕ παρακαλῶ, τιμιώτατε Δέσποτα, νὰ μοῦ εἰπῇς πόσα εἶναι τὰ εἴδη τῆς κατανύξεως.

Γρηγόριος

Η ΚΑΤΑΝΥΞΙΣ, Πέτρε, ἐμφανίζεται ὑπὸ πολλὰς μορφὰς πνευματικῆς ὡραιότητος. Δι' αὐτὸ καὶ ὁ Ἱερεμίας λέγει· «κατηγορίας ὑδάτων ἀνέβλυσεν ὁ ὀφθαλμός μου» (Θρῆνοι Ἱερ. α΄, 16). Δύο ὅμως εἶναι τὰ σπουδαιότερα εἴδη τῆς κατανύξεως. Ὅταν δηλαδὴ ἡ ψυχὴ ἀναζητήσῃ, ὡς διψασμένη, τὸν Θεόν, εἰς τὴν ἀρχὴν μὲν αἰσθάνεται κατάνυξιν ἀπὸ τὸν φόβον, ἔπειτα ὅμως ἀπὸ τὸν πόθον. Πρῶτα μὲ τὰ δάκρυα λειώνει ἡ ἴδια, ὅταν ἐνθυμηθῇ τὰς ἁμαρτίας της καὶ φοβηθῇ δι' αὐτάς, μήπως καταδικασθῇ εἰς αἰώνιον κόλασιν. Ἀφοῦ λοιπὸν στενοχωρηθῇ πάρα πολύ, τότε ἡ μὲν δειλία παύει, γεννᾶται δὲ μέσα της κάποια βεβαιότης διὰ τὴν συγχώρησιν καὶ κάποιο θάρρος· καὶ εἰς τὸ ἑξῆς ἡ ψυχὴ θερ-

μαίνεται ἀπὸ τὸν πόθον τῆς οὐρανίου χαρᾶς. Καὶ αὐτή, ἡ ὁποία προηγουμένως ἔκλαιεν ἀπὸ τὸν φόβον μήπως καταδικασθῇ, ἀρχίζει ὕστερα νὰ κλαίῃ πάλιν πικρά, διότι ἀκόμη εὑρίσκεται μακρὰν ἀπὸ τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ἀφοῦ δηλαδὴ ὁ νοῦς καθαρισθῇ, βλέπει καθαρὰ καὶ ἀπὸ κοντὰ ποῖοι εἶναι οἱ χοροὶ τῶν Ἀγγέλων καὶ πῶς συμμετέχουν αὐτοὶ καὶ ποία ἡ λαμπρότης τῶν μακαρίων πνευμάτων καὶ ἡ δόξα των καὶ ποία ἡ θεωρία αὐτοῦ τοῦ ἰδίου τοῦ Θεοῦ.

Ὅλον λοιπὸν καὶ περισσότερον θρηνεῖ ἡ ψυχὴ διότι βραδύνει νὰ ἀπολαύσῃ τὰ ἀγαθὰ ποὺ παραμένουν αἰώνια. Μὲ τὸν τρόπον αὐτὸν ἡ τελεία κατάνυξις ὁδηγεῖ τὴν ψυχὴν ἀπὸ τὸν φόβον εἰς τὴν ἀγάπην, ὅπως πολὺ σωστὰ ἔχει γραφῆ εἰς τὴν ἱερὰν καὶ ἀληθινὴν ἱστορίαν διὰ τὴν Ἀσχά, τὴν θυγατέρα τοῦ Χάλεβ*. Ἀναφέρεται λοιπὸν εἰς τὴν Π. Διαθήκην, ὅτι ἡ Ἀσχά, ὅταν ἐκάθητο ἐπὶ τῆς ὄνου, ἀνεστέναξεν. Τί ἔχεις; τὴν ἐρωτᾷ ὁ πατέρας της καὶ ἐκείνη ἀπαντᾷ: δῶσε μου εὐλογίαν τὴν περιοχὴν ποὺ εἶναι εἰς τὰ βόρεια, διότι μοῦ ἔδωσες ξερικὰ μέρη, πρόσθεσέ μου καὶ μέρη, ποὺ ποτίζονται. Καὶ τῆς ἔδωσεν ὁ πατέρας της τὴν περιοχὴν ποὺ ἐποτίζετο ἀπὸ ἐπάνω καὶ τὴν περιοχήν, ποὺ ἐποτίζετο ἀπὸ κάτω.

Ἡ Ἀσχὰ λοιπόν, ἡ ὁποία ἐκάθητο ἐπάνω εἰς τὴν ὄνον, συμβολίζει τὴν ψυχήν, ποὺ ἐξακολουθεῖ νὰ ἐπαναπαύεται ἐπάνω εἰς τὰ παράλογα σκιρτήματα τῆς σαρκός· τὸ ὅτι δὲ ἀνεστέναξε καὶ ἐζήτησεν ἀπὸ τὸν πατέρα της τὴν γῆν ποὺ ἐποτίζετο, σημαίνει ὅτι πρέπει νὰ ζητοῦμεν ἀπὸ τὸν Πλάστην μας, μὲ μεγάλον ἀναστεναγμόν, τὸ δῶρον τῶν δακρύων.

Διότι εἶναι πολλοί, ποὺ ἠξιώθησαν νὰ λάβουν τὸ δῶρον τῆς διδασκαλίας καὶ μὲ θάρρος νὰ διακηρύξουν τὴν ἀλήθειαν, νὰ παρηγορήσουν τοὺς θλιβομένους, νὰ ἀνακουφίσουν αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, νὰ γίνουν ζηλωταὶ τῆς πίστεως· δὲν ἔλαβον ὅμως ἀκόμη τὸ δῶρον τῶν δακρύων. Αὐτοί, δηλαδή, κατέχουν τὴν περιοχὴν τοῦ ἐδάφους, ποὺ εἶναι ξερική· ἔχουν ὅμως ἀνάγκην καὶ ἀπὸ περιοχὴν ποὺ ποτίζεται. Αὐτοὶ ἐπι-

* Ὁ Χάλεβ μετὰ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἦσαν οἱ μόνοι Ἰουδαῖοι, οἱ ὁποῖοι ἠδυνήθησαν νὰ εἰσέλθουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, διότι πάντες οἱ ἄλλοι, ὅσοι ἦσαν ἄνω τῶν 20 ἐτῶν, ἐτιμωρήθησαν ὑπὸ τοῦ Θεοῦ, διότι ἐγόγγυσαν ἐναντίον του. Μετὰ τὴν ὑποταγὴν τῆς Χαναάν, ὁ Ἰησοῦς τοῦ Ναυῆ, ὁ ὁποῖος διεδέχθη τὸν Μωϋσῆν, ἐμοίρασε ταύτην εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, ἔλαβε δὲ καὶ ὁ Χάλεβ, υἱὸς Ἰεφοννῆ, ὁ ὁποῖος κατήγετο ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα, τὸ μερίδιόν του, τὴν «πόλιν Ἀρβὸκ μητρόπολιν Ἐνάκ». Κατόπιν ἐπεχείρησε νὰ καταλάβῃ τὴν πόλιν Δαβὶρ καὶ εἶπεν ὁ Χάλεβ ὅτι θὰ δώσῃ σύζυγον τὴν θυγατέρα του Ἀσχὰν εἰς ἐκεῖνον ποὺ θὰ καταλάβῃ τὴν πόλιν Δαβίρ. Καὶ κατέλαβεν αὐτὴν ὁ Γοθονιὴλ υἱὸς Κενέζ. Καὶ ὅτε ὡδήγει αὐτὴν ὁ πατήρ της πρὸς τὸν Γοθονιήλ, αὕτη ἐβόησεν ἐκ τῆς ὄνου ἐπὶ τῆς ὁποίας ἐκάθητο καὶ ὁ Χάλεβ τὴν ἠρώτησε τί θέλει. Τότε αὐτὴ ἀπεκρίθη· «δός μοι εὐλογίαν, ὅτι τὴν γῆν Ναγὲβ δέδωκάς με· δός μοι τὴν Γοθαλμαίν». Καὶ ἔδωσεν εἰς αὐτὴν ὁ Χάλεβ τὴν Γοθαλμαὶν τὴν ἄνω καὶ τὴν Γοθαλμαὶν τὴν κάτω. (Ἰησοῦς τοῦ Ναυῆ, Κεφ. ιε', 13—20).

τελοῦν, πραγματικά, εἰς τὴν ζωήν των καλὰ ἔργα· πρέπει ὅμως νὰ θρηνήσουν διὰ τὰ κακὰ ἔργα ποὺ ἐπετέλεσαν προηγουμένως, ἢ ἀπὸ τὸν φόβον τῆς μελλούσης Κρίσεως, ἢ ἀπὸ τὸν πόθον τῆς Βασιλείας τῶν Οὐρανῶν. Ἔτσι λοιπὸν θὰ εἰσέλθουν καὶ αὐτοὶ ἐκεῖ ποὺ εὑρίσκονται οἱ μεγάλοι οἱ ὁποῖοι φλέγονται ἀπὸ τὸν πόθον.

Ὅπως εἶπα, δύο εἶναι τὰ εἴδη τῆς κατανύξεως· λέγει ἡ ἱστορία ὅτι ὁ πατέρας τῆς Ἀσχὰ ἔδωσεν εἰς αὐτὴν τὴν περιοχὴν τοῦ ἐδάφους ποὺ ἐποτίζετο ἀπὸ ἐπάνω καὶ ἐκείνην ποὺ ἐποτίζετο ἀπὸ κάτω. Τὴν περιοχὴν λοιπὸν ποὺ ποτίζεται ἀπὸ ἐπάνω λαμβάνει ἡ ψυχή, ἡ ὁποία πενθεῖ μὲ δάκρυα ἀπὸ τὴν ἐπιθυμίαν τῆς ἐπουρανίου Βασιλείας· ἐκείνην δὲ ποὺ ποτίζεται ἀπὸ κάτω λαμβάνει ἡ ψυχή, ἡ ὁποία θρηνεῖ ἀπὸ τὸν φόβον τῆς αἰωνίου κολάσεως. Ἂν καὶ κατὰ τὰ στάδια τῆς πνευματικῆς προκοπῆς δίδεται πρῶτον ἡ ποτιζομένη ἀπὸ κάτω, θρηνωδεῖ δηλαδή, διὰ τὸν φόβον τῆς αἰωνίου κολάσεως, καὶ κατόπιν ἡ ποτιζομένη ἀπὸ ἐπάνω, τὸ χαροποιὸν πένθος ἀπὸ νοσταλγίαν τῆς Βασιλείας τῶν Οὐρανῶν, ἐν τούτοις ἡ ἱστορία, κατ' ἀνάγκην, ἀναφέρει πρῶτον τὴν ποτιζομένην ἄνωθεν καὶ ἔπειτα τὴν ποτιζομένην ἀπὸ κάτω, ἐπειδὴ ἡ πρώτη εἶναι ἀνωτέρα κατὰ τὴν ἀξίαν ἀπὸ τὴν δευτέραν.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΡΧΗ ΠΕΝΘΟΥΣ τὸ ἐπιγνῶναι τινὰ ἑαυτόν· ἔστω δὲ τὸ πένθος ἡμῶν μὴ κατὰ ἄνθρωπον, μηδὲ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις, ἀλλὰ κατὰ Θεὸν τὸν γινώσκοντα τὰ κρυπτὰ τῆς καρδίας, ὅπως παρ' αὐτοῦ μακαρισθῶμεν. Ὦμεν τοίνυν φαιδρῷ τῷ προσώπῳ ἡνίκα ἀνθρώποις συντυγχάνωμεν, κλαίοντες δὲ καὶ πενθοῦντες τῷ φρονήματι· τὸ γὰρ πένθος ἐργάζεται καὶ φυλάσσει, τὸ πένθος τὴν ψυχὴν ἀποσμήχει διὰ τῶν δακρύων, καὶ καθαρὰν ταύτην ἀποκαθίστησι· σωφροσύνην γεννᾷ, ἡδονὰς ἀποκόπτει, ἀρετὰς κατορθοῖ, καὶ τί ἔτι λέγω; τὸ πένθος ὑπὸ Θεοῦ μακαρίζεται, ὑπὸ Ἀγγέλων παρακαλεῖται.

Χάρισαί μοι, Κύριε, δάκρυα κατανύξεως, ὁ μόνος ἀγαθὸς καὶ ἐλεήμων, ὅπως ἐν αὐτοῖς κλαύσω ἐμαυτὸν καὶ ἱκετεύσω τὴν εὐσπλαγχνίαν σου. Καθάρισόν μου τὸν ρύπον τῆς ἁμαρτίας. Οἴμοι! πῶς ὑποίσω τὴν γέενναν τοῦ πυρὸς καὶ τὸ σκότος τὸ ἐξώτερον; Οἴμοι! πῶς ὑποίσω τὸν τάρταρον καὶ τὰς ἐκεῖ αἰωνίους βασάνους, καὶ τὸν ἰοβόλον καὶ ἀτελεύτητον σκώληκα; Οἴμοι! πῶς ὑποίσω τὴν φοβερὰν ἀπειλὴν τῶν Ἀγγέλων τῶν ἐπὶ ταῖς κολάσεσιν ἐφεστώτων, ὅτι φρικτοὶ καὶ ἀνελεήμονές εἰσι; Τίς δώῃ τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, καὶ καθίσας κλαύσομαι νυκτὸς καὶ ἡμέρας, ἵνα Θεὸν δυσωπήσω, ὃν παρώργισα;

Ἥμαρτες, ψυχή μου, ἥμαρτες; μετανόει· ἰδοὺ γὰρ αἱ ἡμέραι ἡμῶν παράγουσιν ὡς σκιαί, ἔτι μικρὸν καὶ ἀπελεύσει ἐντεῦθεν. Φοβεροὺς τόπους μέλλεις διέρχεσθαι· οὐ δυνατόν, ψυχή μου, μὴ δι' ἐκείνων ὁδεῦσαί σε. Οὐδεὶς τῶν ἐνταῦθα ἐπὶ βοηθείᾳ συνοδεύσει σοι, οὐ πατήρ, οὐ μήτηρ, ἀδελφὸς οὐχί, οὐ φίλος, οὐκ ἄλλος τις τῶν ὁμοίων, ἀλλὰ μόνη μετὰ τῶν ἔργων σου μέλλεις τοὺς ἄρχοντας τοῦ σκότους διέρχεσθαι. Ἐκεῖνοι οὐ βασιλέα φοβοῦνται, οὐ δυνάστην τιμῶσιν, οὐ μικρόν, οὐ μέγαν αἰδοῦνται, εἰμὴ μόνον τὸν ἐν θεοσεβείᾳ ζήσαντα, καὶ διὰ τῶν ἀγαθῶν αὐτοῦ πρά-

ξεων τὴν τοῦ Θεοῦ σκέπην ἐνδεδυμένον, ἐκ προσώπου τούτου ὑποχωροῦσι φοβούμενοι καὶ δίοδον αὐτῷ μετὰ ἀδείας παρέχουσι. Προπορεύσεται γὰρ αὐτῶν ἡ δικαιοσύνη πρὸ προσώπου αὐτῶν, καὶ ἡ τοῦ Θεοῦ δόξα περιστέλλει αὐτούς.

Κύριε, τὴν ὥραν ἐκείνην λαβὼν κατὰ νοῦν πίπτω τῇ σῇ ἀγαθότητι, μὴ παραδοθείην τοῖς ἀδικοῦσί με, μὴ καυχήσαιντο οἱ ἐχθροί σου κατὰ τοῦ δούλου σου, ἀγαθὲ Κύριε, τρίζοντες τοὺς ὀδόντας αὐτῶν καὶ φοβοῦντες τὴν ἁμαρτωλόν μου ψυχήν. Μὴ εἴποισαν· εἰς χεῖρας ἡμῶν ἐλήλυθας; αὕτη ἡμέραν ἣν προσεδοκῶμεν. Μή, Κύριε, μὴ ἐπιλάθῃ τῶν σῶν οἰκτιρμῶν, Κύριε, μὴ θελήσῃς ἀποδοῦναί μοι κατὰ τὰς ἀνομίας μου, μηδὲ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ δούλου σου.

Σύ, Κύριε, παίδευσόν με, πλὴν ἐν οἰκτιρμοῖς, ὅτι ἀσθενής εἰμι, καὶ μὴ ἐπιχαρείη μοι ὁ ἐχθρός, ἀλλὰ σβέσον αὐτοῦ τὴν ἀπειλὴν καὶ τὴν δυναστείαν κατάργησον, καὶ δός μοι διελθεῖν τὴν πρὸς σὲ ὁδὸν ἀνύβριστον καὶ ἀνεπηρέαστον. Παρακλήθητι, ἀγαθὲ Κύριε, οὐ διὰ τὰς δικαιοσύνας μου, ἀλλὰ διὰ τοὺς σοὺς οἰκτιρμοὺς καὶ τὴν ἀμέτρητον εὐσπλαγχνίαν σου, καὶ σῶσον ψυχὴν ἐκ θανάτου, τὴν τὸ σὸν ἐπικαλουμένην ἅγιον ὄνομα.

Μνήσθητι, πολυέλεε Κύριε, ὅτι καὶ ἁμαρτήσας καὶ παραπλησίον θανάτου πληγεὶς οὐ προσέφυγα πρὸς ἄλλον ἰατρόν, οὐδὲ ἐξέτεινα χεῖράς μου πρὸς Θεὸν ἀλλότριον, ἀλλὰ πρὸς τὴν σὴν ἀγαθότητα. Σὺ γὰρ εἶ, Κύριε, ὁ τῶν ὅλων δεσπότης, ὁ ἔχων ἐξουσίαν πάσης πνοῆς· καθάρισόν με, Κύριε, πρὸ τοῦ τέλους ἀπὸ πάσης ἁμαρτίας καὶ μὴ ἀπώσῃ τὴν δέησίν μου, ἀγαθὲ Κύριε, στόμα ἀκάθαρτον βοᾷ πρὸς σὲ καὶ καρδία ρυπαρά, καὶ ψυχὴ ἐν ἁμαρτίαις ἐσπιλωμένη.

Ἐπάκουσον, Κύριε, τῆς ἐμῆς ἀναξιότητος, διὰ τὴν πολλήν σου καὶ ἄφατον ἀγαθότητα, καὶ δός μοι μετάνοιαν καθαρὰν καὶ ἀληθινήν, αὕτη γὰρ διεφθαρμένη ἐστίν, ὅτι ὥραν μετανοῶ, καὶ δύο παροργίζω. Στήριξον τὴν καρδίαν μου ἐν τῷ φόβῳ σου, ἀγαθὲ Κύριε, στήριξον τοὺς πόδας ἐπὶ πέτραν μετανοίας εἰλικρινοῦς. Νικησάτω ἡ ἀγαθότης σου, Κύριε, τὴν ἐν ἐμοὶ κακίαν, νικησάτω τὸ φῶς τῆς χάριτός σου τὸ ἐν ἐμοὶ σκότος.

Κύριε, ὁ τῶν τυφλῶν τοὺς ὀφθαλμοὺς διανοίξας, ἄνοιξον τοὺς ἐσκοτισμένους ὀφθαλμοὺς τῆς καρδίας μου. Ὁ λόγῳ τοὺς λεπροὺς καθαρίσας, καὶ τῆ ἐμῆς ψυχῆς τοὺς σπίλους καθάρισον. Γενέσθω ἡ χάρις σου ἐν ἐμοί, Κύριε, ὡς πῦρ φλογίζον τὰς ἁμαρτίας μου· σὺ γὰρ εἶ μόνος τῶν ψυχῶν ἰατρός, τὸ φῶς τὸ ὑπὲρ πᾶν φῶς, ἡ χαρά, ἡ ἀνάπαυσις, ἡ τρυφή, ἡ ζωὴ ἡ ἀληθινή, ἡ σωτηρία ἡ εἰς αἰῶνας αἰώνων διαμένουσα, καὶ σοὶ πρέπει δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Παρακαλῶ δὲ ὑμᾶς, ἀγαπητοὶ ἐκλεκτοὶ τοῦ Θεοῦ, δεηθῆναι τῆς ἀγαθότητος αὐτοῦ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς οἱ Ἀπόστολοι περὶ τῆς Χαναναίας, οἱ ἄξιοι περὶ τοῦ ἀναξίου, οἱ τίμιοι περὶ τοῦ εὐτελοῦς καὶ ἀχρείου· ὅπως συνεισέλθῃ ἡ δέησίς μου ἐν ταῖς εὐπροσδέκτοις ὑμῶν ἱκεσίαις ἐνώπιον τοῦ Θεοῦ, καὶ δοθῇ μοι συγχώρησις ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ ἐγγραφῇ τὸ ὄνομά μου ἐν βίβλῳ ζωῆς, καὶ ἄξιος γένωμαι προσκυνῆσαι ἀνεπαισχύντως ἐνώπιον τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἑρμηνεία

ΑΡΧΗ τοῦ πένθους εἶναι τὸ νὰ γνωρίσῃ κανεὶς τὸν ἑαυτόν του. Ἂς μὴ εἶναι δὲ τὸ πένθος μας ἀνθρώπινον, οὔτε διὰ νὰ κάμωμεν ἐπίδειξιν εἰς τοὺς ἀνθρώπους· ἀλλ' ὅπως θέλει ὁ Θεός, ὁ ὁποῖος γνωρίζει τὰ ἀπόκρυφα τῆς καρδίας μας, διὰ νὰ μακαρισθῶμεν ἀπὸ Αὐτόν. Ἂς ἔχωμεν λοιπὸν χαρούμενον πρόσωπον, ὅταν συναντώμεθα μὲ ἀνθρώπους, ἂς κλαίωμεν δὲ καὶ ἂς πενθῶμεν κατὰ τὸ φρόνημα τῆς ψυχῆς· διότι τὸ πένθος εἶναι προϋπόθεσις πνευματικῆς ἐργασίας καὶ μᾶς περιφρουρεῖ, τὸ πένθος καθαρίζει τὴν ψυχὴν μὲ τὰ δάκρυα καὶ τὴν ἀποκαθιστᾷ καθαράν. Τὸ πένθος γεννᾷ τὴν σωφροσύνην, κόπτει ἀπὸ τὴν ρίζαν τὰς ἡδονάς. κατορθώνει τὰς ἀρετάς· καὶ τί λέγω; Τὸ πένθος μακαρίζεται ἀπὸ τὸν Θεὸν καὶ ἐπαινεῖται ἀπὸ τοὺς Ἀγγέλους.

Χάρισέ μου, Σὲ παρακαλῶ, Κύριε, δάκρυα κατανύξεως, ὁ μόνος ἀγαθὸς καὶ εὐσπλαγχνικός, διὰ νὰ κλαύσω μὲ αὐτὰ τὸν ἑαυτόν μου καὶ νὰ ἱκετεύσω τὴν εὐσπλαγχνίαν Σου. Καθάρισέ μου τὸν ρύπον τῆς ἁμαρτίας.

Ἀλλοίμονον! Πῶς θὰ ὑποφέρω τὴν γέενναν τοῦ πυρὸς καὶ τὸ σκότος τὸ ἐξώτερον; Ἀλλοίμονον! Πῶς θὰ ὑποφέρω τὸν τάρταρον καὶ τὰ αἰώνια βασανιστήρια, ποὺ ὑπάρχουν ἐκεῖ, καὶ τὸν σκώληκα ποὺ χύνει τὸ δηλητήριον καὶ ποτὲ δὲν πεθαίνει; Ἀλλοίμονον! Πῶς θὰ ὑποφέρω τὴν φοβερὰν ἀπειλὴν τῶν Ἀγγέλων ποὺ ἐπιβλέπουν τὰς τιμωρίας, διότι εἶναι φοβεροὶ καὶ σκληρόκαρδοι; Ποῖος θὰ χύσῃ νερὸν εἰς τὴν κεφαλήν μου καὶ πηγὰς δακρύων εἰς τοὺς ὀφθαλμούς μου, διὰ νὰ καθίσω καὶ νὰ κλαύσω νύκτα καὶ ἡμέραν, διὰ νὰ ἐξευμενίσω τὸν Θεόν, ποὺ τὸν παρώργισα;

Ἁμάρτησες, ψυχή μου, ἁμάρτησες; Μετανόησε· διότι αἱ ἡμέραι μας περνοῦν ὡσὰν τὰς σκιάς. Ὀλίγον ἀκόμη καὶ θὰ φύγῃς ἀπὸ τὸν κόσμον αὐτόν. Πρόκειται νὰ περάσῃς φοβεροὺς τόπους· δὲν εἶναι δυνατόν, ψυχή μου, νὰ μὴ περάσῃς ἀπὸ τοὺς τόπους αὐτούς. Κανένας ἀπὸ τὸν κόσμον αὐτὸν δὲν θὰ σὲ συνοδεύσῃ διὰ νὰ σὲ βοηθήσῃ· οὔτε πατέρας, οὔτε μητέρα, οὔτε ἀδελφός, οὔτε φίλος, οὔτε κανεὶς ἄλλος ἄνθρωπος. Ἀλλὰ μοναχή σου, ψυχή μου, μὲ τὰ ἔργα σου θὰ περάσῃς ἐμπρὸς ἀπὸ τοὺς ἄρχοντας τοῦ σκότους. Ἐκεῖνοι οὔτε βασιλέα φοβοῦνται, οὔτε δυνάστην τιμοῦν, οὔτε μικρόν, οὔτε μεγάλον σέβονται, ἐκτὸς ἀπὸ ἐκεῖνον, ποὺ ἔζησε θεοσεβῶς καὶ ἔχει ἐνδυθῆ, μὲ τὰς καλάς του πράξεις, τὴν σκέπην τοῦ Θεοῦ· ὑποχωροῦν ἐμπρὸς ἀπὸ αὐτόν, διότι τὸν φοβοῦνται καὶ τοῦ κάνουν τόπον νὰ περάσῃ. Διότι ἐμπρὸς ἀπὸ αὐτὸν θὰ πορεύεται ἡ ἀρετή του καὶ ἡ δόξα τοῦ Θεοῦ θὰ τοὺς περιφρουρῇ.

Κύριέ μου, ὅταν σκεφθῶ ἐκείνην τὴν ὥραν προσπίπτω ἐμπρὸς εἰς τὴν καλωσύνην Σου καὶ Σὲ παρακαλῶ νὰ μὴ παραδοθῶ εἰς αὐτούς, ποὺ μὲ ἀδικοῦν (τοὺς δαίμονας)· ἂς μὴ καυχηθοῦν οἱ ἐχθροί Σου ἐναντίον τοῦ δούλου Σου, ἀγαθὲ Κύριε, μὲ τὸ νὰ τρίζουν τὰ δόντια των καὶ νὰ φοβερίζουν τὴν ἁμαρτωλήν μου ψυχήν. Ἂς μὴ εἴπουν: ἔπεσες εἰς τὰ χέ-

ρια μας; Αὐτὴ εἶναι ἡ ἡμέρα, ποὺ ἐπεριμέναμεν. Μή, Κύριε, μὴ λησμονήσῃς τὴν εὐσπλαγχνίαν Σου, Κύριε, μὴ θελήσῃς νὰ μὲ τιμωρήσῃς ἀνάλογα μὲ τὰς ἀνομίας μου, οὔτε νὰ γυρίσῃς περιφρονητικὰ ἀλλοῦ τὸ πρόσωπόν Σου, διὰ νὰ μὴ βλέπῃς τὸν δοῦλον Σου.

Σύ, Κύριε, παίδευσέ με, ἀλλὰ μὲ εὐσπλαγχνίαν, διότι εἶμαι ἀσθενὴς καὶ ἂς μὴ καυχηθῇ εἰς βάρος μου ὁ ἐχθρός, ἀλλὰ ἀχρήστευσε τὴν ἀπειλήν του καὶ κατάργησε τὴν τυραννίαν του καὶ ἀξίωσέ με νὰ περάσω τὸν δρόμον ποὺ ὁδηγεῖ πρὸς Σέ, χωρὶς νὰ ὑβρισθῶ ἢ νὰ ἐνοχληθῶ. Γίνου συγκαταβατικὸς ἀπέναντί μου, ἀγαθὲ Κύριε, ὄχι διὰ τὰς ἀρετάς μου, ἀλλὰ ἀπὸ τὴν συμπόνιαν Σου καὶ τὴν ἀμέτρητον εὐσπλαγχνίαν Σου καὶ σῶσε ἀπὸ τὸν θάνατον ψυχήν, ποὺ ἐπικαλεῖται τὸ ἅγιον ὄνομά Σου.

Ἐνθυμήσου, πολυέλεε Κύριε, ὅτι καὶ ἀφοῦ ἡμάρτησα καὶ ἐπληγώθηκα θανασίμως, δὲν κατέφυγα εἰς ἄλλον ἰατρόν, οὔτε ἥπλωσα ἱκετευτικὰ τὰ χέρια μου πρὸς Θεὸν ξένον, ἀλλὰ μονάχα πρὸς τὴν καλωσύνην Σου. Διότι Σὺ εἶσαι, Κύριε, ὁ κυρίαρχος τῶν ὅλων, ποὺ ἔχεις ἐξουσίαν ἐπάνω εἰς κάθε ὕπαρξιν. Καθάρισέ με, Κύριε, πρὶν ἀπὸ τὸ τέλος μου, ἀπὸ κάθε ἁμαρτίαν καὶ μὴ ἀποκρούσῃς τὴν δέησίν μου· ἀγαθὲ Κύριε, ἀκάθαρτον στόμα βοᾷ πρὸς Σὲ καὶ καρδία ρυπαρὰ καὶ ψυχὴ στιγματισμένη ἀπὸ τὰς ἁμαρτίας.

Ἄκουσε συγκαταβατικά, Κύριε, τὴν ἀναξιότητά μου, διότι ἔχεις πολλὴν καὶ ἀνέκφραστον καλωσύνην καὶ δῶσε μου καθαρὰν καὶ πραγματικὴν μετάνοιαν, διότι αὐτὴ τὴν ὁποίαν ἐγὼ ἔχω εἶναι ψεύτικη, ἐπειδὴ μίαν ὥραν μετανοῶ καὶ δύο σὲ παροργίζω. Στήριξε, ἀγαθὲ Κύριε, τοὺς πόδας μου ἐπάνω εἰς βράχον εἰλικρινοῦς μετανοίας. Ἂς νικήσῃ ἡ ἀγαθότης σου, Κύριε, τὴν κακίαν, ποὺ ὑπάρχει μέσα μου, ἂς νικήσῃ τὸ φῶς τῆς Χάριτός Σου τὸ σκότος ποὺ κυριαρχεῖ ἐντός μου.

Κύριε, Σὺ ποὺ ἤνοιξες τὰ μάτια τῶν τυφλῶν, ἄνοιξε καὶ τοὺς σκοτισμένους ὀφθαλμοὺς τῆς καρδίας μου. Σύ, ποὺ μὲ τὸν λόγον Σου ἐκαθάρισες τοὺς λεπρούς, καθάρισε καὶ τὰς ἁμαρτίας τῆς ψυχῆς μου. Ἂς γίνῃ ἐντός μου ἡ χάρις Σου, Κύριε, ὡσὰν φωτιὰ διὰ νὰ καύσῃ τὰς ἁμαρτίας μου· διότι Σὺ εἶσαι μοναδικὸς ἰατρὸς τῶν ψυχῶν, τὸ φῶς τὸ φωτεινότερον ἀπὸ ὅλα τὰ φῶτα, ἡ χαρά, ἡ ἀνάπαυσις, ἡ ἀπόλαυσις, ἡ ζωὴ ἡ ἀληθινή, ἡ σωτηρία, ἡ ὁποία παραμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων καὶ εἰς Σὲ ἁρμόζει δόξα, τιμή, προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἰδιαιτέρως παρακαλῶ σᾶς, ἀγαπημένοι ἐκλεκτοὶ τοῦ Θεοῦ, νὰ παρακαλέσετε τὴν καλωσύνην Του δι' ἐμὲ τὸν ἁμαρτωλόν, ὅπως παρεκάλεσαν οἱ Ἀπόστολοι διὰ τὴν Χαναναίαν· σεῖς οἱ ἄξιοι παρακαλέσατε δι' ἐμὲ τὸν ἀνάξιον, σεῖς οἱ τίμιοι δι' ἐμὲ τὸν ἀνάξιον καὶ ἄχρηστον, διὰ νὰ εἰσέλθῃ καὶ ἡ ἰδική μου δέησις μαζὶ μὲ τὰς εὐπροσδέκτους ἱκεσίας σας ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ μὲ ἐλευθερώσῃ ἀπὸ τὴν τυραννίαν τοῦ διαβόλου. Νὰ ἐγγραφῇ τὸ ὄνομά μου εἰς τὸ βιβλίον τῆς ζωῆς καὶ νὰ ἀξιωθῶ

νὰ προσκυνήσω, χωρὶς ἐντροπὴν, ἐμπρὸς εἰς τὸν θρόνον τῆς Βασιλείας Του, διότι ἰδική Του εἶναι ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΟΥΑΙ ΜΟΙ, οὐαί μοι, ὅτι οὔπω ἠλευθερώθην ἀπό τινος τῆς γεέννης! Οἱ καταποντίζοντές με ἐν τῷ πυρὶ ἔτι καρποφοροῦσιν ἐν τῇ σαρκί μου, καὶ πάντα τὰ ἔργα αὐτῆς κινεῖται ἐν τῇ καρδίᾳ μου· οὔπω γὰρ ἔγνων ἀπ' ἐντεῦθεν ποῦ ἀπελεύσομαι, οὔπω ἡτοιμάσθη μοι ἡ εὐθεῖα ὁδός, οὔπω ἠλευθερώθην ἀπὸ τῶν ἐνεργειῶν τῶν μελλουσῶν με κωλύειν ἐν τῷ ἀέρι διὰ τὰ ἐν ἐμοὶ πονηρὰ αὐτῶν ἔργα· οὔπω εἶδον παρρησίαν μεταξὺ ἐμοῦ καὶ τοῦ κριτοῦ, οὐδὲ ἐμαρτυρήθην μὴ εἶναι ἄξιος θανάτου, οὔπω ἀπέστην κακούργων.

Οὐκ εὐφραίνεται κακοῦργος ἐν φυλακῇ ἀποκεκλεισμένος, οὐ δύναται ποιῆσαι τὸ θέλημα αὐτοῦ δεθεὶς σιδήρῳ· οὐ διδάσκει ἄλλον ὁ ἀποκεκλεισμένος ἐν ξύλῳ, οὐ μνημονεύει τῆς ἀναπαύσεως ὁ ἐν πόνοις ὑπάρχων, οὐδὲ ἐσθίει ἐν ἡδονῇ ὁ δεδεμένος τὸν τράχηλον αὐτοῦ· οὐ διαλογίζεται ἔτι ποιῆσαι πονηρά, ἀλλ' ἐν ὀδυνηρᾷ καρδίᾳ διακλαίει, διότι ὅλως ἥμαρτε. Πάντα τὰ πονηρὰ καὶ τὰς κολάσεις, ἃς ποιοῦσιν αὐτῷ, λέγει περὶ αὐτῶν· ναί, ἄξιός εἰμι. Διαλογιζόμενος ἀεὶ τίνα ἔσται τὰ ἔσχατα αὐτοῦ, ἐξερευνῶν τὰς τιμωρίας κατὰ τὰς ἁμαρτίας αὐτοῦ, ἀμεριμνεῖ ἡ καρδία αὐτοῦ κρῖναι τινά. Ὁ πόνος τῶν βασάνων κατατρώγει τὴν καρδίαν αὐτοῦ.

Οὐαί, πικρόν ἐστιν αὐτῷ ἡ μελέτη, οὐκ ἐνδυναμοῖ ἄλλους μὴ ἀκηδιᾶν. Μέριμνα βρώσεως οὐκ ἔστιν ὅλως αὐτῷ· τὸ ἔλεος τῶν ποιούντων μετ' αὐτοῦ ἔλεός ἐστιν. Ὀνειδιζόμενος οὐκ ἀποκρίνεται τοῖς ὀνειδίζουσιν ἐν θυμῷ· γέλως ὀδόντων ἀπέστη αὐτοῦ· κινεῖ τὴν κεφαλὴν αὐτοῦ ἐν στεναγμῷ, μνημονεύων τοῦ βήματος ἐν ᾧ μέλλει παραστῆναι. Ἐὰν ἀκούσῃ ῥήματα, οὐ λέγει καλῶς ἢ κακῶς, οὐδὲ προσέχει ὅλως αὐτοῖς. Τὰ βλέφαρα αὐτοῦ ῥέουσιν ὕδωρ διὰ τοὺς πόνους ἐν οἷς συνέχεται. Ἐάν ἐστιν ἐξ εὐγενῶν γονέων πλέον λυπεῖται διὰ τὴν αἰσχύνην τῶν μελλόντων αὐτὸν θεωρεῖν ἐν τῷ βήματι.

Τοῦ βήματος εὐτρεπιζομένου δι' αὐτὸν οὐ προσέχει τῷ δήμῳ καλοί εἰσιν ἢ κακοί, ἀλλ' ἵσταται τρέμων τῇ καρδίᾳ καὶ τῷ σώματι κλονούμενος πάντοθεν. Ἐάν εἰσιν ἄλλοι συνδεδεμένοι αὐτῷ, οὐ προσέχει αὐτοῖς, οὐδὲ σκέπτεται μετ' αὐτῶν τί δεῖ ποιῆσαι. Ἕκαστος γὰρ βαστάζει τὸ οἰκεῖον φορτίον ἑλκόμενος ἀναιρεῖσθαι, τὸ πρόσωπον αὐτοῦ ἐσκοτισμένον. Οὐδεὶς τῶν ἀνθρώπων ὑπὲρ αὐτοῦ λόγον ποιεῖται διὰ τὸν φόβον τῶν βασάνων, ὁμολογεῖ ἅπερ ἔπραξε καὶ κριθῆναι ἀξίως ὧν ἥμαρτεν.

Ἕως πότε οὖν μεθύω ἄνευ οἴνου καὶ ἀμελῶ ἔχων ταῦτα πρὸ ἐμοῦ; Ἡ σκληρότης τῆς καρδίας μου ἐξήρανε τοὺς ὀφθαλμούς μου καὶ ὁ περισπασμὸς τοῦ νοός μου ἐποίησέ μοι λήθην ἕως τῆς ὥρας τοῦ σκότους. Κλαύσατε οὖν σὺν ἐμοὶ πάντες, ἀδελφοί μου, οἱ γινώσκοντές με, καὶ δεήθητε τοῦ Θεοῦ, ἵνα ἔλθῃ μοι βοήθεια ὑπὲρ τὴν δύναμίν μου, καὶ κατακυριεύσῃ μου καὶ ἐλευθερώσῃ με ἀπὸ τῶν ἑλκόντων με εἰς τὴν γέενναν.

Ἀδελφοί, σπουδάσωμεν κτήσασθαι ἑαυτοῖς τὴν Μάρθαν καὶ τὴν Μαρίαν, αἵτινές εἰσιν ἡ κακοπάθεια καὶ τὸ πένθος, αἳ κλαίουσιν ἐνώπιον τοῦ Σωτῆρος, ἵνα ἐγείρῃ τὸν Λάζαρον, τουτέστι τὸν νοῦν, τὸν δεδεμένον πολλαῖς κειρίαις τῶν ἰδίων θε-

λημάτων. Καὶ ὁ μὲν Σωτὴρ ποιεῖ τὸ ἔλεος, καὶ ἀνεγείρει αὐτὸν αὐταῖς· λοιπὸν δὲ αὐτῶν ἐστι λῦσαι καὶ ἀπολῦσαι αὐτόν. Ἐὰν δὲ ἐλευθερωθῇ ὁ Λάζαρος, τότε ἡ σπουδὴ Μαρίας καὶ Μάρθας φαίνεται· ὁ μὲν γὰρ Λάζαρος τοῦ λοιποῦ εὑρίσκεται ἀμέριμνος, ἀνακείμενος σὺν τῷ Ἰησοῦ· Μάρθα δὲ ποιοῦσα τὴν ἰδίαν διακονίαν μετὰ σπουδῆς καὶ χαρᾶς, Μαρία δὲ εἰσφέρουσα τὸ ἀλάβαστρον τοῦ μύρου καὶ ἀλείφουσα τοὺς πόδας τοῦ Κυρίου· τὸ γὰρ πένθος ὡς μύρον ὁ Δεσπότης προσδέχεται. Ἡ μὲν κακοπάθεια ἐν γνώσει καταλαμβάνει τὰς γενομένας πρὸ αὐτῆς ἀμελείας, τὸ δὲ πένθος τῶν αἰσθήσεων ἰᾶται τὰ πλήγματα τῶν ἔνδοθεν πολεμίων.

Ταῦτα δέ ἐστι τὰ ἔργα τῶν ἀληθῶς πενθούντων, τὸ συνάγειν τὸν νοῦν σὺν ταῖς αἰσθήσεσιν ἀπὸ τούτων τῶν φαινομένων· τὸ μὴ κρῖναι τὸν πλησίον. Ὁ γὰρ ἀρκεσθεὶς ταῖς ἰδίαις ἁμαρτίαις ἀφίσταται τοῦ πλάσματος τοῦ Θεοῦ, τοῦ μὴ κρῖναι αὐτό. Τὸ μὴ ἀνταποδοῦναι τῷ κακοποιοῦντι· τὸ μὴ λυπεῖσθαι ἐπὶ τοῖς γενομένοις παρὰ τοῦ συνοικοῦντος ἄνευ τῆς γνώμης αὐτοῦ· τὸ μὴ ποιῆσαι τὸ ἴδιον θέλημα· τὸ μὴ εἰπεῖν περί τινος, ὅτι καλός ἐστιν ἢ κακός· αἰσχύνη γὰρ αὐτῷ ἐστι τὸ ὅλως μαθεῖν, ὅτι ἔστι τις αἰσχρότερος αὐτοῦ· τὸ μὴ θέλειν γνῶναι περὶ πράγματος μὴ διαφέροντος αὐτῷ. Τὸ μὴ πονῆσαι ὀνειδιζόμενον· τὸ μὴ κοπιάσαι ἐν κοινῇ μεταδόσει παροραθέντα· τὸ μὴ ταραχθῆναι συκοφαντούμενον, εἰς πρᾶγμα ὃ οὐκ οἶδεν, ἀλλὰ λέγειν εὐθὺς τὸ συγχώρησον. Τὸ μὴ καταδέξασθαι ἐάν τις αὐτὸν δοξάζῃ· τὸ μὴ ἀλγῆσαι ὑβριζόμενον. Τὸ μὴ περιτρέχειν εἰς τὴν φιλίαν τῶν ἐνδόξων τοῦ κόσμου θέλοντα αὐτήν· τὸ μὴ θέλειν στῆσαι τὸν λόγον αὐτοῦ κἂν καλὰ λέγῃ, μηδὲ φιλονικῆσαι ἔν τινι.

Ταῦτα καὶ τὰ τούτοις ἑπόμενα, ἐν ᾧ εἰσι, φανεροῦσι τὸν ἄνθρωπον ὅτι τὸ ἀληθινὸν πένθος ἔχει, καὶ τοῖς νοεροῖς ὀφθαλμοῖς ἐγνώρισεν ἑαυτὸν καὶ τὴν οἰκείαν ἀσθένειαν, καὶ κατενόησε τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἐπέγνω ὡς οὐ δύναται ἀρέσαι τῷ Θεῷ κατὰ τὴν δόξαν αὐτοῦ. Διὸ καὶ ἀρκεῖται τῇ οἰκείᾳ λύπῃ, κλαίων ἑαυτὸν καὶ ἀμεριμνῶν περὶ τοῦ πλάσματος τοῦ Θεοῦ, ὃ μέλλει αὐτὸς κρῖναι· διὸ καὶ φυλάττει τὴν οἰκοδομὴν αὐτοῦ σώαν, ἣν ᾠκοδόμησεν αὐτῷ τὸ πένθος. Ἡ γὰρ κατὰ Θεὸν λύπη, κατατρώγουσα αὐτοῦ τὴν καρδίαν, δύναται κτήσασθαι τὰς αἰσθήσεις· καὶ πάλιν ἀνθισταμένη μετὰ νήψεως σῶα φυλάττει τὰ τοῦ νοὸς αἰσθητήρια. Καὶ γὰρ ἐὰν μὴ ἀπαντήσῃ ἄνθρωπος ἐν τῷ κριτηρίῳ καὶ ἀκούσῃ τῆς ἀποφάσεως, καὶ γνῷ ὁποῖός ἐστιν ὁ τόπος αὐτοῦ, οὐ δύναται ἀμεριμνῆσαι, οὐδὲ ἑαυτῷ πιστεῦσαι. Ὅσον γάρ ἐστιν ἐν τῷ σώματι, ἀκαταπαύστως ὀφείλει ἐν κόπῳ εἶναι.

Μακάριοι οἱ μὴ θαρρήσαντες τῷ ἔργῳ αὐτῶν, ὡς ἀρέσαντι Κυρίῳ, καὶ διὰ τοῦτο αἰδούμενοι ἀπαντῆσαι αὐτῷ· καὶ πενθοῦντες ἀεὶ ἑαυτοὺς διὰ τὸ μὴ δύνασθαι ποιῆσαι πᾶν τὸ θέλημα τοῦ Θεοῦ κατὰ τὴν βούλησιν αὐτοῦ, εὑρήσουσιν ὄντως παράκλησιν ἀνεκλάλητον. Ὅταν μαρτυρήσωσιν περὶ αὐτῶν οἱ ἐπουράνιοι, ὅτι παρῆλθον τοὺς τῆς ἀριστερᾶς ἄρχοντας, τότε τὸ μνημόσυνον αὐτῶν ἔσται μετὰ τῶν ἐπουρανίων. Ἕως δέ ἐστι πόλεμος, ὑπὸ φόβον καὶ τρόμον ἐστὶν ὁ ἄνθρωπος, ἢ νικῆσαι σήμερον ἢ νικηθῆναι, ἢ ἡττῆσαι αὔριον ἢ ἡττηθῆναι. Ὁ γὰρ ἀγὼν περισφίγγει τὴν καρδίαν, ἡ δὲ ἀπάθεια ἀπολέμητός ἐστιν· ἐδέξατο γὰρ τὸ βραβεῖον καὶ ἠμερίμνησε, τῶν τριῶν μεμερισμένων εἰρηνευσάντων ἀλλήλοις καὶ ἑνοποιηθέντων, ἤγουν ψυχῆς, σώματος καὶ πνεύματος.

Ὅταν γὰρ τὰ τρία ταῦτα ἓν γένηται, κατὰ τὸν Ἀπόστολον, διὰ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος, οὐκέτι δύναται ἀποχωρισθῆναι. Χριστὸς γὰρ ἀπέθα-

νε, φησί, καὶ ἀνέστη, καὶ οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὁ γὰρ θάνατος αὐτοῦ ἡμῖν ἐγένετο σωτηρία, νεκρωθείσης τῆς ἁμαρτίας διὰ τοῦ θανάτου, καὶ ἡ ἀνάστασις αὐτοῦ ζωὴ αἰώνιος ἐγένετο πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσι. Σὺ δὲ μὴ λογίζου σεαυτὸν ὅτι ἀπέθανες, ἐν ὅσῳ διάζῃ ὑπὸ τῶν ἐχθρῶν σου, εἴτε ἐν ἐγρηγόρσει εἴτε ἐν ὕπνῳ· ὅσον γάρ ἐστιν ὁ ταλαίπωρος ἄνθρωπος ἐν τῷ σταδίῳ, οὐκ ἔχει τὸ θάρσος, καὶ ὁρῶν ἀπὸ διαστήματος, οὐ καταπιστεύει ταῖς ἑαυτοῦ πράξεσιν· ὁ δὲ ἄφρων καθ' ἑκάστην πίπτων, δοκεῖ νικᾶν, μὴ ὄντος ἀγῶνος ἐν τῷ σταδίῳ.

Διὰ τοῦτο καὶ ὁ Κύριος ἀποστέλλων τὸ πρότερον ἐπὶ τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητάς, παρήγγειλεν αὐτοῖς λέγων· «μὴ ἀσπάσησθέ τινα ἐν τῇ ὁδῷ, ἀσπάσασθε δὲ τοὺς ἐν τῇ οἰκίᾳ· καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, παρ' αὐτῷ μείνατε, καὶ ἐκεῖ καταπαύσει ἡ εἰρήνη ὑμῶν»· ἔτι γὰρ ἐδέοντο φυλακῆς.

2. Εἶπεν ὁ αὐτός, ὅτι διὰ τοῦτο ἐν τοσούτοις κόποις ἐσμὲν τῶν ἐχθρῶν ἡμῶν, ὅτι οὔπω ἀκριβῶς ἔγνωμεν τὰ ἐλαττώματα ἡμῶν, οὐδὲ τὸ πένθος ἐπέγνωμεν ἐν γνώσει· ἐπεὶ ἐὰν ἀποκαλυφθῇ ἡμῖν τὸ πένθος, φανεροῖ ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐὰν ἡμᾶς οἱ ἐχθροὶ ἡμῶν καταλείψωσιν εἰδέναι τὰς ἁμαρτίας ἑαυτῶν ἐν ἀληθείᾳ, αἰσχυνθῆναι ἔχομεν, κἂν εἰς πρόσωπον ἀτενίσαι τινὸς τῶν προϊσταμένων γυναικῶν, ὅτι ἐντιμότεραι ἡμῶν εἰσίν· αὗται γὰρ ἐν παρρησίᾳ τὰς ἑαυτῶν ἁμαρτίας ποιοῦσιν, ὅτι οὐκ οἴδασι τὸν Θεόν. Ἡμῶν δὲ τῶν πιστῶν αἱ καρδίαι συντίθενται ἐν ταῖς ἁμαρτίαις αὐτῶν.

3. Πάλιν εἶπεν, ὅτι ἄνθρωπος βλέπων τὰς ἁμαρτίας αὐτοῦ διὰ παντὸς οὐκ ἔχει γλῶσσαν λαλῆσαι μετά τινος ἀνθρώπων.

4. Εἶπεν ὁ αὐτός· οὐαί μοι, ταλαίπωρε ψυχή, ὅτι λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου, ὅτι τὰ βέλη τοῦ ἐχθροῦ τὰ πεπυρωμένα ἐνεπάγησάν μοι, καὶ ἐξετύφλωσαν τὸν ἔσω μου ἄνθρωπον, καὶ σκιὰ θανάτου ἐκάλυψέ με. Οὐαί μοι, ἀθλία ψυχή, ὅτι λύπην ἀντὶ χαρᾶς ἐξελεξάμην, καὶ τὴν γῆν καὶ τὴν ἀσβόλην αὐτῆς ὑπὲρ τὴν τρυφὴν τοῦ Παραδείσου καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἠγάπησα. Τίς μὴ θρηνήσει με; τίς μὴ ἀποκλαύσει με πικρῶς, τὸν πᾶσάν μου τὴν ζωὴν εἰς μάταια καταναλώσαντα;

Ἐλεήσατέ με! Ἐλεήσατέ με! Ἐλεήσατέ με, ὦ φίλοι, καὶ ἐμπόνως ἱκετεύσατε ὑπὲρ ἐμοῦ καὶ τῆς ἐμῆς ἀπολυτρώσεως τῶν κατὰ συνήθειαν κακῶν, τὸν ἀνεξίκακον καὶ ἀγαθόν μου Δεσπότην Χριστόν, εἴ πως δυσωπηθεὶς ταῖς ἱκεσίαις ὑμῶν σπλαγχνισθῇ ἐπ' ἐμοί, καὶ ἀπελάσῃ τὴν δεινὴν σκότωσιν τοῦ μισοκάλου διαβόλου ἀπὸ τῆς διανοίας μου, καὶ θεάσωμαι ἐν πόσῳ βορβόρῳ κατάκειμαι, καὶ δυνάμενος ἀναστῆναι οὐ βούλομαι· μήπως συνεσταλμένος μου ὢν ὁ καιρὸς τῆς ζωῆς, πᾶσάν μου τὴν ἐλπίδα περιέκοψεν.

Οὐκ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου οὐδὲ πληγὴ κατὰ τὴν ἐμὴν πληγήν, οὐδὲ ὀδύνη κατὰ τὴν ὀδύνην τῆς καρδίας μου, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, καὶ κατηνέχθην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις. Οἴμοι, ψυχή, ἀνάβλεψον καὶ ἴδε τὰ παρόντα πρόσκαιρα καὶ μετὰ μικρὸν παρερχόμενα, καὶ ἀναλόγισαι τὰ μέλλοντα, τὰ ἀεὶ ἑστῶτα καὶ διαμένοντα, καὶ οἵων καὶ ὅσων ἀγαθῶν ἐκπεσεῖν μέλλεις, καὶ ποταπῶν κολάσεων κληρονόμος γενήσῃ, ἀδιάδοχός τε καὶ ἀπαράκλητος. Πρὶν σκοτισθῇ ὁ ἥλιος ἐπάνω τῆς κεφαλῆς σου προκατάλαβε, καὶ πρόσελθε, καὶ πρόσπεσον ἐν στεναγμοῖς τε καὶ δάκρυσι δεομένη καὶ ἱκετεύουσα τὸν

δοτῆρα τοῦ ἀθανάτου φωτός, ἵνα σε ἐλευθερώσῃ τῆς ἀστέκτου καὶ σκοτεινῆς ἐκείνης φλογός, καὶ τῶν ἄλλων ἐκείνων τιμωριῶν, ὅτι μόνος αὐτὸς δύναται συγχωρεῖν ἁμαρτίας καὶ ἀφιέναι ἀνομίας τοῖς ἀναξίοις τοῦ ἐλέους ἡμῖν, καὶ αὐτοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἑρμηνεία

ΑΛΛΟΙΜΟΝΟΝ μου, ἀλλοίμονόν μου, διότι ἀκόμη δὲν ἐλευθερώθηκα ἀπὸ τὴν γέενναν! Αὐτοὶ (οἱ δαίμονες) ποὺ μὲ βυθίζουν μέσα εἰς τὸ πῦρ τῆς κολάσεως τρυγοῦν ἀκόμη καρποὺς ἁμαρτίας ἀπὸ τὴν σάρκα μου, καὶ ὅλα τὰ ἔργα τῆς σαρκὸς κινοῦνται μέσα εἰς τὴν καρδίαν μου. Ἀκόμη δὲν ἔβαλα εἰς τὸν νοῦν μου ποῦ θὰ ὑπάγω ὅταν θὰ φύγω ἀπ' ἐδῶ· ἀκόμη δὲν ἔχω εὕρει τὸν ἴσιον δρόμον, ἀκόμη δὲν ἐλευθερώθηκα ἀπὸ τὰς ἐνεργείας αἱ ὁποῖαι πρόκειται νὰ μὲ ἐμποδίσουν εἰς τὸν ἀέρα, διότι ὑπάρχουν μέσα μου τὰ πονηρὰ ἔργα τῶν ἐνεργειῶν αὐτῶν. Ἀκόμη δὲν ἔχω τὸ θάρρος νὰ ἀναφερθῶ ἐλεύθερα εἰς τὸν Κριτήν μου, διότι δὲν ἔχω τὴν πληροφορίαν ὅτι δὲν εἶμαι ἄξιος θανάτου, οὔτε ἀκόμη ἔπαυσα νὰ διαπράττω κακουργήματα, δηλαδὴ ἁμαρτίας.

Δὲν χαίρεται ὁ κακοῦργος ποὺ ἔχει κλεισθῆ εἰς φυλακήν. Δὲν ἠμπορεῖ νὰ κάμῃ τὸ θέλημά του αὐτὸς ποὺ ἔχει δεθῆ μὲ ἁλυσίδας. Δὲν διδάσκει ἄλλον αὐτὸς ποὺ τὸν ἔχουν περιορίσει εἰς τὸ ξύλον*. Δὲν σκέπτεται ἀνάπαυσιν αὐτός, ποὺ πονεῖ, οὔτε τρώγει εὐχάριστα αὐτὸς ποὺ εἶναι δεμένος ἀπὸ τὸν λαιμόν· αὐτὸς ὁ κατάδικος δὲν σκέπτεται νὰ κάμῃ πλέον καὶ ἄλλα πονηρὰ ἔργα, ἀλλὰ κλαίει συνεχῶς μὲ σπαραγμένην τὴν καρδίαν, διότι ἔσφαλεν ἀνεπανόρθωτα. Δι' ὅλας τὰς τιμωρίας καὶ τὰ βασανιστήρια, εἰς τὰ ὁποῖα τὸν ὑποβάλλουν, λέγει· ναί· εἶμαι ἄξιος δι' αὐτά. Σκέπτεται πάντοτε ποῖον θὰ εἶναι τὸ τέλος του, ἐξετάζει προσεκτικά ποῖαι τιμωρίαι ἀντιστοιχοῦν εἰς τὰ ἁμαρτήματά του καὶ ἔτσι δὲν ἐνδιαφέρεται νὰ κρίνῃ κανένα. Ὁ πόνος ἀπὸ τὰ βάσανα κατατρώγει τὴν καρδίαν του.

Ἀλλοίμονον, δι' αὐτὸν εἶναι πικρὸν πρᾶγμα ἡ μελέτη· δὲν ἔχει τὴν δύναμιν νὰ δώσῃ θάρρος εἰς ἄλλους νὰ μὴ βαρύνωνται. Οὐδόλως φροντίζει διὰ τὸ εἶδος τοῦ φαγητοῦ του· ἀρκεῖται εἰς τὴν ἐλεημοσύνην αὐτῶν, ποὺ τὸν εὐσπλαγχνίζονται. Ὅταν ὀνειδίζεται, δὲν ἀπαντᾷ μὲ θυμὸν εἰς αὐτοὺς ποὺ τὸν ὀνειδίζουν· τὸ γέλιο ἔχει ἐξαφανισθῆ ἀπὸ τὰ χείλη του· ἀναστενάζει καὶ κινεῖ ἀπελπισμένα τὴν κεφαλήν του, διότι σκέπτεται συνεχῶς τὸ δικαστήριον ἐμπρὸς εἰς τὸ ὁποῖον πρόκειται νὰ παρουσιασθῇ. Ἐὰν ἀκούσῃ νὰ συζητοῦν, δὲν ἀπαντᾷ ἂν λέγουν καλὰ ἢ κακά· οὔτε κἂν προσέχει τί λέγουν. Τὰ μάτια του συνεχῶς τρέχουν ὡς ποταμός, ἀπὸ τοὺς ψυχικοὺς πόνους ποὺ δοκιμάζει. Ἂν κατάγεται ἀπὸ εὐγενεῖς

* Τὸ τιμωρητικὸν ξύλον ἦτο μία σανίδα μὲ δύο ὀπάς, μέσα εἰς τὰς ὁποίας ἐτοποθέτουν τὰ πόδια τοῦ καταδίκου, διὰ νὰ μὴ κινεῖται. Τοῦτο ἦτο κουραστικὸν καὶ ὀδυνηρόν.

γονεῖς, λυπεῖται ἀκόμη περισσότερον ἀπὸ τὴν ἐντροπὴν δι' αὐτοὺς ποὺ πρόκειται νὰ τὸν ἴδουν εἰς τὸ βῆμα τοῦ δικαστηρίου.

Ἐνῷ ἑτοιμάζεται δι' αὐτὸν τὸ δικαστήριον δὲν προσέχει τὸ πλῆθος ἂν εἶναι καλοὶ ἢ κακοί, ἀλλὰ τόσον ἡ καρδία του ὅσον καὶ τὸ σῶμα του τρέμουν ἀπὸ παντοῦ. Ἂν ὑπάρχουν καὶ ἄλλοι, ποὺ πρόκειται νὰ δικασθοῦν μαζί του, δὲν τοὺς προσέχει, οὔτε σκέπτεται μαζί των τί πρέπει νὰ κάμῃ· διότι ὅταν κανεὶς σύρεται διὰ νὰ καταδικασθῇ, σηκώνει τὸ φορτίον τῶν ἐγκλημάτων του καὶ τὸ πρόσωπόν του εἶναι σκοτεινιασμένον. Κανεὶς ἄνθρωπος δὲν λέγει ὑπὲρ αὐτοῦ οὔτε μίαν λέξιν ἀπὸ τὸν φόβον τῶν τιμωριῶν, ὁμολογεῖ αὐτὰ ποὺ ἔπραξε καὶ παραδέχεται ὅτι δικαίως θὰ τιμωρηθῇ ἐπαξίως τῶν ἁμαρτιῶν τὰς ὁποίας ἔπραξε.

Μέχρι πότε λοιπὸν θὰ μεθῶ χωρὶς κρασὶ καὶ θὰ ἀδιαφορῶ, ὅταν ἔχω αὐτὰ ἐμπρός μου; Ἡ σκληρότης τῆς καρδίας μου ἐξήρανε τὰ μάτια μου καὶ οἱ περισπασμοὶ τοῦ νοῦ μου μὲ ἔκαμαν νὰ λησμονήσω ὁλότελα τὴν ὥραν τὴν σκοτεινήν. Κλαύσατε λοιπὸν μαζί μου ὅλοι, ἀδελφοί μου, σεῖς ποὺ μὲ γνωρίζετε καὶ παρακαλέσατε τὸν Θεὸν νὰ μοῦ πέμψῃ βοήθειαν μεγαλυτέραν ἀπὸ τὴν δύναμίν μου, ἡ ὁποία νὰ μὲ κατακτήσῃ καὶ νὰ μὲ ἐλευθερώσῃ ἀπὸ ἐκείνους ποὺ μὲ σύρουν εἰς τὴν γέενναν.

Ἀδελφοί μου, ἂς φροντίσωμεν νὰ ἀποκτήσωμεν διὰ τοὺς ἑαυτούς μας τὴν Μάρθαν καὶ τὴν Μαρίαν, αἱ ὁποῖαι σημαίνουν δι' ἡμᾶς τὴν σωματικὴν κακοπάθειαν καὶ τὸ ψυχικὸν πένθος, αἱ ὁποῖαι κλαίουν ἐμπρὸς εἰς τὸν Σωτῆρα διὰ νὰ ἀναστήσῃ τὸν Λάζαρον, δηλαδὴ τὸν νοῦν, ὁ ὁποῖος εἶναι δεμένος μὲ τὰ πολλὰ σχοινιὰ τῶν θελημάτων μας. Καὶ ὁ μὲν Σωτὴρ κάμνει τὸ ἔλεός του καὶ τὸν ἀνασταίνει πρὸς χάριν των· ἀπὸ ἐκεῖ καὶ πέραν ὅμως αὐταὶ ἔχουν ὑποχρέωσιν νὰ τοῦ λύσουν τὰ σχοινιὰ καὶ νὰ τὸν ἐλευθερώσουν. Ὅταν δὲ ἐλευθερωθῇ ὁ Λάζαρος, τότε γίνεται φανερὴ ἡ φροντὶς τῆς Μαρίας καὶ τῆς Μάρθας· διότι εἰς τὸ ἑξῆς ὁ Λάζαρος, χωρὶς μερίμνας πλέον, κάθεται μαζὶ μὲ τὸν Ἰησοῦν, ἡ Μάρθα κάμνει τὸ διακόνημά της μὲ ἐνδιαφέρον καὶ χαρὰν καὶ ἡ Μαρία φέρει μέσα τὸ ἀλαβάστρινον δοχεῖον τοῦ μύρου καὶ ἀλείφει τοὺς πόδας τοῦ Κυρίου*· ὁ

---

* Ὅσα λέγει ἐνταῦθα ὁ συγγραφεὺς ἀναφέρονται εἰς τὸ ὑπερφυὲς θαῦμα τῆς Ἀναστάσεως τοῦ τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου. Ὡς διηγεῖται εἰς ἡμᾶς ὁ Εὐαγγελιστὴς Ἰωάννης (Κεφ. ια΄ 1—44) ὅταν ἠσθένησεν ὁ Λάζαρος, αἱ ἀδελφαί του Μάρθα καὶ Μαρία εἰδοποίησαν τὸν Κύριον, ὅτι ὁ φίλος του ἀσθενεῖ. Δὲν ἔσπευσεν ὅμως ἀμέσως νὰ μεταβῇ εἰς Βηθανίαν, τὴν ἰδιαιτέραν πατρίδα τοῦ Λαζάρου. Τοῦτο ἔπραξε μετά τινας ἡμέρας, ὅτε πλέον ὁ Λάζαρος εἶχεν ἀποθάνει καὶ ταφῇ, λέγων πρὸς τοὺς μαθητάς του: «Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνήσω αὐτόν». Ὅταν ὁ Χριστὸς ἔφθασεν εἰς Βηθανίαν, ἡ μὲν Μάρθα ἔσπευσε νὰ τὸν προϋπαντήσῃ, ἡ δὲ Μαρία ἔμεινεν εἰς τὴν οἰκίαν των. Ἡ Μάρθα παρεπονέθη εἰς τὸν Ἰησοῦν, ὅτι ἐὰν ἦτο ἐκεῖ δὲν θὰ ἀπέθνησκεν ὁ ἀδελφός της. Κατόπιν ὅμως, ἐνθαρρυνθεῖσα ἀπὸ τὸν Ἰησοῦν ὅτι θὰ ἀναστηθῇ ὁ ἀδελφός της, ἐφώναξε καὶ τὴν Μαρίαν, καὶ ὅλη ἡ συνοδεία ἔρχεται εἰς τὸ μνημεῖον, ὅπου ὁ Χριστός,

Κύριος δηλαδὴ δέχεται τὸ πένθος ὅπως τὸ μύρον. Ἡ μὲν σωματικὴ κακοπάθεια ἐπανορθώνει τὴν ἀμέλειαν ποὺ ἐπεδείξαμεν πρὶν ἀπὸ αὐτήν, τὸ δὲ πένθος τῶν αἰσθήσεων θεραπεύει τὰς πληγάς, ποὺ προεκάλεσαν μέσα εἰς τὴν ψυχήν μας οἱ ἐχθροί.

Τὰ δὲ ἔργα αὐτῶν ποὺ εἰλικρινὰ πενθοῦν εἶναι: Τὸ νὰ ἀπομακρύνουν τὸν νοῦν μαζὶ μὲ τὰς αἰσθήσεις ἀπὸ τὰ γύρω φαινόμενα, καὶ τὸ νὰ μὴ κρίνουν τὸν πλησίον· διότι ἐκεῖνος ποὺ ἀπασχολεῖται μὲ τὰς ἁμαρτίας του, ἀποφεύγει νὰ κρίνη τὸ πλάσμα τοῦ Θεοῦ. Προσέχει νὰ μὴ ἀνταποδώση τὰ ἴσα εἰς ἐκεῖνον ποὺ τοῦ κάμνει κακόν· νὰ μὴ λυπῆται δι' ὅσα ἔγιναν χωρὶς τὴν γνώμην του, ἀπὸ τὸν συγκάτοικόν του· νὰ μὴ κάμη τὸ θέλημά του· τὸ νὰ μὴ ἐκφέρη γνώμην διὰ κάποιον, ὅτι εἶναι καλὸς ἢ κακός, διότι τὸ θεωρεῖ ἐντροπήν του νὰ μάθη, ὅτι ὑπάρχει κάποιος αἰσχρότερος ἀπὸ αὐτόν· τὸ νὰ μὴ θέλη νὰ μάθη πράγματα, ποὺ δὲν τὸν ἐνδιαφέρουν. Τὸ νὰ μὴ στενοχωρῆται ὅταν τὸν ὀνειδίζουν· τὸ νὰ μὴ λυπηθῇ, ἂν τὸν παραβλέψουν εἰς τὴν συνηθισμένην διανομήν· τὸ νὰ μὴ ταραχθῇ ὅταν συκοφαντῆται διὰ πρᾶγμα, ποὺ δὲν γνωρίζει, ἀλλὰ νὰ λέγῃ ἀμέσως (διὰ τὸν συκοφάντην του) ἂς εἶναι συγχωρεμένος· τὸ νὰ μὴ παραδέχεται ἐπαινετικοὺς λόγους, ἂν κάποιος τὸν ἐπαινῇ· τὸ νὰ μὴ λυπηθῇ, ὅταν τὸν ὑβρίζουν. Τὸ νὰ μὴ ἐπιδιώκῃ τὴν φιλίαν τῶν ἐπισήμων κοσμικῶν ἀνθρώπων· τὸ νὰ μὴ θέλῃ νὰ ἐπιβάλῃ τὴν γνώμην του, ἔστω καὶ ἂν ὁμιλῇ σωστά, οὔτε νὰ φιλονικήσῃ διὰ κάτι.

Ὅποιος ἄνθρωπος ἔχει αὐτὰς τὰς ἀρετὰς καὶ ὅσας σχετίζονται μὲ αὐτάς, ἀποδεικνύει ὅτι ἔχει τὸ ἀληθινὸν πένθος καὶ ὅτι μὲ τὰ μάτια τῆς ψυχῆς του ἐγνώρισε τὸν ἑαυτόν του καὶ τὴν ἀδυναμίαν του, ἔβαλε καλὰ εἰς τὸν νοῦν του τὴν δόξαν τοῦ Θεοῦ καὶ ἀντελήφθη ὅτι δὲν ἠμπορεῖ νὰ ἀρέσῃ εἰς τὸν Θεὸν ὅπως νομίζει! Δι' αὐτὸ καὶ ἀρκεῖται εἰς τὴν λύπην του, κλαίει διὰ τὸν ἑαυτόν του καὶ δὲν ἀπασχολεῖται μὲ τὸ πλάσμα τοῦ

ἀφοῦ ἀπεκύλισαν τὸν λίθον ποὺ τὸ ἐσκέπαζεν, ἀνέστησε τὸν Λάζαρον. Ὅταν δὲ ἀνέστη εἶπεν: «Λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν». Κατόπιν ἔκαμαν δεῖπνον καὶ ἐνῷ ὁ Λάζαρος ἐκάθητο εἰς τὴν αὐτὴν τράπεζαν μὲ τὸν Ἰησοῦν, ἡ μὲν Μάρθα περιεποιεῖτο τοὺς φιλοξενουμένους, ἡ δὲ Μαρία λαβοῦσα πολύτιμον μύρον ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ τοὺς ἐσκούπισε μὲ τὰς τρίχας τῆς κεφαλῆς της. Πρὸς τὴν Μαρίαν λοιπὸν καὶ τὴν Μάρθαν παρομοιάζει ὁ συγγραφεὺς ἐνταῦθα τὸ πένθος καὶ τὴν κακοπάθειαν, τὸν δὲ Λάζαρον πρὸς τὸν νοῦν. Ὅπως δηλαδὴ ἡ Μάρθα καὶ ἡ Μαρία παρεκάλεσαν τὸν Ἰησοῦν νὰ ἀναστήσῃ τὸν Λάζαρον, οὕτω τὸ πένθος καὶ ἡ κακοπάθεια συντελοῦν εἰς τὴν ἀπελευθέρωσιν τοῦ νοῦ. Καὶ ὅταν ὁ νοῦς ἐλευθερωθῇ ἀπὸ τὰς ἁμαρτωλὰς σκέψεις μένει πλέον ἀμέριμνος, ὅπως ὁ Λάζαρος, ὁ ὁποῖος ἐκάθητο εἰς τὴν αὐτὴν τράπεζαν μὲ τὸν Ἰησοῦν. Τὸ δὲ πένθος καὶ ἡ κακοπάθεια μεταβάλλονται εἰς χαρὰν καθ' ὃν τρόπον ἐχάρησαν ἡ Μάρθα καὶ ἡ Μαρία διὰ τὴν ἀνάστασιν τοῦ ἀδελφοῦ των, καὶ ἡ μὲν Μάρθα διακονεῖ, ἂν καὶ ἦτο ἡ ὑπηρεσία της κουραστική, μὲ χαράν, ἡ δὲ Μαρία ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ μὲ τὸ μύρον, εἰς ἐκδήλωσιν τῆς ἐξαιρετικῆς χαρᾶς της.

Θεοῦ, τὸν ἄνθρωπον, ποὺ πρόκειται νὰ κρίνῃ Ἐκεῖνος· δι' αὐτὸ καὶ προσέχει νὰ διατηρῇ ἀκεραίαν τὴν πνευματικὴν οἰκοδομήν, τὴν ὁποίαν ἔκτισεν ἐντός του τὸ πνευματικὸν πένθος. Διότι ἡ κατὰ Θεὸν λύπη, ἡ ὁποία κατατρώγει τὴν καρδίαν του, ἠμπορεῖ νὰ κατακτήσῃ τὰς αἰσθήσεις· καὶ ἂν συνεχίσῃ πάλιν νὰ ἐναντιώνεται μὲ σύνεσιν, τότε διατηρεῖ ἀβλαβῆ καὶ τὰ αἰσθητήρια τοῦ νοῦ. Διότι ἂν ὁ ἄνθρωπος δὲν φθάσῃ ἐμπρὸς εἰς τὸ κριτήριον καὶ δὲν ἀκούσῃ τὴν ἀπόφασιν καὶ δὲν μάθῃ ποῖος πραγματικὰ εἶναι, δὲν ἠμπορεῖ νὰ μὴν ἔχῃ ἀγωνίαν, οὔτε νὰ ἐμπιστευθῇ εἰς τὸν ἑαυτόν του. Ὅσον ἡ ψυχὴ παραμένει εἰς τὸ σῶμα, ὀφείλει ἀκατάπαυστα νὰ κοπιάζῃ.

Μακάριοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι δὲν ἐστήριξαν τὸ θάρρος των εἰς τὰ ἔργα των· ὅτι τάχα εἶναι ἀρεστὰ εἰς τὸν Κύριον, καὶ διότι ἐντρέπονται νὰ τὸν ἀντικρύσουν. Αὐτοὶ πάντοτε πενθοῦν, ἐπειδὴ δὲν ἠμποροῦν νὰ κάμουν τὸ θέλημα τοῦ Θεοῦ, ὅπως ἐκεῖνος τὸ θέλει· ἔτσι πραγματικὰ εὑρίσκουν παρηγορίαν, τὴν ὁποίαν δὲν ἠμποροῦν νὰ τὴν ἐκφράσουν μὲ λόγους. Ὅταν θὰ καταθέσουν εἰς τὸ ἐπουράνιον Κριτήριον ὑπὲρ αὐτῶν οἱ Ἄγγελοι καὶ Ἅγιοι τοῦ Οὐρανοῦ ὡς μάρτυρες, ὅτι ἐξέφυγαν ἀπὸ τὴν ἐξουσίαν τῶν σκοτεινῶν ἀρχόντων ποὺ συνήθως μᾶς πολεμοῦν ἀπὸ τὰ ἀριστερά, τότε θὰ μνημονεύωνται καὶ αὐτοὶ μαζὶ μὲ τοὺς Ἁγίους τοῦ οὐρανοῦ.

Ἐφ' ὅσον ὅμως διεξάγεται ὁ πνευματικὸς πόλεμος, ὁ ἄνθρωπος θὰ φοβεῖται καὶ θὰ τρομάζῃ, τί θὰ γίνῃ σήμερον; θὰ νικήσῃ ἢ θὰ νικηθῇ; ἢ τί θὰ γίνῃ αὔριον; θὰ νικήσῃ ἢ θὰ νικηθῇ; Ὁ ἀγὼν δηλαδὴ σφίγγει τὴν καρδίαν, ἐνῷ ἡ ἀπάθεια εἶναι δύσκολον νὰ πολεμηθῇ. Διότι ἔλαβε τὸ βραβεῖον τῆς νίκης καὶ ἠρέμως καὶ ἡσύχως πλέον διάγει ἐπειδὴ εἰρήνευσαν μεταξύ των καὶ ἔγιναν ἕνα οἱ τρεῖς χωρισμένοι, δηλαδὴ ἡ ψυχή, τὸ σῶμα καὶ τὸ πνεῦμα.

Ὅταν δηλαδὴ αὐτὰ τὰ τρία γίνουν ἕνα, κατὰ τὸν Ἀπόστολον, (Ἐφεσ. δʹ, 4) μὲ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, δὲν ἠμποροῦν πλέον νὰ ἀποχωρισθοῦν. Διότι ὁ Χριστὸς ἀπέθανε — λέγει — καὶ ἀνεστήθη καὶ ποτὲ πλέον δὲν ἀποθνήσκει, ὁ θάνατός Του ἔγινε δι' ἡμᾶς σωτηρία, ἐπειδὴ ἡ ἁμαρτία ἐνεκρώθη μὲ τὸν θάνατον, καὶ ἡ Ἀνάστασίς Του ἔγινεν αἰώνιος ζωὴ δι' ὅλους ὅσοι πιστεύουν εἰς Αὐτόν.

Σὺ νὰ μὴ θεωρῇς ὅτι ἀπέθανες, ἐφ' ὅσον πολεμεῖσαι ἀπὸ τοὺς ἐχθρούς σου, εἴτε ὅταν εἶσαι ξυπνητὸς εἴτε ὅταν κοιμᾶσαι· ἐφ' ὅσον δηλαδὴ ὁ ταλαίπωρος ἄνθρωπος βρίσκεται μέσα εἰς τὸ στάδιον τῶν πνευματικῶν ἀγώνων δὲν ξεθαρρεύεται καί, ὅταν βλέπῃ μὲ ἀντικειμενικότητα, δὲν ἐμπιστεύεται εἰς τὰς πράξεις του. Ὁ ἀσύνετος ὅμως, ἐνῷ πίπτει καθημερινά, νομίζει ὅτι νικᾷ, χωρὶς νὰ διεξάγεται ἀγὼν εἰς τὸ στάδιον. Διὰ τοῦτο ὁ Κύριος, ὅταν ἔστελλε τοὺς Μαθητάς του εἰς τὸ κήρυγμα, τοὺς παρήγγειλε· «μὴ ἀσπασθῆτε κανένα εἰς τὸν δρόμον, νὰ ἀσπασθῆτε αὐτοὺς ποὺ μένουν εἰς τὴν οἰκίαν· καὶ ἂν εὑρίσκεται ἐκεῖ ἄνθρωπος εἰρηνι-

κός, μείνετε κοντά του καὶ ἐκεῖ θὰ ἀναπαυθῇ ἡ εἰρήνη σας» (Λουκ. ι', 4-7)· καὶ ἐκεῖνοι εἶχον ἀκόμη ἀνάγκην ἀπὸ προφύλαξιν.

2. Ὁ ἴδιος εἶπε: διὰ τοῦτο ὑποβαλλόμεθα εἰς τόσας ταλαιπωρίας καὶ βάσανα ἐκ μέρους τῶν ἐχθρῶν μας, διότι δὲν ἔχομεν ἀντιληφθῆ ἀκόμη τὰ ἐλαττώματά μας, οὔτε ἔχομεν ἐπίγνωσιν τοῦ τί σημαίνει πένθος. Ἐπειδὴ ἂν γεννηθῇ μέσα μας τὸ πένθος, μᾶς φανερώνει τὰς ἁμαρτίας μας· καὶ ἂν μᾶς ἀφήσουν οἱ ἐχθροὶ τῆς ψυχῆς μας νὰ γνωρίσωμεν πραγματικὰ τὰς ἁμαρτίας μας, θὰ ἐντραπῶμεν τότε καὶ εἰς τὸ πρόσωπον ἀκόμη νὰ κοιτάξωμεν κοινὴν γυναῖκα, διότι εἶναι ἐντιμότεραι ἀπὸ ἡμᾶς· αὐταὶ ἐπὶ τέλους ἁμαρτάνουν μὲ ἀναίδειαν, διότι δὲν γνωρίζουν τὸν Θεόν. Ἐνῷ ἡμεῖς, ἂν καὶ πιστεύομεν, συμφωνοῦμεν μέσα εἰς τὴν καρδίαν μας μὲ τὰς ἁμαρτίας των.

3. Ὁ ἴδιος εἶπε πάλιν· ὁ ἄνθρωπος, ποὺ βλέπει συνεχῶς τὰς ἁμαρτίας του, δὲν ἠμπορεῖ νὰ ὁμιλήσῃ ποτὲ μὲ κανένα ἄνθρωπον.

4. Εἶπεν ὁ ἴδιος: Ἀλλοίμονον εἰς ἐμέ, ταλαίπωρε ψυχή μου, διότι αἰσθάνομαι λύπην καὶ ἀδιάκοπον ὀδύνην εἰς τὴν καρδίαν μου, ἐπειδὴ τὰ φλογισμένα βέλη τοῦ ἐχθροῦ ἔχουν καρφωθῆ ἐντός μου, ἐτύφλωσαν τελείως τὸν ἐσωτερικόν μου ἄνθρωπον καὶ μὲ ἐσκέπασε σκιὰ θανάτου. Ἀλλοίμονον εἰς ἐμέ, ἀθλία ψυχή, διότι ἐδιάλεξα τὴν λύπην ἀντὶ τῆς χαρᾶς, καὶ τὴν γῆν καὶ τὴν στάκτην ἠγάπησα περισσότερον ἀπὸ τὴν ἀπόλαυσιν τοῦ Παραδείσου καὶ τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ποῖος δὲν θὰ μὲ θρηνήσῃ; Ποῖος δὲν θὰ κλαύσῃ πικρά, διότι κατεξώδευσα ὁλόκληρον τὴν ζωήν μου εἰς τὴν ματαιότητα;

Ἐλεήσατέ με! Ἐλεήσατέ με! Ἐλεήσατέ με, ὦ φίλοι, καὶ παρακαλέσατε μὲ ἐπιμονὴν δι' ἐμὲ τὸν ἀνεξίκακον καὶ καλόν μου Δεσπότην Χριστόν, νὰ μὲ ἀπολυτρώσῃ ἀπὸ τὰς κακίας ποὺ κατὰ συνήθειαν διαπράττω, μήπως δυσωπηθῇ ἀπὸ τὰς παρακλήσεις σας, μὲ σπλαγχνισθῇ καὶ διώξῃ ἀπὸ τὴν διάνοιάν μου τὴν φοβερὰν τύφλωσιν τοῦ μισοκάλου διαβόλου καὶ κατορθώσω νὰ ἴδω εἰς ποῖον βόρβορον ἔχω πέσει καί, ἐνῷ ἠμπορῶ νὰ σηκωθῶ, δὲν θέλω· μήπως ἔτσι, ἐπειδὴ πλέον εἶναι ὀλίγος ὁ χρόνος τῆς ζωῆς μου, μοῦ ἀπέκοψε κάθε ἐλπίδα σωτηρίας μου.

Δὲν ὑπάρχει πόνος ὅπως τὸν πόνον μου, οὔτε πληγὴ ὅπως τὴν πληγήν μου, οὔτε ὀδύνη ὡσὰν τὴν ὀδύνην τῆς καρδίας μου, διότι αἱ ἀνομίαι μου ἐξεπέρασαν τὴν κεφαλήν μου (Ψαλμ. λζ', 5) καὶ κατεκρημνίσθην εἰς βυθὸν γεμᾶτον λάσπην καὶ δὲν ἔχω ποῦ νὰ στηριχθῶ (Ψαλμ. ξη', 3). Ἀλλοίμονον, ψυχή μου, ἄνοιξε τὰ μάτια σου καὶ ἴδε ὅτι τὰ παρόντα εἶναι πρόσκαιρα καὶ ἐντὸς ὀλίγου φεύγουν· σκέψου τὰ μέλλοντα, τὰ ὁποῖα ὑπάρχουν αἰωνίως καὶ ἀπὸ ποῖα καὶ πόσα ἀγαθὰ θὰ ξεπέσῃς, ἀκόμη δὲ καὶ πόσην φρικτὴν κόλασιν θὰ κληρονομήσῃς, χωρὶς νὰ ἐλπίζῃς ὅτι κάποιος θὰ σὲ διαδεχθῇ ἢ θὰ σὲ παρηγορήσῃ. Πρὶν νὰ σκοτισθῇ ὁ ἥλιος ἐπάνω ἀπὸ τὴν κεφαλήν σου, τρέξε καὶ ἔλα κοντὰ καὶ παρακάλεσε γονατιστὴ τὸν δοτῆρα τοῦ ἀθανάτου φωτὸς καὶ ἱκέτευσέ Τον νὰ σὲ ἐλευθερώσῃ ἀπὸ ἐκείνην τὴν ἀνυπόφορον καὶ σκοτεινὴν φλόγα καὶ ἀπὸ τὰς

ἄλλας τιμωρίας, διότι μόνον Αὐτὸς ἠμπορεῖ νὰ συγχωρῇ ἁμαρτίας καὶ νὰ παραβλέπῃ ἀνομίας εἰς ἡμᾶς τοὺς ἀναξίους τοῦ ἐλέους Του· εἰς Αὐτὸν δὲ ἀνήκει ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΕΙΣΙ δάκρυα καίοντα, καὶ εἰσὶ δάκρυα πιαίνοντα· καὶ τὰ μὲν φόβον, τὰ δὲ ἀγάπην αἰτίαν ἔχουσιν. Τὰ μὲν οὖν πρότερα, ἤγουν τὰ διὰ τὰς ἁμαρτίας κατερχόμενα, ξηραίνουσι τὸ σῶμα καὶ καίουσι, καὶ μετὰ πόνου προέρχονται· πολλάκις γὰρ καὶ αὐτὸ τὸ ἡγεμονικὸν ἐν τῇ ἐξόδῳ αὐτῶν τῆς ἐξ αὐτῶν βλάβης αἰσθάνεται, τὰ δὲ δεύτερα, εἰς ἅ τις καταντᾷ, ὅταν ἱκανῶς τοῖς προτέροις χρήσηται καὶ δι᾽ αὐτῶν ἀπολούσῃ τὰς ἁμαρτίας αὐτοῦ ἐλέει Θεοῦ, ἀβιάστως καὶ σὺν ἡδονῇ κατέρχονται, τῆς ψυχῆς θείας χάριτος γευσαμένης, καὶ ἐν χαρᾷ καὶ δίψῃ ἀγάπης ἀπόνως αὐτοῦ προχεούσης, ἃ καὶ ὁρμίζουσι καὶ πιαίνουσι τὸ σῶμα, καὶ τὴν τοῦ ἀνθρώπου ὄψιν ἀλλοιοῦσι, κατὰ τὸ γὲγραμμένον, «καρδίας εὐφραινομένης, πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει». Εἰ οὖν τῶν δευτέρων ἐπιθυμοῦμεν τυχεῖν, τῶν προτέρων, ὡς δυνατόν, ἐπιμεληθῶμεν, καὶ ληψόμεθα κἀκεῖνα συντόμως διὰ τῆς τοῦ Θεοῦ χάριτος.

Ἑ ρ μ η ν ε ί α

ΥΠΑΡΧΟΥΝ δάκρυα ποὺ καίουν καὶ δάκρυα ποὺ δροσίζουν· τὰ πρῶτα ἔχουν αἰτίαν τὸν φόβον, τὰ δὲ δεύτερα τὴν ἀγάπην. Τὰ πρῶτα λοιπόν, αὐτὰ δηλαδὴ ποὺ τρέχουν λόγῳ τῶν ἁμαρτιῶν, ξηραίνουν τὸ σῶμα καὶ καίουν καὶ προκαλοῦν εἰς τὴν ψυχὴν πόνον. Διότι πολλὰς φοράς, ὅταν ἐξέρχωνται αὐτὰ τὰ δάκρυα, δὲν δύναται ὁ ἄνθρωπος νὰ συγκρατήσῃ τὸν ἑαυτόν του· ἐνῷ τὰ δεύτερα, ποὺ ἔρχονται σὲ κάποιον, ἀφοῦ χύσῃ ἀρκετὰ ἀπὸ τὰ προηγούμενα καὶ ἀποπλύνῃ μὲ αὐτὰ τὰς ἁμαρτίας του, μαζὶ μὲ τὸ ἔλεος τοῦ Θεοῦ, κατεβαίνουν ἀβίαστα καὶ μὲ πνευματικὴν ἡδονήν.

Ὅταν ἡ ψυχὴ γευθῇ πλέον τὴν θείαν Χάριν, τότε χύνει δάκρυα χωρὶς νὰ δοκιμάζῃ πόνον ὁ ἄνθρωπος καὶ αὐτὰ τὰ δάκρυα δυναμώνουν, ὠφελοῦν καὶ περιθάλπουν τὸ σῶμα, ἀλλοιώνουν καὶ τὸ πρόσωπον τοῦ ἀνθρώπου, σύμφωνα μὲ τὸ ρητόν· «ὅταν χαίρεται ἡ καρδία λάμπει τὸ πρόσωπον, ἐνῷ ὅταν εἶναι λυπημένη σκυθρωπάζει» (Παροιμ. ιε´, 13—14). Ἂν λοιπὸν ἐπιθυμοῦμεν νὰ ἀπολαύσωμεν τὰ δεύτερα, ἂς φροντίσωμεν, ὅσον ἠμποροῦμεν, διὰ τὰ πρῶτα δάκρυα (τῆς μετανοίας), ὁπόταν, μὲ τὴν Χάριν τοῦ Θεοῦ, θὰ λάβωμεν σύντομα καὶ ἐκεῖνα.

Ε'. Τοῦ αὐτοῦ

Ἐρώτησις

ΚΑΙ δυνατὸν ἀεὶ πενθεῖν;

Ἀπόκρισις

ΔΥΝΑΤΟΝ, πᾶσα γὰρ ἡ μελέτη τοῦ μοναχοῦ ἐν τῷ κελλίῳ αὐτοῦ οὐδὲν ἄλλο ἐστὶν εἰ μὴ ὁ κλαυθμός, καὶ ἡ πρᾶξις αὐτοῦ τὸ πένθος ἐστί. Καὶ αὕτη δὲ ἡ ἐπωνυμία αὐτοῦ, εἰς τοῦτο παρακαλεῖ καὶ προτρέπεται αὐτόν· πενθικὸς γὰρ ὀνομάζεται, τουτέστι πικρὸς τῇ καρδίᾳ· καὶ πάντες δὲ οἱ Ἅγιοι πενθοῦντες ἐξεδήμησαν ἐκ τοῦ βίου τούτου. Εἰ οὖν καὶ οἱ Ἅγιοι ἀεὶ ἐπένθουν, ὁ πεπληρωμένος τραυμάτων πῶς ὑποίσει παύσασθαί ποτε τοῦ κλαυθμοῦ; ἡ ψυχή σου τεθανατωμένη ταῖς ἁμαρτίαις καὶ νεκρὰ κεῖται ἐνώπιόν σου, ἥτις βελτιωτέρα ἐστὶ παρὰ σοὶ ὑπὲρ ὅλον τὸν κόσμον, καὶ οὐ χρήζεις κλαυθμοῦ; Ἡ παράκλησις τοῦ μοναχοῦ ἐκ τοῦ κλαυμοῦ τίκτεται. Καὶ γὰρ οὐκ ἐνδέχεταί τινα ἀδιαλείπτως πενθοῦντα ὑπὸ τῶν παθῶν διοχλεῖσθαι, ὁ δὲ μὴ ἔχων ἐν ἑαυτῷ τὴν τῶν παθῶν μνήμην καθαίρεται, καὶ ἐκ τῆς καθάρσεως ἀξιοῦται τῆς τοῦ Θεοῦ παρακλήσεως, ἣν ὁ Κύριος τοῖς ἀδιαλείπτως πενθοῦσι διδόναι ὑπέσχετο.

Ἑ ρ μ η ν ε ί α

Ἐρώτησις

ΚΑΙ εἶναι δυνατὸν πάντοτε νὰ πενθοῦμεν;

Ἀπάντησις

ΕΙΝΑΙ δυνατόν, διότι ὅλη ἡ μελέτη τοῦ Μοναχοῦ εἰς τὸ κελλί του δὲν ἀποβλέπει εἰς ἄλλο παρὰ μόνον εἰς τὸν κλαυθμὸν καὶ ἡ πρᾶξις αὐτοῦ εἰς τὸ πένθος. Καὶ αὐτὴ ἀκόμη ἡ ἐπωνυμία του, αὐτὸ τοῦ ἐνθυμίζει καὶ εἰς αὐτὸ τὸν προτρέπει· ὀνομάζεται «πενθικός», δηλαδὴ πικραμένος εἰς τὴν καρδίαν. Ὅλοι οἱ Ἅγιοι ἔφυγαν ἀπὸ τὸν βίον αὐτὸν μὲ τὸ πένθος εἰς τὴν ψυχήν των· ἂν λοιπὸν οἱ Ἅγιοι ἐπενθοῦσαν πάντοτε, ἐκεῖνος ποὺ εἶναι γεμᾶτος τραύματα πῶς θὰ ἀνεχθῇ νὰ σταματήσῃ τὸν κλαυθμόν; Ἡ ψυχή σου, ποὺ διὰ σὲ ἀξίζει περισσότερον ἀπὸ ὅλον τὸν κόσμον, ἔχει θανατωθῇ ἀπὸ τὰς ἁμαρτίας καὶ εὑρίσκεται νεκρὰ ἐμπρός σου, καὶ δέν ἔχεις ἀνάγκην νὰ κλαίῃς; Ἡ παρηγορία τοῦ μοναχοῦ γεννᾶται ἀπὸ τὸ κλάμα. Διότι ὅταν κανεὶς πενθῇ διαρκῶς, δὲν εἶναι δυνατὸν νὰ ἐνοχλῆται ἀπὸ τὰ πάθη· ἐκεῖνος δὲ ποὺ ἔπαυσε νὰ σκέπτεται τὰ πάθη καθαρίζεται, καὶ ἀπὸ τὴν κάθαρσιν ἀξιώνεται νὰ τὸν παρηγορῇ ὁ Θεός, ὅπως τὸ ὑπεσχέθη εἰς ἐκείνους ποὺ ἀσταμάτητα πενθοῦν (Ματθ. ε΄, 4).

ΣΤ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· πῶς δύναμαι ἐκκόψαι τὴν παρρησίαν καὶ κρατῆσαι τῆς γλώσσης μου; Καὶ εἶπεν ὁ γέρων: Δ ι ὰ τ ο ῦ π έ ν θ ο υ ς. Εἶπε δὲ ὁ ἀδελφός· καὶ πῶς δύναμαι φυλάξαι τὸ πένθος, εἰσερχόμενος καὶ ἐξερχόμενος μετὰ τῶν ἀνθρώπων, καὶ φροντίζων διακονίας ὑπηρετῶν; καὶ εἰ ἔστι πένθος καρδίας ἄνευ δακρύων; Καὶ ἀπεκρίθη ὁ γέρων· ο ὐ τ ὸ π έ ν θ ο ς δ ι ὰ τ ῶ ν δ α κ ρ ύ ω ν, ἀ λ λ ὰ τ ὰ δ ά κ ρ υ α δ ι ὰ τ ο ῦ π έ ν θ ο υ ς γ ί ν ε τ α ι· ὁ μεταξὺ δὲ ὢν τῶν ἀνθρώπων, ἐὰν κόπτῃ τὸ ἴδιον θέλημα, καὶ μὴ προσέχῃ πταίσμασιν ἀνθρώπων, οὗτος κτᾶται τὸ πένθος. Ἐκ τούτου συνάγονται οἱ


Ὁ Ὅσιος
Βαρσανούφιος
Ράλλης
Κοψίδης
1963.

λογισμοὶ αὐτοῦ, καὶ οὗτοι συναγόμενοι γεννῶσιν τὴν κατὰ Θεὸν λύπην ἐν τῇ καρδίᾳ καὶ ἡ λύπη τὰ δάκρυα.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

— Πῶς εἶναι δυνατὸν — τοῦ λέγει — νὰ κόψω τὰ πολλὰ λόγια καὶ νὰ κυριαρχήσω τῆς γλώσσης μου;

— Μὲ τὸ πένθος, ἀπήντησεν ὁ Γέρων.

— Καὶ πῶς ἠμπορῶ νὰ διατηρήσω τὸ πένθος, ἠρώτησε πάλιν ὁ ἀδελφός, ὅταν συναναστρέφωμαι μὲ τοὺς ἀνθρώπους καὶ φροντίζω διὰ τὰ διακονήματα; Ἔπειτα ἠμπορεῖ νὰ ὑπάρξῃ πένθος εἰς τὴν καρδίαν χωρὶς δάκρυα;

Εἰς αὐτὰ ἀπεκρίθη ὁ Γέρων:

— Δὲν γεννᾶται τὸ πένθος ἀπὸ τὰ δάκρυα, ἀλλὰ τὰ δάκρυα γεννῶνται ἀπὸ τὸ πένθος. Ἐκεῖνος δὲ ποὺ εὑρίσκεται μεταξὺ τῶν ἀνθρώπων, ἂν ἀποκόπτῃ τὸ θέλημά του καὶ δὲν προσέχῃ τὰ σφάλματα τῶν ἄλλων, αὐτὸς ἀποκτᾷ τὸ πένθος. Μὲ τὴν προσπάθειαν αὐτὴν συγκεντρώνονται οἱ λογισμοί του καὶ ὅταν αὐτοὶ συμμαζευθοῦν, γεννοῦν εἰς τὴν καρδίαν τὴν κατὰ Θεὸν λύπην καὶ τότε αὐτὴ ἡ λύπη φέρνει δάκρυα.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· πῶς ἔρχεται, Πάτερ, τῷ ἀνθρώπῳ κλαίειν; Καὶ εἶπεν ὁ γέρων· τὸ κλαίειν συνήθειά ἐστι, καὶ ἀδολεσχῆσαι θέλει πολὺν χρόνον ὁ ζητῶν αὐτό, ἵνα ὁ νοῦς αὐτοῦ μεριμνᾷ πάντοτε τὰς ἁμαρτίας αὐτοῦ, ἃς ἔπραξεν, ἢ τὴν κόλασιν, ἢ μνήμην διηνεκῆ σχῇ τοῦ μνήματος, καὶ ἁπλῶς ὅλων τῶν Πατέρων αὐτοῦ πῶς διῆλθον, καὶ ποῦ ἄρα εἰσὶν ἄρτι; Ἔφη ὁ ἀδελφός· καὶ ὀφείλει, Πάτερ, ὁ Μοναχὸς ἐνθυμεῖσθαι ὅλως τῶν γονέων αὐτοῦ κἂν ἐτελεύτησαν; Ἀπεκρίθη ὁ γέρων· ἐὰν οἶδας ἐνθύμησιν ὅτι φέρει τῇ ψυχῇ σου κατάνυξιν, ἀδολέσχησον εἰς αὐτήν, καὶ ὅτε ἔλθῃ τὸ δάκρυον σὺ λοιπὸν ὅπου θέλεις μετεγκεντρίζεις αὐτό, εἴτε εἰς τὰς ἁμαρτίας σου, εἴτε εἰς ἄλλην ἀγαθὴν ἐνθύμησιν.

2. Οἶδα γὰρ ἀδελφὸν ἐργάτην, ὅτι σκληρᾶς οὔσης τῆς καρδίας αὐτοῦ πολλάκις ἔτυπτεν ἑαυτόν, καὶ ἐκ τοῦ πολλοῦ πόνου ἔκλαιε, καὶ τότε λοιπὸν ἐνεθυμεῖτο τὸν τόπον τῆς κολάσεως καὶ πάσας τὰς ἁμαρτίας αὐτοῦ.

3. Ἔμαθον δὲ καὶ περί τινος ἀδελφοῦ, ὅτι ἀποταξάμενος ᾤκησεν εἰς τὸ ὄρος τῆς Νιτρίας, ἦν δὲ τὸ κελλίον αὐτοῦ πλησίον ἄλλου ἀδελφοῦ, καὶ ἤκουεν αὐτοῦ καθ' ἡμέραν διηνεκῶς κλαίοντος τὰς ἁμαρτίας αὐτοῦ. Ὅτε δὲ διὰ χρόνου οὐκ ἤρχετο αὐτῷ τὰ δάκρυα, ἔλεγε τῇ ἑαυτοῦ ψυχῇ· οὐ κλαίεις, ταλαίπωρε, οὐδὲ θρηνεῖς; πίστευσον, ἐὰν μὴ θέλῃς, ἐγώ σε ποιῶ κλαῦσαι. Καὶ ἀνιστάμενος ἐλάμβανε μάστιγα, ἣν εἶχεν οὖσαν ἀπὸ χρυσίνου στερεοῦ, ἧς ἐξήρτητο σχοινίον διπλοῦν, καὶ δι' αὐτῆς ἔτυπτεν ἑαυτὸν ἱκανῶς, ἕως οὗ πονέσας ἤρξατο κλαίειν.

Ὁ οὖν πλησίον αὐτοῦ οἰκῶν ἀδελφός, θαυμάζων ἐπὶ τῷ γινομένῳ παρὰ τοῦ

ἀδελφοῦ, παρεκάλει τὸν Θεὸν ἀποκαλύψαι αὐτῷ, εἰ ἄρα καλῶς ποιεῖ βασανίζων ἑαυτόν. Καὶ ἐν μιᾷ νυκτὶ θεωρεῖ τὸν ἀδελφὸν κατ' ὄναρ φοροῦντα στέφανον καὶ στήκοντα εἰς τὸν χορὸν τῶν μαρτύρων, καὶ ἄλλον τινὰ λέγοντα αὐτῷ τῷ θεωροῦντι· ἴδε ὁ καλὸς ἀθλητής, ὁ διὰ τὸν Χριστὸν ἑαυτὸν βασανίζων πῶς μετὰ τῶν Μαρτύρων ἐστεφανώθη.

4. Ὁ Ἀββᾶς Ἀρσένιος ἐν ὅλῳ τῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, καθεζόμενος εἰς τὸ ἐργόχειρον, ράκος εἶχεν ἐν τῷ κόλπῳ χάριν τῶν δακρύων τῶν καταρρεόντων διηνεκῶς ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. Ἀλλὰ καὶ τὸν περιβόητον ἐν μοναχοῖς Ποιμένα τοῦτο θεώμενον ἐπιλέγειν· Μακάριος εἶ, Ἀρσένιε, ἀνθ' ὧν ἐν τῷ δὲ τῷ κόσμῳ σεαυτὸν πενθήσας, οὐ δεήσῃ τῶν ἐκεῖθεν δακρύων. Οὗ περ φασὶ καὶ Θεόφιλον τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τελευτῶντα τὸν βίον, διαμνημονεῦσαί τε καὶ εἰπεῖν· Μακάριος εἶ, Ἀρσένιε, καὶ γὰρ τῆς ὥρας ταύτης σὺ οὐδέποτε διέλιπες μνημονεύων καὶ πενθῶν ἄπαυστα.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀμμωνᾶν λέγων· εἰπέ μοι ρῆμα πῶς σωθῶ; Καὶ ἀπεκρίθη ὁ γέρων· ὕπαγε, ποίησον τὸν λογισμόν σου, ὥς περ οἱ κακοῦργοι ποιοῦσιν οἱ ὄντες ἐν τῇ φυλακῇ· ἐκεῖνοι γὰρ ἐρωτῶσιν ἀεὶ τοὺς παρατυχόντας ἀνθρώπους ποῦ ἐστιν ὁ ἡγεμὼν καὶ πότε ἔρχεται; Καὶ ἀπὸ τῆς προσδοκίας τοῦ κριτηρίου καὶ τῶν κολάσεων κλαίουσιν. Οὕτω καὶ ὁ Μοναχὸς ὀφείλει διὰ παντὸς προσέχειν τῇ ἑαυτοῦ ψυχῇ λέγων· οὐαί μοι, πῶς παραστήσομαι τῷ φρικτῷ βήματι τοῦ ἀδεκάστου Κριτοῦ; καὶ τί αὐτῷ ἀπολογήσομαι; ἐὰν οὕτω μελετᾷς διὰ παντός, δύνασαι σωθῆναι.

6. Εἶπεν ὁ Ἀββᾶς Λογγῖνος· ἡ νηστεία ταπεινοῖ τὸ σῶμα, ἡ ἀγρυπνία καθαίρει τὸν νοῦν· ἡ ἡσυχία φέρει τὸ πένθος· τὸ πένθος βαπτίζει τὸν ἄνθρωπον καὶ ποιεῖ ἀναμάρτητον. Εἶχε δὲ ὁ αὐτὸς Ἀββᾶς Λογγῖνος κατάνυξιν πολλὴν ἐν τῇ εὐχῇ καὶ τῇ ψαλμῳδίᾳ αὐτοῦ. Λέγει οὖν αὐτῷ ἐν μιᾷ ὁ μαθητὴς αὐτοῦ· Ἀββᾶ, οὗτός ἐστιν ὁ πνευματικὸς κανὼν τὸ κλαίειν ἀεὶ ἐν τῇ λειτουργίᾳ αὐτοῦ τὸν μοναχόν; Καὶ ἀπεκρίθη ὁ γέρων· ναί, τέκνον, οὗτός ἐστιν ὁ κανών, ὃν θέλει ὁ Θεὸς νῦν ἀφ' ἡμῶν. Ἀπ' ἀρχῆς μὲν γὰρ ὁ Θεὸς οὐκ ἐποίησε τὸν ἄνθρωπον ἵνα πενθῇ, ἀλλ' ἵνα χαίρῃ καὶ εὐφραίνηται, δοξάζων αὐτὸν καθαρῶς καὶ ἀναμαρτήτως ὡς οἱ Ἄγγελοι, ὁ δὲ πεσὼν εἰς τὴν ἁμαρτίαν ἐδεήθη τοῦ κλαυθμοῦ· καὶ πάντες οἱ πεσόντες ὁμοίως τοῦ αὐτοῦ δέονται· ὅπου δὲ οὐκ ἔστιν ἁμαρτία, ἐκεῖ οὐ χρεία κλαυθμοῦ.

7. Ἔλεγεν ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος, ὅτι ὅτε ἤμην παιδίον ἔβοσκον βοΐδια, καὶ ἀπῆλθον κλέψαι συκία μετὰ καὶ ἄλλων, καὶ ὡς ἐτρέχομεν, ἔπεσεν ἓν ἐκ τῶν συκίων καὶ λαβὼν ἔφαγον αὐτό· καὶ ὅτε μνημονεύσω αὐτοῦ κάθημαι κλαίων.

8. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς, ὅτι ἡττήθημεν πάθει σωματικῶς; μὴ ἀμελήσωμεν μετανοοῦντες καὶ πενθοῦντες ἑαυτούς, πρὶν καταλάβῃ ἡμᾶς τὸ πένθος τῆς κρίσεως.

9. Εἶπεν ὁ αὐτός· διὰ τῶν δακρύων γίνεται ἄφεσις ἁμαρτιῶν. Ὅταν οὖν κλαίῃς, μὴ ὑψώσῃς τὴν φωνὴν τοῦ στεναγμοῦ σου, καὶ μὴ γινωσκέτω ἡ ἀριστερά, ἤγουν ἡ κενοδοξία, τί ποιεῖ ἡ δεξιά σου.

10. Ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶν Μωϋσῆν λέγων· τί ποιήσει ἄνθρωπος ἐν

παντὶ πειρασμῷ ἐπερχομένῳ ἐπάνω αὐτοῦ, ἢ ἐν παντὶ λογισμῷ σπειρομένῳ ὑπὸ τοῦ ἐχθροῦ; Καὶ ἀπεκρίθη ὁ γέρων· κλαίειν ὀφείλει ἐνώπιον τῆς ἀγαθωσύνης τοῦ Θεοῦ, ἵνα βοηθήσῃ αὐτῷ, καὶ ἀναπαύεται ταχέως, ἐὰν παρακαλῇ ἐν γνώσει. Γέγραπται γάρ· «ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν», καὶ τὰ ἑξῆς.

11. Ἀνερχόμενός ποτε ὁ Ἀββᾶς Ποιμὴν εἰς τὴν Αἴγυπτον, εἶδε γυναῖκα ἐν μνημείῳ καθεζομένην καὶ κλαίουσαν πικρῶς. Καὶ λέγει· ἐὰν συναχθῶσι πάντα τὰ τερπνὰ τοῦ κόσμου ἐνώπιον αὐτῆς, οὐ μὴ καταστήσωσι τὴν ψυχὴν αὐτῆς ἀπὸ τοῦ πένθους· οὕτω καὶ ὁ μοναχὸς ὀφείλει διὰ παντὸς τὸ πένθος ἔχειν ἐν ἑαυτῷ.

12. Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων· τί ποιήσω ἵνα σωθῶ; Καὶ ἀπεκρίθη ὁ γέρων· Ἀβραάμ, ὅτε εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, μνημεῖον ἠγόρασεν ἑαυτῷ, καὶ διὰ τοῦ τάφου ἐκληρονόμησε τὴν γῆν. Λέγει ὁ ἀδελφός· τί ἐστι τάφος; Καί φησιν ὁ γέρων· τόπος κλαυθμοῦ καὶ πένθους.

13. Ὁ αὐτὸς εἶπε καὶ πρὸς ἕτερον ἀδελφόν, ἐρωτήσαντα ὁμοίως· π ῶ ς σ ω θ ῶ; Καὶ ἀπεκρίθη ὁ γέρων· ὅταν ὁ Θεὸς ἐπισκέπτηται ἡμᾶς, τίνος ἔχομεν τότε φροντίσαι; Ἔφη ὁ ἀδελφός· τῶν ἁμαρτιῶν ἡμῶν. Λέγει ὁ γέρων· οὐκοῦν εἰσέλθωμεν εἰς τὸ κελλίον ἡμῶν, καὶ καθήσαντες μνημονεύσωμεν ἐνώπιον τῆς ἀγαθότητος αὐτοῦ, ἕως ποιήσῃ τὸ ἔλεος αὐτοῦ μεθ᾽ ἡμῶν.

14. Διηγήσατο ὁ Ἀββᾶς Ἰσαὰκ λέγων, ὅτι ἐκαθήμην ποτὲ πρὸς τὸν Ἀββᾶν Ποιμένα, καὶ εἶδον αὐτὸν ὡς ἐν ἐκστάσει γενόμενον καὶ πενθοῦντα. Ἔχων οὖν πρὸς αὐτὸν παρρησίαν, ἔβαλον αὐτῷ μετάνοιαν παρακαλῶν καὶ λέγων· εἰπέ μοι ποῦ ἦς; Ὁ δὲ ἀναγκασθεὶς ὑπ᾽ ἐμοῦ εἶπέ μοι· ἐκεῖ ἦν ὁ ἐμὸς λογισμός, ὅπου ἡ Ἁγία Μαρία ἡ Θεοτόκος ἔστηκε καὶ ἔκλαιεν ἐπὶ τοῦ Σταυροῦ τοῦ Σωτῆρος· κἀγὼ ἤθελον πάντοτε οὕτω κλαίειν.

15. Εἶπεν ὁ Ἀββᾶς Παῦλος· εἰς βόρβορόν εἰμι καταποντιζόμενος ἕως τραχήλου, καὶ κλαίω ἔμπροσθεν τοῦ Ἰησοῦ λέγων· ἐλέησόν με.

16. Ὁ Ἀββᾶς Σιλουανὸς εἶχε τὸ πένθος διηνεκές, καὶ οὐδέποτε ἤθελεν ἐξελθεῖν ἐκ τοῦ κελλίου αὐτοῦ. Εἰ δὲ καὶ συνέβη αὐτὸν ἀναγκασθέντα διά τινα χρείαν ἐξελθεῖν, ἔσκεπε τῷ κουκουλίῳ τὸ πρόσωπον αὐτοῦ καὶ πρὸς τοὺς ἐρωτῶντας τίνος χάριν τοῦτο ποιεῖ, ἔλεγε· τί θέλω ἰδεῖν τὸ φῶς τοῦτο τὸ πρόσκαιρον καὶ οὐδὲν ἔχον ὄφελος;

17. Διηγήσατο ἡμῖν ὁ Ἀββᾶς Θεόδωρος, ὅτι ἦν τις ἀδελφὸς οἰκῶν εἰς τὰ κελλία καὶ ἐκέκτητο τὸ χάρισμα τῆς κατανύξεως. Συνέβη οὖν ἐν μιᾷ καὶ ἀπὸ πόνου καρδίας ἦλθεν αὐτῷ δακρύων πλῆθος. Καὶ ἰδὼν ὁ ἀδελφὸς ἔλεγεν ἐν ἑαυτῷ· ἀληθῶς τοῦτο σημεῖόν ἐστιν, ὅτι ἐγγὺς ἡ ἡμέρα τοῦ θανάτου μου. Καὶ ὡς τοῦτο ἐλογίζετο, ἔτι τὰ δάκρυα ἐπληθύνοντο. Βλέπων δὲ αὐτὰ πληθυνόμενα, βεβαιότερον τοῦ τοιούτου λογισμοῦ εἴχετο λέγων· ἀληθῶς ἤγγικεν ὁ καιρός. Καὶ καθ᾽ ἡμέραν ἐκ ταύτης τῆς ἐννοίας μείζονα προσθήκην ἐλάμβανε τὰ δάκρυα ἐν αὐτῷ.

Ἠρωτήσαμεν οὖν αὐτὸν περὶ τῶν δακρύων, διατί ποτὲ μὲν καὶ ἀφ᾽ ἑαυτῶν ἔρχονται, ποτὲ δὲ οὐδὲ μετὰ πόνου τις δύναται προαγαγεῖν ταῦτα; Καὶ ἀπεκρίθη ὁ γέρων· τὰ δάκρυα ὅμοιά εἰσι τῷ ὑετῷ· ὁ δὲ ἄνθρωπός ἐστιν ὁ γεωργός. Ἐρχομένων οὖν αὐτῶν, ὀφείλει ὁ τὴν γῆν τῆς καρδίας αὐτοῦ γεωργῶν ἀγωνίσασθαι, ἵνα μὴ ἀπόληται ἐκ τοῦ ὑετοῦ τίποτε, ἀλλ᾽ ὅλον εἰσέλθῃ εἰς τὸ κηπεῖον καὶ ποτίσῃ αὐτό. Λέγω γὰρ ὑμῖν, τέκνα, ὅτι πολλάκις εὑρίσκεται μία ἡμέρα βροχῆς προάγου-

σα ὅλου τοῦ ἐνιαυτοῦ καὶ σώζουσα πάντας τοὺς καρπούς· διὰ τοῦτο ὀφείλομεν προσέχειν, καὶ ὅτε νοήσωμεν ὅτι ἦλθεν, ἀγωνισώμεθα φυλάξαι ἑαυτούς, καὶ σχολάσωμεν τοῦ δεηθῆναι τοῦ Θεοῦ ἐκτενῶς· οὐ γὰρ οἴδαμεν εἰ καὶ ἐν ἄλλῃ ἡμέρᾳ εὕρωμεν τὸν ὑετὸν ἐκεῖνον.

18. Πάλιν οὖν ἠρωτήσαμεν αὐτὸν λέγοντες· καὶ πῶς τις φυλάττει τὴν κατάνυξιν ὅτε ἔρχεται; Καὶ ἀπεκρίθη ὁ γέρων· προσέχειν δεῖ ἵνα μὴ παραβάλῃ πρὸς ἄνθρωπον τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ τῷ καιρῷ ἐν ὅσῳ τὸ πένθος ἐνεργεῖ. Ἔτι δὲ καὶ τηρήσῃ ἑαυτὸν ἀπὸ γαστριμαργίας καὶ ὑψηλοφροσύνης, τοῦ μὴ φαντασθῆναι ὅτι ὅλως κλαίει καὶ τοῦ μὴ κατακρῖναι τινά, σχολάσῃ δὲ τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει. Πλὴν ὅταν ἔλθῃ τὸ πένθος, αὐτὸ διδάξει ἡμᾶς τίνα εἰσὶ τὰ συμφέροντα καὶ διατηροῦντα αὐτό, καὶ τίνα τὰ κωλύοντα.

Οἶδα γὰρ ἀδελφὸν καθήμενον ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἐργαζόμενον τὴν σειράν, καὶ ἤρχετο τὸ πένθος αὐτῷ. Ὁ δέ, κατερχομένων τῶν δακρύων, ἀνίστατο εἰς προσευχήν, καὶ εὐθὺς ἐκεῖνα ἐπαύοντο. Πάλιν οὖν ἤρχετο τοῦ ἔργου τῆς σειρᾶς συνάγων τὸν νοῦν αὐτοῦ, καὶ παρευθὺς τὰ δάκρυα ἤρχοντο· ὁμοίως καὶ ἐπὶ τῆς ἀναγνώσεως, ἀναγινώσκων κατενύσσετο, καὶ ὡς ἀνίστατο εἰς προσευχὴν οὐκ εἶχεν, αὖθις δὲ ὡς μόνον ἐνέκυπτε τῷ βιβλίῳ τοῦ δακρύειν πάλιν ἀπήρχετο. Τότε οὖν ἔγνω ὁ ἀδελφὸς τῆς τοιαύτης διαφορᾶς τὴν αἰτίαν, καὶ εἶπεν ἐν ἑαυτῷ, ὅτι καλῶς εἶπον οἱ Πατέρες, ὅτι τὸ πένθος διδάσκαλός ἐστιν· αὐτὸ γὰρ διδάσκει τὸν ἄνθρωπον πάντα τὰ συμφέροντα αὐτῷ.

Οἶμαι διὰ δύο ταύτας αἰτίας ὁ ἀδελφὸς ἐν τῇ προσευχῇ τὸ πένθος ἀπέβαλλε. Μίαν μέν, ὅτι μήπω καθαρὰν κτησάμενος προσευχὴν καὶ ἀρέμβαστον, διὰ τοῦ ρεμβασμοῦ τὸν νοῦν σκορπιζόμενος, οὐκ εἶχε τὴν προτέραν κατάνυξιν, τὴν ἐν τῷ ἐργοχείρῳ καὶ τῇ ἀναγνώσει προσγιγνομένην αὐτῷ, ἐν τούτοις μᾶλλον συνάγοντι τὴν διάνοιαν. Ἑτέραν δέ, ἵνα μὴ δόξῃ ὡς ἐκ τῆς ἑαυτοῦ σπουδῆς καὶ τῆς προσευχῆς κατωρθώθη αὐτῷ τὸ πένθος, ἀλλ' ἐλέει καὶ χάριτι Θεοῦ δεδόσθαι αὐτῷ ἐπιγνῷ. Ὅθεν καὶ εἰς εὐχαριστίαν τοῦ εὐεργέτου κινηθῇ καὶ ταπείνωσιν ἕξῃ μείζονα, δι' ὧν τὸ πένθος ἐν αὐτῷ ἐπὶ πλέον ἐκρατύνετο. Ἡμῖν δὲ εἴ ποτέ τι τοιοῦτον συμβῇ, ἤγουν κατάνυξις καρδίας καὶ θερμότης δακρύων ἐγγένηται, εὐθὺς πάντα παριδόντες, εἰς τὴν προσευχὴν δράμωμεν καὶ ταύτῃ προσκαρτερήσωμεν, ἕως τὸ καρδιακὸν πῦρ ἐν ἡμῖν ἀναπτόμενον αἰσθανώμεθα· ἴσως γὰρ ἄλλοτε τούτου οὐκ εὐπορήσωμεν.

19. Εἶπε γέρων· ἐὰν ἴδῃς ὅτι ὁ Θεὸς πρὸ χρόνου τινὸς ἐχαρίσατό σοι κατάνυξιν, τῷ καιρῷ ἐκείνῳ καταφρόνησον τοῦ ἐργοχείρου σου, εἰ οἶδας ὅτι συμφέρει σοι, ἤγουν εἰ εὑρίσκεις ἐν τ'αὐτῷ τινα τοῦ πένθους περικοπήν, καὶ σχόλασον εἰς τὸ πένθος, μήπως ἐγγύς ἐστιν ἡ ἡμέρα τῆς ἐξόδου σου, καὶ διὰ τοῦτο ἐχαρίσατό σοι ὁ Θεὸς τὸ κλαίειν, ἵνα δι' αὐτοῦ εὕρῃς μικρὸν ἔλεος. Ὥς περ γὰρ ὁ σατανᾶς εἰς τὰ τέλη τοῦ ἀνθρώπου σπεύδει ἀπολέσαι αὐτόν, οὕτω καὶ ὁ Θεὸς πολλάκις ἐν τῷ τέλει τοῦ ἀνθρώπου διὰ προφάσεως σώζει αὐτόν.

20. Εἶπε γέρων· ὥς περ τὴν κακίαν ἡμῶν, ἤτοι τὰ πάθη καὶ τὰς ἁμαρτίας, πανταχοῦ μεθ' ἑαυτῶν περιφέρομεν, οὕτως ὀφείλομεν καὶ τὸ πένθος καὶ τὴν κατάνυξιν ἀεὶ ἐν ἑαυτοῖς ἔχειν ὅπου δ' ἂν ἐσμέν.

21. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ποιήσω, Πάτερ; Καὶ ἀπεκρίθη ὁ γέρων· δακρύειν ὀφείλομεν πάντοτε. Συνέβη γὰρ ποτέ τινα τῶν Πατέρων ἀσθενήσαν-

τα ἐκλιπεῖν καὶ πάλιν ἐλθεῖν εἰς ἑαυτόν, καὶ ἠρωτήσαμεν αὐτὸν εἰπεῖν τί εἶδεν ὅπου ἀπῆλθε. Καὶ διηγήσατο λέγων, ὅτι ἤκουσα φωνῆς κλαυθμοῦ λεγόντων ἀδιαλείπτως· οὐαί μοι, οὐαί μοι· οὕτω καὶ ἡμεῖς πενθεῖν ὀφείλομεν πάντοτε.

22. Δύο ἀδελφοὶ σαρκικοὶ ἀπετάξαντο· καὶ ἀπελθόντες ἔμειναν ἐν ὑποταγῇ Πατρὸς ἐν τῷ ὄρει τῆς Νιτρίας. Ἔδωκεν οὖν ὁ Θεὸς τοῖς δυσὶ τὸ χάρισμα τῶν δακρύων καὶ τῆς κατανύξεως. Ἐν μιᾷ οὖν θεωρεῖ ὁ γέρων ἐν ὁράματι τοὺς δύο ἀδελφοὺς ἱσταμένους εἰς προσευχήν, καὶ κρατοῦντα ἑκάτερον αὐτῶν χάρτην γεγραμμένον καὶ βρέχοντα αὐτὸν τοῖς ἰδίοις δάκρυσιν· καὶ τὰ μὲν γράμματα τοῦ ἑνὸς εὐχερῶς ἐλειαίνοντο, τὰ δὲ τοῦ ἑτέρου μετὰ κόπου· ἐφαίνοντο γὰρ ὡς ἀπὸ ἐγκαυστοῦ μέλανος. Ἐδεήθη οὖν ὁ γέρων ἑρμηνευθῆναι αὐτῷ τὸ ὅραμα, καὶ παραστὰς αὐτῷ Ἄγγελος Κυρίου λέγει· τὰ γράμματα τὰ ἐν τῷ χάρτῃ, τὰ ἁμαρτήματα ἀμφοτέρων εἰσί. Καὶ ὁ μὲν εἷς κατὰ φύσιν ἥμαρτε, καὶ διὰ τοῦτο εὐχερῶς τὰ σφάλματα αὐτοῦ ἀπαλείφονται, ὁ δὲ ἕτερος εἰς ἀκαθαρσίας καὶ ῥυπαρὰ πταίσματα ἐμολύνθη παρὰ φύσιν, καὶ τούτου χάριν κόπου περισσοτέρου χρῄζει εἰς τὸ μετανοῆσαι γνησίως καὶ σφόδρα ταπεινωθῆναι.

Ἔκτοτε οὖν ἔλεγεν ὁ γέρων ἐκείνῳ τῷ ἀδελφῷ· πόνησον, ἀδελφέ, ὅτι ἔγκαυστά εἰσι καὶ μετὰ πόνου λειαίνονται. Οὐκ ἐφανέρωσε δὲ αὐτῷ τὸ ὅραμα ἕως τῆς τελευτῆς αὐτοῦ, ἵνα μὴ ἀμβλύνῃ τὴν προθυμίαν αὐτοῦ, ἀλλὰ τὸν ῥηθέντα λόγον ἀεὶ ἔλεγεν αὐτῷ· κοπίασον, ἀδελφέ, ὅτι ἔγκαυστά εἰσιν.

23. Ἀδελφὸς σπουδαῖος ποιῶν τὸν κανόνα αὐτοῦ μετὰ τοῦ ἰδίου αὐτοῦ ἀδελφοῦ ἐνικᾶτο ὑπὸ τῶν δακρύων, καὶ ἠφίει τὸν στίχον τοῦ ψαλμοῦ. Ἐν μιᾷ οὖν παρεκάλεσεν αὐτὸν ὁ ἀδελφὸς εἰπεῖν αὐτῷ τὸ τί λογίζεται εἰς τὸν κανόνα καὶ οὕτω πικρῶς κλαίει; Ὁ δὲ λέγει αὐτῷ· συγχώρησόν μοι, ἀδελφέ, ἐγὼ πάντοτε εἰς τὸν κανόνα μου τὸν Κριτὴν θεωρῶ, καὶ ἑαυτὸν παριστάμενον ὡς κατάδικον καὶ ἐξεταζόμενον· λοιπὸν μὴ γινώσκων τί ἀπολογήσασθαι, ἔκπληκτος γίνομαι καὶ φράσσεταί μου τὸ στόμα, καὶ ἐκ τούτου ἀπόλλω τὸν στίχον τοῦ ψαλμοῦ, ἀλλὰ συγχώρησόν μοι ὅτι θλίβω σε· καὶ ἐὰν ἀναπαύῃ, ποιείτω ἕκαστος ἡμῶν τὸν κανόνα ἑαυτοῦ κατ' ἰδίαν. Ἔφη αὐτῷ ὁ ἀδελφός· οὐχί, Πάτερ· κἂν γὰρ μὴ πενθῶ ἐγώ, ἀλλ' ὅμως θεωρῶν σε ταλανίζω ἑαυτόν. Καὶ ἰδὼν ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ, ἐχαρίσατο καὶ αὐτῷ τὸ πένθος, ὃ εἶχεν ὁ ἀδελφὸς αὐτοῦ. Σπουδάσωμεν οὖν καὶ ἡμεῖς τοῖς πενθοῦσι προσέχειν καὶ τὰ ὅμοια τῷ ἀδελφῷ τούτῳ κερδήσομεν.

24. Εἶπε γέρων· ὥς περ πᾶσα ἁμαρτία, ἣν ποιήσει ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, διότι ἐξ αὐτοῦ ἐξέρχεται ὁ μιασμός, οὕτω πᾶσα ἐργασία, ἣν ποιήσει ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ δακρύων τὴν ἰδίαν ψυχὴν καὶ τὸ σῶμα καθαρίζει· ἄνωθεν γὰρ καταβαῖνον τὸ δάκρυον ὅλον τὸ σῶμα ἀποπλύνει καὶ ἁγιάζει.

25. Εἶπεν ὁ αὐτός· τὸ λαλεῖν περὶ πίστεως καὶ ἀναγινώσκειν δόγματα ξηραίνουσι τὴν κατάνυξιν τοῦ ἀνθρώπου, καὶ ἀφανίζουσιν αὐτήν· οἱ δὲ βίοι καὶ οἱ λόγοι τῶν γερόντων φωτίζουσι τὴν ψυχήν, πληροῦντες αὐτὴν δακρύων πνευματικῶν.

26. Εἶπε γέρων· ἄνθρωπος καθήμενος εἰς τὸ ἑαυτοῦ κελλίον καὶ μελετῶν ψαλμούς, ἔοικεν ἀνθρώπῳ ἔξωθεν ἑστῶτι καὶ ζητοῦντι τὸν βασιλέα. Ὁ δὲ μετὰ κλαυ-

θμοῦ αἰτῶν ὅμοιός ἐστι τῷ κρατοῦντι τοὺς πόδας τοῦ βασιλέως καὶ ζητοῦντι ἔλεος παρ' αὐτοῦ, κατ' ἐκείνην τὴν πόρνην τὴν ἐν βραχεῖ πάσας τὰς ἑαυτῆς ἁμαρτίας τοῖς δάκρυσιν ἀποπλύνασαν.

27. Εἶπε γέρων· φύσει ἐὰν ἔστιν ἄνθρωπος ἀγωνιστής, ἀπαιτεῖ παρ' αὐτοῦ ὁ Θεὸς ἵνα μὴ ἔχῃ προσπάθειαν εἰς ὕλην σωματικήν, ἕως καὶ μικρᾶς ραφίδος· δύναται γὰρ ἐμποδίσαι τὸν λογισμὸν αὐτοῦ ἐκ τῆς ἀδολεσχίας τῆς πρὸς τὸν Ἰησοῦν καὶ τὸ πένθος.

28. Γέρων τις παραλαβὼν τὸν ἑαυτοῦ μαθητὴν παρέβαλεν εἴς τινα πόλιν διά τινα χρείαν· καὶ ἔμειναν ἐν αὐτῇ μίαν ἑβδομάδα. Ἐθεώρουν οὖν πολλοὺς τῶν ἐν τῇ πόλει ἄνδρας τε καὶ γυναῖκας ἑκάστῃ ἡμέρᾳ κατὰ τὸν ὄρθρον ἐξερχομένους εἰς τὰ μνήματα καὶ θρηνοῦντας ἕκαστον τὸν ἴδιον νεκρὸν ἕως ὥρας τρίτης. Καὶ λέγει ὁ γέρων τῷ μαθητῇ αὐτοῦ· βλέπεις, ἀδελφέ, εἰς τί νυκτερεύουσιν οὗτοι; πίστευέ μοι, εἰ μὴ καὶ ἡμεῖς οὕτω ποιήσωμεν, εἰς ἀπώλειαν ὑπάγομεν. Καὶ ὑποστρέψαντες εἰς τὸ κελλίον ἔκτισαν καὶ αὐτοὶ εὐθέως τὰ ἑαυτῶν μνήματα ἀπόμηκα ἀλλήλων, καὶ καθ' ἡμέραν καθήμενοι ἕκαστος πρὸ τοῦ ἰδίου μνήματος ἔκλαιε τὴν ἑαυτοῦ ψυχὴν ὡς νεκρόν, ἀπὸ ὄρθρου ἕως ἑσπέρας. Εἴ ποτε οὖν περὶ τὴν πρωΐαν ἀπεκοιμήθη ὁ μαθητὴς ὡς ἀπὸ τοῦ κανόνος, ἔκραζεν ὁ γέρων ἐξυπνίζων αὐτὸν καὶ λέγων· ἀδελφέ, ἐγείρου, ἐκεῖνοι λοιπὸν ἔχουσιν ὥραν εἰς τὰ μνήματα καὶ τὸ ἔργον αὐτῶν.

Ἐν μιᾷ οὖν λέγει ὁ ἀδελφὸς τῷ γέροντι· σκληρά ἐστιν ἡ ψυχή μου καὶ οὐ δύναμαι κλαῦσαι. Ἀπεκρίθη ὁ γέρων· πύκτευσον, τέκνον, ὀλίγον χρόνον καὶ πόνεσον, καὶ θεωρῶν ὁ Θεὸς τὸν πόνον σου, ποιεῖ μετὰ σοῦ ἔλεος· ὅτι ὥς περ ἂν μὴ λάβῃ σαγιταίαν ἡ καρδία οὐκέτι ἔχει ἴασιν, οὕτως ἐὰν ὁ Θεός, μὴ πλήξῃ αὐτὴν εἰς τὸ πένθος οὐκέτι ὑπάγει ἐξ αὐτῆς ὁ πόνος, ἀλλὰ μένει πεπληγμένη ἕως θανάτου· καὶ ὅπου δ' ἂν ὑπάγῃ ὁ τοιοῦτος, ἔσωθεν ἀεὶ ἔχει τὸ πένθος ἀδιάστατον.

Ποτὲ οὖν ὁ γέρων ἰδὼν τὸν ἀδελφὸν βαρυνθέντα ἀπὸ βρωμάτων (ἦσαν γάρ τινες τῇ ἑσπέρᾳ παραβαλόντες αὐτοῖς), λέγει αὐτῷ ἰδιάζοντι· οὐκ οἶδας ὅτι τὸ πένθος λυχνάριόν ἐστιν ἅπτον, καὶ ἐὰν μὴ ἀσφαλῶς σκεπάσῃς αὐτό, συντόμως σβέννυται καὶ ὑπάγει; Καὶ γὰρ καὶ τὰ πολλὰ βρώματα σβεννύουσιν αὐτό, καὶ ὁ πολὺς ὕπνος ἐμποδίζει αὐτό, καὶ ἡ καταλαλιὰ ἀπόλλυσιν αὐτό, ὁμοίως καὶ ἡ πολυλογία καὶ πᾶσα ἁπλῶς ἀνάπαυσις σαρκὸς διώκει αὐτὸ καὶ ἀφανίζει. Χρὴ οὖν τὸν ἀγαπῶντα τὸν Θεὸν καὶ θέλοντα φυλάξαι τὸ πένθος, εἰς ἕκαστον ὃ ἐὰν πρᾶγμα ποιῇ, ποιεῖν καὶ μέρος Χριστοῦ.

Λέγει ὁ ἀδελφός· τίς ὁ λόγος οὗτος, Πάτερ, ἐστιν; Ἀπεκρίθη ὁ γέρων· θέλεις μαθεῖν πῶς τις ποιεῖ μέρος τοῦ Χριστοῦ ἐν ἑκάστῳ πράγματι; Ἄκουσον· ὅταν ἐμπέσῃ σοι ἄρτος καθαρός, ἄφες αὐτὸν λόγῳ ἄλλου ἀδελφοῦ, καὶ φάγε σὺ τὸν ρυπαρὸν διὰ τὸν Χριστόν· πάλιν ἐὰν ἐμπέσῃ σοι οἶνος καλός, μῖξον αὐτῷ μικρὸν ὄξος διὰ τὸν Χριστόν, τὸν πιόντα ὄξος· καὶ μὴ χορτασθῇς, ἀλλ' ἄφες μικρὸν λέγων· ἰδοὺ καὶ τὸ μέρος τοῦ Χριστοῦ· ἐὰν εὕρῃς προσκεφάλαιον ἁπαλόν, ἄφες αὐτὸ καὶ βάλε λίθον διὰ τὸν Χριστόν.

Ἐὰν κοιμώμενος ριγάσῃς, ὑπόμεινον λέγων, ὅτι ἄλλοι οὐδὲ ὅλως κοιμῶνται· ἐὰν ποιήσῃς ἑαυτῷ ἕψημα, ἀφάνισον αὐτὸ μικρὸν λέγων, ὅτι ἄλλοι ἄξιοι ὄντες, οὐδὲ ἄρτον τρώγουσιν, ἐγὼ δὲ ὁ ἀνάξιος ἐσθίω καὶ ἕψημα ὀφείλων ἐσθίειν σποδὸν καὶ τέφραν διὰ τὴν ρυπαρίαν τῶν ἔργων μου. Καὶ ἁπλῶς εἰπεῖν, εἰς ἕκαστόν σου

πρᾶγμα μῖξον μικρὰν θλῖψιν, καὶ ζῆσον μετὰ ταπεινώσεως ἐνθυμούμενος πῶς ἔζησαν οἱ Ἅγιοι, ἵνα ἐλθούσης τῆς ὥρας τοῦ θανάτου εὑρεθῶμεν καὶ ἡμεῖς εἰς θλῖψιν τινὰ καὶ στένωσιν, καὶ τύχωμεν ἐκεῖ ἀναπαύσεως.

29. Εἶπε γέρων· ἐὰν ἐξέλθῃς ἐκ τοῦ κελλίου σου καὶ παραβάλῃς πούποτε, καὶ μικρὸν χαυνωθῇ τὸ πένθος σου, ἢ ἐκ τῆς διαίτης ἢ ἔκ τινος ἄλλης αἰτίας, ὑπόστρεψον ταχὺ καὶ ἀνάλαβε τὴν προτέραν ἄσκησιν, ἵνα ἀνακαινισθῇ πάλιν τό πένθος ἐν σοὶ καὶ μὴ ἀπολέσῃς αὐτό.

30. Εἶπε πάλιν· ἐὰν πένθος κτήσασθαι θέλῃς, ἀγώνισαι ἵνα ὅλα τὰ σκεύη σου καὶ τὰ πράγματά σου πτωχά εἰσιν, οἷα τῶν καθημένων ἐν τῇ ἀγορᾷ ἀδελφῶν ἡμῶν καὶ προσαιτούντων.

31. Εἶπε πάλιν· ἐὰν μὴ ἔχῃς κατάνυξιν, γίνωσκε ὅτι κενοδοξίαν ἢ φιληδονίαν νοσεῖς· αὗται γὰρ οὐκ ἀφίουσι τὴν ψυχὴν κατανυγῆναι.

32. Εἶπεν πάλιν· ἐὰν χαρίσηταί σοι ὁ Θεὸς τὸ πένθος, μὴ νομίσῃς ὅτι μέγα τι ποιεῖς δακρύων συνεχῶς, καὶ ὑψηλοφροσύνης λογισμοὺς ἐάσῃς σπαρῆναι ἐν τῇ καρδίᾳ σου, ἐπεὶ αἴρει ἀπὸ σοῦ ὁ Θεὸς τὰ δάκρυα καὶ μένει λοιπὸν ἡ καρδία σου σκληρὰ καὶ ἀκατάνυκτος.

33. Εἶπε πάλιν· ἐάν εἰσιν ἐν τῷ τόπῳ, ὅπου οἰκεῖς, μνήματα, ἀπέρχου συνεχῶς καὶ κατανόει τοὺς κειμένους ἐκεῖ, μάλιστα εἰ ἔχεις πόλεμον τῆς σαρκός· καὶ ὅταν μάθῃς ὅτι ἀδελφός τις ἐκδημεῖ πρὸς Κύριον, πορεύου καὶ παράμεινον αὐτῷ, ὅπως θεάσῃ πῶς ἡ ψυχὴ τοῦ σώματος χωρίζεται· καὶ ἐκ τούτου γὰρ προσλαμβάνεις κατάνυξιν.

34. Εἶπε πάλιν· ὅταν ἴδῃ ὁ σατανᾶς τὸν Θεὸν ἐλεοῦντα σε καὶ δίδοντα κατάνυξιν τῇ ψυχῇ σου, τότε ὑποβάλλει σοι ἀναγκαῖον ἔργον ἐν τῷ κελλίῳ σου λέγων· ποίησον τοῦτο σήμερον ὅτι κατεπεῖγον ἐστίν, ἢ χρείαν τινὰ ἔξωθεν ὑποτιθεὶς παραβαλεῖν τινι διὰ τὴν χρείαν, ἢ διά τινα πνευματικὴν διάθεσιν καὶ εὔλογον πρόφασιν. Ταῦτα δὲ πάντα ποιεῖ ὁ ἐχθρός, ἵνα μὴ ἀφήσῃ σε σχολάσαι ἐν τῷ κελλίῳ καὶ ἀπολαῦσαι τῆς τοῦ πένθους γλυκύτητος. Εἰ δὲ γνοὺς τὸν δόλον φυλάξῃς σεαυτὸν καὶ σχολάσῃς τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει, εὐθέως προσδόκησον πειρασμόν, ἢ ἐξ ἀνθρώπων ἢ ἐκ δαιμόνων. Ὁ γὰρ σατανᾶς τότε πολεμεῖ τὸν ἄνθρωπον κακῶς, ὅταν πολεμῇ ὁ ἄνθρωπος καλῶς, ὁ θυμὸς δὲ πλεῖον πάντων ἀφανίζει τὴν κατάνυξιν καὶ τὴν ταπείνωσιν τῆς ψυχῆς.

35. Εἶπε πάλιν· ὅτε ὁ Θεὸς ἐπάταξεν Αἴγυπτον, οὐκ ἦν οἶκος μὴ ἔχων πένθος. Εἰ οὖν καὶ ἐν ἡμῖν ὁ τοῦ Θεοῦ φόβος καὶ λόγος τὴν ἁμαρτίαν ἐπάταξε, τοῦ πενθεῖν μὴ παυσώμεθα· τὸ γὰρ πένθος διπλοῦν ἐστιν, ὅτι ἐργάζεται καὶ φυλάσσει, ὃ καὶ δωρηθῆναι ἡμῖν εὐξώμεθα.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

— Πῶς ἠμπορεῖ, Πάτερ, — τοῦ λέγει — νὰ κλαίῃ ἕνας ἄνθρωπος;

— Τὸ κλάμα εἶναι συνήθεια — τοῦ ἀπήντησεν ὁ Γέρων — καὶ ἐκεῖνος ποὺ τὸ ἐπιζητεῖ, θέλει πολὺν χρόνον νὰ προγυμνάσῃ τὴν σκέψιν του, διὰ νὰ φροντίζῃ πάντοτε ὁ νοῦς του διὰ τὰς ἁμαρτίας, ποὺ διέπρα-

ξεν ἢ νὰ σκέπτεται τὴν κόλασιν, ἢ νὰ ἐνθυμῆται συνεχῶς τὸν τάφον καὶ ὅλους τοὺς Πατέρας του, πῶς ἔζησαν εἰς αὐτὸν τὸν κόσμον καὶ ποῦ νὰ εὑρίσκωνται τώρα;

Εἶπεν ὁ ἀδελφός:

— Καὶ ἔχει ὑποχρέωσιν, Πάτερ, ὁ Μοναχὸς νὰ ἐνθυμῆται καθόλου τοὺς γονεῖς του, ἔστω καὶ ἂν ἔχουν ἀποθάνει;*

Ὁ Γέρων ἀπεκρίθη:

— Ἂν βλέπῃς ὅτι ἡ ἐνθύμησις αὐτὴ φέρνει κατάνυξιν εἰς τὴν ψυχήν σου, συγκέντρωσε τὴν σκέψιν σου εἰς αὐτὴν καὶ ὅταν σοῦ ἔλθουν τὰ δάκρυα, ὕστερα σὺ τὰ διοχετεύεις ὅπου θέλεις, εἴτε εἰς τὴν ἀνάμνησιν τῶν ἁμαρτιῶν σου, εἴτε εἰς ἄλλην καλὴν ἐνθύμησιν.

2. Ἐγὼ γνωρίζω κάποιον ἀδελφόν, ὁ ὁποῖος ἐργάζεται τὴν ἀρετήν· αὐτὸς λοιπόν, ἐπειδὴ ἡ καρδία του ἦτο σκληρά, ἐκτυποῦσε πολλὰς φορὰς τὸν ἑαυτόν του καὶ ἀπὸ τὸν πολὺν πόνον ἔκλαιε· τότε ἐνεθυμεῖτο τὴν κόλασιν καὶ ὅλας τὰς ἁμαρτίας του.

3. Ἔμαθα διὰ κάποιον ἀδελφόν, ὅτι ἀφοῦ ἠρνήθη τὸν κόσμον κατῴκησεν εἰς τὸ ὄρος τῆς Νιτρίας**. Τὸ κελλί του εὑρίσκετο πλησίον τοῦ κελλίου ἑνὸς ἄλλου ἀδελφοῦ καὶ τὸν ἤκουε νὰ κλαίῃ συνεχῶς κάθε ἡμέραν διὰ τὰς ἁμαρτίας του. Ὅταν δέ, μετὰ πολὺν καιρόν, δὲν τοῦ ἤρχοντο δάκρυα, ἔλεγεν εἰς τὴν ψυχήν του· δὲν κλαίεις ταλαίπωρε, οὔτε θρηνεῖς; πίστευσέ με, ὅτι ἂν δὲν θέλῃς, ἐγὼ θὰ σὲ κάμω νὰ κλαύσῃς. Ἐσηκώνετο δὲ πραγματικά, ἔπαιρνεν ἕνα μαστίγιον κατεσκευασμένον μὲ στερεὰν χρυσῆν λαβήν, ἀπὸ τὴν ὁποίαν ἐκρέματο διπλὸν σχοινὶ καὶ ἐκτυποῦσε τὸν ἑαυτόν του μὲ αὐτὸ τόσον πολύ, ἕως ὅτου ἤρχιζε νὰ κλαίῃ ἀπὸ τὸν πόνον.

Ὁ ἀδελφός, ὁ ὁποῖος κατοικοῦσε πλησίον του, ἐθαύμαζε δι' αὐτὸ ποὺ ἔκανεν ὁ ἀδελφὸς καὶ παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ φανερώσῃ ἂν κάνῃ καλὰ νὰ βασανίζῃ τὸν ἑαυτόν του. Πραγματικὰ μίαν νύκτα βλέπει εἰς τὸ ὄνειρόν του τὸν αὐτοβασανιζόμενον ἀδελφὸν νὰ φορῇ στέφανον καὶ νὰ στέκεται μεταξὺ τῶν μαρτύρων καὶ κάποιον νὰ λέγῃ εἰς αὐτόν, ὁ ὁποῖος ἔβλεπε τὸ ὄνειρον· ἰδοὺ ὁ καλὸς ἀθλητής, ὁ ὁποῖος αὐτοβασανίζεται διὰ τὸν Χριστόν, πῶς ἐστεφανώθη μαζὶ μὲ τοὺς Μάρτυρας.

---

* Ἡ ἐρώτησις αὐτὴ τίθεται ἐνταῦθα, διότι κατὰ τοὺς κανόνας τῆς μοναχικῆς πολιτείας ὁ ἀπαρνούμενος τὸν κόσμον πρέπει νὰ ἀπαρνηθῇ καὶ νὰ λησμονήσῃ κάθε τι ποὺ τὸν συνέδεε μὲ τὸν κόσμον, ἀκόμη καὶ τοὺς γονεῖς αὐτοῦ, διότι ἄλλως εἶναι ἀδύνατον νὰ εὐδοκιμήσῃ εἰς τὴν ἐξ αὐτοῦ ἀναχώρησιν. Τοῦτο ὑπονοῶν ὁ Δεσπότης εἶπεν εἰς τὸν μαθητὴν τὸν ζητήσαντα τὴν ἄδειαν ἵνα ἀπέλθῃ καὶ θάψῃ τὸν πατέρα αὐτοῦ· «ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς» (Ματθ. Η' 22). Ὅπως ἐπίσης ὁμιλῶν ἄλλοτε εἰς τοὺς δώδεκα εἶπεν· «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος» (Ματθ. Ι' 37).

** Περὶ Νιτρίας βλέπε ὑποσημείωσιν β' τῆς σελίδος 81 τοῦ ἀνὰ χεῖρας τόμου τοῦ «Εὐεργετινοῦ».

4. Ὁ Ἀββᾶς Ἀρσένιος εἰς ὅλην του τὴν ζωήν, ὅταν ἠσχολεῖτο μὲ τὸ ἐργόχειρόν του, εἶχεν εἰς τὸν κόλπον του ἕνα τεμάχιον ὑφάσματος καὶ ἐσκούπιζε τὰ δάκρυα ποὺ ἔτρεχαν διαρκῶς ἀπὸ τὰ μάτια του. Ὁ δὲ περιβόητος μεταξὺ τῶν Μοναχῶν Ποιμήν, ὅταν ἔβλεπεν αὐτό, ἔλεγεν· Εἶσαι καλότυχος, Ἀρσένιε, διότι δὲν θὰ ἔχῃς ἀνάγκην ἀπὸ δάκρυα εἰς τὴν ἄλλην ζωήν, ἐπειδὴ ἐπένθησες διὰ τὰς ἁμαρτίας σου εἰς αὐτὸν τὸν κόσμον. Αὐτό, ἐπίσης — διηγοῦνται — ὅτι ἐνεθυμήθη καὶ ὁ Ἐπίσκοπος τῆς Ἀλεξανδρείας Θεόφιλος* καὶ εἶπεν, ὅταν ἀπέθνησκεν· εἶσαι καλότυχος, Ἀρσένιε, διότι ποτὲ δὲν ἔπαυσες νὰ σκέπτεσαι αὐτὴν τὴν ὥραν καὶ νὰ πενθῇς διαρκῶς.

5. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀμμωνᾶν:

— Εἰπέ μου λόγον πῶς νὰ σωθῶ;

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Σκέψου ὅπως σκέπτονται οἱ κακοῦργοι, οἱ ὁποῖοι εἶναι εἰς τὴν φυλακήν· ἐκεῖνοι, δηλαδή, ἐρωτοῦν τοὺς ἀνθρώπους ποὺ τοὺς πλησιάζουν· ποῦ εἶναι ὁ ἡγεμὼν καὶ πότε ἔρχεται; Καὶ μὲ τὴν ἀνομονὴν τῆς δίκης καὶ τῶν τιμωριῶν κλαίουν. Ἔτσι καὶ ὁ Μοναχὸς ὀφείλει πάντοτε νὰ προσέχῃ τὴν ψυχήν του καὶ νὰ λέγῃ· ἀλλοίμονόν μου, πῶς θὰ παρουσιασθῶ εἰς τὸ φοβερὸν βῆμα τοῦ δικαίου Κριτοῦ; Καὶ τί θὰ Τοῦ ἀπολογηθῶ; Ἐὰν ἔτσι σκέπτεσαι συνεχῶς ἠμπορεῖς νὰ σωθῇς.

6. Ὁ Ἀββᾶς Λογγῖνος εἶπεν· ἡ νηστεία ταπεινώνει τὸ σῶμα, ἡ ἀγρυπνία καθαρίζει τὸν νοῦν· ἡ ἡσυχία γεννᾷ τὸ πένθος, τὸ πένθος βαπτίζει τὸν ἄνθρωπον καὶ τὸν ἀπαλλάσσει ἀπὸ τὰς ἁμαρτίας του. Αὐτὸς δὲ ὁ Ἀββᾶς Λογγῖνος ἐδοκίμαζε μεγάλην κατάνυξιν εἰς τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν. Μίαν ἡμέραν λοιπὸν τὸν ἐρωτᾷ ὁ μαθητής του:

— Ἀββᾶ, αὐτὸς εἶναι ὁ πνευματικὸς κανών, τὸ νὰ κλαίῃ συνεχῶς εἰς τὰς προσευχάς του ὁ Μοναχός;

Ὁ Γέρων ἀπήντησε:

— Ναί, τέκνον μου, αὐτὸς εἶναι ὁ κανών, ποὺ θέλει ὁ Θεὸς ἀπὸ ἡμᾶς κατὰ τὴν παροῦσαν ζωήν. Διότι ἀπὸ τὴν ἀρχὴν δὲν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον νὰ πενθῇ, ἀλλὰ νὰ χαίρεται καὶ νὰ εὐχαριστῆται καὶ νὰ δοξάζῃ τὸν Θεὸν μὲ καθαρότητα καὶ χωρὶς ἁμαρτίαν, ὅπως οἱ Ἄγγελοι· ἀπὸ τότε ὅμως ποὺ ἔπεσεν εἰς τὴν ἁμαρτίαν, ἔχει ἀνάγκην ἀπὸ τὸν κλαυθμόν. Ἀνάγκην ἀπὸ τὰ δάκρυα ἔχουν καὶ ὅλοι, ὅσοι ἔπεσαν εἰς τὴν ἁμαρτίαν. Ὅπου δὲν ὑπάρχει ἁμαρτία, ἐκεῖ δὲν χρειάζεται κλαυθμός.

7. Ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος ἔλεγεν: ὅταν ἤμουν παιδί, ἔβοσκα βόδια καὶ ἐπῆγα νὰ κλέψω σῦκα, μαζὶ μὲ ἄλλους. Καθὼς ἐτρέχαμεν, ἔπεσεν ἕνα ἀπὸ τὰ σῦκα· τὸ ἐπῆρα καὶ τὸ ἔφαγα. Ὅταν λοιπὸν ἐνθυμηθῶ τὴν πρᾶξιν μου αὐτήν, κάθομαι καὶ κλαίω.

8. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς: ἐνικήθημεν σωματικῶς ἀπὸ κάποιο

---

* Βλέπε ὑποσ. τῆς σελ. 286 καὶ τῆς σελ. 347 τοῦ ἀνὰ χεῖρας τόμου.

πάθος; Ἂς μὴ ἀμελήσωμεν, ἂς μετανοήσωμεν καὶ ἂς πενθήσωμεν δι' αὐτό, πρὶν μᾶς προλάβη τὸ πένθος τῆς μελλούσης κρίσεως.

9. Εἶπεν ὁ ἴδιος· μὲ τὰ δάκρυα συγχωροῦνται αἱ ἁμαρτίαι· ὅταν ὅμως κλαίῃς, νὰ μὴ ὑψώνῃς τὴν φωνὴν τοῦ ἀναστεναγμοῦ σου καὶ ἂς μὴ γνωρίζῃ ἡ ἀριστερά, δηλαδὴ ἡ κενοδοξία, τί κάμνει ἡ δεξιά σου.

10. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Μωϋσῆν:

— Τί πρέπει νὰ κάνῃ ὁ ἄνθρωπος — τοῦ εἶπεν — εἰς κάθε πειρασμόν, ὁ ὁποῖος ἔρχεται ἐναντίον του ἀπὸ τὸν ἐχθρόν;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὀφείλει νὰ κλαίῃ ἐμπρὸς εἰς τὸν Πανάγαθον Θεόν, νὰ τὸν βοηθήσῃ· καὶ ἂν παρακαλῇ μὲ ἐπίγνωσιν, ἀμέσως ἀναπαύεται. Διότι λέγει ἡ Ἁγία Γραφή· «ὁ Κύριος εὑρίσκεται κοντὰ εἰς ὅλους ὅσοι τὸν ἐπικαλοῦνται», καὶ τὰ ὑπόλοιπα.

11. Ἀνέβαινε κάποτε ὁ Ἀββᾶς Ποιμὴν εἰς τὴν Αἴγυπτον καὶ εἶδε μίαν γυναῖκα νὰ κάθεται εἰς ἕνα τάφον καὶ νὰ κλαίῃ πικρά. Ἐμονολόγησε λοιπόν· ἂν συγκεντρωθοῦν ἐμπρός της ὅλα τὰ εὐχάριστα τοῦ κόσμου, δὲν θὰ παρηγορήσουν τὴν ψυχήν της ἀπὸ τὸ πένθος. Ἔτσι καὶ ὁ μοναχὸς ὀφείλει νὰ ἔχῃ πάντοτε εἰς τὴν ψυχήν του τὸ πένθος.

12. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησε τὸν ἴδιον Γέροντα:

— Τί νὰ κάμω —τοῦ λέγει—διὰ νὰ σωθῶ;

Καὶ ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὅταν ὁ Ἀβραὰμ εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἠγόρασεν ἕνα τάφον διὰ τὸν ἑαυτόν του καὶ μὲ τὸν τάφον αὐτὸν ἐκληρονόμησε τὴν γῆν.

Τὸν ἐρωτᾷ πάλιν ὁ ἀδελφός:

— Τί εἶναι τάφος;

Καὶ τοῦ λέγει ὁ Γέρων:

— Εἶναι τόπος κλαυθμοῦ καὶ πένθους.

13. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησεν ἐπίσης, τὸν ἴδιον Γέροντα· πῶς θὰ σωθῶ; Ὁ Γέρων τοῦ ἀπήντησε:

— Ὅταν ὁ Θεὸς προνοῇ διὰ ἡμᾶς, τότε ἡμεῖς διὰ ποῖον πρᾶγμα νὰ φροντίσωμεν;

— Τὰς ἁμαρτίας μας· ἀπήντησεν ὁ ἀδελφός.

— Ἂς εἰσέλθωμεν λοιπὸν εἰς τὸ κελλίον μας, ἀπήντησεν ὁ Γέρων, καὶ ἂς καθήσωμεν νὰ ἐνθυμηθῶμεν τὰς ἁμαρτίας μας ἐμπρὸς εἰς τὸν Πανάγαθον Θεόν, μέχρις ὅτου κάμῃ τὸ ἔλεός Του.

14. Διηγήθη ὁ Ἀββᾶς Ἰσαὰκ τὰ ἑξῆς: κάποτε παρέμενα κοντὰ εἰς τὸν Ἀββᾶν Ποιμένα καὶ τὸν εἶδα νὰ πίπτῃ εἰς ἔκστασιν καὶ νὰ κλαίῃ. Ἐπειδὴ λοιπὸν εἶχα θάρρος ἀπέναντί του, τοῦ ἔβαλα μετάνοιαν καὶ τὸν παρεκάλεσα· εἰπέ μου — τοῦ λέγω — ποῦ ἦσουν; Πιεζόμενος τότε ἀπὸ ἐμὲ μοῦ ἀπήντησεν:

— Ὁ λογισμός μου εὑρίσκετο ἐκεῖ πλησίον εἰς τὸν Σταυρὸν τοῦ Σωτῆρος, ὅπου ἐστέκετο ἡ Ἁγία Μαρία ἡ Θεοτόκος καὶ ἔκλαιε. Καὶ ἐγὼ

ἤθελα πάντοτε ἔτσι νὰ κλαίω (μὲ τὸν ἴδιον πόνον τῆς Θεοτόκου διὰ τὸν Ἐσταυρωμένον Υἱόν της).

15. Ὁ Ἀββᾶς Παῦλος εἶπεν: εὑρίσκομαι εἰς βόρβορον καὶ βυθίζομαι ἕως τὸν λαιμὸν καὶ κλαίω ἐμπρὸς εἰς τὸν Ἰησοῦν μου καὶ τοῦ λέγω: Ἐλέησέ με.

16. Ὁ Ἀββᾶς Σιλουανὸς ἐπενθοῦσε διαρκῶς καὶ ποτὲ δὲν ἤθελε νὰ ἐξέλθη ἀπὸ τὸ κελλί του. Ἂν κάποτε δὲ ὑπεχρεώνετο νὰ ἐξέλθη διὰ κάποιαν ἀνάγκην, ἐσκέπαζε τὸ πρόσωπόν του μὲ τὸ κουκούλιον καὶ εἰς ὅσους τὸν ἐρωτοῦσαν, διατὶ τὸ κάμνει αὐτό, ἀπαντοῦσε: Διατὶ νὰ ἴδω αὐτὸ τὸ πρόσκαιρον φῶς, ἀπὸ τὸ ὁποῖον δὲν ἔχω καμμίαν ὠφέλειαν;

17. Ὁ Ἀββᾶς Θεόδωρος μᾶς διηγήθη ὅτι εἰς τὰ κελλία ἐκατοικοῦσε κάποιος ἀδελφός, ὁ ὁποῖος εἶχεν ἀποκτήσει τὸ χάρισμα τῆς κατανύξεως. Μίαν ἡμέραν λοιπὸν συνέβη νὰ πλημμυρίσουν τὰ μάτια του μὲ δάκρυα ἀπὸ τὸν πόνον τῆς καρδίας του. Μόλις τὰ εἶδεν αὐτὰ ὁ ἀδελφός, εἶπε μὲ τὸν νοῦν του: πραγματικὰ αὐτὸ εἶναι σημεῖον, ὅτι πλησιάζει ἡ ἡμέρα τοῦ θανάτου μου. Καὶ καθὼς τὸ ἐσκέπτετο αὐτό, ἀκόμη περισσότερον ἐπλήθαιναν τὰ δάκρυά του. Ὅσον δὲ ἔβλεπε τὰ δάκρυά του νὰ πληθαίνουν, τόσον καὶ περισσότερον ἐπίστευεν εἰς αὐτὸν τὸν λογισμόν του καὶ ἔλεγε· πραγματικὰ ἐπλησίασεν ὁ καιρός. Καὶ καθημερινῶς ἀπὸ τὴν σκέψιν αὐτὴν ὁλοὲν καὶ περισσότερα δάκρυα τοῦ ἤρχοντο.

Τὸν ἠρωτήσαμεν λοιπὸν διὰ τὰ δάκρυα, διατὶ ἄλλοτε ἔρχονται μόνα των καὶ ἄλλοτε δὲν ἠμπορεῖ κανεὶς νὰ τὰ προκαλέση οὔτε μὲ πόνον; Καὶ ἀπήντησεν ὁ Γέρων· Τὰ δάκρυα ὁμοιάζουν μὲ τὴν βροχήν, ὁ δὲ ἄνθρωπος εἶναι ὅπως ὁ γεωργός· ὅταν λοιπὸν ἔρχωνται, ὀφείλει αὐτὸς ποὺ καλλιεργεῖ τὴν γῆν τῆς καρδίας του νὰ ἀγωνισθῇ, διὰ νὰ μὴ χαθῇ τίποτε ἀπὸ τὴν βροχήν, ἀλλὰ νὰ συγκεντρωθῇ ὅλη εἰς τὸν μικρόν του κῆπον καὶ νὰ τὸν ποτίση. Σᾶς λέγω, παιδιά μου, ὅτι εἰς πολλὰς περιπτώσεις μία ἡμέρα βροχῆς εἶναι ἀρκετὴ δι' ὅλον τὸ ἔτος καὶ σώζει ὅλους τοὺς καρπούς· δι' αὐτὸ πρέπει νὰ προσέχωμεν καὶ ὅταν καταλάβωμεν ὅτι ἦλθεν, ἂς ἀγωνισθῶμεν νὰ φυλάξωμεν τοὺς ἑαυτούς μας καὶ ἂς ἀφοσιωθῶμεν εἰς ἔντονον δέησιν πρὸς τὸν Θεόν, διότι δὲν γνωρίζομεν ἂν θὰ εὕρωμεν ἄλλην ἡμέραν ἐκείνην τὴν βροχήν.

18. Τὸν ἠρωτήσαμεν πάλιν· καὶ πῶς διατηρεῖ κανεὶς τὴν κατάνυξιν, ὅταν ἔρχεται; Ὁ Γέρων μᾶς ἀπήντησεν· ἐκείνην τὴν ἡμέραν ἢ ἐν ὅσῳ διαρκεῖ τὸ πένθος τῆς ψυχῆς πρέπει νὰ προσέχη κανεὶς νὰ μὴ ἐπισκεφθῇ ἄνθρωπον. Νὰ προφυλάξη ἀκόμη τὸν ἑαυτόν του ἀπὸ τὴν γαστριμαργίαν καὶ τὴν ὑψηλοφροσύνην, διὰ νὰ μὴ φαντασθῇ καθόλου ὅτι κλαίει, καὶ νὰ μὴ κατακρίνη κανένα, νὰ ἐπιμένη δὲ εἰς τὴν εὐχὴν καὶ τὴν ἀνάγνωσιν. Ὡς τόσον ἅμα ἔλθη εἰς τὴν ψυχήν μας τὸ (κατὰ Θεὸν) πένθος, ἐκεῖνο θὰ μᾶς διδάξη ποῖα εἶναι αὐτὰ ποὺ συμφέρουν καὶ τὸ διατηροῦν καὶ ποῖα τὸ παρεμποδίζουν.

Γνωρίζω ἕνα ἀδελφόν, ὁ ὁποῖος ἐκάθητο εἰς τὸ κελλίον του, ἔπλεκε τὸ ζεμπίλι καὶ ἔξαφνα ἐγεννᾶτο εἰς τὴν ψυχήν του τὸ πένθος. Τότε ἐκεῖ-

νος, μόλις τοῦ ἤρχοντο τὰ δάκρυα, ἐσηκώνετο νὰ προσευχηθῇ καὶ ἀμέσως ἐσταματοῦσαν. Πάλιν λοιπὸν ἤρχιζε νὰ πλέκῃ, συνεκέντρωνε τὸν νοῦν του καὶ πάλιν τοῦ ἤρχοντο δάκρυα. Τὸ ἴδιον τοῦ συνέβαινε καὶ εἰς τὴν ἀνάγνωσιν· καθὼς ἐδιάβαζε, κατελαμβάνετο ἀπὸ κατάνυξιν, ἀλλὰ μόλις ἐσηκώνετο διὰ προσευχήν, ἔπαυαν τὰ δάκρυα. Μόλις ὅμως ἔκυπτεν εἰς τὸ βιβλίον, ἤρχιζε πάλιν νὰ κλαίῃ. Τότε λοιπόν, ἐκατάλαβεν ὁ ἀδελφὸς τὴν αἰτίαν αὐτῆς τῆς διαφορᾶς καὶ εἶπεν ἀπὸ μέσα του, ὅτι καλὰ εἶπαν οἱ Πατέρες, ὅτι τὸ ἴδιον τὸ πένθος εἶναι διδάσκαλος· αὐτὸ δηλαδὴ διδάσκει τὸν ἄνθρωπον ὅσα τὸν συμφέρουν.

Ἔχω τὴν γνώμην, ὅτι τὸ πένθος ἔφευγεν ἀπὸ τὴν ψυχὴν τοῦ ἀδελφοῦ κατὰ τὴν προσευχὴν διὰ τὰς ἑξῆς δύο αἰτίας: Ἡ πρώτη αἰτία θὰ εἶναι, ὅτι δὲν εἶχεν ἀποκτήσει ἀκόμη καθαρὰν προσευχήν, χωρὶς περισπασμούς. Ὁ νοῦς ἔτρεχεν ἐδῶ καὶ ἐκεῖ ἀπὸ ἀνησυχίαν καὶ δὲν διετήρει τὴν προηγουμένην κατάνυξιν, ἡ ὁποία ἐγεννᾶτο ἐντός του κατὰ τὸ ἐργόχειρον καὶ τὴν ἀνάγνωσιν, ἐπειδὴ εἰς αὐτὰ συνεκέντρωνε περισσότερον τὴν σκέψιν του. Ἡ δευτέρα αἰτία εἶναι διὰ νὰ μὴ νομίσῃ ὅτι ἀπὸ τὴν ἰδικήν του προσπάθειαν καὶ προσευχήν κατώρθωσε νὰ ἐπιτύχῃ τὸ πένθος, ἀλλὰ διὰ νὰ ἐννοήσῃ ὅτι ἀπὸ τὸ ἔλεος καὶ τὴν χάριν τοῦ Θεοῦ εἶχε δοθῇ εἰς αὐτόν. Ἀπὸ αὐτὸ παρεκινεῖτο καὶ τὸν Θεὸν νὰ εὐχαριστήσῃ καὶ μεγαλυτέραν ταπείνωσιν θὰ ἀποκτήσῃ, μὲ τὰ ὁποῖα θὰ δυναμώσῃ περισσότερον τὸ πένθος μέσα του. Ἂν κάποτε συμβῇ κάτι παρόμοιον καὶ εἰς ἡμᾶς, δηλαδὴ μᾶς ἔλθῃ κατάνυξις καρδίας καὶ θερμότης δακρύων, ἀφοῦ παραβλέψωμεν ὅλα, ἂς τρέξωμεν εἰς τὴν προσευχὴν καὶ ἂς ἐπιμείνωμεν καρτερικὰ εἰς αὐτὴν μέχρις ὅτου αἰσθανθῶμεν νὰ ἀνάπτῃ ἐντός μας ἡ φλόγα τῆς καρδίας· διότι ἴσως ἄλλοτε νὰ μὴ εὕρωμεν παρομοίαν εὐκαιρίαν.

19. Ἕνας Γέρων εἶπεν· ἂν ἴδῃς ὅτι ὁ Θεὸς πρὶν ἀπὸ ὀλίγον σοῦ ἐχάρισε κατάνυξιν, νὰ ἀφήσῃς τὴν ἰδίαν στιγμὴν τὸ ἐργόχειρόν σου, ἂν ἀντιληφθῇς ὅτι αὐτὸ σὲ συμφέρει· ἂν δηλαδὴ διαπιστώσῃς ὅτι ἀπασχολούμενος μὲ τὸ ἐργόχειρόν σου θὰ περιορίσῃς κάπως τὸ πένθος, τότε ἀφοσιώσου εἰς τὸ κατὰ Θεὸν πένθος, μήπως πλησιάζει ἡ ἡμέρα τοῦ θανάτου σου καὶ διὰ τοῦτο σοῦ ἐχάρισεν ὁ Θεὸς τὰ δάκρυα, διὰ νὰ εὕρῃς μ' αὐτὰ ὀλίγον ἔλεος. Διότι ὅπως ὁ σατανᾶς τρέχει, εἰς τὸ τέλος τῆς ζωῆς τοῦ ἀνθρώπου, νὰ τὸν παρασύρῃ εἰς τὴν ἀπώλειαν, ἔτσι καὶ ὁ Θεὸς πολλάκις, εἰς τὸ τέλος τῆς ζωῆς τοῦ ἀνθρώπου, τὸν σώζει μὲ κάποιαν εὐκαιρίαν ποὺ τοῦ προσφέρει.

20. Ἕνας Γέρων εἶπεν· ὅπως τὴν καρδίαν μας, δηλαδὴ τὰ πάθη καὶ τὰς ἁμαρτίας μας, φέρομεν πάντοτε μαζί μας, ἔτσι ὀφείλομεν νὰ ἔχωμεν συνεχῶς μαζί μας, ὅπου καὶ ἂν εὑρισκώμεθα, τὸ πένθος καὶ τὴν κατάνυξιν.

21. Κάποιος ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα·
— Πάτερ, — τοῦ λέγει — τί νὰ κάμω;
Ὁ Γέρων τοῦ ἀπεκρίθη:

— Πρέπει πάντοτε νὰ κλαίωμεν. Κάποτε κάποιος ἀπὸ τοὺς Πατέρας ἠσθένησε καὶ ἔχασε τὰς αἰσθήσεις του· ἀλλὰ συνῆλθε πάλιν. Τὸν ἠρωτήσαμεν λοιπὸν νὰ μᾶς εἴπῃ τί εἶδεν ἐκεῖ ποὺ ἐπῆγε καὶ μᾶς ἀπήντησεν μὲ τὰ ἑξῆς λόγια: ἤκουσα φωνὴν κλαιόντων, ποὺ ἔλεγαν συνεχῶς: ἀλλοίμονόν μου· ἀλλοίμονόν μου. Καὶ ὁ Γέρων κατέληξεν· ἔτσι καὶ ἡμεῖς πρέπει πάντοτε νὰ πενθῶμεν.

22. Δύο σαρκικοὶ ἀδελφοὶ ἀπηρνήθησαν τὸν κόσμον καὶ ὑπετάχθησαν εἰς Γέροντα, ὁ ὁποῖος ἠσκήτευεν εἰς τὸ ὄρος τῆς Νιτρίας*. Ὁ Θεὸς λοιπὸν καὶ εἰς τοὺς δύο ἔδωσε τὸ χάρισμα τῶν δακρύων καὶ τῆς κατανύξεως.

Μίαν ἡμέραν βλέπει ἕνα ὅραμα ὁ Γέρων· εἶδεν ὅτι καὶ οἱ δύο ἀδελφοὶ προσηύχοντο καὶ ὁ καθένας ἐκρατοῦσεν ἕνα γραμμένον χαρτὶ καὶ τὸ ἔβρεχε μὲ τὰ δάκρυά του. Τὰ γράμματα ὅμως τοῦ ἑνὸς ἔσβυναν εὔκολα ἀπὸ τὸ χαρτί, ἐνῷ τοῦ ἄλλου μὲ κόπον· ἐφαίνοντο δηλαδὴ ὡς νὰ ἦσαν χαραγμένα ἀπὸ πυρωμένον σίδηρον. Παρεκάλεσε τότε ὁ Γέρων νὰ τοῦ ἐξηγηθῇ τὸ ὄνειρον.

Παρουσιάσθηκε λοιπὸν Ἄγγελος Κυρίου καὶ τοῦ λέγει· Τὰ γράμματα ἐπάνω εἰς τὸ χαρτὶ εἶναι τὰ ἁμαρτήματα καὶ τῶν δύο. Ὁ ἕνας ἡμάρτησε μέσα στὰ ὅρια τῆς φύσεως καὶ δι' αὐτὸ εὔκολα σβύνουν τὰ σφάλματά του· ὁ ἄλλος ὅμως περιέπεσεν εἰς ἁμαρτίας ἀκαθάρτους καὶ δι' αὐτὸ χρειάζεται περισσότερον κόπον διὰ νὰ μετανοήσῃ εἰλικρινὰ καὶ πάρα πολὺ νὰ ταπεινωθῇ.

Ἀπὸ τότε λοιπὸν ἔλεγεν ὁ Γέρων εἰς ἐκεῖνον τὸν ἀδελφόν· κ ο π ί α σ ε, ἀ δ ε λ φ έ μ ο υ, δ ι ό τ ι ε ἶ ν α ι χ α ρ α γ μ έ ν α μ ὲ π υ ρ ω μ έ ν ο ν σ ί δ η ρ ο ν κ α ὶ μ ὲ π ο λ ὺ ν κ ό π ο ν σ β ύ ν ο υ ν. Δὲν τοῦ ἐφανέρωσε δὲ τὸ ὅραμα μέχρι τοῦ θανάτου του, διὰ νὰ μὴ χαλαρώσῃ τὴν προθυμίαν του, ἀλλὰ τοῦ ἔλεγε πάντοτε· κ ο π ί α σ ε, ἀ δ ε λ φ έ, δ ι ό τ ι ε ἶ ν α ι χ α ρ α γ μ έ ν α μ ὲ π υ ρ ω μ έ ν ο ν σ ί δ η ρ ο ν.

23. Ἕνας σπουδαῖος μοναχὸς ἔκανε τὸν κανόνα του μαζὶ μὲ τὸν πνευματικόν του ἀδελφόν· κατελαμβάνετο ὅμως ἀπὸ τὰ δάκρυα καὶ ἄφηνε τὸν στίχον τοῦ ψαλμοῦ. Μίαν ἡμέραν λοιπὸν τὸν παρεκάλεσεν ὁ ἀδελφὸς νὰ τοῦ εἴπῃ τί σκέπτεται εἰς τὸν κανόνα καὶ κλαίει τόσον πικρά. Ἐκεῖνος τότε τοῦ ἀπήντησε:

— Συγχώρησέ με, ἀδελφέ· ἐγὼ βλέπω πάντοτε εἰς τὸν κανόνα μου τὸν Κριτὴν καὶ τὸν ἑαυτόν μου νὰ στέκεται ὡς κατάδικος καὶ νὰ δικάζεται. Ἐπειδὴ λοιπὸν δὲν ἠξεύρω τί νὰ ἀπολογηθῶ, μένω ἔκπληκτος καὶ μοῦ κλείνεται τὸ στόμα· δι' αὐτὸ χάνω καὶ τὸν στίχον τοῦ ψαλμοῦ. Συγχώρησέ με, ἐπειδὴ σὲ στενοχωρῶ· καὶ ἂν δὲν σὲ πειράζῃ αὐτό, τότε ἂς κάνῃ ὁ καθένας τὸν κανόνα του χωριστά.

---

* Διὰ τὸ ὄρος τῆς Νιτρίας βλέπε ὑποσημείωσιν β' τῆς σελίδος 81 τοῦ ἀνὰ χεῖρας τόμου τοῦ «Εὐεργετινοῦ».

— Ὄχι, Πάτερ, — ἀπήντησε τότε ὁ ἄλλος — διότι ἂν καὶ δὲν πενθῶ ἐγώ, ὅταν ὅμως σὲ βλέπω, ἐλεεινολογῶ τὸν ἑαυτόν μου. Καὶ ὁ Θεός, ἐπειδὴ εἶδε τὴν ταπείνωσίν του, ἐχάρισε καὶ εἰς αὐτὸν τὸ πένθος, ποὺ εἶχεν ὁ ἀδελφός του.

Ἂς φροντίσωμεν λοιπὸν καὶ ἡμεῖς νὰ προσέχωμεν αὐτούς, ποὺ πενθοῦν, ὁπόταν θὰ κερδήσωμεν ὅσα ἐκέρδησεν ἐκεῖνος ὁ ἀδελφός.

24. Ἕνας Γέρων εἶπεν· Ὅπως κάθε ἁμαρτία, τὴν ὁποίαν θὰ κάμῃ ὁ ἄνθρωπος, εὑρίσκεται ἔξω ἀπὸ τὸ σῶμα του, ἐνῷ ἐκεῖνος, ὁ ὁποῖος πορνεύει, εἰς τὸ ἰδικόν του σῶμα ἁμαρτάνει (Α΄ Κορ. στ΄ 18), διότι ἀπὸ αὐτὸ ἐξέρχεται τὸ μίασμα, ἔτσι καὶ κάθε ἐργασία ἀρετῆς, τὴν ὁποίαν θὰ ἐπιτελέσῃ ὁ ἄνθρωπος, εὑρίσκεται ἔξω ἀπὸ τὸ σῶμα του· ἐκεῖνος ὅμως, ὁ ὁποῖος κλαίει διὰ τὰς ἁμαρτίας του, καθαρίζει τὴν ἰδικήν του ψυχὴν καὶ τὸ ἰδικόν του σῶμα. Διότι τὰ δάκρυα καταβαίνουν ἀπὸ ὑψηλὰ καὶ ἀποπλύνουν καὶ ἁγιάζουν ὁλόκληρον τὸ σῶμα.

25. Εἶπεν ὁ ἴδιος Γέρων· ἡ συζήτησις περὶ πίστεως καὶ ἡ ἀνάγνωσις δογμάτων ξηραίνουν τὴν κατάνυξιν τοῦ ἀνθρώπου καὶ τὴν ἐξαφανίζουν· *οἱ βίοι ὅμως καὶ τὰ λόγια τῶν γερόντων φωτίζουν τὴν ψυχὴν καὶ τὴν πλημμυρίζουν μὲ πνευματικὰ δάκρυα.**

26. Ἕνας Γέρων εἶπεν· ὁ ἄνθρωπος, ὁ ὁποῖος κάθεται εἰς τὸ κελ-

---

* Ἀληθέστατοι καὶ σοφώτατοι οἱ λόγοι οὗτοι τοῦ Μακαρίου ἐκείνου γέροντος καὶ εἴθε νὰ ἐφαρμόζωμεν αὐτοὺς πάντες οἱ μοναχοί. Διότι πράγματι οἱ βίοι καὶ οἱ λόγοι τῶν γερόντων, ὅταν τοὺς ἀκούωμεν καὶ τοὺς φυλάττωμεν, φωτίζουσι τὴν ψυχήν μας καὶ πλημμυρίζουν τοὺς ὀφθαλμούς μας δακρύων, τὰ ὁποῖα τόσον εἶναι ἀπαραίτητα διὰ τὴν σωτηρίαν τῆς πολυτιμήτου καὶ ἀθανάτου ψυχῆς μας. Θὰ ἦτο εὐχῆς ἔργον νὰ μὴ ὑπῆρχεν ἀνάγκη ἀπασχολήσεως τῶν μοναχῶν εἰς ζητήματα δογματολογικὰ ἵνα μὴ οὕτως ἐξέρχωνται τοῦ προορισμοῦ των. Πλὴν ὅμως ἐπειδὴ ὁ κακὸς σπορεὺς διάβολος δὲν παύει ἀπὸ τοῦ νὰ σπείρῃ τὰ ζιζάνιά του, διὰ τῶν ὁποίων προσπαθεῖ νὰ σύρῃ ψυχὰς εἰς ἀπώλειαν, πρέπει οἱ ἐκ τῶν μοναχῶν ἐγκρατεῖς τῶν δογματικῶν ζητημάτων, ὅταν ἀνάγκη παρεμπέσῃ, ὄχι μόνον νὰ ἀσχολοῦνται ἁπλῶς ἀλλὰ καὶ νὰ ἀγωνίζωνται πάσῃ δυνάμει θυσιάζοντες καὶ αὐτὴν τὴν ζωήν των ἀκόμη διὰ τὴν ἐπικράτησιν τῆς ἀληθείας. Οἱ διὰ τοιαύτην ὅμως ἀνάγκην ἐξερχόμενοι τῶν στενῶν ὁρίων τῶν μοναχικῶν των καθηκόντων δὲν πρέπει νὰ ἐμπλέκωνται αὐτόκλητοι εἰς τοιούτους ἀγῶνας, ἀλλὰ ἀφοῦ κληθῶσι πρὸς τοῦτο ἀπὸ τοὺς ἁρμοδίους προϊσταμένους αὐτῶν. Πρέπει δὲ οἱ πρὸς τὸν σκοπὸν τοῦτον ἐπιλεγόμενοι νὰ εἶναι οὐχὶ μόνον ἐγκρατεῖς τῶν θεολογικῶν καὶ δογματικῶν ζητημάτων, ἀλλὰ καὶ δεδοκιμασμένοι εἰς τὴν ἀρετὴν ἵνα μὴ ἀποπειρώμενοι ἄλλους νὰ σώσουν ζωγρηθοῦν οἱ ἴδιοι ἀπὸ τὰ δίκτυα τοῦ ἐχθροῦ, διότι μέγας εἶναι ὁ κίνδυνος. Ἀλλὰ καὶ οἱ δεδοκιμασμένοι εἰς τὴν ἀρετὴν πρέπει εὐθὺς μετὰ τὸ πέρας τῆς ἀποστολῆς των νὰ περιορίζωνται εἰς τὰ στενὰ μοναχικά των καθήκοντα, εἰς τὰ ἔργα τῆς μετανοίας, τὸ πένθος καὶ τὰ δάκρυα, διότι ὅταν χρονίσουν ἀπέχοντες ἀπ' αὐτῶν ἀπομακρύνονται ἀπὸ τὴν χάριν τοῦ Θεοῦ καὶ εἰς μυρίους περιπίπτουν κινδύνους.

λί του καὶ μελετᾷ ψαλμούς, ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ στέκεται ἀπ' ἔξω καὶ ζητεῖ τὸν Βασιλέα. Ἐκεῖνος δέ, ὁ ὁποῖος μὲ κλάματα παρακαλεῖ τὸν Θεόν, ὁμοιάζει μὲ κάποιον, ποὺ κρατεῖ τοὺς πόδας τοῦ βασιλέως καὶ ζητεῖ νὰ τὸν ἐλεήσῃ· ὅπως καὶ ἐκείνη ἡ πόρνη, ἡ ὁποία ἐντὸς ὀλίγων στιγμῶν ἀπέπλυνεν ὅλας τὰς ἁμαρτίας της μὲ τὰ δάκρυά της.*

27. Εἶπεν ἕνας Γέρων· ἂν ὁ ἄνθρωπος εἶναι ἐκ φύσεως ἀγωνιστής, ἀπαιτεῖ ἀπ' αὐτὸν ὁ Θεὸς νὰ μὴ ἐνδιαφέρεται διὰ τίποτε τὸ ὑλικόν, ἔστω καὶ διὰ μίαν βελόνην· διότι αὐτὸ εἶναι δυνατὸν νὰ ἐμποδίσῃ τὴν σκέψιν του ἀπὸ τὴν διαρκῆ ἀπασχόλησιν μὲ τὸν Ἰησοῦν καὶ νὰ διαλύσῃ τὸ κατὰ Θεὸν πένθος.

28. Ἕνας Γέρων ἐπῆρε τὸν μαθητήν του καὶ ἦλθεν εἰς κάποιαν πόλιν διὰ μίαν ὑπηρεσίαν καὶ ἔμεινεν εἰς αὐτὴν μίαν ἑβδομάδα. Ἔβλεπαν λοιπὸν καθημερινὰ πολλοὺς ἄνδρας καὶ γυναῖκας ἀπὸ τὴν πόλιν νὰ πηγαίνουν πρωῒ-πρωῒ εἰς τὸ Νεκροταφεῖον καὶ νὰ θρηνῇ ὁ καθένας τὸν νεκρόν του μέχρι τῆς τρίτης ὥρας. Εἶπε λοιπὸν ὁ Γέρων πρὸς τὸν μαθητήν του·

—Βλέπεις, ἀδελφέ, εἰς τί ἐξαγρυπνοῦν αὐτοὶ οἱ ἄνθρωποι; πίστευσέ με ὅτι ἂν δὲν κάμωμεν καὶ ἡμεῖς ἔτσι, θὰ ὑπάγωμεν εἰς τὴν ἀπώλειαν.

Ὅταν λοιπὸν ἐπέστρεψαν εἰς τὸ κελλί των ἔκτισαν καὶ αὐτοὶ ἀμέσως τοὺς τάφους των, μακρὰν τὸν ἕνα ἀπὸ τὸν ἄλλον, καὶ καθήμενοι καθημερινῶς ἐμπρὸς εἰς τὸν τάφον του ὁ καθένας ἔκλαιε τὴν διὰ ψυχήν του, ὅπως ἕνα νεκρόν, ἀπὸ τὸ πρωῒ ἕως τὸ βράδυ.

Ἂν ἐτύχαινε κάποτε τὸ πρωῒ νὰ ἀποκοιμηθῇ ὁ μαθητὴς ἀπὸ τὸν κανόνα, τὸν ἔκραζεν ὁ Γέρων διὰ νὰ τὸν ἐξυπνήσῃ καὶ τοῦ ἔλεγεν:

—Ἀδελφέ, σήκω, ἐκεῖνοι ἔχουν πλέον ἀπὸ ὥραν εἰς τοὺς τάφους καὶ ἐπιτελοῦν τὸ ἔργον των.

Μίαν ἡμέραν λέγει ὁ ἀδελφὸς εἰς τὸν Γέροντα:

—Ἔχει σκληρύνει ἡ ψυχή μου καὶ δὲν ἠμπορῶ νὰ κλαύσω.

—Ἀγωνίσου, τέκνον, —ἀπήντησεν ὁ Γέρων— ὀλίγον χρόνον καὶ κοπίασε. Ὁ Θεὸς ποὺ βλέπει τὸν κόπον σου, θὰ κάμῃ ἔλεος μαζί σου. Ὅπως ἀκριβῶς ὅταν πληγωθῇ ἡ καρδία ἀπὸ κτύπημα σαΐτας, δὲν ἔχει πλέον θεραπείαν, ἔτσι καὶ ὅταν ὁ Θεὸς τὴν κεντήσῃ μὲ τὸ πένθος, δὲν φεύγει πλέον ποτὲ ἀπὸ αὐτὴν ὁ πόνος, ἀλλὰ μένει πληγωμένη μέχρι θα-

* Τὰ ἐνταῦθα λεγόμενα ἀναφέρονται εἰς τὴν γυναῖκα τὴν ἁμαρτωλόν, ἡ ὁποία προσῆλθε πρὸς τὸν Ἰησοῦν, ὅτε εὑρίσκετο εἰς Βηθανίαν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ λεπροῦ, πρὸ δύο ἡμερῶν τοῦ Πάσχα, φέρουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτίμου καὶ ἀφοῦ τὸ ἔσπασεν, ἔχυσε τὸ μύρον ἐπὶ τῆς κεφαλῆς Αὐτοῦ. (Μάρ. Κεφ. ιδ', 3 καὶ Ματθ. Κεφ. κστ' 6—7). Ἄλλη δὲ εἶναι ἡ γυνὴ αὕτη ἀπὸ τὴν Μαρίαν τὴν ἀδελφὴν τοῦ Λαζάρου, ἥτις ἤλειψε καὶ αὕτη τοὺς πόδας τοῦ Κυρίου μὲ μύρον πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἐν τῇ οἰκίᾳ αὐτῆς. (Βλέπε περὶ τούτου ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ» Τόμος ΙΓ', σελὶς 421).

νάτου· ὁπουδήποτε δὲ καὶ ἂν μεταβῇ ὁ ἄνθρωπος αὐτός, ἔχει μέσα του πάντοτε ἀχώριστον τὸ πένθος.

Κάποτε, πάλιν, ὅταν εἶδεν ὁ Γέρων τὸν ἀδελφὸν νὰ ἔχῃ φάγει πολὺ ὥστε νὰ βαρύνῃ (διότι ἀποβραδὶς ἦλθαν νὰ τοὺς ἐπισκεφθοῦν μερικοὶ) τοῦ λέγει ἰδιαιτέρως:

— Δὲν γνωρίζεις ὅτι τὸ πένθος εἶναι ἕνας μικρὸς λύχνος, ποὺ τὸν ἀνάβεις καὶ ἂν δὲν τὸν σκεπάσῃς προσεκτικά, σύντομα σβύνει καὶ χάνεται; Ἔτσι καὶ τὰ πολλὰ φαγητὰ σβύνουν τὸ πένθος καὶ ὁ πολὺς ὕπνος τὸ ἐμποδίζει, καὶ ἡ κακολογία τὸ ἐξαφανίζει καὶ ἡ πολυλογία καὶ γενικῶς κάθε ἀνάπαυσις τῆς σαρκὸς τὸ ἐκδιώκει καὶ τὸ ἐξαφανίζει. Πρέπει λοιπὸν ἐκεῖνος, ποὺ ἀγαπᾷ τὸν Θεὸν καὶ θέλει νὰ φυλάξῃ τὸ πένθος, εἰς κάθε ἔργον ποὺ πράττει, νὰ ἀφιερώνῃ καὶ ἕνα μέρος εἰς τὸν Χριστόν.

— Τί σημαίνουν αὐτὰ τὰ λόγια, Πάτερ; ἠρώτησεν ὁ ἀδελφός. Καὶ ὁ Γέρων τοῦ ἀπεκρίθη·

— Θέλεις νὰ μάθῃς πῶς ξεχωρίζει κανεὶς εἰς κάθε πρᾶξιν ἕνα μέρος τοῦ Χριστοῦ; Πρόσεξε· ὅταν, παραδείγματος χάριν, σοῦ τύχῃ καθαρὸς ἄρτος, ἄφησέ τον διὰ νὰ τὸν φάγῃ ἄλλος ἀδελφὸς καὶ σύ, χάριν τοῦ Χριστοῦ, φάγε τὸν μουχλιασμένον· ἄν, πάλιν, σοῦ τύχῃ καλὸ κρασί, ἀνακάτωσέ το μὲ ὀλίγον ξύδι, πρὸς χάριν τοῦ Χριστοῦ, ὁ ὁποῖος ἔπιε τὸ ξύδι. Καὶ νὰ μὴ χορτάσῃς (ὅταν θὰ τρώγῃς), ἀλλὰ νὰ ἀφήσῃς ὀλίγον καὶ νὰ εἴπῃς· νὰ καὶ τὸ μερίδιον τοῦ Χριστοῦ. Ἂν εὕρῃς ἁπαλὸν προσκέφαλον, ἄφησέ το καὶ βάλε πέτραν, χάριν τοῦ Χριστοῦ.

Ἂν κρυώσῃς, ὅταν κοιμᾶσαι, ὑπόμεινε καὶ λέγε· ἄλλοι καθόλου δὲν κοιμοῦνται. Ἂν μαγειρεύσῃς φαγητόν, διὰ νὰ φάγῃς, χάλασέ το λίγο καὶ εἰπέ· ἄλλοι, ἐνῷ εἶναι ἄξιοι, οὔτε ψωμὶ δὲν τρώγουν, ἐγὼ ὅμως ὁ ἀνάξιος τρώγω καὶ μαγειρευμένον φαγητόν, ἐνῷ ὀφείλω νὰ τρώγω σκόνην καὶ στάχτην, ἐξ αἰτίας τῶν ἀκαθάρτων ἔργων μου. Καὶ διὰ νὰ τελειώνω μὲ δύο λόγια· εἰς πᾶσαν πρᾶξιν σου, ἀνάμιξε ὀλίγην θλῖψιν καὶ ζῆσε ταπεινὰ σκεπτόμενος πῶς ἔζησαν οἱ Ἅγιοι. Ἔτσι θὰ εὑρεθῶμεν καὶ ἡμεῖς, ὅταν θὰ ἔλθῃ ἡ ὥρα τοῦ θανάτου, μὲ κάποιαν θλῖψιν καὶ στενοχωρίαν, διὰ νὰ ἐπιτύχωμεν εἰς τὸν ἄλλον κόσμον τὴν ἀνάπαυσιν.

29. Ἕνας Γέρων εἶπεν· ἂν ἐξέλθῃς ἀπὸ τὸ κελλί σου καὶ ὑπάγῃς κάπου καὶ χαλαρωθῇ ὀλίγον τὸ κατὰ Θεὸν πένθος σου, ἢ ἀπὸ τὸν τρόπον ποὺ ζῇς, ἢ ἀπὸ ἄλλην αἰτίαν, γύρισε γρήγορα καὶ ἄρχισε πάλιν τὴν προηγουμένην ἄσκησίν σου, διὰ νὰ ἀνανεωθῇ καὶ πάλιν τὸ πένθος μέσα σου καὶ νὰ μὴ τὸ χάσῃς.

30. Ὁ ἴδιος εἶπε πάλιν· ἂν θέλῃς νὰ ἀποκτήσῃς πένθος, προσπάθησε ὅλα σου τὰ σκεύη καὶ τὰ πράγματα νὰ εἶναι πτωχικά, ὅπως τῶν ἀδελφῶν μας, οἱ ὁποῖοι κάθονται εἰς τὴν ἀγορὰν καὶ ζητιανεύουν.

31. Εἶπεν πάλιν ὁ ἴδιος· ἂν δὲν ἔχῃς κατάνυξιν, γνώριζε ὅτι πάσχεις ἀπὸ κενοδοξίαν ἢ φιληδονίαν· διότι αὐταὶ δὲν ἀφήνουν τὴν ψυχὴν νὰ αἰσθανθῇ κατάνυξιν.

32. Εἶπεν πάλιν, ὁ ἴδιος· ἂν σοῦ χαρίσῃ ὁ Θεὸς τὸ πένθος, μὴ νο-

μίσῃς ὅτι κάνεις τίποτε σπουδαῖον μὲ τὸ νὰ κλαίῃς συνεχῶς κι ἔτσι ἀφήσῃς νὰ γεννηθοῦν εἰς τὴν καρδίαν σου λογισμοὶ ὑψηλοφροσύνης· διαφορετικὰ θὰ σοῦ ἀφαιρέσῃ ὁ Θεὸς τὰ δάκρυα καὶ εἰς τὸ ἑξῆς ἡ καρδία σου θὰ μείνῃ σκληρὰ καὶ χωρὶς κατάνυξιν.

33. Εἶπε πάλιν· ἂν εἰς τὸν τόπον, ποὺ κατοικεῖς, ὑπάρχει νεκροταφεῖον, πήγαινε συχνὰ καὶ φέρε εἰς τὸν νοῦν σου ποῖοι εἶναι θαμμένοι ἐκεῖ, πρὸ παντὸς ἂν σὲ ἐνοχλῇ πόλεμος σαρκικός. Ἂν μάθῃς ὅτι κάποιος ἀδελφὸς ἑτοιμάζεται νὰ ἐκδημήσῃ πρὸς Κύριον, πήγαινε καὶ μεῖνε κοντά του, διὰ νὰ ἴδῃς πῶς χωρίζεται ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Διότι καὶ ἀπὸ αὐτὸ θὰ αἰσθανθῇς κατάνυξιν.

34. Εἶπε πάλιν ὁ ἴδιος· ὅταν ὁ σατανᾶς ἴδῃ τὸν Θεὸν νὰ σὲ ἐλεῇ καὶ νὰ δίδῃ κατάνυξιν εἰς τὴν ψυχήν σου, τότε σοῦ ὑπενθυμίζει κάποιαν ἀπαραίτητον ἐργασίαν, ποὺ πρέπει νὰ ἐπιτελέσῃς εἰς τὸ κελλί σου. Κάνε το αὐτὸ σήμερον — σοῦ λέγει — διότι εἶναι βιαστικόν. Ἢ σοῦ ὑπενθυμίζει κάποιαν ὑπηρεσίαν, διὰ νὰ συναντήσῃς κάποιον, ποὺ τάχα εἶναι ἀνάγκη, ἢ ἀπὸ μίαν πνευματικὴν διάθεσιν, ἤ, ἐν πάσῃ περιπτώσει, ἀπὸ μίαν εὐλογοφανῆ αἰτίαν διὰ νὰ ἐξέλθῃς ἀπὸ τὸ κελλί σου. Ὅλα αὐτὰ τὰ κάνει ὁ ἐχθρός, διὰ νὰ μὴ σὲ ἀφήσῃ νὰ συγκεντρωθῇς εἰς τὸ κελλί σου καὶ νὰ ἀπολαύσῃς τὴν γλυκύτητα τοῦ πένθους. Ἂν πάλιν ἀντιληφθῇς τὴν ἀπάτην καὶ προφυλαχθῇς καὶ ἐπιμείνῃς εἰς τὴν προσευχὴν καὶ τὴν ἀνάγνωσιν, νὰ περιμένῃς ἀμέσως ὅτι θὰ σὲ εὕρῃ πειρασμὸς ἢ ἀπὸ τοὺς ἀνθρώπους ἢ ἀπὸ τοὺς δαίμονας· διότι ὁ σατανᾶς τότε πολεμεῖ σκληρὰ τὸν ἄνθρωπον, ὅταν ὁ ἄνθρωπος τὸν πολεμεῖ καλῶς. Ἀπὸ ὅλα τὰ πάθη ὁ θυμὸς περισσότερον ἀπὸ ὅλα ἐξαφανίζει τὴν κατάνυξιν καὶ τὴν ταπείνωσιν τῆς ψυχῆς.

35. Εἶπε πάλιν ὁ ἴδιος· ὅταν ὁ Θεὸς ἐκτύπησε μὲ τὰς πληγὰς τὴν Αἴγυπτον, δὲν ὑπῆρχε σπίτι, ποὺ νὰ μὴ ἔχῃ πένθος*. Ἂν λοιπὸν ὁ φόβος καὶ ὁ λόγος τοῦ Θεοῦ ἐκτύπησε μέσα μας τὴν ἁμαρτίαν, ἂς μὴ παύσωμεν νὰ πενθῶμεν· διότι τὸ πένθος εἶναι διπλοῦν, εἶναι καὶ πηγὴ πνευματικῆς ἐργασίας καὶ μᾶς περιφρουρεῖ. Ἂς εὐχηθῶμεν λοιπὸν νὰ μᾶς τὸ χαρίσῃ ὁ Θεός.



---

* Ἐννοεῖ τὴν δεκάτην καὶ τελευταίαν πληγὴν τοῦ Φαραώ, κατὰ τὴν ὁποίαν Ἄγγελος Κυρίου ἐπάταξεν εἰς μίαν νύκτα ὅλα τὰ ἄρρενα πρωτότοκα τῶν Αἰγυπτίων, ἐπειδὴ ὁ Φαραὼ δὲν ἄφηνε τοὺς Ἰσραηλίτας νὰ φύγουν ἀπὸ τὴν Αἴγυπτον καὶ νὰ ἐπιστρέφουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

ΥΠΟΘΕΣΙΣ ΛΓ΄

Ὅτι ἐν τῷ τέλει τῆς ζωῆς σφοδρότερον τῷ ἀνθρώπῳ οἱ δαίμονες ἐπιτίθενται· διὸ προσεκτέον τὰ μάλιστα.

Εἰς τὸ τέλος τῆς ζωῆς οἱ δαίμονες ἐπιτίθενται μὲ μεγαλυτέραν σφοδρότητα ἐναντίον τοῦ ἀνθρώπου· διὰ τοῦτο πρέπει νὰ προσέχωμεν περισσότερον.

Α΄. Παλλαδίου

ΕΥΛΟΓΙΟΣ τις σχολαστικὸς Ἀλεξανδρεύς, ἔρωτι θείῳ τρωθείς, τῷ κόσμῳ ἀποταξάμενος καὶ τὰ ἑαυτοῦ διασκορπίσας, πλὴν ὀλίγων, ἃ κατέλιπεν ἑαυτῷ εἰς διοίκησιν, ἐργάζεσθαι μὴ δυνάμενος, σκοπῶν ἦν πῶς τὰ καθ᾿ ἑαυτὸν διάθηται· οὔτε γὰρ εἰς συνοδείαν εἰσελθεῖν ἐδοκίμαζεν, οὔτε μόνος μένειν ἐπληροφορεῖτο. Οὕτως οὖν ἔχων, εὗρε τινὰ λελωβημένον εἰς τὴν ἀγορὰν ἐρριμμένον, ὃς οὔτε χεῖρας ἦν ἔχων, οὔτε πόδας, μόνην δὲ σώζων τὴν γλῶσσαν εἰς ἔλεον ἐξεκαλεῖτο τοὺς περιτυγχάνοντας. Ἰδὼν δὲ αὐτὸν ὁ Εὐλόγιος καὶ κατανυγεὶς τὴν καρδίαν, ηὔξατο τῷ Θεῷ ἐν ἑαυτῷ καὶ διαθήκην μετὰ Κυρίου ἔθετο εἰπών· Κύριε, ἐπὶ τῷ σῷ ὀνόματι λαμβάνω τοῦτον τὸν λελωβημένον, καὶ ἀναπαύω αὐτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, ἵνα κἀγὼ διὰ τούτου σωθῶ. Χάρισαι οὖν μοι, Κύριε, τὴν ὑπομονὴν τῆς εἰς αὐτὸν ὑπηρεσίας. Εἶτα προσελθὼν τῷ λελωβημένῳ λέγει· θέλεις ὁ μέγας, λαμβάνω σε εἰς τὴν οἰκίαν μου καὶ ἀναπαύσω; Λέγει ἐκεῖνος· εἴθε κατηξίους, ἀλλ᾿ ἐγὼ ἀνάξιός εἰμι. Εἶπε δὲ ὁ Εὐλόγιος· οὐκοῦν ἀπέρχομαι, φέρω ὄνον καὶ λαμβάνω σε ἔνθεν. Συνέθετο ἐκεῖνος μετὰ πολλῆς χαρᾶς.

Ἐνεγκὼν οὖν ὄνον ἐπῆρεν αὐτόν, καὶ ἀπήνεγκεν εἰς τὴν ἰδίαν ξενίαν καὶ ἦν αὐτοῦ ἐπιμελούμενος κατὰ πᾶν οὗ ἔχρῃζε, λούων τε καὶ ἀλείφων, διαβαστάζων ταῖς ἰδίαις χερσί, καὶ προθύμως αὐτῷ ἐν πᾶσιν ὑπηρετούμενος μέχρι δεκαπέντε ἐτῶν. Εἶτα ἐνσκήπτει ὁ δαίμων τῷ λελωβημένῳ σφοδρῶς, καὶ κατὰ τοῦ Εὐλογίου ἀλόγως ἐξαγριάνας αὐτόν, εἰς τὰς κατ᾿ αὐτοῦ λοιδορίας καὶ δυσφημίας ἠρέθισεν· ἤρξατο δὲ ὑβρίζειν τὸν Εὐλόγιον λέγων· Φαγοκύρι, ἀλλότρια χρήματα ἔκλεψας, καὶ τάχα δοῦλος ὑπάρχων τὸν ἴδιον δεσπότην ἐσύλησας, καὶ τῇ ἐμῇ προφάσει βούλει λαθεῖν, ὡς δι᾿ εὐποιΐαν εἰς τὸ ξενίδιόν σου λαβών με καὶ δι᾿ ἐμοῦ θέλεις σωθῆναι.

Ὁ δὲ Εὐλόγιος παρεκάλει αὐτὸν λέγων· μή, Κύριε, μὴ λέγε τοιαῦτα, ἀλλ' εἰπὲ τί σε ἐλύπησα καὶ διορθοῦμαι. Ὁ δὲ ἔλεγεν ἐμβριθῶς· οὐ θέλω σου ταύτας τὰς κολακείας· ἀπένεγκε, ρίψον με ἐν τῇ ἀγορᾷ· κρείσσων μοι ἐκείνη παρὰ τὴν σὴν ἀνάπαυσιν. Ὁ δὲ Εὐλόγιος· παρακαλῶ σε θεραπεύθητι, κύριε ὁ μέγας, εἴ τι λυπῇ. Ὁ δὲ μάλιστα τῷ θυμῷ ἀγριαίνων, ἀνακράζων, ἔλεγεν· οὐ πληροφοροῦμαι εἶναι μετὰ σοῦ μόνου, ὄχλους θέλω. Λέγει αὐτῷ ὁ Εὐλόγιος· ἐγώ σοι φέρω ἄρτι πλῆθος ἀδελφῶν. Ὁ δὲ ἀποδυσπετῶν πάλιν μετὰ κραυγῆς εἶπεν· οὐαί μοι τῷ ταλαιπώρῳ· τὴν σὴν ὄψιν οὐ θέλω ἰδεῖν, καὶ ἄγεις μοι τοὺς ὁμοίους σοι ἀργηφάγους; Καὶ σπαράξας ἑαυτόν, αὖθις ἀνέκραξεν· οὐ θέλω, οὐ θέλω, εἰς τὴν ἀγορὰν θέλω· ὢ τῆς βίας! ρίψον με ὅπου με εὗρες! Εἰ οὖν εἶχε χεῖρας, τάχα ἂν οὐ παρῃτήσατο καὶ ἀγχόνῃ χρήσασθαι ἢ ξίφει ἑαυτὸν διαχειρίσασθαι· οὕτως αὐτὸν ὁ δαίμων ἠγρίανεν.

Ὁ οὖν Εὐλόγιος, ἀπορούμενος ὅ,τι ποιήσει, ἔκρινε τῇ συμβουλῇ τῶν πλησίον αὐτοῦ ἀσκητῶν ἀπελθεῖν εἰς τὸν μέγαν Ἀντώνιον σὺν τῷ λελωβημένῳ, καὶ ἀνενεγκεῖν αὐτῷ τὰ τοῦ πράγματος, καὶ ὃ ἂν ἐκεῖνος εἴπῃ, τοῦτο ποιῆσαι. Κολακεύσας οὖν τὸν λελωβημένον, καὶ ἐμβαλὼν αὐτὸν εἰς σκάφος, ἀπήγαγε πρὸς τὸ μοναστήριον τῶν μαθητῶν τοῦ μεγάλου Ἀντωνίου, εἰς ὃ ἐλέγετο τὸν Ἅγιον παραγίνεσθαι ἐκ τοῦ ὄρους, ποτὲ μὲν διὰ δέκα, ποτὲ δε διὰ εἴκοσιν ἡμερῶν, εἰς ὠφέλειαν τῶν συνελθόντων.

Συνέβη οὖν μετὰ τὸ ἐλθεῖν τὸν Εὐλόγιον, τῇ ἐπαύριον παραγενέσθαι καὶ τὸν Μέγαν ἐν ἑσπέρᾳ βαθείᾳ, ἐμπεφιβλωμένον χλαμύδα δερματίνην, καθώς μοι ὁ Κρόνιος διηγήσατο, ὃς ἐκεῖσε τότε παρῆν καὶ προσαγορεύσας πάντας τοὺς παρόντας καὶ καθεσθείς, πρῶτον Εὐλόγιον ἐξ ὀνόματος ἐκάλει, μηδέποτε αὐτὸν ἰδὼν ἢ περὶ αὐτοῦ τι μαθών. Ὁ δὲ Εὐλόγιος, καί περ ἐκ τρίτου κληθεὶς ὑπὸ τοῦ Μεγάλου πρὸς ὄνομα, οὐκ ἀπεκρίθη, οἰόμενος ἄλλον τινὰ ὑπὸ τοῦ μεγάλου καλεῖσθαι, ἐν τῷ ὀνόματι τούτῳ γνώριμον αὐτῷ. Ὁ δὲ πάλιν ἔφη· σοὶ λέγω, τῷ ἀπὸ Ἀλεξανδρείας ἐλθόντι.

Τότε ἀποκρίνεται αὐτῷ ὁ Εὐλόγιος· τί κελεύεις δέομαί σου; Λέγει αὐτῷ ὁ Μέγας· τί ἦλθες ἐνθάδε; Ἀπεκρίθη ὁ Εὐλόγιος· ὁ ἀποκαλύψας σοι τὸ ὄνομά μου, καὶ πάντα σοι τὰ κατ' ἐμὲ ἀνεκάλυψε. Λέγει ὁ Ἅγιος· ἔμαθον δι' ὃ ἦλθες, ἀλλ' ἐπὶ πάντων τῶν ἀδελφῶν εἰπέ, ἵνα καὶ αὐτοὶ μάθωσι. Τότε εἶπεν ὁ Εὐλόγιος ἐπὶ πάντων, παρόντος καὶ τοῦ λελωβημένου· Ἄνθρωπε τοῦ Θεοῦ, τοῦτον τὸν λελωβημένον εὗρον ἐγὼ ἐν τῇ ἀγορᾷ ἐρριμμένον καὶ ἀμελούμενον. Κατελεήσας οὖν αὐτόν, προσηυξάμην τῷ Θεῷ δοθῆναί μοι χάριν ὑπομονῆς εἰς αὐτόν, καὶ ὑπεσχόμην Χριστῷ μέχρι τέλους νοσοκομήσω, ὅπως αὐτὸς ἀναπαυθῇ δι' ἐμοῦ, κἀγὼ σωθῶ δι' αὐτοῦ.

Παρέλαβον οὖν αὐτὸν εἰς τὴν οἰκίαν μου, καὶ ἤδη δεκαπέντε ἔτη κατὰ τὸ δυνατὸν αὐτῷ ὑπηρετῶ· νῦν δὲ μετὰ τοσοῦτον χρόνον, οὐκ οἶδα τί δεινὸν παρ' ἐμοῦ πεπονθώς, εἰς ἄκρον με χειμάζει, καὶ ἐνεθυμήθην αὐτὸν ρίψαι, αὐτοῦ εἰς τοῦτό με καταναγκάζοντος, καὶ τούτου ἕνεκεν ἦλθον εἰς τὴν σὴν ἁγιωσύνην, ἵνα μοι συμβουλεύσῃς τί ὀφείλω ποιῆσαι, καὶ προσεύξῃ περὶ ἐμοῦ· δεινῶς γάρ με χειμάζει. Λέγει αὐτῷ ὁ Μέγας Ἀντώνιος ἐμβριθεστάτῃ καὶ αὐστηρᾷ τῇ φωνῇ· Ρίπτεις αὐτόν, Εὐλόγιε; ἀλλ' ὁ ποιήσας αὐτὸν οὐ ρίπτει αὐτόν, σὺ αὐτὸν ἀπορρίπτεις; ἐγείρει ὁ Θεὸς τὸν καλλίονά σου καὶ συνάγει αὐτόν. Ὁ δὲ Εὐλόγιος ταῦτα ἀκούσας συνεστάλη τε καὶ κατέπτυξεν.

Εἶτα στραφεὶς ὁ Ἅγιος πρὸς τὸν λελωβημένον, ἤρξατο τῇ γλώσσῃ μαστίζειν αὐτὸν καὶ λέγειν· λελωβημένε, πεπηρωμένε, ἀνάξιε τῆς γῆς καὶ τοῦ οὐρανοῦ, οὐ παύῃ θεομαχῶν καὶ παροργίζων τὸν ἀδελφόν; οὐκ οἶδας ὅτι ὁ Χριστός ἐστιν ὁ ὑπηρετῶν σοι; πῶς τολμᾷς κατὰ τοῦ Χριστοῦ τοιαῦτα φθέγγεσθαι; οὐ διὰ τὸν Χριστὸν ἐδούλωσεν ἑαυτὸν εἰς τὴν σὴν ὑπηρεσίαν; Στύψας οὖν καὶ τοῦτον ἱκανῶς τοῖς ἐκπληκτικοῖς λόγοις, ἀφεὶς αὐτοὺς διελέχθη τοῖς ἄλλοις ἀδελφοῖς τὰ πρὸς τὴν χρείαν ἑκάστῳ.

Εἶτα πάλιν ἀναλαβὼν τὸν πρὸς τὸν Εὐλόγιον καὶ τὸν λελωβημένον λόγον, ἔφη· ἀπέλθετε, τέκνα, ἐν εἰρήνῃ καὶ μὴ χωρισθῆτε ἀλλήλων, ἀλλ' ἀποθέμενοι πᾶσαν λύπην, ἣν ὁ δαίμων ὑμῖν ἐνέβαλε, μετὰ καθαρᾶς ἀγάπης ὑποστρέψατε εἰς τὴν κέλλαν ὑμῶν, εἰς ἣν καὶ ἐχρονίσατε. Ὁ γὰρ πειρασμὸς οὗτος ἐπεσείσθη ὑμῖν ὑπὸ τοῦ σατανᾶ, ἐπειδὴ εἶδεν ὅτι ἀμφότεροι περὶ τὸ τέλος ἔχετε, καὶ στεφάνων μέλλετε ἀξιοῦσθαι παρ' αὐτοῦ, καὶ αὐτὸς διὰ σοῦ, καὶ σὺ δι' αὐτοῦ. Μὴ οὖν ἄλλο τι φρονήσητε, μήπως ἐλθὼν ὁ Ἄγγελος, ὃν ἤδη ὁ Θεὸς εἰς ὑμᾶς ἀποστέλλει, οὐχ εὕρῃ ὑμᾶς ἐπὶ τὸ αὐτὸ ἐν τῷ τόπῳ καὶ μέλλετε τῶν στεφάνων στερεῖσθαι.

Σπεύσαντες οὖν οἱ ἄνδρες ἐπανῆλθον εἰς τὸν τόπον αὐτῶν ἐν τελείᾳ ἀγάπῃ· εἶτα μετὰ τρεῖς μὲν ἡμέρας τελευτᾷ ὁ μακάριος Εὐλόγιος, μετὰ δὲ ἑτέρας τριακονταεπτὰ ἐκδημεῖ πρὸς Κύριον καὶ ὁ τὸ σῶμα λελωβημένος, τὴν δὲ ψυχὴν ἐρρωμένος.

Ὁ οὖν Κρόνιος χρονοτριβήσας εἰς τοὺς περὶ Θηβαΐδα τόπους, κατῆλθε μετὰ τεσσαράκοντα ἡμέρας εἰς τὰ μοναστήρια Ἀλεξανδρείας, καὶ συνέβη κατ' αὐτὴν τὴν ἡμέραν τελεῖσθαι παρὰ τῆς ἀδελφότητος τοῦ μὲν Εὐλογίου τὰ τεσσαρακοστά, τοῦ δὲ λελωβημένου τὰ τρίτα, ὃ καὶ μαθὼν ὁ Κρόνιος ἐξέστη. Καὶ διηγήσατο τοῖς Πατράσιν ὃ προεῖπε περὶ αὐτῶν ὁ Ἀντώνιος· οὗτος γὰρ ἦν τότε ἑρμηνεὺς τῶν λόγων, ὧν τε πρὸς τὸν Ἀντώνιον ὁ Εὐλόγιος εἶπε, τῇ Ἑλληνίδι χρώμενος γλώσσῃ, καὶ ὧν πρὸς αὐτόν τε καὶ τὸν λελωβημένον ὁ Ἀντώνιος ἔφρασε τῇ Αἰγυπτίων ὁμιλῶν διαλέκτῳ, καθ' ἣν καὶ πᾶσιν ὡμίλει, ἑτέραν γλῶσσαν μὴ ἐπιστάμενος.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ μορφωμένος ἀπὸ τὴν Ἀλεξάνδρειαν, ὀνόματι Εὐλόγιος, ἐκυριεύθη ἀπὸ θεϊκὸν ἔρωτα καὶ ἀπεφάσισε νὰ ἀρνηθῇ τὸν κόσμον. Δι' αὐτό, ἀφοῦ ἐμοίρασε τὴν περιουσίαν του, ἐκτὸς ἀπὸ ὀλίγα, τὰ ὁποῖα ἐκράτησε διὰ τὴν συντήρησίν του, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἐργάζεται, ἤρχισε νὰ σκέπτεται τί νὰ κάμῃ διὰ τὸν ἑαυτόν του· διότι οὔτε εἰς μοναστικὴν συνοδείαν ἀπεφάσιζε νὰ εἰσέλθῃ, οὔτε καὶ ἡ συνείδησίς του τὸν ἐβεβαίωνε ὅτι ἦτο καλὸν νὰ μένῃ μόνος. Ἔτσι λοιπὸν καθὼς ἦτο διστακτικὸς εὑρῆκεν εἰς τὴν ἀγορὰν κάποιον λωβιασμένον, ὁ ὁποῖος ἦτο παραπεταγμένος ἐκεῖ. Αὐτὸς οὔτε πόδια εἶχεν, οὔτε χέρια· μονάχα ἡ γλῶσσα τοῦ εἶχε μείνει καὶ μὲ αὐτὴν παρακαλοῦσε τοὺς περαστικοὺς νὰ τὸν λυπηθοῦν.

Μόλις εἶδε αὐτὸν τὸν λωβιασμένον ὁ Εὐλόγιος, ἐκέντησε τὴν καρδίαν του βαθεῖα λύπη καὶ ἀμέσως παρεκάλεσε τὸν Θεὸν ἀπὸ μέσα του, καὶ ἔκαμεν μίαν συμφωνίαν μὲ τὸν Κύριον· Κύριε, εἰς τὸ ὄνομά Σου

— εἶπε — παίρνω κοντά μου αὐτὸν τὸν λωβιασμένον καὶ θὰ τὸν περιποιοῦμαι ὥσπου νὰ ἀποθάνῃ, διὰ νὰ σωθῶ καὶ ἐγὼ μέσῳ αὐτοῦ. Χάρισέ μου λοιπόν, Κύριε, τὴν ὑπομονὴν ποὺ χρειάζομαι διὰ νὰ τὸν ὑπηρετῶ.

Κατόπιν ἐπλησίασε τὸν λωβιασμένον καὶ τοῦ λέγει:

— Θέλεις ἡ ἐντιμότης σου, νὰ σὲ πάρω εἰς τὸ σπίτι μου καὶ νὰ σὲ περιποιοῦμαι;

— Μακάρι νὰ τὸ κατεδέχεσο· ἀλλ' ἐγὼ εἶμαι ἀνάξιος, ἀπήντησεν ὁ λωβιασμένος.

— Πηγαίνω λοιπόν, νὰ φέρω ἕνα ὄνον διὰ νὰ σὲ πάρω ἀπ' ἐδῶ.

Ὁ λωβιασμένος μὲ πολλὴν χαρὰν συνεφώνησε.

Ἔφερε λοιπὸν ὁ Εὐλόγιος τὸν ὄνον, ἐπῆρε τὸν λωβὸν καὶ τὸν ἐπῆγεν εἰς τὸ σπίτι του νὰ τὸν φιλοξενήσῃ. Ἐκεῖ τὸν ἐφρόντιζε σὲ κάθε τι ποὺ εἶχεν ἀνάγκην· τὸν ἔλουζε, τὸν ἤλειφε μὲ διαφόρους ἀλοιφάς, τὸν κρατοῦσε μὲ τὰ ἴδια του τὰ χέρια καὶ τὸν ἐξυπηρετοῦσε πρόθυμα εἰς ὅλα ἐπὶ δεκαπέντε χρόνια.

Κατόπιν ὅμως ὁ δαίμων εἰσεχώρησε μὲ μανίαν εἰς τὸν λωβιασμένον καὶ τὸν ἐξηγρίωσε, χωρὶς καμμίαν αἰτίαν, ἐναντίον τοῦ Εὐλογίου. Τὸν ἠρέθισε δὲ τόσον, ὥστε νὰ προσβάλλῃ καὶ νὰ ὑβρίζῃ τὸν Εὐλόγιον.

— Χαραμοφάη — τοῦ ἔλεγεν ὑβριστικὰ — ἔκλεψες ξένα χρήματα καὶ ἐνῷ ἤσουν δοῦλος, ἐλήστεψες τὸ ἀφεντικό σου· καὶ τώρα, μὲ τὴν ἰδικήν μου δικαιολογίαν, θέλεις νὰ ξεφύγῃς, ὅτι τάχα μὲ ἐπῆρες εἰς τὸ σπιτοκάλυβό σου διὰ νὰ μὲ εὐεργετήσῃς καὶ ἐπιδιώκεις μὲ ἐμένα νὰ σωθῇς.

Ὁ Εὐλόγιος εἰς ἀπάντησιν τὸν ἐπαρακαλοῦσε:

— Μὴ λέγεις, κύριε — τοῦ ἔλεγε — τέτοια πράγματα· εἰπέ μου εἰς τί σὲ ἐλύπησα καὶ θὰ διορθωθῶ.

Ὁ λωβὸς ὅμως τοῦ ἀπαντοῦσε σκληρὰ πάλιν:

— Δὲν θέλω αὐτὰς τὰς κολακείας σου· πήγαινε νὰ μὲ ρίξῃς πάλιν εἰς τὴν ἀγοράν· ἐκείνη μοῦ εἶναι καλύτερη ἀπὸ τὴν ἰδικήν σου περιποίησιν.

— Σὲ παρακαλῶ, κύριε — ἐπέμενεν ὁ Εὐλόγιος — ἐὰν ἡ ἐντιμότης σου στενοχωρεῖται εἰς τίποτα, καὶ ἐγὼ σὲ ὑπηρετῶ.

Τότε ὁ λωβὸς ἐξηγριώνετο περισσότερον ἀπὸ τὸν θυμὸν καὶ ἐφώναζε δυνατά:

— Δὲν ἀναπαύομαι νὰ μένω μοναχός μου μὲ σένα· θέλω κόσμον.

— Ἐγὼ νὰ σοῦ φέρω ἀμέσως πλῆθος ἀπὸ ἀδελφούς, τοῦ ἀπαντοῦσε καὶ πάλιν ὁ Εὐλόγιος.

Ἔξω φρενῶν ὁ λωβὸς τοῦ ἀπαντοῦσε καὶ πάλιν μὲ κραυγάς:

— Ἀλλοίμονον εἰς ἐμὲ τὸν ταλαίπωρον· ἐγὼ δὲν θέλω νὰ βλέπω τὰ μοῦτρα σου καὶ σὺ θὰ μοῦ κουβαλήσῃς ἐδῶ τοὺς χαραμοφάγηδες σὰν καὶ σένα; Καὶ τρέμων ἀπὸ τὴν κακίαν του, ἤρχιζε νὰ ξεφωνίζῃ:

— Δὲν θέλω, δὲν θέλω, — εἰς τὴν ἀγορὰν θέλω. Πώ! Πώ! πόσον μὲ καταπιέζεις! Ρίξε με ἐκεῖ ποὺ μὲ εὕρηκες!

Ἂν εἶχε τὰ χέρια του ἐκείνην τὴν στιγμὴν ὁ λωβός, ἀσφαλῶς δὲν θὰ ἐδίσταζε καὶ νὰ κρεμασθῇ ἀκόμη, ἢ νὰ αὐτοκτονήσῃ μὲ ξίφος. Τόσον πολὺ τὸν εἶχεν ἐξαγριώσει ὁ δαίμων.

Ὁ Εὐλόγιος τὰ εἶχε χαμένα· δὲν ἤξερε τί νὰ κάνῃ. Κατόπιν συμβουλῆς τῶν γειτονικῶν του ἀσκητῶν ἀπεφάσισε νὰ ὑπάγῃ, μαζὶ μὲ τὸν λωβόν, εἰς τὸν Μέγαν Ἀντώνιον καὶ νὰ τοῦ ἀναφέρῃ τὴν περίπτωσιν καὶ νὰ κάμῃ ὅ,τι ἐκεῖνος τὸν συμβουλεύσει.

Ἀφοῦ λοιπὸν τὸν ἔπεισε μὲ γλυκόλογα καὶ τὸν ἐφόρτωσεν εἰς μίαν βάρκαν, τὸν ἔφερεν εἰς τὸ Μοναστήριον τῶν μαθητῶν τοῦ Μεγάλου Ἀντωνίου. Καθὼς ἔλεγαν, ὁ Ἅγιος ἤρχετο εἰς τὸ Μοναστήρι αὐτό, ἄλλοτε μὲν κάθε δέκα ἡμέρας, ἄλλοτε πάλιν κάθε εἴκοσι, πρὸς ὠφέλειαν τῶν ἐπισκεπτῶν.

— Πραγματικά, μετὰ τὸν ἐρχομὸν τοῦ Εὐλογίου, ἦλθε τὴν ἄλλην ἡμέραν, ἀργὰ τὸ βράδυ, καὶ ὁ Μέγας, σκεπασμένος μὲ ἕνα δερμάτινον ἐπανωφόριον, ὅπως μοῦ διηγήθη ὁ Κρόνιος, ποὺ εὑρίσκετο τότε ἐκεῖ. Ἀφοῦ λοιπὸν ὁ Μέγας Ἀντώνιος ἐχαιρέτησεν ὅλους τοὺς παρευρισκομένους καὶ ἐκάθισεν, ἐφώναξε πρῶτον ἀπὸ ὅλους ὀνομαστικὰ τὸν Εὐλόγιον, ποὺ δὲν τὸν εἶχεν ἴδει ποτέ, οὔτε εἶχε μάθει τίποτε δι' αὐτόν. Ὁ Εὔγιος, ἂν καὶ τὸν ἐφώναξε τρεῖς φορὰς ὁ Μέγας Ἀντώνιος μὲ τὸ ὄνομά του, δὲν ἀπήντησε, διότι ἐνόμιζεν ὅτι ὁ Ἅγιος κάποιον ἄλλον φωνάζει γνωστόν του μὲ τὸ ἴδιον ὄνομα. Ὁ Μέγας Ἀντώνιος πάλιν εἶπε:

— Σὲ σένα λέγω, ποὺ ἦλθες ἀπὸ τὴν Ἀλεξάνδρειαν.

Τότε ὁ Εὐλόγιος τοῦ ἀπαντᾷ:

— Σὲ παρακαλῶ τί διατάσσεις;

— Διατί ἦλθες ἐδῶ; τὸν ἐρωτᾷ ὁ Ἀντώνιος.

Καὶ ὁ Εὐλόγιος τοῦ ἀπεκρίθη:

— Ἐκεῖνος, ποὺ σοῦ ἐφανέρωσε τὸ ὄνομά μου, ἀσφαλῶς θὰ σοῦ ἐφανέρωσε καὶ ὅλα ὅσα μὲ ἀπασχολοῦν.

— Ἔμαθα διατὶ ἦλθες· — τοῦ λέγει ὁ Ἅγιος Ἀντώνιος, ἀλλὰ νὰ τὸ εἰπῇς καὶ ἐνώπιον ὅλων τῶν ἀδελφῶν διὰ νὰ μάθουν καὶ αὐτοί.

Ἐνώπιον λοιπὸν ὅλων καὶ τοῦ λωβοῦ ἤρχισε νὰ διηγῆται ὁ Εὐλόγιος:

— Ἄνθρωπε τοῦ Θεοῦ — εἶπεν — αὐτὸν τὸν λωβιασμένον τὸν εὕρηκα εἰς τὴν ἀγοράν, παραπεταμένον καὶ παραμελημένον. Τὸν ἐλυπήθην λοιπὸν βαρύτατα καὶ προσηυχήθην εἰς τὸν Θεὸν νὰ μοῦ δοθῇ τὸ χάρισμα τῆς ὑπομονῆς νὰ τὸν περιποιοῦμαι· ὑπεσχέθην δὲ εἰς τὸν Χριστὸν νὰ τὸν φροντίζω μέχρι τέλους τῆς ζωῆς του, διὰ νὰ εὕρῃ καὶ αὐτὸς ἀνάπαυσιν κοντά μου καὶ νὰ σωθῶ καὶ ἐγὼ κοντὰ εἰς αὐτόν.

Τὸν παρέλαβα πραγματικὰ εἰς τὸ σπίτι μου καὶ εἶναι δεκαπέντε χρόνια τώρα ποὺ τὸν ἐξυπηρετῶ ὅσον ἠμπορῶ. Τώρα ὅμως τελευταῖα, δὲν ἠξεύρω τί κακὸν ἔχει πάθει ἀπὸ μένα, καὶ μὲ στενοχωρεῖ πάρα πο-

λύ. Ἐσκέφθηκα νὰ τὸν πετάξω· διότι ἐκεῖ μὲ ἔφερε. Δι' αὐτὸ λοιπὸν ἦλθα εἰς τὴν ἁγιωσύνην σου νὰ μὲ συμβουλεύσῃς τί πρέπει νὰ κάνω καὶ νὰ προσευχηθῇς δι' ἐμέ, διότι μὲ ταλαιπωρεῖ φοβερά.

Ὅταν ἤκουσεν αὐτὰ ὁ Μέγας Ἀντώνιος, τοῦ ἀπαντᾷ αὐστηρὰ καὶ ἐπιτιμητικά:

— Νὰ τὸν πετάξῃς, Εὐλόγιε; Ἀλλ' Ἐκεῖνος, ποὺ τὸν ἐδημιούργησε, δὲν τὸν πετᾷ καὶ θὰ τὸν παραπετάξῃς σύ; Θὰ παρουσιάσῃ ὁ Θεὸς ἄλλον καλύτερόν σου, διὰ νὰ τὸν περιμαζεύσῃ.

Μόλις ὁ Εὐλόγιος ἤκουσεν αὐτὰ ἐζάρωσε καὶ ἐφοβήθη.

Κατόπιν ὁ Ἅγιος Ἀντώνιος ἐστράφη πρὸς τὸν λωβὸν καὶ ἤρχισε νὰ τὸν μαστιγώνῃ μὲ τὴν γλῶσσαν του καὶ νὰ τοῦ λέγῃ:

— Λωβέ, ἀνάπηρε, ἀνάξιε καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ, δὲν θὰ παύσῃς νὰ πολεμᾷς τὸν Θεὸν καὶ νὰ παροργίζῃς τὸν ἀδελφόν; Δὲν γνωρίζεις ὅτι αὐτὸς ποὺ σὲ ὑπηρετεῖ εἶναι ὁ Χριστός; Πῶς λοιπὸν τολμᾷς νὰ λέγῃς τέτοια λόγια ἐναντίον τοῦ Χριστοῦ; Μήπως χάριν τοῦ Χριστοῦ δὲν ἔγινεν ὁ Εὐλόγιος δοῦλος σου, διὰ νὰ σὲ ὑπηρετῇ;

Ἀφοῦ λοιπὸν ἐμαστίγωσε μὲ αὐτὰ τὰ αὐστηρὰ λόγια καὶ τὸν λωβόν, τοὺς ἄφησε καὶ συνωμίλησε μὲ τοὺς ἄλλους ἀδελφούς, κατὰ τὴν ἀνάγκην τοῦ καθενός.

Ἔπειτα ἐστράφη πάλιν πρὸς τὸν Εὐλόγιον καὶ τὸν λωβὸν καὶ τοὺς εἶπε:

— Πηγαίνετε, παιδιά μου, ἐν εἰρήνῃ καὶ νὰ μὴ ἀποχωρισθῆτε· ἀφοῦ ἀποδιώξετε ὅλην τὴν λύπην ποὺ ἔβαλεν ὁ δαίμων εἰς τὴν καρδίαν σας, ξαναγυρίσετε μὲ ἀγάπην εἰς τὸ κελλί σας ὅπου τόσα χρόνια ἐζήσατε μαζί. Διότι ὁ σατανᾶς σᾶς συνεκλόνισε μὲ αὐτὸν τὸν πειρασμόν, ἐπειδὴ εἶδεν ὅτι καὶ οἱ δύο εὑρίσκεσθε κοντὰ εἰς τὸ τέλος τῆς ζωῆς σας καὶ πρόκειται νὰ στεφανωθῆτε ἀπὸ τὸν Θεόν· καὶ αὐτὸς ἐξ αἰτίας σου καὶ σὺ ἐξ αἰτίας του θὰ στεφανωθῆτε. Μὴ σκεφθῆτε λοιπὸν τίποτε ἄλλο μὴ τυχὸν καταφθάσῃ ὁ Ἄγγελος, τὸν ὁποῖον ἤδη ὁ Θεὸς σᾶς στέλλει, καὶ δὲν σᾶς εὕρῃ εἰς τὸν ἴδιον τόπον καὶ ἔτσι θὰ χάσετε τοὺς στεφάνους.


Ἔφυγαν λοιπὸν ἀμέσως οἱ δύο ἄνδρες καὶ ἐπέστρεψαν εἰς τὸν τόπον τους τελείως ἀγαπημένοι· μετὰ ἀπὸ τρεῖς ἡμέρας τελειώνει τὴν ζωήν του ὁ μακάριος Εὐλόγιος καὶ μετὰ ἄλλας τριάντα ἑπτὰ φεύγει διὰ τὸν Κύριον καὶ ὁ λωβὸς εἰς τὸ σῶμα, ἀλλὰ εἰς τὴν ψυχὴν θεραπευμένος.

Ὁ Κρόνιος, ἀφοῦ παρέμεινεν ὀλίγον καιρὸν εἰς τοὺς τόπους τῆς Θηβαΐδος*, μετὰ ἀπὸ σαράντα ἡμέρας κατέβη εἰς τὰ Μοναστήρια τῆς Ἀλεξανδρείας. Κατὰ τὴν ἡμέραν λοιπὸν τοῦ ἐρχομοῦ του συνέβη νὰ γίνωνται ἀπὸ τὴν Ἀδελφότητα τὰ μνημόσυνα τῶν σαράντα ἡμερῶν τοῦ

---

* Περὶ Θηβαΐδος βλέπε ὑποσημείωσιν β' τῆς σελίδος 30 τοῦ ἀνὰ χεῖρας Β' τόμου, ὡς καὶ ὑποσημείωσιν α' τῆς σελίδος 224 τοῦ Α' τόμου τοῦ «Εὐεργετινοῦ».

Εὐλογίου καὶ τὰ τριήμερα τοῦ λωβοῦ. Μόλις τὸ ἔμαθεν αὐτὸ ὁ Κρόνιος τὰ ἔχασε! Διηγήθη εἰς τοὺς Πατέρας ὅσα ἐπροφήτευσε δι' αὐτοὺς ὁ Ἅγιος Ἀντώνιος. Διότι αὐτὸς ὁ Κρόνιος ἦτο τότε διερμηνεὺς καὶ μετέφραζε πρὸς τὸν Ἀντώνιον ὅσα ἔλεγεν ὁ Εὐλόγιος, ὁ ὁποῖος ὡμιλοῦσε τὴν ἑλληνικὴν γλῶσσαν καὶ ὅσα εἶπεν ὁ Ἅγιος Ἀντώνιος πρὸς αὐτὸν καὶ τὸν λωβόν, διότι ὡμιλοῦσε πρὸς ὅλους τὴν Αἰγυπτιακὴν γλῶσσαν, ἐπειδὴ δὲν ἐγνώριζεν ἄλλην διάλεκτον.



ΥΠΟΘΕΣΙΣ ΛΔ΄

Ὅτι οὐδὲν οὕτω τῷ πιστῷ ἀνοίκειον ὡς ἡ παρρησία καὶ ὁ γέλως, ἐν ᾧ καὶ περὶ εὐλαβείας, καὶ τίνα ταύτης τὰ ἰδιώματα.

Τίποτα δὲν εἶναι διὰ τὸν πιστὸν τόσον ἀταίριαστον, ὅσον ἡ ἐλευθεριότης καὶ τὰ γέλια· ἐπίσης ἐδῶ γίνεται λόγος καὶ διὰ τὴν εὐλάβειαν καὶ ποῖα εἶναι τὰ γνωρίσματά της.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΕ ποτέ τις ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ἀγάθωνα λέγων· θέλω οἰκῆσαι μετὰ ἀδελφῶν· εἰπὲ οὖν μοι πῶς μετ᾽ αὐτῶν οἰκήσω; Λέγει αὐτῷ ὁ γέρων· ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ, ὅταν εἰσέρχῃ πρὸς αὐτούς, οὕτω φύλαξον τὴν ξενιτείαν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μὴ παρρησιάσῃ μετ᾽ αὐτῶν. Λέγει αὐτῷ ὁ Ἀββᾶς Μακάριος· τί γὰρ ποιεῖ ἡ παρρησία; Ἀπεκρίθη ὁ γέρων· ἔοικεν ἡ παρρησία καύσωνι μεγάλῳ, ὃς ὅταν γένηται πάντες φεύγουσιν ἀπὸ προσώπου αὐτοῦ καὶ τῶν δένδρων τὸν καρπὸν διαφθείρει. Ἔφη ὁ ἀββᾶς Μακάριος· οὕτω χαλεπή ἐστιν ἡ παρρησία; Καὶ εἶπεν ὁ Ἀββᾶς Ἀγάθων· οὐκ ἔστιν ἕτερον πάθος χαλεπώτερον τῆς παρρησίας· γεννήτρια γάρ ἐστι πάντων τῶν παθῶν.

2. Ἔλεγον περὶ τοῦ ἀββᾶ Παμβώ, ὅτι οὐδέποτε ἐγέλασεν. Ἐν μιᾷ οὖν θέλοντες οἱ δαίμονες ποιῆσαι αὐτὸν γελάσαι, ἔδησαν εἰς ξύλον πτερὸν καὶ ἐβάσταζον θόρυβον ποιοῦντες καὶ λέγοντες· ἀλλή, ἀλλή. Ἰδὼν δὲ αὐτοὺς ὁ Ἀββᾶς Παμβὼ ἐγέλασεν. Οἱ δὲ δαίμονες ἤρξαντο σκιρτᾶν λέγοντες· οὐά, οὐά, Παμβὼ ἐγέλασεν. Ὁ δὲ ἀποκριθεὶς αὐτοῖς, οὐκ ἐγέλασα, ἀλλὰ καταγέλασα τῆς ἀδυναμίας ὑμῶν, ὅτι τοσοῦτοι τὸ πτερὸν βαστάζετε.

3. Εἶπε γέρων· ἡ παρρησία καὶ ὁ γέλως ἔοικε πυρὶ καλάμην κατεσθίοντι. Ὡς γὰρ ἐν ὀλίγῳ τὴν καλάμην τὸ πῦρ, οὕτω καὶ τὴν ἀρετὴν ἀφανίζει ἡ παρρησία.

4. Εἶπεν ὁ ἀββᾶς Μωϋσῆς· κτησώμεθα τὴν εὐλάβειαν καὶ τὴν σεμνότητα καὶ τὴν πρᾳότητα καὶ τὴν ἐπιστήμην πρὸς πάντας ἀνθρώπους, ἵνα δυνηθῶμεν φυγεῖν τὴν παρρησίαν, τὴν μητέρα τῶν κακῶν.

5. Εἶπεν ὁ Ἀββᾶς Νισθερώ· Μοναχοῦ ἀλλότριον ὑπάρχει τὸ ὀμνύειν, ἢ ψεύδεσθαι, ἢ καταρᾶσθαι, ἢ ὑβρίζειν, ἢ γελᾶν.

6. Εἶδέ τις τῶν γερόντων τινὰ μοναχὸν νεώτερον γελῶντα καὶ λέγει αὐτῷ· Μὴ γέλα, ἀδελφέ, ἐπεὶ διώκεις ἀπὸ σοῦ τὸν φόβον τοῦ Θεοῦ.

7. Εἶπε γέρων· ἡ εὐλάβεια μετὰ ταπεινοφροσύνης πανταχοῦ καλή ἐστιν· ἔστι γάρ τις χαριεντιζόμενος καὶ δοκῶν ἔχειν χαράν· ἐὰν δὲ ἐπὶ πολὺ τοῦτο ποιῇ, μεμπτὸς γίνεται· ὁ δὲ εὐλαβὴς ἀσφαλιζόμενος ἑαυτὸν ἐν ταπεινοφροσύνῃ, ἔχει πάντοτε τιμήν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθεν ἕνας ἀδελφὸς εἰς τὸν Ἀββᾶν Ἀγάθωνα καὶ τοῦ λέγει:

— Θέλω νὰ συγκατοικήσω μὲ ἄλλους ἀδελφούς· εἰπέ μου λοιπὸν πῶς πρέπει νὰ συμπεριφέρωμαι ὅταν θὰ μένω μαζί των;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

— Ὅπως κατὰ τὴν πρώτην ἡμέραν, ποὺ θὰ προσέλθῃς, διὰ νὰ συγκατοικήσῃς μαζί των, θὰ αἰσθάνεσαι ὡς ξένος, ἔτσι καὶ εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου νὰ διατηρήσῃς αὐτὴν τὴν συνείδησιν τοῦ πρωτοερχομένου ξένου, διὰ νὰ μὴ ἀποκτήσῃς ἐλευθεριότητα μαζί των.

— Τί ἠμπορεῖ νὰ κάμῃ αὐτὴ ἡ ἐλευθεριότης; τὸν ἠρώτησεν ὁ Ἀββᾶς Μακάριος.

— Ἡ παρρησία (ἡ ἐλευθεριότης) — ἀπεκρίθη ὁ Γέρων — ὁμοιάζει μὲ μεγάλην ζέστην ποὺ ὅταν ἐπικρατήσῃ, ὅλοι προσπαθοῦν νὰ τὴν ἀποφύγουν· συγχρόνως δὲ κατακαίει τοὺς καρποὺς τῶν δένδρων.

— Τόσον φοβερὰ λοιπὸν εἶναι ἡ παρρησία; ἠρώτησεν ὁ Ἀββᾶς Μακάριος. Καὶ ὁ Ἀββᾶς Ἀγάθων τοῦ ἀπεκρίθη:

— Δὲν ὑπάρχει περισσότερον φοβερὸν πάθος ἀπὸ τὴν παρρησίαν· διότι γεννᾷ ὅλα τὰ ἄλλα πάθη.

2. Διὰ τὸν Ἀββᾶν Παμβὼ ἔλεγαν, ὅτι ποτὲ δὲν ἐγέλασε. Μίαν ἡμέραν λοιπὸν ἠθέλησαν οἱ δαίμονες νὰ τὸν κάμουν νὰ γελάσῃ· πρὸς τοῦτο ἔδεσαν ἕνα πτερὸν εἰς ἕνα ξύλον, τὸ ἐβάσταζαν, ἔκαναν θόρυβον καὶ ἔλεγαν: πώ! πώ! πώ! Μόλις τοὺς εἶδεν ὁ Ἀββᾶς Παμβὼ ἐγέλασε. Τότε οἱ δαίμονες ἤρχισαν νὰ χοροπηδοῦν καὶ νὰ λέγουν: Μπράβοοο! Ὁ Παμβὼ ἐγέλασε!

— Δὲν ἐγέλασα — τοὺς ἀπεκρίθη ὁ Ἀββᾶς Παμβὼ — ἀλλὰ περιεγέλασα τὴν ἀδυναμίαν σας, διότι τόσοι πολλοὶ βαστάζετε τὸ πτερόν.

3. Ἕνας Γέρων εἶπεν· ἡ παρρησία καὶ τὰ γέλια ὁμοιάζουν μὲ φωτιὰν ποὺ κατατρώγει τὴν καλαμιάν. Ὅπως δηλαδὴ ἐντὸς ὀλίγου ἡ φωτιὰ ἀφανίζει τὴν καλαμιάν, ἔτσι καὶ ἡ παρρησία τὴν ἀρετήν.

4. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς· ἂς ἀποκτήσωμεν τὴν εὐλάβειαν, τὴν σεμνότητα, τὴν πραότητα καὶ τὴν ἀκριβῆ γνῶσιν πρὸς ὅλους τοὺς ἀνθρώπους, διὰ νὰ ἠμπορέσωμεν νὰ ἀποφύγωμεν τὴν παρρησίαν, ἡ ὁποία εἶναι ἡ μητέρα ὅλων τῶν κακῶν.

5. Ὁ Ἀββᾶς Νισθερὼ εἶπεν: Εἶναι τελείως ξένον διὰ τὸν Μοναχὸν τὸ νὰ ὁρκίζεται ἢ νὰ ψεύδεται ἢ νὰ καταρᾶται ἢ νὰ ὑβρίζῃ ἢ νὰ γελᾷ.

6. Κάποιος Γέρων εἶδεν ἕνα νεώτερον μοναχὸν νὰ γελᾷ καὶ τοῦ εἶπε: Μὴ γελᾷς, ἀδελφέ, διότι διώχνεις ἀπὸ τὴν καρδίαν σου τὸν φόβον τοῦ Θεοῦ.

7. Εἶπεν ἕνας Γέρων: Ἡ εὐλάβεια μαζὶ μὲ τὴν ταπεινοφροσύνην εἰς κάθε περίπτωσιν εἶναι καλή· διότι ἠμπορεῖ νὰ χαριεντίζεται κάποιος καὶ νὰ νομίζῃ ὅτι ἔχει χαράν· ἂν τὸ κάμῃ αὐτὸ συνεχῶς, τότε γίνεται ἀξιοκατάκριτος· ἐνῷ ὁ εὐλαβὴς ἀσφαλίζει τὸν ἑαυτόν του μὲ ταπεινοφροσύνην καὶ τὸν τιμοῦν πάντοτε.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΡΧΗ καταστροφῆς μοναχοῦ γέλως καὶ παρρησία. Ὅταν ἐν τούτοις ἴδῃς σεαυτόν, μοναχέ, γίνωσκε σεαυτὸν εἰς βάθος κακῶν καταντήσαντα, καὶ μὴ παύσῃ δεόμενος τοῦ Θεοῦ, ὅπως ῥύσηταί σε τοῦ θανάτου τούτου. Ὁ γέλως καὶ ἡ παρρησία ἀπόλλυσι τοὺς καρποὺς τοῦ μοναχοῦ, καὶ εἰς πάθη αἰσχρὰ κατασύρει αὐτόν, οὐ μόνον τὸν νέον ὄντα, ἀλλὰ καὶ τὸν γέροντα. Ὁ γὰρ γέλως τὸν μακαρισμὸν τοῦ πένθους ἔξω βάλλει, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον λυπεῖ, καὶ τὸν φόβον τοῦ Θεοῦ ἐκδιώκει, καὶ τὴν μνήμην τοῦ θανάτου καὶ τῶν κολάσεων, καὶ πάντα τὰ οἰκοδομηθέντα καταστρέφει, καὶ εἰς τὴν ἐσχάτην ἀπάγει ἀπώλειαν. Περίελε ἀπ' ἐμοῦ, Κύριε, τὸν γέλωτα, καὶ δώρησαί μοι πένθος καὶ κλαυθμόν, ὃν ἐπιζητεῖς παρ' ἐμοῦ.

Ἑρμηνεία

ΑΡΧΗ τῆς καταστροφῆς τοῦ Μοναχοῦ εἶναι τὰ γέλια καὶ ἡ παρρησία. Ὅταν ἴδῃς τὸν ἑαυτόν σου Μοναχέ, νὰ αἰχμαλωτίζεται ἀπὸ αὐτά, τότε μάθε, ὅτι κατάντησες εἰς βάθος κακῶν· μὴ σταματήσῃς νὰ παρακαλῇς τὸν Θεὸν νὰ σὲ σώσῃ ἀπὸ αὐτὸν τὸν θάνατον. Τὰ γέλια καὶ ἡ ἐλευθεριότης καταστρέφουν τοὺς καρποὺς τοῦ Μοναχοῦ, καὶ τὸν παρασύρουν εἰς πάθη αἰσχρά, ὄχι μόνον τὸν νέον, ἀλλὰ καὶ τὸν γέροντα. Διότι τὰ γέλια ἐκδιώκουν τὸν μακαρισμὸν τοῦ πένθους, λυποῦν τὸ Ἅγιον Πνεῦμα, ἀπομακρύνουν τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν ἐνθύμησιν τοῦ θανάτου καὶ τῆς κολάσεως, καὶ ὅλα ὅσα ἔκτισε τὰ καταστρέφουν καὶ παρασύρουν τὸν Μοναχὸν εἰς ἀνεπανόρθωτον καταστροφήν.

Πάρε ἀπὸ ἐμέ, Κύριε, τὴν διάθεσιν νὰ γελῶ καὶ δώρησέ μου πένθος καὶ δάκρυα, τὰ ὁποῖα ζητεῖς ἀπὸ ἐμένα.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΤΟ γελᾶν ὅλως χριστιανοῖς ἀπηγόρευται, μάλιστα δὲ μοναχοῖς τοῖς σταυρώσασιν ἑαυτοὺς τῷ κόσμῳ· εἴ τις γάρ, φησι, θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Πῶς οὖν ἐνδέχεται τὸν ἐμπεπαρμένον τοῖς γλυκέσιν ἥλοις τοῦ σταυροῦ διαχεῖσθαι καὶ γελᾶν; Οὐ γὰρ εἰς μετεωρισμὸν ἐκλήθημεν καὶ γέλωτα, ἵνα τὸ οὐαὶ κληρονομήσωμεν, ὡς οἱ κοσμικοὶ ἐθνικοί, ἀλλ' εἰς πένθος διηνεκές, ἵνα δι' αὐτοῦ τῆς παρακλήσεως ἀπολαύσωμεν.

Ἑ ρ μ η ν ε ί α

ΤΑ γέλια εἶναι τελείως ἀπηγορευμένα διὰ τοὺς Χριστιανούς, πρὸ παντὸς ὅμως διὰ τοὺς Μοναχούς, οἱ ὁποῖοι ἐσταύρωσαν τὸν ἑαυτόν τους διὰ τὸν κόσμον. «Ὅποιος θέλει — λέγει — νὰ ἔλθῃ ὀπίσω μου, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του, ἂς σηκώσῃ τὸν σταυρόν του καὶ ἂς μὲ ἀκολουθῇ» (Ματθ. ιστ´, 24). Πῶς εἶναι λοιπὸν δυνατὸν ἐκεῖνος, ὁ ὁποῖος ἐσταυρώθη μὲ τὰ γλυκὰ καρφιὰ τοῦ σταυροῦ, νὰ εἶναι χαρούμενος καὶ νὰ γελᾷ; Προορισμός μας δὲν εἶναι τὸ νὰ πάρουν τὰ μυαλά μας ἀέρα καὶ νὰ γελοῦμεν, ὥστε νὰ κληρονομήσωμεν τὸ «οὐαί», ὅπως τοῦ κόσμου οἱ εἰδωλολάτραι, ἀλλὰ νὰ πενθῶμεν συνεχῶς, διὰ νὰ ἀπολαύσωμεν τὴν Οὐράνιον παρηγορίαν.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ λόγος γένηται ἐν ὑμῖν γελωτοποιός, φυλάξατε ἑαυτοὺς μὴ ἐάσαι τὴν φωνὴν ὑμῶν ἐξάκουστον γενέσθαι, ἐπεὶ σημεῖόν ἐστιν ἀπαιδευσίας καὶ ἀφοβίας Θεοῦ, ὅτι οὐκ ἔστι φυλακὴ ἐντὸς ὑμῶν, ἐπειδὴ ἡ ὀργὴ ἐπῆλθεν ἐπὶ τὴν οἰκουμένην ἐν ταῖς ἡμέραις ἡμῶν.

Ἑ ρ μ η ν ε ί α

ΑΝ κάποιος μεταξύ σας εἰπῇ κάτι τὸ ὁποῖον εἶναι διὰ γέλια, προσέξατε νὰ μὴ ἀκουσθῇ ἡ φωνή σας παρὰ πέρα, διότι αὐτὸ φανερώνει ἔλλειψιν μορφώσεως καὶ φόβου Θεοῦ καὶ ὅτι μέσα σας δὲν ὑπάρχει ἔλεγχος· διότι κατέφθασεν εἰς τὰς ἡμέρας μας ἡ ὀργὴ εἰς τὴν Οἰκουμένην.

Ε'. Τοῦ Ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου

ΜΗ ἐπαινέσῃς τὸν σωματικῶς κοπιῶντα, λελυμένον δὲ τὰς αἰσθήσεις, λέγω δὴ τὴν ἀκοήν, καὶ τὸ κεχηνὸς καὶ ἀκρατὲς στόμα, καὶ τοὺς ρεμβώδεις ὀφθαλμούς. Φύσει μὲν τῇ ἀγάπῃ ἀκολουθεῖ ἡ ἁπλότης, καὶ τῷ μὴ κρατεῖσθαι τῷ καθήκοντι τῆς αἰδοῦς μέτρῳ, ἀλλ᾽ὑπερβαίνειν αὐτό. Σὺ δέ, ἀδελφέ, νῆφε ἐν πᾶσι καὶ πρὸς τοὺς σοὺς φίλους ἐν εὐλαβείᾳ πορεύθητι· οὕτω καὶ σεαυτὸν κἀκείνους ὠφελήσεις, ἐν τῇ εὐλαβείᾳ διατηρῶν σου τὴν ψυχήν, εἰς τὸ μὴ ἀπορρίψαι τὸν τῆς παραφυλακῆς χαλινόν.

Ἑ ρ μ η ν ε ί α

ΝΑ μὴ ἐπαινέσῃς αὐτόν, ποὺ κοπιάζει σωματικά, ἔχει ὅμως χαλαρωμένας τὰς αἰσθήσεις· ἐννοῶ τὴν ἀκοήν, τὸ διαρκῶς ἀνοικτὸν καὶ ἀσυγκράτητον στόμα καὶ τοὺς ὀνειροπόλους ὀφθαλμούς. Φυσικὸν ἐπακόλουθον τῆς ἀγάπης εἶναι ἡ ἁπλότης καὶ τὸ νὰ μὴ περιοριζώμεθα μέσα εἰς τὰ μέτρα τοῦ ὀφειλομένου σεβασμοῦ; ἀλλὰ νὰ τὰ ὑπερβαίνωμεν. Σὺ ὅμως, ἀδελφέ, νὰ εἶσαι προσεκτικὸς εἰς ὅλα καὶ νὰ συναναστρέφεσαι μὲ εὐλάβειαν τοὺς φίλους σου· ἔτσι, ἂν διατηρήσῃς τὴν ψυχήν σου μέσα εἰς τὴν

εὐλάβειαν, καὶ τὸν ἑαυτόν σου καὶ ἐκείνους θὰ ὠφελήσῃς, ὥστε νὰ μὴ ἀπορρίψετε τὸν χαλινὸν τῆς προσοχῆς.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΣΗΜΕΙΟΝ ἀπαιδευσίας ἐστὶ Μοναχῷ καθημένῳ μέσον ἀδελφῶν καὶ γυμνοῦντι τὰς κνήμας ἑαυτοῦ· ὁ δὲ εὐλαβὴς εὐσχημόνως καθιεῖται.

2. Νεώτερος μοναχός, περιερχόμενος τὰς κέλλας τῶν μοναχῶν, οὐ μόνον ἀργὸς μανθάνει, ἀλλὰ καὶ φλύαρος καὶ περίεργος, λαλῶν τὰ μὴ δέοντα. Ὁ δὲ ἡσυχάζων ἐν ταπεινοφροσύνῃ ἀγαπηθήσεται. Ὥς περ μανίακιν χρυσοῦν ἐν τραχήλῳ ἀνδρός, οὕτω πρέπει μοναχῷ ἡ εὐλάβεια.

3. Ἀδελφέ, φεῦγε ἐκ τῶν εὐτραπέλων, μήποτε ἀναιδῆ σε ἀπεργάσωνται· ἀναίδεια δὲ μήτηρ ἀκολασίας.

4. Γέρων τις εἶδέ τινα γελῶντα καὶ λέγει αὐτῷ· ἔμπροσθεν τῆς ἄνω καὶ κάτω κτίσεως μέλλομεν δοῦναι λόγον περὶ παντὸς τοῦ βίου ἡμῶν, καὶ σὺ γελᾷς;

Ἑρμηνεία

ΣΗΜΕΙΟΝ, τὸ ὁποῖον δεικνύει ἀπαίδευτον Μοναχόν, εἶναι τὸ νὰ κάθεται εἰς τὸ μέσον τῶν ἀδελφῶν καὶ νὰ γυμνώνῃ τὰ πόδια του· ὁ εὐλαβὴς θὰ καθήσῃ συνεσταλμένα.

2. Νέος τὴν ἡλικίαν Μοναχός, ὁ ὁποῖος περιφέρεται εἰς τὰ κελλιὰ τῶν ἄλλων Μοναχῶν, ὄχι μόνον μανθάνει νὰ μὴ ἐργάζεται, ἀλλὰ καὶ νὰ γίνεται φλύαρος καὶ περίεργος, ἐπειδὴ ὁμιλεῖ αὐτὰ ποὺ δὲν πρέπει. Ἐνῷ ἐκεῖνος ποὺ ἡσυχάζει εἰς τὴν ταπεινοφροσύνην, θὰ γίνῃ ἀγαπητός. Ὅπως χρυσοῦν περιδέραιον στολίζει τὸν τράχηλον ἀνδρός, ἔτσι ταιριάζει καὶ εἰς τὸν μοναχὸν ἡ εὐλάβεια.

3. Ἀδελφέ, νὰ φεύγῃς μακρὰν ἀπὸ τοὺς ἐλαφροὺς ἀστεϊσμούς, μήπως γίνῃς ἀδιάντροπος. Ἡ ἀδιαντροπιὰ εἶναι μητέρα τῆς ἀκολασίας.

4. Ἕνας Γέρων εἶδε κάποιον, ὁ ὁποῖος ἐγέλα καὶ τοῦ λέγει: Ἐμπρὸς εἰς τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια πρόκειται νὰ λογοδοτήσωμεν δι' ὅλας τὰς πράξεις μας, καὶ σὺ γελᾷς;

ΥΠΟΘΕΣΙΣ ΛΕ'

Ὅτι οὐ δεῖ τινα ὅλως θυμοῦσθαι πρὸς ἄνθρωπον ἢ κραυγάζειν, καὶ τίς ἡ τοῦ θυμοῦ γένεσις, καὶ τίς ἡ θεραπεία.

Δὲν πρέπει ποτὲ νὰ θυμώνῃ κανεὶς ἐναντίον ἀνθρώπου ἢ νὰ φωνάζῃ· καὶ πῶς γεννᾶται ὁ θυμὸς καὶ πῶς θεραπεύεται.

Α'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀγάθων, ὅτι ὀργίλος, νεκρὸν ἐὰν ἐγείρῃ, οὐκ ἔστι δεκτὸς παρὰ τῷ Θεῷ.

2. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· οὐκ ἔστι μοναχὸς μεμψίμοιρος, οὐκ ἔστι μοναχὸς ποιῶν ἀνταπόδομα· οὐκ ἔστι μοναχὸς ὀργίλος, ἤγουν οἱ ταῦτα ἔχοντες οὐκ εἰσὶ μοναχοί, κἂν εἶναι δοκῶσιν.

3. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος, ὅτι ἀπῆλθόν ποτε εἰς τὴν ἀγορὰν πωλῆσαι σκεύη μικρά, καὶ ἰδὼν τὴν ὀργὴν ἐγγίζουσάν μοι ἐάσας τὰ σκεύη ἔφυγον.

4. Ἦλθόν ποτε Ἀρειανοὶ πρὸς τὸν ἀββᾶν Σισώην εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου, καὶ ὡς ἤρξαντο καταλαλεῖν τῶν ὀρθοδόξων, οὐκ ἀπεκρίθη ὁ γέρων αὐτοῖς οὐδέν. Φωνήσας δὲ τὸν ἑαυτοῦ μαθητήν, εἶπεν· Ἀβραάμ, φέρε τὸ βιβλίον τοῦ Ἁγίου Ἀθανασίου καὶ ἀνάγνωθι αὐτό· καὶ σιωπώντων αὐτῶν ἐγνώσθη ἡ αἵρεσις αὐτῶν, καὶ ἀπέλυσεν αὐτοὺς μετ' εἰρήνης.

5. Ἀναχωρητής τις γέγονεν Ἐπίσκοπος· οὗτος δι' εὐλάβειαν καὶ ἡσυχίαν οὐδενὶ ἐπετίμα, μακροθύμως φέρων τὰ ἑκάστου πταίσματα· ὁ δὲ τούτου οἰκονόμος οὐ κατὰ λόγον διώκει τὰ τῆς Ἐκκλησίας πράγματα. Καὶ λέγουσί τινες τῷ Ἐπισκόπῳ· διατί οὐκ ἐπιτιμᾷς τῷ οἰκονόμῳ οὕτω καταφρονοῦντι; Παραπέμπεται ἐκεῖνος τὴν ἐπιτίμησιν εἰς τὴν αὔριον. Τῇ οὖν ἑξῆς ἀνέρχονται πρὸς αὐτὸν οἱ τοῦ οἰκονόμου κατειπόντες. Μαθὼν δὲ ὁ Ἐπίσκοπος ἐκρύβη ἔν τινι τόπῳ, καὶ εὑρεῖν αὐτὸν οἱ θέλοντες οὐκ ἠδυνήθησαν· ὡς δὲ πολλὰ ζητήσαντες μόλις εὗρον, λέγουσιν αὐτῷ· διὰ τί ἐκρύβης ἀφ' ἡμῶν; Ὁ δὲ ἔφη· διότι ἃ κατώρθωσα ἐν ἑξήκοντα ἔτεσι δεόμενος τοῦ Θεοῦ, ταῦτα ὑμεῖς εἰς δύο ἡμέρας θέλετε συλῆσαι. Οἶμαι ὅτι ἐβιάσθη ὁ γέρων

γενέσθαι Ἐπίσκοπος, διὸ καὶ τοῦ νόμου τῶν ἀναχωρητῶν μᾶλλον ἐφρόντιζε ἢ τοῦ τοῖς Ἐπισκόποις καθήκοντος.

6. Ἤκουσεν ὁ ἀββᾶς Ποιμὴν περί τινος, ὅτι ἕλκει τὰς ἓξ ἡμέρας τῆς ἑβδομάδος διότι ὀργίζεται, καὶ εἶπεν· οὗτος ἔμαθεν αἴρειν τὰς ἕξ, καὶ οὐκ ἔμαθεν ἐκβάλλειν τὴν ὀργήν.

7. Ἀδελφὸς εἰς ὀργὴν κινηθεὶς κατά τινος, ἔστη εὐχόμενος καὶ αἰτούμενος μακροθυμῆσαι ἐπὶ τῷ ἀδελφῷ, καὶ τὸν πειρασμὸν παρελθεῖν ἀβλαβῶς· καὶ εὐθέως ὁρᾷ καπνὸν ἐκ τοῦ στόματος αὐτοῦ ἐξερχόμενον.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀγάθων εἶπεν, ὅτι ἐκεῖνος ποὺ ὀργίζεται εὔκολα, καὶ νεκρὸν ἀκόμη ἂν ἀναστήσῃ, δὲν εἶναι δεκτὸς ἐνώπιον τοῦ Θεοῦ.

2. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε· δὲν ὑπάρχει Μοναχὸς ὁ ὁποῖος νὰ παραπονῆται διαρκῶς, δὲν ὑπάρχει Μοναχὸς ἐκδικητικός· δὲν ὑπάρχει Μοναχὸς ποὺ νὰ ὀργίζεται εὔκολα. Δηλαδὴ ὅσοι ἔχουν αὐτὰ τὰ ἐλαττώματα δὲν εἶναι Μοναχοί, ἔστω καὶ ἂν νομίζουν ὅτι εἶναι.

3. Ὁ Ἀββᾶς Ἰσίδωρος εἶπε· κάποτε ἐπῆγα εἰς τὴν ἀγορὰν νὰ πωλήσω ὀλίγα ἐργόχειρα καὶ μόλις ἀντελήφθην νὰ μὲ καταλαμβάνῃ ἡ ὀργή, ἄφησα ἐκεῖ τὰ ἐργόχειρά μου καὶ ἔφυγα.

4. Κάποτε ἦλθον Ἀρειανοὶ* εἰς τὸν Ἀββᾶν Σισώην, εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου καὶ ἤρχισαν ἀμέσως νὰ κατηγοροῦν τοὺς Ὀρθοδόξους . Ὁ Γέρων δὲν τοὺς εἶπε τίποτε· ἐφώναξε μόνον τὸν μαθητήν του καὶ τοῦ εἶπε· Ἀβραάμ, φέρε τὸ βιβλίον τοῦ Ἁγίου Ἀθανασίου** καὶ διάβασε αὐτό. Ἐπειδὴ δὲ ἐσιώπων, ἐγένετο ἀντιληπτὴ ἡ αἵρεσίς των· καὶ ἐν συνεχείᾳ τοὺς ἀπέλυσε ἀφοῦ τοὺς ηὐχήθη κατευόδιον.

5. Κάποιος Ἀναχωρητὴς ἐχειροτονήθη Ἐπίσκοπος. Αὐτὸς ἀπὸ

---

* Ἀρειανοὶ ἐλέγοντο οἱ ὀπαδοὶ τῆς αἱρέσεως τοῦ Ἀρείου, ὁ ὁποῖος ἐδίδασκεν ὅτι ὁ Χριστὸς δὲν εἶναι Υἱὸς τοῦ Θεοῦ, ὁμοούσιος καὶ συνάναρχος τῷ Πατρί, ἀλλὰ πλάσμα τοῦ Θεοῦ. Ἡ αἵρεσις αὐτὴ παρουσιάσθη εἰς τὴν Ἀλεξάνδρειαν, ὅπου ὁ Ἄρειος ἦτο ἱερεύς, ἐδημιούργησε δὲ μεγάλην ταραχὴν εἰς τὴν Χριστιανικὴν Ἐκκλησίαν καὶ πολλοὺς παρέσυρεν εἰς ἐσφαλμένην πίστιν. Διὰ τοῦτο ὁ Μ. Κωνσταντῖνος ἐκάλεσε τὴν Ἁγίαν Α' Οἰκουμενικὴν Σύνοδον τὸ 325 εἰς τὴν Νίκαιαν τῆς Βιθυνίας, ἡ ὁποία κατεδίκασε τὴν αἵρεσιν τοῦ Ἀρείου, ἀνεκήρυξε τὴν Θεότητα τοῦ Ἰησοῦ Χριστοῦ καὶ συνέταξε τὰ 8 πρῶτα ἄρθρα τοῦ Συμβόλου τῆς πίστεως.

** Ὁ Ἅγιος Ἀθανάσιος ὁ Μέγας ὑπῆρξε κατ' ἀρχὰς διάκονος τοῦ Πατριάρχου Ἀλεξανδρείας Ἀλεξάνδρου, γενόμενος Πατριάρχης μετὰ τὸν θάνατον αὐτοῦ. Ἔλαβε μέρος εἰς τὴν Α' Οἰκουμενικὴν Σύνοδον καὶ ἐπολέμησε τὸν Ἄρειον καὶ τὴν αἱρεσίν του μὲ ἐξαιρετικὴν εὐγλωττίαν καὶ σοφὰ ἐπιχειρήματα ἐκ τῶν ἁγίων Γραφῶν. Ἔγραψε πολλὰ βιβλία ἐναντίον τῆς αἱρέσεως ταύτης, ἐκ τῶν ὁποίων σπουδαιότερα εἶναι ὁ «Ἀπολογητικὸς κατὰ Ἀρειανῶν» καὶ «Ἐπιστολὴ πρὸς μοναχοὺς τὰς δυσσεβείας τῶν Ἀρειανῶν καθιστοροῦσα». Ἴσως ἓν ἐκ τῶν βιβλίων τούτων ἀνεγνώσθη πρὸς τοὺς Ἀρειανοὺς τοὺς ἐλθόντας πρὸς τὸν Ἀββᾶν Σισώην.

εὐλάβειαν καὶ ἡσυχαστικὴν διάθεσιν δὲν ἐμάλωνε κανέναν, ἀλλ' ἀπὸ μακροθυμίαν ἠνείχετο τὰ σφάλματα τοῦ καθενός· ὁ δὲ οἰκονόμος του δὲν διοικοῦσεν ὅπως ἔπρεπε τὰ πράγματα τῆς Ἐκκλησίας. Μερικοὶ λέγουν τότε εἰς τὸν Ἐπίσκοπον·

— Διατὶ δὲν τιμωρεῖς τὸν οἰκονόμον σου, ποὺ τόσον σὲ περιφρονεῖ;

Ὁ Ἐπίσκοπος ἀνέβαλε τὴν ἐπίπληξιν διὰ τὴν ἄλλην ἡμέραν.

Τὴν ἐπομένην ἡμέραν ἀναβαίνουν πρὸς αὐτὸν οἱ κατήγοροι τοῦ οἰκονόμου.

Μόλις τὸ ἀντελήφθη τοῦτο ὁ Ἐπίσκοπος ἐκρύβη κάπου καὶ δὲν ἠμπόρεσαν νὰ τὸν εὕρουν ἐκεῖνοι ποὺ τὸν ἤθελαν.

Ὅταν τὸν εὑρῆκαν, ἔπειτα ἀπὸ πολλὰς ἀναζητήσεις, τοῦ λέγουν· διατί ἐκρύφθηκες ἀπὸ ἡμᾶς;

— Διότι — ἀπήντησεν ὁ Ἐπίσκοπος — ἐκεῖνα, ποὺ κατώρθωσα εἰς ἑξήντα χρόνια, παρακαλῶν τὸν Θεόν, σεῖς μέσα εἰς δύο ἡμέρας θέλετε νὰ μοῦ τὰ καταστρέψετε.

Νομίζω ὅτι θὰ ἐπιέσθη ὁ Γέρων νὰ γίνῃ Ἐπίσκοπος· δι' αὐτὸ καὶ περισσότερον ἐφρόντιζε διὰ τὸν νόμον τῶν ἀναχωρητῶν, παρὰ διὰ τὰ καθήκοντα τοῦ Ἐπισκόπου*.

6. Ὁ Ἀββᾶς Ποιμὴν ἐπληροφορήθη διὰ κάποιον, ὅτι ὑποφέρει τὰς ἓξ ἡμέρας τῆς ἑβδομάδος, διότι ὀργίζεται καὶ εἶπεν· αὐτὸς ἔμαθε νὰ βασανίζεται τὰς ἓξ ἡμέρας καὶ δὲν ἔμαθε νὰ ἀποδιώκῃ τὴν ὀργήν.

7. Ἕνας ἀδελφὸς ᾐσθάνθη εἰς τὴν ψυχήν του ὀργὴν ἐναντίον κάποιου· συνεκρατήθη ὅμως καὶ προσηυχήθη παρακαλῶν τὸν Θεὸν νὰ μακροθυμήσῃ πρὸς τὸν ἀδελφὸν καὶ νὰ περάσῃ χωρὶς ζημίαν ὁ πειρασμός· ἀμέσως τότε εἶδε νὰ βγαίνῃ καπνὸς ἀπὸ τὸ στόμα του.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, ἐάν τίς σε ἐν οἱῳδήποτε πράγματι θλίψῃ, καὶ γένηταί σοι χρεία ἐλέγξαι τὸν ἀδελφόν, καὶ βλέπῃς ἑαυτὸν ἐν ὀργῇ καὶ ἀκαταστασίᾳ ὄντα, τὸ καθόλου μηδὲν αὐτῷ λαλήσῃς, ἵνα μὴ πλείω ταραχθῇς· ἀλλ' ὅταν ἴδῃς καὶ σεαυτὸν κἀκεῖνον ἐν καταστάσει καὶ πραότητι, τότε λάλησον, μὴ ὡς ἐλέγχων, ἀλλ' ὡς ὑπομιμνήσκων μετὰ πάσης ταπεινοφροσύνης.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ἂν σὲ στενοχωρήσῃ κάποιος δι' ὅ,τιδήποτε πρᾶγμα καὶ παραστῇ ἀνάγκη νὰ ἐλέγξῃς τὸν ἀδελφὸν καὶ βλέπῃς ὅτι εὑρίσκεσαι ὑπὸ

---

* Ὁ Ἐπίσκοπος δηλαδὴ γενόμενος παρὰ τὴν θέλησίν του, ἐνῷ ἐπροτίμα τὴν μοναχικὴν πολιτείαν, εἰς τὴν περίπτωσιν τοῦ οἰκονόμου ἠκολούθει περισσότερον τὴν πολιτείαν τῶν Μοναχῶν, τῶν ὁποίων ὁ κανὼν ἐπιβάλλει νὰ μὴ ὀργιζώμεθα κατά τινος ἢ νὰ μὴ ἐλέγχωμέν τινα. Οὕτω ὅμως δὲν ἐξετέλει τὰ καθήκοντα τοῦ Ἐπισκόπου, τὰ ὁποῖα ἐπέβαλλον νὰ ἐλέγξῃ καὶ νὰ τιμωρήσῃ τὸν κακὸν οἰκονόμον.

τὴν ἐπήρειαν ὀργῆς καὶ ψυχικὰ ἀναστατωμένος, μὴ τοῦ ὁμιλήσῃς καθόλου, διὰ νὰ μὴ ταραχθῇς περισσότερον· ὅταν θὰ διαπιστώσῃς ὅτι καὶ σὺ καὶ ἐκεῖνος ἔχετε ἠρεμήσει, τότε νὰ ὁμιλήσῃς, ὄχι ὡσὰν νὰ τὸν ἐλέγχῃς, ἀλλ' ὡσὰν νὰ τοῦ ὑπενθυμίζῃς τὸ σφάλμα του μὲ ὅλην τὴν ταπεινοφροσύνην.

Γ'. Τοῦ Ἀββᾶ Μάρκου

ΤΟ τοῦ θυμοῦ πάθος ἐξαιρέτως ὑπερηφανίᾳ στηρίζεται καὶ κραταιοῦται, καὶ ἀκατάλυτον γίνεται. Εἴ τις οὖν βούλεται τοῦτον τὸν τῆς ἀνομίας οἶκον ἐν ἑαυτῷ καταλυθῆναι καὶ κατασκαφῆναι, ὃν ὁ πονηρὸς οἰκοδομεῖ ἐν τῇ ψυχῇ ἑκάστοτε, ὡς λίθους προφάσεις διαφόρους εὐλόγους ἢ ἀλόγους συνάγων διὰ τῶν τῆς ὕλης πραγμάτων ἢ ρημάτων ἐν τοῖς λογισμοῖς, καὶ οἰκοδομὴν κακίας ἐν τῇ ψυχῇ κατασκευάζων, ἐχέτω τὴν ταπείνωσιν τοῦ Κυρίου ἀνεπίληστον ἐν τῇ καρδίᾳ αὐτοῦ, διαλογιζόμενος τίς ὤν, τί γέγονε δι' ἡμᾶς, καὶ ἐξ οἵου ὕψους φωτὸς θεότητος ἀποκεκαλυμμένης κατὰ δύναμιν τῶν ἄνω οὐσιῶν, καὶ ἐν οὐρανοῖς δοξαζομένης ὑπὸ πάσης νοερᾶς φύσεως, εἰς οἷον βάθος ταπεινώσεως ἀνθρώπων κατῆλθε δι' ἄφατον ἀγαθότητα. Καὶ οὐκ ἐπαισχύνθη ὁ Δεσπότης πάσης κτίσεως, ὁρατῆς τε καὶ ἀοράτου, ἀναλαβεῖν τὸν ὑπὸ τὰ πάθη τῆς ἀτιμίας καὶ δεσποτικῆς ἀποφάσεως καταδικασθέντα ἄνθρωπον, ἀλλὰ ταπεινώσας ἑαυτόν, γέγονε κατὰ πάντα ὅμοιος ἡμῖν, χωρὶς ἁμαρτίας, τουτέστι χωρὶς παθῶν ἀτιμίας· τὰ γὰρ διὰ τὴν ἁμαρτίαν τῆς παραβάσεως ὑπὸ τῆς δεσποτικῆς ἀποφάσεως ἐπενεχθέντα τῷ ἀνθρώπῳ θανάτου ἐπιτίμια, κόπου, πείνης, δίψης καὶ τῶν τοιούτων, πάντα ἀνέλαβε, γενόμενος ὅπερ ἐσμέν, ἵνα γενώμεθα ὅπερ ἐστίν. Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα ἡ σὰρξ γένηται λόγος, καὶ ὡμοιώθη κατὰ πάντα ἡμῖν, ἵνα ἡμεῖς διὰ πάσης ἀρετῆς ὁμοιωθῶμεν αὐτῷ, καὶ ἵνα τὰ πολλὰ παρήσω, δι' ἡμᾶς ἠτιμάσθη, ὑβρίσθη, ἐμαστιγώθη, ἐνεπτύσθη, κατεγελάσθη, ἐνεπαίχθη, τέλος ἐσταυρώθη, λόγχῃ τὴν πλευρὰν ἐνύγη, ἀπέθανεν, εἰς ᾅδην κατῆλθεν.

Ἵνα δὲ ἐν συντόμῳ καὶ τὰς τῶν παθῶν ἐπικαρπίας ἀπαριθμήσωμαι, τουτέστι τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν τοῦ ᾅδου καὶ θανάτου σκύλευσιν, τῶν συνελθουσῶν τῷ Κυρίῳ ψυχῶν, τὴν ἐν οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, τὴν ὑπὲρ ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ παντὸς ὀνόματος ὀνομαζομένου τιμὴν καὶ δόξαν, τὴν προσκύνησιν πάντων τῶν Ἀγγέλων εἰς τὸν πρωτότοκον τῶν νεκρῶν διὰ τὴν αἰτίαν τῶν παθημάτων κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν.

Ὁ οὖν ταύτας τὰς μνήμας ἐν πόθῳ καὶ διαθέσει ἀνεπιλήστῳ διασώζων ἐν τῇ καρδίᾳ αὐτοῦ οὐ κυριευθήσεται ὑπὸ τοῦ πάθους τῆς πικρίας καὶ τοῦ θυμοῦ. Διὰ γὰρ τῆς ταπεινώσεως τοῦ Χριστοῦ, ἧς ἀναλογίζεται, ἐπεξελθόντων τῶν θεμελίων τοῦ τῆς ὑπερηφανίας πάθους, ὅλον τὸ οἰκοδόμημα τῆς ἀνομίας τοῦ θυμοῦ εὐχερῶς καὶ αὐτομάτως καταλύεται. Ποία γὰρ σκληρὰ καὶ λιθίνη καρδία, ἐὰν ἐνθυμῆται διηνεκῶς τὴν τοσαύτην τῆς θεότητος τοῦ μονογενοῦς δι' ἡμᾶς ταπείνωσιν, καὶ τὴν ἀπαριθμηθεῖσαν τῶν τοσούτων παθημάτων ὑπομονήν, οὐ συντρίβεται, καὶ ταπεινοῦται, καὶ κατανύσσεται, καὶ γῆ καὶ σποδὸς καὶ καταπάτημα παντὸς ἀνθρώπου γίνεται; Τῆς δὲ οὕτω συντριβομένης ψυχῆς, ποῖος θυμὸς ἢ πικρία καταχρατῆσαι δυνήσεται;

Οἶμαι οὖν, ὡς εἰ μὴ ἡ τῶν κακῶν μήτηρ λήθη ἀπὸ τῆς καρδίας συλήσει τοὺς

τοιούτους σωτηρίους καὶ ζωοποιοὺς λογισμούς, οὐδέποτε ὁ ἄνθρωπος ὑπὸ τοῦ θυμοῦ νικηθήσεται.

Ἑρμηνεία

ΤΟ ΠΑΘΟΣ τοῦ θυμοῦ στηρίζεται ἰδιαιτέρως εἰς τὴν ὑπερηφάνειαν καὶ ἰσχυροποιεῖται καὶ γίνεται ἀκατανίκητον. Ἐὰν λοιπὸν θέλη κανεὶς νὰ κρημνίση καὶ νὰ ξεθεμελιώση τὸν οἶκον αὐτὸν τῆς ἀνομίας, τὸν ὁποῖον οἰκοδομεῖ εἰς τὴν ψυχὴν κάθε φορὰν ὁ πονηρός, συναθροίζων καὶ χρησιμοποιῶν ὡς λίθους διαφόρους προφάσεις εἴτε λογικὰς εἴτε παραλόγους, ἀπὸ διάφορα περιστατικὰ ἢ λόγια ποὺ στριφογυρίζουν εἰς τὰς σκέψεις μας, διὰ νὰ κτίζη εἰς τὴν ψυχήν μας τὴν οἰκοδομὴν τῆς κακίας· αὐτὸς ἂς διατηρῇ εἰς τὴν ψυχήν του, χωρὶς νὰ τὴν λησμονῇ οὔτε στιγμήν, τὴν ταπείνωσιν τοῦ Κυρίου. Ἂς ἀναλογίζεται ποῖος εἶναι ὁ Κύριος, καὶ τί ἔγινε δι' ἡμᾶς, ἀπὸ ποῖον ὕψος φωτὸς θεότητος, ἡ ὁποία ἀποκαλύπτεται κατὰ τὴν δύναμιν τῶν ἄνω οὐσιῶν, καὶ ἡ ὁποία δοξάζεται εἰς τοὺς οὐρανοὺς ἀπὸ πᾶσαν νοερὰν φύσιν, εἰς ποῖον βάθος ἀνθρωπίνης ταπεινώσεως κατῆλθε, κινούμενος ἀπὸ τὴν ἀπέραντον ἀγαθότητά Του.

Ἂς σκέπτεται ὅτι δὲν ἐντράπηκεν ὁ Δεσπότης ὅλου τοῦ ὁρατοῦ καὶ ἀοράτου κόσμου, νὰ λάβη τὴν ἀνθρωπίνην φύσιν, ἡ ὁποία κατεδικάσθη ἀπὸ τὴν Δεσποτικὴν ἀπόφασιν καὶ περιέπεσεν εἰς πάθη ἀτιμίας. Ἐταπείνωσε τὸν ἑαυτόν Του καὶ ἔγινεν εἰς ὅλα ὅμοιος μὲ ἡμᾶς, χωρὶς ὅμως ἁμαρτίαν, δηλαδὴ χωρὶς πάθος ἀτιμίας. Διότι ὅλα ὅσα ἐπεβλήθησαν εἰς τὸν ἄνθρωπον ἀπὸ τὴν Δεσποτικὴν ἀπόφασιν ὡς ποινή, λόγῳ τῆς παραβάσεως, δηλαδὴ ὁ θάνατος, ὁ κόπος, ἡ πεῖνα, ἡ δίψα, καὶ τὰ παρόμοια, ὅλα αὐτὰ τὰ ἐδέχθη διὰ τὸν ἑαυτόν Του καὶ ἔγινεν ἐκεῖνο ποὺ εἴμεθα, διὰ νὰ γίνωμεν ἡμεῖς ἐκεῖνο ποὺ εἶναι ὁ Κύριος.

Ὁ Λόγος ἔγινε σὰρξ (δηλ. ἄνθρωπος), διὰ νὰ γίνη καὶ ἡ σὰρξ Θεὸς κατὰ χάριν· καὶ ἔγινε καθ' ὅλα ὅμοιος μὲ ἡμᾶς, διὰ νὰ ὁμοιάσωμεν καὶ ἡμεῖς μὲ τὸν Λόγον εἰς ὅλας τὰς ἀρετάς. Καὶ διὰ νὰ ἀφήσω τὰ πολλά, ἐδέχθη πρὸς χάριν μας ἀτίμωσιν, ὑβρίσθη, ἐμαστιγώθη, τὸν ἔπτυσαν, τὸν κατεγέλασαν, τὸν ἐνέπαιξαν, τέλος τὸν ἐσταύρωσαν, ἐκέντησαν μὲ λόγχην τὴν πλευράν Του, ἀπέθανε καὶ ἐκατέβηκεν εἰς τὸν Ἅδην.

Ἂς ἀπαριθμήσω δὲ μὲ συντομίαν καὶ τὸ κέρδος ἀπὸ τὰ Ἅγια Πάθη Του· δηλαδὴ τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν κατανίκησιν τοῦ Ἅδου καὶ τοῦ θανάτου, τὰς ψυχὰς ποὺ ἀνεστήθησαν μαζί μὲ τὸν Κύριον, τὴν Ἀνάληψιν εἰς τοὺς Οὐρανούς, τὴν ἐνθρόνισιν εἰς τὰ δεξιὰ τοῦ Πατρός, τὴν ὑπεράνω κάθε ἀρχῆς καὶ ἐξουσίας καὶ κάθε γνωστοῦ ὀνόματος τιμὴν καὶ δόξαν, τὴν προσκύνησιν τοῦ Πρωτοτόκου τῶν νεκρῶν ἀπὸ ὅλους τοὺς Ἀγγέλους, ἐξ αἰτίας τῶν παθημάτων, σύμφωνα μὲ ὅσα λέγει ὁ Ἀπόστολος (Ἑβρ. β', 5—18).

Ἐκεῖνος λοιπὸν ποὺ διατηρεῖ, εἰς τὴν καρδίαν του, μὲ πόθον καὶ διάθεσιν νὰ μὴ τὰς λησμονήση αὐτὰς τὰς σκέψεις, δὲν θὰ κυριευθῇ ἀπὸ τὸ πάθος τῆς πικρίας καὶ τοῦ θυμοῦ. Διότι μὲ τὴν ταπείνωσιν τοῦ Χριστοῦ,

ποὺ διαρκῶς, θὰ σκέπτεται, θὰ διαβρωθοῦν σιγὰ-σιγὰ τὰ θεμέλια τοῦ πάθους τῆς ὑπερηφανείας καὶ ὁλόκληρον τὸ οἰκοδόμημα τῆς ἀνομίας τοῦ θυμοῦ εὔκολα ἀπὸ μόνον του θὰ κρημνισθῇ. Διότι ποία καρδία, ὅσον πέτρινη καὶ σκληρὴ ἂν εἶναι, ὅταν ἐνθυμῆται συνεχῶς τὴν τόσον μεγάλην ταπείνωσιν τῆς Θεότητος τοῦ Μονογενοῦς, ἡ ὁποία ἔγινε δι' ἡμᾶς, καὶ τὴν ὑπομονὴν ποὺ ἔδειξεν εἰς τὰ τόσα παθήματα, δὲν θὰ συντριβῇ, δὲν θὰ ταπεινωθῇ, δὲν θὰ δοκιμάσῃ κατάνυξιν καὶ δὲν θὰ γίνῃ χῶμα καὶ στάκτη καὶ καταπάτημα ἀπὸ κάθε ἄνθρωπον; Μίαν τοιαύτην συντετριμμένην ψυχὴν ποῖος θυμὸς ἢ πικρία θὰ ἠμπορέσῃ νὰ κατανικήσῃ;

Νομίζω λοιπὸν ὅτι ἂν ἡ μητέρα τῶν κακῶν, ἡ λησμοσύνη, δὲν ἐκδιώξῃ ἀπὸ τὴν καρδίαν αὐτοὺς τοὺς σωτηρίους καὶ ζωοποιοὺς λογισμούς, οὐδέποτε ὁ ἄνθρωπος θὰ νικηθῇ ἀπὸ τὸν θυμόν.

Δ'. Τοῦ Ἁγίου Διαδόχου

ΑΚΥΜΑΝΤΟΝ ἀεὶ φυλάττειν δεῖ τοὺς ἀγωνιζομένους τὴν διάνοιαν, ἵνα τοὺς εἰς αὐτὴν διαθέοντας λογισμοὺς ὁ νοῦς διακρίνων, τοὺς μὲν καλοὺς καὶ θεοπέμπτους ἐν τοῖς ταμείοις τῆς μνήμης ἐναποτίθηται, τοὺς δὲ σκαιοὺς καὶ δαιμονιώδεις ἔξω που τῶν ἀποθηκῶν ἀπορρίπτῃ τῆς φύσεως. Καὶ γὰρ ἡ θάλασσα γαληνιῶσα μὲν ἄχρις αὐτοῦ τοῦ βυθίου κινήματος ὑπὸ τῶν ἁλιέων καθορᾶται, ὡς μηδὲν αὐτοὺς σχεδὸν τότε λανθάνειν τῶν ἐκεῖσε διαπορευομένων ἰχθύων. Ὅτε δὲ ὑπὸ τῶν πνευμάτων ταράττεται, τῇ στυγνότητι τῆς ταραχῆς κρύπτει ἅπερ ἐν τῷ γέλωτι τῆς γαλήνης ὁρᾶσθαι φιλοτιμεῖται.

Ὅθεν ἀργὴν οὖσαν τὴν τέχνην τῶν ἀγρευτῶν, τότε βλέπομεν· ὅπερ καὶ τὸν νοῦν τὸν θεωρητικὸν πάσχειν πάντως συμβαίνει, ὅταν μάλιστα ἐξ ὀργῆς ἀδίκου ὁ βυθὸς τῆς ψυχῆς ταράττηται.

Ἑρμηνεία

ΕΚΕΙΝΟΙ ποὺ ἀγωνίζονται πρέπει πάντοτε νὰ φυλάγουν ἀδιατάρακτον τὸν νοῦν των, διὰ νὰ διακρίνῃ τοὺς λογισμοὺς ποὺ εἰσέρχονται εἰς αὐτόν· καὶ τοὺς καλοὺς ποὺ στέλλει ὁ Θεὸς νὰ ἀποταμιεύῃ εἰς τὰ θησαυροφυλάκια τῆς μνήμης, τοὺς δὲ κακούς, τοὺς ὁποίους ἐμπνέουν οἱ δαίμονες, νὰ τοὺς πετᾷ ἔξω ἀπὸ τὰς φυσικὰς ἀποθήκας τῆς σκέψεως. Διότι καὶ εἰς τὴν θάλασσαν, ὅταν εἶναι ἤρεμος, οἱ ἁλιεῖς βλέπουν εἰς αὐτὴν κάθε κίνησιν μέχρι τοῦ βυθοῦ, ὥστε τίποτε νὰ μὴ τοὺς ξεφεύγῃ ἀπὸ τὰ ψάρια ποὺ πηγαινοέρχονται μέσα εἰς αὐτήν. Ὅταν ὅμως ταράσσεται ἀπὸ τοὺς ἀνέμους, κρύβει μὲ τὴν θόλωσιν τῆς τρικυμίας ἐκεῖνα ποὺ ἀφήνει νὰ διακρίνωνται μὲ τὴν χαροποιὸν γαλήνην.

Δι' αὐτό, ὅταν εἶναι τρικυμία, καὶ οἱ ψαράδες δὲν ἐργάζονται· τὸ ἴδιον πάσχει καὶ ὁ θεωρητικὸς νοῦς, ὅταν ταράσσεται ὁ βυθὸς τῆς ψυχῆς πρὸ παντὸς ἀπὸ ἄδικον ὀργήν.

Ε'. Τοῦ Ὁσίου Κασσιανοῦ

Ο ΕΠΙΘΥΜΩΝ τὸν πνευματικὸν ἀγῶνα νομίμως ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος, ὀργῆς τε καὶ θυμοῦ ἀλλότριος ἔστω, καὶ ἀκουέτω τί αὐτῷ τὸ σκεῦος

τῆς ἐκλογῆς παραγγέλλει· «Πᾶσα, φησί, πικρία, καὶ ὀργή, καὶ θυμὸς καὶ κραυγή, καὶ βλασφημία, ἀρθήτω ἀφ' ἡμῶν, σὺν πάσῃ κακίᾳ». Ὅταν δὲ εἴπῃ πᾶσαν, οὐδεμίαν πρόφασιν θυμοῦ ἢ ὡς ἀναγκαίαν ἢ ὡς εὔλογον ἡμῖν καταλέλοιπεν.

Ὁ τοίνυν πλημμελοῦντα τὸν ἀδελφὸν διορθοῦσθαι βουλόμενος ἢ ἐπιτιμίαν τούτῳ παρέχειν, σπουδαζέτω ἑαυτὸν ἀτάραχον φυλάττειν, μήποτε ἄλλον θεραπεῦσαι βουλόμενος ἑαυτῷ τὴν νόσον ἐπισπάσηται καὶ ῥηθήσεται αὐτῷ τὸ Εὐαγγελικὸν ἐκεῖνο· «ἰατρὲ θεράπευσον σεαυτόν»· καὶ πάλιν· «τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς»; ἢ ποίῳ τρόπῳ θεάσῃ τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου ἐκβαλεῖν, ὅς τις τὴν δοκὸν τοῦ θυμοῦ ἐν τῷ ἰδίῳ ὀφθαλμῷ ἔχεις ἐπικαλύπτουσάν σε; Ἐξ οἵας δήποτε γὰρ αἰτίας ἡ τῆς ὀργῆς κίνησις, εἰ ὑπερζέσει, τυφλοῖ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς καὶ οὐκ ἐᾷ αὐτὴν θεάσασθαι τὸν ἥλιον τῆς δικαιοσύνης.

Ὥς περ γὰρ ὁ ἐπιθεὶς τοῖς ὀφθαλμοῖς χρυσᾶ πέταλα ἢ μολύβδινα, ἐπίσης ἐκώλυσε τὴν ὁρατικὴν δύναμιν καὶ οὐδαμῶς διαφορὰν τυφλότητος ἡ τοῦ χρυσοῦ πετάλου τιμιότης ἐποίησεν, οὕτως ἐξ οἵας δήποτε αἰτίας εὐλόγου ἢ ἀλόγου ὀργῆς ἀναφθείσης, ἡ ὁρατικὴ δύναμις τῆς ψυχῆς σκοτίζεται. Τότε φυσικῶς μόνον κεχρήμεθα τῷ θυμῷ, ὅταν πρὸς τοὺς φιληδόνους καὶ ἐμπαθεῖς λογισμοὺς τοῦτον κινῶμεν.

Οὕτως ἡμᾶς καὶ ὁ προφήτης Δαβὶδ διδάσκει φάσκων· «ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε», τουτέστι κατὰ τῶν ἰδίων παθῶν τὴν ὀργὴν κινεῖτε καὶ κατὰ τῶν πονηρῶν λογισμῶν, καὶ μὴ διὰ τοῦ ἀποτελεῖν τὰ ὑποβαλλόμενα ὑπ' αὐτῶν ἁμαρτάνετε, καὶ ταύτην τὴν ἔννοιαν δηλοῖ σαφῶς τὰ ἐπαγόμενα· «ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, φησίν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε»· ἤγουν ὅταν ἔλθωσιν ἐπὶ τὴν καρδίαν ὑμῶν οἱ πονηροὶ λογισμοί, ἐκβαλόντες τούτους διὰ τῆς πρὸς αὐτοὺς ὀργῆς, μετὰ τὴν αὐτῶν ἐκβολὴν ὡσανεὶ ἐν κοίτῃ τῇ ἡσυχίᾳ εὑρισκόμενοι, τὸ τηνικαῦτα κατανύσσεσθε πρὸς μετάνοιαν.

Συμφωνεῖ δὲ τούτῳ καὶ ὁ μακάριος Παῦλος, χρησάμενος τῇ μαρτυρίᾳ τοῦ ῥητοῦ τούτου καὶ προσθείς, φησίν· «ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δότε τόπον τῷ διαβόλῳ», ἤτοι μὴ παρασκευάσητε τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν τὸν Θεὸν διὰ τοῦ παροργισμοῦ ὑμῶν, ὃν αὐτοὶ παροργίζετε, συγκατατιθέμενοι τοῖς φαύλοις λογισμοῖς ἐπιδῦναι, ὡς εἴρηται, ταῖς καρδίαις ὑμῶν, ἵνα μὴ τῇ ἀναχωρήσει αὐτοῦ τόπον εὕρῃ ἐν ὑμῖν ὁ διάβολος.

Διὸ προσήκει τοῖς θείοις νόμοις ἀκολουθοῦντας πάσῃ δυνάμει ἀγωνίζεσθαι κατὰ τοῦ πνεύματος τῆς ὀργῆς καὶ κατὰ τῆς ἔνδον ἐν ἡμῖν ἀποκειμένης νόσου, καὶ μὴ κατὰ τῶν ἀνθρώπων τὸν θυμὸν κινοῦντας, ἐρημίαν καὶ μόνωσιν μεταδιώκειν, ὡς ἐκεῖ δῆθεν μηδενὸς ὄντος τοῦ κινοῦντος ἡμᾶς πρὸς ὀργήν, καὶ ὡς εὐκόλως ἐν τῇ μονώσει ἡ ἀρετὴ τῆς μακροθυμίας κατορθωθήσεται.

Ἀπὸ γὰρ ὑπερηφανίας καὶ τοῦ μὴ θέλειν ἑαυτοὺς μέμφεσθαι καὶ ἐπιγράφειν τῇ ἰδίᾳ ῥαθυμίᾳ τὰς αἰτίας τῆς ταραχῆς, τὴν ἀπὸ τῶν ἀδελφῶν ἀναχώρησιν ἐπιθυμοῦμεν. Ἕως δὲ οὕτω διακείμεθα καὶ φρονοῦμεν, καὶ τῆς ἡμετέρας ῥαθυμίας τὰς ἀσθενείας καὶ τὰς αἰτίας ἄλλοις ἐπιγράφομεν, οὐ δυνησόμεθα πρὸς τὴν τελειότητα τῆς μακροθυμίας φθάσαι. Τὸ γὰρ κεφάλαιον τῆς ἡμετέρας διορθώσεως οὐκ ἐκ τῆς τοῦ πλησίον μακροθυμίας τῆς πρὸς ἡμᾶς γινομένης κατορθοῦται, ἀλλ' ἐκ τῆς ἡμετέρας ἀνεξικακίας.

Εἰ δὲ καὶ τὴν ἐρημίαν καὶ μόνωσιν μεταδιώκομεν τὸν τῆς μακροθυμίας ἀγῶνα φεύγοντες, γνωστὸν ἡμῖν ἔστω, ὡς διὰ τῆς ἐρημίας πλέον ἀγριοῦνται τὰ ἐν ἡμῖν πάθη, καὶ μάλιστα τὸ τοῦ θυμοῦ, ἀργοῦντα τῆς ἐκ τῶν ἀνθρώπων γυμνασίας, καὶ αὐτὴν τὴν σκιὰν τῆς ὑπομονῆς τε καὶ τῆς μακροθυμίας, ἣν εἰκονικῶς ἔχειν ἐδοκοῦμεν ἀναμεμιγμένοι τοῖς ἀδελφοῖς, ἀπολλύομεν τῇ στερήσει τῆς γυμνασίας καὶ διορθώσεως.

Διὸ χρὴ τοῖς ἐφιεμένοις πρᾳότητα κτήσασθαι, σπουδάζειν οὐ μόνον πρὸς ἀνθρώπους μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ πρὸς τὰ ἄλογα ζῷα, ἢ πρὸς τὰ ἄψυχα πράγματα. Μέμνημαι γὰρ ἐγώ, ἡνίκα ἐν τῇ ἐρήμῳ διέτριβον, κατὰ καλάμου τὸν θυμὸν κινήσας, τῆς παχύτητος τούτου ἢ τῆς λεπτότητος ἀπαρεσάσης μοι. Καὶ κατὰ ξύλου πάλιν, ὅταν κόψαι τοῦτο θελήσας, μὴ ταχέως ἠδυνήθην, καὶ κατὰ λίθου δὲ πυροβόλου ὠργίσθην, διότι σπουδάζοντός μου ἐκβαλεῖν τὸ πῦρ, οὐ ταχέως ὁ σπινθὴρ ἐξεπήδησεν. Οὕτως ἡ ὀργὴ ἐπετάθη μοι, ὡς καὶ κατὰ τῶν ἀναισθήτων πραγμάτων ταύτην ἐκφέρειν με.

Πᾶσαν οὖν ὀργὴν ἀφ' ἡμῶν ἀπορρίψωμεν, φοβηθέντες τὴν τοῦ Κυρίου ἀπόφασιν, ἣν ἐν τοῖς Εὐαγγελίοις ἀπεφήνατο λέγων· «ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει»· οὕτω γὰρ τὰ ἀκριβῆ τῶν ἀντιγράφων περιέχει· τὸ γὰρ εἰκῆ, ἐκ προσθήκης ἐτέθη, παρὰ τῶν μὴ βουλομένων τελείως ἐκκόπτειν τὸ πάθος τῆς ὀργῆς. Ὁ γὰρ σκοπὸς τοῦ Κυρίου, ὡς ἐπὶ τῶν ἄλλων παθῶν, τὴν ῥίζαν αὐτὴν καὶ αἰτίαν καὶ τούτου τοῦ πάθους ἀποτέμνειν καὶ ἀνασπᾶν πᾶσι τρόποις ἡμᾶς βούλεται καὶ μηδεμίαν πρόφασιν ὀργῆς ἐν ἑαυτοῖς διαφυλάττειν, ἵνα μὴ τὴν ἀρχὴν εὐλόγως δῆθεν κινούμενοι, ὕστερον τῇ μανίᾳ τοῦ ἀλόγου θυμοῦ περιπέσωμεν.

Αὕτη οὖν ἡ παντελὴς ἴασις ταύτης τῆς νόσου, ἵνα σπουδάσωμεν μήτε ἐπὶ δικαίοις μήτε ἐπὶ ἀδίκοις τὸν θυμὸν κινεῖν, τοῦ σκοτεινοῦ τούτου πάθους τὴν διάνοιαν ἡμῶν ζοφώσαντος, οὔτε διακρίσεως φῶς, οὔτε ὀρθοῦ βουλεύματος βεβαίωσις, οὔτε δικαιοσύνης κυβέρνησις ἐν ἡμῖν εὑρεθήσεται. Καὶ τὸ Ἅγιον δὲ Πνεῦμα φεύξεται ἀφ' ἡμῶν, ὑπὸ τῆς ἔνδον ταραχῆς ἐλαυνόμενον.

Ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις δεῖ ἡμᾶς διηνεκῶς τὸ ἄδηλον τοῦ θανάτου πρὸ ὀφθαλμῶν ἔχοντας, φυλάττειν ἑαυτοὺς ἀπὸ ὀργῆς, καὶ τὸν θυμὸν εἰς τέλος ἐγκαταλιπεῖν, κατὰ τὴν τοῦ Προφήτου παραίνεσιν, εἰδότας ὅτι οὔτε σωφροσύνης, οὔτε ἀποταγῆς πάσης τῆς ὕλης, οὔτε τῶν νηστειῶν καὶ ἀγρυπνιῶν καὶ λοιπῶν κακουχιῶν ὄφελος οὐδὲ τυχόν, εἰ ὑπὸ ὀργῆς καὶ μίσους κατεχόμενοι τῇ φοβερᾷ κρίσει ἔνοχοι εὑρεθῶμεν.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ ἐπιθυμεῖ νὰ διεξαγάγῃ νόμιμα τὸν πνευματικὸν ἀγῶνα, ἂς ἀποξενωθῇ ἀπὸ κάθε ἐλάττωμα, καὶ ἀπὸ ὀργὴν καὶ θυμόν, καὶ ἂς προσέχῃ τί τοῦ παραγγέλλει τὸ σκεῦος τῆς ἐκλογῆς*. «Πᾶσα πικρία — λέγει — καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ καὶ βλασφημία, ἂς ἀπομα-

---

* Σκεῦος ἐκλογῆς καλεῖται ὁ Παῦλος, ἐπειδὴ ἠκολούθησε τὸν Χριστὸν οὐχὶ διδαχθεὶς ἀπὸ ἄνθρωπον, ἀλλ' ἀπὸ κλῆσιν αὐτοῦ τοῦ Κυρίου, ὅστις ἐφανερώθη ἐν ὁράματι εἰς αὐτὸν εἰς τὸν δρόμον τῆς Δαμασκοῦ.

κρυνθῇ ἀπὸ ἡμᾶς μαζί μὲ κάθε ἄλλην κακίαν» ('Εφεσ. δ', 31). Ὅταν δὲ λέγῃ «πᾶσαν», οὐδεμίαν ἀφορμὴν θυμοῦ μᾶς ἐπέτρεψεν ἢ ὡς ἀναγκαίαν, ἢ ὡς δικαιολογημένην.

Ἐκεῖνος λοιπὸν ποὺ θέλει νὰ διορθώσῃ τὸν ἀδελφόν, ὁ ὁποῖος σφάλλει ἢ νὰ τοῦ ἐπιβάλῃ μίαν ποινήν, ἂς φροντίζῃ νὰ παραμείνῃ ἀτάραχος, μὴ τυχόν, ἐνῷ θέλει νὰ θεραπεύσῃ ἄλλον, δεχθῇ ὁ ἴδιος τὴν νόσον· καὶ τότε θὰ λεχθῇ δι' αὐτὸν τὸ Εὐαγγελικὸν ρητὸν «ἰατρέ, θεράπευσε πρῶτα τὸν ἑαυτόν σου» (Λουκ. δ', 23), ἢ τὸ «διατί βλέπεις τὸ ξυλαράκι εἰς τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ σου καὶ δὲν ἀντιλαμβάνεσαι τὴν δοκόν, ποὺ ἔχει καρφωθῇ εἰς τὸν ἰδικόν σου ὀφθαλμόν;» (Ματθ. ζ', 3—5 καὶ Λουκ. στ'. 42). Ἢ μὲ ποῖον τρόπον θὰ ἴδῃς τὸ ξυλαράκι, διὰ νὰ τὸ βγάλῃς ἀπὸ τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ σου, σὺ ποὺ ἔχεις εἰς τὸν ἰδικόν σου ὀφθαλμὸν τὸ δοκάρι τοῦ θυμοῦ καὶ σὲ σκεπάζει ὁλόκληρον; Διότι ἀπὸ ὁποιανδήποτε αἰτίαν καὶ ἂν προέρχεται ἡ ὀργή, ἂν δυναμώσῃ, τυφλώνει τὰ μάτια τῆς ψυχῆς καὶ δὲν τὴν ἀφήνει νὰ ἴδῃ τὸν ἥλιον τῆς δικαιοσύνης.

Ὅπως δηλαδὴ ἐκεῖνος ποὺ θὰ βάλῃ ἐπάνω εἰς τὰ μάτια του καλύμματα χρυσᾶ ἢ μολυβένια, ἐμποδίζει ἐξ ἴσου τὴν ὅρασιν καὶ δὲν ἔχει καμμίαν διαφορὰν τυφλότητος ἡ ἀξία τοῦ χρυσοῦ καλύμματος, μὲ τὸν ἴδιον τρόπον σκοτίζεται καὶ ἡ δύναμις τῆς ψυχικῆς ὁράσεως, ὅταν ἀνάψῃ μέσα μας ἡ ὀργὴ ἀπὸ ὁποιανδήποτε αἰτίαν, εἴτε εὔλογον εἴτε παράλογον. Τότε μόνον δικαιολογημένα χρησιμοποιοῦμεν τὸν θυμόν, ὅταν τὸν κινοῦμεν ἐναντίον τῶν ἐμπαθῶν καὶ φιληδόνων λογισμῶν.

Αὐτὰ μᾶς διδάσκει καὶ ὁ Προφήτης Δαβίδ, ὅταν λέγῃ: «νὰ ὀργίζεσθε, ἀλλὰ νὰ μὴ ἁμαρτάνετε» (Ψαλμ. δ', 5)· δηλαδὴ νὰ στρέφετε τὴν ὀργὴν ἐναντίον τῶν παθῶν σας καὶ τῶν πονηρῶν λογισμῶν καὶ ὄχι μὲ τὸ νὰ ἐκτελῆτε αὐτὰ ποὺ σᾶς ἐμπνέουν οἱ λογισμοὶ νὰ ἁμαρτάνετε· αὐτὸ τὸ νόημα φανερώνουν ὁλοκάθαρα τὰ ὅσα λέγει ὁ Δαβὶδ πάρα κάτω· «δι' αὐτὰ ποὺ λέγετε εἰς τὰς καρδίας σας, εἰς τὸ κρεββάτι σας νὰ μετανοῆτε» (Αὐτόθι). Ὅταν δηλαδὴ ἔλθουν εἰς τὴν καρδίαν σας οἱ πονηροὶ λογισμοί, ἐκδιώξατέ τους μὲ τὴν ἐναντίον των ὀργήν σας· μετὰ δὲ τὴν ἐκδίωξίν των, ἡσυχάσατε ὡσὰν νὰ εὑρίσκεσθε εἰς κρεββάτι καὶ προσπαθήσατε νὰ δοκιμάσετε κατάνυξιν μετανοίας.

Μὲ τὸν Δαβὶδ συμφωνεῖ καὶ ὁ μακάριος Παῦλος, ὁ ὁποῖος ἐπικαλεῖται τὴν μαρτυρίαν τοῦ ρητοῦ τούτου καὶ προσθέτει· «νὰ μὴ δύῃ ὁ ἥλιος καὶ νὰ εἶσθε ὠργισμένοι οὔτε νὰ δίδετε τόπον εἰς τὸν διάβολον» ('Εφεσ. δ', 26)· δηλαδὴ νὰ μὴ γίνετε αἰτία σεῖς οἱ ἴδιοι νὰ δύσῃ εἰς τὰς καρδίας σας ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ Χριστός, μὲ τὸν παροργισμόν σας, ποὺ γεννᾶται ἀπὸ τὴν συγκατάθεσίν σας εἰς τοὺς αἰσχροὺς λογισμούς, διὰ νὰ μὴ εὕρῃ, μὲ τὴν ἀναχώρησιν τοῦ νοητοῦ ἡλίου, ὁ διάβολος τόπον εἰς τὰς ψυχάς σας.

Δι' αὐτὸ πρέπει νὰ συμμορφωνώμεθα μὲ τοὺς θείους νόμους καὶ νὰ ἀγωνιζώμεθα μὲ ὅλας μας τὰς δυνάμεις ἐναντίον τοῦ πνεύματος τῆς


ὀργῆς καὶ ἐναντίον τῆς νόσου ποὺ εὑρίσκεται μέσα μας. Νὰ μὴ θυμώνωμεν ἐναντίον τῶν ἀνθρώπων καὶ μετὰ νὰ ἐπιδιώκωμεν τὴν ἐρημίαν καὶ τὴν μοναξιάν, ἐπειδή, δῆθεν, δὲν ὑπάρχει τίποτε ἐκεῖ, ποὺ νὰ μᾶς ἐξωθῇ εἰς ὀργὴν καὶ ἐπειδή, τάχα, ἡ ἀρετὴ τῆς μακροθυμίας ἔτσι θὰ κατορθωθῇ εὔκολα.

Διότι ἀπὸ ὑπερηφάνειαν καὶ ἀπὸ τὸ νὰ μὴ θέλωμεν νὰ κατηγοροῦμεν τοὺς ἑαυτούς μας καὶ ἀπὸ τὸ νὰ μὴ ἀποδίδωμεν εἰς τὴν ἰδικήν μας ῥαθυμίαν τὰς αἰτίας τῆς ἐσωτερικῆς ταραχῆς μας, ἐπιθυμοῦμεν νὰ φεύγωμεν ἀπὸ τοὺς ἀδελφούς· ἕως ὅτου ἔχομεν αὐτὴν τὴν διάθεσιν καὶ αὐτὸ τὸ φρόνημα καὶ ἀποδίδομεν εἰς τοὺς ἄλλους τὰς αἰτίας τῆς ῥαθυμίας μας καὶ τῆς ψυχικῆς μας ἀδυναμίας, δὲν θὰ ἠμπορέσωμεν νὰ φθάσωμεν πρὸς τὴν τελειότητα τῆς μακροθυμίας. Διότι ἡ διόρθωσίς μας δὲν κατορθώνεται ἀπὸ τὴν μακροθυμίαν τοῦ πλησίον πρὸς ἡμᾶς, ἀλλὰ ἀπὸ τὴν ἰδικήν μας ἀνεξικακίαν.

Ἂν δὲ ἐπιδιώκωμεν τὴν ἐρημίαν καὶ τὴν μοναξιάν, ἀποφεύγοντες ἔτσι τὸν ἀγῶνα τῆς μακροθυμίας, ἂς μάθωμεν καλά, ὅτι μὲ τὴν ἐρημίαν ἐξαγριώνονται περισσότερον τὰ πάθη μέσα μας καὶ πρὸ παντὸς τὸ πάθος τοῦ θυμοῦ· διότι ἀγριεύουν, ἐπειδὴ δὲν ἐξασκούμεθα ἀπὸ τὴν συναναστροφὴν μὲ τοὺς ἄλλους ἀνθρώπους. Καὶ αὐτὴ ἀκόμη ἡ σκιὰ τῆς ὑπομονῆς καὶ τῆς μακροθυμίας, τὴν ὁποίαν ἐνομίζαμεν ὅτι ἔχομεν, ἔστω καὶ φαινομενικά, ὅταν εἴμεθα μαζὶ μὲ τοὺς ἀδελφούς, τὴν χάνομεν μὲ τὴν στέρησιν τῆς ἀσκήσεως καὶ τῆς διορθώσεως.

Δι' αὐτὸ πρέπει ἐκεῖνοι ποὺ ἐπιθυμοῦν νὰ ἀποκτήσουν πραότητα, νὰ φροντίζουν νὰ μὴ ὀργίζωνται ὄχι μονάχα ἐναντίον ἀνθρώπων, ἀλλ' οὔτε ἐναντίον τῶν ζώων ἢ καὶ τῶν ἀψύχων ἀκόμη πραγμάτων. Ἐνθυμοῦμαι, ὅταν ἔμενα εἰς τὴν ἔρημον, ὅτι κάποτε ἐθύμωσα μὲ ἕνα καλάμι, διότι δὲν μοῦ ἤρεσε τὸ πάχος ἢ ἡ λεπτότης του· καὶ μὲ ἕνα ξύλον ἐθύμωσα, ὅταν ἠθέλησα νὰ τὸ κόψω, ἐπειδὴ δὲν ἠμπόρεσα νὰ τὸ κόψω γρήγορα· καὶ μὲ μίαν τσακμακόπετραν ὠργίσθην, διότι ἐβιαζόμουν νὰ ἀνάψω φωτιὰν καὶ δὲν ἔβγαινε γρήγορα ἡ σπίθα. Τόσον ἐμεγάλωσεν ὁ θυμός μου, ὥστε νὰ τὸν ἐκδηλώνω καὶ ἐναντίον ἀψύχων πραγμάτων ἀκόμη.

Ἂς πετάξωμεν λοιπὸν ἀπὸ ἐπάνω μας ὅλην τὴν ὀργὴν καὶ ἂς φοβηθῶμεν τὴν ἀπόφασιν τοῦ Κυρίου, ὁ ὁποῖος διεκήρυξεν εἰς τὸ Εὐαγγέλιον· «αὐτὸς ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του — εἶπε — θὰ εἶναι ἔνοχος εἰς τὴν κρίσιν» (Ματθ. ε΄, 22). Διότι αὐτὸ μονάχα ἀναφέρεται εἰς τὰ ἀντίγραφα, τὰ ὁποῖα θεωροῦνται περισσότερον ἀκριβῆ, δηλαδὴ ἡ λέξις «εἰκῇ» (ἀκαίρως — ματαίως — ἀσκόπως) προσετέθη ἀπὸ ἐκείνους πού δὲν ἤθελαν νὰ κόψουν τελείως τὸ πάθος τῆς ὀργῆς. Σκοπὸς τοῦ Κυρίου βεβαίως εἶναι νὰ ξερριζώσωμεν καὶ νὰ κόψωμεν μὲ κάθε τρόπον τὴν αἰτίαν αὐτοῦ τοῦ πάθους, ὅπως καὶ τῶν ἄλλων παθῶν, καὶ νὰ μὴ διατηρήσωμεν μέσα μας καμμίαν πρόφασιν ὀργῆς, μὴ τυχὸν ἐνῷ κατ' ἀρχὰς κινούμεθα εὔλογα δῆθεν πρὸς τὸν θυμὸν κατόπιν περιπέσωμεν εἰς τὴν μανίαν τοῦ παραλόγου θυμοῦ.



Ο ΑΓΙΟΣ ΜΑΞΙΜΟΣ Ο ΟΜΟΛΟΓΗΤΗΣ
Ἄρχων ἐστὶν ἐκεῖνος ὁ ἑαυτοῦ ἄρξας καὶ ψυχὴν καὶ σῶμα τῷ λόγῳ ὑποτάξας
Ράλλης Κοψίδης

Αὐτὴ λοιπὸν εἶναι ἡ τελεία θεραπεία τῆς νόσου, τὰ φροντίσωμεν νὰ μὴ θυμώνωμεν, οὔτε διὰ δίκαια, οὔτε διὰ ἄδικα ζητήματα. Διότι ὅταν θολώσῃ τὴν σκέψιν μας τὸ σκοτεινὸν αὐτὸ πάθος, δὲν θὰ εὑρεθῇ μέσα μας οὔτε φῶς νὰ διακρίνωμεν τὸ ὀρθόν, οὔτε βεβαιότης ὀρθῆς σκέψεως, οὔτε κυβέρνησις δικαιοσύνης. Καὶ τὸ Ἅγιον Πνεῦμα θὰ φύγῃ ἀπὸ ἡμᾶς ἐκδιωκόμενον ἀπὸ τὴν ἐσωτερικὴν ταραχήν.

Πέραν δὲ ἀπὸ ὅλα ὅσα εἴπομεν, ἡμεῖς πρέπει νὰ ἔχωμεν συνεχῶς ἐμπρὸς εἰς τὰ μάτια μας τὴν ἄγνωστον ὥραν τοῦ θανάτου, νὰ φυλασσώμεθα ἀπὸ τὴν ὀργὴν καὶ νὰ ἐγκαταλείπωμεν τελείως τὸν θυμόν, σύμφωνα μὲ τὴν συμβουλὴν τοῦ Προφήτου (Ψαλμ. λστ', 8). Ἂς μὴ διαφεύγῃ ἀπὸ τὸν νοῦν μας, ὅτι οὔτε σωφροσύνη οὔτε ἐγκατάλειψις ὅλων τῶν ὑλικῶν πραγμάτων, οὔτε νηστεῖαι καὶ ἀγρυπνίαι καὶ λοιπαὶ κακουχίαι θὰ μᾶς ὠφελήσουν εἰς τίποτε, ἄν, κατὰ τὴν φοβερὰν κρίσιν, παρουσιασθῶμεν νικημένοι ἀπὸ τὴν ὀργὴν καὶ τὸ μῖσος καὶ ἑπομένως εὑρεθῶμεν ἔνοχοι.

ΣΤ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΟ ΜΕΝ ἐπιθυμητικὸν τῆς ψυχῆς, πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσνίκητον τῇ ψυχῇ ἐντίθησιν, ὁ δὲ θυμὸς ταρασσόμενος συνεχῶς δειλὸν καὶ ἄνανδρον αὐτὴν κατεργάζεται· ἰῶνται δὲ τὸ μὲν ἄσκησις ἐπιτεταμένη νηστείας καὶ ἀγρυπνίας καὶ προσευχῆς, τὸ δὲ χρηστότης καὶ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος.

Ἑρμηνεία

ΤΟ ἐνθυμητικὸν τῆς ψυχῆς, ὅταν ἐρεθίζεται συχνότερα, γεννᾷ μέσα εἰς αὐτὴν συνήθειαν φιληδονίας, δυσκολονίκητον· ὁ θυμός, πάλιν, μὲ τὸ νὰ ταράσσεται συνεχῶς, κάνει τὴν ψυχὴν δειλὴν καὶ ἄνανδρον. Θεραπεύονται δὲ ἡ μὲν συνήθεια τῆς φιληδονίας μὲ ἐντατικὴν ἄσκησιν, νηστείαν, ἀγρυπίαν καὶ προσευχήν, ὁ δὲ θυμὸς μὲ καλωσύνην, φιλανθρωπίαν, ἀγάπην καὶ εὐσπλαγχνίαν.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων, ὅτι τὰ πάθη, ἃ περικείμεθα οἱ ἄνθρωποι παρὰ φύσιν, οἱ Ἕλληνες ἐθεοποίησαν καὶ προσεκύνουν αὐτοῖς, τοὺς δὲ μὴ προσκυνεῖν θέλοντας ἐβασάνιζον καὶ ἐφόνευον, καὶ μάρτυρας, ὡς οὐκ ἤθελον, ἀπετέλουν. Καὶ ἡμεῖς οὖν εἰ τοῖς πάθεσιν ὑποκύπτομεν, εἰδωλολατρῶν οὐδὲν διαφέρομεν· ὁ γὰρ ὀργῇ καὶ θυμῷ ἡττώμενος καὶ δουλεύων καὶ μὴ ἐκκόπτων ἀφ' ἑαυτοῦ τὴν τοῦ πάθους τούτου μανίαν, ἀρνεῖται τὸν Ἰησοῦν, καὶ τὸν Ἄρεα θεὸν ἐν ἑαυτῷ ἔχει καὶ προσκυνεῖ τῷ τῆς μανίας εἰδώλῳ ὁμοίως τοῖς Ἕλλησιν.

Καὶ ὁ φιλάργυρος δὲ ὁ κλείων τὰ σπλάγχνα αὐτοῦ ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ μὴ ἐλεῶν τὸν πλησίον αὐτοῦ, εἰδωλολάτρης ὁμοίως ἐστί, τὸ τοῦ Ἑρμοῦ τιμῶν εἴδωλον καὶ λατρεύων τῇ κτίσει παρὰ τὸν κτίσαντα. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ἄλλων παθῶν, ᾧ ἕκαστος ἥττηται, τούτῳ καὶ δεδούλωται, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, ὃς δευτέραν εἰδωλολατρείαν τὴν φιλαργυρίαν ἐκάλεσεν. Ὁ δὲ ταῦτα νικήσας

καὶ ἀφ' ἑαυτοῦ ἀπελάσας, ἢ ἐγκρατευόμενος ἀπ' αὐτῶν, οὗτος ἐπάτησε τὰ εἴδωλα καὶ ἠρνήσατο τὴν δεισιδαιμονίαν, καὶ γέγονε μάρτυς ἀναίμακτος, τὴν καλὴν ὁμολογήσας ὁμολογίαν.

2. Ἔλεγεν ὁ μακάριος Ζωσιμᾶς, ὅτι ἡ ἀρχὴ τοῦ κρατῆσαι θυμοῦ ἐστὶ τὸ ταράττεσθαι καὶ μὴ λαλεῖν, ἐξ οὗ ἔρχεταί τις, χάριτι Θεοῦ, καὶ εἰς τὸ μηδόλως ταράττεσθαι. Καὶ γὰρ καὶ ὁ ἀββᾶς Μωϋσῆς, τὰ μὲν πρῶτα ὅτε ἐξουδενώθη παρὰ τῶν Πατέρων εἰπόντων πρὸς αὐτόν, «τί καὶ ὁ αἰθίοψ οὗτος ἔρχεται ἐν μέσῳ ἡμῶν», ἐταράχθη ἀλλ' οὐκ ἐλάλησεν, ὡς αὐτὸς ἔφη πρὸς αὐτοὺς ἐρωτήσαντας· ἔπειτα δὲ ὑπὸ τῶν κληρικῶν ὑβρισθεὶς καὶ τοῦ ἱερατείου ἐκδιωχθείς, οὐ μόνον οὐκ ἐταράχθη, ἀλλὰ καὶ ἑαυτὸν ἐπέπληξε λέγων· «σποδόδερμε, μελανέ, καλῶς σοι ἐποίησαν· μὴ ὢν ἄνθρωπος, τί ἔρχει ἐν μέσῳ ἀνθρώπων»;

Ἀλλ' ἡμεῖς κάτω πολὺ καὶ τῶν ἀρχαρίων ὄντες διὰ τὴν πολλὴν ἡμῶν ἀμέλειαν, νομίζομεν ὑπέρογκα καὶ ἀδύνατα εἶναι τὰ ἐπιτάγματα, λέγοντες ἀνένδεκτον εἶναί τινα μηδόλως ταράττεσθαι, καὶ οὐκ ἀκούομεν τοῦ Προφήτου λέγοντος, «ἡτιμάσθην καὶ οὐκ ἐταράχθην»· οὐδὲ ζητοῦμεν βαλεῖν ἀρχὴν βεβαίαν, γενναίαν προαίρεσιν καὶ μεγαλόψυχον ἐπιδείξασθαι, ἵνα καὶ τὴν τοῦ Θεοῦ χάριν ἀναλόγως ἐπισπασώμεθα, δι' ἧς καὶ τὰ λίαν δοκοῦντα δυσχερῆ, εὐχερῆ πάνυ καὶ εὐκατόρθωτα ἡμῖν γίνεται.

Ποτὲ οὖν συγκαθημένου μου τῷ μακαρίῳ Σεργίῳ τῷ ἐν τῇ Πεδιάδι ἡγουμένῳ, καὶ ἀναγινώσκοντος τὰς Παροιμίας, ὡς ἦλθον εἰς τὸ ρητὸν ἐκεῖνο τὸ λέγον, «ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ οὐκ ἔστι δίθυμος ἡσυχάζει μάχη», ἠρώτησα τὸν μακάριον Σέργιον ἑρμηνεῦσαί μοι τὸ ρητόν. Καὶ ἀποκριθεὶς εἶπεν· ὥς περ τὰ ξύλα αἰτιά εἰσι τῆς φλογὸς τοῦ πυρός, καὶ ἐὰν μὴ ἐπαρκέσῃ τις ταῦτα σβέννυται τὸ πῦρ, οὕτω καὶ ἐπὶ τῶν παθῶν εἰσί τινα αἴτια, ἅτινα, εἰ ἐκκόψει τις, οὐκ ἐνεργοῦσι τὰ πάθη. Οἷον τῆς ὀργῆς αἴτιά εἰσι τὸ δοῦναι καὶ λαβεῖν, καὶ τὸ θέλειν ποιῆσαι τὸ ἴδιον θέλημα, καὶ τὸ ἀγαπᾶν διδάσκειν καὶ φαίνεσθαι παρὰ τοῖς ἀνθρώποις, καὶ τὸ νομίζειν ἑαυτὸν φρόνιμον εἶναι.

Ταῦτα εἰ ἐκκόψει τις ἀτονεῖ τὸ τοῦ θυμοῦ πάθος, καὶ τοῦτό ἐστιν ὃ εἶπεν ὁ ἀββᾶς Σισώης ἐρωτηθεὶς παρά τινος ἀδελφοῦ, διατὶ τὰ πάθη οὐκ ἀναχωροῦσιν ἀπ' ἐμοῦ; Καὶ ἀπεκρίθη· τὰ σκεύη αὐτῶν, ἤγουν τὰ αἴτια, ἔνδοθέν σου εἰσί· δὸς αὐτοῖς τὸν ἀρραβῶνα αὐτῶν καὶ ὑπάγουσιν. Ὁ δὲ δίθυμος, ἐν ᾧ οὐχ ἡσυχάζει μάχη, ἐκεῖνός ἐστιν ὁ μὴ ἀρκούμενος τῇ πρώτῃ ταραχῇ, ἀλλ' ἐρεθίζων ἑαυτὸν εἰς δεύτερον θυμόν, οἷον ἐάν τις ἐξαφθῇ εἰς θυμὸν καὶ εὐθὺς ἔλθῃ εἰς ἑαυτόν, καὶ καταγνῷ ἑαυτοῦ, καὶ ἀπελθὼν μετανοήσῃ τῷ ἀδελφῷ εἰς ὃν ἐθυμώθη, οὗτος οὐ λέγεται δίθυμος. Ἐν τούτῳ ἡσυχάζει μάχη, καὶ ἐν τῷ παρόντι διὰ τῆς μετανοίας τὴν πρὸς τὸν ἀδελφὸν φιλίαν μὴ λύσαντι, καὶ εἰς τὸ ἑξῆς εἰς γαλήνιον καὶ ἀτάραχον ἐκ τῆς ἐργασίας ταύτης ἐρχομένῳ κατάστασιν.

Ὁ δὲ θυμωθεὶς καὶ μὴ καταγνοὺς ἑαυτοῦ, ἀλλὰ μᾶλλον ἐρεθίζων ἑαυτὸν εἰς θυμὸν καὶ μεταμελόμενος, οὐχ ὅτι οὐκ ἐλάλησε πλείονα, ὧν εἶπεν ἐν τῇ ταραχῇ αὐτοῦ, οὗτος λέγεται δίθυμος. Καὶ ἐν τούτῳ οὐδέποτε ἡσυχάζει μάχη, ἀλλὰ καὶ ἐν τῷ ἐνεστῶτι διαδέχεται τὴν ταραχὴν τῆς καρδίας αὐτοῦ μνησικακία, καὶ λύπη, καὶ πονηρία, καὶ ἐν τῷ μετὰ ταῦτα δὲ ἡ μάχη καὶ ἡ ταραχὴ τοῦ θυμοῦ ἐπὶ πλεῖον ἐν

αὐτῷ αὐξάνει τε καὶ πληθύνεται. Ἐνεργουμένη γὰρ προσθήκην ἀεὶ λαμβάνει, ἕως οὗ τελείως αὐτοῦ κατακυριεύσασα ἐνέγκῃ τὸν ἄθλιον εἰς κατάστασιν δαίμονος· ἀλλὰ λυτρώσεται ἡμᾶς τῆς τῶν τοιούτων μερίδος Ἰησοῦς Χριστὸς ὁ ἀγαθὸς δεσπότης ἡμῶν καὶ Κύριος.

3. Ἔλεγεν ὁ αὐτός, ὅτι πολλῆς ἡμῖν χρεία νήψεως καὶ φρονήσεως πρὸς τὰς ποικίλας μεθοδείας τοῦ διαβόλου· ἔστι γὰρ ὅτε ἐκ τοῦ μηδενὸς ποιεῖ τινα ταραχθῆναι, ἔστι δὲ ὅτε φέρει εὔλογον πρόφασιν ἵνα δόξῃ τις ὅτι δικαίως ἐθυμώθη, καὶ τοῦτο δὲ τῆς αὐτοῦ μισανθρωπίας ὑποβολή. Τῷ γὰρ ἐν ἀληθείᾳ ποθοῦντι τὴν ὁδὸν τῶν ἁγίων ὁδεῦσαι ἀλλότριον παντάπασι τὸ θυμοῦσθαι πρὸς ἄνθρωπον, ὥς φησιν ὁ μέγας Μακάριος· ξένον ἀδελφοῖς τὸ ὀργίζεσθαι ἢ παροργίζειν τινά.

4. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι διερχόμενός ποτε τὴν ὁδὸν τῆς σκήτεως μετὰ τοῦ καμηλίτου, φέροντός μου τὰ σκεύη ἐπὶ τῆς καμήλου, ὡς εἶδον αὐτὸν λαλοῦντα καὶ κινοῦντά με εἰς ὀργήν, ἐάσας τὰ σκεύη ἔφυγον.

5. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· ὁ μὴ κρατῶν γλώσσης αὐτοῦ ἐν καιρῷ ὀργῆς, οὐδὲ παθῶν κρατήσει ὁ τοιοῦτος.

6. Εἶπεν ὁ ἀββᾶς Ἀμμωνᾶς, ὅτι δεκατέσσαρα ἔτη ἐποίησα ἐν σκήτει δεόμενος τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας, ἵνα μοι χαρίσηται νικῆσαι τὴν ὀργήν.

7. Ἠρωτήθη γέρων· τί ἐστιν ὀργή; καὶ ἀπεκρίθη· ἔρις, καὶ ψεῦδος, καὶ ἀγνωσία.

8. Θυμὸς ἀνδρὶ βόθυνος αὐτῷ, καὶ ὁ ὑπερβαίνων θυμὸν ὑπερέβη βόθυνον. Μακάριος ἀνὴρ ὃς ἐν πρᾳότητι εἵλκυσε τὸν ζυγὸν τοῦ δεσπότου Χριστοῦ ἕως τέλους, ὁ δὲ ὑπερήφανος πληθύνει ταραχὰς καὶ ἔχθρας ἑαυτῷ. Ἀνὴρ θυμώδης καὶ κραυγάρης πολύορκος ἔσται, ὁ δὲ ἡσυχάζων συνετός· θυμὸς δέ ἐστι πάθος ἀναιδὲς καὶ ἀναίσχυντον, ὃν διαδέχεται λύπη καὶ μετάμελος, λύπη δὲ κατεσθίει τὴν καρδίαν τοῦ ἐμπεσόντος ἐν αὐτῇ.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπε: Ὅτι τὰ πάθη τὰ ὁποῖα, παρὰ τὸ ἔμφυτον αὐτοῦ, ἀποκτᾷ ὁ ἄνθρωπος, οἱ ἀρχαῖοι Ἕλληνες τὰ ἐθεοποίησαν καὶ τὰ ἐπροσκυνοῦσαν*· ἐκείνους δὲ ποὺ δὲν ἤθελαν νὰ τὰ προσκυνήσουν τοὺς ἐβασάνιζαν, τοὺς ἐφόνευαν καί, χωρὶς νὰ τὸ θέλουν, τοὺς ἔκαναν μάρτυρας. Καὶ ἡμεῖς λοιπόν, ἂν ὑποκύπτωμεν εἰς τὰ πάθη, δὲν διαφέρομεν εἰς τίποτα ἀπὸ τοὺς εἰδωλολάτρας. Διότι ἐκεῖνος ποὺ νικᾶται ἀπὸ τὸν θυμὸν καὶ τὴν ὀργὴν καὶ ἔχει ὑποδουλωθῆ εἰς αὐτὰ τὰ πάθη καὶ δὲν προσπαθεῖ μόνος του νὰ ἀποκόψῃ τὴν μανίαν τοῦ πάθους αὐτοῦ, ἀρνεῖται τὸν Ἰησοῦν

---

* Οἱ ἀρχαῖοι Ἕλληνες, ἐκτὸς ἀπὸ τοὺς γνωστοὺς δώδεκα θεούς, εἶχαν καὶ πολλοὺς ἄλλους μικροτέρους, οἱ ὁποῖοι ἦσαν προσωποποίησις διαφόρων δυνάμεων ἢ παθῶν. Οὕτω τὸ πάθος τῆς φιλονικίας εἶχε προσωποποιηθῆ εἰς τὴν θεὰν Ἔριν, τῆς ἐκδικήσεως εἰς τὴν Νέμεσιν ἢ τὰς Ἐριννύας κ.λ.π.

καὶ ἔχει μέσα του ὡς Θεὸν τὸν Ἄρην* καὶ προσκυνεῖ τὸ εἴδωλον τῆς μανίας, ὅπως καὶ οἱ ἀρχαῖοι Ἕλληνες.

Καὶ ὁ φιλάργυρος ποὺ δὲν εὐσπλαγχνίζεται τὸν ἀδελφόν του καὶ δὲν δίδει ἐλεημοσύνην εἰς τὸν πλησίον του, εἶναι, ἐπίσης, εἰδωλολάτρης, ποὺ τιμᾷ τὸ εἴδωλον τοῦ Ἑρμοῦ** καὶ λατρεύει τὴν κτίσιν, ἀντὶ τοῦ Κτίστου. Τὸ ἴδιον ἰσχύει καὶ διὰ τὰ ἄλλα πάθη· ἀπὸ ὅποιον πάθος ἔχει νικηθῆ κανείς, εἰς αὐτὸ καὶ ἔχει ὑποδουλωθῆ (Β' Πετρ. β', 19), σύμφωνα καὶ μὲ τὰ λόγια τοῦ Ἀποστόλου, ποὺ ἀπεκάλεσε τὴν φιλαργυρίαν δευτέραν εἰδωλολατρίαν. Ἐκεῖνος ὅμως, ποὺ ἐνίκησε τὰ πάθη καὶ τὰ ἐξεδίωξεν ἀπὸ μέσα του, ἢ ἐγκρατεύεται ἀπὸ αὐτά, αὐτὸς κατεπάτησε τὰ εἴδωλα, ἠρνήθη τὴν δεισιδαιμονίαν καὶ ἔγινε μάρτυς, χωρὶς νὰ χύσῃ αἷμα, διότι ἔδωσε τὴν καλὴν ὁμολογίαν.

2. Ὁ μακάριος Ζωσιμᾶς ἔλεγεν, ὅτι ἡ ἀρχὴ νὰ ἐπιβληθῇ κανεὶς εἰς τὸν θυμὸν εἶναι τὸ νὰ ταράσσεται καὶ νὰ μὴ ὁμιλῇ· ἀπὸ αὐτὸ φθάνει μὲ τὴν χάριν τοῦ Θεοῦ εἰς τὴν τελείαν ἀταραξίαν. Καὶ ὁ Ἀββᾶς Μωϋσῆς — συνέχισε νὰ λέγῃ — ὅταν, κατ' ἀρχὴν ἐταπεινώθη ἀπὸ τοὺς Πατέρας, οἱ ὁποῖοι τοῦ εἶπαν· τί θέλει καὶ αὐτὸς ὁ ἀράπης, καὶ ἔρχεται μαζί μας; ἐταράχθη ἀλλὰ δὲν ὡμίλησεν, ὅπως ὁ ἴδιος εἶπε πρὸς αὐτούς, ὅταν τὸν ἠρώτησαν· μετά, ὅταν ὑβρίσθη ἀπὸ τοὺς κληρικοὺς καὶ ἐξεδιώχθη ἀπὸ τὸ Ἱερατεῖον, ὄχι μόνον δὲν ἐταράχθη, ἀλλὰ ἐπέπληξε καὶ τὸν ἑαυτόν του· σταχτόδερμε, μαῦρε — ἔλεγε — καλὰ σοῦ ἔκαναν· ἀφοῦ δὲν εἶσαι ἄνθρωπος, τί ἔρχεσαι μὲ τοὺς ἀνθρώπους;***

Ἀλλ' ἡμεῖς, ἐπειδὴ εὑρισκόμεθα πιὸ κάτω καὶ ἀπὸ αὐτοὺς τοὺς ἀρχαρίους ἐξ αἰτίας τῆς πολλῆς μας ἀμελείας, νομίζομεν ὅτι εἶναι ὑπερβολικὰ καὶ ἀδύνατα τὰ προστασσόμενα. Δὲν εἶναι δυνατόν, λέγομεν, νὰ μὴ ταράσσεται καθόλου κανείς, καὶ δὲν ἀκούομεν τὸν Προφήτην, ποὺ λέγει· «Προητοιμάσθην καταλλήλως καὶ δὲν ᾐσθάνθην κλονισμόν τινα καὶ ταραχὴν διὰ τὴν φύλαξιν τοῦ νόμου Σου» (Ψαλμ. ριη', 60), οὔτε φροντίζομεν νὰ κάμωμεν ἀποφασιστικὴν ἀρχὴν καὶ νὰ δείξωμεν γενναίαν καὶ μεγαλόψυχον ἀπόφασιν, διὰ νὰ ἐπισύρωμεν ἀνάλογα καὶ τὴν χάριν τοῦ Θεοῦ, μὲ τὴν ὁποίαν καὶ ἐκεῖνα ποὺ φαίνονται πάρα πολὺ δύσκολα, θὰ μᾶς γίνουν πολὺ εὔκολα καὶ εὐκολοκατόρθωτα.

Κάποτε ἐκαθήμην μαζὶ μὲ τὸν μακάριον Σέργιον, τὸν Ἡγούμενον τῆς Πεδιάδος· καθὼς λοιπὸν ἐδιάβαζα τὰς Παροιμίας,**** μόλις ἔφθασα εἰς τὸ ῥητὸν ποὺ λέγει: «μὲ τὰ πολλὰ ξύλα δυναμώνει ἡ φωτιά, ὅπου δὲ δὲν ὑπάρχει φιλόνικος ἄνθρωπος, δὲν ὑπάρχει διαμάχη» (Πα-

---

* Ὁ Ἄρης ἦτο θεὸς τοῦ πολέμου.

** Ὁ Ἑρμῆς ἦτο θεὸς τοῦ ἐμπορίου, διὰ τοῦτο καὶ ἐλέγετο Κερδῷος.

*** Βλέπε σελὶς 61 τοῦ ἀνὰ χεῖρας Β' τόμου (Ὑποθ. Β' διδ. 17).

**** Ἐννοεῖ τὸ βιβλίον τῆς Παλαιᾶς Διαθήκης «Παροιμίαι Σολομῶντος».

ροιμ. κστ΄, 20), παρεκάλεσα τὸν μακάριον Σέργιον νὰ μοῦ ἑρμηνεύσῃ τὸ ρητόν. Ἐκεῖνος, εἰς ἀπάντησιν, μοῦ εἶπεν· «ὅπως τὰ ξύλα εἶναι αἰτία νὰ φουντώνῃ ἡ φωτιά, καὶ ἂν δὲν ρίψωμεν ἀρκετὰ σβύνει, ἔτσι συμβαίνει καὶ μὲ τὰ πάθη· ὑπάρχουν δηλαδὴ μερικὰ αἴτια, ποὺ ἂν τὰ κόψῃ κανείς, τὰ πάθη πλέον δὲν ἐνεργοῦν· ὅπως παραδείγματος χάριν, αἴτια τῆς ὀργῆς εἶναι, τὸ πάρε — δῶσε, τὸ νὰ θέλῃ κανεὶς νὰ κάνῃ τὸ θέλημά του, τὸ νὰ τοῦ ἀρέσῃ νὰ διδάσκῃ καὶ νὰ ἐπιδεικνύεται εἰς τοὺς ἀνθρώπους καὶ τὸ νὰ θεωρῇ τὸν ἑαυτόν του συνετὸν καὶ φρόνιμον.

Ἂν τὰ ἀποκόψῃ κανεὶς αὐτά, ἐξασθενίζει τὸ πάθος τοῦ θυμοῦ. Αὐτὸ εἶναι, ἐκεῖνο ποὺ ἐννοοῦσεν ὁ Ἀββᾶς Σισώης, ὅταν ἠρωτήθη ἀπὸ κάποιον ἀδελφόν: «διατὶ δὲν φεύγουν τὰ πάθη ἀπὸ ἐπάνω μου;» Καὶ ἀπήντησε: τὰ ἀντικείμενα αὐτῶν, δηλαδὴ τὰ αἴτια, ὑπάρχουν μέσα σου· δῶσε εἰς τὰ πάθη αὐτὰ τὴν προῖκα των (τὰ αἴτια ποὺ τὰ προκαλοῦν) καὶ ἀναχωροῦν. Ὁ δὲ φιλόνικος, ἐντὸς τοῦ ὁποίου δὲν σταματᾷ ἡ διαμάχη, εἶναι ἐκεῖνος ποὺ δὲν ἀρκεῖται εἰς τὴν πρώτην ταραχήν, ἀλλ' ἐρεθίζει τὸν ἑαυτόν του νὰ θυμώσῃ καὶ διὰ δευτέραν φοράν. Συγκεκριμένα, ἂν κάποιος θυμώσῃ καὶ ἀμέσως συνέλθῃ, ἀναγνωρίσῃ δὲ τὸ σφάλμα του καὶ βάλῃ μετάνοιαν εἰς τὸν ἀδελφὸν ἐναντίον τοῦ ὁποίου ἐθύμωσεν, αὐτὸς δὲν λέγεται φιλόνικος. Εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου αὐτοῦ ἡσυχάζει κάθε διαμάχη καὶ τώρα, ἀφοῦ μὲ τὴν μετάνοιαν ποὺ ἔβαλεν εἰς τὸν ἀδελφόν, δὲν κατήργησε τὴν φιλίαν, ἀλλὰ καὶ εἰς τὸ μέλλον, ἀφοῦ, μὲ τὴν ἐνέργειαν τῆς μετανοίας, φθάνῃ εἰς κατάστασιν γαλήνης καὶ ἀταραξίας.

Ἐκεῖνος ὅμως ποὺ ἐθύμωσε καὶ δὲν ἀνεγνώρισε τὸ σφάλμα του, ἀλλὰ καὶ σφοδρότερον θυμώνει, διότι μετανοεῖ, ἐπειδὴ δὲν εἶπε περισσότερα ἀπὸ ὅσα εἶπεν ἐπάνω εἰς τὴν ταραχήν του, αὐτὸς λέγεται φιλόνικος. Εἰς τὴν ψυχὴν αὐτοῦ οὐδέποτε ἡσυχάζει ἡ διαμάχη· καὶ κατὰ τὴν στιγμὴν τῆς διαμάχης τὴν ταραχὴν τῆς καρδίας του διαδέχεται μνησικακία καὶ λύπη καὶ πονηρία, ἀλλὰ καὶ μετὰ ταῦτα μεγαλώνει μέσα του καὶ πληθαίνει ἡ μάχη καὶ ἡ ταραχὴ τοῦ θυμοῦ. Ἐρεθίζεται δηλαδὴ ἡ διαμάχη καὶ παίρνει πάντοτε διαστάσεις, μέχρις ὅτου τὸν κατακυριεύσῃ τελείως καὶ τὸν καταντήσῃ τὸν ἄθλιον σωστὸν δαίμονα. Ἀλλ' εἴθε νὰ μᾶς λυτρώσῃ ἀπὸ τὴν κατηγορίαν τῶν ἀνθρώπων αὐτῶν ὁ Ἰησοῦς Χριστὸς ὁ καλός μας Δεσπότης καὶ Κύριος.

3. Ὁ ἴδιος ἔλεγεν· ἔχομεν ἀνάγκην ἀπὸ πολλὴν προσευχὴν καὶ σύνεσιν, διὰ νὰ ἀντικρούσωμεν τὰς διαφόρους μηχανὰς τοῦ διαβόλου· διότι εἶναι δυνατὸν ἀπὸ τὸ τίποτε νὰ κάμῃ κάποιον νὰ ταραχθῇ. ἄλλοτε, πάλιν, τοῦ φέρνει εὔλογον δικαιολογίαν, διὰ νὰ νομίσῃ, ὅτι σωστὰ ἐθύμωσεν· καὶ ὅλα αὐτὰ τὰ ὑποβάλλει μέσα εἰς τὴν ψυχὴν ἀπὸ τὸ μῖσος του ἐναντίον τοῦ ἀνθρώπου. Διότι δι' ἐκεῖνον ποὺ πραγματικὰ ἐπιθυμεῖ νὰ βαδίσῃ τὸν δρόμον τῶν Ἁγίων, εἶναι τελείως ξένον τὸ νὰ θυμώνῃ ἐναντίον ἀνθρώπου. Ὅπως λέγει καὶ ὁ Μέγας Μακάριος· εἶναι ἀταίριαστον διὰ τοὺς ἀδελφοὺς τὸ νὰ ὀργίζωνται ἢ νὰ ἐξοργίζουν ἄλλον.

† 4. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς εἶπεν· Ἐβάδιζα κάποτε τὸν δρόμον πρὸς τὴν σκήτην μαζὶ μὲ τὸν καμηλιέρην, ποὺ μετέφερε τὰ πράγματά μου ἐπάνω εἰς τὴν καμήλαν· μόλις λοιπὸν τὸν εἶδα νὰ ὁμιλῇ καὶ νὰ κινῇ μέσα μου ὀργήν, τοῦ ἄφησα τὰ σκεύη καὶ ἔφυγα.

5. Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν· ἐκεῖνος ποὺ δὲν συγκρατεῖ τὴν γλῶσσαν του, κατὰ τὴν ὥραν τῆς ὀργῆς, αὐτὸς οὔτε εἰς τὰ πάθη του θὰ ἠμπορέσῃ νὰ ἐπιβληθῇ.

6. Ὁ Ἀββᾶς Ἀμμωνᾶς εἶπε· Δεκατέσσαρα ἔτη ἔκαμα εἰς τὴν σκήτην, καὶ ἐπαρακαλοῦσα τὸν Θεόν, νύκτα καὶ ἡμέραν, νὰ μοῦ δώσῃ τὴν χάριν νὰ νικήσω τὴν ὀργήν.

7. Ἠρώτησαν ἕνα Γέροντα τί εἶναι ὀργή; Καὶ ἐκεῖνος ἀπήντησε· φιλονικία καὶ ψεῦδος καὶ ἀγνωσία.

8. Ὁ θυμὸς εἶναι διὰ τὸν ἄνθρωπον ἕνας λάκκος· ἐκεῖνος ποὺ νικᾷ τὸν θυμὸν ἐπήδησε τὸν λάκκον. Μακάριος ὁ ἄνθρωπος, ὁ ὁποῖος μὲ πραότητα ἔσυρε τὸν ζυγὸν τοῦ Δεσπότου Χριστοῦ μέχρι τέλους, ἐνῷ ὁ ὑπερήφανος αὐξάνει τὰς ταραχὰς καὶ τὰς ἔχθρας ἐναντίον του. Ὁ ἄνθρωπος, ὁ ὁποῖος θυμώνει καὶ εἶναι φωνακλᾶς, θὰ κάμῃ πολλοὺς ὅρκους, ἐνῷ ἐκεῖνος ποὺ ἡσυχάζει εἶναι συνετός. Ὁ θυμὸς εἶναι ἕνα πάθος ἀναίσχυντον καὶ ἀδιάντροπον, ποὺ τὸ διαδέχεται λύπη καὶ μεταμέλεια· ἡ λύπη κατατρώγει τὴν καρδίαν ἐκείνου ποὺ ἔπεσεν εἰς αὐτήν.

Η'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΑΝΘΡΩΠΟΣ ζηλωτὴς οὐδέποτε φθάνει εἰς τὴν εἰρήνην τῆς διανοίας, ὁ δὲ ἀλλότριος τῆς εἰρήνης, ἀλλότριός ἐστι τῆς χαρᾶς. Ἡ μὲν εἰρήνη τῆς διανοίας ὑγεία τελεία καὶ ἔστι καὶ λέγεται, ὁ δὲ ζῆλος ἐναντίος πέφυκε τῆς εἰρήνης· οὐκοῦν ὁ ἔχων αὐτὸν μεγάλην νόσον νοσεῖ. Ἄνθρωπε, οὐκ ἔστι καλὸν οὐδὲ συμφέρον τὸ θέλειν ἄλλοις μὲν βοηθεῖν, ἑαυτὸν δὲ ἐμβάλλειν εἰς μέγαν κίνδυνον. Ὁ ζῆλος οὐκ ἐκ τῶν εἰδῶν τῆς σοφίας ἐστίν, ἀλλ' ἐκ τῶν νοσημάτων τῆς ψυχῆς· φρονήματος γὰρ στένωσις καὶ βραχύτης, πολλὴν τὴν ἄγνοιαν ἔχουσα. Εἰ ἐπιθυμεῖς τοὺς ἀσθενεῖς ἰατρεύειν, γνῶθι ὅτι οἱ ἄρρωστοι ἐλέους καὶ ἐπιμελείας χρῄζουσιν, οὐκ ἐπιτιμίου. Ὑμεῖς γάρ φησιν οἱ δυνατοὶ ὀφείλετε τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν· καὶ πάλιν· τὸν πταίοντα διορθοῦσθαι οὐκ ἐν ὀργῇ, ἀλλ' ἐν πνεύματι πρᾳότητος ὁ αὐτὸς ἐπιτρέπει.

Ἑρμηνεία

ΑΝΘΡΩΠΟΣ ζηλότυπος ποτὲ δὲν κατορθώνει νὰ ἔχῃ εἰρηνικὰς σκέψεις· ἐκεῖνος δὲ ποὺ εἶναι ξένος πρὸς τὴν εἰρήνην, ἔχει ἀποξενωθῆ καὶ ἀπὸ τὴν χαράν. Ἡ εἰρήνη τῆς διανοίας εἶναι καὶ λέγεται τελεία ὑγεία ἡ δὲ ζηλοτυπία εἶναι ἐκ φύσεως ἀντίθετος πρὸς τὴν εἰρήνην. Ἐκεῖνος λοιπὸν ποὺ ἔχει ζηλοτυπίαν, πάσχει ἀπὸ μεγάλην νόσον. Ἄνθρωπε, δὲν εἶναι καλὸν οὔτε συμφέρον τὸ νὰ θέλῃς νὰ βοηθῇς ἄλλους καὶ νὰ ἐκθέτῃς τὸν ἑαυτόν σου εἰς μεγάλον κίνδυνον. Ἡ ζηλοτυπία δὲν εἶναι εἶδος σο-

φίας, ἀλλὰ νόσημα τῆς ψυχῆς· εἶναι πνεῦμα στενὸν καὶ περιωρισμένον, ποὺ ὀφείλεται εἰς τὴν πολλὴν ἄγνοιαν.

Ἂν θέλῃς νὰ ἰατρεύσῃς τοὺς ἀσθενεῖς, μάθε ὅτι οἱ ἄρρωστοι ἔχουν ἀνάγκην ἀπὸ εὐσπλαγχνίαν καὶ φροντίδα καὶ ὄχι ἀπὸ ἐπίπληξιν. Διότι λέγει· Σεῖς οἱ δυνατοὶ ἔχετε ὑποχρέωσιν νὰ ἀνέχεσθε τὰ ἀσθενήματα τῶν ἀδυνάτων (Ρωμ. ιε΄, 1). Καὶ πάλιν ὁ ἴδιος Ἀπόστολος συμβουλεύει: Αὐτὸν ποὺ πταίει νὰ τὸν διορθώνετε ὄχι μὲ ὀργήν ἀλλὰ μὲ πραότητα (Γαλατ. στ΄, 1 καὶ Φιλιπ. β΄, 2—4).



ΥΠΟΘΕΣΙΣ ΛΣΤ'

Ὅτι τοῖς ἐφιεμένοις τῆς τελειότητος, καὶ τὸ ταραχθῆναι ὅλως τὴν καρδίαν πρὸς τὸν ἀδικοῦντα ἢ ὑβρίζοντα οὐκ ἀνεύθυνον φαίνεται.

Δι' ἐκείνους, οἱ ὁποῖοι ἐπιθυμοῦν τὴν τελειότητα καὶ τὸ νὰ ταραχθῇ κάπως ἡ καρδία των ἐναντίον τοῦ ἀδικοῦντος ἢ τοῦ ὑβρίζοντος, δὲν φαίνεται νὰ εἶναι χωρὶς εὐθύνην.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΑΚΟΥΣΑΣ τὰ κατὰ τὸν Παχώμιον ὁ κατὰ σάρκα αὐτοῦ ἀδελφὸς Ἰωάννης, ἧκεν ἐπιζητῶν αὐτὸν ἐκεῖσε. Ἰδὼν δὲ αὐτόν, ἀσπασάμενος λίαν ἐχάρη· ἀφ' οὗ γὰρ βαπτισθεὶς τῷ Χριστῷ συνετάξατο καὶ τὸν μονήρη εἵλετο βίον, οὐδέποτε παρεγένετο πρὸς τοὺς ἰδίους. Ἐσχηκότος δὲ καὶ τοῦ Ἰωάννου τὸν αὐτὸν τῷ Παχωμίῳ σκοπόν, ἔμειναν ἀμφότεροι ἐπὶ τὸ αὐτό, τὸν μὲν νόμον τοῦ Θεοῦ διὰ παντὸς μελετῶντες, τῶν δὲ ἐπὶ γῆς ἁπάντων οὐδένα λόγον ποιούμενοι.

Εἶτα μεμνημένος ὁ Παχώμιος τῆς γενομένης πρὸς αὐτὸν ἐπαγγελίας διὰ τοῦ Ἀγγέλου περὶ τῶν μελλουσῶν σώζεσθαι δι' αὐτοῦ ἀναριθμήτων ψυχῶν, ἤρξατο ἅμα τῷ ἰδίῳ ἀδελφῷ πλατυτέραν οἰκοδομεῖν τὴν μονήν, πρὸς τὸ τοὺς βουλομένους τῷ βίῳ ἀποτάσσεσθαι καὶ προσέρχεσθαι τῷ Θεῷ ὑποδέχεσθαι αὐτούς. Οἰκοδομούντων δὲ αὐτῶν, ὁ μὲν Παχώμιος τὸν σκοπὸν τοῦτον ἔχων πλατύνειν τὸν τόπον ἐβούλετο, μείζονα ποιούμενος τὴν τοῦ οἴκου περιβολήν. Ὁ δὲ Ἰωάννης, ἀναχώρησιν μελετῶν, ἐστενοχώρει τὸ οἴκημα καὶ ἀγανακτήσας ὁ Ἰωάννης, μειζότερος αὐτοῦ ὢν τῇ κατὰ σάρκα ἡλικίᾳ, εἶπε πρὸς αὐτόν· παῦσαι περπερευόμενος καὶ πλατύνων σεαυτόν.

Ὁ δὲ ἀκούσας παρωξύνθη μέν, ἅτε παρὰ σκοπὸν ὑβρισθείς, οὐ μὴν ἀντεῖπεν αὐτῷ, ἀλλ' ἤπιος ὢν ἐνεκρατεύσατο· καὶ τῇ ἐπιούσῃ νυκτὶ καταβὰς εἰς τὸ κατώγεων, ὃ ἦν ᾠκοδομηκὼς ἐκ μέρους τοῦ οἴκου, ἤρξατο κλαίειν σφοδρῶς καὶ τῷ Θεῷ ἐξομολογούμενος ἔλεγεν· Οὐαί μου, ὅτι τὸ φρόνημα τῆς σαρκὸς ἔτι ἐστὶν ἐν ἐμοί, καὶ κατὰ σάρκα περιπατῶ. Τοσαύτην γὰρ ἄσκησιν ἀναλαβών, πάλιν τῷ θυμῷ συναρπάζομαι. Ἐλέησόν με, Κύριε, ἵνα μὴ ἀπόλωμαι· ἐὰν γὰρ μὴ στηρίξῃς με ἐν τῇ

μακροθυμίᾳ σου, εὕρῃ δὲ ἐν ἐμοὶ μέρος τι τῶν αὐτοῦ πράξεων ὁ ἐχθρός, ἔσομαι αὐτοῦ ὑποχείριος, καθὼς γέγραπται, ὅτι «ἐὰν πάντα τὸν νόμον πληρώσῃ τις, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος». Πιστεύω δὲ ὅτι οἱ πολλοί σου οἰκτιρμοί, Κύριε, βοηθήσουσί μοι καὶ διδαχθήσομαι πορεύεσθαι τὴν ὁδὸν τῶν ἁγίων σου, τοῖς ἔμπροσθεν μὲν ἐπεκτεινόμενος ἀεί, τῶν δὲ κατόπιν λήθην ποιούμενος.

Οἱ μὲν γὰρ ἀπ' αἰῶνος ἅγιοί σου βοηθούμενοι ὑπὸ τῆς σῆς χάριτος κατήσχυναν τὸν ἐχθρόν, καὶ μεγάλως διέλαμψαν, ἐγὼ δὲ πῶς διδάξω, Κύριε, οὓς καλεῖν ἐπηγγείλω δι' ἐμοῦ εἰς τὴν τῶν μοναχῶν πολιτείαν, μὴ πρότερον νικήσας τὰ πάθη, τὰ διὰ τῆς σαρκὸς τῇ ψυχῇ προσπαλαίοντα, μήτε τὸν νόμον σου ἀμέμπτως διαφυλάξας; Ἀλλὰ πιστεύω, Κύριε, ὅτι τῆς παρὰ σοῦ συμμαχίας παρούσης μοι, πάσας τὰς ἁμαρτίας μου συγχωρήσεις.

Ταῦτα μετὰ κλαυθμοῦ ἐξομολογησάμενος, τὴν νύκτα πᾶσαν ἕως ὄρθρου δακρύων διετέλει, καὶ ἀπὸ τοῦ πολλοῦ ἱδρῶτος (θέρος γὰρ ἦν καὶ ὁ τόπος θερμότατος) ὑπὸ τὰς βάσεις τῶν ποδῶν αὐτοῦ ὡς πηλὸς ἀπετελέσθη. Εἰώθει γὰρ ἱστάμενος εἰς προσευχὴν ἐκτείνειν τὰς χεῖρας καὶ μηδόλως καθέλκειν αὐτάς, ἀλλὰ τῇ τούτων ἐκτάσει ὡς ἐπὶ σταυροῦ κατατεινόμενος, οὕτω καταπονῶν τὸ σῶμα πρὸς νῆψιν τὴν ψυχὴν ἐπανάγειν. Τοιοῦτος ὤν, ἐν πολλῇ πρᾳότητι καὶ εἰρηνικῇ καταστάσει συνδιῆγε τῷ ἀδελφῷ.

Ἑρμηνεία

ΟΤΑΝ ἐπληροφορήθη τὰ κατορθώματα τοῦ Παχωμίου ὁ σαρκικὸς ἀδελφός του Ἰωάννης, ἦλθεν εἰς τὰ μέρη, ὅπου ἠσκήτευε καὶ τὸν ἀνεζήτει. Ἀφοῦ δὲ τὸν συνήντησε, τὸν ἠσπάσθη καὶ ἐχάρη πάρα πολύ· διότι ἀπὸ τότε ποὺ ἐβαπτίσθη ὁ Παχώμιος καὶ ἠκολούθησε τὸν Χριστὸν καὶ ἐδιάλεξε τὸν μοναχικὸν βίον, ποτὲ δὲν ἐπεσκέφθη τοὺς συγγενεῖς του. Ἐπειδὴ δὲ καὶ ὁ Ἰωάννης ἔταξε τὸν ἴδιον σκοπὸν εἰς τὴν ζωήν του, ἔμειναν καὶ οἱ δύο μαζὶ μελετῶντες τὸν νόμον τοῦ Θεοῦ, χωρὶς νὰ ἐνδιαφέρωνται διὰ τίποτα ἀπὸ ὅλα τὰ ἐπίγεια.

Ἕνεκα τούτου ἐθυμήθηκε ὁ Παχώμιος τὴν ὑπόσχεσιν, ποὺ τοῦ ἔδωσεν ὁ Θεὸς μὲ τὸν Ἄγγελον, διὰ τὰς ἀναριθμήτους ψυχάς, αἱ ὁποῖαι ἐπρόκειτο νὰ σωθοῦν μὲ αὐτόν. Ἤρχισε λοιπὸν ἀμέσως νὰ κτίζῃ μαζὶ μὲ τὸν ἀδελφόν του μεγαλύτερον τὸ Μοναστήριον διὰ νὰ ὑποδέχωνται ἐκείνους ποὺ ἤθελαν νὰ ἀρνηθοῦν τὸν κόσμον καὶ νὰ ἀφοσιωθοῦν εἰς τὸν Θεόν.

Ἐνῷ δὲ ἔκτιζαν, ὁ μὲν Παχώμιος, σύμφωνα μὲ τὸν σκοπὸν ποὺ εἶχεν, ἤθελε νὰ κάμῃ μεγάλο Μοναστήρι, καὶ διὰ τοῦτο κατεσκεύαζε μεγαλύτερον τὸν περίβολον τοῦ τόπου. Ὁ Ἰωάννης ὅμως, ὁ ὁποῖος ἐσκόπευε νὰ ἀκολουθήσῃ τὸν ἀναχωρητικὸν βίον, ἤθελε μικρότερον τὸ οἴκημα. Ἔτσι, ἐπειδὴ ἦτο καὶ μεγαλύτερος κατὰ τὴν ἡλικίαν, εἶπεν ἀγανακτημένος πρὸς τὸν Παχώμιον:

— Παῦσε νὰ ὑπερηφανεύεσαι καὶ νὰ θεωρῇς μεγάλον τὸν ἑαυτόν σου.

Ὅταν ὁ Παχώμιος ἤκουσε τοὺς λόγους αὐτούς, ἐθύμωσε πρὸς

στιγμήν, διότι ὑβρίσθη χωρὶς λόγον· δὲν ἀντιμίλησεν ὅμως καθόλου εἰς τὸν ἀδελφόν του, ἀλλ' ἐπειδὴ ἦτο πρᾶος συνεκρατήθη. Τὴν ἐρχομένην νύκτα κατέβηκεν εἰς τὸ ὑπόγειον, ποὺ εἶχε κτίσει εἰς ἕνα μέρος τοῦ οἰκήματος καὶ ἤρχισε νὰ κλαίῃ ἀπαρηγόρητα καὶ νὰ ἐξομολογῆται εἰς τὸν Θεόν. Ἀλλοίμονόν μου — ἔλεγε — διότι ὑπάρχει ἀκόμη μέσα μου τὸ σαρκικὸν φρόνημα, καὶ συμπεριφέρομαι ὅπως ὅλοι οἱ ἄνθρωποι. Ἔχω ἐπιδοθῆ εἰς τόσον μεγάλην ἄσκησιν, καὶ ὅμως πάλιν ἁρπάζομαι ἀπὸ τὸν θυμόν. Ἐλέησέ με, Κύριε, διὰ νὰ μὴ χαθῶ· διότι ἂν δὲν μὲ στηρίξῃς μὲ τὴν μακροθυμίαν Σου, καὶ εὕρῃ μέσα μου ὁ ἐχθρὸς κάτι ἀπὸ τὰ ἔργα του, θὰ μὲ ἔχῃ εἰς τὴν ὑποταγήν του, σύμφωνα μὲ αὐτὸ ποὺ λέγει ἡ Ἁγία Γραφή· «ἂν ἐφαρμόσῃ κάποιος ὅλον τὸν νόμον, σφάλλῃ δὲ εἰς ἕνα, ἔγινεν ἔνοχος ὅλων» (Ἰακ. β', 10). Πιστεύω ὅτι οἱ πολλοὶ οἰκτιρμοί Σου, Κύριε, θὰ μὲ βοηθήσουν καὶ θὰ διδαχθῶ νὰ πορεύωμαι τὸν δρόμον τῶν Ἁγίων Σου, ὥστε συνεχῶς νὰ προχωρῶ πρὸς τὰ ἐμπρὸς καὶ νὰ λησμονῶ ὅλα τὰ περασμένα (Φιλιπ. γ', 14). Ἀπὸ ἀνέκαθεν οἱ Ἅγιοί σου κατεντρόπιαζαν τὸν ἐχθρόν, ἐπειδὴ ἐβοηθοῦντο ἀπὸ τὴν χάριν Σου καὶ ἔτσι ἔλαμπαν πάρα πολύ· ἐγὼ ὅμως, Κύριε, πῶς θὰ διδάξω ἐκείνους, ποὺ ὑπεσχέθης νὰ καλέσῃς, δι' ἐμοῦ, εἰς τὸν μοναχικὸν βίον, ἂν προηγουμένως δὲν νικήσω τὰ πάθη τὰ ὁποῖα μὲ ὄργανον τὴν σάρκα μάχονται ἐναντίον τῆς ψυχῆς καὶ ἂν δὲν διαφυλάξω χωρὶς κανένα σφάλμα τὸν νόμον Σου; Ἀλλὰ πιστεύω, Κύριε, ὅτι ἐφ' ὅσον ἔχω τὴν βοήθειάν Σου, θὰ συγχωρήσῃς ὅλας τὰς ἁμαρτίας μου.

Αὐτὰ ἐξωμολογήθη μὲ δάκρυα καὶ δὲν ἐσταμάτησε νὰ κλαίῃ ὅλην τὴν νύκτα μέχρι τὸ πρωΐ. Ἀπὸ τὸν πολὺν ἱδρῶτα (διότι ἦτο καλοκαίρι καὶ ὁ τόπος πάρα πολὺ ζεστὸς) κάτω ἀπὸ τὰ πέλματα τῶν ποδιῶν του τὸ ἔδαφος ἔγινεν ὡσὰν λάσπη, διότι συνήθιζε νὰ στέκεται ὄρθιος εἰς τὴν προσευχήν, νὰ ἁπλώνῃ τὰ χέρια καὶ καθόλου νὰ μὴ τὰ κατεβάζῃ, ἀλλὰ ὡσὰν νὰ ἐσταυρώνετο μὲ τὸ ἅπλωμα τῶν χεριῶν, νὰ κουράζῃ τὸ σῶμα του καὶ νὰ διατηρῇ τὴν ψυχὴν εἰς ἐπαγρύπνησιν. Τοιοῦτος λοιπὸν ἦτο ὁ Ἅγιος Παχώμιος, καὶ δι' αὐτὸ ἔζουσε μαζὶ μὲ τὸν ἀδελφόν του μὲ πραότητα καὶ εἰρήνην.

Β'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΕΙ ΕΠΙΘΥΜΟΥΜΕΝ τελείωσιν πραότητος κτήσασθαι καὶ τυχεῖν τοῦ μακαρισμοῦ τοῦ Κυρίου, οὐ μόνον τὴν κατ' ἐνέργειαν ὀργὴν ὀφείλομεν ἀφ' ἡμῶν ἀπορρίψαι, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν ταραχήν. Οὐ γὰρ τοσοῦτον ὠφελεῖ τὸ κρατεῖν τοῦ στόματος ἐν καιρῷ θυμοῦ καὶ μὴ ἐκφέρειν ῥήματα μανιώδη, ὅσον τὸ καθαρίζειν τὴν καρδίαν ἀπὸ μνησικακίας, καὶ μὴ ἀναστρέφειν ἐν τῇ διανοίᾳ πονηροὺς κατὰ τοῦ ἀδελφοῦ λογισμούς. Τὰς ῥίζας γὰρ τῶν ἁμαρτημάτων ἐκκόπτειν παραγγέλλει ἡ Εὐαγγελικὴ διδασκαλία ἤπερ τοὺς καρπούς.

Τῆς γὰρ τοῦ θυμοῦ ῥίζης ἐκκοπείσης ἀπὸ τῆς καρδίας, οὔτε μῖσος, οὔτε φθόνος εἰς ἔργον προαχθήσεται. Καὶ γὰρ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος εἴρηται, φονεύων αὐτὸν τῇ διαθέσει τοῦ μίσους κατὰ διάνοιαν, οὕτινος τὸ αἷμα

οὐ διὰ ξίφους ἐκχυθὲν ἄνθρωποι βλέπουσιν, ἀλλὰ μὲ τὴν ἔνδον ὁρμὴν τῆς καρδίας ἀναιρεθέντα, Θεὸς ἐφορᾷ, ὃς οὐ μόνον ὑπὲρ πράξεων, ἀλλὰ καὶ ὑπὲρ λογισμῶν καὶ προαιρέσεων ἢ στεφάνους ἢ τιμωρίας ἀποδίδωσι, καθὼς αὐτὸς διὰ τοῦ Προφήτου βοᾷ· «Ἐγὼ ἔρχομαι συναγαγεῖν τὰ ἔργα καὶ τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις αὐτῶν». ὅπερ καὶ διὰ τοῦ Ἀποστόλου μανθάνομεν λέγοντος· μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ἣ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.

Ἑρμηνεία

ΑΝ θέλωμεν νὰ ἀποκτήσωμεν τελείαν πραότητα καὶ νὰ ἔχωμεν τὴν τύχην νὰ μᾶς μακαρίζῃ ὁ Κύριος (Ματθ. ε΄, 5), ὀφείλομεν νὰ πετάξωμεν ἀπὸ ἐπάνω μας ὄχι μονάχα τὴν ἐξωτερικὴν ἐνέργειαν τῆς ὀργῆς, ἀλλὰ καὶ αὐτὴν ἀκόμη τὴν ταραχὴν τῆς διανοίας. Διότι δὲν ὠφελεῖ τόσον τὸ νὰ συγκρατοῦμεν τὸ στόμα μας κατὰ τὴν ὥραν τοῦ θυμοῦ καὶ νὰ μὴ προφέρῃ λόγους μανίας, ὅσον τὸ νὰ καθαρίζωμεν τὴν καρδίαν μας ἀπὸ τὴν μνησικακίαν καὶ νὰ μὴ στριφογυρίζωμεν εἰς τὴν σκέψιν μας πονηροὺς λογισμοὺς ἐναντίον τοῦ ἀδελφοῦ μας. Ἡ Εὐαγγελικὴ διδασκαλία μᾶς παραγγέλλει νὰ κόπτωμεν τὰς ῥίζας, παρὰ τοὺς καρπούς.

Διότι ὅταν κοπῇ ἀπὸ τὴν καρδίαν ἡ ῥίζα τοῦ θυμοῦ οὔτε τὸ μῖσος οὔτε ὁ φθόνος θὰ ἠμπορέσουν νὰ γίνουν πράξεις. Ἄλλωστε ἐκεῖνος, ὁ ὁποῖος μισεῖ τὸν ἀδελφόν του, ἔχει χαρακτηρισθῆ ἀνθρωποκτόνος, ἐπειδὴ τὸν σκοτώνει μὲ τὴν διάθεσιν τοῦ μίσους ποὺ διατηρεῖ εἰς τὴν σκέψιν του (Α΄ Ἰωαν. γ΄, 15)· τὸ αἷμα τοῦ θύματος αὐτοῦ δὲν τὸ βλέπουν οἱ ἄνθρωποι, ἐπειδὴ δὲν ἐχύθηκε μὲ ξίφος, ἀλλὰ τὴν ἐσωτερικὴν ὅμως ὁρμὴν τῆς καρδίας, ἡ ὁποία νοερὰ τὸν ἐφόνευσε, τὴν βλέπει ὁ Θεός. Ὁ Θεός, ἄλλωστε, ἀνταποδίδει εἰς τοὺς ἀνθρώπους στεφάνους ἢ τιμωρίας ὄχι μόνον διὰ τὰς πράξεις των, ἀλλὰ καὶ διὰ τοὺς λογισμοὺς καὶ τὰς προαιρέσεις των, ὅπως ὁ ἴδιος διακηρύσσει μὲ τὸ στόμα τοῦ Προφήτου· «ἐγὼ ἔρχομαι νὰ συγκεντρώσω τὰ ἔργα καὶ τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις αὐτῶν».

Αὐτὸ τὸ πληροφορούμεθα καὶ ἀπὸ τὸν Ἀπόστολον, ὁ ὁποῖος μᾶς λέγει· «μεταξύ των οἱ λογισμοὶ θὰ κατηγοροῦν ἢ καὶ θὰ ἀπολογοῦνται, κατὰ τὴν ἡμέραν ποὺ θὰ κρίνῃ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων» (Ρωμ. β΄, 15—16).

ΥΠΟΘΕΣΙΣ ΛΖ'

Ὅτι δεῖ τὸν ἀδελφὸν μακρόθυμον εἶναι τοῖς εἰς αὐτὸν πταίουσιν, καὶ τοῖς ἀδικοῦσι μὴ ἐπεξέρχεσθαι.

Ὁ ἀδελφὸς πρέπει νὰ εἶναι μακρόθυμος πρὸς ἐκείνους ποὺ τὸν στενοχωροῦν καὶ νὰ μὴ ἐκδικῆται ἐκείνους ποὺ τὸν ἀδικοῦν.

Α'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἰσιδώρου τοῦ Πρεσβυτέρου τῆς σκήτεως, ὅτι εἴ τις εἶχεν ἀδελφὸν ἀσθενῆ, ἢ ὀλίγωρον, ἢ ὑβριστὴν καὶ ἤθελε βαλεῖν αὐτὸν ἔξω, ἔλεγεν οὕτως, ὅτι φέρε μοι αὐτὸν ὧδε, καὶ ἐλάμβανεν αὐτόν, καὶ διὰ μακροθυμίας ἔσῳζεν αὐτόν. Καὶ ἐν τῇ Ἐκκλησίᾳ δὲ τοῦτο τὸ ῥῆμα ἐλάλει ἀεὶ πρὸς τοὺς ἀδελφούς· ἀδελφοί, ἄφετε καὶ ἀφεθήσεται ὑμῖν.

2. Διηγήσαντό τινες τῶν Πατέρων περὶ τοῦ μεγάλου γέροντος, ὅτι εἰ ἦλθέ τις ἐρωτῆσαι αὐτὸν λόγον, ἔλεγεν αὐτῷ μετὰ ἕξεως· ἰδοὺ ἐγὼ λαμβάνω τὸ πρόσωπον τοῦ Θεοῦ, καὶ κάθημαι ἐπὶ θρόνου κρίσεως· τί οὖν θέλεις ἵνα ποιήσω σοι; Ἐὰν εἴπῃς ἐλέησόν με, λέγει σοι ὁ Θεός· ἐλέησον καὶ σὺ τὸν ἀδελφόν σου· εἰ δὲ εἴπῃς συγχώρησόν μοι, λέγει σοι· συγχώρησον καὶ σὺ τῷ πλησίον σου. Μὴ ἔστιν ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο! εἰ θέλομεν οὖν σωθῆναι, ἐν ἡμῖν ἐστιν.

3. Ἀδελφὸς ἀδικηθεὶς ὑπὸ ἑτέρου ἦλθε πρὸς τὸν ἀββᾶν Σισώην, καὶ λέγει αὐτῷ· ἠδικήθην παρά τινος ἀδελφοῦ καὶ θέλω ἐμαυτὸν ἐκδικῆσαι. Ὁ δὲ γέρων παρεκάλει αὐτὸν λέγων· μή, τέκνον, κατάλειψον δὲ μᾶλλον τῷ Θεῷ τὰ τῆς ἐκδικήσεως. Ὁ δὲ ἔλεγεν· οὐ παύσομαι ἕως οὗ ἐκδικήσω ἐμαυτόν. Καὶ εἶπεν ὁ γέρων· εὐξώμεθα, ἀδελφέ. Ἀναστάντων δὲ αὐτῶν καὶ εὐχομένων, ἔφη ὁ γέρων· ὁ Θεός, οὐκέτι σου ἔχομεν χρείαν φροντίζειν περὶ ἡμῶν, ἡμεῖς γὰρ τὴν ἐκδίκησιν ἑαυτῶν ποιοῦμεν. Τοῦτο ἀκούσας ὁ ἀδελφὸς ἔπεσε παρὰ τοὺς πόδας τοῦ γέροντος, καὶ εἶπεν· οὐκέτι δικάζομαι μετὰ τοῦ ἀδελφοῦ, συγχώρησόν μοι, ἀββᾶ.

4. Καὶ ἕτερος δέ τις ἀδελφὸς Λιβυκὸς ἦλθε πρὸς τὸν ἀββᾶν Σιλουανὸν εἰς τὸ ὄρος εἰς Πανεφώ. Καὶ λέγει αὐτῷ· ἀββᾶ, ἐχθρὸν ἔχω πολλὰ κακὰ ποιήσαντά μοι·

καὶ γὰρ καὶ τὸν ἀγρόν μου, ὡς ἤμην ἐν τῷ κόσμῳ, ἀφήρπασε καὶ πολλάκις μοι ἐπεβούλευσε· νῦν δὲ φαρμακοὺς ἐκίνησε πρὸς τὸ θανατῶσαί με καὶ βούλομαι παραδοῦναι αὐτὸν τῷ ἄρχοντι. Ἔφη αὐτῷ ὁ γέρων· ὡς ἀναπαύῃ, τέκνον, ποίησον. Λέγει ὁ ἀδελφός· φύσει, ἀββᾶ, ἐὰν παιδευθῇ, μεγάλως ὠφελεῖται ἡ ψυχὴ αὐτοῦ. Ἀπεκρίθη ὁ γέρων· ὡς δοκεῖ σοι, τέκνον, ποίησον. Καὶ εἶπεν ὁ ἀδελφός· ἀνάστα, πάτερ, ποιήσωμεν εὐχήν, καὶ ἀπέρχομαι πρὸς τὸν ἄρχοντα.

Ἀναστάντες οὖν καὶ εὐχόμενοι, ὡς ἦλθον εἰπεῖν, «καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν», εἶπεν ὁ γέρων· καὶ μὴ ἀφήσῃς ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς οὐδὲ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ λέγει ὁ ἀδελφὸς τῷ γέροντι· μὴ οὕτω, πάτερ. Ἔφη δὲ ὁ γέρων· ναί, οὕτω τέκνον, φύσει γάρ, ἐὰν πρὸς τὸν ἄρχοντα βούλει ἀπελθεῖν ἵνα ἐκδικήσῃ σε, Σιλουανὸς ἄλλην εὐχὴν οὐ ποιεῖ σοι. Καὶ βαλὼν μετάνοιαν ὁ ἀδελφὸς συνεχώρησε τῷ ἐχθρῷ αὐτοῦ.

5. Φιλόπονόν τις ἑωρακὼς βαστάζοντα νεκρὸν ἐν κραββάτῳ, λέγει αὐτῷ· τοὺς νεκροὺς βαστάζεις; ὕπαγε, βάσταζε τοὺς ζῶντας.

6. Ἀδελφοὶ παρέβαλον γέροντι ἁγίῳ εἰς ἔρημον τόπον καθεζομένῳ, καὶ εὗρον ἔξω τοῦ κελλίου αὐτοῦ παιδία βόσκοντα καὶ λαλοῦντα ρήματα ἀπρεπῆ. Μετὰ οὖν τὸ ἀναθέσθαι αὐτῷ τοὺς λογισμοὺς αὐτῶν καὶ ὠφεληθῆναι ἀπὸ τῆς γνώσεως αὐτοῦ, λέγουσιν αὐτῷ· πῶς ἀνέχῃ, ἀββᾶ, τῶν παιδίων τούτων, καὶ οὐ παραγγέλλεις αὐτοῖς ἵνα μὴ στρηνιῶσι; Καὶ ἀπεκρίθη ὁ γέρων· φύσει, ἀδελφοί, ἔχω ἡμέρας θέλων παραγγεῖλαι αὐτοῖς, καὶ ἐπιτιμῶ ἐμαυτῷ λέγων· εἰ τὸ μικρὸν τοῦτο οὐ βαστάζω, πῶς ἐὰν ἀπολυθῇ μοι πειρασμὸς μέγας βαστάσω; διὰ τοῦτο οὐδὲν αὐτοῖς λέγω, ἵνα γένηται νομὴ βαστάζειν τὰ ἐπερχόμενα.

7. Γέρων τις εἶχε παιδίον σύνοικον, καὶ ἰδὼν αὐτὸ ποιοῦν ἔργον μὴ συμφέρον αὐτῷ, εἶπεν αὐτῷ ἅπαξ, μηκέτι τὸ πρᾶγμα τοῦτο ποιήσῃς· τὸ δὲ παιδίον οὐκ ἤκουσεν αὐτοῦ, ὁ δὲ γέρων ἀπεμερίμνησεν, ἐπιρρίψας αὐτῷ τὸ ἴδιον κρίμα. Ἐν μιᾷ οὖν κλείσας ὁ παῖς τὴν θύραν τοῦ κελλίου, ἐν ᾧ ἦσαν τὰ ψωμία, ἀπῆλθε καὶ ἐπὶ ἡμέρας δεκατρεῖς ἀπεδήμει. Ἔμενε δὲ ὁ γέρων νῆστις, ἦν δὲ αὐτῷ γειτνιῶν τις, καὶ ὡς ᾔσθετο ὅτι ἐχρόνισεν ὁ νεώτερος, ὁ δὲ γέρων οὐκ εἶχε τὴν χρείαν αὐτοῦ, ἐποίει μικρὸν ἕψημα καὶ παρεῖχεν αὐτῷ διὰ τοῦ τοίχου, καὶ παρεκάλει αὐτὸν φαγεῖν· ἔλεγε δὲ τῷ γέροντι· ἐβράδυνεν ὁ ἀδελφός· καὶ ἀπεκρίνατο ὁ γέρων· ἐὰν εὐκαιρήσῃ, ἔρχεται.

8. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· θέλω μαρτυρῆσαι διὰ τὸν Θεόν. Καὶ εἶπεν αὐτῷ ὁ γέρων· ἐὰν ἐν καιρῷ ἀνάγκης ἀνέξεταί τις τοῦ πλησίον, ἴσον ἐστὶ τῆς καμίνου τῶν τριῶν παίδων.

9. Εἶπε γέρων· ἐὰν γένηται ἀναμέσον σοῦ καὶ ἄλλου λυπηρὸς λόγος, καὶ ἀρνήσηται τὸν λόγον, μὴ ἐπιξέσῃς αὐτὸν λέγων, ὅτι εἶπας, ἐπεὶ ἐκτρέπεται, καὶ λέγει, ναὶ εἶπον, καὶ τί; καὶ γίνεται μέγας παροξυσμός· ἀλλὰ καὶ αὐτὸς ἔασον τὸν λόγον, καὶ γίνεται εἰρήνη μεγάλη.

Ἑρμηνεία

ΔΙΗΓΟΥΝΤΟ διὰ τὸν Ἀββᾶν Ἰσίδωρον, τὸν πρεσβύτερον τῆς σκήτης, ὅτι ἂν εἶχε κανεὶς εἰς τὴν συνοδείαν του ἀδελφὸν ἄρρωστον ἢ

τεμπέλην ἢ ὑβριστὴν καὶ ἤθελε νὰ τὸν ἐκδιώξῃ ἀπὸ τὸ κελλί του, τοὺς ἔλεγε: φέρετέ μου τον ἐδῶ· τὸν παρελάμβανε, πράγματι, καὶ τὸν ἔσωζε μὲ τὴν μακροθυμίαν του. Καὶ εἰς τὴν Ἐκκλησίαν συνήθιζε νὰ λέγῃ πάντοτε εἰς τοὺς ἀδελφούς· ἀ δ ε λ φ ο ί, σ υ γ χ ω ρ ή σ α τ ε κ α ὶ θ ὰ σ υ γ χ ω ρ η θ ῆ τ ε.

2. Μερικοὶ Πατέρες διηγοῦντο διὰ τὸν μεγάλον Γέροντα ὅτι ἂν ἤρχετο κανεὶς νὰ τὸν ἐρωτήσῃ διὰ κανένα ζήτημα τοῦ ἀπαντοῦσε παραστατικά. Νά! Εἰπέ ὅτι παίρνω τὸ πρόσωπον τοῦ Θεοῦ καὶ κάθομαι εἰς τὸν θρόνον τῆς Κρίσεως· τί θέλεις λοιπὸν νὰ σοῦ κάμω; Ἐὰν εἴπῃς ἐλέησόν με, θὰ σοῦ εἰπῇ καὶ ὁ Θεός· ἐλέησε καὶ σὺ τὸν ἀδελφόν σου. Ἄν, πάλιν, τοῦ εἴπῃς· συγχώρησέ με, θὰ σοῦ ἀπαντήσῃ· συγχώρησε καὶ σὺ τὸν πλησίον σου. Μήπως εἶναι ἄδικος ὁ Θεός; Μὴ γένοιτο! Ἂν λοιπὸν θέλωμεν νὰ σωθῶμεν, αὐτὸ ἐξαρτᾶται ἀπὸ ἡμᾶς.

3. Κάποιος ἀδελφός, ὁ ὁποῖος ἀδικήθηκε ἀπὸ ἄλλον, ἦλθε πρὸς τὸν Ἀββᾶν Σισώην καὶ τοῦ λέγει:

—Ἀδικήθηκα ἀπὸ ἕνα ἀδελφὸν καὶ ζητῶ ἱκανοποίησιν.

Ὁ Γέρων τὸν παρακαλοῦσε καὶ τοῦ ἔλεγε:

—Ὄχι, παιδί μου, καλλίτερα ἄφησε εἰς τὸν Θεὸν τὴν ἐκδίκησιν.

Ὁ ἀδελφὸς ὅμως ἐπέμενε· δὲν θὰ ἡσυχάσω — ἔλεγε — ἂν δὲν τὸν ἐκδικηθῶ.

—Ἂς προσευχηθῶμεν, ἀδελφέ· ἐπρότεινε τότε ὁ Γέρων.

Ἀφοῦ ἐσηκώθησαν καὶ προσηύχοντο, εἶπεν ὁ Γέρων· Θεέ μου, δὲν ἔχομεν πλέον τὴν ἀνάγκην Σου νὰ φροντίζῃς δι' ἡμᾶς, διότι μόνοι μας λαμβάνομεν ἐκδίκησιν. Μόλις ἤκουσε τὰ λόγια αὐτὰ ὁ ἀδελφὸς ἔπεσεν εἰς τὰ πόδια τοῦ Γέροντος καὶ τοῦ εἶπε· δὲν ἀντιδικῶ πλέον μὲ τὸν ἀδελφόν, συγχώρησέ με, Ἀββᾶ.

4. Ἕνας ἄλλος ἀδελφός, ἀπὸ τὴν Λιβύην*, ἦλθε πρὸς τὸν Ἀββᾶν Σιλουανὸν εἰς τὸ ὄρος Πανεφὼ** καὶ τοῦ λέγει:

—Ἀββᾶ, ἔχω ἕνα ἐχθρόν, ὁ ὁποῖος μοῦ ἔκαμε πολλὰ κακά· καὶ τὸ χωράφι μου, ὅταν ἀκόμη ἤμουν εἰς τὸν κόσμον, μοῦ κατεπάτησε καὶ πολλὰς φορὰς ἐσκέφθη νὰ μὲ ζημιώσῃ, τώρα δὲ τελευταῖα καὶ δηλητηριαστὰς ἔβαλε νὰ μὲ θανατώσουν. Θέλω λοιπὸν νὰ τὸν παραδώσω εἰς τὸν ἄρχοντα νὰ τιμωρηθῇ.

— Κάνε, παιδί μου ὅπως ἀναπαύεσαι· ἀπήντησεν ὁ Γέρων.

—Ἂν τιμωρηθῇ, Ἀββᾶ, θὰ ὠφεληθῇ πραγματικὰ ἡ ψυχή του· προσέθεσεν ὁ ἀδελφός.

— Κάνε, παιδί μου, ὅπως νομίζεις· εἶπε καὶ πάλιν ὁ Γέρων.

— Σήκω, Πάτερ, νὰ κάμωμεν προσευχὴν καὶ κατόπιν πηγαίνω εἰς τὸν ἄρχοντα.

---

* Καταγόμενος δηλαδὴ ἀπὸ τὴν Λιβύην, ἤτοι ἀπὸ τὰ μέρη τῆς Β. Ἀφρικῆς.

** Βλέπε ὑποσημείωσιν α' τῆς σελίδος 30 τοῦ ἀνὰ χεῖρας τόμου.

'Αφοῦ λοιπὸν ἐσηκώθησαν καὶ προσηύχοντο, ὅταν ἔφθασαν εἰς τὴν φράσιν τῆς προσευχῆς «καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», ὁ Γέρων εἶπε· καὶ ΜΗ ἀφήσῃς ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς ο ὐ δ ὲ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Ὁ ἀδελφὸς λέγει:

—Ὄχι ἔτσι, Πάτερ.

— Ναί, παιδί μου, ἔτσι· ἀπήντησεν ὁ Γέρων· ἂν πραγματικὰ θέλῃς νὰ ὑπάγῃς πρὸς τὸν ἄρχοντα, διὰ νὰ πραγματοποιήσῃς τὴν ἐκδίκησίν σου, ὁ Σιλουανὸς δὲν σοῦ κάμνει ἄλλην εὐχήν.

Μετὰ ἀπὸ αὐτὸ ἔβαλε μετάνοιαν ὁ ἀδελφὸς καὶ συνεχώρησε τὸν ἐχθρόν του.

5. Κάποιος εἶδεν ἕνα φιλόπονον ἀγωνιστὴν νὰ σηκώνῃ νεκρὸν εἰς τὸ φέρετρον καὶ τοῦ λέγει· τοὺς νεκροὺς βαστάζεις; πήγαινε, στήριξε τοὺς ζωντανούς.

6. Μερικοὶ ἀδελφοὶ ἐπεσκέφθησαν ἕνα ἅγιον Γέροντα, ὁ ὁποῖος ἔμενεν εἰς ἐρημικὸν τόπον. Ἔξω ἀπὸ τὸ κελλί του εὗρῆκαν μερικὰ παιδιὰ νὰ βόσκουν τὰ ζῶα τους καὶ νὰ λέγουν ἄσχημα λόγια. 'Αφοῦ λοιπὸν τοῦ ἐξωμολογήθησαν τοὺς λογισμούς των καὶ ὠφελήθησαν ἀπὸ τὴν γνῶσιν του, τοῦ λέγουν:

— Πῶς ἀνέχεσαι, 'Αββᾶ, αὐτὰ τὰ παιδιὰ καὶ δὲν τοὺς παραγγέλλεις νὰ μὴ ἀσχημονοῦν;

— 'Αδελφοί, τοὺς ἀπήντησεν ὁ 'Αββᾶς, πραγματικὰ ἀπὸ ἡμέρας θέλω νὰ τοὺς τὸ παραγγείλω, ἀλλὰ μαλώνω ἀμέσως τὸν ἑαυτόν μου καὶ λέγω· ἂν αὐτὸ τὸ μικρὸ δὲν ὑποφέρω, πῶς θὰ ἀντέξω, ἂν ἐξαπολυθῇ ἐναντίον μου ἕνας μεγάλος πειρασμός; Δι' αὐτὸ δὲν τοὺς λέγω τίποτα, διὰ νὰ ἠμπορέσω νὰ ὑπομείνω αὐτὰ ποὺ θὰ ἔλθουν.

7. Ἕνας Γέρων συγκατοικοῦσε μὲ ἕνα παιδί. Κάποτε τὸ εἶδε νὰ κάμῃ κάτι, ποὺ δὲν ἦτο πρὸς τὸ συμφέρον του καὶ τοῦ εἶπε μίαν φοράν· μὴ ξανακάμῃς αὐτὸ τὸ πρᾶγμα. Τὸ παιδὶ ὅμως δὲν τὸν ἤκουσε· τότε καὶ ὁ Γέρων ἠδιαφόρησε πλέον καὶ τοῦ ἐπέρριψε τὴν εὐθύνην διὰ τὸ ἁμάρτημά του. Μίαν ἡμέραν τὸ παιδὶ ἐκλείδωσε τὸ κελλίον εἰς τὸ ὁποῖον εἶχον τὰ ψωμιὰ καὶ ἔλειπεν ἐπὶ δέκα τρεῖς ἡμέρας. Κατὰ τὸ διάστημα αὐτὸ ὁ Γέρων ἔμενε νηστικός. Κάποιος γείτονάς του ἀντελήφθη ὅτι ἄργησε νὰ ἐπιστρέψῃ ὁ νέος, ὁ δὲ Γέρων δὲν εἶχε τίποτε νὰ φάγῃ. 'Εμαγείρευε τότε ὀλίγον φαγητόν, τοῦ τὸ ἔδιδεν ἀπὸ τὸν μεσότοιχον καὶ τὸν ἐπαρακαλοῦσε νὰ τὸ φάγῃ. Ἔλεγε δὲ εἰς τὸν Γέροντα· ἄργησε νὰ ἐπιστρέψῃ ὁ ἀδελφός. Καὶ ὁ Γέρων ἀπήντησεν· ὅταν εὐκαιρήσῃ θὰ ἔλθῃ.

8. Ἕνας ἀδελφὸς εἶπεν εἰς ἕνα Γέροντα· θέλω νὰ μαρτυρήσω, διὰ τὸν Θεόν. Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ἂν εἰς δύσκολον περίστασιν ὑπομείνῃ κανεὶς τὸν πλησίον, ἰσοδυναμεῖ μὲ τὸ μαρτύριον τῶν τριῶν Παίδων εἰς τὴν κάμινον.

9. Ἕνας Γέρων εἶπεν· ἂν σὺ καὶ κάποιος ἄλλος ἀνταλλάξετε μεταξύ σας πικρὰ λόγια καὶ ἀρνηθῇ ὁ ἄλλος ἔπειτα τὰ λόγια αὐτά, μὴ τὸν

ἐρεθίσῃς μὲ τὸ νὰ τοῦ λέγῃς· τὰ εἶπες, ἐπειδὴ ἠμπορεῖ νὰ παρεκτραπῇ καὶ αὐτὸς καὶ νὰ ἀπαντήσῃ, ναί, εἶπα· καὶ τί μ' αὐτό; ἔτσι νὰ γίνῃ μεγάλος παροξυσμός. Ἄφησε καὶ σὺ τὰ λόγια, καὶ θὰ ἐπικρατήσῃ μεγάλη εἰρήνη.

Β'. Ἀντιόχου τοῦ Παντέκτου

ΦΑΣΙ περὶ Ἰακώβου τοῦ ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου, ὅτι ἰδὼν αὐτὸν ἀπαγόμενον τὴν ἐπὶ θάνατον ὁ κατηγορήσας αὐτοῦ, μεταμεληθεὶς προσέπεσεν αὐτῷ λέγων, συγχώρησόν μοι· ὁ δὲ ἐπισχὼν μικρόν, εἶπεν, εἰρήνη σοι, καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ εὐθέως φωνῇ μεγάλῃ Χριστιανὸν ἑαυτὸν ἀνηγόρευσε, καὶ συγκατακριθεὶς τῷ ὑπ' αὐτοῦ κηρυχθέντι, σὺν αὐτῷ τοῦ βραβείου τῆς ἄνω κλήσεως ἔτυχεν.

Ἑρμηνεία

ΔΙΑ τὸν Ἰάκωβον, τὸν ἀδελφὸν Ἰωάννου τοῦ Θεολόγου, διηγοῦνται τὸ ἑξῆς· Ὅταν εἶδε τὸν ἅγιον Ἰάκωβον ἐκεῖνος ποὺ τὸν κατήγγειλεν ὡς Χριστιανόν, νὰ ὁδηγῆται εἰς τὸν θάνατον, μετενόησε καὶ ἔπεσεν εἰς τὰ πόδια του.

— Συγχώρεσέ με, τοῦ εἶπε.

Τότε ὁ ἅγιος Ἰάκωβος, ἀφοῦ ἐσταμάτησεν ὀλίγον, τὸν κατεφίλησε καὶ τοῦ ἀπήντησε:

— Εἰρήνη εἰς σέ*.

Κατόπιν αὐτοῦ ὁ κατήγορος τοῦ ἁγίου Ἰακώβου ὡμολόγησε μὲ δυνατὴν φωνὴν ὅτι καὶ αὐτὸς εἶναι Χριστιανός· ὁπόταν κατεδικάσθη μαζὶ μὲ ἐκεῖνον τὸν ὁποῖον κατηγόρησεν ὡς Χριστιανὸν καὶ ἔλαβε μαζί του τὸ βραβεῖον τῆς οὐρανίου κλήσεως.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, ἐὰν ἀκούσῃς τι κακὸν γεγενῆσθαι σοι παρά τινος, σπούδασον ἀντιστῆναι τὸ θέλημά σου τὸ καλόν, τοῦ μὴ ἀνταποδοῦναι ἐν τῇ καρδίᾳ σου τῷ λυπήσαντί σε, καὶ ἢ μέμφασθαι ἢ κρῖναι αὐτόν, ἢ καταλαλῆσαι καὶ παραδοῦναι αὐτὸν εἰς στόματα ἄλλων. Εἰ γάρ ἐστιν ἐν σοὶ ὁ φόβος τῆς γεέννης, κατακυριεύσει τοῦ λογισμοῦ σου τοῦ βουλομένου ἀνταποδοῦναι τῷ πλησίον, λέγων σοι· ταλαίπωρε ἄνθρωπε, ε ὔ χ ῃ σ ὺ δ ι ὰ τ ὰ ς ἁ μ α ρ τ ί α ς σ ο υ, κ α ὶ β α σ τ ά ζ ε ι σ ε ὁ Θ ε ὸ ς ἕ ω ς τ ῆ ς σ ή μ ε ρ ο ν μ ὴ φ α ν ε ρ ῶ ν α ὐ τ ά ς, σὺ δὲ πῶς τολμᾷς τῷ πλησίον μηνιῶν βαλεῖν αὐτὸν εἰς τὰ στόματα τῶν ἀνθρώπων; Οὐκοῦν εἰ τοῦτο ποιήσεις, οὐδὲ ὁ Θεός σοι συγχωρήσει τὰς ἁμαρτίας σου, ἀλλ' ἔσται φανερῶν αὐτὰς ἐνώπιον πάσης τῆς κτίσεως.

Ἐὰν οὖν ἐκ τούτου τοῦ λογισμοῦ ἁπαλυνθῇ ἡ καρδία σου, καὶ φυλάξῃς ἑαυτὸν τοῦ μὴ ἀποδοῦναι τῷ πλησίον, ἔσται σοι ἔλεος παρὰ τοῦ Θεοῦ. Εἰ δὲ ἡ καρδία σου ἡ πονηρὰ σκληρυνθείη πρὸς τὸν πλησίον, γίνωσκε ὅτι οὔπω ἦλθέ σοι μνήμη

---

*Βλ. ὑποσημείωσιν γ' τῆς σελίδος 376 τοῦ ἀνὰ χεῖρας τόμου τοῦ «Εὐεργετινοῦ».

ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ δειλὸς εἶ, ἀμεταθέτους ἔχων ἁμαρτίας, μηδεμιᾶς καταλαβούσης σε συγχωρήσεως.

Μὴ οὖν ὀργισθῶμεν εἰς τοὺς πλησίον διὰ λόγους λεγομένους παρὰ τῶν ἐν ἀφροσύνῃ, οὐκ ἐν θελήματι αὐτῶν, ἀλλ' ἐξ ἐπηρείας τοῦ κινοῦντος τὰ μέλη ἡμῶν καθ' ἡμῶν, ἵνα αὐτὰ μισήσαντες, ὑπὸ τὰς χεῖρας αὐτοῦ γενώμεθα. Ἀλλὰ πρόσχωμεν εἰς τὰς ἁγίας τοῦ Σωτῆρος ἡμῶν ἐντολάς, καὶ ἐκκόψωμεν τὸ θέλημα ἑαυτῶν· εἰ γὰρ τὸν τιμῶντα ἡμᾶς ἢ ὑπακούοντα ἀγαπῶμεν, τί πλέον τοῦ ἐθνικοῦ ποιοῦμεν; Εἰ ὑπὲρ τῶν εὐεργετούντων ἡμᾶς προσευχόμεθα, καὶ ὁ Τελώνης τὸ αὐτὸ ποιεῖ· εἰ μετὰ τοῦ ἐπαινοῦντος ἡμᾶς χαίρομεν, καὶ ὁ ἁμαρτωλὸς τὸ αὐτὸ ποιεῖ· εἰ τὸν ἀδικοῦντα ἢ παρακούοντα ἢ μισοῦντα μισοῦμεν, ὡς Ἰουδαῖοι καὶ ἡμεῖς.

Τί οὖν περιττὸν σὺ ποιεῖς, ὁ εἰς Χριστὸν καὶ τὸν θάνατον αὐτοῦ βαπτισθείς, καὶ λοιπὸν μηκέτι ἑαυτῷ ζῆν ὀφείλων, ἀλλὰ τῷ ὑπὲρ σοῦ ἀποθανόντι καὶ ἀναστάντι; Ἐξερεύνησον σεαυτόν, εἰ ἐξακολουθεῖς τοῖς ἴχνεσιν αὐτοῦ· αὐτὸς ἀναμάρτητός ἐστι, καὶ τύπον ἑαυτὸν δεικνύς σοι ἐν πᾶσιν. Ἐπορεύθη ἐν πτωχείᾳ, σὺ δὲ οὐδὲ βαστάζεις τὴν πτωχείαν· αὐτὸς οὐκ ἔσχε ποῦ τὴν κεφαλὴν κλῖναι, σὺ δὲ οὐ βαστάζεις τὴν ξενιτείαν μετὰ χαρᾶς· αὐτὸς τὰς ὕβρεις ἐβάστασε, σὺ δὲ οὐδεμίαν ὕβριν βαστάζεις· αὐτὸς οὐκ ἀνταπεδίδου, σὺ δὲ οὐ φέρεις μὴ ἀνταποδοῦναι κακόν· αὐτὸς οὐκ ὠργίζετο πάσχων, σὺ δὲ καὶ καταπονῶν ὀργίζῃ. Αὐτὸς ἀτάραχος διέμενεν ὑβριζόμενος, σὺ δὲ μηδὲ ὑβριζόμενος ταράσσῃ· αὐτὸς ἐν ταπεινοφροσύνῃ παρεκάλει τοὺς ἁμαρτάνοντας εἰς αὐτόν, σὺ δὲ καὶ τοὺς ἀγαπῶντας πλήττεις διὰ λόγου· αὐτὸς πάντα τὰ ἐπιφερόμενα αὐτῷ μετὰ χαρᾶς ἔφερε, σὺ δὲ καὶ μικρὰν λύπην ἀκούων ἀγριαίνεις. Αὐτὸς πρᾶος ἦν μετὰ τῶν ἐμπεσόντων ἐν ἁμαρτίαις, σὺ δὲ ἐπὶ τοὺς μεγαλυτέρους σου ὑψηλοφρονεῖς· αὐτὸς δέδωκεν ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτησάντων εἰς αὐτόν, ἕως οὗ λυτρώσηται αὐτούς, σὺ δὲ οὐδὲ ὑπὲρ τῶν ἀγαπώντων σε δύνει δοῦναι ἑαυτόν.

Ἴδε οὖν τίνα σοι δέδωκε, καὶ τίνα αὐτῷ ἀνταποδίδως· γνῶθι αὐτὸν διὰ τῶν ἔργων αὐτοῦ, καὶ σεαυτὸν δι' ὧν ποιεῖς. Εἰ οὖν συναπέθανες αὐτῷ ἐν τῷ θείῳ Βαπτίσματι, τί ποιεῖς τὰ ἁμαρτήματα ταῦτα; πῶς οὖν ἔχεις ἀπαντῆσαι αὐτῷ ἐν τῇ ἡμέρᾳ τῆς δόξης αὐτοῦ, ἡνίκα φανερωθήσεται ἐξ οὐρανοῦ ὁρώμενος ὑπὸ παντὸς γένους ἐν τῇ μεγάλῃ δόξῃ αὐτοῦ, ἔχων ἐν ἑαυτῷ τὰ σημεῖα, ἅπερ πέπονθεν ὑπὲρ ἡμῶν; Σὺ δὲ μέλλεις φανῆναι μηδὲν ἔχων τῶν παθημάτων αὐτοῦ ἐν τῷ σώματί σου; Ἐρεῖ οὖν σοι πάντως, ὅτι οὐκ οἶδά σε· μέλλεις δὲ τότε ὁρᾶν καὶ πάντας τοὺς ἁγίους τοὺς ἀποθανόντας διὰ τὸ ὄνομα αὐτοῦ ἔχοντας τὸ σημεῖον αὐτοῦ, καὶ τότε αἰσχυνθήσῃ ἐνώπιον αὐτῶν.

Ζήτησον γὰρ τὸν βίον ἑκάστου τῶν ἁγίων, καὶ εὑρήσεις αὐτοὺς κακὰ ὑπομείναντας, καὶ μὴ ἀνταποδεδωκότας· ἥγου τοὺς Προφήτας, τοὺς Ἀποστόλους, τοὺς Μάρτυρας, καὶ τοὺς λοιποὺς τῶν ἁγίων, ὧν πάντων τὸ αἷμα ἀναβοᾷ, ἐκδίκησον ἡμᾶς ἀπὸ τῶν κατοικούντων τὴν γῆν. Καὶ γὰρ οὗτοι πάντες κακῶς πάσχοντες ἐμακροθύμουν, μὴ ἀνταποδιδόντες τινί, μηδὲ ὀργιζόμενοι, καὶ ἀποκτεινόμενοι, ἢ λιθαζόμενοι, ἢ κατακαιόμενοι, ἢ καταποντιζόμενοι, ἢ κατακοπτόμενοι, ἐμακροθύμουν πρὸς τοὺς κολάζοντας καὶ ηὔχοντο ὑπὲρ αὐτῶν, ἵνα συγχωρηθῇ αὐτοῖς, εἰδότες ὅτι οὐ κατὰ τὸ φυσικὸν θέλημα πράττουσιν, ἀλλὰ ἀδικία ἐστὶ τοῦ διαβόλου, ὑφ' ἧς σκοτιζόμενοι ἀναγκάζονται ταῦτα ποιῆσαι αὐτοῖς.

Σκόπησον οὖν καὶ σὺ σεαυτόν, ἀγαπητέ, εἰ καὶ σὺ τοιοῦτον ἔχεις ἐνώπιον

τοῦ Θεοῦ· οὐδὲν γὰρ δύνασαι κρύψαι ἐν τῇ ὥρᾳ ἐκείνῃ, οὐ γὰρ δύναταί τις καθὼς θέλει φθέγξασθαι, ἀλλὰ τὰ ἔργα ἑκάστου φθέγγονται, οἷα εἰσίν. Ὅταν γὰρ γίνηται ἡ ἀνάστασις, ἕκαστος ἀνίσταται ἐνδεδυμένος τὴν οἰκείαν πρᾶξιν, καθάπερ ἔνδυμα, εἴτε κακίαν, εἴτε δικαιοσύνην, καὶ αὐτά ἐστι τὰ μέλλοντα λαλῆσαι, καὶ αὐτὰ ἐπίστανται ἕκαστον τὸν οἰκεῖον τόπον.

Μακάριος οὖν ὁ ἀγωνισάμενος καὶ ἐκδυσάμενος τὰ ἕλκοντα αὐτὸν εἰς τὴν γέενναν, καὶ ἐνδυσάμενος τὰ ἕλκοντα αὐτὸν εἰς τὴν βασιλείαν. Λέγει γὰρ ὁ Ἀπόστολος· «οἴδαμεν ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἔχομεν ἐκ Θεοῦ οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς».

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ἂν ἀκούσῃς, ὅτι κάποιο κακὸν σοῦ ἔγινεν ἀπὸ κάποιον, φρόντισε νὰ ἀντιτάξῃς εἰς τὸ κακὸν τὸ καλόν σου θέλημα, ὥστε νὰ μὴ ἀνταποδώσῃς εἰς τὴν καρδίαν σου τὰ ἴδια μὲ αὐτὸν ποὺ σὲ ἐλύπησε καὶ ἢ τὸν μεμφθῇς ἢ τὸν κατακρίνῃς, ἢ τὸν συκοφαντήσῃς καὶ τὸν παραδώσῃς ἔτσι εἰς τὰ στόματα τῶν ἄλλων. Ἂν ὑπάρχῃ μέσα σου ὁ φόβος τῆς κολάσεως, θὰ νικήσῃ τὸν λογισμόν, ποὺ θέλει νὰ ἐκδικηθῇ τὸν πλησίον σου· αὐτὸς ὁ φόβος θὰ σοῦ ψιθυρίσῃ· ταλαίπωρε ἄνθρωπε, σὺ παρακαλεῖς διὰ τὰς ἁμαρτίας σου καὶ ὁ Θεὸς σὲ ἀνέχεται μέχρι σήμερα, χωρὶς νὰ τὰς φανερώνῃ· σὺ ὅμως πῶς τολμᾷς, γεμᾶτος ἀπὸ ὀργὴν πρὸς τὸν πλησίον, νὰ τὸν ρίψῃς εἰς τὰ στόματα τῶν ἀνθρώπων; Ἂν λοιπὸν τὸ κάμῃς αὐτό, οὔτε ὁ Θεὸς θὰ σοῦ συγχωρήσῃ τὰς ἁμαρτίας σου, ἀλλὰ θὰ τὰς φανερώσῃ ἐνώπιον ὅλης τῆς κτίσεως.

Ἂν μὲ τὴν σκέψιν αὐτὴν μαλακώσῃ ἡ καρδία σου καὶ προφυλαχθῇς ἀπὸ τὸ νὰ ἐκδικηθῇς τὸν πλησίον, θὰ ὑπάρξῃ καὶ διὰ σὲ ἔλεος ἀπὸ τὸν Θεόν. Ἂν ὅμως ἡ πονηρά σου καρδία σκληρυνθῇ ἐναντίον τοῦ πλησίον σου, γνώριζε ὅτι ἀκόμη δὲν ἐσκέφθης ἐμπρὸς εἰς τὸν Θεὸν τὰ ἁμαρτήματά σου, ἀλλὰ εἶσαι δειλὸς καὶ διατηρεῖς μέσα σου μονίμως ἁμαρτίας, ἀφοῦ δὲν ἐπέτυχες καμμίαν συγχώρησιν.

Ἂς μὴ ὀργισθῶμεν λοιπὸν ἐναντίον τῶν πλησίον μας διὰ λόγια, ποὺ λέγονται ἀπὸ τοὺς ἀνοήτους, χωρὶς τὴν θέλησίν των, ἀλλὰ ἀπὸ ἐπήρειαν τοῦ σατανᾶ, ποὺ κινεῖ τὰ μέλη μας (τοὺς πλησίον μας) ἐναντίον μας, διὰ νὰ τὰ μισήσωμεν καὶ νὰ γίνωμεν ὑποχείριά του. Ἂς προσέξωμεν τὰς ἁγίας ἐντολὰς τοῦ Σωτῆρος μας καὶ ἂς κόψωμεν τὸ θέλημά μας· διότι ἂν ἀγαπῶμεν μονάχα αὐτοὺς ποὺ μᾶς τιμοῦν ἢ μᾶς ὑπακούουν, τί κάμνομεν περισσότερον ἀπὸ τὸν εἰδωλολάτρην; Ἂν προσευχώμεθα μονάχα διὰ τοὺς εὐεργέτας μας, ὁμοιάζομεν μὲ τὸν τελώνην ποὺ κάμνει τὸ ἴδιον· ἂν χαίρωμεν μονάχα μαζὶ μὲ αὐτὸν ποὺ μᾶς ἐπαινεῖ, δὲν διαφέρομεν ἀπὸ τὸν ἁμαρτωλὸν ποὺ καὶ αὐτὸς τὸ ἴδιον κάμνει· ἂν μισοῦμεν αὐτὸν ποὺ μᾶς ἀδικεῖ ἢ μᾶς παρακούει ἢ μᾶς μισεῖ, τότε καὶ ἡμεῖς εἴμεθα ὅπως οἱ Ἰουδαῖοι*.

---

* Τὰ τελευταῖα ταῦτα λέγονται διὰ τοὺς Ἰουδαίους, ἐπειδὴ ὁ Μωσαϊκὸς νό-

Τί λοιπὸν περισσότερον κάμνεις σύ, ποὺ ἐβαπτίσθης εἰς τὸν Χριστὸν καὶ τὸν θάνατον Αὐτοῦ, καὶ ποὺ εἰς τὸ ἑξῆς δὲν πρέπει νὰ ζῇς διὰ τὸν ἑαυτόν σου ἀλλὰ δι' Ἐκεῖνον, ὁ ὁποῖος διὰ σὲ ἀπέθανε καὶ ἀνεστήθη; Ἐξέτασε προσεκτικά τὸν ἑαυτόν σου, ἂν ἀκολουθῇ τὰ βήματά Του. Αὐτὸς εἶναι ἀναμάρτητος καὶ πρότυπον εἰς ὅλα. Ἐβάδισεν εἰς τὴν πτωχείαν, σὺ ὅμως δὲν ὑποφέρεις καθόλου τὴν πτωχείαν· Αὐτὸς δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλήν του, σὺ δὲ δὲν ἀντέχεις μὲ χαρὰν τὴν ξενιτειάν· Αὐτὸς ἠνέχθη τὰς ὕβρεις, ἐνῷ σὺ καμμίαν ὕβριν δὲν σηκώνεις· Αὐτὸς δὲν ἐξεδικεῖτο, ἐνῷ σὺ δὲν ἡσυχάζεις ἂν δὲν ἀνταποδώσῃς τὸ κακὸν ποὺ σοῦ ἔκαμαν· Αὐτὸς δὲν ὠργίζετο καὶ ὅταν ἀκόμη ἔπασχεν, ἐνῷ σὺ ὀργίζεσαι καὶ ὅταν στενοχωρῇς τοὺς ἄλλους· Αὐτὸς παρέμενεν ἀτάραχος ὅταν ὑβρίζετο, ἐνῷ σὺ καὶ χωρὶς νὰ ὑβρίζεσαι ταράσσεσαι· Αὐτὸς μὲ ταπεινοφροσύνην συνεβούλευεν ὅσους ἡμάρτανον εἰς Αὐτόν, ἐνῷ σὺ καὶ αὐτοὺς ποὺ σὲ ἀγαποῦν τοὺς κτυπᾷς μὲ τὰ λόγια· Αὐτὸς ὅλα ὅσα Τοῦ συνέβαινον τὰ ὑπέφερε μὲ χαράν, σὺ καὶ τὸ παραμικρότερον ποὺ φέρνει λύπην, ὅταν τὸ ἀκούσῃς, ἐξαγριώνεσαι· Αὐτὸς ἦτο πρᾶος πρὸς ἐκείνους ποὺ ἔπεσαν εἰς ἁμαρτίας, σὺ ὑπερηφανεύεσαι καὶ εἰς βάρος τῶν ἀξιωτέρων σου· Αὐτὸς ἔδωσε τὸν Ἑαυτόν Του χάριν ἐκείνων ποὺ ἡμάρτησαν εἰς Αὐτόν, μέχρις ὅτου τοὺς λυτρώσῃ ἀπὸ τὴν ἁμαρτίαν, ἐνῷ ἐσὺ οὔτε καὶ δι' ἐκείνους ποὺ σὲ ἀγαποῦν δὲν ἠμπορεῖς νὰ θυσιάσῃς τὸν ἑαυτόν σου.

Κοίταξε λοιπὸν τί σοῦ ἔδωσε καὶ τί Τοῦ ἀνταποδίδεις· γνώρισέ Τον ἀπὸ τὰ ἔργα Του, καὶ τὸν ἑαυτόν σου ἀπὸ τὰ ἰδικά σου. Ἂν λοιπὸν ἀπέθανες μαζί Του, εἰς τὸ Θεῖον Βάπτισμα (Ρωμ. στ', 3), διατί διαπράττεις αὐτὰς τὰς ἁμαρτίας; Πῶς λοιπὸν θὰ ἠμπορέσῃς νὰ τὸν ἀντικρύσῃς, κατὰ τὴν ἡμέραν τῆς δόξης Του, ὅταν θὰ φανερωθῇ εἰς τὸν Οὐρανόν, καὶ θὰ τὸν βλέπῃ εἰς τὴν μεγάλην Του, δόξαν ὅλον τὸ ἀνθρώπινον γένος καὶ θὰ φέρῃ ἐπάνω Του τὰ ἴχνη τῶν Παθῶν, ποὺ ἐδοκίμασε πρὸς χάριν μας (Ἑβρ. β', 9—10); Σὺ πρόκειται νὰ ἐμφανισθῇς χωρὶς νὰ ἔχῃς τίποτε ἀπὸ τὰ παθήματα αὐτὰ εἰς τὸ σῶμα σου; Θὰ σοῦ εἴπῃ λοιπὸν τότε ὁπωσδήποτε· «δὲν σὲ γνωρίζω». Θὰ ἴδῃς τότε καὶ ὅλους τοὺς Ἁγίους, οἱ ὁποῖοι ἀπέθανον διὰ τὸ ὄνομα Αὐτοῦ, νὰ ἔχουν τὸ σημεῖον Του καὶ τότε θὰ ἐντροπιασθῇς ἐνώπιον αὐτῶν.

Μελέτησε τὸν βίον τοῦ κάθε Ἁγίου καὶ θὰ τοὺς εὕρῃς ὅλους νὰ ἔχουν ὑπομείνει κακά, χωρὶς ὅμως νὰ τὰ ἀνταποδώσουν· δηλαδὴ τοὺς Προφήτας, τοὺς Ἀποστόλους τοὺς Μάρτυρας καὶ τοὺς ὑπολοίπους Ἁ-

---

μος ἐπέβαλλεν εἰς τὸν ἐγκληματίαν τὴν ἰδίαν ποινήν, μὲ τὸ κακὸν ποὺ ἔκαμεν. Παροιμιῶδες ἄλλωστε ἔχει μείνει τὸ «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός». (Ἔξοδος, Κεφ. κα', 24). Ἐὰν δηλαδὴ κάποιος ἐγένετο αἴτιος νὰ τυφλωθῇ ἄνθρωπος, ἡ ποινὴ ποὺ τοῦ ἐπεβάλλετο ἦτο ἡ ἐξόρυξις τοῦ ὀφθαλμοῦ κ.ο.κ. Ταῦτα πάντα ὅμως ἐπέκρινεν ὁ Κύριος κατὰ τὴν ἐπὶ τοῦ ὄρους ὁμιλίαν, συμπληρώσας οὕτω τὸν Μωσαϊκὸν νόμον ἢ μᾶλλον τελειοποιήσας αὐτὸν εἰς τὸν ὕψιστον βαθμόν, ἀνεδίδεκτον βελτιώσεως.

γίους, τῶν ὁποίων τὸ αἷμα κραυγάζει· «ἀπόδωσε δικαιοσύνην διὰ τὴν ἀδικίαν ποὺ διέπραξαν εἰς βάρος μας οἱ κατοικοῦντες τὴν γῆν» (᾽Αποκαλ. στ΄, 9—10). Διότι ὅλοι αὐτοί, ἐνῷ ὑπέφεραν, ἐμακροθυμοῦσαν, χωρὶς νὰ ἀνταποδίδουν τὸ κακὸν εἰς κανένα, χωρὶς νὰ ὀργίζωνται· καὶ ἐνῷ ἐφονεύοντο ἢ ἐλιθοβολοῦντο ἢ κατεκαίοντο ἢ κατεποντίζοντο ἢ ἐκόπτοντο εἰς μικρὰ κομμάτια, ἦσαν μακρόθυμοι πρὸς ἐκείνους ποὺ τοὺς ἐβασάνιζαν καὶ προσηύχοντο δι᾽ αὐτούς, διὰ νὰ συγχωρηθοῦν, ἐπειδὴ ἐγνώριζαν ὅτι δὲν ἐνεργοῦν μὲ τὴν φυσικήν των θέλησιν, ἀλλὰ ὑπὸ τὴν πίεσιν τῆς ἀδικίας, ποὺ εἶναι τοῦ διαβόλου καὶ ἀπὸ τὴν ὁποίαν ἐσκοτίζοντο καὶ ἔκαναν ἀναγκαστικὰ αὐτὰ εἰς βάρος τῶν Ἁγίων.

᾽Εξέτασε καὶ σὺ λοιπὸν τὸν ἑαυτόν σου, ἀγαπητέ, μήπως ἔχεις κάτι τέτοιο ἐνώπιον τοῦ Θεοῦ, διότι τίποτε δὲν ἠμπορεῖς νὰ κρύψῃς κατὰ τὴν ὥραν ἐκείνην· διότι δὲν ἠμπορεῖ νὰ ὁμιλήσῃ κανεὶς ὅπως θέλει, ἀλλὰ τὰ ἔργα τοῦ καθενός, ὅποια καὶ ἂν εἶναι, ὁμιλοῦν μόνα των. Ὅταν δηλαδὴ γίνῃ ἡ ᾽Ανάστασις, ὁ καθένας θὰ ἀναστηθῇ καὶ θὰ φορῇ ὡς ἔνδυμα, τὰς ἰδικάς του πράξεις, εἴτε κακάς, εἴτε ἐναρέτους καὶ αὐταὶ εἶναι ποὺ πρόκειται νὰ ὁμιλήσουν καὶ ἡ κάθε μία ἀπὸ αὐτὰς θὰ γνωρίζῃ τὸν τόπον ποὺ ταιριάζει εἰς τὸν καθένα.

Εἶναι λοιπὸν μακάριος ἐκεῖνος ποὺ ἠγωνίσθη καὶ ἀπέβαλε τὰ ἐνδύματα, ποὺ τὸν σύρουν εἰς τὴν γέενναν, καὶ ἐνεδύθη τὰ ἐνδύματα ποὺ τὸν ὁδηγοῦν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Διότι ὁ ᾽Απόστολος λέγει· «γνωρίζομεν ὅτι ὅταν κρημνισθῇ ἡ ἐπίγειος κατοικία τοῦ σώματος ἔχομεν ἀπὸ τὸν Θεὸν οἰκοδομήν, κατοικίαν, τὴν ὁποίαν δὲν κατεσκεύασαν ἀνθρώπινα χέρια, αἰώνιον, ποὺ εὑρίσκεται εἰς τοὺς Οὐρανοὺς» (Β΄ Κορ. ε΄, 1).

Δ΄. Τοῦ ᾽Αββᾶ Μάρκου

ΗΡΩΤΗΣΕ ΤΙΣ τῶν ἐλλογίμων δικανικὸς γέροντα ἀσκητὴν λέγων· παρακαλῶ, πείσατέ με, γνῶναι θέλοντα, τί φρονοῦντες οἱ μοναχοὶ φατὲ δεῖν τοὺς ἀδικοῦντας μὴ κρίνειν; ᾽Απεκρίθη ὁ γέρων· τὸ μὴ ἀδικεῖν τοὺς ἀδικοῦντας Θεοῦ ἐστιν ἐντολή, εἰρηκότος διὰ τοῦ Προφήτου: «ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει Κύριος», καὶ ἐν τοῖς Εὐαγγελίοις «ἄφετε καὶ ἀφεθήσεται ὑμῖν»· καὶ πολλαχοῦ δὲ τῆς Γραφῆς τοῦτο προστέτακται. Λοιπὸν τίς ἐστιν ὁ τούτων δικαιοτέρους νόμους ὁρισάμενος, καὶ πρὸ καιροῦ κρῖναι θέλων τοὺς ἀδικοῦντας ὡς ἀναμάρτητος; Ἔφη ὁ σχολαστικός· οἱ οὖν ἄρχοντες ἁμαρτάνουσι τοὺς ἀδικοῦντας ἀμυνόμενοι, καὶ τοῖς ἀδικουμένοις τὸ δίκαιον ἀποσώζοντες; Ὁ γέρων εἶπεν· οἱ δικασταὶ οὐχ ἁμαρτάνουσι τοὺς ἀδικοῦντας ἀμυνόμενοι, ἀλλ᾽ οἱ παραδιδόντες καὶ μὴ Θεῷ ἀποδιδόντες.

Πρῶτον μὲν ὅτι πᾶν τὸ ἐπελθὸν αὐτοῖς τῶν ἰδίων κακῶν ἐπιφορὰ τυγχάνει, εἰς μετάνοιαν αὐτοὺς ἕλκον, καὶ οὐχ εἰς ἄμυναν· δεύτερον δέ, εἰ καὶ ἀδίκως ἔπαθον τὸ τυχὸν πλημμέλημα, ἔδει ἀφεῖναι τῷ ἀδικήσαντι, κατὰ τὴν τοῦ Κυρίου πρόσταξιν, ἵνα καὶ αὐτοῖς ἀφεθῇ καὶ μὴ διὰ τῆς ἀνθρωπίνης ἀνταποδόσεως ἀσυγχώρητα ποιεῖν τὰ ἐν ἑαυτοῖς κακά.

Οἱ δὲ ἄρχοντες, κατὰ τὸν ᾽Απόστολον, οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων,

ἀλλὰ τῶν κακῶν· οὐ γὰρ τοὺς πιστοὺς καὶ εὐλαβεῖς ἀναγκάζουσι τῶν ἀδικούντων κατηγορεῖν οὐδὲ τοῖς ἀνεξικάκοις ἐγκαλοῦσι, διότι οὐ χρῶνται τοῖς δικαστηρίοις ἀδικούμενοι, ἀλλὰ τοῖς βουλομένοις παρέχουσι τὴν ἐκδίκησιν· τοὺς δὲ διὰ τὸν Θεὸν μακροθυμοῦντας, ὡς μᾶλλον εὖ φρονοῦντας καὶ τιμῶσι καὶ ἀποδέχονται. Ὥς περ οὖν τοὺς μὴ βουλομένους ἐντυγχάνειν οὐκ ἐφέλκονται, οὕτω καὶ τοὺς κατηγοροῦντας ἐκδικοῦντες οὐχ ἁμαρτάνουσι.

Διὸ χρή, ὦ σοφώτατε, μετὰ τοὺς ἔξωθεν λόγους τε καὶ νόμους, καὶ τὸν πνευματικὸν διδαχθῆναι νόμον, καὶ ὡς ἴδια ὑπομένειν τὰ ἐπερχόμενα θλιβερὰ καὶ τοὺς ἐπάγοντας μὴ ἀμύνασθαι, ἀλλ' ἀγαπᾶν καὶ τοὺς τῆς ἀγάπης νόμους τηρεῖν ἐπ' αὐτούς. Ἡ γὰρ ἀγάπη, φησὶν ἡ γραφή, «οὐ λογίζεται τὸ κακόν, ἀλλὰ πάντα στέγει, πάντα ἐλπίζει, πάντα πιστεύει, πάντα ὑπομένει». Ταῦτα δὲ ποιοῦσα οὐ δύναται κρίνειν τὸν ἀδικεῖν αὐτὴν δοκοῦντα· ἐν ταύτῃ ἕτερος μὲν ἑτέρου διαφέρομεν, πάντες δὲ τῆς ἀξίας αὐτῆς ἀπολειπόμεθα, ἐκδεχόμενοι χάριτι Χριστοῦ τῶν ἐλλειμμάτων τὴν ἀναπλήρωσιν, εἴπερ τῆς κατὰ δύναμιν ἐργασίας οὐκ ἀμελήσωμεν.

Διὸ οἱ μὲν ῥήμασι σοφοὶ μόνους τοὺς ἀδικοῦντας ἁμαρτάνειν νομίζουσιν, οἱ δὲ ἐν πνεύματι, καὶ ἀδικούμενοι ἑαυτοὺς καταμέμφονται, ὅταν μὴ αὐθαιρέτως τὰς ἀδικίας ὑποφέρωσιν· οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ὅτι καὶ ἐκ παλαιᾶς αὐτῶν αἰτίας αἱ θλίψεις ἀναφύονται, εἰ καὶ ἁμάρτημα ἁμαρτήματος ἐλαφρότερον τυγχάνει. Ὁ μὲν γὰρ ἐκδικῶν ἑαυτὸν ἀκρισίας Θεοῦ δοκεῖ καταγινώσκειν, ὁ δὲ ὑποφέρων ὡς ἰδίαν τὴν ἐπελθοῦσαν αὐτῷ θλῖψιν, τὴν ἑαυτοῦ πρόληψιν ὁμολογεῖ, δι' ἣν καὶ ὑπομένει πάσχων τὰ δεινά· ἐκφεύγει ἁμαρτίας ὁ παρὰ ἀνθρώπων ἀδικούμενος καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει ἀντίληψιν.

Ὁ πιστεύων τῷ Χριστῷ περὶ ἀνταποδόσεως, πᾶσαν ἀδικίαν ὑπομένει κατὰ ἀναλογίαν τῆς πίστεως. Ὁ ἀδικούντων ἀνθρώπων ὑπερευχόμενος, καταταράσσει δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος, ὑπὸ τῶν δευτέρων τιτρώσκεται. Κρείσσων πλημμέλεια ἀνθρώπων καὶ μὴ δαιμόνων· ὁ δὲ εὐαρεστῶν τῷ Κυρίῳ ἀμφοτέρους ἐνίκησεν. Ὁ διὰ χρήματα ἢ δόξαν ἢ ἡδονὴν ὀργιζόμενος τῷ πλησίον, οὐκ ἐπέγνωκεν, ὅτι ἐν δικαιοσύνῃ διοικεῖ ὁ Θεὸς τὰ πράγματα. Μὴ θέλε ἀκούειν δυστυχίας ἐχθρῶν ἀνθρώπων· οἱ γὰρ ἡδέως ἀκούοντες τῶν τοιούτων ῥημάτων καρποὺς τρυγῶσι τῆς ἰδίας προθέσεως.

Οὐκ ἔστιν ἀπὸ καρδίας συγχωρῆσαί τινι τὰ παραπτώματα, ἐκτὸς γνώσεως ἀληθοῦς· αὕτη γὰρ ἴδια ἑκάστῳ τὰ ἐπερχόμενα δείκνυσιν. Ὁ ἀθετούμενος ὑπό τινος, καὶ μήτε λόγῳ, μήτε ἐννοίᾳ τῷ ἀθετοῦντι φιλονικῶν, γνῶσιν ἀληθῆ κέκτηται καὶ πίστιν βεβαίαν ἐπιδείκνυται τῷ Δεσπότῃ. Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι· ἑκάστῳ γὰρ τὸ δίκαιον τοῦ Θεοῦ ἀποσῴζοντος, οὔτε τῷ ἀδικοῦντι ἐστὶ περίσσεια, οὔτε τῷ ἀδικουμένῳ ὑστέρημα· ἐπεὶ δὲ οὕτω ταῦτα, ἐν εἰκόνι ὄντως διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσεται. Οἰκτίρμων καρδία δηλονότι οἰκτειρηθήσεται, καὶ ἐλεήμων ὁμοίως ἐλεηθήσεται· τὰ δὲ ἐναντία τούτων, ἡ ἀκολουθία ἀντιπεφώνηκεν.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΙΟΣ μορφωμένος δικηγόρος ἠρώτησεν ἕνα Γέροντα ἀσκητήν:

— Παρακαλῶ — τοῦ εἶπε — διαφωτίσατέ με, διότι θέλω νὰ μάθω, πῶς σκέπτεσθε σεῖς οἱ μοναχοί, ὅταν λέγετε, ὅτι δὲν πρέπει νὰ δικάζωμεν αὐτοὺς ποὺ μᾶς ἀδικοῦν;

Ὁ Γέρων ἀπήντησε:

— Τὸ νὰ μὴ ἀδικοῦμεν αὐτοὺς ποὺ μᾶς ἀδικοῦν, εἶναι ἐντολὴ τοῦ Θεοῦ, ὁ ὁποῖος παρήγγειλε μὲ τὸ στόμα τοῦ Προφήτου· «εἰς ἐμὲ ἀνήκει ἡ ἐκδίκησις, καὶ ἐγὼ θὰ τιμωρήσω, λέγει ὁ Κύριος» (Ἱερεμ. κη', 36—37). Ἐπίσης εἰς τὰ Εὐαγγέλια προστάζει· «συγχωρήσατε καὶ θὰ συγχωρηθῆτε» (Ματθ. στ', 14—15). Καὶ εἰς πολλὰ ἄλλα μέρη τῆς Ἁγίας Γραφῆς προστάζεται αὐτό. Ποῖος εἶναι λοιπὸν αὐτὸς ποὺ ὥρισε περισσότερον δικαίους νόμους καὶ θέλει, πρὸ τῆς ὥρας, νὰ κρίνῃ ὡς ἀναμάρτητος ἐκείνους ποὺ ἀδικοῦν;

Ὁ μορφωμένος ἠρώτησε πάλιν:

—Ἁμαρτάνουν λοιπὸν οἱ ἄρχοντες ὅταν τιμωροῦν τοὺς ἀδικοῦντας καὶ ἀποδίδουν τὸ δίκαιον εἰς τοὺς ἀδικουμένους;

Ὁ Γέρων ἀπήντησεν:

— Οἱ δικασταὶ δὲν ἁμαρτάνουν τιμωροῦντες τοὺς ἀδικοῦντας· ἀλλ' ἐκεῖνοι ποὺ παραδίδουν τοὺς ἀδικοῦντας εἰς τοὺς δικαστὰς καὶ δὲν τοὺς ἀφήνουν εἰς τὴν κρίσιν τοῦ Θεοῦ. Πρῶτον μὲν διότι κάθε τὶ ποὺ θὰ συμβῇ εἰς αὐτοὺς εἶναι τιμωρία διὰ νὰ μετανοήσουν καὶ ὄχι διὰ νὰ ἐκδικηθοῦν· δεύτερον δέ, ἂν ἀκόμη καὶ ἀδίκως ὑπέστησαν τὴν τυχὸν ἀδικίαν, ἔπρεπε νὰ συγχωρήσουν τὸν ἀδικήσαντα, σύμφωνα μὲ τὴν προσταγὴν τοῦ Κυρίου, διὰ νὰ συγχωρηθοῦν καὶ αὐτοὶ καὶ νὰ μὴ κάμνουν ἀσυγχώρητα τὰ σφάλματά των μὲ τὴν ἀνθρωπίνην ἀνταπόδοσιν.

Οἱ ἄρχοντες, κατὰ τὸν Ἀπόστολον, δὲν εἶναι φόβος τῶν καλῶν ἔργων, ἀλλὰ τῶν κακῶν· διότι δὲν ἐξαναγκάζουν τοὺς πιστοὺς καὶ εὐλαβεῖς νὰ κατηγοροῦν τοὺς ἀδικοῦντας, οὔτε καταγγέλουν τοὺς ἀνεξικάκους, διότι αὐτοί, καὶ ἂν ἀδικοῦνται, δὲν καταφεύγουν εἰς τὰ δικαστήρια, ἀλλὰ μόνον εἰς ἐκείνους ποὺ τὸ θέλουν ἀποδίδουν δικαιοσύνην. Αὐτοὺς ποὺ εἶναι μακρόθυμοι, διὰ τὸν Θεόν, τοὺς ἀναγνωρίζουν ὡς περισσότερον φρονίμους καὶ τοὺς τιμοῦν. Ὅπως λοιπὸν ἀκριβῶς δὲν ἐξαναγκάζουν ἐκείνους ποὺ δὲν θέλουν νὰ καταφεύγουν εἰς τὰ δικαστήρια, ἔτσι δὲν ἁμαρτάνουν ὅταν τιμωροῦν ὅσους κατηγοροῦν ἄλλοι διὰ νὰ λάβουν τὸ δίκαιόν των.

Δι' αὐτὸ εἶναι ἀνάγκη, σοφώτατε, νὰ διδαχθῶμεν, μετὰ τὰς διδασκαλίας καὶ τοὺς νόμους τοῦ κόσμου, καὶ τὸν πνευματικὸν νόμον, καὶ νὰ ὑπομένωμεν ὡς ἰδικά μας τὰ θλιβερὰ ποὺ μᾶς συμβαίνουν καὶ νὰ μὴ ἐκδικούμεθα αὐτοὺς ποὺ μᾶς τὰ προξενοῦν, ἀλλὰ νὰ τοὺς ἀγαπῶμεν καὶ τὸν νόμον τῆς ἀγάπης νὰ ἐφαρμόζωμεν ἀπέναντί των. Διότι ἡ ἀγάπη, λέγει ἡ ἁγία Γραφή, «δὲν λογαριάζει τὸ κακόν, ἀλλὰ τὰ ἀνέχεται ὅλα, ὅλα τὰ ἐλπίζει, ὅλα τὰ πιστεύει, ὅλα τὰ ὑπομένει» (Κορ. Α' ιγ', 4—8). Ὅταν δὲ κάμνῃ αὐτά, δὲν ἠμπορεῖ νὰ κατακρίνῃ ἐκεῖνον ποὺ νομίζει ὅτι τὴν ἀδικεῖ. Κατὰ τὴν δύναμιν τῆς ἀγάπης διαφέρομεν ὁ ἕνας ἀπὸ τὸν ἄλ-

λον· ὅλοι ὅμως εἴμεθα κατώτεροι ἀπὸ τὴν ἀξίαν της καὶ περιμένομεν, μὲ τὴν Χάριν τοῦ Χριστοῦ, νὰ ἀναπληρώσωμεν τὰς ἐλλείψεις μας, ἂν βέβαια δὲν παραμελήσωμεν τὴν κατὰ δύναμιν πνευματικὴν ἐργασίαν.

Δι' αὐτὸ οἱ κατὰ κόσμον μορφωμένοι νομίζουν ὅτι ἁμαρτάνουν μονάχα οἱ ἀδικοῦντες· οἱ πνευματικοὶ ὅμως ἄνθρωποι, καὶ ἂν ἀκόμη ἀδικοῦνται, τοὺς ἑαυτούς των θεωροῦν ὑπαιτίους ὅταν δὲν ὑποφέρουν εὐχαρίστως τὰς ἀδικίας· ὄχι μόνον δὲ δι' αὐτό, ἀλλὰ καὶ διότι αἱ θλίψεις των γεννῶνται ἀπὸ παλαιὰ σφάλματά των, ἂν καὶ τὸ ἓν ἁμάρτημα εἶναι ἐλαφρότερον ἀπὸ τὸ ἄλλο. Διότι ἐκεῖνος ποὺ παίρνει μόνος του τὴν ἐκδίκησίν του, φαίνεται ὡσὰν νὰ κατηγορῇ τὸν Θεὸν δι' ἔλλειψιν ὀρθῆς κρίσεως, ἐνῷ ἐκεῖνος ποὺ ὑποφέρει, ὡς τελείως προσωπικήν, τὴν θλῖψιν ποὺ τοῦ συνέβη, ὁμολογεῖ τὴν εὐθύνην του καὶ δι' αὐτὸ ὑπομένει τὰ παθήματά του. Ἀποφεύγει ἁμαρτίαν αὐτὸς ποὺ ἀδικεῖται ἀπὸ τοὺς ἀνθρώπους καὶ ὁ Θεὸς τὸν βοηθεῖ ἀνάλογα μὲ τὴν θλῖψιν του.

Ἐκεῖνος ποὺ πιστεύει εἰς τὸν Χριστόν, ὅτι θὰ τοῦ ἀνταποδώσῃ τὸ δίκαιον, ὑπομένει ἀνάλογα μὲ τὴν πίστιν του. Ἐκεῖνος ποὺ προσεύχεται ὁλόψυχα διὰ τοὺς ἀνθρώπους ποὺ τὸν ἀδικοῦν, συγκλονίζει τοὺς δαίμονας· ἐνῷ ἐκεῖνος ποὺ ἐναντιώνεται εἰς τοὺς πρώτους, πληγώνεται ἀπὸ τοὺς δευτέρους (τοὺς δαίμονας). Καλύτερα νὰ ὑποστῇ κανεὶς κακὸν ἀπὸ τοὺς ἀνθρώπους, παρὰ ἀπὸ τοὺς δαίμονας· ἐκεῖνος δὲ ποὺ εἶναι εὐάρεστος εἰς τὸν Κύριον, ἐνίκησε καὶ τοὺς δύο. Ἐκεῖνος ποὺ ὀργίζεται ἐναντίον τοῦ πλησίον διὰ χρήματα ἢ δόξαν ἢ ἡδονήν, δὲν ἐκατάλαβεν ὅτι ὁ Θεὸς μὲ δικαιοσύνην διοικεῖ τὰ ἀνθρώπινα πράγματα. Νὰ μὴ θέλῃς νὰ ἀκοῦς δυστυχίας τῶν ἐχθρῶν σου· διότι ἐκεῖνοι ποὺ ἀκοῦν μὲ εὐχαρίστησιν τέτοια λόγια, τρυγοῦν τοὺς καρποὺς τῆς ἰδικῆς των ψυχικῆς διαθέσεως*.

Δὲν ἠμποροῦμεν νὰ συγχωρήσωμεν ἀπὸ τὴν καρδιά μας τὰ παραπτώματα τοῦ ἄλλου, χωρὶς ἀληθινὴν γνῶσιν· διότι ἡ ἀληθινὴ γνῶσις παρουσιάζει εἰς αὐτὸν ποὺ τὴν ἀπέκτησε τὰς ἐπερχομένας θλίψεις ὡς ἰδικάς του. Ἐκεῖνος ποὺ ἀδικεῖται ἀπὸ κάποιον καὶ δὲν φιλονικεῖ μὲ τὸν ἀδικοῦντα οὔτε μὲ λόγον οὔτε μὲ τὴν σκέψιν του ἀκόμα, ἔχει ἀποκτήσει πραγματικὴν γνῶσιν καὶ φανερώνει ἀληθινὴν πίστιν πρὸς τὸν Κύριον. Οἱ ἄνθρωποι εἶναι ἀνίκανοι νὰ κρίνουν σωστὰ τὸ δίκαιον ἢ τὸ ἄδικον· διότι ἐφ' ὅσον εἰς τὸν καθένα ὁ Θεὸς ἀποδίδει τὸ δίκαιον οὔτε ὁ ἄδικος εὑρίσκεται εἰς πλεονεκτικὴν θέσιν οὔτε ὁ ἀδικούμενος εἰς μειονεκτικήν. Ἐπειδὴ δὲ ἔτσι εἶναι ἀκριβῶς αὐτά, ὁ ἄνθρωπος ποὺ τὰ ἀγνοεῖ βαδίζει μέσα εἰς φανταστικὸν κόσμον καὶ δι' αὐτὸ ματαίως ταράσσεται. Ἡ εὐσπλαγχνικὴ καρ-

---

* Δι' αὐτῶν ὁ Ἀββᾶς Μᾶρκος μᾶς διδάσκει, ὅτι καὶ ὅταν ἀκόμη ἀκούωμεν μὲ εὐχαρίστησιν καὶ ἱκανοποίησιν τὰς δυστυχίας τῶν ἐχθρῶν μας, καὶ τοῦτο εἶναι μεγάλη ἁμαρτία, δι' αὐτὸ καὶ θὰ ἔλθῃ καιρὸς ποὺ θὰ τρυγήσωμεν τοὺς καρποὺς τῶν μνησικάκων καὶ φθονερῶν αὐτῶν διαθέσεών μας.

δία θὰ εὕρῃ εὐσπλαγχίαν καὶ ἡ ἐλεήμων ἐπίσης θὰ ἐλεηθῇ· κατ' ἀκολουθίαν δὲ ἀνάλογος θὰ εἶναι καὶ ἡ συνέπεια ἀπὸ τὰ ἀντίθετα μὲ αὐτά.

Ε'. Γρηγορίου τοῦ Διαλόγου

ΗΚΟΥΣΑ παρά τινων εὐλαβῶν λεγόντων, ὅτι οὐ δεῖ, φησι, παραχωρεῖν τοῖς τυχοῦσι διαρπάζειν ἅπερ πρὸς τὴν ἑαυτῶν διοίκησιν ἢ καὶ πενήτων ἀνάπαυσιν ἔχομεν, μάλιστα εἰ παρὰ Χριστιανῶν ταῦτα πάσχομεν, ἵνα μὴ ἁμαρτίας πρόξενοι τοῖς ἀδικοῦσιν ἡμᾶς γινώμεθα, δι' ὧν ἀνεξικακοῦμεν. Τοῦτο δὲ οὐδὲν ἕτερον ἐστιν, ἢ θέλειν τὰ ἑαυτοῦ ὑπὲρ ἑαυτὸν μετὰ ἀλόγου προφάσεως. Εἰ γὰρ καταλιπὼν τὸ εὔχεσθαι καὶ προσέχειν τῇ ἐμαυτοῦ καρδίᾳ δίκας θέλω ἀγορεύειν πρὸς τοὺς θέλοντάς με ἐπηρεάζειν, κατὰ μικρὸν ἄρξομαι καὶ δικαστηρίων προσεδρεύειν προαυλίοις· δηλονότι τὰ ἐκδικούμενα κρείττονα τῆς ἑαυτοῦ σωτηρίας ἡγοῦμαι, ἵνα μὴ εἴπω καὶ αὐτοῦ τοῦ σωτηρίου ἐντάλματος.

Πῶς γὰρ ἂν ὅλως τῷ εὐαγγελικῷ ἀκολουθήσωμεν προστάγματι, τῷ κελεύοντί μοι καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει, εἰ μὴ μετὰ χαρᾶς ὑπομείνω τὴν τῶν προσόντων μοι πραγμάτων διανομὴν καὶ διαρπαγήν, κατὰ τὸ Ἀποστολικὸν λόγιον, ὁπότε οὔτε δικασάμενός τις καὶ ἀπολαβὼν ἅπερ ἠβουλήθη τῆς ἁμαρτίας τὸν πλεονέκτην ἐλευθεροῖ; Ἐπειδὴ τὰ φθαρτὰ δικαστήρια τὸ ἄφθαρτον τοῦ Θεοῦ κριτήριον ὁρίζειν οὐ δύνανται. Τούτου γὰρ πάντως ὁ αἴτιος τοὺς νόμους πληροφορεῖ, παρ' οἷς καὶ ἀπολογηθείς, τῆς αἰτίας ἑαυτὸν ἀπολύει. Ὥς τε καλὸν τὸ φέρειν τὴν βίαν τῶν θελόντων ἡμᾶς ἀδικεῖν, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, ἵνα διὰ μετανοίας, οὐ μὴν διὰ τοῦ ἀποδοῦναι ἃ ἀφ' ἡμῶν ἥρπασαν ἀπαλλαγῶσι τοῦ τῆς πλεονεξίας ἐγκλήματος. Τοῦτο γὰρ θέλει ἡ δικαιοσύνη τοῦ Κυρίου, ἵνα οὐχὶ τὸ πλέον κτηθέν, ἀλλὰ τὸν πλεονέκτην ἀπολάβωμέν ποτε διὰ τῆς μετανοίας τῆς ἁμαρτίας ἐλεύθερον.

Ἑρμηνεία

ΗΚΟΥΣΑ μερικοὺς εὐλαβεῖς νὰ λέγουν: δὲν πρέπει νὰ ἐπιτρέπωμεν εἰς τὸν οἱονδήποτε νὰ διαρπάζῃ ἐκεῖνα ποὺ ἔχομεν διὰ τὴν συντήρησίν μας ἢ διὰ τὴν βοήθειαν τῶν πτωχῶν· καὶ μάλιστα ἂν ὑφιστάμεθα αὐτὰ ἀπὸ Χριστιανούς, διὰ νὰ μὴ γίνωμεν, μὲ τὴν ἀνεξικακίαν μας, πρόξενοι ἁμρτίας εἰς τοὺς ἀδικοῦντας. Τοῦτο δὲν σημαίνει τίποτε ἄλλο ἀπὸ τὸ νὰ θέλωμεν τὰ ἰδικά μας ὑπὲρ τὸν ἑαυτόν μας μὲ παράλογον δικαιολογίαν. Διότι ἂν ἀφήσω τὸ νὰ εὔχωμαι (Λουκ. στ', 28) καὶ νὰ προσέχω τὴν καρδίαν μου, τότε θὰ θέλω νὰ διεξάγω δίκας ἐναντίον ἐκείνων ποὺ μὲ ἐνοχλοῦν καὶ σιγὰ-σιγὰ θὰ ἀρχίσω νὰ συχνάζω εἰς τοὺς διαδρόμους τῶν δικαστηρίων· δηλαδὴ θὰ φθάσω νὰ θεωρῶ τὰς δικαστικὰς ὑποθέσεις σπουδαιοτέρας ἀπὸ τὴν σωτηρίαν μου, διὰ νὰ μὴ εἴπω καὶ ἀπὸ αὐτὴν τὴν ἐντολὴν τοῦ Σωτῆρος (αὐτόθι 27).

Πῶς θὰ εἶναι τότε δυνατὸν νὰ συμφωνήσωμεν μὲ τὴν ἐντολὴν τοῦ Εὐαγγελίου, ποὺ διατάσσει νὰ μὴ ζητῇς ὀπίσω τὰ πράγματά σου ἀπὸ ἐκεῖνον ποὺ τὰ παίρνει (αὐτόθι 30) (χωρὶς νὰ σὲ ἐρωτήσῃ), ἂν δὲν ὑπομείνω μὲ χαρὰν τὴν ἄδικον ἁρπαγὴν καὶ τὴν κλοπὴν τῶν ὑπαρχόντων μου, σύμφωνα μὲ τὸ ῥητὸν τοῦ Ἀποστόλου (Ἑβρ. ι', 34); Ἄλλωστε

καὶ ἂν ἀκόμη δικάσῃ κανεὶς τὸν ἔνοχον καὶ πάρῃ ὀπίσω ἐκεῖνα ποὺ ἔχασε, δὲν ἀπαλλάσσει τὸν κλέπτην ἀπὸ τὴν εὐθύνην τῆς ἁμαρτίας. Διότι τὰ φθαρτὰ πρόσκαιρα δικαστήρια τοῦ κόσμου δὲν ἠμποροῦν νὰ ὁρίζουν τὴν ἀπόφασιν, ποὺ ἐκδίδει τὸ ἄφθαρτον καὶ αἰώνιον κριτήριον τοῦ Θεοῦ.

Ὁ ἔνοχος ἀποδεικνύει τὴν ἀθωότητά του εἰς τοὺς νόμους καὶ ἀφοῦ ἀπολογηθῇ ἐνώπιόν των ἀπαλλάσσει τὸν ἑαυτόν του ἀπὸ τὴν κατηγορίαν. Ὥστε εἶναι καλὸν νὰ ἀνεχώμεθα τὴν καταπίεσιν ἐκείνων ποὺ θέλουν νὰ μᾶς ἀδικοῦν καὶ νὰ προσευχώμεθα ὑπὲρ αὐτῶν, διὰ νὰ ἀπαλλαγῶσιν ἀπὸ τὸ ἔγκλημα τῆς πλεονεξίας ὄχι διὰ τῆς ἀνταποδώσεως ἐκείνων τὰ ὁποῖα ἥρπασαν ἀπὸ ἡμᾶς, ἀλλὰ διὰ τῆς μετανοίας. Αὐτὸ δηλαδὴ θέλει ἡ δικαιοσύνη τοῦ Κυρίου, ὄχι διὰ νὰ πάρωμεν ὀπίσω ἐκεῖνο τὸ ὁποῖον ἀπεκτήθη ἐπὶ πλέον ἀδίκως, ἀλλὰ διὰ νὰ ἀπολάβωμεν πάλιν τὸν πλεονέκτην ἀπηλλαγμένον ἀπὸ τὴν ἁμαρτίαν του διὰ τῆς μετανοίας.

ΣΤ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

Ο ΛΕΓΩΝ ὅτι καταλέλοιπε τὸν κόσμον, καὶ τοῖς ἀνθρώποις μαχόμενος ἕνεκέν τινος, ἵνα μὴ λείψῃ αὐτῷ τι τῆς ἀναπαύσεως αὐτοῦ, οὗτος τυφλὸς τελείως ἐστί, διότι τὸ μὲν σῶμα ὁλόκληρον ἑκουσίως κατέλιπε, περὶ ἑνὸς δὲ μέλους αὐτοῦ πολεμεῖ καὶ μάχεται. Γίνωσκε ὅτι τὸ ἀφεῖναι τοῖς ὀφειλέταις τὰ ὀφειλήματα ἐκ τῶν ἔργων τῆς δικαιοσύνης ἐστί, καὶ τότε ὄψει τὴν γαλήνην μετὰ λαμπρότητος ἐν τῷ νοΐ σου. Ὅταν ὑπεραναβῇς τὴν ὁδὸν τῆς δικαιοσύνης, τότε προσκολληθήσῃ τῇ ἐλευθερίᾳ ἐν παντὶ πράγματι. Οἷς ὁ κόσμος νενέκρωται, οὗτοι τὰς ἐπηρείας μετὰ χαρᾶς ὑπομένουσιν· οἷς δὲ ζῇ ὁ κόσμος, οὗτοι ἀδικίαν ὑπομεῖναι οὐ δύνανται, ἀλλ' ἢ ὑπὸ τῆς κενοδοξίας νικώμενοι, ὀργιζόμενοι ταράσσονται, ἢ ὑπὸ λύπης ἁλίσκονται.

Ὢ πῶς δυσκατόρθωτός ἐστιν ἡ ἀρετὴ αὕτη, ἤγουν τὸ μακροθύμως φέρειν τὴν ἀδικίαν καὶ πόσην δόξαν κέκτηνται παρὰ τῷ Θεῷ! Ὁ οὖν θέλων ταύτην κατορθῶσαι, χρήζει πρότερον μακρυνθῆναι τῶν ἰδίων καὶ ξενιτεῦσαι, διότι οὐ δύναται αὐτὴν ἐν ἰδίᾳ πατρίδι κατορθῶσαι· μεγάλων γὰρ καὶ δυνατῶν ἐστιν ὑπομεῖναι τὴν ἀλγηδόνα ταύτην μέσον τῶν ἰδίων, κἀκείνων οἷς εἰς ἅπαν ὁ κόσμος οὗτος τέθνηκε καὶ πᾶσα παράκλησις ἀπήλπισται καὶ πεπάτηται.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ λέγει ὅτι ἐγκατέλειψε τὸν κόσμον καὶ ὅμως μάχεται μὲ τοὺς ἀνθρώπους διὰ κάτι, διὰ νὰ μὴ τοῦ λείψῃ τίποτα ἀπὸ τὴν ἀνάπαυσίν του, αὐτὸς εἶναι τελείως τυφλός· διότι ἐνῷ θεληματικὰ ἐγκατέλειψε ὁλόκληρον τὸ σῶμα του, ἀγωνίζεται καὶ μάχεται δι' ἕνα μονάχα μέλος του. Γνώριζε ὅτι τὸ νὰ συγχωρήσῃς ἐκείνους ποὺ σὲ ἐλύπησαν μὲ τὰ σφάλματά των εἶναι ἀπὸ τὰ ἔργα τῆς δικαιοσύνης· τότε θὰ ἴδῃς μέσα εἰς τὸν νοῦν σου νὰ λάμπῃ ἡ γαλήνη. Ὅταν θὰ ἀνυψωθῇς ἐπάνω ἀπὸ τὴν ὁδὸν τῆς δικαιοσύνης, τότε θὰ ἀπελευθερωθῇς ἀπὸ κάθε πρᾶγμα. Αὐτοὶ διὰ τοὺς ὁποίους ὁ κόσμος ἔχει ἀποθάνει, δέχονται μὲ χαρὰν τὰς ἐνοχλήσεις· ἐκεῖνοι ὅμως διὰ τοὺς ὁποίους ζῇ ἀκόμη ὁ κόσμος, δὲν ἠμπο-

ροῦν νὰ ὑπομείνουν τὴν ἀδικίαν, ἀλλὰ νικημένοι ἀπὸ τὴν κενοδοξίαν, ταράσσονται ἀπὸ τὴν ὀργὴν ἢ κυριεύονται ἀπὸ τὴν λύπην.

Ὢ! πόσον δύσκολον εἶναι νὰ κατορθώσῃ κανεὶς τὴν ἀρετὴν αὐτήν, δηλαδὴ τὸ νὰ ὑπομένωμεν μὲ μακροθυμίαν τὴν ἀδικίαν, καὶ πόσην δόξαν ἀποκτοῦν ἐνώπιον τοῦ Θεοῦ ὅσοι τὴν κατορθώνουν! Ἐκεῖνος λοιπὸν ποὺ θέλει νὰ τὴν κατορθώσῃ, πρέπει νὰ ἀπομακρυνθῇ προηγουμένως ἀπὸ τοὺς ἰδικούς του καὶ νὰ ξενιτευθῇ, διότι δὲν ἠμπορεῖ νὰ τὴν κατορθώσῃ εἰς τὴν πατρίδα του. Διότι μόνον μεγάλοι καὶ δυνατοὶ ἠμποροῦν νὰ ὑπομείνουν αὐτὸν τὸν πόνον μεταξὺ τῶν συγγενῶν των, καὶ ἐκεῖνοι διὰ τοὺς ὁποίους ἀπέθανε τελείως ὁ κόσμος αὐτὸς καὶ διὰ τοὺς ὁποίους ἐχάθη καὶ κατεπατήθη κάθε ἐλπὶς κοσμικῆς παρηγορίας.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ μακάριος Ζωσιμᾶς, ὅτι ὄντος μου μετὰ τῆς μακαρίας Διονυσίας, ᾐτήσατο αὐτήν τις ἀδελφὸς εὐλογίαν, καὶ ἔδωκεν αὐτῷ ὅσον ἐχώρει. Ὁ δὲ ἐπεὶ μὴ ἔλαβεν ὅσον ἐζήτει, ἤρξατο λοιδορεῖν αὐτὴν λέγων κατ' αὐτῆς καὶ κατ' ἐμοῦ ἀπρεπῆ ῥήματα. Ἀκούσασα δὲ ἐκείνη καὶ πονήσασα, ἐζήτει κακῶσαι αὐτόν. Μαθὼν οὖν ἐγώ, εἶπον αὐτῇ· Τί ποιεῖς; ἐπιβουλεύεις σεαυτῇ; πᾶσαν ἀρετὴν ἀπαίρεις ἀπὸ τῆς ψυχῆς σου· τί γὰρ κατ' ἀξίαν ὑπομένεις, ὧν Χριστὸς ὑπέμεινε διὰ σέ; Οἶδα, κυρία, ὅτι ἐσκόρπισας χρήματα ὡς κόπρια, ἐὰν δὲ μὴ κτήσῃ τὴν πραότητα, οὕτως εἶ ὡς χαλκεὺς τύπτων βῶλον σιδήρου, σκεῦος δὲ μὴ ἐκβάλλων.

Καὶ ἔλεγεν αὐτῇ· Φησὶν ὁ Θεοφόρος Ἰγνάτιος, χρήζω πραότητα, ἐν ᾗ καταλύεται πᾶσα ἡ δύναμις τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου· σημεῖον τοῦ ῥίψαι τὸν κόσμον τὸ μὴ ταράττεσθαι. Ἔστι γὰρ ὅτε καταφρονεῖ τις πολλῶν κεντηναρίων, καὶ ἔρχεται εἰς ῥαφίδα, καὶ ἡ εἰς τοῦτο προσπάθεια ποιεῖ αὐτὸν ταράττεσθαι καὶ ποιεῖ τὸ ῥαφίδιον ἐκεῖνο τόπον κεντηναρίου, καὶ γίνεταί τις δοῦλος τοῦ ῥαφιδίου ἢ τοῦ κουκουλίου ἢ τοῦ μανδηλίου ἢ τοῦ βιβλίου, καὶ οὐκ ἔστι δοῦλος τοῦ Θεοῦ. Καὶ καλῶς εἶπέ τις τῶν σοφῶν· ὅσα πάθη ψυχῆς, τοσοῦτοι δεσπόται. Καὶ ὁ Ἀπόστολος· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Ἡ δὲ ἀκούσασα ταῦτα μετενόησε καὶ εἶπέ μοι· εὕροις τὸν Θεόν, ὃν ποθεῖς.

2. Ἔλεγε πάλιν ὁ μακάριος· αἱ ἐντολαὶ τοῦ Θεοῦ φύσει ἐλαφραί εἰσι πάνυ, ἀλλὰ τὰ θελήματα ἡμῶν τὰ πονηρὰ ποιοῦσιν αὐτὰς βαρείας φαίνεσθαι· ἃ κατέχουσα ἡ ψυχὴ οὐ δύναται πληροῦν τὰς ἐντολάς, εἰ δὲ ταῦτα ἀφήσει, εὔκολοι αὐτῇ αἱ ἐντολαὶ εὑρίσκονται, καὶ βάρος οὐδ' ὁ,τιοῦν ἔχουσαι· οἷον τὶ δυσχερὲς τὸ καταλείψαντά τινα τὴν εἰς τὰ παρόντα προσπάθειαν, καὶ τὸ δι' αὐτὰ μάχεσθαι τοῖς ἀνθρώποις. Εἰς Θεὸν μόνον πλουτεῖν καὶ ἐλπίζειν τὸν ποιήσαντα καὶ διοικοῦντα καὶ τῆς αὐτοῦ βασιλείας ἐφίεσθαι. Τοῦτο οὐδὲ μίαν ἔχει δυσχέρειαν.

Εἰώθαμεν γὰρ καὶ διὰ φόβον θαλάσσης, ἢ λῃστῶν ἐπιδρομήν, πάντων καταφρονεῖν τῶν προσόντων, καὶ ῥίπτειν ἀόκνως τὰ πράγματα, διὰ τὸ τὴν βραχεῖαν ταύτην ζωὴν ἑαυτοῖς περισώσασθαι, ἣν ὅσον οὔπω καὶ ἡμῶν μὴ θελόντων διαλύσει ὁ θάνατος. Ὅμως δ' οὖν διὰ τὸ μὴ στερηθῆναι ταύτης πρὸς τὸ παρὸν πάντων καταφρονοῦμεν, καὶ εὐδαιμονίαν ἡγούμεθα εἰ πάντα ἀπολέσαντες ἑαυτοὺς διεσώσαμεν ἀπὸ τῶν λῃστῶν, ἢ κλύδωνος θαλασσίου; καὶ ὁ πρὸ μικροῦ μαινόμενος καὶ θυμομα-

χῶν ἵνα κερδήσῃ ὀβολόν, κινδύνῳ τινὶ τοιούτῳ περιπεσὼν προθύμως πάντα ρίπτει, ἵνα τὴν πρόσκαιρον κερδήσῃ ζωήν.

Διατὶ οὖν μὴ περὶ τῆς αἰωνίου ζωῆς ταῦτα διαλογιζώμεθα καὶ οὕτω φρονῶμεν καὶ διακείμεθα, καὶ πάντα τὰ ἐνταῦθα εὐψύχως παρορῶμεν καὶ ἀπορρίπτωμεν, ἵνα τῆς ἀθανάτου ζωῆς μὴ ἐκπέσωμεν; Διατὶ μὴ ἰσχύει φόβος Κυρίου, ὅσον ἰσχύει φόβος ἀνθρώπινος ἢ θαλασσίου κλύδωνος κίνδυνος; Πρὸς σύστασιν δὲ τῶν λεγομένων, διηγεῖτο καί τι τοιοῦτον διήγημα, ὃ αὐτὸς παρά τινων ἔμαθεν.

3. Ἔλεγεν οὖν, ὅτι λιθουργός τις ποτέ, ὃν καβιδάριον καλεῖ ἡ συνήθεια, ἔχων λίθους πολυτίμους καὶ μαργαρίτας, ἀνέβη εἰς πλοῖον μετὰ τῶν παιδίων αὐτοῦ, βουλόμενος ἀπελθεῖν εἴς τινα τόπον χάριν τοῦ πραγματεύσασθαι. Συνέβη οὖν αὐτὸν ἕνα τινὰ τῶν τοῦ πλοίου νεώτερον σχεῖν καὶ συνήθη, ὅς καὶ ὑπηρέτει αὐτῷ εἰς τὰς ἀναγκαίας χρείας, καὶ κοινωνὸς αὐτῷ τραπέζης ἐγίνετο. Ἐν μιᾷ οὖν ἀκούει ὁ νεώτερος τῶν ναυτῶν ψιθυριζόντων πρὸς ἀλλήλους καὶ βουλευομένων, ἵνα ρίψωσι τὸν καβιδάριον εἰς τὴν θάλασσαν καὶ κερδήσωσι τοὺς λίθους καὶ πάντα, ἃ ἐπεφέρετο, καὶ ἀκούσας περίλυπος γέγονεν.

Ἐλθόντα οὖν τὸν νέον ὥς τε ποιῆσαι τὴν συνήθη ὑπηρεσίαν, ὡς εἶδεν αὐτὸν ὁ καβιδάριος κατηφῆ καὶ στυγνόν, ἠρώτα μαθεῖν τὴν αἰτίαν τῆς σκυθρωπότητος. Ὁ δὲ τὸ μὲν πρῶτον οὐδὲν ἀπεκρίνατο, εἰς ἄλλον καιρὸν ταμιευόμενος τὴν ἀγγελίαν οὗ ἤκουσεν. Ὡς δὲ ἐκεῖνος ἐνέκειτο ἀπαιτῶν γνωρίσαι αὐτῷ τῆς κατηφείας τὸ αἴτιον, τότε στενάξας καὶ δακρύσας ὁ νέος ἀπαγγέλλει αὐτῷ τὴν βουλήν, ἣν ἔγνω τοὺς ναύτας βουλευομένους περὶ αὐτοῦ. Ὁ δὲ μικρὸν ἐπισχών, καλεῖ τοὺς παῖδας καὶ παραγγέλλει αὐτοῖς ἀόκνως ποιῆσαι, ἃ ἂν προστάξῃ αὐτοῖς.

Ἁπλοῖ οὖν σινδόνα, καὶ κελεύει αὐτοῖς ἐνέγκαι τὰ σκεύη, ἐν οἷς ἦσαν οἱ λίθοι καὶ οἱ μαργαρῖται. Ὡς δὲ ἤνεγκαν, ἀνοίξας ἐξήνεγκε πάντας τοὺς λίθους καὶ τοὺς μαργαρίτας, καὶ ἥπλωσεν ἐπὶ τῆς σινδόνος, καὶ μετὰ τὸ ἁπλῶσαι λέγει· διὰ ταῦτα θαλασσομαχῶ κινδυνεύων; Καὶ τοιαύτην ἕλκων ζωὴν ἐπώδυνον, ἃ καὶ μετ' ὀλίγον ἀποθανὼν ἐν τῷ κόσμῳ τούτῳ μέλλω καταλιπεῖν, καὶ μηδὲν λαβεῖν μεθ' ἑαυτοῦ· ρίψατε οὖν πάντα εἰς τὴν θάλασσαν. Καὶ εὐθὺς λαβόμενος καὶ αὐτὸς τῆς σινδόνος μετὰ τῶν παίδων, ἠκόντισαν πάντα εἰς τὸ πέλαγος. Οἱ δὲ ναῦται ἰδόντες ἐξέστησαν καὶ κατήργησαν τὴν βουλήν, ἣν κατ' αὐτοῦ ἐβουλεύσαντο.

Κατανοήσωμεν οὖν, ἀδελφοί, πῶς ὅτε ὥρμησεν ὁ λογισμὸς αὐτοῦ, καίπερ ἰδιώτου ὄντος καὶ κοσμικοῦ, εὐθέως κατέλυσε τὴν προσπάθειαν, καὶ γέγονε φιλόσοφος ἐν ἔργοις καὶ λόγοις, καὶ τοῦτο ἵνα κερδήσῃ τὴν μικρὰν ταύτην ζωὴν καὶ πρόσκαιρον. Ἡμεῖς δὲ διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ καὶ τὴν Βασιλείαν τῶν οὐρανῶν μικρὰν ζημίαν οὐχ ὑπομένομεν οὐδὲ ἀλύπως ὑπενεγκεῖν δυνάμεθα;

Εἰ οὖν ὅλως λυπεῖσθαι δεῖ, διὰ τὴν ἀπώλειαν τοῦ ζημιώσαντος λυπηθῶμεν, καὶ μὴ διὰ τὴν τῶν χρημάτων ἀφαίρεσιν· οὐ γὰρ ἡμεῖς, ἀλλ' ἐκεῖνος ἐστὶν ὁ παθὼν κακῶς καὶ διὰ τῆς ἀδικίας ἑαυτὸν ἐκβαλὼν ἀπὸ τῆς Βασιλείας τῶν οὐρανῶν. Ἄδικοι γάρ φησι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν, ἡμῖν δὲ διὰ τῆς προσκαίρου ζημίας τὴν αἰώνιον ζωὴν προεξένησε. Χαίρετε γάρ φησι καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἀλλ' ἡμεῖς τὸ ἐναντίον ποιοῦμεν· ἀφέντες τὸ λυπεῖσθαι ὑπὲρ τῆς ἀπωλείας

τοῦ μέλους τοῦ Χριστοῦ, κάθημεν πλέκοντες λογισμοὺς κατὰ τοῦ ἀδελφοῦ ὑπὲρ φθαρτῶν καὶ εὐτελῶν καὶ οὐδενὸς ἀξίων πραγμάτων. Καὶ γὰρ καὶ ἐν τάξει μελῶν ἔθετο ἡμᾶς ὁ Θεὸς ἐν τῇ πίστει, κεφαλὴν ἔχοντας τὸν Χριστόν, ὥς λέγει ὁ Ἀπόστολος, ὅτι πάντα τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἓν σῶμα, κεφαλὴ δὲ πάντων ἐστὶν ὁ Χριστός.

Ὅταν οὖν θλίβῃ σε ὁ ἀδελφός σου, νόμισον ὅτι ἡ χείρ σου ἢ ὁ ὀφθαλμός σου ἢ ἄλλο τι τῶν μελῶν σου πάσχει καὶ θλίβει σε· εἰ γὰρ πάσχει, φησίν, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη καὶ τὰ ἑξῆς. Ὥς περ οὖν ἐπὶ τοῦ σώματος ἡμῶν, εἰ κάμνει ἓν τῶν μελῶν, τοῦ μὲν πόνου ἡμῖν μεταδίδωσι διὰ τὴν συνάφειαν, οὐκ αἴρομεν δὲ αὐτὸ ἀφ' ἡμῶν, οὐδ' ἀποκόπτομεν τὸν πόνον φεύγοντες, ἀλλὰ καὶ μεγίστην ζημίαν ἡγούμεθα, εἴ τινος τῶν μελῶν στερηθῶμεν. Καὶ ἄκοντες, συμπάσχοντες δὲ μᾶλλον τῷ πεπονηκότι μέλει, παντὶ τρόπῳ τὴν αὐτοῦ θεραπείαν σπουδάζομεν, καὶ τὴν τοῦ Χριστοῦ τιμίαν σφραγῖδα ἐπιτιθέντες, καὶ ἁγίῳ ἐλαίῳ ἀλείφοντες, τάχα δὲ καὶ ἰατροῖς ὑποδεικνύντες, καὶ πάντα τὰ εἰς ἴασιν τοῦ πάθους ἐπιτηδεύοντες.

Ὡς ἂν τὸ πονοῦν μέλος θεραπευθῇ καὶ μηκέτι τῆς αὐτοῦ θλίψεως ἡμῖν μεταδίδωσιν, οὕτως ὀφείλομεν καὶ περὶ τῶν ἀδελφῶν ἡμῶν καὶ φρονεῖν καὶ ποιεῖν. Καὶ εἴ ποτέ τις αὐτῶν ἡμᾶς ἀδικήσει ἢ ἄλλως λυπήσει τῇ τοῦ κοινοῦ ἐχθροῦ ἐπηρείᾳ, συγχωροῦντος τοῦ Θεοῦ εἰς δοκιμὴν ἡμετέραν ἢ καὶ εἴς τινος πάθους ἡμῶν διόρθωσιν, ὀφείλομεν λυπεῖσθαι οὐ διὰ τὴν τῶν χρημάτων ζημίαν καὶ ἀδικίαν, ἀλλὰ διὰ τὸν ἀδικήσαντα ἀδελφόν, μᾶλλόν δὲ ἀδικηθέντα μεγάλως, ὡς προλαβὼν εἶπον, καὶ ἔκπτωσιν ἐλεεινῶς ὑποστάντα τῆς Βασιλείας τῶν οὐρανῶν. Τούτου ἕνεκα καὶ λυπηθῶμεν καὶ πενθήσωμεν, καὶ τὸν φιλάνθρωπον Θεὸν θερμῶς ὑπὲρ αὐτοῦ δυσωπήσωμεν, ἀφεῖναι τῷ ἀδελφῷ τὸ ἀγνόημα.

Οὕτω γὰρ ποιοῦντες ἐσόμεθα τῷ ὄντι Χριστοῦ μιμηταί, ὃς ὑπὲρ τῶν σταυρούντων αὐτὸν προσηύχετο καὶ τὸν πατέρα ἀφεῖναι αὐτοῖς παρεκάλει, τύπος ἡμῖν τῆς ἀνεξικακίας καὶ ἐν τούτῳ γενόμενος. Τοῦτον οὖν μιμούμενοι, ἀφήσωμεν τοῖς ἀδελφοῖς τὰ εἰς ἡμᾶς ἀγνοήματα, ἵνα καὶ ἡμῖν ἐκεῖνος ἀφήσῃ τὰ παραπτώματα καὶ τῆς αὐτοῦ δόξης κοινωνοὺς ἀποδείξῃ καὶ κληρονόμους.

4. Διηγεῖτο ὁ αὐτός, ὅτι ποτὲ ἐπέταξε βιβλία τινὰ καλλιγράφῳ εὐφυεῖ. Μετὰ οὖν τὸ τελέσαι αὐτά, πέμψας λέγει μοι, ὅτι ἰδοὺ ἐτέλεσα, ὅ,τι δοκεῖ σοι ἀπόστειλον καὶ λάβε αὐτά. Τὶς δὲ ἀδελφὸς ταῦτα μαθών, ἀπελθὼν ὡς ἐξ ἐμοῦ δῆθεν πρὸς τὸν καλλιγράφον καὶ δοὺς τὸ λογάριον ἔλαβεν αὐτά, ἐγὼ δὲ μὴ εἰδὼς τὸ γινόμενον, ἔπεμψα ἀδελφὸν ἐκ τῶν μετ' ἐμοῦ μετὰ γραμμάτων σὺν τῷ λογαρίῳ ὥς τε λαβεῖν αὐτά.

Ὡς οὖν ἀπῆλθεν ὁ ἀδελφός, καὶ ἔγνω ὁ καλλιγράφος ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ λαβόντος τὰ βιβλία, ταραχθεὶς εἶπεν· ὄντως ἀπέρχομαι καὶ λυπῶ αὐτὸν ἕνεκα τούτων τῶν δύο, ὅτι τε ἐχλεύασέ με καὶ ὅτι τὰ μὴ ὄντα αὐτοῦ ἔλαβεν. Ἐγὼ δὲ τοῦτο μαθών, πέμψας δηλῶ αὐτῷ· οἶδας, ἀδελφέ μου, ὅτι τὰ βιβλία διὰ τοῦτο κτώμεθα, ἵνα μάθωμεν ἐξ αὐτῶν ἀγάπην, ταπείνωσιν, πρᾳότητα. Εἰ δὲ ἡ ἀρχὴ τῆς κτήσεως τῶν βιβλίων μάχη ἐστίν, οὐ θέλω κτήσασθαι βιβλίον, καὶ μόνον μὴ μαχήσωμαι· δοῦλον γάρ φησι Κυρίου οὐ δεῖ μάχεσθαι.

5. Ἡσυχαστῇ τινι ἐπῆλθον λῃσταί, καὶ προαισθόμενος ὁ γέρων ἔκραξε. Καὶ ἀκούσαντες οἱ γείτονες αὐτοῦ ἐξῆλθον καὶ ἐπίασαν τοὺς λῃστάς, καὶ ἔπεμψαν τῷ

ἡγεμόνι. Ὁ δὲ ἔβαλεν αὐτοὺς εἰς φυλακήν, καὶ ἀκούσαντες οἱ ἀδελφοὶ ἐλυπήθησαν λέγοντες, ὅτι δι' ἡμᾶς παρεδόθησαν. Καὶ ἀναστάντες ἀπῆλθον πρὸς τὸν ἀββᾶν Ποιμένα, καὶ ἀνήγγειλαν αὐτῷ τὸ πρᾶγμα, καὶ ἔγραψε πρὸς τὸν ἡσυχαστὴν λέγων. Ἐννόησον τὴν πρώτην προδοσίαν πόθεν γέγονε, καὶ τότε βλέπεις τὴν δευτέραν· εἰ μὴ γὰρ προεδόθης πρότερον ἐκ τῶν ἔσωθεν, τουτέστι δειλιάσας ἐξ ἀπιστίας, οὐκ ἂν τὴν δευτέραν προδοσίαν ἐποίησας, ἤτοι παραδοὺς τῷ ἄρχοντι τοὺς λῃστάς.

Ἀναγνοὺς οὖν ὁ γέρων τὴν ἐπιστολὴν τοῦ ἀββᾶ Ποιμένος, ἀναστὰς ἦλθεν εἰς τὴν πόλιν, καίτοι μὴ ἐξερχόμενος τοῦ κελλίου αὐτοῦ, καὶ ἐξέβαλε τοὺς λῃστὰς ἐκ τῆς φυλακῆς· ἦν γὰρ ὀνομαστὸς εἰς ὅλην τὴν χώραν ἐκείνην, καὶ δημοσίᾳ ἠλευθέρωσεν αὐτούς.

Ἑρμηνεία

Ο ΜΑΚΑΡΙΟΣ Ζωσιμᾶς διηγήθη κάποτε τὸ ἑξῆς· Ὅταν ἤμουν μὲ τὴν μακαρίαν Διονυσίαν, κάποιος ἀδελφὸς τῆς ἐζήτησεν ἐλεημοσύνην καὶ ἐκείνη τοῦ ἔδωσεν ὅσην ἠμποροῦσεν. Ἐκεῖνος ὅμως, ἐπειδὴ δὲν ἐπῆρεν ὅσην ἐζητοῦσεν, ἤρχισε νὰ τὴν ὑβρίζῃ καὶ νὰ λέγῃ εἰς βάρος της καὶ εἰς βάρος μου ἀπρεπῆ λόγια. Ὅταν τὰ ἤκουσεν ἡ Διονυσία, ἐπόνεσε ψυχικὰ καὶ ἐζητοῦσε νὰ τὸν ἐκδικηθῇ. Μόλις λοιπὸν τὸ ἔμαθα, τῆς εἶπα· τί κάμνεις; σκέπτεσαι νὰ βλάψῃς τὸν ἑαυτόν σου; ἀπογυμνώνεις τὴν ψυχήν σου ἀπὸ κάθε ἀρετήν· μήπως ὅσα ὑπομένεις εἶναι ἰσάξια μὲ ἐκεῖνα ποὺ ὑπέμεινεν ὁ Χριστὸς διὰ σέ; Γνωρίζω, κυρία, ὅτι ἐσκόρπισες χρήματα, ὡς κόπρον· ἂν ὅμως δὲν ἀποκτήσῃς τὴν πραότητα, θὰ εἶσαι ὅπως ὁ σιδηρουργὸς ὁ ὁποῖος κτυπᾷ ἕνα κομμάτι σιδήρου, χωρὶς νὰ κατασκευάζῃ μὲ αὐτὸ σκεῦος.

Τῆς ἔλεγεν ἀκόμη ὁ μακάριος Ζωσιμᾶς· Ὁ Θεοφόρος Ἰγνάτιος λέγει· ἔχω ἀνάγκην ἀπὸ πραότητα, μὲ τὴν ὁποίαν καταργεῖται ὅλη ἡ δύναμις τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. Τὸ νὰ μὴ ταράσσεσαι εἶναι σημεῖον ὅτι περιφρόνησες τὸν κόσμον. Ὑπάρχουν δηλαδὴ περιπτώσεις ποὺ περιφρονεῖ κανεὶς πολλὰ κεντηνάρια* καὶ φθάνει νὰ ὑπολογίσῃ μίαν βελόναν. Καὶ ἡ ἀπασχόλησις εἰς αὐτὸ τὸν κάμνει νὰ ταράσσεται καὶ κάνει τὴν βελόναν ἐκείνην νόμισμα ἀξίας. Ἔτσι γίνεται κανεὶς δοῦλος τῆς βελόνας, ἢ τοῦ κουκουλίου, ἢ τοῦ μανδηλίου, ἢ τοῦ βιβλίου καὶ παύει νὰ εἶναι δοῦλος τοῦ Θεοῦ. Καλὰ εἶπε κάποιος σοφὸς ὅτι ὅσα πάθη ἔχει ἡ ψυχή, τόσα εἶναι καὶ τὰ ἀφεντικά της. Καὶ ὁ Ἀπόστολος λέγει· «ἀπὸ αὐτὸ ποὺ ἐνικήθη κανείς, εἰς αὐτὸ καὶ ὑπεδουλώθη» (Β΄ Πετρ. 6΄, 19). Ἡ Διονυσία ὅταν ἤκουσεν αὐτὰ μετενόησε καὶ μοῦ εἶπε· εἴθε νὰ εὕρῃς τὸν Θεὸν ποὺ ποθεῖς.

2. Ἔλεγε πάλιν ὁ μακάριος· αἱ ἐντολαὶ τοῦ Θεοῦ εἶναι πράγματι πάρα πολὺ ἐλαφραί, ἀλλὰ τὰ πονηρὰ θελήματά μας τὰς κάμνουν νὰ φαί-

* Τὸ κεντηνάριον ἦτο νόμισμα, τὸ ὁποῖον εἶχε διαφορετικὴν ἀξίαν ἀνάλογα μὲ τὸν τόπον καὶ τὸ μέταλλον ἀπὸ τὸ ὁποῖον κατεσκευάζετο (ἄλλην ἀξίαν δηλ. εἶχε τὸ χρυσοῦν, ἄλλην τὸ ἀργυροῦν κλπ.).

νωνται βαρεῖαι· ὅσον κρατεῖ ἡ ψυχὴ αὐτὰ τὰ θελήματά της δὲν ἠμπορεῖ νὰ ἐκτελῇ τὰς ἐντολάς, ἂν ὅμως τὰ ἀφήσῃ, τότε τὰς εὑρίσκει εὐκόλους, χωρὶς νὰ ἔχουν τὸ παραμικρὸν βάρος. Εἶναι κάτι τὸ ἀταίριαστον τὸ νὰ ἐγκαταλείψῃ κανεὶς τὴν προσπάθειαν διὰ τὰ παρόντα καὶ νὰ εὑρίσκεται πάλιν δι' αὐτὰ εἰς διαμάχην μὲ τοὺς ἀνθρώπους. Νὰ πλουτῇ καὶ νὰ ἐλπίζῃ κανεὶς μόνον τὸν Θεὸν ποὺ μᾶς ἐδημιούργησε καὶ μᾶς φροντίζει, καὶ τὴν Βασιλείαν Του νὰ ἐπιθυμῇ. Αὐτὸ δὲν ἔχει καμμίαν δυσκολίαν.

Συνηθίζομεν, εἴτε ἀπὸ φόβον ναυαγίου εἰς τὴν θάλασσαν, εἴτε ἀπὸ ἐπίθεσιν ληστῶν, νὰ καταφρονῶμεν ὅλα μας τὰ ὑπάρχοντα καὶ νὰ ἀπορρίπτωμεν, χωρὶς δισταγμὸν τὰ πράγματα, διὰ νὰ σώσωμεν αὐτὴν τὴν σύντομον ζωήν μας, τὴν ὁποίαν ἐντὸς ὀλίγου, καὶ χωρὶς νὰ τὸ θέλωμεν, θὰ τὴν διαλύσῃ ὁ θάνατος. Καὶ ὅμως διὰ νὰ μὴ στερηθῶμεν αὐτὴν τὴν πρόσκαιρον ζωήν, καταφρονοῦμεν ὅλα εἰς μίαν στιγμὴν καὶ θεωροῦμεν εὐτυχίαν ἂν τὰ χάσωμεν ὅλα καὶ διασωθῶμεν ἀπὸ τοὺς ληστὰς ἢ τὴν τρικυμίαν τῆς θαλάσσης· καὶ ἐκεῖνος ποὺ πρὶν ἀπὸ ὀλίγον ἔκανεν ὡσὰν τρελλὸς καὶ ἄφριζεν ἀπὸ θυμόν, διὰ νὰ κερδήσῃ μίαν πεντάραν, ὅταν περιπέσῃ εἰς ἕνα τέτοιον κίνδυνον, τὰ πετᾷ ὅλα προθύμως, διὰ νὰ κερδήσῃ τὴν πρόσκαιρον ζωήν.

Διατί λοιπὸν νὰ μὴ σκεπτώμεθα τὰ ἴδια καὶ διὰ τὴν αἰώνιον ζωὴν καὶ νὰ ἔχωμεν αὐτὸ τὸ φρόνημα καὶ αὐτὴν τὴν διάθεσιν; Διατί νὰ μὴ παραβλέπωμεν μὲ θάρρος ὅλα τὰ ἐδῶ πρόσκαιρα καὶ νὰ τὰ ἀπορρίπτωμεν, διὰ νὰ μὴ χάσωμεν τὴν ἀθάνατον ζωήν; Διατί νὰ μὴ εἶναι τόσον ἰσχυρὸς ὁ φόβος τοῦ Κυρίου, ὅσον εἶναι ἰσχυρὸς ὁ ἀνθρώπινος φόβος ἢ ὁ κίνδυνος ἀπὸ τὴν τρικυμίαν τῆς θαλάσσης; Πρὸς ἐπιβεβαίωσιν δὲ τῶν ὅσων ἔλεγεν, ἀνέφερε καὶ τὸ ἑξῆς διήγημα, ποὺ ἔμαθεν ἀπὸ ἄλλους.

3. Κάποτε — ἔλεγε — κάποιος τεχνίτης πολυτίμων λίθων, καβιδάριος, ὅπως συνήθως τὸν λέγουν, ἐπῆρε μαζί του πολυτίμους λίθους καὶ μαργαριτάρια, καὶ μαζὶ μὲ τὰ παιδιά του, ἀνέβηκεν εἰς πλοῖον διὰ νὰ ταξιδεύσῃ εἰς ἄλλον τόπον καὶ ἐκεῖ νὰ ἐμπορευθῇ. Κατὰ τὴν διάρκειαν τοῦ ταξιδίου ἐσχετίσθη μὲ τὸν νεώτερον ναύτην τοῦ πλοίου καὶ τὸν ἔκαμε φίλον του. Ὁ νεαρὸς αὐτὸς τὸν ἐξυπηρέτει καὶ ἔτρωγε μαζί του εἰς τὸ τραπέζι. Μίαν ἡμέραν λοιπὸν οἱ ναῦται ἔκαναν συμβούλιον καὶ ἀκούει ὁ νεαρὸς νὰ λέγουν ψιθυριστὰ μεταξύ των νὰ ρίψουν τὸν καβιδάριον εἰς τὴν θάλασσαν διὰ νὰ κερδήσουν τοὺς πολυτίμους λίθους καὶ ὅλα ὅσα εἶχεν ἐπάνω του. Ἀπὸ αὐτὸ ἔγινε περίλυπος.

Ὅταν ἦλθε λοιπὸν διὰ νὰ κάμῃ τὴν συνηθισμένην ὑπηρεσίαν, μόλις τὸν εἶδεν ὁ ἔμπορος περίλυπον καὶ στενοχωρημένον, τὸν ἠρώτησε νὰ μάθῃ τὴν αἰτίαν τῆς λύπης του. Ἐκεῖνος ὅμως δὲν τοῦ εἶπε τίποτε ἀμέσως, ἀλλ' ἐκράτησε τὴν εἴδησιν ποὺ ἔμαθε δι' ἄλλην ὥραν. Ἐπειδὴ ὅμως ὁ ἔμπορος ἐπέμενε νὰ τοῦ γνωρίσῃ τὴν αἰτίαν τῆς βαθείας λύπης του, ἀνεστέναξε καὶ μὲ βουρκωμένα μάτια ἀπὸ δάκρυα, τοῦ ἀναφέρει τὴν ἀπόφασιν ποὺ ἀντελήφθη νὰ παίρνουν οἱ ναῦται δι' αὐτόν. Ἐκεῖνος,

ἀφοῦ ἐσκέφθη σιωπηλῶς ὀλίγον, φωνάζει τὰ παιδιά του καὶ τοὺς παραγγέλλει νὰ κάμουν ἀδίστακτα ὅσα τοὺς διατάξῃ.

Ἁπλώνει λοιπὸν ἀμέσως ἕνα σεντόνι καὶ τὰ διατάσσει νὰ φέρουν τὰ κιβώτια ποὺ ὑπῆρχαν μέσα οἱ πολύτιμοι λίθοι καὶ τὰ μαργαριτάρια. Μόλις δὲ τὰ ἔφεραν, τὰ ἄνοιξεν, ἔβγαλεν ὅλα τὰ μαργαριτάρια καὶ τοὺς πολυτίμους λίθους, τὰ ἔρριψεν ἐπάνω εἰς τὸ σεντόνι καὶ μετὰ λέγει· δι' αὐτὰ θαλασσοπνίγομαι καὶ κινδυνεύω καὶ περνῶ τέτοιαν βασανισμένην ζωήν; Καὶ αὐτά, ὅταν μετὰ ἀπὸ ὀλίγον ἀποθάνω, θὰ τὰ ἐγκαταλείψω εἰς τὸν κόσμον, χωρὶς νὰ πάρω τίποτε μαζί μου! Πέταξέ τα λοιπὸν ὅλα εἰς τὴν θάλασσαν! Καὶ ἀμέσως ἐπῆρε, μὲ τὰ παιδιά του, τὸ σεντόνι καὶ τὰ ἔρριξε μακρὰν εἰς τὸ πέλαγος. Μόλις εἶδαν αὐτὸ οἱ ναῦται ἔμειναν κατάπληκτοι καὶ δὲν ἐπραγματοποίησαν τὴν ἀπόφασιν ποὺ εἶχαν λάβει ἐναντίον του.

Ἂς βάλωμεν λοιπὸν καλὰ εἰς τὸν νοῦν μας, ἀδελφοί, πῶς ὁ ἔμπορος ἐγκατέλειψεν ἀμέσως τὴν προσπάθειαν (τοῦ πλουτισμοῦ), μόλις τὸν παρεκίνησεν ὁ λογισμός του, ἂν καὶ ἦτο ἰδιώτης καὶ κοσμικὸς καὶ ἔγινε, μὲ τὰ ἔργα καὶ τὰ λόγια, φιλόσοφος καὶ αὐτὸ διὰ νὰ κερδήσῃ τὴν ὀλίγην αὐτὴν καὶ πρόσκαιρον ζωήν. Ἡμεῖς, διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ καὶ τὴν Βασιλείαν τῶν Οὐρανῶν, δὲν ἠμποροῦμεν νὰ ὑπομείνωμεν μικρὰν ζημίαν, καὶ χωρὶς λύπην νὰ τὴν ὑποφέρωμεν;

Ἂν πραγματικῶς πρέπει νὰ λυπούμεθα, ἂς λυπηθῶμεν διὰ τὴν (ψυχικὴν) ἀπώλειαν αὐτοῦ ποὺ μᾶς ἐζημίωσε καὶ ὄχι διὰ τὴν ἀφαίρεσιν τῶν χρημάτων· διότι δὲν εἴμεθα ἡμεῖς ποὺ ἐπάθαμεν τὸ κακόν, ἀλλ' ἐκεῖνος, ἐπειδὴ μὲ τὴν ἀδικίαν ποὺ διέπραξεν, ἐξεδιώχθη ἀπὸ τὴν Βασιλείαν τῶν Οὐρανῶν. «Ἄδικοι — λέγει ἡ Ἁγία Γραφὴ — δὲν θὰ κληρονομήσουν τὴν Βασιλείαν τοῦ Θεοῦ» (Α΄ Κορ. στ΄, 9). Μὲ τὴν πρόσκαιρον ζημίαν ποὺ μᾶς προεκάλεσε κάποιος, ἔγινε πρόξενος νὰ κληρονομήσωμεν τὴν αἰώνιον ζωήν. Διότι λέγει ἡ Ἁγία Γραφή· «Νὰ χαίρεσθε καὶ νὰ εὐχαριστῆσθε, διότι θὰ εἶναι μεγάλη ἡ ἀμοιβή σας εἰς τοὺς Οὐρανούς» (Λουκ. στ΄, 35).

Ἡμεῖς ὅμως κάμνομεν τὸ ἀντίθετον· ἀφήσαμεν τὴν λύπην διὰ τὴν ψυχικὴν ἀπώλειαν τοῦ μέλους τοῦ σώματος τοῦ Χριστοῦ καὶ καθήμεθα καὶ κάμνομεν διαφόρους σκέψεις ἐναντίον τοῦ ἀδελφοῦ μας χάριν φθαρτῶν, τιποτένιων πραγμάτων, ποὺ δὲν ἔχουν καμμίαν ἀξίαν. Διότι ὁ Θεός, μὲ τὴν πίστιν, μᾶς ἔκαμε μέλη σώματος ποὺ ἔχει κεφαλὴν τὸν Χριστόν, ὅπως λέγει ὁ Ἀπόστολος· «ὅλα τὰ μέλη, ἂν καὶ εἶναι πολλά, ἀποτελοῦν ἕνα σῶμα, κεφαλὴ δὲ ὅλων εἶναι ὁ Χριστὸς» (Α΄ Κορ. ιβ΄, 12).

Ὅταν λοιπὸν σὲ στενοχωρῇ ὁ ἀδελφός σου, νὰ νομίζῃς ὅτι τὸ χέρι σου ἢ ὁ ὀφθαλμός σου ἢ κάποιο ἄλλο ἀπὸ τὰ μέλη σου πάσχει καὶ σὲ στενοχωρεῖ· «διότι ἂν πάσχῃ — λέγει ἡ Ἁγία Γραφή — ἕνα μέλος, συμπάσχουν ὅλα τὰ μέλη». Ὅπως ἀκριβῶς συμβαίνει καὶ εἰς τὸ σῶμα μας· ἂν ἀσθενῇ κάποιο μέλος μᾶς μεταδίδει τὸν πόνον μὲ τὸν σύνδεσμον ποὺ ὑπάρχει, ἀλλὰ δὲν τὸ ἀφαιροῦμεν ἀπὸ ἐπάνω μας, οὔτε τὸ ἀποκό-

πτομεν, διὰ νὰ ἀποφύγωμεν τὸν πόνον· ἀπ᾽ ἐναντίας μάλιστα, θεωροῦμεν μεγίστην ζημίαν ἂν στερηθῶμεν κάποιο μέλος μας καὶ χωρὶς νὰ τὸ θέλωμεν. Πάσχομεν δὲ μαζὶ μὲ τὸ ἄρρωστον μέλος καὶ φροντίζομεν νὰ τὸ θεραπεύσωμεν· τοποθετοῦμεν ἐπάνω εἰς αὐτὸ τὴν τιμίαν σφραγῖδα τοῦ Χριστοῦ, τὸ ἀλείφομεν μὲ ἅγιον ἔλαιον, τὸ δεικνύομεν εἰς τοὺς ἰατροὺς καὶ ἐφαρμόζομεν ὅλα τὰ ἀπαραίτητα διὰ τὴν θεραπείαν τοῦ πάθους του.

Ὅπως λοιπὸν ὑπομένομεν νὰ θεραπευθῇ τὸ μέλος ποὺ πονεῖ καὶ νὰ μὴ μᾶς μεταδίδῃ τὴν θλῖψιν του, ἔτσι πρέπει νὰ σκεπτώμεθα καὶ νὰ πράττωμεν διὰ τοὺς ἀδελφούς μας. Καὶ ἂν κάποτε κάποιος ἀπὸ αὐτοὺς μᾶς ἀδικήσῃ ἤ, ὁπωσδήποτε, μᾶς λυπήσῃ, κατόπιν ἐπηρείας τοῦ κοινοῦ μας ἐχθροῦ, τοῦ σατανᾶ, κατὰ παραχώρησιν Θεοῦ πρὸς δοκιμασίαν μας ἢ πρὸς διόρθωσιν κάποιου πάθους μας, ὀφείλομεν νὰ λυπούμεθα, ὄχι διὰ τὴν ζημίαν τῶν χρημάτων ἢ τὴν ἀδικίαν ποὺ ὑπέστημεν, ἀλλὰ διὰ τὸν ἀδελφὸν ποὺ μᾶς ἠδίκησε, ἢ μᾶλλον ποὺ ἐζημίωσε τὸν ἑαυτόν του πάρα πολύ, ὅπως εἶπα προηγουμένως, καὶ ἀξιοθρήνητα ἐξέπεσεν ἀπὸ τὴν Βασιλείαν τῶν Οὐρανῶν. Δι᾽ αὐτὸ νὰ λυπηθῶμεν καὶ νὰ πενθήσωμεν καὶ θερμὰ νὰ παρακαλέσωμεν δι᾽ αὐτὸν τὸν φιλάνθρωπον Θεόν, νὰ συγχωρήσῃ εἰς τὸν ἀδελφὸν τὸ ἁμάρτημά του.

Ὅταν λοιπὸν κάμνωμεν ἔτσι, θὰ εἴμεθα πραγματικὰ μιμηταὶ τοῦ Χριστοῦ, ὁ ὁποῖος προσηύχετο διὰ τοὺς σταυρωτάς του καὶ παρεκάλει τὸν ἐπουράνιον Πατέρα νὰ τοὺς συγχωρήσῃ· καὶ εἰς αὐτὸ ἔγινε δι᾽ ἡμᾶς τύπος ἀνεξικακίας. Μιμούμενοι λοιπὸν Αὐτόν, ἂς συγχωρήσωμεν εἰς τοὺς ἀδελφοὺς τὰ σφάλματα ποὺ ἔκαναν εἰς βάρος μας, διὰ νὰ συγχωρήσῃ καὶ Ἐκεῖνος τὰ παραπτώματά μας (Ματθ. στ΄, 12). Καὶ ἔτσι νὰ μᾶς καταστήσῃ μετόχους καὶ κληρονόμους τῆς δόξης Του.

4. Ὁ ἴδιος διηγεῖτο ὅτι κάποτε παρήγγειλεν εἰς ἕνα σπουδαῖον καλλιγράφον μερικὰ βιβλία*. Ἀφοῦ λοιπὸν τὰ ἐτελείωσεν, ἔστειλε καὶ μὲ εἰδοποίησε. Τὰ ἐτελείωσα, μοῦ εἶπε — στεῖλε μου ὅ,τι νομίζεις καὶ πάρε τα. Κάποιος ὅμως ἀδελφός, ὅταν τὸ ἔμαθεν, ἐπῆγεν ἐκ μέρους μου τάχα εἰς τὸν καλλιγράφον, καὶ ἀφοῦ τοῦ ἔδωσε τὴν ἀμοιβήν του, τὰ ἐπῆρεν. Ἐγώ, χωρὶς νὰ γνωρίζω αὐτὸ ποὺ ἔγινε, ἔστειλα κάποιον ἀδελφόν, ἀπὸ τὴν συνοδείαν μου, μὲ γράμματα καὶ μὲ τὴν ἀμοιβήν, διὰ νὰ παραλάβῃ τὰ βιβλία.

Μόλις ἔφθασεν ὁ ἀδελφὸς καὶ ἀντελήφθη ὁ καλλιγράφος, ὅτι τὸν ἐξηπάτησεν ἐκεῖνος ποὺ παρέλαβε τὰ βιβλία, ἐταράχθη καὶ εἶπε· πραγματικὰ θὰ πάω νὰ τὸν τιμωρήσω δι᾽ αὐτὰ τὰ δύο· διότι μὲ ἐξηπάτησε καὶ διότι ἐπῆρε πράγματα ποὺ δὲν ἦσαν ἰδικά του. Μόλις ἐπληροφορήθηκα

---

* Κατὰ τὴν ἐποχὴν ἐκείνην τὰ βιβλία ὅλα ἦσαν χειρόγραφα. Ὑπῆρχον λοιπὸν εἰδικοὶ ἀντιγραφεῖς, οἱ ὁποῖοι ἦσαν καὶ καλλιγράφοι, διὰ νὰ διαβάζωνται εὔκολα τὰ γράμματά των, οἱ ὁποῖοι ἀνελάμβανον τὸ ἔργον τῆς ἀντιγραφῆς μὲ ἱκανοποιητικὴν ἀμοιβήν.

ἐγὼ τὴν ἀπόφασίν του αὐτήν, ἔστειλα καὶ τοῦ ἐμήνυσα τὰ ἑξῆς· ἀδελφέ μου, γνωρίζεις ὅτι ἀποκτῶμεν βιβλία δι' αὐτὸν ἀκριβῶς τὸν λόγον· διὰ νὰ μάθωμεν, δηλαδή, ἀπὸ αὐτὰ ἀγάπην, ταπείνωσιν, πραότητα· ἂν ὅμως ἡ ἀρχὴ τῆς ἀποκτήσεως βιβλίων εἶναι ἡ διαμάχη, δὲν θέλω νὰ τὰ ἀποκτήσω, μόνον καὶ μόνον διὰ νὰ μὴν ἔλθω εἰς φιλονικίαν· διότι δὲν πρέπει ὁ δοῦλος τοῦ Θεοῦ νὰ μαλώνῃ μὲ ἄλλους (Β´ Τιμ. 6´, 24).

5. Κάποτε ἦλθον λησταὶ ἐναντίον ἑνὸς ἀσκητοῦ· οὗτος προησθάνθη τὴν ἐπίθεσίν των καὶ μόλις ἔφθασαν ἔκραξεν εἰς βοήθειαν. Οἱ γείτονες ἤκουσαν τὰς φωνάς του, ἐβγῆκαν, συνέλαβαν τοὺς ληστὰς καὶ τοὺς ἔστειλαν εἰς τὸν Ἡγεμόνα. Ὁ Ἡγεμὼν τοὺς ἔβαλεν ἀμέσως εἰς τὴν φυλακήν. Ὅταν τὸ ἐπληροφορήθησαν αὐτὸ οἱ ἀδελφοί, ἐλυπήθησαν καὶ εἶπαν· ἐξ αἰτίας μας παρεδόθησαν. Ἐσηκώθησαν λοιπὸν καὶ ἐπῆγαν πρὸς τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ ἀνέφεραν τὴν ὑπόθεσιν. Ἐκεῖνος δὲ ἀμέσως ἔγραψεν εἰς τὸν Ἀσκητήν. Σκέψου — τοῦ ἐμήνυσε — τὴν πρώτην προδοσίαν ἀπὸ ποῦ ἔγινε καὶ τότε θὰ ἴδῃς καὶ τὴν δευτέραν· ἂν δηλαδὴ δὲν ἐπροδίδεσο προηγουμένως ἀπὸ μέσα σου, ἂν μὲ ἄλλα λόγια δὲν ἐδειλιοῦσες ἀπὸ ἀπιστίαν, δὲν θὰ ἔκαμνες τὴν δευτέραν προδοσίαν, νὰ παραδώσῃς δηλαδὴ τοὺς ληστὰς εἰς τὸν ἄρχοντα.

Μόλις ὁ Γέρων ἐδιάβασε τὴν ἐπιστολὴν τοῦ Ἀββᾶ Ποιμένος, ἐσηκώθη, ἦλθεν εἰς τὴν πόλιν, (ἂν καὶ δὲν ἔβγαινε ποτὲ ἀπὸ τὸ κελλί του) καὶ ἔβγαλε τοὺς ληστὰς ἀπὸ τὴν φυλακήν. Ἦτο ὀνομαστὸς εἰς ὅλην ἐκείνην τὴν χώραν καὶ τοὺς ἠλευθέρωσε μὲ τὴν βοήθειαν τῆς ἐξουσίας ἀμέσως.

Η'. Τοῦ Ἁγίου Ἐφραίμ

ΕΑΝ χρήσῃς τῷ ἀδελφῷ σου τι καὶ βραδύνῃ περὶ τὴν ἀπόδοσιν, καὶ βούλει ὑπομνῆσαι αὐτόν, ἅπαξ λάλησον· πολλάκις γὰρ γίνεται λήθη. Εἰ δὲ σὺ χρήσῃ τι παρ' ἑτέρου, κἀκεῖνος εὐλαβείᾳ φερόμενος μὴ ὑπομνήσῃ σε, ἀλλὰ σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον μὴ θελήσῃς ἀποστερῆσαι αὐτὸν τῶν ἑαυτοῦ, διότι γέγραπται: μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν.

Ἑρμηνεία

ΑΝ δανείσῃς εἰς τὸν ἀδελφόν σου κάτι καὶ καθυστερήσῃ νὰ σοῦ τὸ ἐπιστρέψῃ καὶ θελήσῃς νὰ τοῦ τὸ ὑπενθυμίσῃς, νὰ τοῦ τὸ εἰπῇς μίαν φοράν· διότι πολλὰς φορὰς λησμονεῖ κανείς.

Ἂν σύ δανεισθῇς κάτι ἀπὸ ἄλλον, καὶ ἐκεῖνος ἀπὸ σεβασμὸν δὲν σοῦ τὸ ὑπενθυμίσῃ, σὺ πάντως, ἀπὸ φόβον Θεοῦ, μὴ θελήσῃς νὰ τοῦ τὸ στερήσῃς, διότι ἔχει γραφῇ· «Σὲ κανένα νὰ μὴ ὀφείλετε τίποτα, ἐκτὸς ἀπὸ τὸ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον» (Ρωμ. ιγ´, 8).

ΥΠΟΘΕΣΙΣ ΛΗ΄

Ὅτι δεῖ τὸν Χριστιανὸν οὐ μόνον τοὺς ἀδικοῦντας μὴ ἀμύνεσθαι, ἀλλὰ μακροθύμως τὴν ἀδικίαν ὑφίστασθαι, καὶ τῇ ἀνεξικακίᾳ ἐντρέπειν αὐτούς.

Ὁ Χριστιανὸς πρέπει ὄχι μόνον τοὺς ἀδικοῦντας νὰ μὴ τιμωρῇ, ἀλλὰ μὲ μακροθυμίαν νὰ ὑπομένῃ τὴν ἀδικίαν καὶ νὰ τοὺς μεταβάλλῃ, μὲ τὴν ἀνεξικακίαν του.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΑΝΗΡ ΤΙΣ εὐλαβέστατος Λιβερτῖνος ὀνόματι, ἐν τῇ μονῇ τοῦ ἁγίου Ὀνωράτου ὑπῆρχε δευτεριάριος, οὗ καὶ μαθητὴς γέγονεν. Ἐν μιᾷ οὖν, Δαρδᾶς ὁ τῶν Γότθων κόμης, μετὰ στρατοῦ τῷ δούλῳ τοῦ Θεοῦ ὑπήντησε. Τινὲς οὖν ἐκ τῶν ἀνθρώπων αὐτοῦ τὸν Λιβερτῖνον ἐκ τοῦ ἵππου, ἐν ᾧ ἐκαθέζετο, καταγαγόντες, τὸν ἵππον ἀφείλοντο. Ὁ δὲ προθύμως τὴν τοῦ ἀφαιρεθέντος ἵππου ζημίαν ὑπενεγκών, καὶ τὸ φραγγέλιον, ὅπερ ἐκράτει, τούτοις ἐπιδέδωκεν εἰπών· λάβετε καὶ τοῦτο, ἵνα ἔχητε πῶς τὸ κτῆνος τοῦτο ἐλάσητε· ἔπειτα εἰς εὐχὴν ἑαυτὸν δέδωκεν. Οἱ δέ, δρόμῳ πολλῷ χρώμενοι, τὸν ποταμὸν κατέλαβον τὸν Βουλτοῦρνον λεγόμενον.

Ἤρξαντο οὖν ἕκαστος τὸν ἑαυτοῦ ἵππον τῇ τῆς ρομφαίας ἄστᾳ τύπτειν καὶ ταῖς πτερνιστήραις πλήσσειν· οἱ δὲ ἵπποι τυπτόμενοι, κόπον μὲν ὑπέμενον, κινηθῆναι δὲ οὐκ ἠδύναντο· οὕτω γὰρ τῷ ὕδατι τοῦ ποταμοῦ προσεγγίσαι ἐφοβοῦντο, καθάπερ κρημνῷ θανασίμῳ. Ὡς οὖν ἐπὶ πολὺ τοὺς ἵππους πλήσσοντες ἐξητόνησαν, εἷς ἐξ αὐτῶν εἶπε· διὰ τὸ πταῖσμα ὃ ἐν τῇ ὁδῷ εἰς τὸν δοῦλον τοῦ Θεοῦ πεποιήκαμεν ταῦτα ὑπομένομεν. Παραυτὰ οὖν ὑποστρέψαντες, εὑρίσκουσι τὸν Λιβερτῖνον ἐν τῇ εὐχῇ κείμενον, ᾧ καὶ εἶπον· ἀνάστα, λάβε τὸν ἵππον σου· ἐκεῖνος δὲ ἀπεκρίθη λέγων· ἀπέλθετε μετὰ καλοῦ· ἐγὼ χρείαν τοῦ ἵππου οὐκ ἔχω. Κατελθόντες δὲ μετὰ βίας, αὐτὸν εἰς τὸν ἵππον, ὅθεν κατήγαγον, ἐκούφισαν καὶ παρευθὺς ἀνεχώρησαν. Ἔπειτα πάλιν εἰς τὸν ποταμὸν ἐλθόντες, ᾧ μηδὲ προσεγγίσαι πρότερον οἱ ἵπποι αὐτῶν ἴσχυον, οὕτως εὐκόλως αὐτὸν διεπέρασαν, ὡς ἅτε μηδὲ ὕδωρ ὅλως ἔχοντα.

Θαυμάσαι οὖν ἐστι τήν τε τοῦ δικαίου ὑπομονὴν πῶς πράως τὴν ἀδικίαν

ὑπήνεγκε, καὶ τὴν τοῦ Θεοῦ δικαιοκρισίαν, πῶς τὴν ἀνομίαν ἀνέστειλε καὶ διὰ τῶν ἀλόγων τοὺς λογικοὺς ἐσωφρόνισε, καὶ τὸν ἑαυτοῦ θεράποντα θαυμασίως ἐδόξασεν.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ Μονὴν τοῦ Ἁγίου Ὀνωράτου ἐζοῦσεν ἕνας εὐλαβέστατος ἄνθρωπος, ὁ Λιβερτῖνος, δεύτερος μετὰ τὸν Ὀνωρᾶτον, τοῦ ὁποίου ἔγινε καὶ μαθητής. Μίαν ἡμέραν συνήντησεν ὁ κόμης τῶν Γότθων* Δαρδᾶς, μὲ πολὺν στρατόν, τὸν δοῦλον τοῦ Θεοῦ. Μερικοὶ λοιπὸν ἀπὸ τοὺς ἀνθρώπους τοῦ Δαρδᾶ τὸν κατέβασαν ἀπὸ τὸ ἄλογον, τὸ ὁποῖον ἵππευε καὶ τοῦ τὸ ἀφήρεσαν. Ἐκεῖνος ἐδέχθη πρόθυμα τὴν ζημίαν ἀπὸ τὴν ἁρπαγὴν τοῦ ἀλόγου· τοὺς ἔδωσε μάλιστα καὶ τὸ μαστίγιον, ποὺ ἐκρατοῦσε καὶ τοὺς εἶπε· πάρετε καὶ αὐτό, διὰ νὰ κτυπᾶτε τὸ ζῷον νὰ προχωρῇ· καὶ ὕστερα ἐπεδόθη εἰς προσευχήν. Οἱ Γότθοι, μετὰ ἀπὸ πολὺν καλπασμόν, ἔφθασαν εἰς τὸν ποταμὸν Βουλτοῦρνον**.

Ἄρχισαν λοιπὸν ὁ καθένας νὰ κτυπᾷ τὸ ἄλογόν του μὲ τὴν θήκην τοῦ σπαθιοῦ του καὶ νὰ τὸ κεντᾷ μὲ τὰ σπιρούνια. Τὰ ἄλογα ὅμως, καθὼς τὰ ἐκτυποῦσαν, ἐπροσπαθοῦσαν, ἀλλὰ δὲν ἠμποροῦσαν νὰ κινηθοῦν· τόσον πολὺ ἐφοβοῦντο νὰ πλησιάσουν τὸ νερὸ τοῦ ποταμοῦ, ὡσὰν νὰ ἦτο θανάσιμος κρημνός. Ἀφοῦ λοιπὸν ἐκουράσθησαν νὰ κτυποῦν τὰ ἄλογα, εἶπε κάποιος ἀπὸ αὐτούς· αὐτὰ τὰ παθαίνομεν, διὰ τὸ κακὸν ποὺ ἐκάμαμεν καθ' ὁδὸν εἰς τὸν δοῦλον τοῦ Θεοῦ. Ἀμέσως τότε ἐπιστρέφουν ὀπίσω καὶ εὑρίσκουν τὸν Λιβερτῖνον νὰ προσεύχεται καὶ τοῦ λέγουν· πάρε τὸ ἄλογόν σου. Ἐκεῖνος τοὺς ἀπήντησε· πηγαίνετε εἰς τὸ καλόν· ἐγὼ δὲν ἔχω ἀνάγκην ἀπὸ τὸ ἄλογον. Μετὰ ἀπὸ αὐτό, ἀφοῦ κατέβησαν ἀπὸ τὰ ἄλογά τους, τὸν ἀνέβασαν διὰ τῆς βίας εἰς τὸ ἄλογον, ἀπὸ ὅπου πρὶν ἀπὸ ὀλίγον τὸν κατέβασαν καὶ ἔφυγαν ἀμέσως. Ἔπειτα ἦλθαν πάλιν εἰς τὸν ποταμόν, εἰς τὸν ὁποῖον προηγουμένως οὔτε νὰ πλησιάσουν δὲν ἠμπόρεσαν τὰ ἄλογα καὶ τὸν ἐπέρασαν τόσον εὔκολα ὡσὰν νὰ μὴ εἶχε καθόλου νερόν.

Πρέπει λοιπὸν νὰ θαυμάσῃ κανεὶς καὶ τὴν ὑπομονὴν τοῦ Δικαίου, μὲ πόσην ἠρεμίαν ὑπέμεινε τὴν ἀδικίαν, καὶ τὴν δικαιοκρισίαν τοῦ Θεοῦ πῶς ἐσταμάτησε τὴν ἀδικίαν καὶ ἐσωφρόνισε μὲ τὰ ἄλογα τοὺς λογικοὺς καὶ πῶς ἐδόξασε θαυμαστῶς τὸν θεράποντά Του.

---

* Οἱ Γότθοι ἦσαν ἀρχαῖος γερμανικὸς λαός, οἱ ὁποῖοι κατὰ τὸν 4ον καὶ 5ον αἰῶνα μετὰ Χριστὸν εἰσέβαλον εἰς τὴν Ἰταλίαν, τὴν ὁποίαν ὑπέταξαν σχεδὸν ἐξ ὁλοκλήρου, ἐμεγάλωσαν δὲ τὸ κράτος των διὰ τῆς καταλήψεως καὶ τῆς σημερινῆς Γαλλίας καὶ Ἱσπανίας.

** Ὁ Βουλτοῦρνος εἶναι ποταμὸς τῆς νοτίου Ἰταλίας, ὁ ὁποῖος πηγάζει ἀπὸ τὰ Ἀπέννινα ὄρη καὶ χύνεται εἰς τὴν Τυρρηνικὴν θάλασσαν βορείως τῆς Νεαπόλεως. Τὸ μῆκος του εἶναι 167 χλμ., περνᾷ μέσα ἀπὸ τὴν πόλιν τῆς Κάπουας, σήμερον δὲ ὀνομάζεται ἰταλικὰ Βολτοῦρνο.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Μαρκιανοῦ

Ο ΜΕΓΑΣ Μαρκιανός, μέσον νυκτῶν ὅτε καὶ μάλιστα μηδενὶ ὀφθῆναι τῶν πάντων ᾤετο, ἔθος εἶχεν ἀπιέναι πρός τινα συνήθη τραπεζίτην τὸ χρυσίον καταλλάζων, καὶ κέρμα λαμβάνων πλειόνων χαλκῶν, ὡς ἂν ἔχῃ τοῦ διανεῖμαι τοῖς πενομένοις, εὐθὺς ἐπανήει. Ὁ γοῦν τραπεζίτης, εἰς κέρδος πρόφασιν τὸ ἄωρον τῆς νυκτὸς λαμβάνων, ζυγοῖς ἀδίκοις τοὺς χρυσοῦς ἐσταθμᾶτο· κἀκεῖνος οὐδὲν ἀντιλέγων οὔθ' ὅλως ἐξακριβούμενος, δῆλος ἦν τὸ πᾶν τῇ συνειδήσει τοῦ σταθμίζοντος ἐπιτρέπων.

Ὡς δὲ πολλάκις τοῦτο γινόμενον, Μαρκιανὸς τὸν μὴ συνιέντα ὑποκρινόμενος, οὐδὲν ἐνεκάλει τῷ τραπεζίτῃ, πολλὴ ἔκπληξις εἶχεν αὐτόν, καὶ ἅμα τὴν ὥραν ἀνασκοπῶν, ὅτι τῆς νυκτὸς ἦν τὸ μεσαίτατον, εἰς κρείττονα λογισμὸν ἐχώρει, καὶ τὰς ὑπολήψεις ἐγγιζούσας εἶχε τῇ ἀληθείᾳ, καὶ τῷ Μαρκιανοῦ βίῳ πρεπούσας. Ἀμέλει καί τινι τῶν αὐτοῦ παίδων ἀκολουθεῖν ἐκέλευεν αὐτῷ ἐξιόντι, ὥς τε μαθεῖν πούποτε ἄρα τὰ τοῦ κέρματος ἐκείνῳ χωροῦσιν. Ὁ μὲν οὖν παῖς ἠκολούθει, ἐπεὶ δὲ καὶ νεκρῷ πένητι ἐντυχὼν ὁ θεῖος ἀνὴρ ἐπὶ κλίνης κειμένῳ, λαβὼν ἔκ τινος οἰκίσκου καπηλικοῦ, ὡς ἔθος εἶχεν, ἔλουσέ τε τὸν νεκρὸν καὶ ἠμφίασεν, εἶτα καὶ ἀναστάντα, ὡς προλαβόντες εἴπομεν, αὐτὸν ἠσπάσατο, καὶ ἀνακλίνας αὖθις ἀπῄει.

Ταῦτα τὸν παῖδα ἰδόντα φρίκη κατέσχε· καὶ στραφεὶς ὡς τάχος τῷ πέμψαντι πάντα διασαφεῖ, τὸν δὲ μετάνοια τῶν γινομένων εἰσῄει, καὶ ἐφ' οἷς πρὸς τὸν ὅσιον ἀδικώτατα διετέθη κλαίων ἦν καὶ τιμωρίαν ἀπὸ τοῦ συνειδότος ἑαυτῷ εἰσπραττόμενος. Διὸ καὶ παραγενομένῳ τῷ ἁγίῳ πάλιν πρὸς αὐτόν, ἐφ' ᾧ τὸ χρυσίον καταλλάξειεν ὁ τραπεζίτης, προσέπιπτέ τε τοῖς ἐκείνου ποσί, καὶ διωμολόγει τὰ πραχθέντα κακῶς καὶ πᾶν ὃ ἐπλεονέκτησεν ἀπεδίδου.

Οὕτω πρᾶξις ἀγαθὴ σιωπῶσα μᾶλλον ἢ πλήθει ρημάτων ἀνύειν δύναται· καὶ οὓς ἔλεγχοι καὶ παραινέσεις οὐδὲν ὤνησαν, τούτοις ἔργον ἐπαινετὸν ἡσύχως χωροῦν καὶ ἀφανῶς αὐτῶν τῆς συνειδήσεως παραπτόμενον, ἐβελτίωσέ τε καὶ αὐθαιρέτως μεταμαθεῖν τὸ ἀγαθὸν παρεσκεύασεν. Ὁ μέν τοι Μαρκιανὸς μηδὲν ἠδικεῖσθαι φήσας, τοῦ τε διδομένου καὶ αὐτοῦ τοῦ διδόντος τὸ λοιπὸν ἀπέσχετο, οὐχ ὡς ἄν τινα πονηρὸν ἐκτρεπόμενος, ἐκείνῳ γὰρ οὐ συγγνώμην ἁπλῶς ἔνειμεν, ἀλλὰ καὶ φίλτατον αὐτὸν διωμολόγησεν ἔχειν, ἀλλὰ φεύγων τὴν ἀπὸ τῆς ματαίας δόξης ἐπακολουθοῦσαν βλάβην, καὶ θέλων μηδενὶ ἀνθρώπῳ τὰ ἑαυτοῦ δῆλα γενέσθαι, ἀλλὰ τῷ Θεῷ μόνῳ ταῦτα ταμιευόμενος.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Μαρκιανός, κατὰ τὰ μεσάνυκτα, ὅταν ἐνόμιζεν ὅτι δὲν ἦτο δυνατὸν κανεὶς νὰ τὸν ἴδῃ, συνήθιζε νὰ πηγαίνῃ εἰς κάποιον γνωστόν του τραπεζίτην διὰ νὰ ἀλλάζῃ τὰ χρυσᾶ νομίσματα μὲ πολλὰ μικρὰ χάλκινα νομίσματα διὰ νὰ τὰ μοιράζῃ εἰς τοὺς πτωχούς· ἀμέσως δὲ μετὰ ἐγύριζεν. Ὁ τραπεζίτης λοιπόν, λαμβάνων ὡς πρόφασιν ὅτι ἡ ἀλλαγὴ ἐγένετο τὴν νύκτα καὶ θὰ ἠμποροῦσε νὰ κερδίζῃ περισσότερα, ἐζύγιζε τὰ χρυσᾶ νομίσματα μὲ ὄχι σωστὴ ζυγαριά. Ὁ Ἅγιος δὲν ἐπρόβαλλε καμμίαν ἀντίρρησιν, καὶ δὲν ἐφρόντιζε καθόλου νὰ τὸν ἐλέγχῃ· ἔτσι ἔ-

δειχνεν ὅτι εἶχεν ἀπόλυτον ἐμπιστοσύνην εἰς τὴν συνείδησιν αὐτοῦ ὁ ὁποῖος ἐζύγιζε.

Ἐπειδὴ ὅμως αὐτὸ ἔγινε πολλὰς φορὰς καὶ ὁ Μακάριος ὑπεκρίνετο ὅτι δὲν ἀντιλαμβάνεται τίποτα, οὔτε κατηγοροῦσε τὸν τραπεζίτην, ὁ τραπεζίτης ἤρχισε νὰ ἀπορῇ· ἀφοῦ λοιπὸν ἐπρόσεξε καὶ πάλιν τὴν ὥραν, ὅτι ἦτο μεσάνυκτα, κατέληξεν εἰς καλυτέραν σκέψιν, καὶ αἱ ὑποψίαι του ἐπλησίαζαν πλέον τὴν ἀλήθειαν, ποὺ ἑταίριαζε μὲ τὴν ζωὴν τοῦ Μαρκιανοῦ. Παρήγγειλε, πραγματικά, σὲ κάποιον ὑπηρέτην του νὰ παρακολουθήσῃ τὸν Μαρκιανόν, ὅταν φύγῃ ἀπὸ τὸ ἐργαστήριον, διὰ νὰ μάθῃ ποῦ πηγαίνουν τὰ χρήματα. Καὶ ὁ μὲν ὑπηρέτης τὸν παρακολουθοῦσεν· ὅταν δὲ ὁ Ἅγιος ἄνθρωπος συνήντησε κάποιον ζητιᾶνον, ποὺ ἦτο νεκρὸς ἐπάνω εἰς ἕνα κρεβάτι, ἀμέσως ἐπῆρεν ἀπὸ κάποιο οἰνοπωλεῖον κρασί, ὅπως συνήθιζε, καὶ ἔπλυνε, μὲ αὐτό, τὸν νεκρὸν καὶ τὸν ἐσαβάνωσε. Κατόπιν ὅμως ὁ νεκρὸς ἀνεστήθη, ὅπως εἴπομεν προηγουμένως,* καὶ ἀφοῦ τὸν ἠσπάσθη, πάλιν ἔμεινεν νεκρός, καὶ ὁ Ἅγιος ἔφυγεν.

Μόλις εἶδεν αὐτὰ τὰ πράγματα ὁ ὑπηρέτης ἔφριξε· καὶ ἀφοῦ ἔτρεξε ὅσον πιὸ γρήγορα ἠμποροῦσεν εἰς αὐτὸν ποὺ τὸν ἔστειλε, τὰ ἀνέφερε λεπτομερῶς ὅλα. Τότε ὁ τραπεζίτης μετενόησε δι' ὅσα ἔγιναν καὶ ἔκλαιε, διότι εἶχεν ἀδικήσει πάρα πολὺ τὸν Ὅσιον· καὶ ἡ συνείδησίς του, μὲ τὰς τύψεις, τὸν ἐτιμωροῦσε. Δι' αὐτό, ὅταν ἦλθε πάλιν ὁ Ἅγιος, διὰ νὰ ἀνταλλάξῃ τὰ χρυσᾶ νομίσματα, πίπτει ὁ τραπεζίτης εἰς τὰ πόδια του, τοῦ ἐξωμολογεῖτο τὰ κακὰ ποὺ διέπραξε καὶ τοῦ ἐπέστρεψεν ὅσα τοῦ ἐπῆρε παραπάνω.

Ἔτσι μία καλὴ πρᾶξις, ἀποσιωπουμένη, ἠμπορεῖ νὰ ὠφελήσῃ περισσότερον ἀπὸ τὰ πολλὰ λόγια· καὶ ἐκείνους ποὺ δὲν ὠφέλησαν ἔλεγχοι καὶ συμβουλαί, τοὺς διώρθωσεν ἕνα ἀξιέπαινον ἔργον ποὺ διεξάγεται ἥσυχα καὶ χωρὶς νὰ φαίνεται, διότι ἤγγισε τὴν συνείδησίν των, τοὺς διώρθωσε καὶ τοὺς ἔκαμε νὰ μάθουν μόνοι των τὸ καλόν.

Ὁ Μαρκιαὸς ὅμως εἶπε πρὸς τὸν τραπεζίτην ὅτι δὲν ἠδικήθη καθόλου καὶ ἀμέσως ἐγκατέλειψε καὶ τὸ ἐπιπλέον ποὺ τοῦ ἔδιδε καὶ τὸν ἴδιον· ὄχι διὰ νὰ ἀποφύγῃ κάποιον πονηρὸν (ἐπειδὴ ὄχι ἁπλῶς τὸν ἐσυγχώρησεν, ἀλλὰ καὶ διεβεβαίωσεν ὅτι τὸν θεωρεῖ πάρα πολὺ ἀγαπητόν του), ἀλλὰ διὰ νὰ μὴ ζημιωθῇ ψυχικὰ ἀπὸ τὴν ματαιοδοξίαν καὶ διότι ἤθελε νὰ μὴ φανερωθοῦν αἱ πράξεις του εἰς κανένα ἄνθρωπον, παρὰ μόνον εἰς τὰ ταμεῖα τοῦ Θεοῦ νὰ θησαυρισθοῦν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σπυρίδωνος

ΠΡΟΣΗΛΘΕ τίς ποτε τῷ Ἁγίῳ Σπυρίδωνι αἶγας πριάσθαι τῆς ποίμνης βουλόμενος, τὸν ἀριθμὸν ἑκατόν. Ἐπιτραπεὶς οὖν ὑπὸ τοῦ Ὁσίου τὴν τιμὴν πρότε-

* Τὸν πολλὰ ὠφέλιμον βίον τοῦ Ἁγίου Μαρκιανοῦ βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ» τόμος Α' σελὶς 212.

ρον καταθέσθαι, εἶτα λαβεῖν, αὐτὸς τῶν ἐννέα μόνον καὶ ἐνενήκοντα καταθείς, τῆς μιᾶς ὑπεκράτησε, λήσειν οἰόμενος ἐν τούτῳ τὸ ἁπλοϊκὸν ἐκείνου καὶ κομιδῇ ἄπραγμον. Ἐπεὶ οὖν εἴσω τῆς μάνδρας ἄμφω γεγόνασιν, ὁ μὲν ἐκέλευεν ὅσην δὴ καὶ κατέθετο τιμήν, τοσαύτας λαβεῖν, ὁ δὲ μηδὲ οὕτω συνεὶς ἑκατὸν τῆς μάνδρας ἐξήλαυνεν.

Μία γοῦν τῶν αἰγῶν οἷα θεράπαινα ἀγαθὴ αἰσθομένη ὅτι μὴ ἀπέδοτο αὐτὴν ὁ δεσπότης ὀξέως ἐπανήει μᾶλλον, καὶ πρὸς τὴν μάνδραν ἐχώρει· ὁ δὲ αὖθις ἀπῆγε καὶ πρὸς τὴν βίαν εἷλκεν ὁ ἀναιδής. Ἐπράχθη τοῦτο δίς, ἢ καὶ τρὶς τὸ θαυμάσιον· καὶ ἡ μὲν αἲξ ἐπανήει, ὁ δὲ ἀνεῖλκεν ὀργώσῃ καὶ χειρὶ καὶ ψυχῇ.

Τί οὖν; μηδὲν οὕτως ἀνύων, ἀφαρπάσας αὐτὴν χαμόθεν καὶ τοῖς ὤμοις ἀναθείς, ἀπῆγεν· ἡ δὲ καὶ οὕτω μέγα τι καὶ τραχύτατον ἐμβοῶσα καὶ τοῖς κέρασιν αὐτὸν παίουσα, καὶ πρὸς τὴν κεφαλὴν ἐκκυρτουμένη, τὴν βίαν ἐκήρυττε φανερῶς καὶ τὸν πλεονέκτην ὥς περ ἐτιμωρεῖτο τῆς ἀδικίας, ὥς τε καὶ τοὺς παρόντας ἐν ἐκπλήξει τὸ θαῦμα ποιεῖσθαι, τὴν αἰτίαν οὐκ ἔχοντας συμβαλεῖν.

Τὸν δὲ μέγαν οὐ φανερῶς ἐλέγξαι βουλόμενον, ἠρέμα πρὸς τὸν ἀδικοῦντα, ὅρα, τέκνον, εἰπεῖν, μήποτε οὐ μάτην ταῦτα τὸ ζῷον οὔτε μὴν ἀλόγως ἀχθήσεται τῇ ἀπαγωγῇ, ἀλλ' ὅτι μὴ καὶ αὐτῆς λαθὼν τὴν τιμὴν προκατέθου. Οὕτως ἐκεῖνος τὴν καρδίαν πληγεὶς εἰς νοῦν ἀνήνεγκε, καὶ εἰς αἴσθησιν ἐλθὼν οὗ περ ἔδρασεν, αὐτό τε διωμολόγει καὶ συγγνώμην ᾐτεῖτο.

Ἔπειτα καὶ τὴν ὑπὲρ τῆς μιᾶς τιμὴν καταθέμενος, οὐκέτι βοῶσαν εἶχε καὶ ἀντιβαίνουσαν, ἀλλ' ἡσύχως ταῖς ἄλλαις συνεπομένην· φησὶ γὰρ τὸν μέγαν κατὰ πολὺ τὸ μέτριον καὶ τύφου κεκαθαρμένον θεοφιλῶς μὲν τῆς Ἐπισκοπῆς ἔχεσθαι οὐδὲν ἧττον καὶ τῶν θρεμμάτων μεταποιεῖσθαι.

2. Ποτὲ οὖν ἀωρὶ τῶν νυκτῶν κλέπται ταῖς ἐπαύλεσιν ἐπελθόντες τινὰ τῶν αὐτοῦ θρεμμάτων ἐσύλων. Θεὸς δὲ ὁ τοῦ ποιμένος ἐπιμελούμενος, οὐδὲ τῶν ὑπ' αὐτοῦ ποιμαινομένων ἠμέλει· ἀλλ' οἱ κλέπται οὗτοι δεσμοῖς ἀρρήκτοις ἀοράτως περιληφθέντες, τὰς χεῖρας ἐδέδεντο καὶ ἀναχωρεῖν οὐδ' ὅλως ἀνίεντο.

Ὄρθρος ἤδη παρῆν, καὶ γνοὺς ὁ μέγας τὸ γεγονός, ἦλθέ τε πρὸς αὐτοὺς καὶ τὰς χεῖρας ὀπίσω περιηγγμένας καὶ δεδεμένας αὐτοὺς ἔχοντας ἰδών, εὐχῇ μὲν αὐτοὺς τῶν δεσμῶν ἀνῆκε, πλεῖστα δὲ παραινέσας ἐκ δικαίων πόνων τὰ ἀναγκαῖα πορίζεσθαι, καὶ κριὸν αὐτοῖς ἐπορέγει, ἵνα μὴ μάτην ἠγρυπνηκότες ἦτε, χαριέντως ἐπιφθεγξάμενος.

3. Καὶ ἄλλος δέ τις ἀνὴρ Τριμυθούντιος, νηὸς κύριος ὢν καὶ πρὸς ἐμπορίαν χρυσοῦ δεηθείς, πρόσεισι τῷ Ἁγίῳ παρ' αὐτοῦ ληψόμενος, καὶ ὃς μετὰ τῶν ἄλλων καὶ ταύτης πληρωτὴς ὢν τῆς ἐντολῆς, ἢ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, φάσκει, μὴ ἀποστραφῇς, ὅπερ αὐτῷ προσῆν ὀλίγον, καὶ τοῦτο χάριν ἀναγκαίας χρείας τῆς Ἐπισκοπῆς, ἐγχειρίζει τῷ ἀνθρώπῳ προθύμως. Ὁ δὲ τοῦτο λαβών, καὶ τὸν ἀπόπλουν δεξιῶς θέμενος, ἐπεὶ ἐπανῆκε σὺν κέρδει, πρόσεισι τῷ Ἁγίῳ καταθήσων τὸ ὄφλημα, καὶ αὐτὸς οὐδὲν περιεργασάμενος, οὔτε τὸν ἀριθμόν, ὥσπερ ἔθος τοῖς πολλοῖς, λογισάμενος, αὐτὸν ἐκεῖνον ἀναστάντα κελεύει ἐν ἐκείνῳ καταθέσθαι τῷ σκεύει, ἐξ οὗ δὴ καὶ πρότερον ἀνειληφὼς ἦν.

Καὶ τότε μὲν τὸ χρηστὸν τοῦ δανειστοῦ καὶ ἄπραγμον αἰδεσθείς, ἐκεῖ τὸν χρυσόν, ὥς περ ἄρα καὶ ἐκελεύσθη, κατέθετο. Ὡς δὲ καὶ αὖθις τῆς χρείας αὐτὸν ἐπειγούσης, οὕτω μὲν ἑτοίμως ἐλάμβανεν, οὕτω δὲ ἀδόλως κατετίθετο, καὶ τὸν τρόπον

τοῦτον πολλάκις ἐγίνετο, πάθος ὑποτρέχει φιλαργυρίας τὸν ἔμπορον, καὶ ἀπίστως πρὸς τὸν πιστεύοντα καὶ πονηρῶς διατίθεται, καὶ τὴν ἀλήθειαν διαφθείρει. Ὑπόθεσίν τινα κακουργίας εὑρηκὼς τὴν ἐλευθερίαν, καταθέσθαι μὲν ὑποκρίνεται, μηδὲν δὲ καταθείς, ἀλλὰ κενὸν τὸ σκεῦος ἀσφαλισάμενος, ᾤχετο.

Δαπάναις οὖν οὐ πρὸς κέρδος ὁρώσαις τὸ χρυσίον ἀναλωκώς, ἔπειτα πρὸς ἀπορίαν ἐλάσας, ὁδοῦ πάλιν μέμνηται τῆς προτέρας, καὶ πρὸς τὸν μέγαν ἐλθών, ὃ μὴ κατέθετο χρυσίον ὡς καταθεὶς ἐπεζήτει· τὸν δὲ οὐκ ἔλαθε μὲν τὸ κακούργημα, πράως δὲ οὗτος ἐκέλευεν, ὥς περ ἔθος, ἀπελθόντα λαβεῖν.

Ὁ δὲ ὡς μηδὲν σκαιὸν ἐλάσας καὶ ἀνελεύθερον ἀπήει τὸ δῆθεν καταβληθὲν ληψόμενος. Καὶ διανοίξας καὶ κενὸν τὸ σκεῦος εὑρών, ὥς περ δὴ καὶ κατέλιπεν, ἀπαγγέλλει μὲν τοῦτο πρὸς τὸν Ἅγιον λανθάνειν οἰόμενος, ἀκούει δὲ ἀκριβέστερον ἐκζητῆσαι· ἐξ ὅτου γάρ, ἔφη, καὶ κατέθου σύ, οὐδενὸς ἄλλου χεῖρες τὸ καταβληθὲν εἰλήφασι. Καὶ ὃς πάλιν προσποιεῖται μὲν ἐρευνᾶν, ἐπεὶ δὲ ἀδύνατον εἶναι ὃ μὴ ἀληθῶς ἦν, σκηψάμενος ἄγνοιαν, οὐδὲν ἔφη, τὸ παράπαν εὑρεῖν.


Ὁ δὲ χρηστὸς καὶ πρᾶος ἐκεῖνος ἀνήρ, εἰ μὲν ἀληθῶς, ὦ φίλτατε, ἔφη, ἐτύγχανες τεθεικώς, εὗρες ἂν καὶ ὃ κατέθηκας εὐχερῶς· εἰ δέ, ὃ παρὰ σοὶ ἔμεινε, τοῦτο νῦν παρ' ἡμῶν λαβεῖν ἐκζητεῖς, ἴσθι σεαυτὸν μᾶλλον ἤπερ ἡμᾶς παραλογιζόμενος.

Τοῦτο ἐκεῖνον ἀκούσαντα καὶ τὸν κρυπτὸν ἅμα συνεφαπτόμενον ἔχοντα τῆς συνειδήσεως ἔλεγχον μηδαμῶς ἐνεγκεῖν, ἀλλ' εὐθέως πρὸς γῆν τε καταπεσεῖν καὶ τῶν ἱερῶν ἐκείνου ποδῶν ἁψάμενον, συγγνώμην αἰτεῖν· τὸν δέ, ἑτοιμότερον μὲν ἀφεῖναι ἢ ἐκεῖνον αἰτήσασθαι, παραινέσαι δὲ τοῦ λοιποῦ μὴ οὕτω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, μηδὲ δόλοις καὶ ψεύδεσι καταμιαίνειν τὸ συνειδός. Τὸ γὰρ ἐκ τούτων, φησί, περιποιούμενον οὐ κέρδος ὅλως, ἀλλὰ ζημία σαφής.

Ἑρμηνεία

ΕΠΕΣΚΕΦΘΗ κάποτε κάποιος τὸν Ἅγιον Σπυρίδωνα, διὰ νὰ ἀγοράσῃ ἑκατὸν αἶγας (κατσίκας) ἀπὸ τὸ κοπάδι του. Ἐδέχθη λοιπὸν ὁ Ὅσιος καὶ τοῦ ἔδωσε τὴν ἄδειαν, ἀφοῦ προηγουμένως καταθέσῃ οὗτος τὴν τιμήν, μετὰ νὰ παραλάβῃ τὰ ζῷα. Ὁ ἀγοραστὴς ἐκεῖνος ὅμως ἐπλήρωσε τὴν ἀξίαν μόνον δι' ἐνενήντα ἐννέα κατσίκας καὶ ἐκράτησε τὴν ἀξίαν τῆς μιᾶς, ἐπειδὴ ἐνόμιζεν ὅτι θὰ ἐξαπατήσῃ τὸν Ὅσιον, ποὺ ἦτο πραγματικὰ ἁπλὸς καὶ ἀπονήρευτος. Ὅταν λοιπὸν εἰσῆλθον καὶ οἱ δύο εἰς τὴν μάνδραν, ὁ Ἅγιος Σπυρίδων τοῦ ὑπέδειξε νὰ πάρῃ τόσας κατσίκας, ὅσας εἶχε πληρώσει· ὁ ἔμπορος ὅμως, ὁ ὁποῖος οὔτε καὶ μὲ αὐτὸν τὸν ὑπαινιγμὸν δὲν συνῆλθε, ἔβγαζεν ἔξω ἀπὸ τὴν μάνδραν ἑκατόν. Τότε λοιπὸν μία κατσίκα ὡς καλὸς δοῦλος, ὁ ὁποῖος ἀντελήφθη ὅτι δὲν τὸν ἐπώλησεν ὁ κύριός του, ἐγύριζεν ὀπίσω εἰς τὴν μάνδραν μετ' ἐπιμονῆς. Ἐκεῖνος ὁ ἀδιάντροπος τὴν ὡδηγοῦσε πάλιν ἔξω καὶ τὴν ἐτραβοῦσε διὰ τῆς βίας. Αὐτὸ τὸ περίεργον συνέβη δύο καὶ τρεῖς φοράς· ἡ κατσίκα ἐγύριζεν ὀπίσω καὶ ἐκεῖνος μὲ πεῖσμα καὶ δύναμιν τὴν ἔσυρε καὶ πάλιν ἔξω.

Τί συνέβη λοιπόν; Ἐπειδὴ ἔτσι δὲν κατώρθωνε τίποτα, ἥρπασε τὴν κατσίκα ἀπὸ κάτω, τὴν ἔβαλεν εἰς τοὺς ὤμους του καὶ τὴν ἐπῆρε νὰ


Ὁ ἅγιος Σπυρίδων
ὁ ἐπίσκοπος Τριμυθοῦντος

φύγη. Ἡ κατσίκα τότε ἐβέλαζε δυνατὰ καὶ ἄγρια, τὸν ἐκτυποῦσε μὲ τὰ κέρατα καὶ ἔσκυβε πρὸς τὴν κεφαλὴν τοῦ ἐμπόρου· ἔτσι τὸ ζῷον ἐκήρυττε φανερὰ τὴν βίαν καὶ ἔδειχνεν ὡσὰν νὰ τιμωρῇ τὸν πλεονέκτην διὰ τὴν ἀδικίαν. Οἱ παρόντες παρεξενεύθησαν ἀπὸ αὐτὸ τὸ περίεργον, διότι δὲν ἠμποροῦσαν νὰ τὸ ἐξηγήσουν.

Ὁ Μέγας Σπυρίδων, ἐπειδὴ δὲν ἤθελε νὰ τὸν ἐλέγξῃ φανερά, εἶπε μὲ ἠρεμίαν πρὸς τὸν ἀδικοῦντα:

— Κοίταξε, τέκνον μου, μήπως τὸ ζῷον δὲν τὰ κάμνει αὐτὰ ἄσκοπα, οὔτε δυσφορεῖ παράλογα διὰ τὴν ἀπαγωγήν. Μήπως ἐξέχασες νὰ πληρώσῃς καὶ αὐτοῦ τὴν ἀξίαν;

Αὐτὰ τὰ λόγια ἐπλήγωσαν τὴν καρδίαν τοῦ ἐμπόρου, ἐσκέφθη καλύτερα καὶ συνῃσθάνθη τὸ σφάλμα του. Τὸ ὡμολόγησεν ἀμέσως καὶ ἐζητοῦσε συγγνώμην.

Ἔπειτα, ἀφοῦ ἐπλήρωσε καὶ τὴν τιμὴν τῆς μιᾶς κατσίκας, ἐσταμάτησε πιὰ αὐτὴ νὰ βελάζῃ καὶ νὰ ἀντιστέκεται καὶ ἥσυχα ἠκολούθησε τὰ ἄλλα ζῷα. Καθὼς λέγουν, ὁ Μέγας Σπυρίδων, καθὼς ἦτο μετριόφρων καὶ ἀπηλλαγμένος ἀπὸ ὑπερηφάνειαν, καὶ διὰ τὴν Ἐπισκοπὴν ἐφρόντιζε, ὅπως ἀγαπᾷ ὁ Θεός, ἀλλ' ὄχι ὀλιγώτερον καὶ διὰ τὰ ζῷα.

2. Κάποτε ἦλθαν ἀργὰ τὴν νύκτα κλέπται εἰς τὴν μάνδραν, διὰ νὰ τοῦ κλέψουν μερικὰ ζῷα. Ὁ Θεὸς ὅμως, ὁ ὁποῖος ἐφρόντιζε διὰ τὸν ποιμένα, οὔτε καὶ διὰ τὰ ζῷα, ποὺ ἔβοσκεν, ἠδιαφόρησεν. Ἔτσι οἱ κλέπται ἐκεῖνοι ἐπιάστηκαν ἀόρατα εἰς ἄλυτα δεσμά, ἐδέθησαν τὰ χέρια των καὶ δὲν ἠμποροῦσαν καθόλου νὰ φύγουν.

Ὅταν πλέον ἔφθασεν ἡ αὐγὴ καὶ ἀντελήφθη ὁ Μέγας Σπυρίδων τὸ γεγονός, ἦλθε πρὸς τοὺς κλέπτας· μόλις εἶδε νὰ ἔχουν ὀπίσω γυρισμένα τὰ χέρια των καὶ δεμένα, ἀμέσως τοὺς ἠλευθέρωσε μὲ τὴν εὐχήν του ἀπὸ τὰ δεσμά. Ἔπειτα ἀφοῦ τοὺς συνεβούλευσεν ἀρκετά, νὰ κερδίζουν τὰ ἀναγκαῖα ἀπὸ τὸν δίκαιον κόπον των, εἰς τὸ τέλος τοὺς ἐχάρισε καὶ ἕνα κριάρι, διὰ νὰ μὴ πάῃ χαμένη — ὅπως τοὺς εἶπεν ἀστειευόμενος — ἡ ἀγρυπνία σας.

3. Καὶ κάποιος ἄλλος ἀπὸ τὴν Τριμυθοῦντα*, καραβοκύρης, εἶχεν ἀνάγκην ἀπὸ χρήματα, διὰ νὰ ἐμπορευθῇ· ἦλθε λοιπὸν πρὸς τὸν Ἅγιον διὰ νὰ πάρῃ ἀπὸ αὐτόν. Ὁ Ἅγιος, μαζὶ μὲ ὅλας τὰς ἄλλας ἐντολὰς ἐκτελοῦσε καὶ ἐκείνην ποὺ λέγει· «νὰ μὴ περιφρονήσῃς αὐτὸν ποὺ θέλει νὰ δανεισθῇ ἀπὸ σένα» (Ματθ. ε΄, 42), δίδει εἰς τὸν ἄνθρωπον ἐκεῖνον πρόθυμα ὀλίγα χρυσᾶ νομίσματα, τὰ ὁποῖα εἶχε διὰ τὰς ἀνάγκας τῆς Ἐπισκοπῆς. Ὁ καραβοκύρης ἐπῆρε τὰ χρυσᾶ νομίσματα καὶ ἀφοῦ ἔκαμεν εὐνοϊκὸν ταξίδι καὶ ἐκέρδισεν ἀπὸ αὐτό, ἐπέστρεψεν. Ἐπεσκέφθη τὸν Ἅγιον διὰ νὰ τοῦ ἐπιστρέψῃ τὸ χρέος του. Ὁ Ἅγιος, χωρὶς νὰ ἐξετάσῃ τίποτα καὶ χωρὶς νὰ τὰ μετρήσῃ, ὅπως κάμνουν οἱ πολλοί, παραγγέλλει

* Ἡ Τριμυθοῦς εἶναι πόλις τῆς Κύπρου, εἰς τὴν ὁποίαν, ὡς γνωστόν, ἔγινεν ἐπίσκοπος ὁ Ἅγιος Σπυρίδων.

εἰς τὸν ἴδιον τὸν καραβοκύρην νὰ σηκωθῇ καὶ νὰ τοποθετήσῃ τὰ χρήματα εἰς ἐκεῖνο τὸ κουτί, ἀπὸ τὸ ὁποῖον τὰ εἶχε πάρει πρὶν ἀπὸ καιρόν.

Καὶ τότε μὲν ὁ καραβοκύρης, ἐπειδὴ ἐσεβάσθη τὴν καλωσύνην καὶ τὴν ἀθωότητα τοῦ δανειστοῦ, τοῦ Ἁγίου δηλαδή, κατέθεσεν εἰς τὸ κουτὶ ὅλα τὰ χρυσᾶ νομίσματα, ὅπως τοῦ παρήγγειλεν ὁ Ἅγιος. Καὶ πάλιν, ὅταν ἐχρειάσθη, ἐπῆρεν ὁ καραβοκύρης χρήματα καὶ ἔτσι χωρὶς νὰ πονηρεύεται τὰ κατέθετεν. Αὐτὸ συνέβη πολλὰς φοράς, μέχρις ὅτου τὸ πάθος τῆς φιλαργυρίας καταλαμβάνει τὸν ἔμπορον, κατανικᾶται πλέον ἀπὸ διάθεσιν ἀπιστίας καὶ πονηρίας ἀπέναντι ἐκείνου, ποὺ τοῦ ἔδειξε τόσην ἐμπιστοσύνην καὶ καταστρέφει τὴν ἀλήθειαν. Ὡς πρόσχημα τῆς κακουργίας του ἐχρησιμοποίησε τὴν ἐλευθερίαν· μίαν φορὰν λοιπὸν ἔκανε, τάχα, ὅτι τοποθετεῖ τὰ χρήματα εἰς τὸ κουτὶ καὶ ἀφοῦ τὸ ἔκλεισε χωρὶς νὰ ἀφήσῃ τίποτα, ἔφυγεν.

Αὐτὰ τὰ χρήματα, ποὺ ὤφειλε νὰ ἀποδώσῃ, τὰ ἐξώδευσεν εἰς ἐπιχειρήσεις χωρὶς κέρδος. Ἀφοῦ δὲ πάλιν ἔφθασεν εἰς τὴν ἀνάγκην, ἐνεθυμήθη τὸν προηγούμενον δρόμον καὶ ἦλθεν εἰς τὸν Μέγαν Σπυρίδωνα, ἀπὸ τὸν ὁποῖον ἐζητοῦσε τὰ χρυσᾶ νομίσματα, ποὺ δὲν εἶχε καταθέσει, ὡς νὰ τὰ εἶχε καταθέσει. Ἀπὸ τὸν Ἅγιον ὅμως δὲν ἐξέφυγε τὸ κακούργημα τοῦ καραβοκύρη· μὲ πραότητα δέ, ὅπως συνήθιζε, τοῦ ὑπέδειξε νὰ ὑπάγῃ εἰς τὸ κουτὶ νὰ τὰ πάρῃ.

Ὁ καραβοκύρης, ὡς νὰ μὴ εἶχε κάμει τίποτε κακὸν καὶ ἀπρεπές, ἐπῆγε νὰ πάρῃ τὰ χρήματα, τὰ ὁποῖα δῆθεν εἶχε καταθέσει· καὶ ἀφοῦ τὸ ἤνοιξε καὶ εὑρῆκεν ἄδειο τὸ κουτί, ὅπως βέβαια τὸ εἶχεν ἀφήσει, τὸ ἀναφέρει πρὸς τὸν Ἅγιον μὲ τὴν σκέψιν ὅτι θὰ τὸν ἐξεγελοῦσεν. Ὁ Ἅγιος τὸν συμβουλεύει νὰ ἐρευνήσῃ προσεκτικώτερον. Διότι — τοῦ εἶπε — ἀπὸ τότε ποὺ τὰ ἔβαλες σὺ μέσα, κανενὸς ἄλλου χέρια δὲν τὰ ἔπιασαν. Καὶ πάλιν ὁ καραβοκύρης ἐπροσποιεῖτο ὅτι ψάχνει· ἐπειδὴ ὅμως δὲν ἠμπορεῖ νὰ ὑπάρχῃ αὐτό, ποὺ δὲν ἦτο ἀληθινόν, ἔκαμε τὸν ἀνήξερον καὶ εἶπεν ὑποκριτικὰ ὅτι δὲν εὑρῆκεν ἀπολύτως τίποτα.

Τότε ὁ καλοκάγαθος καὶ πρᾶος ἐκεῖνος ἄνθρωπος, ὁ Ἅγιος Σπυρίδων, τοῦ εἶπεν· ἂν πραγματικά, ἀγαπητέ μου, τὰ εἶχες βάλει μέσα, θὰ ἠμποροῦσες καὶ εὔκολα νὰ εὕρῃς αὐτά, ποὺ κατέθεσες· ἂν ὅμως τώρα ζητῇς νὰ πάρῃς ἀπὸ ἡμᾶς ἐκεῖνο ποὺ ἐκράτησες εἰς τὰ χέρια σου, μάθε ὅτι τὸν ἑαυτόν σου καὶ ὄχι ἡμᾶς περιπαίζεις.

Ὅταν ἤκουσεν αὐτὸ ὁ καραβοκύρης, καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ὑποφέρῃ τὸν ἔλεγχον τῆς συνειδήσεώς του, ἔπεσεν ἀμέσως εἰς τὴν γῆν, ἔπιασε τὰ πόδια τοῦ Ἁγίου καὶ τοῦ ἐζητοῦσε συγγνώμην. Ὁ Ἅγιος τὸν συνεχώρησε γρηγορώτερα ἀπ' ὅ,τι ἐκεῖνος τοῦ τὸ ἐζήτησε· τὸν συνεβούλευσε δὲ εἰς τὸ ἑξῆς νὰ μὴ ἐπιθυμῇ τὰ ξένα πράγματα, οὔτε νὰ λερώνῃ τὴν συνείδησίν του μὲ πονηρίας καὶ ψεύδη. Διότι — προσέθεσε — τὸ ἀποτέλεσμα τῶν πράξεων αὐτῶν ὄχι μονάχα κέρδος δὲν εἶναι, ἀλλὰ ὁλοφάνερη ζημία.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου τοῦ Νέου τοῦ ἐν Μαδύτῳ

ΤΟΥ ΘΕΙΟΥ ποτὲ ναοῦ τοῦ κατὰ τὸν Ὅσιον τοῦτον Εὐθύμιον τῶν τοίχων ὑπό τινων ἱεροσύλων διορυγέντων, καὶ τῶν ἐν αὐτῷ ἱερῶν κειμηλίων νυκτὸς ἀφαιρεθέντων, ἐπείπερ ὄρθρου φωραθείη τὸ πρᾶγμα, διανίσταται μὲν ἡ κώμη πᾶσα πρὸς ἔρευναν τοῦ κακοῦ, πανταχοῦ δὲ διαδοθείσης τῆς φωνῆς, ἑάλωσαν οἱ κακοῦργοι, καὶ ἐν χερσὶν ἦσαν τῶν πολιτῶν, ἀσύγγνωστά τε ὁριζομένων, καὶ τιμωρίας καινὰς κατὰ τῶν ἀθλίων ἐπιζητούντων.

Ὡς οὖν ὁ μέγας οὕτως ἔγνω βουλευομένους, παρελθὼν ἐπὶ μέσους, οὐ καλόν, ἔφησε, τέκνα, παρ' ἑτέρου τοῖς μιαροῖς τούτοις ἐπαχθῆναι τὴν τιμωρίαν παρόντος ἐμοῦ, ὃς δικαιότερον πάντων ἀγανακτῶν, ἅτε καὶ τὴν ζημίαν αὐτὸς ὑποστάς ἀνηλεῶς τιμωρήσομαι, στρέβλαις τούτους καὶ λιμῷ καὶ δίψει τοῦ ζῆν ἀποστερήσας κατὰ μικρόν. Ἔδοξε δίκαια λέγειν, καὶ προσλαβόμενος αὐτοὺς οἴκοι, διασκεδασθέντος τοῦ ὄχλου, φιλοφρόνως ἑστιάσας καὶ πρὸς τὸ μέλλον ἐφοδιάσας, ἔλυσε τῶν δεσμῶν καὶ ἀπιέναι ὅπῃ καὶ βούλοιντο διετάξατο.

2. Καὶ ἄλλοτε δὲ πανσέληνος μὲν ἦν ἡ νύξ, καὶ τὸ σκότος οὐκ ἄκρατον ἐφήπλωτο ταῖς λαγόσι τῆς γῆς. Ὁ δὲ μέγας ἄρτι τοὺς μεσονυκτίους ὕμνους ἀποδιδοὺς τῷ Θεῷ, καὶ τοὺς εὐκτηρίους οἴκους περιιών, ὡς ἔθος αὐτῷ, ὁρᾷ κατὰ τὸ ὕπαιθρον ἄνδρας δύο τοῖς κατὰ γῆς τοῦ σίτου ταμείοις ἐπιβουλεύοντας. Καὶ τὸν μὲν κάτωθεν ὑπορύττοντά τε καὶ σάκκοις τὸν σῖτον ἐναποκλείοντα, θάτερον δὲ ἄνωθεν ἀναλαμβανόμενον τὰ διδόμενα καὶ παρὰ γωνίαν ἀπάγοντά τινα, ὅπου καὶ λανθάνειν ἐξῆν.

Ὡς οὖν παριόντα τὸν Ὅσιον ἐπέγνω ὁ βέλτιστος ἐκεῖνος σιταγωγός, ὁ μὲν αὐτίκα φυγὰς ᾤχετο, τὸν ἑταῖρον ἐν τῷ λάκκῳ καταλιπών. Ὁ δὲ θεῖος Εὐθύμιος δεινὸν ἡγησάμενος εἰ τοὺς πένητας ἀπείρξει ἐπισιτίσασθαι, μάλιστα κατὰ τὸν καιρὸν ἐκεῖνον, ὅτε χρυσὸς ἄρτος ἐδόκει διὰ τὴν σπάνιν, ἔγνω πρὸς τὸν καταλειφθέντα ἀπιέναι τὴν τοῦ φυγόντος ὑπηρεσίαν ἀναπληρώσων. Καὶ ὁ μὲν ἀνεδίδου τὸν σῖτον, μηδὲν ὅλως τῶν γενομένων εἰδώς, ὁ δὲ ὑποδεχόμενος διεκόμιζεν.

Ἤδη δὲ πλεῖστον ὅσον ἐκφορήσαντι τῷ ἀνδρὶ καὶ ἀνιέναι προθυμουμένῳ, τί δέ, φησιν ὁ μέγας πρὸς τὸ οὖς ὑποψιθυρίσας αὐτῷ, τοὺς τυροὺς ἐκείνους ἐάσαντες ἀπίωμεν; δείξας τόπον τινὰ τῷ δακτύλῳ. Τῷ δὲ διὰ τὴν περικεχυμένην αὐτῷ δειλίαν μηδὲ οὕτω φωράσαντι τὸ πρᾶγμα, καὶ πόθεν σὺ τὸ οἶδας; ἐρέσθαι. Τοῦ Ἐπισκόπου, ἔφη, τοῦτο πρὸ μικροῦ λέγοντος ἤκουσα, καὶ ὃς παρευθὺς διακωδωνίσας τὸν τόπον ὡς εἰπεῖν, καὶ τοῖς τυροῖς περιτυχών, ἀφῃρεῖτο μὲν ὅσους ἐβούλετο καὶ ταῖς χερσὶ τοῦ μεγάλου ἐπεδίδου. Ἀνελθὼν δὲ χεῖρα δόντος ἐκείνου, καὶ ὅς τις εἴη μαθών, αἰσχύνῃ καὶ φόβῳ κατάσχετος ἐγεγόνει καὶ ὥς περ ἀποπαγεὶς τῷ δέει τοῖς ποσὶν ἐκείνου προσεκυλίετο.

Ὁ δὲ κατέψατο αὐτὸν εὐμενῶς καὶ τοῦ ἐδάφους ἀναστὰς περιεπτύσσετο, καὶ μὴ ἀθύμει, ἔλεγε, τέκνον, ὥς τι τολμήσας καινόν· σὰ γὰρ ταῦτα καὶ τοῦ Θεοῦ, καὶ εἴ τι ἀφείλου, οὐκ ἐκ τῶν ἀλλοτρίων, ἀλλὰ τῶν σῶν ἀφελόμενος ἴσθι· εἰ δὲ καὶ αὖθις βούλοιο, πάρεσο καὶ ἀφαιροῦ τὰ ἐν χρείᾳ. Κἀκεῖνος μὲν οὕτω παρακληθεὶς ἀπῄει, πολλὰ τῆς ἀνεξικακίας καὶ συμπαθείας τὸν Ἅγιον θαυμάζων, καὶ πρὸς πάντας τὸ πραχθὲν διηγούμενος. Τῷ δὲ διὰ πολλὴν ἀρετῆς περιουσίαν εἰς οὐδὲν ἐκρίνετο ταῦτα,

κοινὰ πᾶσι τὰ ὄντα λογιζομένῳ δεῖν οἴεσθαι τὸν ἀληθῆ χριστιανόν, καὶ μηδὲν ἔχειν ἴδιον. Καὶ εἰργάζετο μὲν ἐν αὐτῷ ταῦτα ἡ ἀγάπη, ἐφύλαττε δὲ ἡ μακαρία ταπείνωσις, πρὸς τὰ μὴ παλαιούμενα βαλάντια παραπέμπουσα.

Ἑρμηνεία

ΚΑΠΟΤΕ μερικοὶ ἱερόσυλοι ἐτρύπησαν τοὺς τοίχους τοῦ ἱεροῦ Ναοῦ, εἰς τὸν ὁποῖον ἐκτελοῦσε τὰ καθήκοντά του ὁ Ὅσιος Εὐθύμιος, ἐμβῆκαν μέσα τὴν νύκτα καὶ ἀφήρεσαν τὰ ἱερὰ κειμήλια. Τὸ πρωΐ, ὅταν ἔγινε γνωστὸν τὸ γεγονός, ἐξεσηκώθηκεν ὅλη ἡ πόλις καὶ οἱ κάτοικοι ἐρευνοῦσαν διὰ νὰ ἀνακαλύψουν τοὺς κλέπτας. Τὸ πρᾶγμα διεδόθη παντοῦ καὶ οἱ κλέπται συνελήφθησαν καὶ εὑρίσκοντο εἰς τὰ χέρια τῶν πολιτῶν. Οἱ πολῖται ἐζητοῦσαν νὰ τοὺς κρίνουν μὲ ὑπερβολικὴν αὐστηρότητα καὶ νὰ τοὺς ἐπιβάλουν σκληρὰς τιμωρίας.

Μόλις ὁ Μέγας Εὐθύμιος ἀντελήφθη τὰς διαθέσεις των αὐτάς, ἐπροχώρησεν εἰς τὸ μέσον καὶ τοὺς εἶπε:

— Δὲν εἶναι καλόν, παιδιά μου, νὰ τιμωρηθοῦν ἀπὸ ἄλλον αὐτοὶ οἱ ἀπαίσιοι κακοῦργοι, ἐφ' ὅσον εὑρίσκομαι ἐγὼ παρών· διότι ἀπὸ ὅλους ἐγὼ ἔχω περισσότερον δίκαιον νὰ ἀγανακτῶ, ἀφοῦ ἐγὼ ἐζημιώθηκα. Θὰ τοὺς τιμωρήσω σκληρὰ καὶ θὰ τοὺς κάμω νὰ πεθάνουν ἐντὸς ὀλίγου ἀπὸ τὰ βασανιστήρια, ἀπὸ τὴν πεῖναν καὶ ἀπὸ τὴν δίψαν.

Οἱ πολῖται ἔκριναν ὅτι ὁ Ἅγιος ὁμιλεῖ σωστά· ἔτσι, ἀφοῦ διελύθη ὁ λαός, ἐπῆρε τοὺς λῃστὰς εἰς τὸ σπίτι του. Ἐκεῖ τοὺς ἐφιλοξένησε μὲ καλωσύνην, τοὺς ἔδωσεν ὅ,τι ἐχρειάζοντο διὰ τὸ μέλλον, τοὺς ἔλυσεν ἀπὸ τὰ δεσμὰ καὶ τοὺς ἄφησε νὰ ὑπάγουν ὅπου ἤθελον.

2. Ἄλλοτε πάλιν ἦτο πανσέληνος καὶ σκότος ὄχι πυκνὸν εἶχεν ἁπλωθῆ ἐπάνω εἰς τὴν γῆν. Ὁ Μέγας Εὐθύμιος μόλις εἶχε τελειώσει τοὺς μεσονυκτικοὺς ὕμνους πρὸς τὸν Θεὸν καί, ὅπως συνήθιζε, περιήρχετο τοὺς διαφόρους εὐκτηρίους οἴκους. Ἔξαφνα βλέπει δύο ἄνδρας, οἱ ὁποῖοι ἔκλεπτον σιτάρι ἀπὸ τὰς ὑπογείους ἀποθήκας· καὶ ὁ μὲν ἕνας ἔβγαζεν ἀπὸ τὸ ὑπόγειον τὸ σιτάρι καὶ τὸ ἐτοποθετοῦσε μέσα σὲ σάκκους, ἐνῷ ὁ ἄλλος ἔπαιρνεν ἐπάνω τὸ σιτάρι καὶ τὸ μετέφερε σὲ κάποια γωνιά, ὅπου κανεὶς δὲν θὰ τὸ ἀντελαμβάνετο.

Μόλις ὁ σπουδαῖος ἐκεῖνος σιτοκλέπτης ἀντελήφθη νὰ περνᾷ ὁ Ὅσιος, ἔτρεξε νὰ φύγῃ καὶ ἄφησε τὸν σύντροφόν του εἰς τὸν λάκκον. Ὁ θεῖος τότε Εὐθύμιος, ἐπειδὴ ἐθεώρησε μεγάλο κακὸν νὰ ἐμποδίσῃ τοὺς πτωχοὺς νὰ πάρουν τὸ ἀναγκαῖον σιτάρι καὶ μάλιστα τότε, ὅταν τὸ ψωμὶ ἦτο σπάνιον ὅσον ὁ χρυσός, ἐπῆρε τὴν ἀπόφασιν νὰ ἀναπληρώσῃ ἐκεῖνον ποὺ ἔφυγε κοντὰ εἰς ἐκεῖνον ποὺ ἔμεινε. Πράγματι ὁ σιτοκλέπτης, ὁ ὁποῖος ἔμεινε, χωρὶς νὰ ἀντιληφθῇ ἀπολύτως τίποτε ἀπὸ ὅσα ἔγιναν, ἐξηκολούθησε νὰ βγάζῃ ἐπάνω τὸ σιτάρι· ὁ δὲ Ἅγιος Εὐθύμιος τὸ παρελάμβανε καὶ τὸ μετέφερε.

Ἀφοῦ λοιπὸν ὁ ἄνθρωπος ἐκεῖνος ἔβγαλεν ἀπὸ τὸ ὑπόγειον ἀρκετὸν σιτάρι καὶ ἤθελε νὰ ἀνέβῃ ἐπάνω, τοῦ λέγῃ ψιθυριστὰ εἰς τὸ αὐτὶ

ὁ Μέγας Εὐθύμιος· θὰ φύγωμεν καὶ θὰ ἀφήσωμεν ἐκεῖνα τὰ τυριά; καὶ συγχρόνως τοῦ ὑπέδειξε μὲ τὸ δάκτυλον τὸν τόπον! Ἐκεῖνος ἐπειδὴ ἀπὸ τὸν φόβον του ἀκόμη τίποτα δὲν εἶχε καταλάβει, ἐρωτᾷ· σὺ ἀπὸ ποῦ τὸ γνωρίζεις αὐτό; Ἤκουσα — ἀπήντησεν ὁ Ἅγιος — πρὶν ἀπὸ ὀλίγον τὸν Ἐπίσκοπον νὰ τὸ λέγῃ. Ὁ σιτοκλέπτης ἔψαξεν ἀμέσως τὸν τόπον καὶ εὑρῆκε τὰ τυριά· ἐπῆρεν ἀμέσως ὅσα ἤθελε καὶ τὰ παρέδωσεν εἰς τὰ χέρια τοῦ Μεγάλου Εὐθυμίου. Ἀφοῦ ἐτελείωσε, τοῦ ἔδωσε τὸ χέρι ὁ Ἅγιος καὶ ἀνέβηκεν ἐπάνω· μόλις ὅμως ἀντελήφθη ποῖος ἦτο, ἐκυριεύθη ἀπὸ φόβον καὶ ἐντροπὴν καὶ ὡσὰν νὰ ἐπάγωσεν ἀπὸ τὸν φόβον του, ἔπεσεν εἰς τὰ πόδια τοῦ Ἁγίου καὶ ἐζητοῦσε συγγνώμην.

Ἐκεῖνος ὅμως τὸν ἐχάϊδεψε μὲ καλωσύνην, τὸν ἐσήκωσεν ἀπὸ τὸ ἔδαφος, τὸν ἀγκάλιασε καὶ τοῦ εἶπε· μὴ στενοχωρεῖσαι, παιδί μου, ὡσὰν νὰ ἔκαμες κάτι τὸ τρομερόν· διότι τὰ πράγματα αὐτὰ εἶναι ἰδικά σου καὶ τοῦ Θεοῦ, καὶ ἂν ἀφήρεσες ἀπὸ αὐτὰ κάτι, μάθε ὅτι ἀπὸ τὰ ἰδικά σου ἀφήρεσες καὶ ὄχι ἀπὸ τὰ ξένα. Καὶ πάλιν ἂν εἰς τὸ μέλλον θελήσῃς τίποτα, ἔλα καὶ πάρε ὅσα σοῦ χρειάζονται.

Ὁ σιτοκλέπτης παρηγορήθη ἔτσι μὲ τοὺς λόγους ἐκείνους καὶ ἔφυγε, θαυμάζων τὸν Ἅγιον διὰ τὴν ἀνεξικακίαν του καὶ τὴν φιλανθρωπίαν του· δὲν ἔπαυσε δὲ νὰ διηγῆται εἰς ὅλους ὅ,τι τοῦ συνέβη. Ὁ Ἅγιος Εὐθύμιος, ἀπὸ τὴν πολλήν του ἀρετήν, δὲν τὰ ἐθεωροῦσε σπουδαῖα αὐτά, ἐπειδὴ εἶχε τὴν γνώμην ὅτι ὁ πραγματικὸς χριστιανὸς πρέπει νὰ θεωρῇ ὅλα τὰ ὑλικὰ ἀγαθὰ κοινὰ δι' ὅλους τοὺς ἀνθρώπους καὶ νὰ μὴ ἔχῃ τίποτα ἰδικόν του («καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινὰ») (Πράξ. δ', 32). Καὶ αὐτὸν τὸν τρόπον τῆς σκέψεως τὸν ἐνέπνεε μέσα εἰς τὴν ψυχήν του ἡ ἀγάπη, τὸν διετήρει δὲ ἡ μακαρία ταπείνωσις, ἡ ὁποία τὸν ὡδηγοῦσε νὰ θησαυρίζῃ εἰς τὰ βαλάντια τὰ ὁποῖα ποτὲ δὲν παλιώνουν (Ματθ. στ', 19—20).

Ε'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· τί ἐστι τὸ ὀργισθῆναι εἰκῇ τῷ ἀδελφῷ; Καὶ ἀπεκρίθη ὁ γέρων· πᾶσαν πλεονεξίαν, ἣν ἂν πλεονεκτήσῃ σε ὁ ἀδελφός σου, καὶ ὀργισθῇς αὐτῷ, εἰκῇ ὀργίζῃ· κἂν ἐξορύξῃ τὸν δεξιὸν ὀφθαλμόν σου, ἢ ἐκκόψῃ τὴν δεξιάν σου χεῖρα, οὐκ ὀφείλεις αὐτῷ ὀργισθῆναι· ἐὰν δὲ χωρίζῃ σε ἀπὸ τοῦ Θεοῦ, τότε ὀργίσθητι.

2. Εἶπε γέρων· ὁ ἀδικούμενος ἑκουσίως καὶ συγχωρῶν τῷ πλησίον, κατὰ φύσιν ἐστὶ τοῦ Ἰησοῦ· ὁ δὲ μήτε ἀδικῶν μήτε ἀδικούμενος, κατὰ φύσιν ἐστὶ τοῦ Ἀδάμ· ὁ δὲ ἀδικῶν ἢ τόκους ἀπαιτῶν ἢ κακοπραγμονῶν κατὰ φύσιν τοῦ διαβόλου ἐστίν.

3. Ἔλεγον περὶ τοῦ ἀββᾶ Γελασίου ὅτι εἶχε βιβλίον ἄξιον δεκαοκτὼ νομίσματα· περιεῖχε γὰρ τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην γεγραμμένην ὅλην καὶ ἔκειτο ἐν τῇ Ἐκκλησίᾳ, ἵνα ὁ θέλων τῶν ἀδελφῶν ἀναγινώσκῃ. Ἐλθὼν δέ τις ἀδελφὸς ξένος παραβαλεῖν τῷ γέροντι, ὡς εἶδεν αὐτό, ἐπεθύμησεν αὐτοῦ, καὶ κλέψας αὐτὸ ἐξῆλθεν. Ὁ δὲ γέρων οὐ κατεδίωξεν ὀπίσω αὐτοῦ, καίπερ νοήσας ὃ ἐποίησεν.

Ἐκεῖνος οὖν ἀπελθὼν εἰς τὴν πόλιν, ἐζήτει πωλῆσαι αὐτό· καὶ εὑρὼν τὸν θέλοντα ἀγοράσαι, ἀπήτει τὴν τιμὴν νομίσματα δεκαέξ· ὁ δὲ θέλων ἀγοράσαι λέγει αὐτῷ· δός μοι πρῶτον δοκιμάσω αὐτό, καὶ τότε τὸ τίμημά σοι παράσχω. Δέδωκεν οὖν τὸ βιβλίον. Ὁ δὲ λαβὼν τὸ βιβλίον, ἤνεγκε τῷ ἀββᾷ Γελασίῳ δοκιμάσαι αὐτό, εἰρηκὼς καὶ τὴν τιμήν, ἣν ὁ πωλῶν εἶπεν.

Ὁ δὲ γέρων ἀναψηλαφήσας αὐτὸ ὡς δῆθεν ἀγνοῶν, εἶπε τῷ ἀνθρώπῳ· ἀγόρασον αὐτό· καλὸν γάρ ἐστι καὶ ἄξιον ἧς εἴρηκε τιμῆς. Ὑποστρέψας δὲ ἐκεῖνος πρὸς τὸν πωλοῦντα, εἶπεν ἄλλως καὶ οὐ καθὼς ἔφη ὁ γέρων· εἴρηκε γάρ· ἰδοὺ ἔδειξα τὸ βιβλίον τῷ ἀββᾷ Γελασίῳ, καὶ εἶπέ μοι ὅτι πολλοῦ τιμήματος αὐτὸ ποιεῖς , καὶ οὐκ ἔστιν ἄξιον. Ἐκεῖνος δὲ ἀκούσας, ἔφη· οὐδέν σοι ἄλλο εἶπεν ὁ γέρων; Ἀπεκρίθη ὁ ἄνθρωπος· οὐχί. Ὁ δὲ κατανυγεὶς ἐπὶ τῇ ἀνεξικακίᾳ τοῦ γέροντος, εἶπε τῷ ἀνθρώπῳ· οὐκέτι θέλω πωλῆσαι αὐτό. Καὶ λαβὼν τὸ βιβλίον ἦλθε πρὸς τὸν γέροντα μετανοῶν, καὶ παρεκάλει αὐτὸν δέξασθαι τοῦτο· ὁ δὲ γέρων οὐκ ἤθελε λαβεῖν. Ὁ δὲ ἀδελφὸς ἔφη αὐτῷ· ἐὰν μὴ λάβῃς αὐτό, οὐκ ἔχω ἀνάπαυσιν. Λέγει ὁ γέρων· εἰ οὐκ ἀναπαύῃ, ἰδοὺ δέχομαι αὐτό. Καὶ ἔμεινεν ὁ ἀδελφὸς ἐκεῖνος ἕως τελευτῆς αὐτοῦ, ὠφεληθεὶς ἀπὸ τῆς ἐργασίας τοῦ γέροντος.

4. Ὁ Ἀββᾶς Εὐπρέπιος συλώμενος συνεβάστασε καὶ αὐτὸς τοῖς συλῶσιν αὐτόν· μετὰ δὲ τὸ ἐξενεγκεῖν πάντα τὰ ἐν τῇ κέλλῃ αὐτοῦ, ἑνὸς τῶν κλεπτῶν ῥάβδος κατελείφθη ἐν τῇ κέλλῃ τοῦ γέροντος, ἣν ὡς εἶδεν ὁ γέρων ἠχθέσθη, καὶ λαβὼν ἐπέτρεχε, βουλόμενος ἀποδοῦναι καὶ ταύτην αὐτοῖς. Τῶν δὲ μὴ βουληθέντων δέξασθαι διὰ τὸ σπεύδειν ἐκχωρῆσαι τοῦ τόπου, περιτυχὼν ὁ γέρων τισὶ τὴν αὐτὴν ὁδὸν ὁδεύουσι, δέδωκεν αὐτοῖς τὴν ῥάβδον ἀξιῶν ἵνα ἐκείνοις αὐτὴν ἀποδώσωσιν.

5. Ἦλθόν ποτε ἐπάνω τοῦ ἀββᾶ Θεοδώρου τρεῖς λῃσταί· καὶ οἱ μὲν δύο ἐκράτουν αὐτόν, ὁ δὲ εἷς ἐκουβάλει τὰ σκεύη αὐτοῦ. Ὡς οὖν ἐξήνεγκε πάντα καὶ τὰ βιβλία, ἤθελε δὲ λαβεῖν καὶ τὸν λεβήτωνα αὐτοῦ, ὃν ὁ γέρων εἰς τὴν σύναξιν ἐφόρει, λέγει αὐτοῖς· τοῦτο ἄφετε· οἱ δὲ οὐκ ἤθελον· καὶ κινήσας τὰς χεῖρας αὐτοῦ ἔρριψε τοὺς δύο· καὶ ἰδόντες ἐφοβήθησαν. Ὁ δὲ γέρων ἔφη αὐτοῖς· μηδὲν δειλιάσητε· ποιήσατε δὲ αὐτὰ εἰς τέσσαρα μέρη καὶ λάβετε τὰ τρία, καὶ ἄφετε τὸ ἕν· τοῦτο δὲ εἶπε, διὰ τὸ λαβεῖν τὸ μέρος αὐτοῦ, τὸν λεβήτωνα τὸν συνακτικόν.

6. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Πέρσου, ὅτι κακούργων αὐτῷ ἐπιστάντων, νιπτῆρα προσέφερε καὶ ἠξίου τοὺς πόδας αὐτῶν νίπτειν· κἀκεῖνοι αἰδεσθέντες, μετανοήσαντες ὑπεχώρησαν.

7. Ὁ ἀββᾶς Μακάριος, ἐν μιᾷ ὑποστρέψας εἰς τὴν κέλλαν, εὗρεν ἄνθρωπον ἔχοντα κτῆνος καὶ συλῶντα τὰς χρείας αὐτοῦ. Παραστὰς δὲ καὶ αὐτὸς ὡς ξένος τῷ συλῶντι, συνεγέμου τὸ κτῆνος καὶ μετὰ πολλῆς ἡσυχίας προέπεμπεν αὐτὸν λέγων· οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δηλονότι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· ὁ Κύριος ἔδωκεν, ὡς αὐτὸς ἠθέλησεν, οὕτω καὶ ἐγένετο· εὐλογητὸς Κύριος ἐπὶ πᾶσι.

8. Καὶ ἄλλοτε δὲ πάλιν, ἀπόντος αὐτοῦ, εἰσῆλθε λῃστὴς εἰς τὸ κελλίον αὐτοῦ. Εἶτα ἐπανελθὼν ὁ γέρων, εὗρε τὸν λῃστὴν συλῶντα τὰ σκεύη αὐτοῦ, καὶ ἐπιφορτίζοντα εἰς τὴν κάμηλον. Ἐλθὼν οὖν καὶ αὐτὸς εἰς τὸ κελλίον ἐλάμβανεν ἀπὸ τῶν σκευῶν καὶ συνεγέμου τῷ λῃστῇ τὴν κάμηλον. Μετὰ οὖν τὸ ἐπιθῆναι πάντα τῇ καμήλῳ, ἤρξατο ὁ λῃστὴς τύπτειν τὴν κάμηλον ἵνα ἀναστῇ· ἡ δὲ οὐκ ἠγείρετο· ἰδὼν

δὲ τοῦτο ὁ ἀββᾶς Μακάριος, εἰσελθὼν ἐν τῷ κελλίῳ, εὗρε μικρὸν σκαλίδιν, καὶ ἐκβαλὼν ἐπετέθηκε αὐτὸ τῇ καμήλῳ λέγων· ἀδελφέ, τοῦτο ζητεῖ ἡ κάμηλος. Καὶ κρούσας αὐτὴν τῷ ποδὶ ὁ γέρων ἔφη· ἀνάστα· καὶ εὐθέως ἀνέστη καὶ ἀπῆλθε μικρὸν διὰ τὸν λόγον αὐτοῦ, καὶ πάλιν ἐκάθισε καὶ οὐκέτι ἀνέστη ἕως ἦραν ἀπ' αὐτῆς πάντα τὰ σκεύη, καὶ αἰδεσθεὶς ὁ λῃστὴς ἀπῆλθε μηδὲν λαβών.

9. Ἦλθόν ποτε ἐν κελλίῳ γέροντός τινος λῃσταί, καὶ εἶπον αὐτῷ· πάντα τὰ ἐν τῷ κελλίῳ σου λαβεῖν ἥκαμεν· ὁ δέ φησι· ὅσα ἂν δοκεῖ ὑμῖν, τέκνα, λάβετε. Ἔλαβον πάντα ἃ εὗρον ἐν τῷ κελλίῳ καὶ ἀπῆλθον, ἐπελάθοντο δὲ ἓν μαρσίπιον, ὃ ἦν ἐκεῖ κρεμάμενον. Ὁ οὖν γέρων λαβὼν αὐτὸ κατεδίωξεν ὀπίσω αὐτῶν βοῶν καὶ λέγων· τέκνα, λάβετε, ὃ ἐπελάθεσθε ἐν τῷ κελλίῳ ἡμῶν. Οἱ δὲ ἐκπλαγέντες ἐπὶ τῇ ἀνεξικακίᾳ τοῦ γέροντος ἀποκατέστησαν ἐν τῷ κελλίῳ αὐτοῦ πάντα ὅσα ἔλαβον καὶ μετενόησαν εἰπόντες πρὸς ἀλλήλους· ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ ἐστιν οὗτος.

10. Διηγήσαντό τινες, ὅτι φιλόσοφοί τινες ἠθέλησάν ποτε δοκιμάσαι τοὺς μοναχούς· παρήρχετο οὖν τις ἐστολισμένος καλῶς, καὶ λέγουσιν αὐτῷ· σὺ δεῦρο ὧδε· ὁ δὲ ὀργισθεὶς ὕβρισεν αὐτούς. Εἶτα διελθόντος ἐκείνου, παρήρχετο ἄλλος τις μοναχὸς λιβυκός· καὶ λέγουσιν αὐτῷ ἐκεῖνοι· αἴ, σὺ μοναχὲ κακόγηρε, δεῦρο ὧδε· ὁ δὲ μετὰ σπουδῆς ἀπῆλθεν. Εἶτα διδοῦσιν αὐτῷ ῥάπισμα· καὶ αὐτὸς εὐθὺς ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα· οἱ δὲ ἐκπλαγέντες προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς ἰδοὺ μοναχός· καὶ καθίσαντες αὐτὸν ἐν μέσῳ αὐτῶν ἠρώτων αὐτὸν λέγοντες. Τί πλέον ἡμῶν ποιεῖτε εἰς τὴν ἔρημον; νηστεύετε; καὶ ἡμεῖς νηστεύομεν· ἀγρυπνεῖτε; καὶ ἡμεῖς ἀγρυπνοῦμεν· καὶ εἴ τι δ' ἂν ποιεῖτε, καὶ ἡμεῖς ποιοῦμεν· τί οὖν περισσὸν ποιεῖτε εἰς τὴν ἔρημον καθήμενοι; Ἀπεκρίθη αὐτοῖς ὁ γέρων· εἰς τὴν χάριν τοῦ Θεοῦ ἐλπίζομεν ἡμεῖς καὶ νοῦν τηροῦμεν. Λέγουσιν ἐκεῖνοι· ἡμεῖς τοῦτο φυλάξαι οὐ δυνάμεθα· καὶ ὠφεληθέντες ἀπέλυσαν αὐτόν.

11. Ἦσαν δύο μοναχοὶ εἰς τόπον οἰκοῦντες, καὶ παρέβαλεν αὐτοῖς γέρων δοκιμάσαι αὐτούς· καὶ ἔλαβε ῥάβδον καὶ ἤρξατο συντρίβειν τὰ λάχανα τοῦ ἑνός· ἰδὼν δὲ ὁ ἀδελφὸς ἐκρύβη ἕως οὗ συνέτριψε πάντα· ὡς δὲ παρέμεινε μία ῥίζα, λέγει τῷ γέροντι. Ἀββᾶ, ἐὰν θέλῃς ἄφες αὐτὸ ἵνα ἑψήσω, καὶ γευσώμεθα ὁμοῦ· καὶ ἔβαλεν ὁ γέρων μετάνοιαν τῷ ἀδελφῷ λέγων· διὰ τὴν ἀνεξικακίαν σου ἀναπέπαυται τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ σέ, ἀδελφέ.

12. Διηγήσατο ὁ μακάριος Ζωσιμᾶς περί τινος γέροντος λέγων, ὅτι ὄντος μου ἔτι ἐν τῷ Μοναστηρίῳ ἐν Τύρῳ, παρέβαλεν ἡμῖν τις γέρων ἐνάρετος. Εἶτα ὡς ἀνεγινώσκομεν εἰς τὰ ἀποφθέγματα τῶν γερόντων (ταῦτα γὰρ σύνηθες ἡμῖν ἀναγινώσκειν σχεδὸν ἀεί), ἤλθομεν εἰς τὸ διήγημα τοῦ γέροντος ἐκείνου, ᾧ ἐπελθόντες λῃσταὶ ἔλαβον πάντα αὐτοῦ, καὶ ἀπῆλθον, καταλιπόντες ἓν μαρσίπιον. Καὶ τοῦτο λαβών, φησίν, ὁ γέρων, κατεδίωξεν ὀπίσω αὐτῶν βοῶν καὶ λέγων· τέκνα, λάβετε ὃ ἐπελάθεσθε ἐν τῷ κελλίῳ ἡμῶν· οἱ δὲ θαυμάσαντες ἐπὶ τῇ ἀνεξικακίᾳ αὐτοῦ, πάντα ὅσα ἔλαβον ἐκ τοῦ κελλίου αὐτοῦ πάλιν ἀποκατέστησαν.

Ὡς οὖν ἀνέγνωμεν τὸ διήγημα τοῦτο, λέγει μοι ὁ παραβαλὼν ἡμῖν γέρων· τοῦτο τὸ ἀπόφθεγμα πάνυ με ὠφέλησεν· ἐμοῦ δὲ δυσωπήσαντος αὐτὸν εἰπεῖν μοι ποίαν ἐκ τούτου εὗρεν ὠφέλειαν, εἶπεν ὁ γέρων· ποτὲ μένων, φησίν, ἐν τοῖς κατὰ τὸν Ἰορδάνην τόποις, ἀνέγνων κἀγὼ τὸ διήγημα τοῦτο, καὶ θαυμάζων τὸν γέροντα τῆς

ἀνεξικακίας αὐτοῦ καὶ πρᾳότητος, ἔλεγον πρὸς τὸν Θεόν· Κύριε, ὁ καταξιώσας με εἰς τὸ σχῆμα τῶν ἁγίων τούτων γερόντων ἐλθεῖν, ἀξίωσόν με καὶ κατ' ἴχνος τούτων ἀκολουθῆσαι, καὶ τὴν αὐτὴν ὁδεῦσαι ὁδόν, ἣν οὗτοι ὥδευσαν ὑπὸ τῆς σῆς ὁδηγούμενοι χάριτος.

Ταῦτα δεηθεὶς τοῦ Θεοῦ καὶ ἔχων ἐν ἐμαυτῷ τοῦτον τὸν πόθον, δύο διελθουσῶν ἡμερῶν, ὡς ἐκαθήμην ἐν τῷ κελλίῳ, ᾐσθόμην τινῶν ἐπελθόντων τῇ κέλλῃ, οἳ καὶ παραστάντες τῇ θύρᾳ ἔκρουσαν· ἐγὼ δὲ γνοὺς ὅτι λῃσταὶ εἰσιν, εἶπον ἐν ἐμαυτῷ· χάρις τῷ Θεῷ· ἰδοὺ καιρὸς ἐνδείξασθαι τὸν καρπὸν τοῦ πόθου. Ἀνοίξας οὖν ἐδεξάμην αὐτούς, καὶ μετὰ ἱλαρότητος καὶ ἅψας λύχνον, ἠρξάμην δεικνύειν αὐτοῖς τὰ πράγματα, λέγων πρὸς αὐτούς· μὴ θορυβεῖσθε, πιστεύω τῷ Κυρίῳ, ὅτι οὐ μὴ κρύψω ἀφ' ὑμῶν τίποτε. Οἱ δὲ λέγουσί μοι· ἔχεις χρυσίον; Καὶ ἀπεκρίθην αὐτοῖς· ναί, ἔχω τρία νομίσματα· καὶ ἤνοιξα τὸ σκεῦος ἔμπροσθεν αὐτῶν, καὶ λαβόντες αὐτὰ καὶ πάντα τὰ πράγματα ἀπῆλθον μετ' εἰρήνης.

Ἐγὼ δέ, φησιν ὁ μακάριος Ζωσιμᾶς, χαριεντιζόμενος εἶπον πρὸς τὸν γέροντα· τί δὲ τὸ μετὰ τοῦτο; ὑπέστρεψαν ὥς περ ἐκεῖνοι οἱ ἐπὶ τοῦ πρὸ ἡμῶν γέροντος; Καὶ ἀπεκρίθη εὐθέως· οὐ μὴ συγχωρῆσαι ὁ Θεός, οὐδὲ γὰρ τοῦτο ἤθελον, ἵνα ὑποστρέψωσιν. Ἴδε οὖν, φησι, ποίαν προκοπὴν αὐτῷ καὶ δόξαν εἰς Θεὸν παρέσχεν ὁ πόθος καὶ ἡ ἑτοιμασία αὐτοῦ, ὅτι οὐ μόνον οὐκ ἐλυπήθη ἐπὶ τῇ ἀφαιρέσει πάντων ὧν εἶχεν, ἀλλὰ καὶ ἐχάρη, ὡς μεγίστου τῷ ὄντι ἀξιωθεὶς ἀγαθοῦ.

13. Ἕτερος γέρων, χρῄζων ἱματίου, ἀπῆλθεν εἰς τὴν ἀγορὰν καὶ ἠγόρασε νομίσματος καὶ νουμίων ὀλίγων τιμώμενον. Λαβὼν οὖν τὸ ἱμάτιον ἔθηκε καὶ ἐκάθισεν ἐπ' αὐτῷ, καὶ δοὺς τὸ νόμισμα τῷ πράτῃ λοιπὸν ἐμέτρει τὸ κέρμα εἰς τὸ πλακίον τὸ ἐκεῖ κείμενον. Ἐλθὼν δέ τις ὄπισθεν αὐτοῦ εἷλκε τὸ ἱμάτιον ἀφελέσθαι αὐτὸ λάθρᾳ βουλόμενος· καὶ αἰσθόμενος ὁ γέρων ὅτι εἷλκέ τις τὸ ἱμάτιον, ἐκούφισεν ἑαυτὸν ἐπεκτεινόμενος δῆθεν πρὸς τὸ διάστημα τοῦ τόπου, ἐν ᾧ τὸ κέρμα κατέβαλλεν, ἕως ὁ ἕλκων τὸ ἱμάτιον ἐπῆρεν αὐτὸ καὶ ἀπῆλθεν, καὶ οὕτως ὁ γέρων, ἀποδοὺς πᾶσαν τὴν τιμήν, ἀπῆλθε μηδὲν λαβών.

Ἑρμηνεία

Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τί σημαίνει τὸ νὰ ὀργισθῇ κανεὶς χωρὶς λόγον ἐναντίον τοῦ ἀδελφοῦ του;

Ὁ Γέρων τοῦ ἀπεκρίθη:

— Ἂν ὀργισθῇς διὰ κάθε πλεονεξίαν ποὺ θὰ διαπράξῃ εἰς βάρος σου ὁ ἀδελφός σου, χωρὶς λόγον ὀργίζεσαι· καὶ ἂν ἀκόμη ἐξορύξῃ τὸν δεξιόν σου ὀφθαλμὸν ἢ κόψῃ τὴν δεξιάν σου χεῖρα, δὲν πρέπει νὰ ὀργισθῇς ἐναντίον του. Ἂν σὲ χωρίσῃ ἀπὸ τὸν Θεόν, τότε μόνον νὰ ὀργισθῇς.

2. Εἶπεν ἕνας Γέρων· ἐκεῖνος, ὁ ὁποῖος ἀδικεῖται μὲ τὴν θέλησίν του καὶ συγχωρεῖ τὸν πλησίον του, ὁμοιάζει μὲ τὸν Ἰησοῦν· ἐκεῖνος ὁ ὁποῖος οὔτε ἀδικεῖ οὔτε ἀδικεῖται ὁμοιάζει μὲ τὸν Ἀδάμ· καὶ ἐκεῖνος, ὁ ὁποῖος ἀδικεῖ, ἢ ζητεῖ τόκους ἢ κακομεταχειρίζεται τὸν ἄλλον, ὁμοιάζει μὲ τὸν διάβολον.

3. Διηγοῦντο διὰ τὸν 'Αββᾶν Γελάσιον, ὅτι εἶχεν εἰς τὴν κατοχήν του βιβλίον, ποὺ ἤξιζε δεκαοκτὼ νομίσματα*, διότι περιελάμβανεν ὁλόκληρον τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην. Αὐτὸ τὸ βιβλίον εὑρίσκετο εἰς τὴν 'Εκκλησίαν, διὰ νὰ τὸ διαβάζῃ ὅποιος ἀδελφὸς ἤθελε. Κάποτε λοιπὸν ἐπεσκέφθη τὸν Γέροντα ἕνας ξένος ἀδελφὸς καὶ μόλις εἶδε τὸ βιβλίον, τὸ ἐπεθύμησε καὶ ἀφοῦ τὸ ἔκλεψεν, ἔφυγεν. 'Ο Γέρων, ἂν καὶ ἀντελήφθη τί ἔκαμεν ὁ ἀδελφός, δὲν τὸν κατεδίωξεν. 'Ο κλέπτης ἐπῆγεν εἰς τὴν πόλιν καὶ ἐζητοῦσε νὰ τὸ πωλήσῃ· ὅταν εὑρέθη ἀγοραστής, τοῦ ἐζητοῦσε δέκα ἕξ νομίσματα. 'Ο ἀγοραστής, ὁ ὁποῖος ἤθελε νὰ τὸ ἀγοράσῃ, τοῦ λέγει· δῶσε μου νὰ τὸ ἐξετάσω καὶ τότε θὰ σοῦ δώσω ὅσα μοῦ ζητεῖς. Τοῦ ἔδωσε λοιπὸν τὸ βιβλίον καὶ ἐκεῖνος τὸ ἔφερεν εἰς τὸν 'Αββᾶν Γελάσιον νὰ τὸ ἐξετάσῃ, ἀφοῦ τοῦ εἶπε καὶ τὴν τιμήν, ποὺ τοῦ ἐζήτησεν ὁ πωλητής.

'Ο Γέρων ἀφοῦ τὸ ἤλεγξε προσεκτικά, ὡσὰν νὰ μὴ τὸ ἐγνώριζε, εἶπεν εἰς τὸν ἄνθρωπον· ἀγόρασέ το, διότι εἶναι καλὸν καὶ ἀξίζει τὴν τιμὴν ποὺ σοῦ εἶπεν. 'Ο ἀγοραστής, ὅταν ἐπέστρεψεν εἰς τὸν πωλητήν, τὰ εἶπε διαφορετικὰ καὶ ὄχι ὅπως τοῦ τὰ εἶπεν ὁ Γέρων. Τοῦ εἶπε δηλαδή· νά, τὸ ἔδειξα εἰς τὸν 'Αββᾶν Γελάσιον καὶ μοῦ εἶπεν ὅτι τὸ ζητεῖς ἀκριβὰ καὶ δὲν ἀξίζει τόσον. Μόλις ἤκουσεν αὐτὸ ὁ ἄλλος, ἠρώτησε τὸν ἀγοραστήν· δὲν σοῦ εἶπε τίποτε ἄλλο ὁ Γέροντας; "Οχι, ἀπήντησεν ὁ ἄνθρωπος. Συνεκινήθη πολὺ ἀπὸ τὴν ἀνεξικακίαν τοῦ Γέροντος ὁ πωλητὴς καὶ εἶπεν εἰς τὸν ἄνθρωπον· δὲν θέλω πιὰ νὰ τὸ πωλήσω· ἀφοῦ δὲ ἐπῆρε τὸ βιβλίον, ἦλθε μετανοημένος εἰς τὸν Γέροντα καὶ τὸν ἐπαρακαλοῦσε νὰ τὸ δεχθῇ. 'Ο Γέρων δὲν ἤθελε νὰ τὸ κρατήσῃ. 'Ο ἀδελφὸς τοῦ εἶπε· ἂν δὲν τὸ πάρῃς, δὲν θὰ ἡσυχάσω. "Αν δὲν ἀναπαύεσαι — τοῦ λέγει ὁ Γέρων — τὸ δέχομαι ὀπίσω.Καὶ ἔμεινεν ἐκεῖνος ὁ ἀδελφὸς κοντὰ εἰς τὸν Γέροντα, μέχρι τοῦ θανάτου του καὶ ὠφελήθη ἀπὸ τὴν ἐργασίαν τοῦ Γέροντος.

4. "Οταν κάποτε ἐλήστευαν τὸν 'Αββᾶν Εὐπρέπιον, ἐβοηθοῦσε καὶ αὐτὸς τοὺς ληστὰς νὰ πάρουν τὰ πράγματά του. 'Αφοῦ δὲ οἱ λησταὶ ἔβγαλαν ὅλα ὅσα εὑρίσκοντο εἰς τὸ κελλί του, ἔμεινε μέσα εἰς τὸ κελλὶ τοῦ Γέροντος τὸ ραβδὶ ἑνὸς κλέπτου. Μόλις τὸ εἶδεν ὁ Γέρων ἐστενοχωρήθη· τὸ ἐπῆρε λοιπὸν καὶ ἔτρεχεν ὀπίσω ἀπὸ τοὺς κλέπτας, διὰ νὰ τοὺς τὸ δώσῃ. 'Εκεῖνοι ὅμως δὲν ἠθέλησαν νὰ τὸ πάρουν, ἐπειδὴ ἐβιάζοντο νὰ ἀπομακρυνθοῦν. Τότε ὁ Γέρων συνήντησε μερικούς, ποὺ ἐπήγαιναν τὸν ἴδιον δρόμον καὶ τοὺς ἔδωσε τὸ ραβδί, διὰ νὰ τὸ παραδώσουν εἰς ἐκείνους τοὺς κλέπτας.

5. 'Επετέθησαν κάποτε κατὰ τοῦ 'Αββᾶ Θεοδώρου τρεῖς λησταί. Οἱ δύο ἀπὸ αὐτοὺς τὸν ἐκρατοῦσαν καὶ ὁ τρίτος ἐκουβαλοῦσεν ἔξω τὰ

* 'Η λέξις νόμισμα ἐνταῦθα ἐννοεῖ τὸ νόμισμα ποὺ εἶχε τὴν μεγαλυτέραν ἀξίαν κατὰ τὴν ἐποχὴν ἐκείνην. Πάντως τὰ βιβλία τότε, ἐπειδὴ ἦσαν χειρόγραφα, ἦσαν πανάκριβα.

πράγματα τοῦ κελλιοῦ του. Ἀφοῦ λοιπὸν τὰ ἔβγαλεν ὅλα ἀκόμη καὶ τὰ βιβλία, ἠθέλησε νὰ πάρῃ καὶ τὸ ράσον, ποὺ ἐφοροῦσεν ὁ Γέρων εἰς τὴν σύναξιν. Ἐκεῖνος τοὺς εἶπεν· αὐτὸ νὰ τὸ ἀφήσετε· οἱ λησταὶ ὅμως δὲν ἠθέλησαν. Τότε ὁ Γέρων ἐκίνησε τὰ χέρια του καὶ ἔρριξε κάτω τοὺς δύο· μόλις εἶδαν αὐτὸ οἱ λησταὶ ἐφοβήθησαν. Μὴ φοβηθῆτε, τοὺς εἶπεν ὁ Γέρων· μοιράσατε τὰ πράγματα σὲ τέσσαρα μέρη, πάρετε τὰ τρία καὶ ἀφήσατε τὸ ἕνα. Αὐτὸ τὸ ἐπρότεινε, διὰ νὰ πάρῃ εἰς τὸ μερίδιόν του τὸν λεβήτωνα, τὸ ράσον, δηλαδή, ποὺ ἐφοροῦσεν εἰς τὰς συνάξεις.

6. Διὰ τὸν Ἀββᾶν Ἰωάννην τὸν Πέρσην διηγοῦντο, ὅτι ὅταν κάποτε ἦλθαν λησταὶ εἰς τὸ κελλίον του, αὐτὸς ἔβαλε νερὸν εἰς λεκάνην καὶ ἐζητοῦσε νὰ πλύνῃ τοὺς πόδας των, διὰ νὰ τοὺς ξεκουράσῃ. Τότε ἐκεῖνοι μετενόησαν καὶ ἀνεχώρησαν ἐντροπιασμένοι.

7. Μίαν ἡμέραν ποὺ ἐπέστρεφεν εἰς τὸ κελλί του ὁ Ἀββᾶς Μακάριος, εὑρῆκεν ἕνα ἄνθρωπον ποὺ εἶχε καὶ ἕνα κτῆνος μαζί του, νὰ κλέπτῃ τὰ πράγματά του. Τότε καὶ ἐκεῖνος, ὡς νὰ ἦτο ξένος, ἐβοήθησε τὸν κλέπτην καὶ ἐφόρτωνε μαζί του τὸ ζῷον· μὲ μεγάλην δὲ ἠρεμίαν τὸν προέπεμπε καὶ ἔλεγε· τίποτε δὲν ἐφέραμεν εἰς αὐτὸν τὸν κόσμον, δι' αὐτὸ οὔτε καὶ νὰ πάρωμεν τίποτα μαζί μας ἠμποροῦμεν. Ὁ Κύριος τὰ ἔδωσεν· ὅπως αὐτὸς ἠθέλησε, ἔτσι καὶ ἔγινεν· ἂς εἶναι ὁ Κύριος εὐλογημένος δι' ὅλα.

8. Ἄλλοτε πάλιν εἰσῆλθε ληστὴς εἰς τὸ κελλὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅταν ἐκεῖνος ἔλειπεν. Ὅταν ἐπέστρεψεν ὁ Γέρων, τὸν εὗρῆκε νὰ κλέπτῃ τὰ πράγματά του καὶ νὰ τὰ φορτώνῃ εἰς τὴν κάμηλον. Ἀφοῦ λοιπὸν ἦλθεν εἰς τὸ κελλίον, ἔπαιρνε καὶ αὐτὸς ἀπὸ τὰ πράγματά του καὶ τὰ ἐφόρτωνε, μαζὶ μὲ τὸν ληστήν, εἰς τὴν κάμηλον. Ὅταν πλέον τὰ ἔβαλεν ὅλα ὁ ληστὴς ἐπάνω εἰς τὴν κάμηλον, ἤρχισε νὰ τὴν κτυπᾷ διὰ νὰ σηκωθῇ*, ἀλλὰ ἐκείνη δὲν ἐσηκώνετο. Μόλις εἶδεν αὐτὸ ὁ Ἀββᾶς Μακάριος, εἰσῆλθεν εἰς τὸ κελλίον καὶ εὑρῆκεν ἕνα μικρὸν σκαλιστήρι· τὸ ἐπῆρε, τὸ ἔβαλεν ἐπάνω εἰς τὴν κάμηλον καὶ εἶπεν εἰς τὸν ληστήν· ἀδελφέ, αὐτὸ ζητεῖ ἡ κάμηλος. Μετὰ τὴν ἐσκούντησε ὁ Γέρων μὲ τὸ πόδι του καὶ τῆς εἶπε· σήκω. Ἀμέσως τὸ ζῷον ἐσηκώθη καὶ ἐβάδισεν ὀλίγον ἀπὸ ὑπακοὴν εἰς τὰ λόγια του. Καὶ πάλιν ὅμως ἐκάθισεν, ἀφοῦ ἔκαμε μερικὰ βήματα καὶ δὲν ἐσηκώθη, μέχρις ὅτου ἐξεφόρτωσαν ἀπὸ ἐπάνω της ὅλα τὰ πράγματα. Τότε ἐντροπιασμένος ὁ ληστὴς ἔφυγε χωρὶς νὰ πάρῃ τίποτα.

9. Ἦλθαν κάποτε λησταὶ εἰς τὸ κελλὶ ἑνὸς Γέροντος καὶ τοῦ εἶπον· ἤλθαμεν, διὰ νὰ πάρωμεν ὅλα τὰ πράγματα, ποὺ ὑπάρχουν εἰς τὸ κελλί σου. Πάρετε, παιδιά μου, — τοὺς ἀπήντησεν ὁ Γέρων — ὅσα νομίζετε. Ἐκεῖνοι ἐπῆραν ὅλα ὅσα εὑρῆκαν καὶ ἔφυγαν· ἐξέχασαν ὅμως ἕνα δερμάτινον ταγάρι, ποὺ ἦτο κάπου κρεμασμένον. Ὁ Γέρων τὸ ἐπῆρε καὶ

---

* Ἐπειδὴ ἡ κάμηλος εἶναι ζῷον ὑψηλόν, οἱ ὁδηγοὶ τῶν καμήλων ἔχουν ἀσκήσει τὰ ζῷα αὐτὰ νὰ γονατίζουν διὰ νὰ ἠμποροῦν νὰ τὰ φορτώνουν. Ὅταν τοποθετήσουν ἐπ' αὐτῶν τὸ ἀνάλογον φορτίον, τὰ κτυποῦν ἐλαφρῶς καὶ σηκώνονται.

ἔτρεξεν ὀπίσω ἀπὸ τοὺς λῃστάς· παιδιὰ — τοὺς ἐφώναξε — πάρετε καὶ αὐτό, ποὺ ἐλησμονήσατε εἰς τὸ κελλί μου. Ἐκεῖνοι ἐξεπλάγησαν ἀπὸ τὴν ἀνεξικακίαν τοῦ Γέροντος, ἐπέστρεψαν καὶ ἄφησαν εἰς τὸ κελλὶ ὅσα εἶχαν πάρει. Πραγματικὰ — εἶπαν μετανοημένοι μεταξύ των — αὐτὸς εἶναι ἄνθρωπος τοῦ Θεοῦ.

10. Ἀναφέρουν ὅτι κάποιοι φιλόσοφοι* ἠθέλησαν κάποτε νὰ δοκιμάσουν τοὺς Μοναχούς. Ἐπερνοῦσε λοιπὸν κάποιος καλοντυμένος καὶ τοῦ φωνάζουν· αἴ, σύ, ἔλα ἐδῶ. Ἐκεῖνος ἐνευρίασε καὶ τοὺς ὕβρισε.

Μετὰ ἀπὸ αὐτὸν ἐπερνοῦσε κάποιος ἄλλος Μοναχὸς ἀπὸ τὴν ἔρημον τῆς Λιβύης· καὶ τοῦ λέγουν· αἴ, σύ, κακόγηρε μοναχέ, ἔλα ἐδῶ. Ἐκεῖνος ἐπῆγε πρόθυμα κοντά τους. Τότε οἱ φιλόσοφοι τοῦ δίδουν ἕνα ράπισμα· ὁ Μοναχὸς ἔστρεψεν ἀμέσως καὶ τὴν ἄλλην σιαγόνα (Ματθ. ε΄, 39). Ἐθαύμασαν ἀπὸ αὐτὸ οἱ φιλόσοφοι, τοῦ ἔβαλαν μετάνοιαν καὶ εἶπαν· πραγματικά, ἰδοὺ μοναχός! Ἀφοῦ λοιπὸν τὸν ἔβαλαν εἰς τὸ μέσον τῆς συντροφιᾶς των, ἤρχισαν νὰ τὸν ἐρωτοῦν:

— Πάτερ, τί περισσότερον κάνετε ἀπὸ ἡμᾶς εἰς τὴν ἔρημον; Νηστεύετε; καὶ ἡμεῖς νηστεύομεν. Ἀγρυπνεῖτε; καὶ ἡμεῖς ἀγρυπνοῦμεν. Καὶ ὅ,τι δήποτε ἄλλο κάμνετε καὶ ἡμεῖς τὸ κάμνομεν. Τί κάμνετε λοιπὸν περισσότερον ποὺ κάθεσθε εἰς τὴν ἔρημον;

— Ἡμεῖς ἐλπίζομεν εἰς τὴν χάριν τοῦ Θεοῦ καὶ ἔχομεν ἄγρυπνον τὸν νοῦν μας, ὥστε οὔτε κἂν νὰ σκεπτώμεθα τὸ κακόν.

— Ἡμεῖς δὲν ἠμποροῦμεν νὰ τὸ ἐφαρμόσωμεν αὐτό. Ἀφοῦ δὲ ὠφελήθησαν ἀρκετὰ ἀπὸ τὴν συζήτησιν μὲ τὸν Μοναχόν, τὸν ἄφησαν νὰ φύγῃ.

11. Εἰς ἕνα τόπον κατοικοῦσαν δύο Μοναχοί· τοὺς ἐπεσκέφθη λοιπὸν κάποιος Γέροντας διὰ νὰ τοὺς δοκιμάσῃ. Ἥρπασεν ἕνα ξύλον καὶ ἤρχισε νὰ σπάζῃ τὰ λαχανικὰ εἰς τὸν κῆπον τοῦ ἑνὸς ἀπ' αὐτούς. Μόλις τὸν εἶδεν ὁ ἀδελφὸς ἐκρύφθηκε, μέχρις ὅτου ἐκεῖνος τοῦ τὰ κατέστρεψεν ὅλα. Μόνον μία ρίζα ἔμεινεν ἄθικτος καὶ ὁ Μοναχὸς λέγει εἰς τὸν Γέροντα:

— Ἀββᾶ, ἂν θέλῃς, ἄφησέ την νὰ τὴν μαγειρεύσω καὶ νὰ τὴν φάγωμεν μαζί.

Τότε ὁ Γέρων ἔβαλε μετάνοιαν εἰς τὸν ἀδελφὸν καὶ τοῦ εἶπε:

— Ἀδελφέ, διὰ τὴν ἀνεξικακίαν σου, τὸ Ἅγιον Πνεῦμα εὑρίσκεται ἐπάνω σου.

12. Ὁ Μακάριος Ζωσιμᾶς διηγήθη τὸ ἑξῆς διὰ κάποιον Γέροντα· Τότε ποὺ παρέμενα εἰς τὸ Μοναστήρι εἰς τὴν Τύρον**, μᾶς ἐπεσκέφθη κάποιος ἐνάρετος Γέρων. Ὅταν ἦλθεν ἡ ὥρα τῆς ἀναγνώσεως, ἐδιαβάζα-

---

* Φιλόσοφοι ἐνταῦθα νοοῦνται οἱ μορφωμένοι εἰδωλολάτραι, οἱ ὁποῖοι ἐγνώριζον καλῶς ὅλην τὴν σοφίαν τῶν Ἑλλήνων.

** Ἡ Τύρος εἶναι ἀρχαία πόλις τῆς Συρίας, γνωστὴ εἰς τὴν ἱστορίαν ἀπὸ τὴν πολιορκίαν καὶ ἅλωσιν αὐτῆς ὑπὸ τοῦ Μεγάλου Ἀλεξάνδρου. Σήμερον ἀνήκει εἰς τὸ κράτος τοῦ Λιβάνου καὶ καλεῖται Σούρ.

μεν κατὰ τὴν συνήθειάν μας τὰ ἀποφθέγματα τῶν Γερόντων. Ἐφθάσαμεν λοιπὸν καὶ εἰς τὸ διήγημα τοῦ Γέροντος ἐκείνου, ποὺ ἦλθαν εἰς τὸ κελλί του λησταί, τοῦ τὰ ἐπῆραν ὅλα καὶ ἔφυγαν. Ἄφησαν μονάχα — ἀνέφερε τὸ διήγημα — ἕνα δερμάτινον ταγάρι· τὸ ἐπῆρεν ὁ Γέροντας, ἔτρεξεν ὀπίσω ἀπὸ τοὺς ληστὰς καὶ τοὺς ἐφώναξε· παιδιά, πάρετε καὶ αὐτό, ποὺ τὸ ἐξεχάσατε εἰς τὸ κελλί μου. Οἱ λησταὶ ἐθαύμασαν τὴν ἀνεξικακίαν τοῦ Γέροντος καὶ ἔβαλαν πάλιν ὀπίσω εἰς τὸ κελλὶ τὰ πράγματα ποὺ εἶχαν πάρει.

Μόλις ἐτελείωσεν ἡ ἀνάγνωσις αὐτοῦ τοῦ διηγήματος, μοῦ λέγει ὁ Γέρων, ποὺ μᾶς ἐπεσκέφθη· αὐτὸ τὸ διήγημα μὲ ὠφέλησε πάρα πολύ. Ὅταν δὲ τὸν παρεκάλεσα νὰ μοῦ εἰπῇ ποίαν ὠφέλειαν εὑρῆκεν ἀπὸ αὐτό, ἐκεῖνος μοῦ ἀπήντησε· κάποτε, ὅταν ἔμενα εἰς τὰ μέρη ποὺ εἶναι κοντὰ εἰς τὸν Ἰορδάνην, ἐδιάβασα καὶ ἐγὼ αὐτὸ τὸ διήγημα καὶ θαυμάζων τὸν Γέροντα ποὺ ἀνέφερε τὸ διήγημα, διὰ τὴν ἀνεξικακίαν του καὶ τὴν πραότητά του, ἔλεγα εἰς τὸν Θεὸν κατὰ τὴν ὥραν τῆς προσευχῆς· Κύριε, Σὺ ποὺ μὲ ἠξίωσας νὰ φορέσω τὸ σχῆμα τῶν ἁγίων τούτων Γερόντων, ἀξίωσέ με νὰ ἀκολουθήσω καὶ τὰ ἴχνη των καὶ νὰ βαδίσω τὸν ἴδιον δρόμον, ποὺ ἐβάδισαν αὐτοί, ὁδηγούμενοι ἀπὸ τὴν Χάριν Σου.

Αὐτὴν τὴν δέησιν ἔκαμα πρὸς τὸν Θεὸν καὶ ἔμεινα μὲ αὐτὸν τὸν πόθον. Ἐπέρασαν δύο ἡμέραι· καθὼς ἐκαθήμην εἰς τὸ κελλίον μου, ἀντελήφθην ὅτι κάποιοι ἐπλησίασαν. Μέσα εἰς ὀλίγα λεπτὰ ἔφθασαν ἔξω ἀπὸ τὴν θύραν καὶ ἐκτύπησαν. Ἐγὼ ἀμέσως ἐκατάλαβα ὅτι ἦσαν λησταί. Δόξα τῷ Θεῷ, εἶπα ἀπὸ μέσα μου, ἔφθασεν ὁ καιρὸς νὰ καρποφορήσῃ ὁ πόθος μου. Τοὺς ἤνοιξα λοιπὸν ἀμέσως καὶ τοὺς ὑποδέχθηκα· ἄναψα μὲ καλωσύνην τὸν λύχνον καὶ ἤρχισα νὰ τοὺς δεικνύω τὰ πράγματα ποὺ εἶχε τὸ κελλί. Μὴν ἀνησυχῆτε, τοὺς εἶπα, σᾶς διαβεβαιώνω ἐνώπιον τοῦ Κυρίου, ὅτι δὲν θὰ σᾶς κρύψω τίποτα. Ἔχεις χρυσάφι; μὲ ἐρωτοῦν οἱ λησταί. Ναί, ἔχω τρία νομίσματα, τοὺς ἀπήντησα, καὶ ἤνοιξα ἐμπρός των τὸ κουτί. Οἱ λησταὶ ἐπῆραν τὰ νομίσματα καὶ ὅλα τὰ πράγματα καὶ ἔφυγαν εἰρηνικά.

Ἐγὼ — εἶπε ὁ μακάριος Ζωσιμᾶς— ἠρώτησα χαριεντιζόμενος τὸν Γέροντα· τί ἔγινεν ἔπειτα; ἐγύρισαν ὀπίσω, ὅπως οἱ λησταί ποὺ ἀναφέρει τὸ διήγημά μας; Ὁ Γέρων μοῦ ἀπήντησεν ἀμέσως· Νὰ μὴ τὸ δώσῃ ὁ Θεός· διότι οὔτε καὶ ἐγὼ ἤθελα νὰ ἐπιστρέψουν. Κοίταξε λοιπόν, εἶπε συμπερασματικὰ ὁ μακάριος Ζωσιμᾶς, εἰς ποίαν προκοπὴν καὶ δόξαν ἐνώπιον τοῦ Θεοῦ τὸν ἔφερεν ὁ πόθος καὶ ἡ ψυχική του προετοιμασία· ὄχι μονάχα δὲν ἐλυπήθη διὰ τὴν ἀφαίρεσιν ὅλων τῶν πραγμάτων του, ἀλλὰ καὶ ἐδοκίμασε μεγάλην χαράν, ὡσὰν νὰ ἠξιώθη, πράγματι, νὰ ἀπολαύσῃ πολύτιμον ἀγαθόν.

13. Ἕνας ἄλλος Γέρων εἶχεν ἀνάγκην ἐνδύματος. Μετέβη λοιπὸν εἰς τὴν ἀγορὰν καὶ ἠγόρασεν ἕνα ἱμάτιον ἀξίας ἑνὸς νομίσματος καὶ ὁ-

λίγων νουμίων*. Ἀφοῦ παρέλαβεν ἀπὸ τὸν πωλητὴν τὸ φόρεμα, τὸ ἔβαλε καὶ ἐκάθισεν ἐπάνω εἰς αὐτό· ἀφοῦ δὲ ἔδωσεν εἰς τὸν πωλητὴν τὸ νόμισμα, ἔπειτα ἐμετροῦσεν ἐπάνω εἰς τὴν μικρὰν πλάκαν ποὺ εὑρίσκετο εἰς τὸ κατάστημα τὰ ὀλίγα νουμία. Ἐν τῷ μεταξὺ ἦλθε κάποιος ἀπὸ πίσω του καὶ ἐτραβοῦσε σιγά—σιγὰ τὸ ἱμάτιον, θέλων νὰ τὸ ἀφαιρέση κρυφά. Ὅταν ἀντελήφθη ὁ Γέρων ὅτι κάποιος ἐτραβοῦσε τὸ ἱμάτιον, ἀνεσηκώθη ὀλίγον, διὰ νὰ πλησιάση δῆθεν πρὸς τὸ μέρος ποὺ ἐμετροῦσε τὰ χρήματα, ἕως ὅτου ἐκεῖνος ποὺ ἐτραβοῦσε τὸ ἱμάτιον τὸ ἐπῆρε καὶ ἔφυγε. Καὶ ἔτσι ὁ Γέρων, ἐνῷ ἐπλήρωσε τὴν ἀξίαν τοῦ ἱματίου, ἔφυγε χωρὶς νὰ πάρη τίποτε.



* Τὸ νουμίον ἦτο νόμισμα τὸ ὁποῖον εἶχε διαφορετικὴν ἀξίαν ἀναλόγως μὲ τὸν τόπον καὶ τὴν ἐποχήν. Κατὰ τοὺς ρωμαϊκοὺς καὶ βυζαντινοὺς χρόνους ἦτο νόμισμα μικρᾶς ἀξίας.



ΥΠΟΘΕΣΙΣ ΛΘ΄

Ὅτι τοῖς εὐχαρίστως τὴν ἀδικίαν ὑπομένουσι καὶ μὴ ἑαυτοὺς ἐκδικοῦσιν, ὁ Θεὸς ἔκδικος γίνεται, καὶ μείζοσι πολλάκις ἀμείβεται, ὧν ἠδικήθησαν.

Ὅτι δι' ἐκείνους, οἱ ὁποῖοι ὑπομένουν εὐχαρίστως τὴν ἀδικίαν καὶ δὲν ζητοῦν ἐκδίκησιν διὰ τοὺς ἑαυτούς των, γίνεται ὁ Θεὸς ἐκδικητὴς καὶ πολλὰς φορὰς τοὺς ἀνταμείβει περισσότερον ἀπὸ ὅσον ἠδικήθησαν.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΤΩι ΘΑΥΜΑΣΤΩι Ἰωάννῃ τῆς μεγαλοδώρου προαιρέσεως καὶ χειρός, ὁ πονηρὸς δαίμων ὑποβάλλει τῷ Πατρικίῳ Νικήτα, ὃς συνήθης αὐτῷ καὶ φίλος ἦν, ἀνάξιόν τι τῆς οἰκείας ἀρετῆς ἐννοῆσαί τε καὶ εἰπεῖν. Προσελθὼν τοίνυν τῷ μακαρίῳ, ἡ βασιλικὴ χείρ, ἔφη, δέσποτα, πολλῶν δεῖται χρημάτων εἰς ἀναγκαίας τοῦ κοινοῦ χρείας, ὅσαι ὧραι καταναλίσκουσα. Ὁρᾷς γὰρ αὐτὸς ὡς ἐν στενῷ κομιδῇ τὰ τοῦ κοινοῦ περιέστη· προσῆκον οὖν ἐστι τὰ εἰκῇ καὶ εἰς οὐδὲν δέον παρὰ σοῦ δαπανώμενα, τῷ τοῦ δημοσίου ταμείῳ προσενεχθῆναι.

Ὁ δέ, μηδὲν ἐπ' αὐτῷ διαταραχθείς, οὐ δίκαιον, ἔφη, τὰ τῷ ἐπουρανίῳ βασιλεῖ καθιερωμένα τῷ ἐπιγείῳ καταπροέσθαι· ἱεροσυλία γὰρ ἄντικρυς τοῦτο καὶ εἰς Θεὸν οὐ φαῦλον ἁμάρτημα; Εἰ δέ σοι οὕτω δέδοκται πράττειν, ἰδοὺ τὰ τῆς Ἐκκλησίας πάντα λαβὼν ποίει κατὰ τὴν σὴν θέλησιν, εἴ γε μηδείς σε λόγος τῆς γνώμης ταύτης ἀφίστησι· προαιρέσει γὰρ οἰκείᾳ οὐδ' ὀβολὸν ἕνα τῶν κειμένων προήσομαι. Οὐδὲν οὖν ἐκεῖνος ὁ θαυμάσιος ἀνήρ, οὐκ οἶδ' ὅπως ὑποστειλάμενος, εἰσκαλεῖται τοὺς ἑπομένους καὶ τὰ χρήματα εὐθὺς ἆραι κελεύει, μηδὲν πλέον ὅτι ἑκατὸν μόνας τοῦ χρυσοῦ λίτρας τῷ Πατριάρχῃ καταλιπών.

Ἐν ᾧ δὲ κατίεσαν οἱ ταῦτα διαβαστάζοντες, συναντῶσιν ἀνερχομένοις τισὶ πρὸς τὸν Πατριάρχην, κεράμια μέλιτος ἐπικομιζομένοις, ὧν τοῖς μὲν πρωτεῖον, τοῖς δὲ ἄκαπνον ἐπεγέγραπτο. Ἐπεὶ οὖν ὁ Πατρίκιος ἐθεάσατο ταῦτα, καὶ τὴν ἐπιγρα-

φὴν ὅπως εἶχεν ἀνέγνω, δηλοῖ παραχρῆμα τῷ Πατριάρχῃ ἓν τῶν κεραμίων αὐτῷ ἐκπεμφθῆναι. Τοῦ δὲ πιστευθέντος αὐτὰ διάπειραν ὥς περ ἔθος αὐτῶν ποιουμένου, εἶτα καὶ τὸ γεγονὸς ἐπ' αὐτοῖς θαῦμα καταμαθόντος καὶ τῷ μακαρίῳ γνωρίσαντος, ὡς πάντα μεστὰ χρυσίου τυγχάνουσιν ὄντα, ἓν αὐτῶν παραχρῆμα πέμπει τῷ Πατρικίῳ, ὃ μέλι πρωτεῖον τὴν ἐπιγραφὴν εἶχε.

Τούτῳ τοιγαροῦν καὶ γράμματα στέλλει, ὧν ἡ δύναμις οὕτως ἦν, ὁ εἰπὼν Κύριος οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω, ἀψευδὴς ὢν αὐτός, καὶ νῦν ὧν ἡ σὴ ἐνδοξότης ἀφείλετο χρημάτων ἀντιδίδωσιν ἕτερα, δηλώσει δέ σοι καὶ τὸ νῦν ἐκπεμφθὲν κεράμιον ὃ ἓν τούτων ὑπάρχει. Ἴσθι τοίνυν ἀκριβῶς, ὅτι καὶ τροφὴν καὶ πνοὴν τὸν πᾶσι διαχορηγοῦντα Θεὸν φθαρτὸς ἄνθρωπος στενῶσαι οὔ ποτ' ἂν οὐδαμῶς δυνήσηται. Παρήγγειλε δὲ καὶ τοῖς τὸ κεράμιον διακομίζουσιν, ἐπὶ μάρτυσιν αὐτοῖς ἀνοιγῆναι κατ' ὄψιν τοῦ Πατρικίου, ἀπαγγεῖλαί τε ὡς καὶ τ' ἄλλα πάντα, ὅσα δὴ καὶ τεθέαται, οὕτως ἔχει καὶ χρυσίου τυγχάνει πεπληρωμένα.

Εὐωχούμενον τοίνυν καταλαβόντες, ἐγχειρίζουσιν αὐτῷ τὴν ἐπιστολήν, ἐπιδεικνύοντες καὶ τὸ κεράμιον, ὅπερ ὡς ἐθεάσατο, χολᾷ μοι πάντως ὁ δεσπότης μου, ἔφη, ἐπεὶ οὐκ ἂν ἕν μοι μόνον ἀπέστελλεν. Οἱ μέν τοι διακομισταί, καθὼς ἦν αὐτοῖς ἐπιτεταγμένον, ὑπ' ὄψιν αὐτοῦ διανοίξαντες τὸ κεράμιον καὶ τὰ χρήματα ἐκκενώσαντες, χρυσίου πεπληρῶσθαι καὶ τὰ λοιπὰ ὁμοίως ἀπήγγελλον. Ὡς δὲ καὶ τὴν ἐπιστολὴν ἐπιὼν εὗρεν, ὅτι Θεὸν ἄνθρωπος στενῶσαι οὐ δύναται, συσταλεὶς ἐπὶ τούτῳ καὶ δέους ὑποπλησθείς, ταχεῖα γὰρ εἰς τὴν τοῦ μὴ καλῶς πεπραγμένου μετάνοιαν εὐγενὴς ψυχὴ καὶ φιλάρετος, ζῇ Κύριος, ἐξεβόησεν, οὐδὲ ὁ ταπεινὸς Νικήτας στενῶσαι τοῦτον πειραθῆναι ἀνέξεται.

Παραυτίκα τοίνυν διαναστάς, καὶ τὰ χρήματα τῆς Ἐκκλησίας ὅσα δὴ καὶ ἀφείλετο πάλιν ἀναλαβών, καὶ αὐτὸ τὸ σταλὲν κεράμιον, ἀλλὰ καὶ ἀφ' ἑαυτοῦ χρυσίου λίτρας τριακοσίας προσεπιθείς, ἄνεισι πρὸς τὸν Πατριάρχην, συγγνώμην τῆς ἀβουλίας αἰτούμενος. Ὁ δὲ ἀσμένως αὐτὸν δεξάμενος, οὔτε ὠνείδισεν, οὔτε τι τῶν λυπούντων ἀπεφθέγξατο πρὸς αὐτόν, λόγοις δὲ μᾶλλον παρακαλοῦσι ψυχὴν καὶ νουθεσίαις ἐπιστηρίξας πνευματικαῖς ἀπέστειλε. Καὶ τὸ ἀπὸ τοῦδε οὕτω πρὸς φιλίαν ἀλλήλοις ἐδέθησαν, ὡς καὶ ἀνάδοχον τῶν αὐτοῦ παίδων γενέσθαι τὸν Πατριάρχην.

Ἑρμηνεία

Ο ΠΟΝΗΡΟΣ δαίμων ἐφθόνησε τὸν θαυμαστὸν Ἰωάννην διὰ τὴν προαίρεσιν τὴν ὁποίαν εἶχε, νὰ ἐλεῇ μὲ γενναιοδωρίαν καὶ ἐνέβαλεν εἰς τὸν νοῦν τοῦ Πατρικίου Νικήτα*, ὁ ὁποῖος ἦτο φίλος τοῦ Ἁγίου καὶ πολὺ γνωστός, σκέψεις καὶ λόγους, ἀνάξια τῆς ἀρετῆς του (τοῦ Νική-

---

* Πρόκειται ἀσφαλῶς περὶ τοῦ Βυζαντινοῦ στρατηγοῦ Νικήτα, ὁ ὁποῖος ὑπῆρξεν υἱὸς τοῦ Πατρικίου Γρηγορίου καὶ ἐξάδελφος τοῦ αὐτοκράτορος Ἡρακλείου, ὁ ὁποῖος ἀνέθεσεν εἰς αὐτὸν τὴν διοίκησιν τῆς Αἰγύπτου ἀπὸ τοῦ 610—619, δηλαδὴ κατὰ τὴν ἰδίαν ἐποχὴν κατὰ τὴν ὁποίαν ὁ Ἰωάννης ὁ Ἐλεήμων ἦτο Πατριάρχης Ἀλεξανδρείας.

τα).'Αφοῦ λοιπὸν ἐπεσκέφθη τὸν μακάριον 'Ιωάννην, τοῦ εἶπε: 'Ο Βασιλεύς, Δέσποτά μου, χρειάζεται πολλὰ χρήματα δι' ἀπαραιτήτους ἀνάγκας τοῦ λαοῦ, διότι ἐξοδεύει διαρκῶς· βλέπεις δὲ καὶ σὺ ὁ ἴδιος εἰς πόσον δύσκολον κατάστασιν ἔφθασαν τὰ πράγματα*. Πρέπει λοιπὸν ἐκεῖνα ποὺ ἐξοδεύονται ἀπὸ ἐσὲ χωρὶς λόγον καὶ διὰ τὸ τίποτε νὰ παραδοθοῦν εἰς τὸ Δημόσιον Ταμεῖον.

"Οταν ἤκουσεν αὐτὰ ὁ 'Ιωάννης, χωρὶς νὰ ταραχθῇ καθόλου, ἀπήντησε· δὲν εἶναι ὀρθὸν αὐτὰ ποὺ εἶναι ἀφιερωμένα εἰς τὸν ἐπουράνιον Βασιλέα νὰ τὰ παραδώσωμεν εἰς τὸν ἐπίγειον· διότι αὐτὸ εἶναι φοβερὰ ἱεροσυλία καὶ πολὺ σοβαρὸν ἁμάρτημα ἐνώπιον τοῦ Θεοῦ. "Αν νομίζῃς ὅτι ἔτσι πρέπει νὰ πράξῃς, ἰδοὺ τὰ πράγματα τῆς 'Εκκλησίας· πάρε τα ὅλα καὶ κάμε ὅπως θέλεις, ἂν βέβαια δὲν σὲ ἀπομακρύνῃ κανένας λόγος ἀπὸ αὐτήν σου τὴν γνώμην. 'Εγὼ πάντως, μὲ τὴν θέλησίν μου, δὲν πρόκειται νὰ σοῦ παραδώσω οὔτε μίαν πεντάραν ἀπὸ ὅσα εἶναι ἀφιερωμένα εἰς τὸν Θεόν.

Χωρὶς λοιπὸν νὰ λάβῃ ὑπ' ὄψιν του τίποτε ὁ θαυμάσιος ἐκεῖνος ἄνθρωπος, οὔτε γνωρίζω διατί, δὲν ἐσεβάσθη τὰ λόγια τοῦ Πατριάρχου. Καλεῖ ἀμέσως τοὺς ἀκολούθους του καὶ τοὺς διατάσσει νὰ πάρουν τὰ χρήματα. Δὲν ἄφησε τίποτα περισσότερον ἀπὸ ἑκατὸν λίτρας** χρυσοῦ εἰς τὸν Πατριάρχην.

'Ενῷ δὲ κατέβαιναν ἐκεῖνοι οἱ ὁποῖοι ἐκρατοῦσαν αὐτὰ ποὺ κατέσχεσαν, συνήντησαν μερικοὺς οἱ ὁποῖοι ἀνήρχοντο πρὸς τὸν Πατριάρχην καὶ τοῦ ἔφερναν πήλινα δοχεῖα μὲ μέλι· ἄλλα ἀπὸ αὐτὰ τὰ δοχεῖα εἶχαν ἐπιγραφὴν μὲ τὴν λέξιν «πρωτεῖον» καὶ ἄλλα μὲ τὴν λέξιν «ἄκαπνον»***.

---

* Πρέπει νὰ ἔχωμεν ὑπ' ὄψιν μας ὅτι κατὰ τὴν ἐποχὴν αὐτὴν εἶχεν ἀνέλθει εἰς τὸν θρόνον τοῦ Βυζαντίου ὁ αὐτοκράτωρ 'Ηράκλειος, ὁ ὁποῖος εὗρε τὸ κράτος εἰς ἀθλίαν κατάστασιν καὶ τὸ δημόσιον ταμεῖον κενόν, ἐνῷ οἱ Πέρσαι εἶχον καταλάβει ὅλην σχεδὸν τὴν Μ. 'Ασίαν, τοὺς 'Αγίους Τόπους, εἶχον ἁρπάσει τὸν Τίμιον Σταυρὸν καὶ ἠπείλουν καὶ αὐτὴν τὴν Κωνσταντινούπολιν. 'Ο 'Ηράκλειος ἤρχισεν ἀμέσως νὰ ἑτοιμάζεται δι' ἐκστρατείαν κατὰ τῶν Περσῶν. Διὰ νὰ ἐξοικονομήσῃ δὲ χρήματα, ὁ τότε Πατριάρχης Κων/πόλεως Σέργιος ἐπέτρεψεν εἰς τὸν αὐτοκράτορα νὰ λάβῃ ὅλα τὰ χρυσᾶ καὶ ἀργυρᾶ ἀφιερώματα τῶν ἐκκλησιῶν καὶ νὰ τὰ μεταβάλῃ εἰς νομίσματα, εἰπὼν τὰ ἑξῆς χαρακτηριστικά: Λάβε ταῦτα, βασιλεῦ, διότι ἐὰν μὲν νικήσουν οἱ ἐχθροί, θὰ τὰ ἁρπάσουν. 'Εὰν δὲ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ νικήσῃς, τότε αἱ ἐκκλησίαι μας θὰ ἀποκτήσουν περισσότερα καὶ λαμπρότερα ἀφιερώματα.

** Περὶ τῆς ἀξίας τῆς λίτρας βλέπε ὑποσημείωσιν α΄ τῆς σελίδος 52 καὶ β΄ τῆς σελίδος 220 τοῦ ἀνὰ χεῖρας τόμου.

*** Αἱ ἐπιγραφαὶ «πρωτεῖον» καὶ «ἄκαπνον» ἐσήμαινον ὅτι εἰς ἄλλα μὲν δοχεῖα εὑρίσκετο μέλι τὸ πρῶτον τρυγηθὲν ἀπὸ τὴν κυψέλην, εἰς ἄλλα δὲ μέλι ἐξαχθὲν χωρὶς νὰ καπνισθῶσιν αἱ μέλισσαι.

Μόλις λοιπὸν τὰ εἶδεν ὁ Πατρίκιος καὶ ἐδιάβασε τὰς ἐπιγραφάς, εἰδοποιεῖ ἀμέσως τὸν Πατριάρχην νὰ τοῦ στείλῃ ἕνα δοχεῖον μὲ μέλι. Ὁ Πατριάρχης, ὅπως συνήθιζε, τὰ παρέδωσεν εἰς κάποιον εἰδικὸν νὰ δοκιμάσῃ τὴν ποιότητα· καὶ ἀπὸ αὐτὸν ἔμαθε τὸ θαῦμα, τὸ ὁποῖον εἶχε γίνει εἰς τὰ δοχεῖα, ὅτι, δηλαδή, ὅλα ἦσαν γεμᾶτα, ὄχι ἀπὸ μέλι, ἀλλὰ ἀπὸ χρυσάφι! Ἀμέσως λοιπὸν στέλλει ἕνα δοχεῖον μὲ χρυσᾶ νομίσματα, τὸ ὁποῖον εἶχε τὴν ἐπιγραφὴν «πρωτεῖον μέλι», εἰς τὸν Πατρίκιον.

Μαζὶ μὲ τὸ δοχεῖον στέλλει καὶ ἐπιστολὴν εἰς τὸν Πατρίκιον, ἡ ὁποία μὲ ὀλίγα λόγια ἔγραφεν: ὁ Κύριος, ὁ Ὁποῖος εἶπεν, ὅτι δὲν θὰ σὲ ἀφήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω (Ἑβρ. ιγ´, 5), ἐπειδὴ εἶναι ἀληθινός, μᾶς ἔδωσε τώρα ἄλλα χρήματα ἀντὶ ἐκείνων τὰ ὁποῖα ἀφήρεσεν ἡ ἐνδοξότης σου· θὰ σοῦ φανερώσῃ δὲ τὸ θαῦμα καὶ τὸ δοχεῖον τὸ ὁποῖον σοῦ στέλλω καὶ ποὺ εἶναι ἕνα ἀπὸ αὐτὰ (ποὺ μᾶς ἔστειλεν ὁ Θεός). Μάθε λοιπὸν ὅτι τὸν Θεόν, ὁ Ὁποῖος δίδει εἰς ὅλους καὶ τροφὴν καὶ ζωὴν (πνοήν), (Ψαλμ. ρμδ´, 15—17 καὶ Ἡσαΐας μβ´, 5—7) οὐδέποτε θὰ ἠμπορέσῃ θνητὸς ἄνθρωπος νὰ τὸν φέρῃ εἰς δύσκολον θέσιν. Παρήγγειλε δὲ καὶ εἰς ἐκείνους οἱ ὁποῖοι μετέφεραν τὸ δοχεῖον νὰ ἀνοιχθῇ ἐνώπιον μαρτύρων ἐμπρὸς εἰς τὸν Πατρίκιον καὶ νὰ τοῦ εἴπουν ὅτι ὅλα τὰ ἄλλα δοχεῖα ποὺ εἶδεν, εἶναι τὸ ἴδιον γεμᾶτα μὲ χρυσᾶ νομίσματα.

Οἱ ἀπεσταλμένοι τοῦ Πατριάρχου τὸν εὑρῆκαν νὰ διασκεδάζῃ· τοῦ δίδουν εἰς τὸ χέρι τὴν ἐπιστολὴν καὶ τοῦ προσφέρουν τὸ δοχεῖον. Μόλις τὸ εἶδεν ὁ Ἄρχων εἶπεν· ὁπωσδήποτε εἶναι θυμωμένος μαζί μου ὁ Δεσπότης μου, διότι διαφορετικὰ δὲν θὰ μοῦ ἔστελλε μονάχα ἕνα δοχεῖον. Οἱ ἀντιπρόσωποι λοιπὸν οἱ ὁποῖοι μετέφεραν τὸ δοχεῖον, σύμφωνα μὲ τὴν ἐντολὴν ποὺ εἶχαν, τὸ ἤνοιξαν ἐμπρός του καὶ ἄδειασαν τὰ χρήματα· ἐπληροφόρησαν δὲ τὸν Ἄρχοντα ὅτι καὶ τὰ ἄλλα δοχεῖα εἶναι τὸ ἴδιον γεμᾶτα μὲ χρυσάφι. Ὅταν δὲ ἐδιάβασε καὶ εἰς τὴν ἐπιστολὴν τὴν φράσιν ὅτι τὸν Θεὸν κανεὶς ἄνθρωπος δὲν ἠμπορεῖ νὰ τὸν φέρῃ εἰς δύσκολον θέσιν, ἐντροπιάσθη ἀπ' αὐτὸ καὶ ἐφοβήθη (διότι ἡ εὐγενικὴ καὶ φιλάρετος ψυχὴ γρήγορα μετανοεῖ ἐὰν ἔκαμε κάτι κακόν), καὶ ἐφώναξεν ἐνώπιον ὅλων: ζῇ Κύριος, οὔτε ὁ ταπεινὸς Νικήτας δὲν θὰ θελήσῃ ποτὲ νὰ ἐπιχειρήσῃ νὰ φέρῃ εἰς δύσκολον θέσιν τὸν Θεόν.

Σηκώνεται λοιπὸν ἀμέσως καὶ ἀφοῦ ἐπῆρε πάλιν ὅσα χρήματα ἀφήρεσεν ἀπὸ τὴν Ἐκκλησίαν καὶ αὐτὸ ἀκόμη τὸ δοχεῖον ποὺ τοῦ ἀπεστάλη, καὶ ἀφοῦ ἐπρόσθεσε καὶ ἀπὸ τὰ ἰδικά του τριακοσίας λίτρας χρυσοῦ, ἀναβαίνει εἰς τὸν Πατριάρχην, τοῦ τὰ δίδει καὶ τοῦ ζητεῖ συγγνώμην διὰ τὴν ἀπερισκεψίαν του. Ὁ Πατριάρχης τὸν ἐδέχθη εὐχαρίστως, χωρὶς οὔτε νὰ τὸν εἰρωνευθῇ, οὔτε νὰ τοῦ εἴπῃ πικρὸν λόγον· ἀπ' ἐναντίας ἀφοῦ τὸν ἐστήριξε μὲ λόγια παρηγορητικὰ τῆς ψυχῆς καὶ μὲ συμβουλάς, τὸν κατευώδωσεν. Ἀπὸ τότε δὲ τόσον πολὺ συνεδέθησαν ψυχικά, ὥστε ὁ Πατριάρχης νὰ γίνῃ καὶ ἀνάδοχος τῶν παιδιῶν του.

Β'. Τοῦ 'Αββᾶ Μάρκου

Ο ΑΔΙΚΟΥΜΕΝΟΣ παρά τινος καὶ μὴ παραζητῶν τῷ ἀδικοῦντι τὰ δέοντα, κατ' ἐκεῖνο τὸ μέρος πιστεύει τῷ Χριστῷ, καὶ ἑκατονταπλασίονα λαμβάνει ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει.

Ἑ ρ μ η ν ε ί α

ΕΚΕΙΝΟΣ ὁ ὁποῖος ἀδικεῖται ἀπὸ κάποιον καὶ δὲν ζητεῖ ἀπὸ τὸν ἀδικοῦντα αὐτὰ ποὺ πρέπει, πιστεύει πραγματικὰ εἰς τὸν Χριστόν, ὅσον ἀφορᾷ τὴν περίπτωσιν αὐτήν, καὶ κερδίζει εἰς αὐτὴν μὲν τὴν παροῦσαν ζωὴν ἑκατονταπλάσια, θὰ κληρονομήσῃ δὲ καὶ τὴν αἰώνιον ζωὴν (Μαρκ. ι',30).

Γ'. Ἐν τῷ Γεροντικῷ

ΚΑΤΕΛΕΙΦΘΗ ποτὲ τῷ ἀββᾷ Γελασίῳ παρὰ γέροντός τινος, καὶ αὐτοῦ περὶ τὴν Νικόπολιν οἰκοῦντος, κελλίον καὶ τὸ περὶ αὐτὸ χωρίον. Γεωργὸς δέ τις Βακάτου τοῦ τότε πρωτεύοντος τῆς Νικοπόλεως, συγγενὴς ὢν τοῦ κοιμηθέντος γέροντος, προσελθὼν τῷ Βακάτῳ ἠξίου λαβεῖν τὸ χωρίον ἐκεῖνο, ὡς κατὰ τὸν νόμον ἁρμόζον αὐτῷ. Ὁ οὖν Βακάτος πρῶτα μὲν τὸν ἀββᾶν Γελάσιον ᾔτει τὸ χωρίον ἀποδοθῆναι τῷ γεωργῷ, ὡς δ' οὐκ ἔπειθεν, ηὐλαβεῖτο γὰρ ὁ Γελάσιος κελλίον μοναχικὸν κοσμικῷ ἀνδρὶ παραδοῦναι, ὁ Βακάτος καὶ βίαν ἐπειρᾶτο προσαγαγεῖν. Καὶ παρατηρήσας τὰ ζῷα, ἃ ὁ Γελάσιος ἐμισθώσατο ἐπὶ τὸ μετακομίσαι τὰς ἐλαίας, ἃς τὸ καταλειφθὲν αὐτῷ χωρίον ἐγεώργησε, ταῦτα πεφορτισμένα ἀποσπάσας βίᾳ εἰς τὸν οἶκον αὐτοῦ εἰσήγαγε καὶ τὸν φόρτον πάντα λαβών, τὰ ζῷα μετὰ τῶν ἀγόντων αὐτὰ κενὰ καὶ μεθ' ὕβρεως ἀπέλυσεν.

Ὁ δὲ μακάριος γέρων τοῦ μὲν καρποῦ ἐκείνου οὐδόλως ἀντεποιήθη, τῆς δὲ τοῦ χωρίου δεσποτείας οὐ παρεχώρει διὰ τὴν προρρηθεῖσαν αἰτίαν. Ὁ οὖν Βακάτος, τῷ θυμῷ κατὰ τοῦ γέροντος ὑπερζέσας, ἐγκλήσει κατ' αὐτοῦ ἠβουλήθη χρήσασθαι· καὶ δὴ ὑπό τινων καὶ ἄλλων χρειῶν καλούμενος ἐπὶ Κωνσταντινούπολιν ὥρμησεν. Ὁδεύων δὲ διὰ τῆς ξηρᾶς ἠθέλησε κατὰ πάροδον ἀπελθεῖν καὶ πρὸς τὸν ἅγιον Συμεὼν τὸν ἐν τῇ Μάνδρᾳ, καὶ τὰς αὐτοῦ εὐχὰς κομίσασθαι εἰς ἐφόδιον· ἤκουσε γὰρ περὶ αὐτοῦ καὶ ἐπεθύμει αὐτὸν ἰδεῖν.

Προσιόντα οὖν αὐτὸν ἰδὼν ἄνωθεν ἀπὸ τοῦ στύλου ὁ μακάριος Συμεών, ἠρώτα, πόθεν εἶ καὶ ποῦ πορεύει; Ὁ δέ φησιν· ἀπὸ Παλαιστίνης εἰμὶ καὶ εἰς Κωνσταντινούπολιν ὑπάγω.

Ὁ δὲ ἅγιος πρὸς αὐτόν· καὶ τίνος χάριν; Ἔφη ὁ Βακάτος· διὰ χρείας πολλάς, ἐλπίζω δὲ δι' εὐχῶν τῆς Ἁγιωσύνης σου πάλιν ἐπαναλῦσαι καὶ προσκυνῆσαι τὰ ἅγιά σου ἴχνη. Ἔφη αὐτῷ ὁ μέγας· οὐ λέγεις, ἀνέλπιστε τῶν ἀνθρώπων, ὅτι κατὰ τοῦ ἀνθρώπου τοῦ Θεοῦ ἀνέρχει, ἀλλὰ κρύπτεις τὴν ἀνομίαν; πλὴν οὐκ εὐοδά σοι ἔσται, οὐδὲ ὄψει ἔτι τὸν οἶκόν σου. Εἰ οὖν πείθει τῇ συμβουλίᾳ μου, ἐντεῦθεν ἤδη πρὸς αὐτὸν ὥρμησον καὶ μετανόησον αὐτῷ, εἴ γε καὶ ζῶν καταλάβῃς ἐκεῖ.

Εὐθὺς οὖν ληφθεὶς ὑπὸ πυρετοῦ, καὶ ὑπὸ τῶν συνόντων ἐν λεκτικίῳ βληθείς, ἠπείγετο καταλαβεῖν τὴν Νικόπολιν· γενόμενος δὲ εἰς Βηρυτὸν ἐτελεύτησε μὴ

φθάσας εἰς Νικόπολιν, μηδὲ τὸν οἶκον αὐτοῦ ἰδεῖν δυνηθείς, κατὰ τὴν τοῦ Ἁγίου πρόρρησιν.

2. Ὁ μακάριος Πίωρ ἐργασάμενος εἰς τὸ θέρος παρά τινι, ὑπέμνησε τὸν μισθὸν λαβεῖν· τοῦ δὲ ὑπερτιθεμένου, εἰς τὴν μονὴν ἐπανῆλθε. Πάλιν δὲ ἐν τῷ ἐπιόντι ἐνιαυτῷ κληθεὶς ἀπῆλθεν ἐκεῖ, καὶ θερίσας καὶ μετὰ προθυμίας ἐργασάμενος, ὡς οὐδὲν παρὰ τοῦ ἀνθρώπου ἔλαβεν, ἐπανῆλθεν εἰς τὴν μονήν. Ὁμοίως δὲ καὶ τῷ ἑξῆς ἐνιαυτῷ ἐργασάμενος καὶ μηδὲν ἀπολαβών, ἀνεχώρησε.

Τοῦ δὲ Κυρίου ἐτάσαντος τὸν οἶκον τοῦ ἀνθρώπου ἐκείνου συμφοραῖς καὶ νόσοις πολλαῖς, ἐπιφερόμενος ὁ ἄνθρωπος τὸν μισθὸν περιήει τὰ Μοναστήρια ζητῶν τὸν Γέροντα, καὶ μόλις εὑρεῖν αὐτὸν δυνηθείς, προσέπεσε τοῖς ποσὶν αὐτοῦ καὶ ᾐτεῖτο συγχώρησιν, ἀποδοὺς ἅμα καὶ τὸν ἐμβάλλοντα αὐτῷ μισθὸν ὑπὲρ τοῦ καμάτου τῶν τριῶν ἐτῶν καὶ λέγων· ἐμοὶ ὁ Κύριος ἀπέδωκεν. Ὁ δὲ οὐ κατεδέξατο λαβεῖν, ἐπέτρεψε δὲ παρασχεῖν αὐτὰ εἰς τὴν Ἐκκλησίαν τῷ πρεσβυτέρῳ.

3. Ἀδελφός τις ἐποίησεν ἀντικλείδιον καὶ ἤνοιγεν ἑνὸς τῶν γερόντων τὸ κελλίον, καὶ ἐλάμβανε τὸ κέρμα αὐτοῦ. Ὁ δὲ γέρων ἔγραψε χάρτην λέγων· Κύριε ἀδελφέ, ὅς τις, ἐὰν ᾖς, ποίησον ἀγάπην καὶ ἄφες μοι τὸ ἥμισυ εἰς τὴν ἐμὴν χρείαν. Καὶ ποιήσας τὸ κέρμα δύο μέρη, ἔθηκε τὸ χαρτίον· ὁ δὲ πάλιν εἰσελθὼν καὶ σχίσας τὸ χαρτίον, ἔλαβεν ὅλον. Εἶτα μετὰ δύο ἔτη ἀρρωστήσαντος αὐτοῦ καὶ τῷ θανάτῳ ἐγγίσαντος ἔμενεν ἡ ψυχὴ αὐτοῦ βασανιζομένη ἐπὶ πολὺ καὶ μὴ ἐξερχομένη· τότε πέμψας ἐκάλεσε τὸν γέροντα, καὶ λέγει· εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ· ἐγὼ γὰρ ἤμην ὁ κλέπτων σου τὸ κέρμα. Καὶ ἔφη ὁ γέρων· διατί τάχιον οὐκ εἶπες; Καὶ εὐξαμένου αὐτοῦ, εὐθὺς παρέδωκε τὸ πνεῦμα.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Γελάσιος ἐκληρονόμησεν ἀπὸ κάποιον Γέροντα, ὁ ὁποῖος κατοικοῦσε καὶ αὐτὸς εἰς τὴν Νικόπολιν*, ἕνα κελλὶ καὶ τὸν ἀγρὸν ποὺ ὑπῆρχε γύρω. Κάποιος ὅμως γεωργὸς τοῦ τότε ἄρχοντος Νικοπόλεως Βακάτου, ὁ ὁποῖος ἦτο συγγενὴς τοῦ ἀποθανόντος Γέροντος, προσῆλθεν εἰς τὸν ἄρχοντα μὲ τὴν ἀξίωσιν νὰ πάρῃ αὐτὸς τὸ χωράφι, ἐπειδὴ τοῦ ἀνῆκε κατὰ τὸν νόμον.

Ὁ Βακᾶτος ἐζήτησεν ἀρχικῶς ἀπὸ τὸν ἀββᾶν Γελάσιον νὰ παραδώσῃ τὸ χωράφι εἰς τὸν γεωργόν· ἐπειδὴ ὅμως δὲν τὸν ἔπειθεν, διότι ὁ ἀββᾶς Γελάσιος δὲν ἤθελεν, ἀπὸ εὐλάβειαν, νὰ παραδώσῃ καλογηρικὸν κελλὶ εἰς κοσμικόν, ὁ Βακᾶτος ἐδοκίμασε νὰ μεταχειρισθῇ καὶ βίαν. Μίαν ἡμέραν λοιπὸν ὁ Βακᾶτος παρηκολούθησε τὰ ζῷα, τὰ ὁποῖα ἐνοικίασεν ὁ Γελάσιος διὰ νὰ μεταφέρῃ τὸν ἐλαιόκαρπον ἀπὸ τὰς ἐλαίας τοῦ χωραφιοῦ, τὸ ὁποῖον ἐκληρονόμησεν· καθὼς δὲ ἦσαν φορτωμένα τὰ ἔσυρε βιαίως εἰς τὴν ἔπαυλίν του καὶ ἀφοῦ ἐκράτησεν ὁλόκληρον τὸ φορτίον, ἔδιωξε τὰ ζῶα ξεφόρτωτα μαζὶ μὲ τοὺς ἀγωγιάτας τοὺς ὁποίους καὶ ὕβρισεν.

---

* Πρόκειται διὰ τὴν Νικόπολιν, τὴν εὑρισκομένην εἰς τὴν Παλαιστίνην, ἡ ὁποία ἐκαλεῖτο καὶ Ἐμαούς.

Ὁ μακάριος Γέρων δὲν ἐζήτησε καθόλου νὰ πάρῃ ὀπίσω τὸν καρπόν, δὲν ἐπαραχωροῦσεν ὅμως τὴν κυριότητα τοῦ χωραφιοῦ διὰ τὴν αἰτίαν ποὺ ἀναφέραμεν προηγουμένως. Ὁ Βακᾶτος λοιπὸν ἐφούντωσεν ἀπὸ τὸν θυμὸν ἐναντίον τοῦ Γέροντος καὶ ἀπεφάσισε νὰ τὸν περιπλέξῃ εἰς δικαστικὸν ἀγῶνα· ἐπειδὴ λοιπὸν εἶχε νὰ τακτοποιήσῃ καὶ ἄλλας ἀναγκαίας ὑποθέσεις, ἐξεκίνησε διὰ τὴν Κωνσταντινούπολιν. Ἀφοῦ δὲ ἐταξίδευε διὰ ξηρᾶς, ἠθέλησε νὰ περάσῃ σύντομα καὶ ἀπὸ τὸν Ἅγιον Συμεὼν τῆς Μάνδρας* καὶ νὰ πάρῃ τὴν εὐλογίαν του, ὡς ἐφόδιον διὰ τὸ ταξίδι του· διότι εἶχε πληροφορηθῆ δι' αὐτὸν καὶ ἐπιθυμοῦσε νὰ τὸν γνωρίσῃ.

Καθὼς λοιπὸν ἐπλησίαζεν, τὸν εἶδεν ἐπάνω ἀπὸ τὸν στῦλον ὁ μακάριος Συμεών.

—Ἀπὸ ποῦ εἶσαι καὶ ποῦ πηγαίνεις; τὸν ἠρώτησε.

Ἐκεῖνος ἀπήντησεν:

— Εἶμαι ἀπὸ τὴν Παλαιστίνην καὶ πηγαίνω εἰς τὴν Κωνσταντινούπολιν.

— Καὶ διὰ ποίαν αἰτίαν; ἠρώτησεν ἐκ δευτέρου ὁ Ἅγιος.

— Διὰ πολλὰς ἐργασίας· ἐλπίζω δὲ μὲ τὰς εὐχὰς τῆς Ἁγιωσύνης σου νὰ ἐπιστρέψω πάλιν καὶ νὰ προσκυνήσω τὰ ἅγια ἴχνη σου.

Καὶ τότε ὁ Ἅγιος μὲ αὐστηρότητα τοῦ εἶπε:

— Δὲν λέγεις, δυστυχισμένε ἄνθρωπε, ὅτι ἀνέρχεσαι εἰς τὴν Κωνσταντινούπολιν, διὰ νὰ ἐνεργήσῃς ἐναντίον τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ἀλλὰ ἀποκρύπτεις τὴν ἀνομίαν;

Ὡστόσον τὸ ταξεῖδι σου δὲν θὰ εὐοδωθῇ οὔτε θὰ ἴδῃς πλέον τὸ σπίτι σου. Ἂν λοιπὸν θέλῃς νὰ ἀκούσῃς τὴν συμβουλήν μου, ξεκίνησε ἀμέσως τώρα ἀπ' ἐδῶ, διὰ νὰ τὸν συναντήσῃς καὶ βάλε του μετάνοιαν δι' ὅσα τοῦ ἔκαμες, ἂν βεβαίως προλάβῃς νὰ ὑπάγῃς ζωντανὸς ἕως ἐκεῖ.

Καὶ πραγματικά· τὸν ἔπιασε πυρετὸς καὶ οἱ συνοδοί του τὸν ἔβαλαν εἰς λεκτίκιον**. Ἐβιάζοντο νὰ φθάσῃ εἰς Νικόπολιν· ὅταν ὅμως ἔφθασαν εἰς τὴν Βηρυτὸν*** ἀπέθανε, πρὶν νὰ ἔλθῃ εἰς Νικόπολιν καὶ πρὶν ἠμπορέσῃ νὰ ἴδῃ τὴν οἰκογένειάν του, σύμφωνα μὲ τὴν προφητείαν τοῦ Ἁγίου.

---

* Τὸν βίον τοῦ Ὁσίου Πατρὸς Συμεὼν βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ» τόμος Ε' σελὶς 572.

** Τὸ λεκτίκιον ἦτο φορεῖον χρησιμοποιούμενον ὑπὸ τῶν ἀρχαίων Ρωμαίων, ὡμοίαζε δὲ πρὸς κλίνην καὶ ἐνίοτε ἦτο θολωτόν. Τὰ λεκτίκια ἐχρησιμοποιοῦντο κατ' ἀρχὰς διὰ ταξίδια, ἀργότερον ὅμως καὶ διὰ περιπάτους μέσα εἰς τὰς πόλεις, οἱ δὲ κρατοῦντες αὐτὰ ὑπηρέται ἐλέγοντο λεκτικάριοι.

*** Ἡ Βηρυτὸς εἶναι ἀρχαία πόλις τῆς Συρίας, σῳζομένη μέχρι σήμερον, ὡς πρωτεύουσα τοῦ κράτους τοῦ Λιβάνου, γνωστὴ περισσότερον μὲ τὸ ὄνομα Βεϋρούτ. Κατὰ τοὺς ἀρχαίους χρόνους ὠνομάζετο Βερόη, πιστεύεται δὲ ὅτι εἶναι ἡ αὐτὴ πόλις μὲ τὴν Βηρωθάϊ τῆς Ἁγίας Γραφῆς.

.2. Ὁ μακάριος Πίωρ εἰργάσθη εἰς τὸν ἀγρὸν κάποιου ὡς θεριστὴς καὶ ἀφοῦ ἐτελείωσεν, ἐζήτησε τὸν μισθόν του· ἐπειδὴ ὅμως ὁ ἐργοδότης του ἀνέβαλε τὴν πληρωμήν, ἐκεῖνος ἐπέστρεψεν εἰς τὸ Μοναστήρι. Κατὰ τὸ ἑπόμενον ἔτος προσεκλήθη πάλιν καὶ ἐπῆγεν ἐκεῖ εἰς τὸν ἴδιον· ἐθέρισε καὶ εἰργάσθη μὲ προθυμίαν χωρὶς νὰ πάρῃ τίποτε ἀπὸ τὸν κύριον τοῦ ἀγροῦ· ἔτσι ἐγύρισεν ἄπρακτος εἰς τὸ Μοναστήρι. Τὸ ἴδιον συνέβη καὶ κατὰ τὸν τρίτον χρόνον· εἰργάσθη καὶ χωρὶς νὰ πάρῃ τίποτε, ἀνεχώρησεν.

Ὁ Κύριος ὅμως ἔπληξε τὸ σπιτικὸ τοῦ ἐργοδότου μὲ πολλὰς συμφορὰς καὶ ἀσθενείας· τότε αὐτὸς περιήρχετο τὰ Μοναστήρια, μὲ τὸν μισθόν, ποὺ ἐχρεωστοῦσε εἰς τὸ χέρι καὶ ἀναζητοῦσε τὸν Γέροντα. Ἀφοῦ δὲ μετὰ μεγάλης δυσκολίας ἠμπόρεσε νὰ τὸν ἀνεύρῃ, ἔπεσεν εἰς τοὺς πόδας του καὶ ἐζήτει συγχώρησιν· συγχρόνως τοῦ ἔδιδε καὶ τὸν μισθόν, ὁ ὁποῖος ἀναλογοῦσεν εἰς τὸν κόπον τῶν τριῶν ἐτῶν καὶ τοῦ ἔλεγε· μὲ ἐπλήρωσεν ὁ Κύριος. Ὁ μακάριος Πίωρ ὅμως δὲν κατεδέχθη νὰ τὰ πάρῃ· τοῦ ἐπέτρεψε μονάχα νὰ τὰ δώσῃ εἰς τὴν Ἐκλησίαν διὰ μέσου τοῦ πρεσβυτέρου.

3. Ἕνας ἀδελφὸς κατεσκεύασεν ἀντικλείδι καὶ ἤνοιγε τὸ κελλὶ ἑνὸς Γέροντος, ἀπ' ὅπου ἔκλεπτε τὰ χρήματα. Ὁ Γέρων ἔγραψεν εἰς ἕνα χαρτί· Κύριε ἀδελφέ, ὅποιος καὶ ἂν εἶσαι, κάνε ἀγάπην καὶ ἄφησέ μου τὰ μισὰ διὰ τὰς ἀνάγκας μου. Ἀφοῦ δὲ ἐμοίρασε τὰ χρήματα εἰς δύο μέρη ἔβαλε τὸ χαρτί. Ὁ ἀδελφὸς ὅμως ἐκεῖνος ὅταν εἰσῆλθεν ἐκ νέου εἰς τὸ κελλί ἔσχισε τὸ χαρτὶ καὶ ἐπῆρεν ὅλα τὰ χρήματα.

Μετὰ δύο χρόνια ἀρρώστησε ὁ ἀδελφὸς καὶ ἐκινδύνευε νὰ ἀποθάνῃ· ἡ ψυχή του ἐβασανίζετο πολὺ καὶ δὲν ἐχωρίζετο ἀπὸ τὸ σῶμα του. Ἔστειλε τότε καὶ ἐκάλεσε κοντά του τὸν Γέροντα. Κάνε εὐχὴν δι' ἐμέ, Πάτερ — τοῦ εἶπε — διότι ἐγὼ ἤμουν ἐκεῖνος ποὺ σοῦ ἔκλεπτα τὰ χρήματα. Διατὶ δὲν τὸ εἶπες γρηγορώτερα; ἀπήντησεν ὁ Γέρων· καὶ ἀφοῦ ἔκαμεν εὐχήν, ἀμέσως ὁ ἀδελφός, ὁ ὁποῖος ἔκλεπτε, παρέδωσε τὸ πνεῦμα.



ΥΠΟΘΕΣΙΣ Μ΄

Ὅτι δεῖ τοὺς ἐχθροὺς ἀγαπᾶν, ὡς τὰ μεγάλα ὠφελοῦντας, καὶ εὐεργετεῖν καὶ εὔχεσθαι αὐτοῖς τὰ σωτήρια.

Ὅτι καὶ τοὺς ἐχθροὺς πρέπει νὰ ἀγαπῶμεν, διότι μᾶς ὠφελοῦν πάρα πολύ, καὶ νὰ τοὺς εὐεργετῶμεν καὶ νὰ εὐχώμεθα διὰ τὴν σωτηρίαν των.

Α΄. Ἐν τῷ Μαρτυρίῳ τοῦ Ἁγίου Μάρτυρος Μηνᾶ καὶ τῶν σὺν αὐτῷ

ΣΥΝ ΠΟΛΛΗι παρρησίᾳ τοῦ ἁγίου Μηνᾶ περὶ τῆς τοῦ Χριστοῦ δυνάμεως διαλαβόντος πρὸς Ἑρμογένην τὸν ἔπαρχον, ὃς καὶ δικαστὴς αὐτοῦ καὶ κολαστὴς τότε προεκάθητο, καὶ πάντα τῷ ἐκείνου ὀνόματι καὶ τῇ ἐπικλήσει δύνασθαι αὐτὸν ποιεῖν διαβεβαιουμένου, καὶ νόσους χαλεπάς, καὶ πάθη ἀνίατα, καὶ τ' ἄλλα ἃ μόνῳ Θεῷ ἐξιᾶσθαι δυνατόν, καὶ μάρτυρα τῶν λεγομένων τὸν παρεστηκότα δῆμον προβαλλομένου, ὁ ἔπαρχος πρὸς αὐτόν, ἐξ αὐτῆς, ἔφη, ληροῦντά σε ἀποδείξω καὶ μάτην καυχώμενον. Ὁπότε γὰρ ἐμοῦ μέλος τι τῶν σῶν ἀποτεμόντος ἢ καύσαντος, ὁ προσκυνῶν σὺ τὸν Χριστὸν ἀποκαταστῆσαι μὴ δυνηθῇς, πῶς ἂν ὀφθείης ἑτέροις ταῦτα σὺν ἀληθείᾳ δούς, ἃ σαυτῷ χαρίσασθαι μὴ καθίστασαι δυνατός; Ὁ Ἅγιος εἶπεν· εὔχομαι, ἔπαρχε, δοκιμὴν ἐν ἐμοί σε λαβεῖν τοῦ Χριστοῦ· πέποιθα γὰρ ὡς ἀποδὺς εὐθέως ὃ περίκεισαι νῦν ἀξίωμα, εἷς καὶ αὐτὸς ὀφθήσει τῶν ἀρχομένων ὑπὸ Χριστοῦ.

Ὁ οὖν ἔπαρχος τήν τε οἰκείαν ὀργὴν ἐκδικῆσαι ζητῶν, ἐλπίσας δὲ καὶ τὸν Ἅγιον, ἐφ' οἷς εἴρηκεν, ἐπὶ πάντων ἐλέγξαι, κελεύει τὸ σαρκῶδες ὅλον τοῦ τῶν ποδῶν αὐτοῦ πέλματος, ἐφ' οὗ περ ἑκατέρα τῶν βάσεων ἵδρυται, μαχαίραις ἀποδαρῆναι, καὶ οὕτως ἐπὶ γυμνοῖς τοῖς ὀστέοις πρὸς τὰς περὶ θεῶν ἐρωτήσεις αὐτῶν ἵστασθαι, ὡς ἂν οὕτω μάλιστα τῷ δριμεῖ τῶν πόνων τὴν καρδίαν βαλλόμενος, πρός τε τὰς ἀποκρίσεις καὶ λύσεις τῶν προβλημάτων εὐχερῶς συμποδίζηται. Ὁ δὲ Ἅγιος, ἀνηλεῶς τὴν σάρκα ταῖς μαχαίραις τεμνόμενος, τήν τε συμπαρακειμένην ἅπασαν φλέβα συνεκρισσόμενος, διασπώμενος δὲ καὶ τῶν νεύρων ὅσων τὴν κίνησιν διηκοῦν συμπεφυκὸς ἦν, ἔστενε μὲν ἐπ' ὀλίγον, τῆς χάριτος ὥς περ ὑποχωρούσης καὶ δοκι-

μαζούσης τὸν ἀθλητήν, ἀλλὰ καὶ στεφάνων ἀφορμὰς αὐτῷ παρεχούσης. Καρποὶ γὰρ πόνων σαφῶς οἱ στέφανοι, ἐνεκαρτέρει δὲ πρὸς τὰς ἀλγηδόνας.

Ἐπεὶ δὲ καὶ τῆς βασάνου ἀφείθη, ἀναπηδήσας εὐθὺς ὁ Ἅγιος ἐπὶ μόνοις ἔστη τοῖς ὀστέοις ὄρθιος, «ὁ πούς μου ἔστη ἐν εὐθύτητι» ψάλλων, «ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε», ὑπέρρει δὲ τῶν ἰχνῶν αὐτοῦ πάντοθεν πλῆθος αἵματος, καὶ φαιδρὰν μὲν αὐτὸς εἶχε τὴν ὄψιν, ἀκμάζουσαν δὲ πρὸς τοὺς κινδύνους τὴν ψυχήν.

Ἐκρότησε μὲν οὖν εὐθὺς ὡς ἐπὶ νίκῃ τὸ θέατρον· ὁ δὲ ἔπαρχος ἐν ταὐτῷ τε τοὺς ἐλέγχους διαφυγεῖν βουληθείς, καὶ τὸν ἀνταγωνιστὴν ὥς περ ἄοπλον θεῖναι καὶ ἄπρακτον, ἵνα καὶ εὐχείρωτος αὐτῷ γένηται, αὐτίκα κελεύει ἐξ αὐτοῦ τοῦ φάρυγγος ἐκτμηθῆναι τὴν γλῶτταν τοῦ Μάρτυρος. Καὶ ὁ Ἅγιος, εἰ καὶ τὰς κόρας, ἔφη, τῶν ἐμῶν ὀφθαλμῶν ἀποσβέσεις, οὐδὲ οὕτως ἐγὼ προσκόψω· λύχνος γὰρ τοῖς ἐμοῖς ποσὶν ὁ νόμος τοῦ Χριστοῦ. Τεθάρρηκα δὲ λέγειν, ὡς ἐπειδὰν ἀποβάλω τὴν γλῶτταν αὐτός, τότε σὺ γλῶτταν ἀναλάβῃς εὐφώνως ᾄδουσαν τὰ μεγαλεῖα τοῦ Χριστοῦ· ὃ καὶ ὕστερον γέγονεν, ὡς προέφη ὁ Ἅγιος. Καὶ ὑπὸ Χριστοῦ τούς τε πόδας καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν αὖθις ἀπολαβὼν ὡς εἰπεῖν, καὶ προελθὼν εἰς τὸ θέατρον τῇ ἑξῆς, οὕτως ὁλόκληρος, ἔσχε καὶ αὐτὸν τὸν ἔπαρχον πιστεύσαντα καὶ τοῦ μαρτυρίου αὐτῷ κοινωνήσαντα.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Μηνᾶς* μὲ πολὺ θάρρος ὡμίλησε διὰ τὴν δύναμιν τοῦ Χριστοῦ πρὸς τὸν Ἔπαρχον Ἑρμογένην, ὁ ὁποῖος ἐκάθητο τότε εἰς τὸν θρόνον διὰ νὰ τὸν δικάσῃ καὶ νὰ τὸν τιμωρήσῃ. Τὸν διεβεβαίωνε δὲ ὁ Ἅγιος Μηνᾶς ὅτι τὰ πάντα ἠμπορεῖ νὰ κατορθώσῃ εἰς τὸ ὄνομα τοῦ Χριστοῦ· μὲ μόνην τὴν ἐπίκλησιν τοῦ ὀνόματός Του ἦτο δυνατὸν νὰ θεραπεύσῃ τελείως φοβερὰς ἀσθενείας καὶ πάθη ἀνίατα καὶ τὰ ἄλλα τὰ ὁποῖα μόνον ὁ Θεὸς ἠμπορεῖ. Ὡς μάρτυρα δὲ τῶν ἰσχυρισμῶν του αὐτῶν ἐπρόβαλλε τὸν παρευρισκόμενον λαόν.

Εἰς αὐτὰ ὁ Ἔπαρχος τοῦ ἀπήντησε:

— Τώρα θὰ σοῦ ἀποδείξω ὅτι φλυαρεῖς καὶ ματαίως καυχᾶσαι· διότι ὅταν ἐγὼ θὰ κόψω ἢ θὰ κάψω κάποιο ἀπὸ τὰ μέλη σου, σὺ ποὺ προσκυνεῖς τὸν Χριστὸν δὲν θὰ ἠμπορέσῃς νὰ τὸ ἀποκαταστήσῃς· πῶς θὰ φανῇς τότε εἰς τὰ μάτια τῶν ἄλλων, ὅταν ὑπόσχεσαι πραγματικὰ νὰ τοὺς δώσῃς ἐκεῖνα, ποὺ δὲν ἠμπορεῖς νὰ χαρίσῃς εἰς τὸν ἑαυτόν σου;

— Εὔχομαι, Ἔπαρχε — εἶπεν ὁ Ἅγιος — νὰ λάβῃς πεῖραν τῆς δυνάμεως τοῦ Χριστοῦ ἀπὸ ἐμένα· διότι ἔχω πεποίθησιν ὅτι ἀμέσως θὰ ἐγκαταλείψῃς τὸ ἀξίωμα, τὸ ὁποῖον τώρα κατέχεις καὶ θὰ γίνῃς καὶ σὺ ἕνας ἀπὸ ἐκείνους ποὺ ἔχουν Ἀρχηγὸν τὸν Χριστόν.

Ὁ Ἔπαρχος λοιπὸν τότε καὶ διὰ νὰ ἱκανοποιήσῃ τὴν ὀργήν του καὶ

---

* Πρόκειται περὶ τοῦ Ἁγίου Μάρτυρος Μηνᾶ τοῦ Καλλικελάδου ἑορταζομένου κατὰ τὴν 10ην Δεκεμβρίου. Περισσοτέρας λεπτομερείας περὶ τοῦ μαρτυρίου τοῦ Ἁγίου Μηνᾶ καὶ τοῦ πιστεύσαντος εἰς Χριστὸν ἐπάρχου Ἁγίου Ἑρμογένους βλέπε ἐν τῷ «Μεγάλῳ Συναξαριστῇ» τόμος ΙΒ', σελὶς 273.

διὰ νὰ ἀποδείξῃ, ὅπως ἤλπιζεν, ἐνώπιον ὅλων, ὅτι ὁ Ἅγιος λέγει ψέματα δι' ὅσα εἶχεν ἰσχυρισθῆ, διατάσσει νὰ γδάρουν μὲ μαχαίρια ὁλόκληρον τὴν σάρκα τοῦ πέλματος τῶν ποδιῶν του, ἐπὶ τοῦ ὁποίου στηρίζεται κάθε μία ἀπὸ τὰς βάσεις τοῦ σώματος· ἔτσι δὲ νὰ στέκεται ἐπάνω εἰς γυμνὰ κόκκαλα, ὅταν θὰ τὸν ἐρωτοῦν διὰ τοὺς θεούς, ὥστε ἀπὸ τὴν δριμύτητα τῶν πόνων, οἱ ὁποῖοι θὰ κτυποῦν τὴν καρδίαν του, εὔκολα νὰ ἐμποδίζεται καὶ νὰ μὴ ἀπαντᾷ σωστὰ δι' ὅσας ἐρωτήσεις θὰ τοῦ ὑποβάλλουν.

Ὁ Ἅγιος καθὼς τοῦ ἀπεκόπτοντο μὲ μαχαίρια χωρὶς εὐσπλαγχνίαν αἱ σάρκες καὶ ἔσπασεν ὁλόκληρος ἡ φλέβα, ἡ ὁποία ὑπάρχει εἰς τὰ πέλματα τῶν ποδιῶν καὶ ἀπεκόπτοντο τὰ νεῦρα, ποὺ ἐξασφαλίζουν τὴν κίνησιν, ἀνεστέναξε μὲν ὀλίγον (ὡσὰν νὰ ὑπεχώρει ἡ Θεία Χάρις διὰ νὰ δοκιμάσῃ τὸν ἀθλητὴν καὶ νὰ τοῦ παρέχῃ ἀφορμὰς στεφάνων, διότι ὁπωσδήποτε οἱ στέφανοι εἶναι καρποὶ τῶν πόνων), ἔκαμνεν ὅμως ὑπομονὴν εἰς τοὺς φρικτοὺς πόνους.

Μόλις ὅμως τὸν ἄφησαν ἐλεύθερον ἀπὸ τὰ βασανιστήρια, ἀνεπήδησεν ἀμέσως ὁ Ἅγιος καὶ ἐστάθη ὄρθιος ἐπάνω εἰς τὰ κόκκαλα τῶν ποδιῶν του. «Τὸ πόδι μου ἐστάθη εἰς τὸν ἴσιον δρόμον — ἔψαλλε — μέσα εἰς τὰς Ἐκκλησίας θὰ σὲ ὑμνήσω, Κύριε» (Ψαλμ. κε', 12). Ἀπὸ τὰ πόδια του ἔτρεχε ἄφθονον αἷμα, τὸ πρόσωπόν του ὅμως ἔλαμπε καὶ ἡ ψυχή του εἶχε δυναμώσει ἀπέναντι τῶν κινδύνων.

Ἐμπρὸς εἰς τὸ θέαμα αὐτὸ ἐχειροκρότησαν ὅλοι οἱ θεαταί, ὡσὰν νὰ ἐπρόκειτο περὶ νίκης. Ὁ Ἔπαρχος τότε, ἐπειδὴ ἤθελε συγχρόνως καὶ τὸν ἔλεγχον τοῦ πλήθους νὰ ἀποφύγῃ, ὅτι δὲν κατώρθωσε τίποτα, ἀλλὰ καὶ τὸν ἀντίπαλόν του νὰ ἀφοπλίσῃ, διὰ νὰ μὴ ἠμπορῇ νὰ κάμῃ τίποτα καὶ ἔτσι νὰ τὸν ὑποτάξῃ, διατάσσει ἀμέσως νὰ κοπῇ ἡ γλῶσσα τοῦ μάρτυρος ἀπὸ τὴν ρίζαν της.

Εἰς ἀπάντησιν ὁ Ἅγιος εἶπε:

— Καὶ τὰς κόρας τῶν ματιῶν μου ἂν σβύσῃς οὔτε καὶ τότε ἐγὼ θὰ σκοντάψω· διότι λύχνος εἰς τὰ πόδια μου εἶναι ὁ νόμος τοῦ Χριστοῦ (Ψαλμ. ριη', 105). Εἶμαι ἀπολύτως βέβαιος καὶ σοῦ λέγω μὲ θάρρος ὅτι ὅταν ἐγὼ χάσω τὴν γλῶσσαν μου, τότε σὺ θὰ ἀποκτήσῃς γλυκόφωνον γλῶσσαν, διὰ νὰ ψάλλῃ τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Αὐτὸ ποὺ προεῖπεν ὁ Ἅγιος, συνέβη πραγματικὰ ὕστερα. Ὥσπου νὰ τελειώσῃ ὁ λόγος, ἀποκατεστάθησαν καὶ πάλιν, μὲ τὴν δύναμιν τοῦ Χριστοῦ, τὰ πόδια, τὰ μάτια καὶ ἡ γλῶσσα τοῦ Μάρτυρος. Ὅταν δὲ τὴν ἑπομένην ἡμέραν ἐπροχώρησεν εἰς τὸ στάδιον ἔτσι ἀρτιμελὴς καὶ ὑγιής, ἐπίστευσε πλέον καὶ αὐτὸς ὁ Ἔπαρχος καὶ ὑπέστη τὸ ἴδιον μαρτύριον μὲ τὸν Μάρτυρα.

Β'. Ἐν τῇ διηγήσει τῶν περιόδων Πέτρου τοῦ Ἀποστόλου, τῇ συγγραφείσῃ παρὰ τοῦ Ἁγίου Κλήμεντος

ΤΟ ΠΕΡΙ φιλανθρωπίας ζήτημα ἔτι ἐμοῦ τοῦ Κλήμεντος πρὸς τὸν Πέτρον διαποροῦντος καὶ μαθεῖν αἰτοῦντος ἐπὶ ποίαις πράξεσι φιλάνθρωπός τις εἶναι δύνα-

ται, ἐκεῖνος ἀπεκρίνατο· Φιλάνθρωπος ἐκεῖνος ἐστὶν ὁ καὶ ἐχθροῖς ἡμέρως καὶ εὐεργετικῶς προσφερόμενος. Τὴν γὰρ φιλανθρωπίαν ἐκ δύο μοι νόει συγκεῖσθαι μερῶν, ὧν τὸ μὲν αὐτῆς ἐλεημοσύνη, τὸ δὲ ἀγάπη ἐστὶν ἡ πρὸς τὸν πλησίον. Πλησίον δὲ ἀνθρώπῳ ἐστὶν ὁ πᾶς ἄνθρωπος. Ἄνθρωπος γάρ ἐστι καὶ ὁ κακὸς καὶ ὁ ἀγαθός· καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. Χρὴ οὖν τὸν φιλανθρωπίαν ἀσκοῦντα, μιμητὴν εἶναι Θεοῦ, εὐεργετοῦντα δικαίους τε καὶ ἀδίκους, ὡς αὐτὸς ὁ Θεὸς ἐν τῷ νῦν κόσμῳ τόν τε ἥλιον καὶ τοὺς ὑετοὺς αὐτοῦ πᾶσι παρέχων. Εἰ δὲ θέλεις ἀγαθοὺς μὲν εὐεργετεῖν, κακοὺς δὲ κολάζειν, κριτοῦ ἔργον πράττειν ἐπιχειρεῖς.

Κἀγὼ ἔφην· Ἄραγε καὶ ὁ Θεὸς τότε μέλλων κρίνειν οὐ φιλάνθρωπός ἐστι;

Καὶ ὁ Πέτρος· τοὐναντίον λέγεις· ἐπεὶ γὰρ κρίνει, φιλάνθρωπός ἐστι· φιλῶν γὰρ καὶ ἐλεῶν τοὺς ἠδικημένους, τιμωρεῖται τοὺς ἀδικήσαντας.

Κἀγὼ ἔφην· Οὐκοῦν εἰ κἀγὼ ἀγαθοὺς μὲν εὐεργετῶ, τοὺς δὲ ἀδικοῦντας, καθὸ ἀνθρώπους ἠδίκησαν, τιμωροῦμαι, φιλάνθρωπός εἰμι.

Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἰ μετὰ τοῦ πρόγνωσιν ἔχειν ἐφεῖτό σοι καὶ ἡ τοῦ κρίνειν ἐξουσία, ὀρθῶς ἂν τοῦτο ἐποίεις, διὰ μὲν τοῦ εἰληφέναι ἐξουσίαν καταδικάζων.

Κἀγὼ ἔφην· Ὀρθῶς ἔφης καὶ ἀληθῶς· ἀδύνατον γάρ τινα πρόγνωσιν οὐκ ἔχοντα κρίνειν ὀρθῶς· ἐνίοτε γὰρ φαίνονταί τινες ἀγαθοί, ἀθέμιτα κρυφία διαπραττόμενοι, ἐνίοτε δὲ ἀγαθοὶ ὑπὸ διαβολῆς ἐχθρῶν κακοὶ ὑπολαμβανόμενοι. Ἀλλ' εἰ καὶ τοῦ βασανίζειν καὶ ἀνακρίνειν τις ἐξουσίαν ἔχων δικάζει, οὐδὲ οὕτως ἕξει πάντως τὸ δικαίως δικάζει· Ἔνιοι γὰρ φονεῖς ὄντες, εἶτα τὰς βασάνους ὑπενεγκόντες, ἀφείθησαν ὡς ἀθῷοι· ἕτεροι δὲ πάλιν ἀθῷοι τυγχάνοντες τὰς βασάνους μὴ ὑπομείναντες, καὶ διὰ τοῦτο καταψευσάμενοι ἑαυτῶν, ὡς αἴτιοι ἐκολάσθησαν.

Καὶ ὁ Πέτρος ἔφη· Οὐκοῦν δέον ἐστὶ τὸν ἀρετῆς ὅλως ἀντιποιούμενον, ὡς ὁ Χριστὸς εἴρηκε, καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν, ἔτι μὴν καὶ ὑπὲρ αὐτῶν εὔχεσθαι, καὶ τοὺς λοιδοροῦντας εὐλογεῖν, καὶ τοῖς ἐπηρεάζουσι συγχωρεῖν. Οὕτω γὰρ ἀκριβὴς ἔσται φύλαξ τῶν ἐντολῶν καὶ τὰ ἁμαρτήματα πάντα διὰ τῆς εἰς τὸν πλησίον ἀγάπης συγχωρηθεὶς ἀπελεύσεται. Ἐάν γὰρ πληροφορηθῇ τις ὅτι οἱ ἐχθροὶ πρὸς καιρὸν κακουχοῦντες οὓς μισοῦσιν, αἰωνίου κολάσεως ἀπαλλαγῆς αὐτοῖς αἴτιοι γίνονται, ὡς εὐεργέτας αὐτοὺς ἀγαπήσει. Ἄλλως δὲ ἀδύνατόν τινα τὴν τοιαύτην ἐντολὴν κατορθῶσαι, εἰ μὴ σφόδρα τὸν Θεὸν ἀγαπῶν εἴη, τῷ τούτου φόβῳ παιδαγωγηθεὶς πρότερον. Φησὶ γάρ· ἀρχὴ σοφίας φόβος Κυρίου. Τῷ ἐκείνου οὖν φόβῳ στοιχειωθείς τις, εἰς ἀγάπην ἥξει πάντως, καὶ οὕτως ἕξει τὸν πλησίον ὡς ἑαυτόν. Εἰπὲ γάρ μοι, οὐ δοκεῖ σοι δύο ἐχθρῶν βασιλέων ὄντων, καὶ διῃρημένας τὰ χώρας ἐχόντων, εἴ τις ἐκ τῶν τοῦ ἑνὸς ὑπηκόων ἐν τῇ τοῦ ἑτέρου χώρᾳ φωραθείη θάνατον ὀφείλει, ἐὰν ῥαπίσματι καὶ μὴ θανάτῳ τῆς τιμωρίας ἀπολυθῇ, οὐ φαίνεται ὁ ἀπολύσας φιλάνθρωπος εἶναι;

Κἀγὼ ἔφην· Καὶ πάνυ.

Καὶ ὁ Πέτρος· Τί δὲ εἰ καὶ ἴδιόν τινος αὐτὸς οὗτος ἀφέληται, ἢ καὶ ἀλλότριον, καὶ ἐπὶ τούτῳ συλληφθεὶς ἓν ἢ διπλάσιον δῷ, τετραπλάσιον ὀφείλων, καὶ τὸ θανεῖν ὡς ἐν τοῖς τοῦ ἐναντίου ἁλοὺς ὅροις, οὐ δοκεῖ σοι ὅτι λαβὼν τὸ διπλάσιον καὶ θανάτου αὐτὸν ἀπολύσας φιλάνθρωπος τυγχάνει;

Κἀγὼ ἔφην· Νῦν με πέπεικας, ὅτι οἱ ἀδικοῦντες αὐτοὶ ἀδικοῦνται, οἱ δὲ ἀδικούμενοι μᾶλλον πλεονεκτοῦσι· καὶ διὰ τοῦτο ἀδικώτατόν μοι φαίνεται τὸ γινόμενον· ὅτι οἱ μὲν δοκοῦντες ἀδικεῖν ἑαυτοὺς ἔβλαψαν μᾶλλον, τοῖς δὲ ἀδικηθεῖσιν ἐπορίσαντο τὴν ὠφέλειαν· οἱ δὲ δοκοῦντες ἀδικεῖσθαι, αὐτοὶ μᾶλλον ἀδικοῦσιν· ὅτι καί τι παρ' ἐκείνων ὠφεληθέντες, τοῖς ὁμοίοις αὐτοῖς οὐκ ἀμείβονται.

Καὶ ὁ Πέτρος· Ἀλλ' οὐ παρὰ τὴν τῶν ἐπηρεαζόντων, ἀλλὰ παρὰ τὴν τῶν δεχομένων ταῦτα γνώμην.

Ἐπαινέσας οὖν ἐγὼ τὰ εἰρημένα, πρὸς τὸν Πέτρον ἔφην· Ἀλλ' ὦ, Κύριέ μου, καὶ τοῦτόν μοι τὸν λόγον σαφήνισον, ὃν προλαβὼν εἶπας· ὅτι τὰ ἀδικήματα καὶ τὰ πάθη πρὸς ἄφεσιν ἁμαρτιῶν πάσχομεν.

Καὶ ὁ Πέτρος· Οὕτως ἐστίν· ἃ γὰρ οἱ ἄνθρωποι κτώμεθα τοῦ πλείονος ὀρεγόμενοι, εἴτε ἱμάτια φημί, εἴτε βρώματα, εἴτε ἄλλα τινά, οὐ καλῶς πάντως ποιοῦντες κτώμεθα, διὰ τὸ δεῖν μηδὲν ἔχειν, εἴ περ τις ζῆν ἐθέλοι δικαίως. Εἰ γὰρ ἐν πᾶσι τὰ κτήματα προξενεῖν οἶδε τοῖς ἔχουσιν ἁμαρτήματα, ἡ τούτων ὅπως ποτὲ στέρησις ἁμαρτιῶν ἐστιν ἀφαίρεσις, διὸ ἐξ ὑπερβαλλούσης Θεοῦ φιλανθρωπίας ἐπάγονται παιδεῖαι τοῖς μὴ κατὰ τὸ δοκοῦν Θεῷ πολιτευομένοις, ἵνα διὰ τὸ ποσῶς φιλόθεον προσκαίρους ὑπομένοντες τιμωρίας, αἰωνίων ἀπαλλαγῶσι κολάσεων.

Ἑ ρ μ η ν ε ί α

ΕΓΩ ὁ Κλήμης εἶχα ἀκόμη ὡρισμένας ἀπορίας διὰ τὸ ζήτημα τῆς φιλανθρωπίας· ἐπειδὴ λοιπὸν ἐζητοῦσα νὰ μάθω μὲ ποίας πράξεις ἠμπορεῖ νὰ εἶναι κανεὶς φιλάνθρωπος, ἠρώτησα τὸν Πέτρον καὶ ἐκεῖνος μοῦ ἀπήντησε:

— Φιλάνθρωπος εἶναι ἐκεῖνος, ποὺ καὶ στοὺς ἐχθρούς του συμπεριφέρεται μὲ ἡμερότητα, καὶ τοὺς εὐεργετεῖ. Ἡ φιλανθρωπία δηλαδή, καθὼς νομίζω, ἀποτελεῖται ἀπὸ δύο μέρη· τὸ ἕνα εἶναι ἡ ἐλεημοσύνη καὶ τὸ ἄλλο εἶναι ἡ ἀγάπη πρὸς τὸν πλησίον. Διὰ τὸν ἄνθρωπον δὲ πλησίον εἶναι ὁ κάθε ἄνθρωπος. Διότι ἄνθρωπος εἶναι καὶ ὁ καλὸς καὶ ὁ κακός· καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. Ἐκεῖνος λοιπὸν ποὺ ἀσκεῖ τὴν φιλανθρωπίαν, πρέπει νὰ γίνεται μιμητὴς τοῦ Θεοῦ, ὁ ὁποῖος εὐεργετεῖ καὶ τοὺς δικαίους καὶ τοὺς ἀδίκους· διότι ἕνας Θεὸς ὑπάρχει εἰς τὸν κόσμον αὐτόν, καὶ Αὐτὸς χορηγεῖ εἰς ὅλους καὶ τὸν ἥλιον καὶ τὰς βροχάς Του. Ἂν θέλῃς νὰ εὐεργετῇς τοὺς καλοὺς καὶ νὰ τιμωρῇς τοὺς κακούς, προσπαθεῖς νὰ γίνῃς κριτής.

— Ἄραγε — εἶπα τότε ἐγώ, — ὁ Θεός, ὁ ὁποῖος πρόκειται νὰ κρίνῃ κατὰ τὴν Δευτέραν παρουσίαν δὲν εἶναι φιλάνθρωπος;

— Τὸ ἀντίθετον λέγεις, ἀπήντησεν ὁ Πέτρος. Ἐπειδὴ ἀκριβῶς εἶναι φιλάνθρωπος, δι' αὐτὸ κρίνει. Ἀπὸ ἀγάπην καὶ εὐσπλαγχνίαν πρὸς τοὺς ἀδικημένους, τιμωρεῖ ἐκείνους οἱ ὁποῖοι τοὺς ἠδίκησαν.

— Καὶ ἐγὼ λοιπόν, εἶπα, ἂν εὐεργετῶ τοὺς καλούς, τιμωρῶ δὲ τοὺς ἀδικοῦντας, διότι ἠδίκησαν συνανθρώπους των, εἶμαι φιλάνθρωπος.

Ὁ Πέτρος τότε ἀπεκρίθη:

— Ἂν μαζὶ μὲ τὸ χάρισμα νὰ προβλέπῃς, σοῦ ἐδίδετο καὶ ἡ ἐξου-

σία νὰ κρίνῃς, θὰ ἔκανες σωστὰ τὸ ἔργον τοῦ κριτοῦ· νὰ καταδικάζῃς δηλαδὴ ἐπειδὴ ἔλαβες ἐξουσίαν.

— Σωστὰ καὶ ἀληθινὰ ἀπήντησες, εἶπα ἐγώ· διότι δὲν ἠμπορεῖ κανεὶς χωρὶς τὸ προορατικὸν χάρισμα,νὰ κρίνῃ ὀρθά, ἐπειδή, συνήθως, φαίνονται μερικοὶ ὅτι εἶναι καλοί, ἐνῷ κρυφὰ διαπράττουν ἀθέμιτα ἔργα· ἀπεναντίας πάλιν, ὑπάρχουν ἄνθρωποι καλοί, οἱ ὁποῖοι ἔχουν συκοφαντηθῆ ἀπὸ ἐχθροὺς καὶ θεωροῦνται κακοί. Ἀλλ' ἂν ἀκόμη κανεὶς ἔχῃ ἐξουσίαν καὶ νὰ βασανίζῃ καὶ νὰ ἀνακρίνῃ, καὶ πάλιν τότε δὲν θὰ δικάσῃ ὁπωσδήποτε δίκαια· διότι μερικοὶ ἐνῷ πράγματι εἶναι φονεῖς, ἐπειδὴ μετὰ ἄντεξαν εἰς τὰ βασανιστήρια, ἀφέθησαν ὡς ἀθῷοι· ἄλλοι πάλιν, οἱ ὁποῖοι ἔτυχε νὰ εἶναι ἀθῷοι, ἐπειδὴ δὲν ὑπέμειναν τὰ βασανιστήρια, κατηγόρησαν ψευδῶς τοὺς ἑαυτούς των καὶ ἐτιμωρήθησαν ὡς ἔνοχοι.

Καὶ ὁ Πέτρος εἶπεν· Εἶναι ἀνάγκη λοιπὸν ἐκεῖνος ποὺ θέλει νὰ εἶναι ἐνάρετος, ὅπως εἶπεν ὁ Χριστός, καὶ τοὺς ἐχθροὺς νὰ ἀγαπᾷ, ἀκόμη καὶ νὰ εὔχεται ὑπὲρ αὐτῶν καὶ νὰ συγχωρῇ ἐκείνους ποὺ τὸν ἐνοχλοῦν (Ματθ. ε', 44). Διότι ἔτσι θὰ ἀποβῇ πιστὸς τηρητὴς τῶν ἐντολῶν καὶ θὰ ἀπέλθῃ ἀπὸ τὸν κόσμον αὐτόν, ἀφοῦ προηγουμένως τοῦ συγχωρηθοῦν ὅλα του τὰ ἁμαρτήματα, ἐπειδὴ ἠγάπησε τὸν πλησίον του. Ἂν δηλαδὴ πληροφορηθῇ κανεὶς ὅτι οἱ ἐχθροί, οἱ ὁποῖοι βασανίζουν προσωρινὰ ἐκείνους ποὺ μισοῦν, γίνονται αἴτιοι νὰ ἀπαλλαγοῦν αὐτοὶ ποὺ βασανίζονται ἀπὸ τὴν αἰώνιον κόλασιν, τότε θὰ τοὺς ἀγαπήσῃ ὡς εὐεργέτας του. Διαφορετικὰ εἶναι ἀδύνατον νὰ κατορθώσῃ κανεὶς μίαν τέτοιαν ἐντολήν, ἂν δὲν ἀγαπᾷ πάρα πολὺ τὸν Θεὸν καὶ δὲν ἔχῃ προηγουμένως παιδαγωγηθῆ ἀπὸ τὸν φόβον Του. Διότι λέγει ἡ Ἁγία Γραφή· «ἀρχὴ σοφίας φόβος Κυρίου» (Παροιμ. α', 7). Ὅταν λοιπὸν πορευθῇ κανεὶς σύμφωνα μὲ τὸν φόβον Θεοῦ, θὰ φθάσῃ ὁπωσδήποτε εἰς τὸ μέτρον τῆς ἀγάπης καὶ ἔτσι θὰ ἔχῃ τὸν πλησίον του ὅπως τὸν ἑαυτόν του. Εἰπέ μου: ἂν δύο βασιλεῖς εὑρίσκωνται εἰς ἔχθραν καὶ ἔχουν τὰς χώρας των χωρισμένας μεταξύ των· καὶ κάποιος ὑπήκοος τοῦ ἑνὸς συλληφθῇ εἰς τὴν χώραν τοῦ ἄλλου καὶ πρέπει νὰ θανατωθῇ, ἀφεθῇ ὅμως ἐλεύθερος καὶ τιμωρηθῇ μονάχα μὲ ἕνα ῥάπισμα, ἀντὶ τοῦ θανάτου, δὲν νομίζεις, μετὰ ἀπὸ αὐτό, ὅτι ἐκεῖνος ποὺ τὸν ἀπέλυσε φαίνεται ὅτι εἶναι φιλάνθρωπος;

— Καὶ πάρα πολὺ μάλιστα, εἶπον ἐγώ.

Καὶ ὁ Πέτρος συνέχισε· Τώρα, ἐὰν αὐτὸς ὁ ἴδιος κλέψῃ καὶ κάτι ἀπὸ κάποιον ἢ καὶ ξένον (ποὺ δὲν θὰ γνωρίζῃ τίνος εἶναι) καί, ἀφοῦ συλληφθῇ ἐπ' αὐτοφώρῳ, ἐπιστρέψῃ τὸ ἕνα ἢ τὸ διπλάσιον τῆς ἀξίας τοῦ ἀφαιρεθέντος, ἐνῷ εἶναι ὑποχρεωμένος νὰ καταβάλῃ τὸ τετραπλάσιον καὶ νὰ θανατωθῇ ἀκόμη, διότι συνελήφθη εἰς τὰ σύνορα τοῦ ἄλλου, δὲν νομίζεις ὅτι αὐτὸς ποὺ ἔλαβε τὸ διπλάσιον καὶ τὸν ἀπήλλαξεν ἀπὸ τὸν θάνατον εἶναι φιλάνθρωπος;

— Εἶπα τότε ἐγώ· Τώρα μὲ ἔπεισες ὅτι αὐτοί, ποὺ ἀδικοῦν, οἱ ἴδιοι ἀδικοῦνται, ἐνῷ αὐτοὶ ποὺ ἀδικοῦνται εἶναι μᾶλλον οἱ κερδισμένοι· καὶ δι' αὐτὸ μοῦ φαίνεται πάρα πολὺ ἄδικον αὐτὸ ποὺ γίνεται. Διότι ἐκεῖνοι

ποὺ νομίζουν ὅτι ἀδικοῦν, ἔβλαψαν πολὺ τοὺς ἑαυτούς των (τὰς ψυχάς των) καὶ τοὺς ἀδικηθέντας τοὺς ὠφέλησαν· ἐνῷ ἐκεῖνοι οἱ ὁποῖοι θεωροῦνται ὅτι ἀδικοῦνται αὐτοὶ περισσότερον ἀδικοῦν, (ἐὰν δὲν ἀγαποῦν τοὺς ἀδικοῦντας), διότι ἂν καὶ ὠφελήθησαν ἀπὸ ἐκείνους (ποὺ ἠδικήθησαν), ἐν τούτοις δὲν προσφέρουν εἰς αὐτοὺς ἀμοιβὴν ἀγάπης.

—Ὄχι ὅμως σύμφωνα μὲ τὴν γνώμην ἐκείνων, ποὺ ἐνοχλοῦν ἄλλους, ἀλλὰ ἐκείνων ποὺ δέχονται ταῦτα, εἶπεν ὁ Πέτρος.

Ἀφοῦ λοιπὸν ἐγὼ ἐπήνεσα ὅσα ἐλέχθησαν, εἶπα πρὸς τὸν Πέτρον· Κύριέ μου, ἐξήγησέ μου τὸν λόγον ποὺ εἶπες προηγουμένως, ὅτι δηλαδὴ τὰ ἀδικήματα καὶ τὰ πάθη τὰ ὑποφέρομεν διὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν μας.

—Ὁ Πέτρος μοῦ ἀπήντησεν: Ἔτσι εἶναι· διότι ὅσα καὶ ἂν ἀποκτῶμεν οἱ ἄνθρωποι, ἐπειδὴ διαρκῶς θέλομεν περισσότερα, ἐννοῶ εἴτε ἐνδύματα εἴτε φαγητὰ εἴτε ὅ,τιδήποτε ἄλλο, δὲν κάμνομεν καλὰ ποὺ τὰ ἀποκτῶμεν. Ἂν θέλῃ κανεὶς νὰ ζῇ ἐνάρετα, δὲν πρέπει, νὰ ἔχῃ τίποτα. Διότι ἂν τὰ κτήματα γίνονται αἰτία νὰ ἁμαρτάνουν ἐκεῖνοι ποὺ τὰ ἔχουν, ἡ καθ' οἱονδήποτε τρόπον ἀποστέρησίς των εἶναι ἀφαίρεσις ἁμαρτιῶν· δι' αὐτὸ ὁ Θεός, ἀπὸ ὑπερβάλλουσαν φιλανθρωπίαν, παραχωρεῖ νὰ συμβαίνουν τιμωρίαι εἰς ἐκείνους ποὺ δὲν πολιτεύονται σύμφωνα μὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὥστε μὲ τὸ νὰ ὑπομένουν αὐτοὶ προσκαίρους τιμωρίας, διὰ τὴν ἔλλειψιν ἀγάπης πρὸς τὸν Θεόν, νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν αἰώνιον κόλασιν.

Γ'. Ἐν τῷ Μαρτυρίῳ τοῦ Ἁγίου Λογγίνου τοῦ Ἑκατοντάρχου

ΔΕΞΑΜΕΝΟΣ ὁ Πιλάτος παρὰ Καίσαρος γράμματα, τοῦ Λογγίνου διὰ τὴν εἰς Χριστὸν πίστιν θάνατον καταψηφιζόμενα, εὐθὺς ὡς εἶχεν ἐγχειρίζει ταῦτα τοῖς Ἰουδαίοις, καὶ πρὸς τὸν τοῦ μακαρίου φόνον πρόθυμος προθύμους ἐκπέμπει. Οἱ δὲ τῶν Καππαδοκῶν ἐπιστάντες, καὶ Λογγῖνον ἔν τινι τῶν πατρώων ἀγρῶν τὸν ἀπράγμονα βίον ἀσκεῖν πυθόμενοι, εὐθὺς ἐν τῷ ἀγρῷ γίγνονται, καὶ Λογγίνῳ εἰς λόγους ἔρχονται, μὴ εἰδότες ἐκεῖνον εἶναι περὶ οὗ τοὺς μακροὺς ὑπέστησαν πόνους καὶ τὴν πορείαν διήνυον· ὅθεν καὶ αὐτὸν ἐκεῖνον ἠρώτων, τίς ἄρα Λογγῖνος εἴη καὶ ποῖος ὁ Λογγῖνον ἔχων ἀγρός; Τοῦ Πνεύματος οὖν τοῦ Ἁγίου πάντα κατ' ἐκεῖνο τῆς ὥρας τῷ Λογγίνῳ γνωρίσαντος, ἠρέμα πρὸς αὐτοὺς ἐπιστραφείς, ἀκολουθεῖτέ μοι, λέγει, πρᾳείᾳ καὶ φιλανθρώπῳ τῇ φωνῇ, καὶ τὸν ζητούμενον αὐτὸς ὑποδείξω.

Τότε οὖν ὥς περ ἐνευφραινόμενος ὁ μακάριος ἐν ἑαυτῷ, καὶ τοῦ μέλλοντος προαπολαύων τῆς ἡδονῆς, καὶ πρὸ μαρτυρίου τὸν τοῦ μαρτυρίου θάνατον ἀσπαζόμενος, τοιαῦτα πρὸς ἑαυτὸν διελέγετο· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· νῦν τοὺς οὐρανοὺς ἀνεῳγμένους ὄψομαι· νῦν ἱστορήσω τὴν δόξαν τοῦ Πατρός, νῦν Ἱερουσαλὴμ τῆς ἄνω, τῆς πατρίδος δὲ τῶν Ἀγγέλων, τοῦ δὲ χοροῦ τῶν Ἁγίων παντὸς μητροπόλεως, μετὰ κρότων ἐπινικίων καὶ περιφανῶν τροπαίων ἥδιστα ἐπιβήσομαι. Νῦν ἀποδύομαι τὸν πήλινον χιτῶνα καὶ τοὺς πολυστενάκτους τῆς σαρκὸς δεσμοὺς ἀποτίθεμαι. Νῦν ἀπαλλάττομαι τῆς φθορᾶς καὶ τὴν ἀφθαρσίαν χαί-

ρων ἐνδύομαι. Ἔξειμι τοῦ προσκαίρου βίου καὶ τοῦ χειμῶνος, οὗ μεγάλα τὰ κύματα καὶ χαλεπὰ τὰ ναυάγια, καὶ πρὸς τὸν ἀληθῆ καὶ μόνον ἀφικνοῦμαι λιμένα, ἐν ᾧ ζωὴ ἄλυπος καὶ αἰώνιος. Εὐφραίνου πρὸς τὸν σὸν ἀπερχομένη, ψυχή, ποιητήν· δεῖξον φαιδρόν, καιροῦ καλοῦντος, τὸ πρόσωπον· τοὺς προξένους σοι τῶν σῶν ἀγαθῶν, Λογγῖνε, φιλοφρόνως ὑπόδεξαι, τοὺς ἐπὶ τὸ δεῖπνον ἡμᾶς καλοῦντας τὸ βασιλικὸν πολυτελῶς ἑστιάσωμεν.

Ταῦτα πρὸς ἑαυτὸν ὁ Λογγῖνος διαλεχθείς, τοὺς ἐπ᾽ αὐτὸν ἐλθόντας εἰς τὸν ἴδιον οἶκον ἄγει· καὶ ξενίσας λαμπρῶς, εἶτα καὶ ἐρωτᾶν μετὰ τὸ δεῖπνον ἄρχεται, ἐφ᾽ ᾧ τε ἥκοιεν καὶ τίς ἡ τοσαύτη Λογγίνου ζήτησις; Οἱ δέ, ὅρκον παρ᾽ αὐτοῦ λαβόντες πρότερον μή τινι τὸ κρυπτόμενον ἐκκαλύψαι, τὰ γραφέντα Πιλάτῳ παρὰ Καίσαρος λέγουσι, καὶ ὅτι Λογγίνου σὺν ἅμα καὶ δύο στρατιωτῶν τὰς κεφαλὰς ἐκτεμεῖν ἀπηντήκασιν. Ὡς δὲ καὶ οὗτοι τίνες εἶεν οἱ ἅμα αὐτῷ ἀποθανεῖν μέλλοντες ἐμάνθανεν, οἱ τῆς Ἰουδαϊκῆς φημί, μισθαρνίας προτιμήσαντες τὸν Χριστόν, τάχιστα παρ᾽ αὐτὸν ἥκει τοῖς ἀνδράσι μικρῷ πρὸ τούτου διαστᾶσιν ἐδήλου, ὥς τε τῶν πρώτων ἀγαθῶν αὐτῷ κοινωνῆσαι.

Οὕτω τε μίαν δευτέραν καὶ ἡμέραν τοὺς ὑπὸ Πιλάτου σταλέντας φιλοξενίσας, παραλαβὼν αὐτοὺς τῇ ἐπαύριον ἐν ἀγρῷ ἀνέμενεν οὓς μετεστείλατο. Ἐγγίσαι δὲ ἤδη τούτους μαθών, εὐθύς, ἐγώ εἰμι ὁ ζητούμενος ὑμῖν Λογγῖνος, ἀπαγγέλλει τοῖς τοῦ Πιλάτου. Οἱ δέ, πρότερον μὲν διηπίστουν· πῶς γὰρ ἂν καὶ ὑπέλαβον αὐτὸν εἶναι τὸν μέλλοντα παθεῖν, οὕτως αὐτὸν ὁρῶντες περιχαρῆ πρὸς τὸν κίνδυνον;

Ὡς δὲ ἐκεῖνον ἀκριβῶς ἐμάνθανον εἶναι καὶ οὐδὲν ἀμφίβολον αὐτοῖς ὑπελείφθη, βαρέως ἔφερον καὶ πολλὰς ἐδέχοντο τὰς ἀπὸ τοῦ συνειδότος πληγάς· ὢ δείπνου δυστυχοῦς! λέγοντες· ὢ χαλεπῆς ξενίας! Τί σοι, ὦ φίλε Λογγῖνε, τοῦτο ἔδοξε τὸ ἐγχείρημα; Ἵνα τί τοὺς ἐπὶ σὸν φόνον ἐλθόντας ὁ σὸς οἶκος ἐδέχετο; Θάνατος ἡ ξενία σοι γίνεται, καὶ σεαυτὸν ἐπιθύσεις τῇ τραπέζῃ, λῃστὰς παραδόξως τοὺς ὑπὸ σοῦ ξενισθέντας εὑρών· τί ἂν ποιῶν οὕτως ἐλύπεις τοὺς ἐπιθεῖναί σοι τὴν σφαγὴν μέλλοντας; Ἄπιθι τοιγαροῦν μισθὸν τῆς ξενίας λαβὼν τοῦ θανάτου τὴν ἄφεσιν· οὐ στέγομεν ἐπιθεῖναί σοι τὸ ξίφος· ἐρυθριῶμεν τὴν τράπεζαν· τὸν τῆς ξενίας ἔφορον αἰσχυνόμεθα· ναρκᾷ πρὸς τὸν φόνον ἡ χείρ· ὁ νοῦς ὀκνεῖ τοῦ εὐεργέτου τὸν θάνατον· ῥάων ὁ παρὰ Πιλάτῳ κίνδυνος ἡμῖν τῶν ἐκ τοῦ συνειδότος πληγῶν· πάντα παθεῖν ἕτοιμοι ἐσμέν, ἢ Λογγίνῳ τοιαύτας ἀντιδοῦναι τὰς χάριτας.

Οὕτω μὲν οἱ στρατιῶται πρὸς τὸν τοῦ Χριστοῦ μάρτυρα καὶ λίαν περιπαθῶς ἔλεγον, ἀλλ᾽ οὐχὶ καὶ Λογγῖνον ἠδύναντο πείθειν, ἀλλὰ καὶ γενναίως πρὸς αὐτοὺς ὁ γενναῖος ἀληθῶς ἀποκρίνεται· Τί μοι, ὦ οὗτοι, φθονεῖτε μεγάλων ἀγαθῶν; Τί μοι τὸν θάνατον οὕτω περιπαθῶς ἀποκλαίεσθε; Οὐ θάνατος ἐμοὶ τὸ παρόν, ἀλλὰ ζωῆς ἀπαρχή· ἐμοὶ τῷ ὄντι θάνατος μᾶλλον ἡ ἐνταῦθα διαγωγή, ὅτι μὴ τῷ ἐμῷ δεσπότῃ παρίσταμαι, καὶ τῆς ἐκεῖθεν ἀπολαύω μακαριότητος· τὸ τέλος, τέλος τῶν κακῶν, οὐχὶ καὶ τέλος τῆς ζωῆς προξενήσει μοι, ἀλλὰ πρὸς τὴν ἀληθινὴν διαβιβάσει ἀϊδιότητα.

Ἔτι τοῦ Λογγίνου ταῦτα καὶ πλείω τούτων διεξιόντος, καὶ τοὺς τοῦ Πιλάτου ποιεῖν τὸ κελευσθὲν πείθοντος, οἱ συγκατακριθέντες αὐτῷ τὸν θάνατον στρατιῶται καταλαμβάνουσιν. Ὁ δὲ φαιδρῷ τῷ προσώπῳ τοὺς ἄνδρας ἰδών, δεξιάν τε αὐτοῖς ἐμβάλλει καὶ περιβάλλει τὸν τράχηλον, καὶ ὀφθαλμοὺς ἡδέως φιλεῖ, καὶ χαί-

ρετε, ὦ στρατιῶται Χριστοῦ καὶ κληρονόμοι τῆς βασιλείας, φησί, χαίρετε· ἤδη γὰρ ἡ ἐν οὐρανοῖς ἡμῖν πύλη ἀνέῳκται, καὶ Ἄγγελοι τὰς ἡμετέρας μέλλουσι παραλαμβάνειν ψυχάς, καὶ τῷ μονογενεῖ προσάγειν Υἱῷ. Ἀλλὰ γὰρ εἴ τι καὶ προσετάχθητε, πρὸς τοὺς πεμφθέντας ἔλεγεν, ἐκπληροῦτε.

Εἶτα καὶ στολὴν καθαρὰν ἐνδὺς ἐκ τῆς οἰκίας κομισθεῖσαν αὐτῷ ὡς ἐπὶ γάμον ἤδη κληθέντι καὶ πρὸς αὐτὸν σπεύδοντι, εἰς γόνυ μετὰ τῶν σὺν αὐτῷ κληθείς, ὢ μακαρίου τέλους! τὸν ἀγῶνα διήνυσαν, καὶ τὰς κεφαλὰς ἀποτμηθέντες χοροῖς Μαρτύρων ἐγγράφονται.

Ἑρμηνεία

ΜΟΛΙΣ ὁ Πιλάτος ἔλαβεν ἀπὸ τὸν Καίσαρα τῆς Ρώμης γράμματα, μὲ τὰ ὁποῖα κατεδικάζετο εἰς θάνατον ὁ Λογγῖνος διὰ τὴν πίστιν του εἰς τὸν Χριστόν, ἀμέσως τὰ παραδίδει, ὅπως ἦσαν, εἰς τοὺς Ἰουδαίους καὶ ἀποστέλλει μὲ προθυμίαν νὰ φονεύσουν τὸν μακάριον αὐτοὶ ποὺ ἦσαν, ἄλλωστε, πρόθυμοι δι' αὐτό.

Ὅταν ἔφθασαν εἰς τὴν Καππαδοκίαν, ἐπληροφορήθησαν ὅτι ὁ Λογγῖνος ζῇ ἀσκητικὰ σὲ κάποιο πατρικόν του κτῆμα· ἔρχονται ἀμέσως εἰς τὸ χωράφι καὶ ἀρχίζουν συζήτησιν μὲ τὸν Λογγῖνον, χωρὶς νὰ γνωρίζουν ὅτι εἶναι αὐτὸς διὰ τὸν ὁποῖον ἐδοκίμασαν μεγάλους κόπους καὶ ἔκαμαν μεγάλην πορείαν. Δι' αὐτὸ καὶ ἐρωτοῦσαν τὸν ἴδιον, ποῖος ἄραγε ἦτο ὁ Λογγῖνος καὶ ποῖος ὁ ἀγρὸς εἰς τὸν ὁποῖον ἔμενε ὁ Λογγῖνος. Ἐκείνην τὴν στιγμὴν τὸ Ἅγιον Πνεῦμα ἐφανέρωσεν εἰς τὸν Λογγῖνον ὅλα τὰ συμβαίνοντα. Ἀφοῦ λοιπὸν ἐστράφη πρὸς αὐτοὺς ἤρεμα, τοὺς εἶπεν ἥσυχα καὶ εὐγενικά· ἀκολουθήσατέ με καὶ ἐγὼ θὰ σᾶς δείξω αὐτὸν ποὺ ζητεῖτε.

Τότε λοιπὸν ὁ μακάριος, ὡσὰν νὰ ἀπελάμβανεν ἤδη ἐκ τῶν προτέρων τὴν μελλοντικὴν ἡδονὴν τοῦ μαρτυρίου, ἐδοκίμαζεν ἐσωτερικὴν εὐφροσύνην καὶ ἀσπαζόμενος τὸν μαρτυρικὸν θάνατον (ποὺ θὰ ὑφίστατο) ἐμονολογοῦσε· Πόσον ὡραῖα εἶναι τὰ πόδια αὐτῶν οἱ ὁποῖοι εὐαγγελίζονται καλὰς εἰδήσεις (Ρωμ. ι´, 15 καὶ Ἡσ. νϐ´, 7)· τώρα θὰ ἴδω ἀνοιγμένους τοὺς οὐρανούς· τώρα θὰ γνωρίσω τὴν δόξαν τοῦ Πατρός, τώρα θὰ φθάσω πάρα πολὺ εὐχαριστημένος, μὲ χαρμοσύνους διὰ τὴν νίκην κρότους, μὲ ἔνδοξα τρόπαια, εἰς τὴν ἄνω Ἱερουσαλήμ, τὴν πατρίδα τῶν Ἀγγέλων, τὴν Μητρόπολιν ὅλων τῶν Ἁγίων. Τώρα ἀφαιρῶ ἀπὸ ἐπάνω μου τὸ πήλινον φόρεμα καὶ ἀφήνω τὰ πολυστένακτα δεσμὰ τῆς σαρκός. Τώρα ἀπαλλάσσομαι ἀπὸ τὴν φθορὰν καὶ μὲ χαρὰν ἐνδύομαι τὴν ἀφθαρσίαν.

Φεύγω ἀπὸ τὸν πρόσκαιρον βίον καὶ τὴν τρικυμίαν του, μὲ τὰ μεγάλα κύματα καὶ τὰ φοβερὰ ναυάγια, καὶ φθάνω εἰς τὸν ἀληθινὸν καὶ μοναδικὸν λιμένα, ὅπου ὑπάρχει ζωὴ αἰώνιος χωρὶς λύπας· χαῖρε, ψυχή μου, τώρα ποὺ ἀπέρχεσαι πρὸς τὸν Ποιητήν σου· ἂς λάμψῃ ἀπὸ χαρὰν τὸ πρόσωπόν σου, τώρα ποὺ τὸ καλεῖ ὁ καιρός. Νὰ ὑποδεχθῇς, Λογγῖνε, μὲ καλωσύνην ἐκείνους ποὺ σοῦ προξενοῦν τόσα καλά· ἂς περιποιηθῶ-

μεν πλουσιοπάροχα αὐτοὺς ποὺ μᾶς προσκαλοῦν εἰς τὸ βασιλικὸν δεῖπνον.

Μετὰ τὸν μονόλογον αὐτὸν ὁ Λογγῖνος ὁδηγεῖ εἰς τὸ σπίτι του τοὺς ἐπισκέπτας του.

Καὶ ἀφοῦ τοὺς ἐφιλοξένησε πλουσιοπάροχα, τοὺς ἐρωτᾷ, μετὰ τὸ δεῖπνον, διὰ ποῖον λόγον ἦλθον καὶ διατὶ ἀναζητοῦν τόσον ἐπίμονα τὸν Λογγῖνον; Οἱ ἐπισκέπται, ἀφοῦ προηγουμένως τὸν ὥρκισαν νὰ μὴ φανερώσῃ σὲ κανένα τὸ μυστικόν, τοῦ γνωστοποιοῦν αὐτὰ ποὺ ἔγραψεν ὁ Καῖσαρ εἰς τὸν Πιλᾶτον καὶ ὅτι ἦλθαν διὰ νὰ ἀποκεφαλίσουν τὸν Λογγῖνον μαζὶ μὲ δύο στρατιώτας. Ὅταν δὲ ἐπληροφορήθη ποῖοι ἦσαν οἱ δύο ἄλλοι μελλοθάνατοι, οἱ ὁποῖοι ἐπρόκειτο νὰ ἀποθάνουν μαζί του—λέγω αὐτοὺς ποὺ ἐπροτίμησαν τὸν Χριστὸν ἀντὶ νὰ εἶναι πληρωμένα ὄργανα τῶν Ἰουδαίων* — εἰδοποίησε νὰ ἔλθουν γρήγορα πάλιν κοντά του αὐτοὶ οἱ ἄνδρες, οἱ ὁποῖοι πρὸ ὀλίγου ἔφυγαν, ὥστε νὰ ἀπολαύσουν μαζί του τὰ πλέον πολύτιμα ἀγαθά.

Τὴν πρώτην καὶ δευτέραν ἡμέραν λοιπὸν ἐφιλοξένησε τοὺς ἀπεσταλμένους τοῦ Πιλάτου· ἀφοῦ δὲ τοὺς παρέλαβε τὴν ἑπομένην ἡμέραν, τοὺς ἔφερεν εἰς ἕνα ἀγρόν, ὅπου ἐπερίμενεν ἐκείνους ποὺ ἔστειλε νὰ καλέσουν. Μόλις δὲ ἔμαθαν, ὅτι αὐτοὶ πλησιάζουν, φανερώνεται ἀμέσως εἰς τοὺς ἀνθρώπους τοῦ Πιλάτου· ἐγὼ εἶμαι ὁ Λογγῖνος, τὸν ὁποῖον ζητεῖτε!

Οἱ ἀπεσταλμένοι κατ' ἀρχὰς δὲν ἐπίστευον· διότι πῶς νὰ πιστεύσουν ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἐπρόκειτο νὰ μαρτυρήσῃ, ὅταν τὸν ἔβλεπον νὰ ἀντιμετωπίζῃ μὲ τόσην χαρὰν τὸν κίνδυνον;

Ὅταν πλέον ἐβεβαιώθησαν, ὅτι πραγματικὰ αὐτὸς ἦτο καὶ δὲν τοὺς ἔμενε καμμία ἀμφιβολία, τὸ ἔφεραν βαριὰ καὶ ᾐσθάνοντο ἰσχυρὰς τὰς τύψεις τῆς συνειδήσεώς των.

—Ὢ! κακότυχον δεῖπνον! —ἔλεγαν— Ὢ φοβερὰ φιλοξενία! Πῶς ἀποφάσισες, φίλε Λογγῖνε, νὰ κάνῃς αὐτὸ τὸ πρᾶγμα; Διατὶ ἐδέχθης στὸ σπίτι σου ἐκείνους ποὺ ἦλθαν νὰ σὲ φονεύσουν; Θάνατος σοῦ γίνεται αὐτὴ ἡ φιλοξενία καὶ θὰ θυσιασθῇς ἔπειτα ἀπὸ ἕνα πλούσιον τραπέζι ποὺ τοὺς προσέφερες. Εἰς τὸ πρόσωπον αὐτῶν ποὺ ἐφιλοξένησες, συνήντησες ληστάς. Τί ἄλλο θὰ ἠμποροῦσες νὰ κάνῃς, διὰ νὰ προξενήσῃς τόσην λύπην εἰς ἐκείνους ποὺ ἦλθαν νὰ σὲ σφάξουν;

Φύγε λοιπὸν γρήγορα διὰ νὰ λάβῃς ὡς μισθὸν τῆς φιλοξενίας σου τὴν ἀπαλλαγήν σου ἀπὸ τὸν θάνατον. Δὲν ἀντέχομεν νὰ βάλωμεν ἐπάνω σου τὸ ξίφος· κοκκινίζομεν ἀπὸ ἐντροπὴν διὰ τὴν φιλοξενίαν ποὺ μᾶς προσέφερες· ἐντρεπόμεθα τὸν ἄνθρωπον ποὺ μᾶς ἐφιλοξένησε· τρέμει τὸ χέρι μας διὰ τὸν φόνον· ὁ νοῦς μας δὲν τολμᾷ νὰ σκεφθῇ τὸν θάνατον

---

* Ἐπρόκειτο περὶ στρατιωτῶν, ποὺ ἦσαν εἰς τὴν ὑπηρεσίαν τοῦ Ἁγίου Λογγίνου, ὅταν οὗτος ἔφερεν ἀκόμη τὸ ἀξίωμα τοῦ Ἑκατοντάρχου καὶ παρευρίσκετο εἰς τὴν Σταύρωσιν καὶ τὴν Ἀνάστασιν τοῦ Κυρίου. (Βλ. ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ» τόμος Ι' σ. 354).

τοῦ εὐεργέτου. Μᾶς εἶναι προτιμότερος ὁ κίνδυνος ἀπὸ τὸν Πιλᾶτον, παρὰ ὁ ἔλεγχος τῆς συνειδήσεώς μας. Εἴμεθα ἕτοιμοι νὰ τὰ πάθωμεν ὅλα, παρὰ νὰ ἀνταποδώσωμεν, μὲ τέτοιον τρόπον, τὴν εὐεργεσίαν εἰς τὸν Λογγῖνον.

Αὐτὰ ἔλεγον οἱ στρατιῶται, πάρα πολὺ λυπημένοι, πρὸς τὸν Μάρτυρα τοῦ Χριστοῦ· δὲν ἠμποροῦσαν ὅμως νὰ πείσουν τὸν Λογγῖνον. Ὁ γενναῖος μὲ πραγματικὴν γενναιότητα τοὺς ἀπήντησε:

— Διατί, ἀγαπητοί μου, μὲ φθονεῖτε διὰ τὰ μεγάλα ἀγαθά; Διατὶ κλαίετε μὲ τόσην λύπην διὰ τὸν θάνατόν μου; Ὁ ἐδῶ θάνατος δὲν εἶναι δι' ἐμὲ θάνατος, ἀλλὰ ἀρχὴ ζωῆς· θάνατος πραγματικὸς δι' ἐμὲ εἶναι ἡ παραμονή μου ἐδῶ εἰς τὴν γῆν, ἐπειδὴ δὲν εὑρίσκομαι πλησίον εἰς τὸν Δεσπότην μου καὶ δὲν ἀπολαμβάνω τὴν μακαριότητα ποὺ ὑπάρχει ἐκεῖ. Ὁ θάνατος θὰ μοῦ φέρῃ τὸ τέλος τῶν κακῶν ἀλλὰ ὄχι τὸ τέλος τῆς ζωῆς· ἀπ' ἐναντίας θὰ μὲ μεταφέρῃ πρὸς τὴν πραγματικὴν αἰωνιότητα.

Ἐνῷ ἀκόμη ὁ Λογγῖνος ἔλεγεν αὐτὰ καὶ ἄλλα περισσότερα καὶ προσπαθοῦσε νὰ πείσῃ τοὺς ἀνθρώπους τοῦ Πιλάτου νὰ ἐκτελέσουν ὅ,τι διετάχθησαν, ἔρχονται καὶ οἱ στρατιῶται ποὺ κατεδικάσθησαν μαζί του εἰς θάνατον. Μόλις τοὺς εἶδεν ὁ Λογγῖνος μὲ χαρούμενο τὸ πρόσωπον τοὺς χαιρετᾶ μὲ τὸ δεξί του χέρι, τοὺς ἀγκαλιάζει καὶ φιλεῖ γλυκὰ τοὺς ὀφθαλμούς των.

— Χαίρετε, στρατιῶται τοῦ Χριστοῦ — τοὺς λέγει — καὶ κληρονόμοι τῆς Βασιλείας· διότι δι' ἡμᾶς ἤνοιξε πλέον ἡ πύλη τοῦ Οὐρανοῦ καὶ οἱ Ἄγγελοι εἶναι ἕτοιμοι νὰ παραλάβουν τὰς ψυχάς μας καὶ νὰ τὰς ὁδηγήσουν ἐνώπιον τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ.

Ἔπειτα ἀπευθυνόμενος πρὸς τοὺς στρατιώτας: ἐμπρὸς — τοὺς εἶπεν — ἐκτελέσατε αὐτὰ ποὺ διετάχθητε.

Μετὰ ταῦτα, ἀφοῦ ἐφόρεσε καθαρὰν στολήν, τὴν ὁποίαν τοῦ ἔφεραν ἀπὸ τὸ σπίτι του, χαρούμενος, ὡς νὰ ἐπήγαινεν εἰς γάμον, ἐγονάτισε μαζὶ μὲ τοὺς συντρόφους του· ὢ καλοτυχισμένος θάνατος! ἐτελείωσαν τὸν ἀγῶνα καὶ ἀφοῦ τοὺς ἀπεκεφάλισαν, κατετάχθησαν εἰς τοὺς χοροὺς τῶν Μαρτύρων.

Δ'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Θεοδώρας

ΤΙΝΕΣ τῶν μοναχῶν τῶν τῇ ἁγίᾳ Θεοδώρᾳ συνασκουμένων, βασκανίας κέντρῳ βληθέντες, ὡς ἑώρων τὴν μακαρίαν εἰς ἄκρον ἀρετῆς ἥκουσαν, λάθρᾳ τῆς τοῦ προεστῶτος γνώμης, εἰς ἕν τι τῶν ἀσκητηρίων ταύτην ἐκπέμπουσιν ἐπιστολὴν ἐγχειρίσαντες, τὸ φαινόμενον μὲν ὥς τι τῶν ἐπειγόντων ἔχουσαν καὶ τέλους δεόμενον ὀξυτέρου, τὸ δ' ἀληθὲς συσκευὴ ἦν, ἐπεὶ καὶ νυκτὸς διεπράττετο, κατάβρωμα γενέσθαι ταύτην θηρίων· ἔρημος γὰρ ἡ ὁδὸς ἐκείνη καὶ θηρίων μόνον τροφός· ἀλλ' εἰς μάτην ἡ ἐπιβουλὴ τῷ ἀντικειμένῳ, καὶ τοὐναντίον μᾶλλον ἢ αὐτὸς ἐτεχνάζετο.

Πλανωμένῃ γὰρ καθ' ὁδὸν τῇ ὁσίᾳ προσέρχεταί τι θηρίον νεύσει Θεοῦ, καὶ γίνεται ταύτης ἀπλανὴς ὁδηγός, ἕως ἀγαγὸν τῇ μονῇ παρέστησε, πρὸς ἣν καὶ ἔτυ-

χεν ἐκπεμφθεῖσα· μᾶλλον δὲ οὐδ' οὕτως ἀπέστη. Εἰσελθούσῃ γὰρ καὶ αὐτὸ συνεισήει, κἀκείνης πρὸς τὸ ἐγχειρίσαι τῷ προεστῶτι τὴν ἐπιστολὴν ἀπελθούσης, ὁ θὴρ τῷ πυλωρῷ ἐπήει καὶ ὅσον οὔπω διασπᾶν αὐτὸν ἔμελλεν, εἰ μὴ βοήσαντα ἐκεῖνον, καὶ συνδρομῆς γενομένης, ἐπιστραφεῖσα ἡ Μακαρία, καὶ ὅς τις εἴη ὁ θόρυβος διαγνοῦσα, καταλαμβάνει τὸν ἄνδρα βρῶσιν ἤδη τοῦ θηρίου γινόμενον.
Εὐθὺς οὖν ἐκείνη τοῦ φάρυγγος αὐτοῦ δραξαμένη, διαφθορᾶς τὸν ἄνθρωπον ἀπαλλάττει· ἐλαίῳ δὲ ὑπαλείφουσα τὰ βλαβέντα μέρη καὶ Χριστοῦ τὸ ὄνομα προσεπάδουσα, τοῦτο μὲν ὡς τὸ πρότερον ὑγιᾶ ἀποδείκνυσι, τὸ δὲ θηρίον πεσεῖν τε καὶ διαρραγῆναι παραχρῆμα ποιεῖ.

Ταῦτα ἐκείνη μὲν λαθεῖν ἠβούλετο καὶ οὐδὲν μετὰ τὴν ἐπάνοδον ἐφανέρου τοῖς Μοναχοῖς· οἱ τυχόντες δὲ τῆς εὐεργεσίας, ἅμα πρωΐ, αὐτάγγελοι τοῦ πραχθέντος γίνονται, εὐχαῖς Θεοδώρου, λέγοντες, χαλεποῦ θανάτου ρύεται ἄνθρωπος, καὶ θηρίου φάρυγξ ἡμῖν χαρίζεται τὸν εἰς βρῶσιν ἤδη ληφθέντα, ὧν καὶ τοὺς λόγους ὁ προεστὼς τοῦ φροντιστηρίου καταπλαγείς, τίς ὃς ἐκεῖσε τοῦτον ἀπέσταλκεν, ἀπορούμενος διηρώτα. Ὡς δὲ ἦσαν ἅπαντες ἔξαρνοι, τὴν μακαρίαν προσβλέψας, τίς οὗτος, ἔφη, Θεόδωρε, ὃς ἐπὶ προφανεῖ κινδύνῳ ἀωρί σε τῶν νυκτῶν κατήπειγε τὰ ἐκεῖσε καταλαβεῖν; Καὶ θέα μοι ψυχῆς εὐθείας ἀνάπλασμα, καὶ τὸ ἄτυφον γὰρ ἑαυτῇ περιποιουμένη, καὶ τοῖς ἀδελφοῖς φυλάττουσα τὸ ἀνέγκλητον· ὕπνῳ, εἶπε, τότε τοὺς ὀφθαλμοὺς τοὺς ἔνδον τε καὶ τοὺς ἔξω βαρυνομένη, μὴ εἰπεῖν ἔχειν ἄρτι τοὺς ἀποστείλαντας ἐξ ὀνόματος.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ Μοναχοὶ ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἠσκοῦντο μαζὶ μὲ τὴν ἁγίαν Θεοδώραν* ἐπληγώθησαν ἀπὸ τὸ κεντρὶ τοῦ φθόνου ἐναντίον τῆς Ἁγίας, ἐπειδὴ ἔβλεπον τὴν μακαρίαν ἐκείνην γυναῖκα νὰ φθάνῃ εἰς τὸ ἔπακρον τῆς ἀρετῆς. Τὴν στέλλουν λοιπόν, κρυφὰ ἀπὸ τὸν προεστῶτα, νὰ μεταφέρῃ μίαν ἐπιστολὴν εἰς ἕνα ἀσκητήριον, ἡ ὁποία, τάχα, ἦτο ἐπείγουσα καὶ ἔπρεπε νὰ ἔχουν ταχεῖαν ἀπάντησιν· εἰς τὴν πραγματικότητα ὅμως ἦτο ἕνα τέχνασμα ἀφοῦ ἄλλωστε ἐγένετο ἐν καιρῷ νυκτός, διὰ νὰ φαγωθῇ ἀπὸ τὰ ἄγρια θηρία. Ὁ δρόμος ἐκεῖνος ἦτο ἔρημος καὶ ἔτρεφε μόνον θηρία. Ἀπεδείχθη ὅμως ματαία ἡ πονηρία τοῦ διαβόλου καὶ μᾶλλον τὸ ἀντίθετον ἔγινεν ἀπὸ ὅ,τι ἐκεῖνος ἐμηχανεύθη.

Καθὼς δηλαδὴ περιεπλανᾶτο εἰς τὸν δρόμον ἡ Ὁσία, τὴν πλησιάζει, μὲ τὴν θέλησιν τοῦ Θεοῦ, ἕνα θηρίον καὶ τῆς γίνεται ἀλάθητος ὁδηγός, ἕως ὅτου τὴν ἔφερεν ἔξω ἀπὸ τὸ Μοναστήρι, εἰς τὸ ὁποῖον εἶχεν ἀποσταλῆ, χωρὶς οὔτε τότε νὰ ἀπομακρυνθῇ. Ὅταν λοιπὸν εἰσῆλθεν εἰς τὸ Μοναστήρι ἡ Ὁσία, ἐμβῆκε μαζί της καὶ τὸ θηρίον καὶ ἐνῷ ἐκείνη ἐπῆγε νὰ ἐπιδώσῃ τὴν ἐπιστολήν της εἰς τὸν Προεστῶτα, τὸ θηρίον ἐπετέθη ἐναντίον τοῦ θυρωροῦ, ἕτοιμον νὰ τὸν κατασπαράξῃ· φοβηθεὶς τότε ἐκεῖνος ἔβαλε τὰς φωνὰς καὶ ἐμαζεύθησαν πολλοί. Ἀμέσως ἡ Μακαρία ἐγύρι-

* Τὸν βίον τῆς Ἁγίας Θεοδώρας βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ», τόμος Θ', σελὶς 252.

σεν ὀπίσω καὶ ἀντελήφθη ἀπὸ τὸν θόρυβον τί ἐγίνετο· τρέχει τότε καὶ προλαμβάνει τὸν ἄνθρωπον τὴν ὥραν ποὺ ἤρχιζε νὰ τὸν τρώγῃ τὸ θηρίον.

Τὸ ἁρπάζει ἀμέσως ἀπὸ τὸν λαιμὸν καὶ ἔτσι ἔσωσε τὸν ἄνθρωπον ἀπὸ τὸν θάνατον. Ἀφοῦ δὲ ἤλειψε μὲ ἔλαιον τὰ πληγωμένα μέλη τοῦ σώματος καὶ ἐπεκαλέσθη τὸ ὄνομα τοῦ Χριστοῦ, ἐθεράπευσε τὸν θυρωρὸν καὶ τὸν ἔκαμε καλά, ὅπως καὶ πρῶτα, ἐνῷ τὸ θηρίον ἔπεσεν ἀμέσως εἰς τὴν γῆν καὶ ἔσκασεν.

Ὅλα αὐτὰ ἐκείνη ἤθελε νὰ μείνουν ἄγνωστα καὶ δι' αὐτό, μετὰ τὴν ἐπιστροφήν της, δὲν ἐφανέρωσε τίποτα εἰς τοὺς Μοναχούς. Ἐκεῖνοι ὅμως ποὺ εὐηργετήθησαν, ἔρχονται πρωῒ - πρωῒ καὶ ἀναφέρουν μόνοι των τὸ περιστατικόν· ἔλεγαν, δηλαδή, ὅτι ἐσώθη ἕνας ἄνθρωπος μὲ τὰς εὐχὰς τοῦ Θεοδώρου καὶ ὅτι ὁ λάρυγξ ἑνὸς θηρίου μᾶς ἐχάρισεν ἐκεῖνον, τὸν ὁποῖον εἶχεν ἤδη συλλάβει διὰ νὰ τὸν καταβροχθίσῃ. Μόλις ἤκουσεν αὐτὰ ὁ Προϊστάμενος τοῦ Ἡσυχαστηρίου κατεπλάγη καί, γεμᾶτος ἀπορίαν, ἐρωτοῦσε ποῖος εἶναι ἐκεῖνος ποὺ ἔστειλεν ἐκεῖ τὴν Θεοδώραν.

Ἐπειδὴ δὲ ὅλοι ἠρνοῦντο, ἐκοίταξε καλὰ τὴν μακαρίαν καὶ τῆς εἶπε:

— Ποῖος εἶναι αὐτός, ποὺ σὲ ὑπεχρέωσε, μὲ φανερὸν κίνδυνον τῆς ζωῆς σου, νὰ ὑπάγῃς ἀργὰ μέσα εἰς τὴν νύκτα ἐκεῖ;

Καὶ βλέπε τώρα τὸ ἀπεικόνισμα τῆς τελείας καὶ ἀδόλου ψυχῆς· ἐπειδὴ ἤθελε νὰ φυλάξῃ καὶ τὴν ταπείνωσιν, ἀλλὰ οὔτε καὶ τοὺς ἀδελφοὺς νὰ κατηγορήσῃ, ἀπήντησε· πῶς δὲν ἠμποροῦσε νὰ ἐνθυμηθῇ τὸ ὄνομα αὐτῶν, ποὺ τὴν ἔστειλαν, ἐπειδὴ τότε ἀπὸ τὴν νύκτα ἦσαν βαρειὰ τὰ μάτια της καὶ ζαλισμένη ἡ ἰδία ἀπὸ τὴν ὑπνηλίαν.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ περὶ τοῦ Ἀββᾶ Μωτίου ὁ μαθητὴς αὐτοῦ Ἰσαάκ, ὅτι πρῶτον ᾠκοδόμησεν ὁ γέρων Μοναστήριον εἰς τὴν Ἡρακλᾶν· ὡς δὲ ἀνεχώρησεν ἐκεῖθεν, ἀπῆλθεν εἰς ἕτερον τόπον καὶ ᾠκοδόμησεν ἐκεῖ πάλιν, καὶ κατ' ἐνέργειαν τοῦ διαβόλου εὑρέθη ἐκεῖ ἀδελφός τις ἐχθραίνων αὐτῷ καὶ θλίβων αὐτόν. Καὶ ἀναστὰς κἀκεῖθεν ὁ γέρων ἀνεχώρησεν εἰς τὴν ἰδίαν κώμην, καὶ ἐποίησεν ἑαυτῷ Μοναστήριον καὶ ἐνέκλεισεν ἑαυτόν.

Μετὰ δὲ χρόνον ὥρμησαν οἱ γέροντες τοῦ τόπου, ὅθεν ἐξῆλθε, λαβόντες καὶ τὸν ἀδελφόν, ὃς εἶχε πρὸς αὐτὸν τὴν λύπην, καὶ ἀπήρχοντο παρακαλέσαι αὐτόν, ἵνα ὑποστρέψῃ εἰς τὴν μονὴν αὐτοῦ. Ὡς δὲ ἤγγισαν, ὅπου ἦν ὁ ἀββᾶς Σώρης, ἀφῆκαν τὰ μηλωτάρια αὐτῶν ἐγγὺς αὐτοῦ καὶ τὸν ἀδελφὸν τὸν ἔχοντα τὴν λύπην, καὶ ἦλθον πρὸς τὸν ἀββᾶν Μώτιον, καὶ ὡς ἔκρουσαν, βάλλει ὁ γέρων τὸ κλιμάκιον καὶ παρακύπτει· καὶ γνωρίσας αὐτοὺς λέγει· ποῦ τὰ μηλωτάρια ὑμῶν; Οἱ δὲ εἶπον· ἰδοὺ ὧδε μετὰ τοῦδε τοῦ ἀδελφοῦ.

Ὡς δὲ ἤκουσε τὸ ὄνομα τοῦ ἀδελφοῦ τοῦ λυπήσαντος αὐτόν, ὁ γέρων ἀπὸ χαρᾶς ἔλαβε πέλεκυν καὶ κατέστρεψε τὴν θύραν, καὶ ἐξῆλθε τρέχων ὡς πρὸς τὸν ἀδελφόν. Καὶ ἰδὼν αὐτόν, ἔβαλεν αὐτῷ μετάνοιαν πρῶτος, καὶ ἠσπάσατο αὐτόν, καὶ εἰσήνεγκεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ καὶ ἐπὶ τρεῖς ἡμέρας εὔφρανεν αὐτούς, καὶ

αὐτὸς μετ' αὐτῶν, ὅπερ οὐκ εἶχε συνήθειαν ποιεῖν. Καὶ ἀναστὰς ἐπορεύθη μετ' αὐτῶν καὶ μετὰ ταῦτα Ἐπίσκοπος γέγονεν· ἦν γὰρ σημειοφόρος καὶ τὸν μαθητὴν αὐτοῦ τὸν ἀββᾶν Ἰσαάκ, ὁ μακάριος Κύριλλος ἐποίησεν Ἐπίσκοπον.

2. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· ἡ πονηρία τὴν πονηρίαν οὐδαμῶς ἀναιρεῖ· ἀλλ' ἐάν τις σε κακοποιήσῃ, εὖ ποίησον αὐτῷ, ἵνα διὰ τῆς ἀγαθοποιΐας ἀνέλῃς τὴν πονηρίαν.

3. Φιλόχριστός τις παραδοθεὶς εἰς μαρτύριον ὑπὸ τῆς ἑαυτοῦ δούλης, ἀπαγόμενος ἐπὶ τὸ τελειωθῆναι, εἶδε τὴν δούλην αὐτοῦ τὴν παραδοῦσαν αὐτόν· καὶ λαβὼν ὃν ἐφόρει δακτύλιον χρυσοῦν, ἔδωκεν αὐτῇ λέγων· εὐχαριστῶ σοι ὅτι τοιούτων ἀγαθῶν μοι πρόξενος γέγονας.

4. Ἔλεγον περὶ ἀδελφοῦ τινος γειτνιῶντος μεγάλῳ γέροντι, ὅτι εἰσερχόμενος εἰς τὸ κελλίον τοῦ γέροντος ἔκλεπτεν· ἔβλεπε δὲ ὁ γέρων· καὶ οὐκ ἤλεγχεν αὐτόν, ἀλλ' εἰργάζετο περισσὸν λέγων, ὅτι τάχα χρείαν ἔχει ὁ ἀδελφός. Εἶχε δὲ πολλὴν θλῖψιν ὁ γέρων μετὰ ἐνδείας εὑρίσκων τὸν ἄρτον αὐτοῦ. Εἶτα μέλλοντος τελευτᾶν, ἐκύκλωσαν αὐτὸν οἱ ἀδελφοί· καὶ ἰδὼν τὸν κλέπτοντα αὐτόν, λέγει· ἔγγισόν μοι· καὶ κατεφίλησε τὰς χεῖρας αὐτοῦ λέγων· εὐχαριστῶ ταῖς χερσὶ ταύταις, ὅτι δι' αὐτῶν ὑπάγω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δὲ κατανυγεὶς καὶ μετανοήσας ἐγένετο καὶ αὐτὸς δόκιμος Μοναχός, ἀπὸ τῶν πράξεων ὧν εἶδε τοῦ μεγάλου γέροντος.

5. Εἶπε γέρων· ἐὰν ἀκούσῃς περί τινος μισοῦντός σε καὶ λοιδοροῦντος, πέμψαι ἢ δὸς αὐτῷ μικρὰν εὐλογίαν κατὰ τὴν δύναμίν σου, ἵνα ἔχῃς παρρησίαν εἰπεῖν ἐν τῇ ὥρᾳ τῆς κρίσεως· ἄφες ἡμῖν, δέσποτα, τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν.

6. Ἀδελφὸς ὁδεύων καὶ πλανηθείς, ἠρώτησέ τινας ὥς τε μαθεῖν τὴν ὁδόν· οἱ δέ, κακοῦργοι ὄντες, ἀπεπλάνησαν αὐτὸν εἰς ἐρήμους τόπους· ἐπακολουθήσαντος δὲ ἑνὸς ὥς τε ἀποσυλῆσαι αὐτόν, καὶ παρακελευομένου διελθεῖν διώρυγα, ὡς διήρχοντο, κροκόδειλος ἐπέδραμεν ἐπὶ τὸν ληστήν. Ὁ δὲ ἀδελφὸς ἰδὼν τὸ θηρίον ἐπὶ τὸν κακοῦργον ὁρμῆσαν οὐχ ὑπερεῖδεν, ἀλλ' ἐβόησε πρὸς τὸν ληστήν, σημαίνων τὴν τοῦ θηρίου ὁρμήν· καὶ φυγὼν ἐκεῖνος ηὐχαρίστει τῷ ἀδελφῷ, θαυμάσας τὴν ἀγάπην αὐτοῦ.

7. Εἶπε γέρων· ἐὰν λάβῃς μνήμην τοῦ θλίψαντός σε, ἢ ἀτιμάσαντος, ἢ ζημιώσαντος, μεμνῆσθαι αὐτοῦ ὀφείλεις ὡς ἰατροῦ πεμφθέντος ὑπὸ Χριστοῦ, καὶ ἔχειν αὐτὸν ὡς εὐεργέτην· αὐτὸ γὰρ τοῦτο τὸ θλίβεσθαί σε ἐν τούτοις δηλοῖ ὅτι νοσεῖ σου ἡ ψυχή· εἰ μὴ γὰρ ἐνόσεις, οὐκ ἂν ἔπασχες. Ὀφείλεις οὖν εὐχαριστεῖν τῷ ἀδελφῷ, καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὅτι δι' αὐτοῦ γιγνώσκεις τὴν νόσον σου, καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ ὡς φάρμακα ἰατρικά, πεμφθέντα σοι ὑπὸ τοῦ Ἰησοῦ. Εἰ δὲ λυπῇ κατὰ τοῦ ἀδελφοῦ, δυνάμει λέγεις τῷ Ἰησοῦ· οὐ θέλω δέξασθαί σου τὰ φάρμακα, ἀλλὰ βούλομαι ἐν τοῖς τραύμασί μου σαπῆναι.

Ὁ βουλόμενος οὖν ἰαθῆναι ἐκ τῶν τραυμάτων αὐτοῦ τῶν ψυχικῶν, ὀφείλει ὑπομεῖναι τὰ ἐπιφερόμενα ὑπὸ τοῦ ἰατροῦ, οἷα ἂν καὶ εἰσίν. Οὐδὲ γὰρ ὁ νοσῶν σωματικῶς ἡδέως ἔχει τὸ τέμνεσθαι ἢ καίεσθαι ἢ καθάρσιον πίνειν, ἀλλὰ καὶ μετὰ ἀηδίας μέμνηται αὐτῶν. Ὅμως πείσας ἑαυτὸν ὅτι ἀδύνατόν ἐστιν αὐτὸν ἄλλως ἀπαλ-

λαγῆναι τῆς νόσου εἰ μὴ διὰ τούτων, φέρει αὐτὰ γενναίως εὐχαριστῶν τῷ ἰατρῷ, καὶ εἰδὼς ὅτι διὰ μικρᾶς ἀηδίας ἀπαλλαγήσεται πολυχρονίου ἀσθενείας.

Καυτὴρ ἐστι τοῦ Ἰησοῦ ὁ ἀτιμάζων σε ἢ λοιδορῶν σε, ἀλλ' ἀπαλλάττει σε κενοδοξίας. Καθάρσιον τοῦ Ἰησοῦ ἐστιν ὁ ἐπιφέρων σοι ζημίαν ἢ ὕβριν, ἀλλ' ἀπαλλάττει σε πλεονεξίας. Εἰ δὲ φεύγεις πειρασμὸν ἐπωφελῆ, φεύγεις ζωὴν αἰώνιον· τίς γὰρ ἐδωρήσατο τῷ Ἁγίῳ Στεφάνῳ τοιαύτην δόξαν, οἵαν προξένησαν αὐτῷ οἱ λιθάσαντες αὐτόν;

8. Γέγονέ τις Πατριάρχης ὀνόματι Ἀλέξανδρος, κατά τινα πόλιν καλουμένην Θεούπολιν· εἷς δὲ τῶν νοταρίων αὐτοῦ, κλέψας τὸ χρυσίον, ὃ εἶχεν εἰς τὰ τῆς Ἐκκλησίας ἀναλώματα, ἔφυγε· καὶ πλανηθείς, περιπίπτει βαρβάροις Αἰγυπτίοις ἀνημέροις, οἳ καὶ λαβόντες ἀπ' αὐτοῦ τὸ χρυσίον ἀπάγουσιν αὐτὸν πρὸς τὰ ἔσχατα τῆς χώρας αὐτῶν. Ὁ δὲ Πατριάρχης τοῦτο μαθών, ἀποστείλας ὠνήσατο αὐτὸν ὀγδοήκοντα καὶ πέντε νομίσμασι, καὶ ἐπανελθόντι οὕτως αὐτῷ ἐχρήσατο εὐσπλάγχνως καὶ φιλανθρώπως, ὥς τε καί τινας τῶν τῆς πόλεως οἰκητόρων ἐκπληττομένους εἰπεῖν, μηδὲν εἶναι ἐπωφελέστερον τοῦ εἰς τὸν Πατριάρχην ἐκεῖνον ἐξαμαρτάνειν.

9. Διηγήσατο ὁ μακάριος Ζωσιμᾶς λέγων, ὅτι γέρων τις ἐγειτνίαζε Κοινοβίῳ τινί· ἦν δὲ πάνυ ἀγαθὸς καὶ πρᾳότατος· διὸ καὶ οἱ τοῦ Κοινοβίου ὑπερηγάπων αὐτὸν καὶ ἐσέβοντο. Καί τις δὲ ἀδελφὸς ᾤκει πλησίον τοῦ γέροντος. Ἐν μιᾷ οὖν ἀπόντος αὐτοῦ, ὁ ἀδελφὸς ἐνεργηθεὶς ὑπὸ τοῦ ἐχθροῦ ἀπελθὼν ἤνοιξε τὴν κέλλαν τοῦ γέροντος, καὶ εἰσελθὼν ἔλαβε πάντα τὰ σκεύη αὐτοῦ καὶ τὰ βιβλία καὶ ἀπῆλθε.

Μετὰ δὲ βραχὺ ἐπανελθὼν ὁ γέρων, ὡς εἶδε τὸ κελλίον αὐτοῦ ἀνεῳγμένον, καὶ εἰσελθὼν οὐχ εὗρε τὰ σκεύη αὐτοῦ, ἀπῆλθε πρὸς τὸν ἀδελφὸν ἀναγγεῖλαι αὐτῷ τὸ συμβάν. Στὰς δὲ ἔξωθεν τῆς κέλλης αὐτοῦ καὶ φωνήσας τὸν ἀδελφόν, ὡς εἶδε τὰ ἴδια σκεύη ἐν τῷ μέσῳ τῆς κέλλης κείμενα (οὔπω γὰρ ἔτυχεν ὁ ἀδελφὸς συστεῖλαι αὐτά), μὴ θέλων ἐλέγξαι ἢ καταισχύναι αὐτόν, προφασισάμενος χρείαν τινὰ ἀναγκαίαν, ἤγουν ὡς ὅτι ὑπὸ τῆς γαστρὸς ἐνύγη, ὑπεχώρησε τῆς κέλλης τοῦ ἀδελφοῦ καὶ ἔμεινεν ὥραν ἱκανήν, ἕως τὰ σκεύη ἐκ μέσου ποιήσῃ ὁ ἀδελφός. Εἶτα ὑποστρέψας ἤρξατο λέγειν τῷ ἀδελφῷ περί τινος ἄλλου πράγματος, μὴ μνησθεὶς ὅλως περὶ τῆς κέλλης ἢ τῶν σκευῶν αὐτοῦ, ὧν ἀπώλεσε.

Μετὰ δέ τινας ἡμέρας ἐγνωρίσθησαν τὰ σκεύη τοῦ γέροντος, καὶ λαβόντες αὐτόν τινες γνωστοὶ τοῦ γέροντος ἔβαλον εἰς φυλακήν, ἀγνοοῦντος τοῦ γέροντος. Ὁ δὲ γέρων ἀκούσας περὶ τοῦ ἀδελφοῦ ὅτι εἰς φυλακήν ἐστι, τὴν δὲ αἰτίαν μὴ εἰδὼς δι' ἣν ἐβέβλητο ὁ ἀδελφὸς εἰς τὴν φυλακήν, ἀπελθὼν πρὸς τὸν ἡγούμενον τοῦ ἔγγιστα Κοινοβίου (ἦν γὰρ καὶ αὐτῷ καὶ πᾶσι τοῖς ἀδελφοῖς αἰδέσιμος ὁ ἀνὴρ διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς, ὡς προείρηται), λέγει αὐτῷ· Ποίησον ἀγάπην καὶ δός μοι ὀλίγα ᾠὰ καὶ ὀλίγα καθαρά. Ὁ δὲ ἔφη αὐτῷ· παρέβαλόν σοί τινες, ἀββᾶ; Καὶ ἀπεκρίθη ὁ γέρων· ναί. Κελεύσαντος οὖν τοῦ ἡγουμένου, ἐδόθη αὐτῷ ὅσα ἤθελε· καὶ λαβὼν ὁ γέρων τά τε ψωμία καὶ τὰ ᾠά, ἀπῆλθεν εἰς τὴν φυλακὴν ἐν ᾗ ἦν ὁ ἀδελφὸς καὶ εἰσῆλθεν εἰς αὐτόν.

Ὁ δὲ ἰδὼν τὸν γέροντα, δραμὼν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ λέγων, συγχώρησόν μοι· διὰ σὲ γάρ εἰμι ὧδε, ὅτι ἔκλεψά σου τὰ σκεύη καὶ ἰδοὺ τὸ βιβλίον σου παρὰ τῷδε ἐστι, καὶ τὸ ἱμάτιόν σου παρὰ τῷδε, καὶ ἑξῆς κατέλεγε πάντα. Ὁ δὲ γέρων φησὶ πρὸς αὐτόν· πληροφορηθήτω ἡ καρδία σου, τέκνον, ὅτι οὐ διὰ ταῦτα εἰ-

σῆλθον ὧδε· οὐδὲ ἔμαθον ὅλως ὅτι δι' ἐμὲ ὧδε εἶ, ἀλλ' ἀκούσας ὅτι ἐβλήθης εἰς φυλακήν, τὸ δὲ διὰ τί ἀγνοῶν καὶ λυπηθείς, διὰ τὴν σὴν λύπην ἦλθον ποιῆσαι σοι παράκλησιν, καὶ ἰδοὺ ἴδε τὰ ὠὰ καὶ τὰ καθαρά, ἃ διὰ σὲ ἤνεγκα. Ἀλλ' ἐπεὶ ἔμαθον ὅτι δι' ἐμὲ κατέχει ὧδε, πάντα ποιήσω ἕως οὗ, βοηθείᾳ Θεοῦ, ἐκβάλω σε ἐκ τῆς φυλακῆς. Καὶ ἀπελθών, παρεκάλεσέ τινας τῶν ἐνδόξων τοῦ κόσμου (ἦν γὰρ καὶ τοῖς τοιούτοις γνωστὸς ὁ γέρων διὰ τὴν αὐτοῦ ἀρετὴν) καὶ ἀποστείλαντες ἐξέβαλον τὸν ἀδελφὸν ἐκ τῆς φυλακῆς.

Ἑρμηνεία

Ο ΙΣΑΑΚ διηγεῖτο διὰ τὸν διδάσκαλόν του, τὸν Ἀββᾶν Μώτιον, ὅτι ὁ Γέροντάς του ἔκτισε πρῶτα Μοναστήριον εἰς τὴν Ἡρακλᾶν. Μόλις ἀνεχώρησεν ἀπ' ἐκεῖ, ἐπῆγεν εἰς ἄλλον τόπον καὶ ἔκτισε πάλιν ἐκεῖ· κατὰ διαβολικὴν ὅμως ἐνέργειαν εὑρέθη ἐκεῖ κάποιος ἀδελφός, ὁ ὁποῖος τὸν ἐχθρεύετο καὶ τὸν ἐστενοχώρει. Καὶ ἀνεχώρησε καὶ ἀπ' ἐκεῖ ὁ Γέρων εἰς τὸ χωρίον του καὶ ἔκαμε διὰ τὸν ἑαυτόν του ἕνα Μοναστήρι ἀσκητήριον καὶ ἐκλείσθη μέσα εἰς αὐτό.

Μετὰ ἀρκετὸν χρόνον οἱ Γέροντες τοῦ τόπου ἀπὸ τὸν ὁποῖον ἀνεχώρησεν, ἐβγῆκαν καί, ἀφοῦ ἐπῆραν καὶ τὸν ἀδελφόν, ποὺ εἶχεν ἔχθραν ἐναντίον του, ἐπῆγαν νὰ τὸν παρακαλέσουν νὰ ἐπιστρέψῃ εἰς τὸ Μοναστήριόν του. Ὅταν ἐπλησίασαν ἐκεῖ ὅπου ἦτο ὁ Ἀββᾶς Σώρης, ἄφησαν ἐκεῖ κοντὰ τὰ ἐπανωφόριά τους, μαζὶ μὲ τὸν ἀδελφὸν ποὺ εἶχε τὴν λύπην καὶ ἦλθαν εἰς τὸν Ἀββᾶν Μώτιον. Μόλις ἐκτύπησαν τὴν θύραν τοῦ ἀσκητηρίου, ἀνέβηκεν ὁ Γέρων μίαν μικρὰν σκάλαν καὶ ἔσκυψε νὰ ἴδῃ πρὸς τὰ ἔξω· ἀμέσως τοὺς ἀνεγνώρισε καὶ τοὺς εἶπεν:

— Ποῦ εἶναι τὰ ἐπανωφόριά σας;

— Τὰ ἔχομεν ἀφήσει ἐκεῖ, μαζὶ μὲ τὸν τάδε ἀδελφόν.

Καθὼς ἤκουσεν ὁ Γέρων τὸ ὄνομα τοῦ ἀδελφοῦ, ὁ ὁποῖος τὸν εἶχε λυπήσει, ἐπῆρε χαρούμενος ἕνα τσεκούρι, κατέστρεψε τὴν θύραν τοῦ ἀσκητηρίου καὶ ἐβγῆκε τρέχων νὰ συναντήσῃ τὸν ἀδελφόν. Μόλις τὸν εἶδε, τοῦ ἔβαλε πρῶτος μετάνοιαν, τὸν ἠσπάσθη καὶ τὸν ὡδήγησε μέσα εἰς τὸ κελλί του. Ἐν συνεχείᾳ, ἐπὶ τρεῖς ἡμέρας τοὺς ἐπεριποιήθη καὶ ηὐφράνθη καὶ αὐτὸς μαζί των, πρᾶγμα ποὺ δὲν συνήθιζε νὰ τὸ κάμῃ. Κατόπιν ἐπῆγε μαζί των καὶ ἀργότερα ἔγινεν Ἐπίσκοπος, διότι ἔκαμνε θαύματα. Ὁ μακάριος Κύριλλος* ἔκαμεν Ἐπίσκοπον καὶ τὸν μαθητήν του Ἰσαάκ.

2. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε· Ποτὲ ἡ πονηρία δὲν ἐξαφανίζει τὴν πονηρίαν· ἀλλὰ ἂν κάποιος σὲ κακοποιήσῃ, εὐεργέτησέ τον, διὰ νὰ ἐξαφανίσῃς τὴν πονηρίαν μὲ τὴν εὐεργεσίαν.

3. Κάποιος φιλόχριστος παρεδόθη εἰς τὸ μαρτύριον ἀπὸ τὴν δούλην του· καθὼς λοιπὸν τὸν ὡδηγοῦσαν διὰ νὰ θανατωθῇ, εἶδε τὴν δούλην,

---

* Βλέπε ὑποσημ. σελ. 347 τοῦ ἀνὰ χεῖρας τόμου.

ἡ ὁποία τὸν παρέδωσε, καὶ ἀμέσως ἔβγαλε τὸ χρυσὸν δακτυλίδι, ποὺ ἐφοροῦσε καὶ τῆς τὸ ἔδωσε.

— Σὲ εὐχαριστῶ — τῆς εἶπε — διότι μοῦ ἐπροξένησες τέτοια ἀγαθά.

4. Διηγοῦντο διὰ κάποιον ἀδελφόν, ὁ ὁποῖος ἐγειτόνευε μὲ ἕνα μεγάλον Γέροντα, τὰ ἑξῆς: Εἰσήρχετο εἰς τὸ κελλὶ τοῦ Γέροντος καὶ ἔκλεπτεν· ὁ Γέρων τὸ ἔβλεπεν αὐτό, ἀλλὰ δὲν τὸν ἤλεγχεν. Εἰργάζετο περισσότερον καὶ ἔλεγεν: ἴσως ὁ ἀδελφὸς ἔχει ἀνάγκην. Ἐστενοχωρεῖτο πολὺ ὁ Γέρων, διότι μὲ δυσκολίαν ἐξοικονομοῦσε τὸν ἄρτον του. Ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ, ἐμαζεύθησαν γύρω του οἱ ἀδελφοί· μόλις εἶδεν ὁ Γέρων ἐκεῖνον, ὁ ὁποῖος τὸν ἔκλεπτε τοῦ λέγει:

— Πλησίασέ με· καὶ κατεφίλησε τὰ χέρια του. Εὐχαριστῶ αὐτὰ τὰ χέρια — συνέχισε — διότι μὲ τὴν βοήθειάν των πηγαίνω εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Μὲ τὰ λόγια αὐτὰ συνεκινήθη βαθειὰ ὁ ἀδελφὸς ἐκεῖνος καὶ μετενόησεν. Ὕστερα ἔγινε καὶ δόκιμος Μοναχὸς παραδειγματισθεὶς ἀπὸ τὰς καλὰς πράξεις, ποὺ ἔκαμεν ὁ μεγάλος Γέρων.

5. Ἕνας Γέρων εἶπεν: ἂν ἀκούσῃς ὅτι κάποιος σὲ μισεῖ ἢ σὲ ὑβρίζει, στεῖλε ἢ δῶσε εἰς αὐτὸν μικρὰν εὐλογίαν, ὅσην ἠμπορεῖς, διὰ νὰ ἔχῃς τὸ θάρρος νὰ εἴπῃς κατὰ τὴν ὥραν τῆς Κρίσεως· συγχώρεσε, Δέσποτα, τὰ σφάλματά μας, ὅπως καὶ ἡμεῖς ἐσυγχωρήσαμεν ἐκείνους ποὺ μᾶς εἶχαν λυπήσει (Ματθ. στ', 12).

6. Ἕνας ἀδελφὸς ὡδοιποροῦσε καὶ ἔχασε τὸν δρόμον· ἠρώτησε λοιπὸν κάποιους νὰ τοῦ τὸν δείξουν. Ἐκεῖνοι ὅμως, ἐπειδὴ ἦσαν κακοῦργοι, τὸν παρεπλάνησαν πρὸς ἐρημικοὺς τόπους. Ἕνας ἀπὸ τοὺς κακούργους τὸν ἠκολούθησε, διὰ νὰ τὸν ληστεύσῃ· εἰς κάποιο λοιπὸν σημεῖον τὸν παρακινοῦσε νὰ περάσουν μίαν διώρυγα, ὁπόταν ἔξαφνα ἕνας κροκόδειλος ὥρμησεν ἐναντίον τοῦ ληστοῦ. Μόλις ὁ ἀδελφὸς εἶδε τὸ θηρίον νὰ ὁρμᾷ δὲν ἔμεινεν ἀδιάφορος, ἀλλ' ἐφώναξε πρὸς τὸν ληστήν, διὰ νὰ τοῦ φανερώσῃ τὴν ἐπίθεσιν τοῦ θηρίου.

Ὁ ληστὴς ἔφυγε γρήγορα καὶ ἐγλύτωσε. Μετὰ ἀπὸ αὐτὸ ηὐχαρίστησε τὸν ἀδελφὸν ἐπειδὴ ἐθαύμασε τὴν ἀγάπην του.

7. Ἕνας Γέρων εἶπεν· ἂν ἐνθυμηθῇς ἐκεῖνον ποὺ σὲ ἐστενοχώρησεν ἢ σὲ προσέβαλεν ἢ σὲ ἐζημίωσε, πρέπει νὰ τὸν θεωρήσῃς ὡς ἰατρὸν τὸν ὁποῖον σοῦ ἔστειλεν ὁ Χριστὸς καὶ νὰ τὸν θεωρῇς ὡς εὐεργέτην· διότι αὐτό, δηλαδὴ ἡ λύπη, τὴν ὁποίαν δοκιμάζεις ὅταν τὸν ἐνθυμεῖσαι, φανερώνει ὅτι ἡ ψυχή σου εἶναι ἄρρωστη. Ἂν δὲν ἤσουν ἄρρωστος, δὲν θὰ ὑπέφερες. Πρέπει λοιπὸν νὰ εὐχαριστῇς τὸν ἀδελφὸν καὶ νὰ εὔχεσαι δι' αὐτόν, ἐπειδὴ ἀπ' αὐτὸν ἔμαθες τὴν ἀσθένειάν σου καὶ νὰ δέχεσαι τὴν συμπεριφοράν του ὡς φάρμακα θεραπευτικά, τὰ ὁποῖα σοῦ ἔστειλεν ὁ Ἰησοῦς. Ἂν πάλιν λυπεῖσαι ἐναντίον τοῦ ἀδελφοῦ, εἶναι ὡσὰν νὰ λέγῃς εἰς τὸν Ἰησοῦν· δὲν θέλω νὰ δεχθῶ τὰ φάρμακά σου, ἀλλ' ἐπιθυμῶ νὰ σαπήσω ἀπὸ τὰς πληγάς μου.

Ἐκεῖνος λοιπὸν ποὺ θέλει νὰ θεραπευθῇ ἀπὸ τὰ ψυχικά του τραύματα, ὀφείλει νὰ ὑπομένῃ αὐτὰ ποὺ τοῦ δίδει ὁ ἰατρός, ὁποιαδήποτε καὶ ἂν εἶναι. Διότι οὔτε καὶ ἐκεῖνος ποὺ εἶναι ἄρρωστος σωματικά, εὐχαριστεῖται νὰ τοῦ κόπτουν τὰς σάρκας του ἢ νὰ τὸν καυτηριάζουν ἢ νὰ πίνῃ καθάρσιον· ἀπ' ἐναντίας ἀηδιάζει, ὅταν τὰ ἐνθυμῆται. Ἐπειδὴ ὅμως ἐπείσθη ὅτι εἶναι ἀδύνατον νὰ ἀπαλλαγῇ μὲ ἄλλον τρόπον ἀπὸ τὴν ἀρρώστιαν παρὰ μόνον μὲ τὰ φάρμακα αὐτά, τὰ ὑποφέρει μὲ γενναιότητα καὶ εὐχαριστεῖ τὸν ἰατρόν· γνωρίζει ὅτι μὲ τὴν μικρὰν αὐτὴν ἀηδίαν θὰ ἀπαλλαγῇ ἀπὸ πολυχρόνιον ἀσθένειαν.

Καυτήριον τοῦ Ἰησοῦ Χριστοῦ εἶναι ἐκεῖνος ποὺ σὲ προσβάλλει, ἢ σὲ ὑβρίζει, ἀλλὰ σὲ ἀπαλλάσσει ἀπὸ τὴν κενοδοξίαν. Καθαρτικὸν τοῦ Ἰησοῦ εἶναι ἐκεῖνος ποὺ σοῦ προξενεῖ ζημίαν ἢ σὲ ὑβρίζει, ἀλλὰ σὲ ἀπαλλάσσει ἀπὸ τὴν πλεονεξίαν. Ἂν λοιπὸν ἀποφεύγῃς ἕνα ὠφέλιμον πειρασμόν, εἶναι ὡσὰν νὰ ἀποφεύγῃς τὴν αἰώνιον ζωήν· ποῖος ἄλλος ἐχάρισεν εἰς τὸν Ἅγιον Στέφανον τόσον μεγάλην δόξαν, ἀπὸ ὅσην τοῦ ἐπροξένησαν ἐκεῖνοι ποὺ τὸν ἐλιθοβόλησαν;

8. Κάποιος, ὀνομαζόμενος Ἀλέξανδρος, ἔγινε Πατριάρχης εἰς τὴν Θεούπολιν*. Ἕνας ἀπὸ τοὺς γραμματεῖς του ἔκλεψε τὰ χρυσᾶ νομίσματα τὰ ὁποῖα εἶχε διὰ τὰ ἔξοδα τῆς Ἐκκλησίας καὶ ἔφυγεν. Αὐτὸς ἀφοῦ περιεπλανήθη, ἔπεσεν εἰς τὰ χέρια ἀνημέρων βαρβάρων Αἰγυπτίων, οἱ ὁποῖοι τοῦ ἐπῆραν τὸ χρυσάφι καὶ τὸν ὡδήγησαν εἰς τὰ βάθη τῆς χώρας των. Μόλις τὸ ἔμαθεν αὐτὸ ὁ Πατριάρχης, ἔστειλε καὶ τὸν ἐξηγόρασε μὲ ὀγδόντα πέντε νομίσματα**. Ὅταν ἐπέστρεψεν ὀπίσω, τὸν μετεχειρίσθη τόσον εὐσπλαγχνικὰ καὶ φιλάνθρωπα, ὥστε μερικοὶ ἀπὸ τοὺς κατοίκους τῆς πόλεως νὰ εἰποῦν κατάπληκτοι· δὲν ὑπάρχει περισσότερον ὠφέλιμον πρᾶγμα ἀπὸ τὸ νὰ διαπράττῃ κανεὶς ἁμαρτίας πρὸς ἐκεῖνον τὸν Πατριάρχην.

9. Ὁ Μακάριος Ζωσιμᾶς διηγήθη τὴν ἑξῆς ἱστορίαν· Ἕνας Γέρων ἐγειτόνευε μὲ κάποιο Κοινόβιον. Ἦτο πάρα πολὺ καλὸς καὶ πρᾶος· δι' αὐτὸ καὶ οἱ Κοινοβιᾶται τὸν ὑπεραγαποῦσαν καὶ τὸν ἐσέβοντο. Κοντὰ εἰς τὸν Γέροντα κατοικοῦσε καὶ κάποιος ἀδελφός. Μίαν ἡμέραν λοιπόν, κατὰ τὴν ὁποίαν ἀπουσίαζεν ὁ Γέρων, ὁ ἀδελφός, παρακινούμενος ἀπὸ τὸν διάβολον, ἐπῆγε καὶ ἄνοιξε τὸ κελλὶ τοῦ Γέροντος, εἰσῆλθεν εἰς αὐτό, ἐπῆρεν ὅλα τὰ σκεύη καὶ τὰ βιβλία καὶ ἔφυγε.

Μετ' ὀλίγον ἐπέστρεψεν ὁ Γέρων. Εἶδεν ἀνοιγμένο τὸ κελλί του,

* Θεούπολις ὠνομάσθη ὑπὸ τοῦ Ἰουστινιανοῦ ἡ Ἀντιόχεια, ὅταν ἀνῳκοδομήθη μετὰ τὴν καταστροφήν της (βλ. καὶ ὑποσημείωσιν α' τῆς σελ. 492 τοῦ Α' τόμου τοῦ «Εὐεργετινοῦ»). Εἰς ταύτην ἔγινε πατριάρχης κατὰ τὸ 695—702 ὁ Ἀλέξανδρος Β'. Δὲν δυνάμεθα ὅμως νὰ εἴπωμεν μετὰ βεβαιότητος ἐὰν εἰς τὴν ὑπόθεσιν ταύτην πρόκειται περὶ τοῦ ἀνωτέρω Πατριάρχου Ἀντιοχείας.

** Διὰ τὴν σημασίαν τῆς λέξεως «νόμισμα» καὶ τῆς ἀξίας αὐτοῦ βλέπε ὑποσημείωσιν τῆς σελίδος 498 τοῦ ἀνὰ χεῖρας τόμου τοῦ «Εὐεργετινοῦ».

εἰσῆλθε καὶ δὲν εὑρῆκε τὰ σκεύη αὐτοῦ. Ἔφυγε λοιπὸν ἀμέσως καὶ μετέβη πρὸς τὸν ἀδελφόν, διὰ νὰ τοῦ ἀναγγείλη αὐτὸ ποὺ συνέβη. Ἐστάθη ἔξω ἀπὸ τὸ κελλί του καὶ ἐφώναξε τὸν ἀδελφόν. Μόλις ὅμως εἶδε τὰ πράγματά του εἰς τὸ μέσον τοῦ κελλιοῦ (διότι ὁ ἀδελφὸς δὲν εἶχε προφθάσει νὰ τὰ συμμαζεύση) καὶ ἐπειδὴ δὲν ἤθελε νὰ τὸν ἐλέγξη, ἢ νὰ τὸν ἐντροπιάση, ἐπροφασίσθη κάποιαν ἀνάγκην, δηλαδὴ πονόκοιλον· ἔτσι ἔφυγεν ἀπὸ τὸ κελλὶ τοῦ ἀδελφοῦ καὶ ἔμεινεν ἀρκετὴν ὥραν παράμερα, μέχρις ὅτου πάρη τὰ πράγματα ἀπὸ τὴν μέσην ὁ ἀδελφός. Κατόπιν ἐπέστρεψε καὶ ἤρχισε νὰ λέγη εἰς τὸν ἀδελφὸν δι' ἄλλα πράγματα, χωρὶς νὰ κάμη καθόλου λόγον διὰ τὸ κελλὶ ἢ τὰ σκεύη ποὺ ἔχασε.

Μετ' ὀλίγας ἡμέρας ἀνεγνωρίσθησαν τὰ σκεύη τοῦ Γέροντος ἀπὸ κάποιους γνωστούς· ἐκεῖνοι συνέλαβαν τὸν ἀδελφὸν ποὺ τὰ ἔκλεψε, χωρὶς νὰ τὸ γνωρίζη ὁ Γέρων, καὶ τὸν ἔβαλαν εἰς τὴν φυλακήν. Μόλις ἐπληροφορήθη ὁ Γέρων, ὅτι εὑρίσκεται εἰς τὴν φυλακὴν ὁ ἀδελφός, καὶ χωρὶς νὰ γνωρίζη τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐφυλακίσθη, ἐπῆγεν εἰς τὸν Ἡγούμενον τοῦ γειτονικοῦ Κοινοβίου (διότι καὶ ὁ Ἡγούμενος καὶ ὅλοι οἱ ἀδελφοὶ τὸν ἐσέβοντο, διὰ τὸ μέγεθος τῆς ἀρετῆς του, ὅπως ἐλέχθη προηγουνως) καὶ τοῦ λέγει· κάμε ἀγάπην καὶ δῶσε μου ὀλίγα αὐγὰ καὶ ὀλίγα παξιμάδια.

— Σὲ ἐπεσκέφθησαν ξένοι, Ἀββᾶ; τὸν ἐρωτᾷ ὁ Ἡγούμενος.

— Μάλιστα, ἀπήντησεν ὁ Γέρων.

Ὁ Ἡγούμενος διέταξε τότε καὶ τοῦ ἐδόθησαν ὅσα ἤθελε. Ἀφοῦ λοιπὸν ὁ Γέρων ἐπῆρε τὰ παξιμάδια καὶ τὰ αὐγά, ἐπῆγεν εἰς τὴν φυλακήν, ὅπου ἦτο κλεισμένος ὁ ἀδελφὸς καὶ εἰσῆλθεν εἰς αὐτήν.

Μόλις τὸν εἶδεν ὁ ἀδελφὸς ἔτρεξε καὶ ἔπεσεν εἰς τὰ πόδια του.

— Συγχώρεσέ με, τοῦ λέγει· διότι ἐξ αἰτίας σου εὑρίσκομαι ἐδῶ, ἐπειδὴ σοῦ ἔκλεψα τὰ πράγματα. Τὸ βιβλίον σου εὑρίσκεται εἰς τὰ χέρια τοῦ τάδε καὶ τὸ ἱμάτιόν σου εἰς τὸν τάδε καὶ ἐν συνεχείᾳ τὰ εἶπεν ὅλα.

Ὁ Γέρων τότε τοῦ ἀπήντησεν·

— Ἂς ἡσυχάση, τέκνον μου, ἡ καρδία σου, διότι δὲν ἦλθα ἐδῶ δι' αὐτά. Οὔτε καὶ ἔμαθα καθόλου ὅτι δι' ἐμὲ εὑρίσκεσαι ἐδῶ· ἤκουσα ὅτι ἐφυλακίσθης, χωρὶς νὰ γνωρίζω τὸ διατί. Καὶ ἐπειδὴ ἐλυπήθην διὰ τὴν στενοχωρίαν σου, ἦλθα ἐδῶ νὰ σὲ παρηγορήσω ὀλίγον· νά, ἰδέ καὶ τὰ αὐγὰ καὶ τὰ παξιμάδια ποὺ ἔφερα διὰ σέ. Ἀφοῦ ὅμως τώρα ἐπληροφορήθηκα, ὅτι ἐξ αἰτίας μου κρατεῖσαι ἐδῶ, θὰ κάμω τὸ πᾶν, μέχρις ὅτου, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, σὲ βγάλω ἔξω ἀπὸ τὴν φυλακήν.

Πράγματι δὲ ἔφυγε καὶ παρεκάλεσε μερικοὺς ἀπὸ τοὺς ἰσχυροὺς τοῦ κόσμου (διότι καὶ εἰς αὐτοὺς ἦτο γνωστὸς ὁ Γέρων διὰ τὴν ἀρετήν του) καὶ ἐκεῖνοι ἔστειλαν καὶ ἀπεφυλάκισαν τὸν ἀδελφόν.

ΥΠΟΘΕΣΙΣ ΜΑ΄

Ὅτι οὐ δεῖ τινα ἄνθρωπον μισεῖν.

Ὅτι δὲν πρέπει νὰ μισῶμεν κανένα ἄνθρωπον.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ παρέβαλε τῷ ἀββᾷ Ποιμένι· καὶ συγκαθεζομένων τινῶν καὶ ἄλλων, ἐπήνεσέ τινα ἀδελφόν, εἰπὼν ὅτι μισοπόνηρός ἐστι. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· τί ἐστι μισοπονηρία; Ὁ δὲ ἀδελφὸς ἠπόρησε καὶ οὐχ εὗρεν ἀποκριθῆναι αὐτῷ. Ἀναστὰς δὲ μετενόησε τῷ γέροντι λέγων· εἰπέ μοι Ἀββᾶ, τί ἐστι μισοπονηρία; Καὶ ἀπεκρίθη ὁ γέρων· μισοπονηρίαν ἐκεῖνος κατώρθωσεν, ὅστις τὰς ἁμαρτίας αὐτοῦ ἐμίσησε καὶ τὸν πλησίον ἐδικαίωσε.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἐπεσκέφθη κάποτε τὸν Ἀββᾶν Ποιμένα· καθὼς δὲ ἐκάθηντο μὲ μερικοὺς ἄλλους, ἐπήνεσε κάποιον ἀδελφόν. Εἶναι —εἶπε— μισοπόνηρος.

— Τί εἶναι μισοπονηρία; τὸν ἐρωτᾷ ὁ Ἀββᾶς Ποιμήν.

Ὁ ἀδελφὸς τὰ ἔχασεν ἀπὸ τὴν ἐρώτησιν αὐτήν, καὶ δὲν εὗρῆκε κατάλληλον ἀπάντησιν. Ἀμέσως τότε ἐσηκώθη, ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ τοῦ εἶπε:


—Ἀββᾶ, τί εἶναι μισοπονηρία;

Καὶ ὁ Γέρων ἀπήντησε:

— Τὴν μισοπονηρίαν κατώρθωσε νὰ ἐφαρμόσῃ ἐκεῖνος ποὺ ἐμίσησε τὰς ἁμαρτίας του καὶ ἐδικαίωσε τὸν πλησίον του.

Β΄. Τοῦ Ἁγίου Διαδόχου

ΤΗι θεοφιλεῖ ψυχῇ πολλὰ μὲν τὴν ἀρχὴν διενοχλεῖ πάθη, πλέον δὲ πάντων ὁ θυμὸς καὶ τὸ μῖσος. Τοῦτο δὲ πάσχει οὐ τοσοῦτον διὰ τοὺς ἐνεργοῦντας ταῦτα δαίμονας, ὅσον διὰ τὴν οἰκείαν προκοπήν. Ἕως μὲν γὰρ ἡ ψυχὴ τῷ τοῦ κόσμου φρονή-


Ὁ ἈΒΒΑΣ
ΠΟΙΜΗΝ
Ράλλης Κοψίδης. 1963

ματι συνεπάγεται, κἂν ὅπως ἂν ἴδῃ τὸ δίκαιον παρά τινων καταπατούμενον, ἀκίνητος καὶ ἀτάραχος μένει· τῶν γὰρ ἰδίων ἐπιθυμιῶν φροντίζουσα, εἰς τὸ δίκαιον οὐκ ἀφορᾷ τοῦ Θεοῦ. Ὅτε δὲ τῶν ἑαυτῆς ἐπάνω ἄρξεται γίνεσθαι παθῶν, οὔτε ἐν ὀνείρῳ τὸ δίκαιον ἰδεῖν ἀθετούμενον φέρει, διά τε τὴν τῶν παρόντων καταφρόνησιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, ἀλλὰ χολᾷ κατὰ τῶν κακούργων καὶ ταράττεται, ἕως ὅτε ἴδῃ τοὺς ὑβριστὰς τῆς δικαιοσύνης εὐσεβεῖ λογισμῷ τῷ ταύτης ἀπολογουμένους ἀξιώματι.

Διὰ τοῦτο οὖν τοὺς μὲν ἀδίκους μισεῖ, τοὺς δὲ δικαίους ὑπεραγαπᾷ· συνάρπακτον γὰρ πάντως τὸ ὄμμα τῆς ψυχῆς γίνεται, ὅταν τὸ ἑαυτῆς παραπέτασμα, τὸ σῶμα, λέγω, εἰς λεπτότητα πολλὴν διὰ τῆς ἐγκρατείας ἐξυφάνῃ· πλὴν κρεῖττόν ἐστι πολὺ τοῦ μισεῖν τοὺς ἀδίκους, τὸ κλαίειν τὴν αὐτῶν ἀναισθησίαν. Εἰ γὰρ κἀκεῖνοι μίσους ὑπάρχουσιν ἄξιοι, ἀλλὰ τὴν φιλόθεον ψυχὴν ὁ λόγος οὐ θέλει ὑπὸ μίσους ὀχλεῖσθαι, ἐπειδὴ μίσους ἐμπαρόντος τῇ ψυχῇ οὐκ ἐνεργεῖ ἡ γνῶσις.

Ἑρμηνεία

ΤΗΝ ψυχὴν ποὺ ἀγαπᾷ τὸν Θεὸν ἐνοχλοῦν εἰς τὴν ἀρχὴν πολλὰ πάθη· περισσότερον δὲ ἀπὸ ὅλα ὁ θυμὸς καὶ τὸ μῖσος. Ὑποφέρει δὲ αὐτό, ὄχι τόσον ἐξ αἰτίας τῶν δαιμόνων, ποὺ τὰ ἐνεργοῦν, ἀλλὰ διὰ τὴν ἰδικήν της προκοπήν. Διότι ἐφ' ὅσον ἀκόμη ἡ ψυχὴ παρασύρεται ἀπὸ τὸ κοσμικὸν φρόνημα, ἔστω καὶ νὰ ἴδῃ νὰ καταπατῆται τὸ δίκαιον ἀπὸ μερικούς, αὐτὴ παραμένει ἀκίνητος καὶ ἀτάραχος· διότι φροντίζει διὰ τὰς ἰδίας ἐπιθυμίας καὶ δὲν προσέχει εἰς τὸ δίκαιον τοῦ Θεοῦ. Ὅταν ὅμως ἀρχίσῃ νὰ γίνεται ἀνωτέρα ἀπὸ τὰ πάθη της, οὔτε εἰς τὸ ὄνειρόν της δὲν ἀνέχεται νὰ βλέπῃ ὅτι καταπατεῖται τὸ δίκαιον τοῦ Θεοῦ, διότι ἔχει πλέον καταφρονήσει τὰ παρόντα καὶ ἀγαπᾷ μόνον τὸν Θεόν· ἀπ' ἐναντίας στενοχωρεῖται καὶ ταράσσεται κατὰ τῶν κακούργων, μέχρις ὅτου ἴδῃ τοὺς ὑβριστὰς τῆς δικαιοσύνης νὰ ἀπολογοῦνται μὲ εὐσεβεῖς σκέψεις ἐνώπιον τοῦ ἀξιώματός της.

Διὰ τοῦτο τοὺς μὲν ἀδίκους μισεῖ, ὑπεραγαπᾷ δὲ τοὺς δικαίους· διότι τὸ βλέμμα τῆς ψυχῆς συναρπάζεται ἐξ ὁλοκλήρου, ὅταν κάνῃ πολὺ λεπτόν, μὲ τὴν ἐγκράτειαν, τὸ παραπέτασμά της, δηλαδὴ τὸ σῶμα. Ὡστόσον εἶναι πολὺ καλύτερον, ἀντὶ νὰ μισῶμεν τοὺς ἀδίκους, νὰ κλαίωμεν διὰ τὴν ἀναισθησίαν των. Διότι ἂν καὶ εἶναι ἄξιοι μίσους ἐκεῖνοι οἱ ἄδικοι, ἀλλὰ τὸ λογικὸν δὲν θέλει νὰ ἐνοχλῆται ἀπὸ τὸ μῖσος ἡ φιλόθεος ψυχή, ἐπειδὴ ὅταν τὸ μῖσος κυριεύσῃ τὴν ψυχήν, δὲν ἐνεργεῖ μέσα της ἡ γνῶσις τοῦ Θεοῦ.

Γ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΜΗ μισήσῃς τὸν ἁμαρτωλόν· πάντες γάρ ἐσμεν ὑπεύθυνοι· καὶ ἐὰν διὰ τὸν Θεὸν κινῇ κατ' αὐτοῦ, κλαῦσον ὑπὲρ αὐτοῦ καὶ μὴ μισήσῃς αὐτόν, ἀλλὰ τὰς ἁμαρτίας αὐτοῦ μίσησον· ὑπὲρ δὲ αὐτοῦ εὖξαι, ἵνα ὁμοιωθῇς τῷ Χριστῷ, ὃς οὐκ ἠγανάκτει κατὰ τῶν ἁμαρτωλῶν, ἀλλ' ὑπερηύχετο, ἔκλαυσε δὲ καὶ ὑπὲρ τῆς Ἱερουσαλήμ. Καὶ ἡμεῖς δὲ ἐν πολλοῖς ὑπὸ τοῦ διαβόλου καταγελώμεθα, καὶ διατί τὸν καθ' ἡμᾶς κατα-

γελασθέντα ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ σισήσομεν καὶ βδελυξόμεθα; Εἰ δὲ διὰ τοῦτο μισεῖς τὸν ἁμαρτωλόν, ὅτι οὐκ ἔστι δίκαιος κατὰ σέ, ἐκ τούτου δεικνύεις ὅτι καὶ σὺ ἁμαρτωλὸς εἶ, μὴ ἔχων ἀγάπην· ὁ δὲ τῆς ἀγάπης ἐστερημένος, ἐστέρηται τοῦ Θεοῦ· ἥπερ ὁ Θεός ἐστιν ἡ ἀγάπη.

Μὴ οὖν μίσει ἢ καταδίωκε τὸν ἁμαρτωλόν, ἀλλὰ διὰ τῆς συμπαθείας γενοῦ κήρυξ τῆς ἀγαθότητος τοῦ Θεοῦ, ὃς ἀνάξιόν σε ὄντα κυβερνᾷ καὶ οὐκ ἀπορρίπτει οὐδὲ βδελύσσεται, οὐδὲ τὴν ἐκδίκησιν ἐπάγει τῶν πολλῶν καὶ μεγάλων σου ὀφλημάτων. Μίμησαι οὖν καὶ σὺ κατὰ τὸ δυνατὸν τὴν αὐτοῦ εὐσπλαγχνίαν καὶ ἀγαθότητα καὶ γενοῦ οἰκτίρμων πρὸς τὸν ὁμόδουλον, ἵνα τῇ μικρᾷ συμπαθείᾳ τὴν μεγίστην παρὰ Θεοῦ ἀντικομίσῃ συμπάθειαν.

Ἑρμηνεία

ΝΑ μὴ μισήσῃς τὸν ἁμαρτωλόν, διότι ὅλοι εἴμεθα ὑπεύθυνοι. Καὶ ἂν παρακινῆσαι ἐναντίον του ἀπὸ ζῆλον Θεοῦ, νὰ κλαύσῃς διὰ τὸν ἁμαρτωλὸν καὶ νὰ μὴ τὸν μισήσῃς, ἀλλὰ νὰ μισήσῃς τὰς ἁμαρτίας του. Νὰ προσευχηθῇς δι' αὐτόν, διὰ νὰ ὁμοιάσῃς μὲ τὸν Χριστόν, ὁ Ὁποῖος δὲν ἀγανακτοῦσεν ἐναντίον τῶν ἁμαρτωλῶν, ἀλλὰ ηὔχετο περισσότερον δι' αὐτοὺς καὶ ἔκλαυσε διὰ τὴν Ἱερουσαλὴμ (Ματθ. κγ´, 37). Καὶ ἡμεῖς ἐξαπατώμεθα, εἰς πολλὰς περιπτώσεις, ἀπὸ τὸν διάβολον· διατὶ λοιπὸν νὰ μισήσωμεν καὶ νὰ ἀποστραφῶμεν ἐκεῖνον ποὺ ἐξηπατήθη καὶ ἐγελάστηκεν ἀπὸ τὸν κοινόν μας ἐχθρόν; Ἂν μισῇς τὸν ἁμαρτωλὸν δι' αὐτό, ὅτι τάχα δὲν εἶναι, κατὰ τὴν γνώμην σου, δίκαιος, δεικνύεις μὲ αὐτὸ ὅτι καὶ σὺ εἶσαι ἁμαρτωλός, ἐπειδὴ δὲν ἔχεις ἀγάπην· ἐκεῖνος δὲ ποὺ ἔχει ἀποστερηθῇ τὴν ἀγάπην, ἔχει χάσει καὶ τὸν Θεόν, διότι ὁ Θεὸς εἶναι κυρίως ἀγάπη.

Μὴ μισῇς λοιπὸν καὶ μὴ καταδιώκῃς τὸν ἁμαρτωλόν, ἀλλὰ μὲ τὴν συμπάθειάν σου πρὸς αὐτὸν γίνε κήρυξ τῆς ἀγαθότητος τοῦ Θεοῦ, ὁ Ὁποῖος, ἂν καὶ εἶσαι ἀνάξιος, σὲ κυβερνᾷ καὶ δὲν σὲ παραπετᾷ οὔτε σὲ ἀποστρέφεται λόγῳ τῶν πολλῶν καὶ μεγάλων σου ἁμαρτημάτων. Μιμήσου λοιπὸν καὶ σύ, ὅσον ἠμπορεῖς, τὴν εὐσπλαγχνίαν Του καὶ τὴν ἀγαθότητά Του καὶ γίνε οἰκτίρμων πρὸς τὸν σύνδουλόν σου, διὰ νὰ κερδίσῃς ἀπὸ τὸν Θεὸν τὴν μεγίστην συμπάθειάν Του, μὲ τὴν μικρὰν ἰδικήν σου συμπάθειαν.



ΥΠΟΘΕΣΙΣ ΜΒ΄

῞Οτι ὀλέθριον ἡ μνησικακία· καὶ οὐ μόνον πᾶσαν ἐργασίαν πνευματικὴν ἀχρειοῖ, ἀλλὰ καὶ τὴν τοῦ Θεοῦ ἀποστρέφει συμπάθειαν, καὶ πῶς δεῖ κατ' αὐτῆς ἵστασθαι.

῞Οτι ἡ μνησικακία εἶναι ὀλέθριον πρᾶγμα· καὶ ὄχι μόνον καταστρέφει ὁποιανδήποτε πνευματικὴν ἐργασίαν, ἀλλὰ ἀποκλείει καὶ τὴν συμπάθειαν τοῦ Θεοῦ καὶ πῶς πρέπει νὰ τὴν ἀντιμετωπίζωμεν.

Α΄. ᾿Εν τῷ Μαρτυρίῳ τοῦ ῾Αγίου Νικηφόρου

ΑΝΗΡ ΤΙΣ ἱερεὺς Σαπρίκιος ὄνομα φίλον εἶχεν εἰς τὰ μάλιστα τὸν μακάριον Νικηφόρον, λαϊκὸν ὄντα. Τοσαύτη δὲ ἀμφοτέροις ἦν ἡ ἀγάπη, ὡς δοκεῖν ἑκάτερον ἐν τῇ τοῦ ἑτέρου ψυχῇ ζῆν· φθόνῳ δὲ τοῦ ἐχθροῦ πρᾶγμα τι συμπεσόν, πᾶσαν ἐκείνην τὴν φιλίαν διέλυσε καὶ εἰς φανερὰν ἔχθραν αὐτοὺς ἐξήγαγε καὶ τοσοῦτον, ὡς μηδὲ ὑπομένειν ἑκάτερον τοῖς ἰδίοις ὀφθαλμοῖς προσβλέψαι τὸν ἕτερον, ἀλλ' εἴ που αὐτῷ συναντήσοι, ἀποστρέφειν τὰς ὄψεις καὶ τὴν θέαν αὐτὴν βδελυττόμενον. Καὶ γὰρ πεφύκασιν αἱ μεγάλαι φιλίαι, πρὸς ἀπέχθειαν ἐκτραπεῖσαι, ἀνάλογον ἐκ τῆς ἐναντίας γνώμης ἐπιδείκνυσθαι καὶ τὸ μῖσος.

᾿Αλλ' ὁ μακάριος Νικηφόρος, ἡ ἀγαθὴ καὶ ἐπιεικὴς καὶ συμπαθεστάτη ψυχή, ταχέως τοῦ πάθους ἀνενεγκών, καὶ τὸν αἴτιον αὐτοῦ, ὃς τις εἴη, μὴ ἀγνοήσας, τὸ τῆς ἀγάπης καλὸν θερμῶς αὖθις καὶ σπουδαίως ἀνεκαλεῖτο, πρῶτα μὲν διά τινων γνωρίμων τῷ φίλῳ διαπρεσβευόμενος καὶ ἑαυτῷ ἐπιρρίπτων τὴν αἰτίαν τοῦ σφάλματος, καὶ συγγνώμην θερμῶς ἐξαιτούμενος. ῎Επειτα ὡς ἐκεῖνος ἀκαμπὴς ἦν καὶ ἀμείλικτος καὶ τὴν ἔχθραν διέλυεν οὐδαμῶς, καὶ ταῦτα καὶ ἱερεὺς ὢν καὶ θύτης, καὶ μαθητὴς τοῦ εἰρηνικοῦ τε καὶ ἀμνησικάκου Χριστοῦ, καὶ μετὰ τῶν ἄλλων καὶ περὶ ἀμνησικακίας ἀεὶ τὸν ὑπ' αὐτὸν διδάσκων λαόν, αὐτὸς ἐκεῖνος ὁ γλυκὺς Νικηφόρος τῷ Σαπρικίῳ ἐν ἐπιτηδείῳ καιρῷ προσελθών, καὶ πεσὼν πρὸς τοῖς ἐκείνου ποσί, καὶ δάκρυσι θερμοῖς ἱκέτευεν ἀφεῖναι αὐτῷ τὴν ἔχθραν καὶ τὴν προτέραν φιλίαν ἀναλαβεῖν.

Ἀλλ' ὁ Σαπρίκιος μηδὲν πρὸς ταῦτα παθὼν ἢ καθυφεὶς τῆς ὀργῆς, καίτοι ἐκεῖνος τὴν τοῦ σκανδάλου παρασχὼν πρόφασιν, διωσάμενος τοῦτον εὐθὺς ἀντιπαρῆλθε, μήτε λόγου μήτε προσρήσεως ἢ κἂν ψιλοῦ βλέμματος μεταδοὺς τῷ φίλῳ.

Οὕτως οὖν ἐχόντων αὐτῶν πρὸς ἀλλήλους καὶ τοῦ μὲν παντὶ τρόπῳ ἀνακαλουμένου τὴν προτέραν φιλίαν, τοῦ δὲ τὸ μῖσος μὴ διαλύοντος, διωγμὸς κατὰ Χριστιανῶν αὖθις ἠγείρετο Ἰουλιανοῦ βασιλεύσαντος καὶ προστάξαντος πάντας τοὺς ὑπ' αὐτὸν Χριστιανούς, εἰ μὴ ἐξόμνυνται τὴν εὐσέβειαν, κολάζεσθαι σφόδρα καὶ ἀναιρεῖσθαι.

Τοῦ οὖν τοιούτου προστάγματος καὶ τὴν πόλιν καταλαβόντος, ἐν ᾗ κατῴκουν ἄμφω Νικηφόρος τε καὶ Σαπρίκιος, ὁ Σαπρίκιος διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ἐπισημότερος ὤν, κρατηθεὶς εὐθύς, δίκας ὑπὸ τοῦ ἡγεμόνος ἐπράττετο καὶ τὴν εὐσέβειαν ἐξόμνυσθαι ἐβιάζετο. Ὡς δὲ ἐκεῖνος γενναίως ἐνίστατο καὶ τῇ ἀσεβείᾳ συνθέσθαι ὅλως οὐκ ἐπείθετο, ὁ ἡγεμὼν ἀπογνοὺς πάσης πειθοῦς, ἐχώρει πρὸς τιμωρίας. Καὶ πρῶτα μὲν ἐμβάλλει κοχλίᾳ τινὶ χαλεπῷ τὸν Σαπρίκιον, οὗτος δὲ μηχανήμασι καὶ τέχναις περιελκόμενος καὶ στρεφόμενος, ἐδόκει μὲν πᾶσιν ὑπολύσαι τὸν τόνον αὐτῷ τῆς ἐντάσεως, ἢ γοῦν ἀλλὰ πᾶν αὐτῷ δαπανῆσαι τὸ σῶμα καὶ ἀναλῶσαι, καὶ τέλος βιαιότατα τῆς παρούσης αὐτὸν ἀποστερῆσαι ζωῆς. Ἐπεὶ δὲ καὶ πρὸς τὸ σφοδρὸν ἐκεῖνο τῆς βασάνου διεκαρτέρει καὶ οὐδὲ ὅλως ὑφίετο τῆς ὁμολογίας, πᾶσαν ἐλπίδα μεταβολῆς ὁ διώκτης ἀπαγορεύσας, τὴν τοῦ θανάτου κατ' αὐτοῦ δίδωσι ψῆφον, ξίφει αὐτὸν ἀναιρεθῆναι προστάξας.

Ὁ μὲν οὖν ἤγετο τὴν ἐπὶ θανάτῳ· Νικηφόρος δὲ ταῦτα μὴ ἀγνοήσας, ἀλλὰ γνοὺς τὸν Σαπρίκιον τὴν ἐσχάτην τρίβον ἀνύοντα, καὶ νῦν αὐτοῦ μάλιστα καιρὸν ἔσεσθαι νομίσας τοῦ ποθουμένου πράγματος τῆς διαλλαγῆς, ἅπτεται τῶν ἐκείνου ποδῶν ἀθρόον ἐπιφανείς, καὶ θερμότατα δεῖται καὶ ἱκετεύει μὴ τὸν φίλον καταλιπεῖν ἀσυγχώρητον, ἀλλὰ συγγνώμην νεῖμαι τῷ ἁμαρτήματι. Καὶ ὁ μὲν οὕτος ἱκέτευε τῶν ἐκείνου ποδῶν δάκρυα θερμὰ καταχέων· ὁ δέ, ὢ ψυχῆς φιλανθρώπου καὶ ἀνημέρου! οὐδ' ἐρριμμένῳ πρὸς τοῖς πασὶν ἐπεστράφη τῷ φίλῳ, οὐδὲ πάθει τοσούτῳ καὶ ὀδυρμοῖς ἐπεκλάσθη, ἀλλὰ κηρῷ μνησικακίας τὰ ὦτα φραξάμενος, συντομώτερον ἔτι μᾶλλον εἴχετο τῆς πορείας, τὰς συμπαθεῖς τοῦ φίλου δεήσεις καὶ ἀνακλήσεις ἀντιπαρελθεῖν ἐπειγόμενος.

Ὁ δὲ θαυμαστὸς Νικηφόρος μηδ' οὕτως ἀπαγορεύσας, τὴν ἐπιτομωτέραν τραπόμενος καὶ κατατείνας ἑαυτόν, ᾗ ποδῶν εἶχε πρὸς τὴν πορείαν, προϋπαντᾷ πάλιν ἀνὰ τὴν πόλιν αὐτῷ τὰς αὐτὰς ἢ καὶ περιπαθεστέρας ἱκετηρίας, οὐ γλώττῃ καὶ χείλεσιν, ἀλλὰ γυμνῇ καθάπερ τῇ ψυχῇ ποιούμενος καὶ μέλεσι πᾶσι, καὶ σχήμασι, καὶ πλουσίᾳ δακρύων ἐπιρροῇ, τὸν ἔλεον ἐκκαλούμενος. Ὁ δὲ κωφὸς ἦν ἔτι πρὸς ταῦτα λίθῳ παντάπασιν ἐοικώς· καὶ οὕτω δυσμενῶς καὶ ὀργίλως ἔχων, καὶ τῷ θυμῷ καθάπερ ἐξεστηκώς, τὸν τῆς τελειώσεως τόπον κατέλαβεν.

Ἐπειδὴ δὲ χεῖρες δημίων τὸ ξίφος ἐπανετείνοντο, καὶ ὑποσχεῖν ὅσον οὔπω ἔμελλε τὸν αὐχένα Σαπρίκιος, ὑπὲρ κεφαλῆς τε ἦσαν οἱ στέφανοι καὶ λαμπρῶς μεταβῆναι πρὸς τὸν ἀγωνοθέτην ηὐτρέπιστο, τὸ μὲν γόνυ κλῖναι πρὸς τὴν ἐκτομὴν ὑπὸ τῶν δημίων ἐπέσκηπτο, ὁ δὲ δεινῶς τὴν ψυχὴν τῷ τῆς μνησικακίας σκότῳ πεπληρωμένος, καὶ τῶν ἐν χερσίν, ὥς περ ἐπιλαθόμενος καὶ ἀγνοῶν ἐν οἷς εἴη, τὴν αἰτίαν ἠρώτα τῆς ἀναιρέσεως, οἷά τις ἐξεστηκὼς καὶ φρενῶν ἔρημος. Τῶν δὲ ἀποκρινα-

μένων ὅτι βασιλικῶν ἀλογήσας ἐπιταγμάτων, θῦσαι τοῖς ἐκείνων οὐκ ἐπείσθης θεοῖς, ὢ τῶν ἐμῶν κακῶν! ὢ τοῦ χαλεποῦ τῆς μνησικακίας πτώματος! ἕνα τῶν κατεχόντων αὐτὸν ἀπίστων ἀνομολογεῖ ἑαυτὸν καὶ Σαπρίκιος καὶ ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς ἀναίδην ἐξόμνυται τὴν εὐσέβειαν.

Τοῦτο ὁ θεῖος Νικηφόρος ἰδών, μεῖζον τὴν ψυχὴν ὀδυνᾶται καὶ θερμότερον ἔτι μᾶλλον προσελιπάρει Σαπρίκιον, μή, ἀδελφέ, λέγων, καὶ πάτερ, μὴ θελήσῃς προδοῦναι Θεόν, ὅς σε καὶ εἰς τὸ εἶναι παρήγαγε, καὶ πρὸς ὃν ἐπιστρέψαι μέλλεις δι' ἀναλύσεως, μὴ δ' εὐσεβείας καθυβρίσαι θεσμὰ μηδὲ ὁμολογίαν ἣν ὑπὸ Θεῷ καὶ Ἀγγέλοις πεποίησαι. Αἰδέσθητι τοὺς προτέρους διὰ Χριστὸν ἄθλους· τὰς χαλεπὰς ἐκείνας τοῦ κοχλίου περιτροπάς, τὴν καινοτάτην τοῦ σώματος κάκωσιν· τίμησον τὸ μέγα τῆς ἱερωσύνης ἀξίωμα· μὴ κακὸν ἀρχέτυπον γένῃ τοῖς ἄλλοις καὶ ἀσεβείας ὑπόδειγμα· μὴ δέομαί σου τοῦ φίλου καὶ γόνυ κάμπτω καὶ ποδῶν ἅπτομαι. Μὴ ψεύσῃ τὴν ὑπὲρ τῆς Τριάδος ὁμολογίαν, ἤδη σοι καὶ διὰ χειρὸς τὰ βραβεῖα, μονονοὺ ὑπὲρ κεφαλῆς καὶ τῆς ἀθλήσεως στέφανοι.

Ταῦτα ὁμοῦ τε πρὸς τὸν φίλον ἐδεῖτο καὶ τὴν ψυχὴν διεκόπτετο· ἐπεὶ δὲ πλεῖον ἔτι μᾶλλον ἡ ἀπόνοια Σαπρικίῳ καὶ ἡ φαραωνῖτις ἐκείνη καρδία ἐσκληρύνετο πλέον, καὶ τούτοις οὐκ ἐμαλάσσετο, εἵλετο γὰρ τῆς εὐσεβείας ἀποστῆναι μᾶλλον ἢ μνησικακίας μεταβαλεῖν. Σφοδρότερον δὲ ὁ χρηστὸς Νικηφόρος τῷ ὑπὲρ εὐσεβείας καὶ τοῦ φίλου ζήλῳ τηκόμενος, καὶ οὐκ ἔχων λοιπὸν ὃ δράσειεν, ἑαυτὸν ἀντεισάγει τῷ μαρτυρίῳ, τὴν ἴσην ὁμολογίαν ἐπιδεικνύς, τὸν ἴσον θάνατον ἐκκαλούμενος, καὶ τὸν αὐχένα ὑπετίθει καὶ τὸ ξίφος ἐζήτει, καὶ τὰς τῶν δημίων χεῖρας λίαν καθ' ἑαυτοῦ νεανικῶς ὥπλιζεν.

Ἀλλ' ἐκείνοις ἐπεῖχε τὴν κατ' αὐτοῦ τέως ὁρμὴν τὸ μηδέπω τὰ κατ' αὐτὸν ἀκουστὰ θέσθαι τῷ ἡγεμόνι, μηδ' ἐντετάλθαι τούτοις περὶ αὐτοῦ. Ὡς δὲ διά τινος τῶν ἐκεῖ συνειλεγμένων δρομαίως παρ' αὐτὸν ἀφιγμένου, ἀνηγγέλθη ταῦτα τῷ ἡγεμόνι, ὁ μὲν ἐπὶ τὸν μάρτυρα μετάγει τὴν ψῆφον. Κομισθείσης δὲ τῆς καταδίκης τοῖς δημίοις ἐν γραμματείοις, τὴν διὰ ξίφους ὁ καλὸς Νικηφόρος τελείωσιν δέχεται, ὀλίγου καιροῦ καὶ πόνου βασιλείαν οὐράνιον ὠνησάμενος, καὶ νικηφόρος μᾶλλον ἀναφανεὶς ἐκ τοῦ πράγματος ἢ τοῦ ὀνόματος.

Οὕτως οὐ σωμάτων ἆθλοι καὶ πόνοι καὶ κακοπάθειαι τοσοῦτον οἰκειῶσαι Θεῷ δύνανται, ὡς ψυχῆς συμπάθεια καὶ φιλανθρωπία καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη, τὸ πάντων ἀγαθῶν κεφάλαιον, ἃ καὶ παρ' αὐτοῦ καλῶς ἡμῖν τοῦ κοινοῦ δεσπότου καὶ διδασκάλου νενομοθέτηται.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἱερεύς, ὁ Σαπρίκιος, εἶχε πολὺ στενὸν φίλον τὸν μακάριον Νικηφόρον, ὁ ὁποῖος ἦτο λαϊκός. Τόση δὲ ἀγάπη ὑπῆρχε μεταξὺ τῶν δύο, ὥστε ὁ καθένας των νὰ νομίζῃ ὅτι ἐζοῦσεν εἰς τὴν ψυχὴν τοῦ ἄλλου. Ἀπὸ φθόνον ὅμως τοῦ σατανᾶ συνέβη κάποιο γεγονός, ποὺ διέλυσεν ὅλην ἐκείνην τὴν φιλίαν καὶ τοὺς ἔφερεν εἰς ἀνοικτὴν ἔχθραν, ὥστε νὰ μὴ θέλῃ ὁ ἕνας νὰ ἀντικρύσῃ τὸν ἄλλον· καὶ ἂν κάπου συνηντῶντο, ὁ καθένας των ἐγύριζεν ἀλλοῦ τὸ πρόσωπόν του, ὡσὰν νὰ ἐσιχαίνετο ὁ ἕνας νὰ κοιτάξῃ τὸν ἄλλον. Διότι πραγματικὰ ἔτσι γίνεται· ὅταν αἱ μεγά-

λαι φιλίαι μεταπέσουν εἰς ἔχθραν, τότε, λόγῳ τῆς μεταβολῆς τῆς γνώμης, ἡ μεγάλη ἀγάπη μετατρέπεται εἰς ἄσπονδον μῖσος.

Ἀλλὰ ὁ μακάριος Νικηφόρος, αὐτὴ ἡ ἀγαθὴ καὶ πλημμυρισμένη ἀπὸ ἐπιείκειαν καὶ συμπάθειαν ψυχή, συνῆλθε γρήγορα ἀπὸ τὸ πάθος· δι' αὐτό, ἂν καὶ δὲν ἀγνοοῦσε τὸν αἴτιον τοῦ πάθους, ὅποιος καὶ ἂν ἦτο, ἐπεδίωκε πάλιν μὲ ἐπιμονὴν καὶ θερμότητα ψυχῆς νὰ ἀποκαταστήσῃ τὴν ὡραιότητα τῆς ἀγάπης. Ἀρχικῶς λοιπὸν ἔστειλε πρὸς τὸν φίλον του μερικοὺς γνωστοὺς διὰ νὰ τοὺς συμφιλιώσουν· διὰ νὰ ἐπιτύχῃ δὲ τὸ διάβημα, ἐπέρριπτεν εἰς τὸν ἑαυτόν του τὴν αἰτίαν τῆς παρεξηγήσεως καὶ ἐζητοῦσεν εἰλικρινὰ συγγνώμην. Ἐκεῖνος ὅμως παρέμενεν ἄκαμπτος, σκληρός, δὲν διέλυε καθόλου τὴν ἔχθραν, ἂν καὶ ἦτο ἱερεὺς καὶ μαθητὴς τοῦ εἰρηνικοῦ, πράου καὶ ἀμνησικάκου Χριστοῦ, προσέφερε τὴν ἀναίμακτον θυσίαν, καὶ ἐδίδασκε πάντοτε τὸ ποίμνιόν του, μεταξὺ ἄλλων, καὶ τὴν ἀμνησικακίαν· κατόπιν αὐτοῦ ὁ ἴδιος ὁ γλυκὺς Νικηφόρος ἐπλησίασεν εἰς κατάλληλον στιγμὴν τὸν Σαπρίκιον, ἔπεσεν εἰς τὰ πόδια του καὶ μὲ θερμὰ δάκρυα τὸν ἐπαρακαλοῦσε νὰ συγχωρήσουν ὁ ἕνας τὸν ἄλλον καὶ νὰ γίνουν πάλιν, ὅπως καὶ προηγουμένως, φίλοι.

Ἀλλ' ὁ Σαπρίκιος, χωρὶς νὰ συγκινηθῇ καθόλου ἀπὸ αὐτά, ἢ νὰ ἀφήσῃ τὴν ὀργήν, ἂν καὶ ὁ ἴδιος ἦτο ἡ αἰτία τοῦ σκανδάλου, ἀφοῦ τὸν ἔσπρωξε πάρα πέρα, ἐπροσπέρασε γρήγορα χωρὶς κἂν νὰ ὁμιλήσῃ, ἢ νὰ κοιτάξῃ μὲ ἕνα ἁπλὸν βλέμμα τὸν φίλον του.

Ἐνῷ λοιπὸν ἔτσι εἶχαν τὰ πράγματα μεταξύ των καὶ ὁ μὲν ἕνας ἐπροσπαθοῦσε, μὲ κάθε τρόπον, νὰ ἀποκαταστήσῃ μεταξύ των τὴν προηγουμένην φιλίαν, καὶ ὁ ἄλλος δὲν διέλυε τὸ μῖσος, ἠγέρθη νέος διωγμὸς ἐναντίον τῶν χριστιανῶν ἀπὸ τὸν Ἰουλιανόν*· αὐτός, μόλις ἐπῆρεν εἰς τὰ χέρια του τὴν βασιλείαν, διέταξε νὰ βασανίζωνται σκληρὰ καὶ νὰ φονεύωνται ὅλοι οἱ Χριστιανοὶ ποὺ εὑρίσκοντο ὑπὸ τὴν ἐξουσίαν του, ἂν δὲν ἠρνοῦντο τὴν χριστιανικὴν πίστιν.

Ὅταν λοιπὸν ἔφθασεν αὐτὴ ἡ διαταγὴ καὶ εἰς τὴν πόλιν, ὅπου ἐκατοικοῦσαν καὶ οἱ δύο, ὁ Νικηφόρος καὶ ὁ Σαπρίκιος, συνελήφθη ἀμέσως ὁ Σαπρίκιος, ὡς περισσότερον ἐπίσημος διὰ τὸ ἀξίωμα τῆς ἱερωσύ-

---

* Ὁ Ἰουλιανὸς ἦτο ἀνεψιὸς τοῦ Μεγάλου Κωνσταντίνου, ἔγινε δὲ αὐτοκράτωρ τοῦ Βυζαντινοῦ κράτους τὸ 361 μ. Χ. Ἂν καὶ εἶχεν ἀνατραφῆ χριστιανικῶς καὶ εἶχε γνωρισθῆ εἰς τὰς Ἀθήνας μὲ τὸν Μέγαν Βασίλειον καὶ τὸν Γρηγόριον τὸν Ναζιανζηνόν, ὅπου ἐσπούδαζαν μαζί, ἐν τούτοις ὅταν ἔγινεν αὐτοκράτωρ ἠθέλησε νὰ ἀναστηλώσῃ τὴν παλαιὰν εἰδωλολατρικὴν θρησκείαν καὶ νὰ τὴν καταστήσῃ ἐπίσημον θρησκείαν τοῦ κράτους. Διὰ τοῦτο ὠνομάσθη Ἀποστάτης ἢ Παραβάτης τῆς χριστιανικῆς θρησκείας. Ἀλλὰ ἡ προσπάθεια τοῦ Ἰουλιανοῦ ἀπεδείχθη ματαία, διότι ἡ εἰδωλολατρεία εἶχεν ἀποθάνει ὁριστικῶς, παρὰ τοὺς διωγμοὺς τοὺς ὁποίους ὁ Ἰουλιανὸς διέταξεν ἐναντίον τῶν χριστιανῶν καὶ παρὰ τὰ προνόμια ποὺ παρεχώρησεν εἰς τοὺς Ἐθνικούς. Ἐφονεύθη πολεμῶν ἐναντίον τῶν Περσῶν τὸ 363 μ. Χ.

νης πού ἔφερε, ἐδικάσθη ἀπὸ τὸν Ἡγεμόνα, καὶ ἐπιέζετο νὰ ἀρνηθῇ τὴν εὐσέβειαν. Ἐπειδὴ ὅμως ἐκεῖνος ἀντεστέκετο γενναίως καὶ δὲν ἐπείθετο νὰ δεχθῇ τὴν ἀσέβειαν τῆς εἰδωλολατρείας, ὁ ἡγεμὼν ἀπηλπίσθη, ὅτι θὰ ἠδύνατο νὰ τὸν μεταπείσῃ καὶ ἐπροχώρησεν εἰς τιμωρίας. Καὶ πρῶτα - -πρῶτα κλείει τὸν Σαπρίκιον μέσα εἰς ἕνα φοβερὸν κοχλίαν*. Ὁ κοχλίας αὐτὸς ἐσύρετο καὶ ἐστριφογύριζε μὲ διαφόρους μηχανισμούς, ὥστε νὰ φαίνεται εἰς ὅλους ὅτι θὰ διέλυε τὸν Σαπρίκιον μὲ τὸ τέντωμά του, ὅτι θὰ ἔλυωνε ὅλον του τὸ σῶμα καὶ ὅτι, τέλος, θὰ τὸν ἐθανάτωνε βιαιότατα. Ἐπειδὴ ὅμως ἔκαμνεν ὑπομονὴν εἰς ἐκεῖνο τὸ φοβερὸν βασανιστήριον καὶ μὲ κανένα τρόπον δὲν ἠρνεῖτο τὴν ὁμολογίαν του, ἀπογοητευμένος πλέον ὁ διώκτης, ἀπεφάσισε νὰ τὸν θανατώσῃ καὶ διέταξε νὰ τὸν ἐκτελέσουν μὲ ξίφος.

Κατόπιν αὐτοῦ ὁ Σαπρίκιος ὡδηγεῖτο εἰς τὸν θάνατον. Ὁ Νικηφόρος, ὁ ὁποῖος ὅλα αὐτὰ τὰ ἐγνώριζεν, ὅταν εἶδεν ὅτι ὁ Σαπρίκιος ἐβάδιζε τὸν τελευταῖον δρόμον, ἐνόμισεν ὅτι αὐτὸς ἦτο ὁ καταλληλότερος καιρὸς διὰ νὰ πραγματοποιήσῃ τὸν πόθον του, δηλαδὴ τὴν συμφιλίωσιν. Ἐμφανίζεται λοιπὸν ἔξαφνα, ἀγκαλιάζει τὰ πόδια του καὶ θερμότατα παρακαλεῖ καὶ ἱκετεύει νὰ μὴ ἐγκαταλείψῃ ἀσυγχώρητον τὸν φίλον, ἀλλὰ νὰ τὸν συγχωρήσῃ διὰ τὸ σφάλμα του. Καὶ ὁ μὲν Νικηφόρος μὲ ἐπιμονὴν τὸν ἱκέτευε καὶ ἔβρεχε μὲ θερμὰ δάκρυα τὰ πόδια τοῦ Σαπρικίου· ἀλλ᾽ ἐκεῖνος, ὢ ἀφιλάνθρωπος ψυχή! οὔτε ἐγύρισε νὰ κοιτάξῃ τὸν φίλον του, ἔτσι καθὼς ἦτο ριγμένος εἰς τὰ πόδια του, οὔτε ἐμαλάκωσεν ἀπὸ τόσην συγκίνησιν καὶ τόσους ὀδυρμούς. Ἔφραξε μὲ τὸ κερὶ τῆς μνησικακίας τὰ αὐτιά του καὶ ἔκαμε ταχυτέραν τὴν πορείαν του, διὰ νὰ προσπεράσῃ βιαστικὰ τὸν φίλον του μὲ τὰ συμπαθητικά του παρακάλια.

Ὁ ἀξιοθαύμαστος ὅμως Νικηφόρος οὔτε καὶ τότε ἀπηλπίσθη· ἠκολούθησεν ἀμέσως ἄλλον συντομώτερον δρόμον καὶ ἀφοῦ ἔτρεξεν ὅσον ἠμποροῦσεν γρηγορώτερα, τὸν προφθάνει πάλιν εἰς τὴν πόλιν. Ἐπαναλαμβάνει λοιπὸν καὶ πάλιν θερμοτέρας τὰς παρακλήσεις πρὸς αὐτόν· ὄχι μόνον μὲ τὴν γλῶσσαν καὶ τὰ χείλη, ἀλλ᾽ ὡς νὰ εἶχε γυμνώσει τὴν ψυχήν του, ἐζητοῦσε τὴν εὐσπλαγχνίαν του καὶ μὲ τὰ μέλη του καὶ μὲ χειρονομίας καὶ μὲ ἄφθονα τὰ δάκρυα. Ὁ Σαπρίκιος ὅμως ἔμενε τελείως κωφὸς πρὸς ὅλα αὐτὰ καὶ ὡμοίαζε πρὸς πέτραν. Ἔτσι ἐξωργισμένος καὶ θυμωμένος, ὡσὰν ἀφηρημένος, ἔφθασεν εἰς τὸν τόπον τῆς ἐκτελέσεως.

Καὶ ἐνῷ τὰ χέρια τῶν δημίων ὕψωναν τὸ ξίφος καὶ ἐντὸς ὀλίγου ὁ Σαπρίκιος θὰ ἔσκυβε τὸν αὐχένα, ἐπάνω δὲ ἀπὸ τὴν κεφαλήν του εὑρίσκοντο οἱ στέφανοι καὶ προητοιμάζετο νὰ μεταβῇ πρὸς τὸν Ἀγωνοθέτην, συνέβη κάτι τὸ τρομερόν· οἱ δήμιοι τὸν ἐβίαζαν νὰ γονατίσῃ, διὰ νὰ τὸν

---

* Ὁ κοχλίας ἦτο μηχανὴ χρησιμοποιουμένη διὰ τὸν βασανισμὸν ἐγκληματιῶν καὶ καταδίκων, οἱ ὁποῖοι προσεδένοντο ἐπ᾽ αὐτοῦ καὶ διὰ τῆς περιστροφῆς τοῦ κοχλίου ἐτεντώνοντο τὰ διάφορα μέλη των, προξενουμένων οὕτω εἰς τοὺς βασανιζομένους τρομερῶν πόνων.

ἀποκεφαλίσουν καὶ ἐκεῖνος, σκοτεινιασμένος ἀπὸ τὴν μνησικακίαν, ἐφαίνετο ὡσὰν νὰ μὴ ἐγνώριζε μεταξὺ ποίων εὑρίσκετο καὶ ὡσὰν νὰ ἐλησμόνησε διατί τὸν συνέλαβον, ἠρώτα νὰ μάθῃ, σαστισμένος καὶ μὲ χαμένα τελείως τὰ λογικά του, διατὶ ἐπρόκειτο νὰ τὸν ἐκτελέσουν!

—Ἐπειδὴ περιεφρόνησες —ἀπήντησαν ἐκεῖνοι— τὰ βασιλικὰ προστάγματα καὶ δὲν ἐπείσθης νὰ θυσιάσῃς εἰς τοὺς θεούς μας!

Καὶ τότε, ὢ συμφορά μου! ὢ τῆς φοβερᾶς πτώσεως τῆς μνησικακίας! Ὁ Σαπρίκιος ὁμολογεῖ ὅτι εἶναι καὶ αὐτὸς ἄπιστος, ὅπως ἐκεῖνοι, οἱ ὁποῖοι τὸν ἐκρατοῦσαν καὶ ἀρνεῖται χωρὶς ἐντροπὴν ἐμπρὸς εἰς τὰ μάτια ὅλων, τὴν χριστιανικὴν εὐσέβειαν!

Μόλις εἶδεν αὐτὸ ὁ θεῖος Νικηφόρος ἐσπάραξεν ἡ ψυχή του ἀκόμη περισσότερον καὶ ἐπαρακαλοῦσεν ἀκόμη θερμότερα τὸν Σαπρίκιον.

—Μὴ —τοῦ ἔλεγεν— ἀδελφὲ καὶ πατέρα, μὴ θελήσῃς νὰ προδώσῃς τὸν Θεόν, ποὺ σὲ ἐδημιούργησε καὶ πρὸς τὸν Ὁποῖον πρόκειται, μετὰ τὸν θάνατον, νὰ ἐπιστρέψῃς. Μὴ προσβάλῃς τοὺς νόμους τῆς εὐσεβείας, οὔτε τὴν ὁμολογίαν ποὺ ἔδωσες ἐνώπιον Θεοῦ καὶ Ἀγγέλων. Νὰ σεβασθῇς τὰ προηγούμενα μαρτύρια ποὺ ὑπέστης διὰ τὸν Χριστόν· τὰ φοβερὰ γυρίσματα τοῦ κοχλίου, τὴν πρόσφατον σωματικὴν κάκωσιν. Νὰ τιμήσῃς τὸ μεγάλο ἀξίωμα τῆς ἱερωσύνης. Νὰ μὴ γίνῃς κακὸν ὑπόδειγμα διὰ τοὺς ἄλλους καὶ παράδειγμα ἀσεβείας. Σὲ παρακαλῶ, φίλε μου, γονατιστὸς καὶ τὰ πόδια σοῦ φιλῶ. Μὴ διαψεύσῃς τὴν ὁμολογίαν σου διὰ τὴν Ἁγίαν Τριάδα, τώρα ποὺ ἔχεις πλέον εἰς τὰ χέρια σου τὰ βραβεῖα καὶ σχεδὸν ἐπάνω εἰς τὴν κεφαλήν σου εὑρίσκονται τὰ στεφάνια τοῦ ἀθλητοῦ.

Αὐτὰ ἐπαρακαλοῦσε τὸν φίλον του μὲ σπαραγμὸν ψυχῆς. Ἐπειδὴ ὅμως ὅλον καὶ περισσότερον ἐμεγάλωνεν ἡ ἀναισθησία τοῦ Σαπρικίου καὶ ἐσκληρύνετο ἡ φαραωνιτικὴ* ἐκείνη καρδία δὲν ἐμαλάκωνε μὲ τὰ λόγια αὐτά· διότι ὁ Σαπρίκιος ἐπροτίμησε νὰ ἀρνηθῇ τὴν εὐσέβειαν, παρὰ νὰ ἀποβάλῃ τὴν μνησικακίαν. Τότε ὁ καλὸς Νικηφόρος ἐφούντωσεν ἀπὸ σφοδρὸν ζῆλον χάριν τῆς εὐσεβείας καὶ τοῦ φίλου του καὶ ἐπειδὴ πλέον δὲν εἶχε τίποτα νὰ κάμῃ, ρίπτεται εἰς τὸ μαρτύριον, ὁμολογεῖ τὸν Χριστὸν καὶ τοποθετεῖ τὸν λαιμόν του κάτω ἀπὸ τὸ ξίφος τοῦ δημίου, ἐπιζητῶν τὸν ἴδιον μὲ τὸν Σαπρίκιον θάνατον· ἔτσι μὲ γενναιότητα ὥπλιζε τὰ χέρια τῶν δημίων ἐναντίον του.

Οἱ δήμιοι ὅμως συνεκράτησαν τὴν ὁρμήν των ἐναντίον τοῦ Νικη-

---

* Ὁ συγγραφεὺς ὀνομάζει τὴν καρδίαν τοῦ Σαπρικίου φαραωνίτιδα, διότι ὅπως μεθ' ἑκάστην πληγήν, τὴν ὁποίαν ἔστελλεν ὁ Θεὸς ἐναντίον τοῦ Φαραώ, ἵνα ἀπελευθερώσῃ τοὺς Ἑβραίους, ὅταν ἡ πληγὴ παρήρχετο, ἡ καρδία του ἐσκληρύνετο ἀκόμη περισσότερον, οὕτω καὶ ἡ καρδία τοῦ Σαπρικίου, ὅσον τὸν παρεκάλει ὁ Νικηφόρος νὰ συμφιλιωθοῦν, ἐσκληρύνετο ἀκόμη περισσότερον καὶ τέλος τὸ πάθος τῆς μνησικακίας τὸν ὡδήγησεν εἰς τὸ νὰ γίνῃ ἐξωμότης καὶ νὰ ἀρνηθῇ τὴν ἀληθινὴν πίστιν τοῦ Χριστοῦ.

φόρου, διότι ἀκόμη δὲν εἶχεν ἀκούσει τίποτε δι' αὐτὸν ὁ ἡγεμὼν καὶ οὔτε τοὺς εἶχε δώσει σχετικὴν διαταγήν. Μόλις ὅμως ἀνεφέρθησαν αὐτὰ εἰς τὸν ἡγεμόνα ἀπὸ κάποιον, ὁ ὁποῖος ἦλθε τρέχων, ἀπὸ τοὺς συγκεντρωμένους εἰς τὸν τόπον τοῦ μαρτυρίου, ἀμέσως ὁ ἡγεμὼν μετατρέπει τὴν καταδικαστικὴν ἀπόφασιν ἐναντίον τοῦ Νικηφόρου. Ὅταν δὲ ἡ διαταγὴ τῆς καταδίκης, γραμμένη εἰς ἐπιστολήν, ἐκομίσθη εἰς τοὺς δημίους, ὁ καλὸς Νικηφόρος ὑπέστη τὸν μαρτυρικὸν θάνατον διὰ ξίφους. Καὶ ἔτσι μέσα εἰς ὀλίγον χρόνον καὶ μὲ ὀλίγον κόπον ἐκέρδισε τὴν οὐράνιον βασιλείαν, ἀναδειχθεὶς ὄχι ἐκ τοῦ ὀνόματος, ἀλλ' ἐκ τῶν πραγμάτων νικηφόρος.

Ἀπὸ αὐτὰ συνάγομεν τὸ συμπέρασμα ὅτι δὲν ἠμποροῦν νὰ συμφιλιώσουν μὲ τὸν Θεὸν τόσον οἱ σωματικοὶ ἀγῶνες καὶ οἱ κόποι, ὅσον ἡ συμπάθεια τῆς ψυχῆς καὶ ἡ φιλανθρωπία καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη, ἡ ὁποία εἶναι τὸ κεφάλαιον ὅλων τῶν καλῶν. Αὐτὰ δὲ ὅλα ἔχουν νομοθετηθῆ ἀπὸ τὸν Δεσπότην μας καὶ διδάσκαλον*.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ ἀββᾶς Μακάριος· ἐὰν μνησθῶμεν τῶν ὑπὸ τῶν ἀνθρώπων ἐπαγομένων κακῶν, ἀναιροῦμεν ἀφ' ἡμῶν τὴν δύναμιν τῆς τοῦ Θεοῦ μνήμης. Ἐὰν δὲ μὴ μιμνησκώμεθα τῶν κακῶν, ὧν πάσχομεν, ὑπὸ τῶν δαιμόνων ἐσόμεθα ἄτρωτοι.

2. Εἶπε γέρων, ὅτι ὁ κλέπτων ἢ ὁ ψευδόμενος ἢ ὁ ἄλλην ἁμαρτίαν ποιῶν, πολλάκις εὐθὺς μετὰ τὸ τελέσαι τὴν ἁμαρτίαν στενάζει καὶ μέμφεται ἑαυτόν, καὶ ἔρχεται εἰς μετάνοιαν. Ὁ δὲ μνησικακίαν ἔχων ἐν τῇ ψυχῇ, εἴτε ἐσθίει, εἴτε καθεύδει, εἴτε περιπατεῖ, ὥς περ ὑπὸ ἰοῦ κατεσθίεται, καὶ τὴν ἁμαρτίαν πάντοτε ἀχώριστον ἔχει, καὶ ἡ εὐχὴ αὐτοῦ κατάρα αὐτῷ γίνεται, καὶ ὅλος ὁ κόπος αὐτοῦ ἀπρόσδεκτος γίνεται, κἂν τὸ αἷμα αὐτοῦ ἐκχύσῃ διὰ τὸν Χριστόν.

3. Ἀδελφὸς ἐπηρεασθεὶς ὑπό τινος ἀπῆλθε πρός τινα γέροντα εἰς τὰ κελλία· καὶ λέγει αὐτῷ· Πάτερ, ἀδελφός τις ἐπηρέασέ με καὶ θλίβει με ὁ δαίμων ἕως οὗ ἀνταμύνωμαι αὐτὸν κἀγώ. Ἔφη αὐτῷ ὁ γέρων· ἄκουσόν μου, τέκνον, καὶ ὕπαγε εἰς τὸ κελλίον σου καὶ ἡσύχασον, δεόμενος τοῦ Θεοῦ ἐκτενῶς ὑπὲρ τοῦ ἀδικήσαντός σε ἀδελφοῦ, καὶ συντόμως τοῦ πάθους ἀπαλλαγήσει. Ἐποίησεν οὖν ὁ ἀδελφὸς καθ' ἃ ὑπέθετο αὐτῷ ὁ γέρων· καὶ εἴσω ἑβδομάδος ἐξήλειψεν ὁ Θεὸς τὴν ὀργὴν ἀπ' αὐτοῦ, διὰ τὴν βίαν ἣν ἐβιάσατο ἑαυτόν, καὶ τὴν ὑπακοὴν ἣν ἐπεδείξατο πρὸς τὸν γέροντα.

4. Δύο τινὲς ἀδελφοὶ ἐν καιρῷ διωγμοῦ κρατηθέντες, ἤχθησαν εἰς τὸ μαρτυρῆσαι· καὶ βασανισθέντες ἅπαξ ἐβλήθησαν εἰς φυλακήν. Γέγονε δέ τις ἐξ ἐπηρείας δαιμονικῆς μεταξὺ αὐτῶν ἀμφιβολία καὶ παροξυσμός. Ὁ οὖν εἷς μεταμεληθεὶς συντόμως ἔβαλε μετάνοιαν τῷ ἀδελφῷ λέγων· συμβαίνει ἡμᾶς αὔριον τελειωθῆναι· λύσωμεν τὴν κατ' ἀλλήλων ἔχθραν καὶ ποιήσωμεν ἀγάπην· ὁ δὲ ἄλλος οὐκ ἐπείθετο.

Τῇ οὖν ἑξῆς ἀχθέντες πάλιν εἰς τὸ δικαστήριον βασανίζονται· καὶ ὁ μὴ δε-

---

* Τὸ μαρτύριον τοῦ Ἁγίου Μάρτυρος Νικηφόρου, ὡς καὶ περὶ Σαπρικίου, βλέπε κατὰ πλάτος ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος Β', σελὶς 248.

ξάμενος τὴν μετάνοιαν, ἀπὸ πρώτης προσβολῆς ἡττήθη. Λέγει οὖν αὐτῷ ὁ ἄρχων· διὰ τί χθές, τοσαῦτα βασανισθείς, οὐκ ἐπείσθης μοι; Ὁ δὲ ἀποκριθεὶς εἶπε· διότι χθὲς μὲν πρὸς τὸν ἀδελφόν μου ἀγάπην εἶχον, καὶ ἡ τοῦ Θεοῦ χάρις ἐνεδυνάμου με, νῦν δὲ ἐμνησικάκησα αὐτῷ, καὶ διὰ τοῦτο ἐγυμνώθην τῆς τοῦ Θεοῦ μου σκέπης καὶ παρακλήσεως.

Ἑρμηνεία

Ὁ ΑΒΒΑΣ Μακάριος εἶπεν: ἂν ἐνθυμούμεθα τὰ κακὰ ποὺ μᾶς προξενοῦν οἱ ἄνθρωποι, καταστρέφομεν μέσα μας τὴν δύναμιν τῆς μνήμης τοῦ Θεοῦ. Ἂν ὅμως δὲν ἐνθυμούμεθα τὰ κακὰ ποὺ ὑποφέρομεν, τότε θὰ παραμείνωμεν ἀνίκητοι ἀπὸ τοὺς δαίμονας.

2. Ἕνας Γέρων εἶπεν: ὁ κλέπτης, ἢ αὐτός, ποὺ λέγει ψέματα, ἢ αὐτός, ποὺ κάμνει ἄλλην ἁμαρτίαν, πολλὰς φοράς, ἀμέσως μόλις διαπράξῃ τὴν ἁμαρτίαν, ἀναστενάζει, κατηγορεῖ τὸν ἑαυτόν του καὶ ἔρχεται εἰς μετάνοιαν· ἐκεῖνος ὅμως, ποὺ διατηρεῖ μνησικακίαν εἰς τὴν ψυχήν του, εἴτε τρώγει, εἴτε κοιμᾶται, εἴτε περιπατεῖ, κατατρώγεται ὅπως ὁ σίδηρος ἀπὸ τὴν σκουριάν, ἔχει πάντοτε ἀχώριστον σύντροφον τὴν ἁμαρτίαν, ἡ εὐχή του γίνεται κατάρα, δὲν γίνεται δεκτὸς καθόλου ὁ κόπος του, ἔστω καὶ ἂν χύσῃ τὸ αἷμά του διὰ τὸν Χριστόν.

3. Ἕνας ἀδελφὸς ἠνωχλήθη ἀπὸ κάποιον καὶ ἀμέσως ἐπῆγεν εἰς ἕνα Γέροντα, ποὺ ἔμενεν εἰς τὰ κελλία.

— Πάτερ — τοῦ λέγει — κάποιος ἀδελφὸς μὲ ἠνώχλησε καὶ ὁ δαίμων μὲ πειράζει διὰ νὰ τὸν ἐκδικηθῶ καὶ ἐγώ.

— Ἄκουσέ με, τέκνον μου — ἀπήντησεν ὁ γέρων — πήγαινε εἰς τὸ κελλίον σου, ἡσύχασε, καὶ νὰ προσεύχεσαι θερμὰ εἰς τὸν Θεὸν διὰ τὸν ἀδελφόν, ὁ ὁποῖος σὲ ἠδίκησεν· ἔτσι θὰ ἀπαλλαγῇς σύντομα ἀπὸ τὸ πάθος.

Ὁ ἀδελφὸς ἔκαμεν ὅπως τὸν συνεβούλευσεν ὁ Γέρων· καὶ μέσα εἰς μίαν ἑβδομάδα ὁ Θεὸς ἔσβησεν ἀπὸ τὴν ψυχήν του τὴν ὀργήν, διότι ἐβίασε τὸν ἑαυτόν του καὶ ἔδειξεν ὑπακοὴν εἰς τὸν Γέροντα.

4. Δύο ἀδελφοὶ συνελήφθησαν ἐν καιρῷ διωγμοῦ καὶ ὡδηγήθησαν διὰ νὰ βασανισθοῦν· ἀφοῦ λοιπὸν τὴν πρώτην ἡμέραν τοὺς ὑπέβαλαν εἰς μαρτύριον, τοὺς ἔρριψαν εἰς τὴν φυλακήν. Ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ ὅμως συνέβη μεταξύ των μία παρεξήγησις καὶ ὀλίγον ἐψυχράνθησαν. Ὁ ἕνας ἀπὸ αὐτοὺς μετεμελήθη καὶ ἔβαλε μετάνοιαν εἰς τὸν ἄλλον.

— Αὔριον πρόκειται νὰ μᾶς θανατώσουν — τοῦ εἶπε —· ἂς διαλύσωμεν λοιπὸν τὴν ἔχθραν μας καὶ ἂς ἀγαπήσωμεν. Ἀλλὰ ὁ ἄλλος δὲν ἐπείθετο.

Τὴν ἑπομένην ἡμέραν ὡδηγήθησαν καὶ πάλιν εἰς τὸ Κριτήριον καὶ ὑπεβλήθησαν εἰς νέα βασανιστήρια· τότε ἐκεῖνος ποὺ δὲν ἐδέχθη τὴν μετάνοιαν τοῦ ἀδελφοῦ, ἐνικήθη μὲ τὴν πρώτην προσβολήν.

— Διατὶ χθὲς — τὸν ἐρωτᾷ ὁ ἄρχων — ἐνῷ ὑπέστης τόσα βασανιστήρια, δὲν ἐπείσθης εἰς τὰ λόγια μου;

— Διότι χθὲς — ἀπήντησεν ὁ ἀδελφὸς — ἤμουν ἀγαπημένος μὲ τὸν ἀδελφόν μου καὶ μὲ ἐδυνάμωσεν ἡ Χάρις τοῦ Θεοῦ. Σήμερα ὅμως τοῦ ἐκράτησα μνησικακίαν καὶ διὰ τοῦτο ἀπογυμνώθηκα ἀπὸ τὴν σκέπην τοῦ Θεοῦ καὶ τὴν ἐνίσχυσίν Του.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΩΣΠΕΡ νέφος ὑποδραμὸν σκοτίζει τὸν ἥλιον, οὕτω τὸν νοῦν λογισμὸς μνησικακίας· ἐν γὰρ μνησικάκου ψυχῇ ἀλώπεκες κατασκηνώσουσι, καὶ ἐν τεταραγμένῃ καρδίᾳ θηρία ἄγρια ἐμφωλεύσουσιν, ἤγουν οἱ πονηροὶ καὶ ἀλάστορες δαίμονες.

Ἑρμηνεία

ΟΠΩΣ τὸ σύννεφον σκοτεινιάζει τὸν ἥλιον ἔτσι καὶ ὁ μνησίκακος λογισμὸς σκοτίζει τὸν νοῦν· εἰς τὴν ψυχὴν τοῦ μνησικάκου θὰ κατασκηνώσουν ἀλεποῦδες καὶ εἰς τὴν ἀναστατωμένην καρδίαν θὰ κάμουν φωλεὰν τὰ ἄγρια θηρία, δηλαδὴ οἱ πονηροὶ καὶ καταραμένοι δαίμονες.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ἀδελφὸς κακοποιήσῃ σε καὶ καταλαλήσῃ τις κατ' αὐτοῦ ἐπὶ σοῦ, φύλαξον τὴν καρδίαν σου, ἵνα μὴ ἡ κακία ἀνακαινισθῇ ἐν σοί· μνήσθητι δὲ τῶν ἁμαρτιῶν σου ἐνώπιον τοῦ Θεοῦ, ὅτι θέλεις ἵνα συγχωρήσῃ αὐτάς, καὶ μὴ ἀνταποδῷς τῷ πλησίον σου. Ἐὰν ἀκούσῃς, ὅτι εἰπέ τις κατὰ σοῦ λόγον, καὶ συναντήσῃς αὐτὸν εἴς τινα τόπον ἢ παραβάλῃ σοι, ποίησον τὸ πρόσωπόν σου εἰς αὐτὸν χαρωπὸν καὶ ἀγαθόν, κατὰ τὴν δύναμίν σου, μηδὲν δὲ εἴπῃς αὐτῷ ὧν ἤκουσας· γέγραπται γάρ· ὃς μνησικακεῖ, παράνομος.

Ἐὰν ἡσυχάζῃς ἐν τῷ κελλίῳ σου καὶ μνησθῇς τινος κακοποιήσαντός σε, ἀνάστηθι καὶ εὖξαι τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ σου, ἵνα συγχωρηθῇ αὐτῷ, καὶ ὁ λογισμὸς τῆς ἀνταποδόσεως ἀπέρχεται ἀπὸ σοῦ. Μὴ θελήσῃς ἀκοῦσαι βλάβην λυπήσαντός σε, ἵνα μὴ ἐν τῇ καρδίᾳ σου ἀνταποδώσῃς αὐτῷ.

Ἑρμηνεία

ΑΝ ἕνας ἀδελφὸς σοῦ κάμῃ κακὸν καὶ τὸν κατηγορήσῃ κάποιος ἐνώπιόν σου, προφύλαξε τὴν καρδίαν σου διὰ νὰ μὴ ἀνανεωθῇ μέσα σου ἡ κακία· νὰ ἐνθυμηθῇς ἀμέσως τὰς ἁμαρτίας τὰς ὁποίας ἔχεις κάμει εἰς τὸν Θεὸν καὶ αἱ ὁποῖαι θέλεις νὰ σοῦ συγχωρηθοῦν καὶ μὴ ἐπιδιώξῃς νὰ ἀνταποδώσῃς τὸ κακὸν εἰς τὸν πλησίον σου. Ἂν ἀκούσῃς ὅτι κάποιος εἶπε κάτι ἐναντίον σου καὶ τὸν συναντήσῃς σὲ κάποιο μέρος ἢ σὲ ἐπισκεφθῇ, φρόντισε, ὅσον ἠμπορεῖς, τὸ πρόσωπόν σου νὰ εἶναι χαρούμενον καὶ νὰ φανερώνῃ καλωσύνην . Νὰ μὴ τοῦ εἴπῃς δὲ τίποτα ἀπὸ ὅσα ἤκουσες, διότι ἡ Ἁγία Γραφὴ λέγει· «ὅποιος μνησικακεῖ, παραβαίνει τὸν νόμον τοῦ Θεοῦ» (Παροιμ. κα', 24).

Ἂν ἡσυχάζῃς εἰς τὸ κελλίον σου καὶ ἐνθυμηθῇς κάποιον, ὁ ὁποῖος σοῦ ἔκανε κακόν, σήκω καὶ προσευχήσου εἰς τὸν Θεόν, μὲ ὅλην σου τὴν καρδίαν νὰ τὸν συγχωρήσῃ ὁ Θεὸς καὶ ἀμέσως θὰ φύγῃ ἀπὸ ἐπάνω σου ὁ λογισμὸς τῆς ἐκδικήσεως. Μὴ θελήσῃς νὰ ἀκούσῃς ὅτι ἔπαθε κάτι κακὸν ἐκεῖνος ποὺ σὲ ἐλύπησε, διὰ νὰ μὴ δοκιμάσῃς εὐχαρίστησιν καὶ ἔτσι τὸν ἐκδικηθῇς μέσα εἰς τὴν καρδίαν σου.

Ε'. Τοῦ Ἀββᾶ Μάρκου

ΚΑΚΙΑ ἐν λογισμοῖς μελετωμένη θρασύνει καρδίαν, ἀναιρουμένη δὲ δι' ἐγκρατείας καὶ ἐλπίδος συντρίβει αὐτήν.

Ἑρμηνεία

Η ΚΑΚΙΑ τὴν ὁποίαν μελετᾷ κανεὶς εἰς τὴν σκέψιν του, ἀποθρασύνει τὴν καρδίαν· ὅταν ὅμως τὴν καταπολεμᾷ μὲ τὴν ἐγκράτειαν καὶ τὴν ἐλπίδα, τότε τὴν συντρίβει.

ΣΤ'. Τοῦ Ἁγίου Μαξίμου

Η ΛΥΠΗ τῇ μνησικακίᾳ συνέζευκται, ὅταν ὁ νοῦς τὸ πρόσωπον τοῦ ἀδελφοῦ μετὰ λύπης ἐνοπτρίζεται, δηλονότι μνησικακίαν ἔχῃ πρὸς αὐτόν· ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον, διότι πᾶς μνησίκακος παράνομος.

Ἐὰν μὲν σὺ μνησικακῇς τινι, προσεύχου ὑπὲρ αὐτοῦ καὶ ἱστᾷς τὸ πάθος τῆς κινήσεως, χωρίζων τὸ πάθος διὰ τῆς εὐχῆς καὶ τὴν λύπην ἐκ τῆς μνήμης τοῦ κακοῦ, οὗ περ σοι ἐποίησεν· ἀγαπητικὸς δὲ γενόμενος καὶ φιλάνθρωπος, παντελῶς ἐκ τῆς ψυχῆς τὸ πάθος ἐξαφανίζεις. Ἐὰν δὲ ἄλλος σοι μνησικακῇ, χαριστικὸς γενοῦ πρὸς αὐτὸν καὶ ταπεινός, καὶ καλῶν συνδιαιτῶ, συναναστρέφου τε καὶ συναυλίζου, καὶ ἀπαλλάττεις αὐτὸν τοῦ πάθους.

Ἑρμηνεία

Η ΛΥΠΗ πηγαίνει πάντοτε μαζὶ μὲ τὴν μνησικακίαν. Ὅταν δηλαδὴ ὁ νοῦς φέρῃ εἰς τὴν σκέψιν τὴν μορφὴν τοῦ ἀδελφοῦ καὶ δοκιμάζῃ λύπην, ἔχει μνησικακίαν ἐναντίον του. Ὁ δρόμος ὅμως τῶν μνησικάκων ὁδηγεῖ εἰς τὸν θάνατον, διότι «κάθε μνησίκακος εἶναι παραβάτης τοῦ νόμου τοῦ Θεοῦ» (Παροιμ. κα', 24).

Ἂν αἰσθάνεσαι μνησικακίαν ἐναντίον κάποιου, προσευχήσου δι' αὐτὸν καὶ τότε σταματᾷς ἀμέσως τὴν κίνησιν τοῦ πάθους πρὸς ἐκδίκησιν· ἔτσι μὲ τὴν εὐχὴν ἀπομακρύνεις τὸ πάθος καὶ χωρίζεις τὴν λύπην ἀπὸ τὴν ἐνθύμησιν τοῦ κακοῦ, ποὺ σοῦ ἔκαναν. Καὶ ὅταν πλέον αἰσθανθῇς ἀγάπην δι' αὐτὸν ποὺ σοῦ ἔκανε κακὸν καὶ γίνῃς φιλάνθρωπος, τότε ἐξαφανίζεις τελείως τὸ πάθος ἀπὸ τὴν ψυχήν σου. Ἂν πάλιν κάποιος ἄλλος διατηρῇ μνησικακίαν ἐναντίον σου, νὰ γίνεσαι ταπεινὸς ἀπέναντί του

καὶ νὰ τοῦ δείχνῃς καλωσύνην· νὰ τὸν καλῇς καὶ νὰ τρώγῃς μαζί του, νὰ συναναστρέφεσαι καὶ νὰ συνομιλῇς μαζί του καὶ ἔτσι θὰ τὸν ἀπαλλάξῃς ἀπὸ τὸ πάθος.

Ζ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΚΑΠΝΟΣ διώκει μελίσσας καὶ μνησικακία γνῶσιν ἀπὸ καρδίας. Δεήθητι τοῦ Κυρίου καὶ ἔκχεε δάκρυα ἐνώπιον τῆς ἀγαθότητος αὐτοῦ, καὶ μνησικακία μὴ αὐλιζέσθω ἐν τῇ ψυχῇ σου, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ.

Ἑρμηνεία

Ο ΚΑΠΝΟΣ φυγαδεύει τὰς μελίσσας καὶ ἡ μνησικακία τὴν γνῶσιν ἀπὸ τὴν καρδίαν. Νὰ δέεσαι εἰς τὸν Κύριον καὶ νὰ χύνῃς δάκρυα ἐμπρὸς εἰς τὴν ἀγαθότητά Του. Ἡ μνησικακία νὰ μὴ εὑρίσκῃ θέσιν εἰς τὴν ψυχήν σου καὶ νὰ εἶσαι ὡσὰν τὰ θυμίαμα ἐνώπιον τοῦ Θεοῦ.



ΥΠΟΘΕΣΙΣ ΜΓ΄

Ὅτι οὐ δεῖ τινι ἐπαρᾶσθαι.

Ὅτι δὲν πρέπει νὰ καταρώμεθα κανένα.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΕΝ ΤΟΙΣ μέρεσι τῆς Νουρσίας χώρας, δύο τινὲς Μοναχοὶ κατῴκουν σεμνῶς βιοῦντες, ὠνομάζοντο δὲ Φλωρέντιος καὶ Εὐτύχιος. Ὁ μὲν οὖν Εὐτύχιος τῷ πνευματικῷ ζήλῳ καὶ δυνάμεως θερμότητι ὑπεραυξάνων, πολλῶν ψυχὰς τῷ Θεῷ προσενέγκαι διὰ παραινέσεως ἠγωνίζετο. Ὕστερον δὲ Μοναστηρίου ἐν τῷ τόπῳ ἐκείνῳ δυσωπηθεὶς παρὰ τῶν ἐν αὐτῷ ἀδελφῶν προέστη ἐπὶ πολλοὺς χρόνους καὶ πολλοὺς ἐν τῇ τῆς ἁγίας ἀναστροφῆς ἀσχολίᾳ εἰς τελειότητα προεβίβασε· διὸ καὶ μετὰ θάνατον παρὰ Θεοῦ σημείοις τε καὶ τέρασιν ἐδοξάσθη, τοῦ ἐνδύματος αὐτοῦ αὐχμοῦ τε λύσιν καὶ ἄλλας ἰάσεις ἐπιτελέσαντος.

Ὁ δὲ Φλωρέντιος, τῇ ἀκακίᾳ καὶ τῇ προσευχῇ προσκαρτερῶν, τὴν παροῦσαν ζωὴν διήνυε μόνος μετὰ τὴν τοῦ Εὐτυχίου εἰς τὴν μονὴν ὑποχώρησιν, ἐν τῷ εὐκτηρίῳ ἐναπομείνας, ἐν ᾧ πρώην κατῴκουν ἀμφότεροι· ἐδέετο δὲ τοῦ παντοδυνάμου Θεοῦ, ὅπως αὐτῷ βοήθειαν δώσῃ τινά, πρὸς τὸ ἐκεῖσε αὐτὸν κατοικῆσαι.

Ἐν μιᾷ οὖν μετὰ τὴν εὐχὴν προελθὼν τῆς κέλλης, ἄρκτον πρὸ τῶν θυρῶν εὗρεν ἑστῶσαν καὶ τὴν κεφαλὴν ἐπὶ γῆν κλίνουσαν, καὶ φανερῶς δεικνύουσαν ὅτι πρὸς δουλείαν αὐτοῦ παρὰ Θεοῦ ἀπεστάλη. Γνοὺς δὲ τὴν αἰτίαν ὁ τοῦ Θεοῦ ἄνθρωπος δι' ἣν ἡ ἄρκτος παρῆν, ηὐχαρίστησε τῷ Θεῷ καὶ ἅπερ εἶχε τεσσαρα πρόβατα ταύτῃ παρέδωκε, μὴ ἔχων τινὰ τὸν βόσκοντα, καὶ ἐκέλευσεν αὐτῇ λέγων· ἄπελθε καὶ ταῦτα τὰ πρόβατα εἰς βοσκὴν ἐξάγαγε· περὶ δὲ τὴν ἕκτην ὥραν ὑπόστρεψον.

Παραλαβοῦσα οὖν ἡ ἄρκτος τὰ πρόβατα, εἰς βοσκὴν ἐξῆγε· καὶ πάλιν μετὰ τὴν ὥραν, ἣν ἐκελεύσθη, σὺν αὐτοῖς ὑπέστρεφεν· ὅτε γὰρ νηστεῦσαι ὁ δίκαιος ἤθελε, περὶ τὴν ἐνάτην ὥραν ὑποστρέφειν ἐκέλευε· καὶ ἀπαραβιάστως καθ' ἣν ἐκελεύσθη, κατὰ ταύτην ἀεὶ καὶ ὑπέστρεφεν. Ἐν ᾧ δὲ διὰ παντὸς τοῦτο ἐπράττετο καὶ ἐπιμελῶς χρόνον ἤδη συχνὸν τὰ πρόβατα ἡ ἄρκτος ἐποίμαινε καὶ ἡ τοῦ θαύματος φήμη διὰ πλάτους διέτρεχε, τέσσαρας ἄνδρας ἐκ τῶν μαθητῶν τοῦ εὐλαβεστάτου Εὐτυχίου

ὁ πονηρὸς ὑπελθών, καὶ φθόνον αὐτοῖς ἐμβαλὼν διότι ὁ διδάσκαλος αὐτῶν σημεῖα οὐκ ἐποίει, ὁ δὲ Φλωρέντιος ἐν τοσούτῳ θαύματι λαμπρὸς ἐφαίνετο, ἐκίνησεν αὐτούς, καὶ ἐνεδρεύσαντες τὴν ἄρκτον ἐφόνευσαν.

Ὁ οὖν Φλωρέντιος ἤδη τῆς ὥρας ἐνστάσης καθ' ἣν ὑποστρέψαι ἐπετράπη ἡ ἄρκτος, προσεδόκα αὐτὴν ὑποστρέψαι κατὰ τὸ ἔθος· ὡς δὲ καὶ ἡ ἑσπέρα παρῆν καὶ ἡ ἄρκτος ἐφαίνετο οὐδαμῶς, ἣν ἐκεῖνος ἐκ πολλῆς ἀκακίας ἀδελφὸν ὠνόμαζε, θλίβεσθαι ἤρξατο καὶ οὕτω λυπούμενος τὴν νύκτα διενεγκών, τῇ ἐπαύριον εἰς τὸν ἀγρὸν ἐπορεύθη, τὴν ἄρκτον ἅμα καὶ τὰ πρόβατα ἐπιζητήσων. Ὡς δὲ εὗρε ταύτην πεφονευμένην καὶ ἐρευνήσας ἔμαθε τοὺς φονεύσαντας, ἑαυτὸν εἰς θρῆνον δέδωκε, τῶν ἀδελφῶν μᾶλλον τὴν πονηρίαν ἢ τῆς ἄρκτου τὸν θάνατον ὀδυρόμενος.

Ὁ δὲ σεβάσμιος Εὐτύχιος μαθὼν τὸ γεγονὸς καὶ πρὸς ἑαυτὸν τοῦτον ἐπισπασάμενος, παραμυθεῖσθαι αὐτὸν ἐπεχείρει. Ὁ δὲ τοῦ Θεοῦ δοῦλος Φλωρέντιος ἐνώπιον αὐτοῦ μεγίστῳ πόνῳ συγκινηθείς, εὐχόμενος εἶπεν· Ἐλπίζω εἰς τὸν παντοδύναμον Θεόν, ὅτι ἐν τῇ ζωῇ ταύτῃ ἐνώπιον τῶν ἀνθρώπων διὰ τὴν κακίαν αὐτῶν τὴν ἀντάμειψιν ἀντιλαμβάνουσιν οἱ τὴν ἄρκτον μου μηδὲν αὐτοὺς βλάψασαν φονεύσαντες.

Παραχρῆμα οὖν τῇ τούτου φωνῇ καὶ ἡ παρὰ Θεοῦ ἐκδίκησις ἐπηκολούθησεν· καὶ οἱ τέσσαρες Μοναχοί, οἱ τὴν ἄρκτον φονεύσαντες, λέπρας νοσήματι περιέπεσον, ὥς τε τῶν μελῶν αὐτῶν εἰς τέλος σαπέντων, οὕτως αὐτοὺς τελευτῆσαι. Τούτου δὲ γεγονότος, σφόδρα ὁ τοῦ Θεοῦ ἄνθρωπος Φλωρέντιος ἐξέστη, φοβηθεὶς διότι αὐτοὺς κατηράσατο καὶ ἑαυτὸν φονευτὴν ἐκείνων ἐκάλει καὶ οὐ διέλειπεν ἐν ὅλῳ τῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ περὶ τούτων θρηνῶν καὶ τοῦ Θεοῦ δεόμενος ἀφεθῆναι αὐτῷ τὸ ἁμάρτημα. Πιστεύομεν δὲ ὅτι τούτου χάριν ὁ παντοδύναμος Θεὸς τοῦτο ἐποίησεν, ἵνα μὴ τοῦ λοιποῦ ὁ θαυμάσιος οὗτος καὶ ἄκακος ἀνὴρ τολμήσῃ ἐν οἱῳδήποτε πόνῳ ταρασσόμενος τὴν τῆς κατάρας βολίδα τινὶ ἐπιπέμψαι.

Πέτρος

ΚΑΙ οὕτω σφόδρα βαρύ ἐστι τὸ ἁμάρτημα τοῦτο, ἐάν ποτε ἴσως τῷ θυμῷ σαλευθέντες τινὰ καταρασώμεθα;

Γρηγόριος

ΠΕΡΙ τοῦ ἁμαρτήματος τούτου τί με ἐπερωτᾷς, Πέτρε, ἐὰν βαρὺ ὑπάρχῃ, ὁπόταν Παῦλος λέγῃ ὅτι λοίδοροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; Κατανόησον γὰρ ὁποῖον βαρὺ ἁμάρτημα ὑπάρχει, ὅτι τὴν κληρονομίαν τῆς βασιλείας τοῦ Θεοῦ ἀποστερεῖ.

Ἑρμηνεία

ΕΙΣ τὰ μέρη τῆς Νουρσίας* ἔμεναν δύο Μοναχοὶ ποὺ ἔζοῦσαν μὲ ἁγιότητα· ὁ ἕνας ὠνομάζετο Φλωρέντιος καὶ ὁ ἄλλος Εὐτύχιος. Ὁ

---

* Περὶ Νουρσίας βλ. ὑποσημείωσιν α' τῆς σελίδος 107 τοῦ Α' τόμου τοῦ «Εὐεργετινοῦ».

Εὐτύχιος, τοῦ ὁποίου ὁ πνευματικὸς ζῆλος ηὔξανε καθημερινῶς ὅλον καὶ περισσότερον καὶ ἡ δύναμις τῆς ψυχῆς του ἐγίνετο θερμοτέρα, ἠγωνίζετο νὰ φέρῃ κοντὰ εἰς τὸν Θεόν, μὲ τὰς συμβουλάς του, περισσοτέρας ψυχάς. Ὕστερα μάλιστα ἔγινεν Ἡγούμενος εἰς ἕνα Μοναστήρι τῆς περιοχῆς, κατόπιν ἐπιμόνων παρακλήσεων τῶν Μοναχῶν καὶ παρέμεινε πολλὰ χρόνια· μὲ τὸ παράδειγμά του δὲ ὡδήγησε πολλοὺς εἰς τὴν τελειότητα. Δι' αὐτὸ καὶ μετὰ θάνατον ὁ Θεὸς τὸν ἐδόξασεν. Ἔκαμε πολλὰ καταπληκτικὰ θαύματα· μονάχα μὲ τὸ ἔνδυμά του ἐσταμάτησεν ἀνομβρίαν καὶ πολλοὶ ἄρρωστοι ἐθεραπεύθησαν.

Ὁ Φλωρέντιος, πάλιν, μετὰ τὴν ἀναχώρησιν τοῦ Εὐτυχίου εἰς τὸ Μοναστήρι, παρέμεινεν εἰς τὸ ἴδιον ἀσκητήριον, ὅπου ἐκατοικοῦσαν προηγουμένως καὶ οἱ δύο. Ἐξηκολούθησε νὰ εἶναι ἄκακος καὶ νὰ προσεύχεται μὲ ἐπιμονήν· ἔτσι ἐπερνοῦσε μοναχός του τὴν παροῦσαν ζωήν. Παρεκάλει δὲ τὸν παντοδύναμον Θεὸν νὰ τὸν βοηθήσῃ νὰ παραμείνῃ μόνος του ἐκεῖ.

Μίαν ἡμέραν, μετὰ τὴν προσευχήν, καθὼς ἐβγῆκεν ἔξω ἀπὸ τὸ κελλί, εὑρῆκεν ἐμπρὸς εἰς τὴν θύραν του νὰ κάθεται μία ἀρκούδα καὶ νὰ ἔχῃ κατεβασμένην πρὸς τὴν γῆν τὴν κεφαλήν της· ἔδειχνεν ὁλοφάνερα ὅτι τὴν ἔστειλεν ὁ Θεὸς διὰ νὰ τὸν ἐξυπηρετῇ. Μόλις ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐκατάλαβε τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἦλθεν ἡ ἀρκούδα, ηὐχαρίστησε τὸν Θεὸν καὶ παρέδωσεν εἰς αὐτὴν τὰ τέσσαρα πρόβατά του , ἐπειδὴ δὲν εἶχεν ἄλλον βοσκόν, καὶ τῆς παρήγγειλε: πήγαινε — τῆς λέγει — νὰ βοσκήσῃς αὐτὰ τὰ πρόβατα καὶ κατὰ τὴν ἕκτην ὥραν* νὰ ἐπιστρέψῃς.

Πραγματικὰ ἡ ἀρκούδα παρέλαβε τὰ πρόβατα καὶ τὰ ὡδηγοῦσεν εἰς τὴν βοσκήν· καὶ πάλιν τὴν ὥραν ποὺ διετάχθη, ἐπέστρεφε μαζὶ μὲ αὐτά. Ὅταν δὲ ὁ δίκαιος Φλωρέντιος ἤθελε νὰ νηστεύῃ, τὴν διέτασσε νὰ ἐπιστρέφῃ κατὰ τὴν ἐνάτην ὥραν· ἡ ἀρκούδα ἐπέστρεφεν ὁπωσδήποτε κατὰ τὴν ὥραν ποὺ διετάσσετο. Αὐτὸ ἐγίνετο καθημερινῶς· καὶ ἐπὶ ἀρκετὸν χρόνον ἡ ἀρκούδα ἔβοσκε μὲ ἐπιμέλειαν τὰ πρόβατα. Ὅταν πλέον τὸ θαῦμα εἶχε διαδοθῆ παντοῦ, τέσσαρες ἄνδρες ἀπὸ τοὺς μαθητὰς τοῦ εὐλαβεστάτου Εὐτυχίου, ἐπειράσθησαν ἀπὸ τὸν διάβολον. Ὁ πονηρός, δηλαδή, ἔβαλε φθόνον εἰς τὴν ψυχήν των, διότι, τάχα, ὁ διδάσκαλός των δὲν ἔκανε θαύματα, ἐνῷ ὁ Φλωρέντιος ἔγινε περίφημος μὲ ἕνα τόσον μεγάλο θαῦμα· τοὺς παρεκίνησε λοιπὸν εἰς τὸ κακὸν καί, ἀφοῦ παρεφύλαξαν, ἐσκότωσαν τὴν ἀρκούδα.

Ὅταν λοιπὸν ἔφθασεν ἡ ὥρα ποὺ συνήθως ἐπέστρεφεν ἡ ἀρκούδα, ὁ Φλωρέντιος τὴν ἐπερίμενε· καθὼς ὅμως ἐβράδυαζε καὶ δὲν ἐφαίνετο πουθενὰ ἡ ἀρκούδα, τὴν ὁποίαν ἀπὸ τὴν πολλὴν ἀκακίαν του τὴν ὠνόμαζεν ἀδελφόν, ἤρχισε νὰ στενοχωρῆται καὶ ἔτσι λυπημένος ἐπέρασεν ὁλόκληρον τὴν νύκτα. Τὸ πρωῒ τῆς ἑπομένης ἡμέρας ἐπῆγεν εἰς τὰ χωράφια

---

* Περὶ τῆς διαιρέσεως τῆς ἡμέρας εἰς ὥρας κατὰ τὴν ἐποχὴν ἐκείνην, βλέπε ὑποσημείωσιν τῆς σελίδος 158 τοῦ ἀνὰ χεῖρας Β' τόμου.

διὰ νὰ ἀναζητήση τὴν ἀρκούδα μαζὶ μὲ τὰ πρόβατα. Ἀφοῦ δὲ τὴν εὗρε σκοτωμένην καὶ ἐρευνήσας προσεκτικὰ ἔμαθε τοὺς φονεῖς, ἤρχισε τότε νὰ θρηνῆ ὄχι τόσον διὰ τὸν θάνατον τῆς ἀρκούδας, ὅσον διὰ τὴν κακίαν τῶν ἀδελφῶν.

Μόλις ἔμαθε τὸ γεγονὸς ὁ σεβάσμιος Εὐτύχιος, τὸν ἐκάλεσε κοντά του καὶ ἀφοῦ τὸν ἀγκάλιασε, ἐπροσπαθοῦσε νὰ τὸν παρηγορήση. Ὁ δοῦλος τοῦ Θεοῦ Φλωρέντιος ὅμως, συνεπαρμένος ἀπὸ τὸν μεγάλον πόνον, εὐχήθηκεν ἐμπρὸς εἰς τὸν Εὐτύχιον· «Ἐλπίζω εἰς τὸν Παντοδύναμον Θεόν, ὅτι εἰς αὐτὴν τὴν ζωὴν θὰ τιμωρηθοῦν ἐμπρὸς εἰς τοὺς ἀνθρώπους ἐκεῖνοι, οἱ ὁποῖοι χωρὶς νὰ τοὺς βλάψη καθόλου, ἐσκότωσαν τὴν ἀρκούδα μου».


Ἀμέσως μὲ τὰ λόγια αὐτὰ ἔφθασεν ἡ τιμωρία ἀπὸ τὸν Θεόν· οἱ τέσσαρες δηλαδὴ Μοναχοὶ ποὺ ἐσκότωσαν τὴν ἀρκούδαν, προσεβλήθησαν ἀπὸ λέπραν, καὶ εἰς τὸ τέλος ἐσάπισαν τὰ μέλη τους καὶ ἀπέθαναν. Ὅταν συνέβη αὐτό, ὁ ἄνθρωπος τοῦ Θεοῦ Φλωρέντιος ἐταράχθη πάρα πολύ. Ἐφοβήθηκε, διότι τοὺς ἐκαταράσθηκε καὶ δὲν ἔπαυσεν εἰς ὅλην του τὴν ζωὴν νὰ ὀνομάζη τὸν ἑαυτόν του φονέα ἐκείνων τῶν ἀδελφῶν, νὰ θρηνῆ δι' αὐτοὺς καὶ νὰ παρακαλῆ τὸν Θεὸν νὰ τοῦ συγχωρήση τὴν ἁμαρτίαν. Πιστεύομεν ὅτι ἐπέτρεψεν αὐτὸ ὁ Παντοδύναμος Θεός, διὰ νὰ μὴ τολμήση πλέον ὁ θαυμάσιος ἐκεῖνος ἄνθρωπος νὰ ρίψη τὴν βολίδα τῆς κατάρας ἐναντίον κανενός, ὁσάκις θὰ ἐταράσσετο ἀπὸ ὁποιονδήποτε πόνον.

Πέτρος

ΚΑΙ εἶναι τόσον βαρὺ αὐτὸ τὸ ἁμάρτημα, ἂν δηλαδὴ ἐπάνω εἰς τὸν θυμόν μας καταρασθῶμεν κάποιον;

Γρηγόριος

ΔΙΑΤΙ μὲ ἐρωτᾷς, Πέτρε, ἂν εἶναι βαρὺ αὐτὸ τὸ ἁμάρτημα, ὅταν ὁ Παῦλος λέγη ὅτι ὅσοι κακολογοῦν δὲν θὰ κληρονομήσουν τὴν Βασιλείαν τοῦ Θεοῦ (Α΄ Κορ. στ΄, 10); Σκέψου, δηλαδή, πόσον βαρὺ ἁμάρτημα εἶναι, ἀφοῦ ἀποστερεῖ τὸν ἔνοχον ἀπὸ τὴν Βασιλείαν τοῦ Θεοῦ!



ΥΠΟΘΕΣΙΣ ΜΔ΄

Ὅτι οὐ δεῖ μόνον μὴ ὑβρίζειν τινά, ἀλλὰ καὶ τοὺς ὑβρίζοντας εὐλογεῖν, καὶ οὕτω καταστέλλειν αὐτῶν τὸν θυμόν.

Ὅτι ὄχι μόνον δὲν πρέπει νὰ ὑβρίζωμεν κανένα, ἀλλὰ καὶ ἐκείνους ἀκόμη, οἱ ὁποῖοι μᾶς ὑβρίζουν νὰ εὐλογῶμεν καὶ ἔτσι νὰ καταπραΰνωμεν τὸν θυμόν των.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου, ὅτι ἀνέβαινέ ποτε ἐκ τῆς σκήτεως πρὸς τὸ ὄρος τῆς Νιτρίας· καὶ ὡς ἤγγισε τῷ τόπῳ, εἶπε τῷ μαθητῇ αὐτοῦ· πρόλαβε μικρόν. Προάγων οὖν ὁ μαθητὴς συναντᾷ τινι ἱερεῖ τῶν Ἑλλήνων τρέχοντι καὶ λέγει αὐτῷ μετὰ κραυγῆς· αἴ, αἴ, δαῖμον, ποῦ τρέχεις; Ὀργισθεὶς δὲ ἐκεῖνος ἐντείνει αὐτῷ πληγὰς πάνυ σφοδρὰς τῇ ῥάβδῳ ᾗ κατεῖχε καὶ ἀφεὶς ἡμιθανῆ ἐπορεύετο.

Προβάντι οὖν μικρόν, συναντᾷ ὁ Μακάριος τρέχοντι, καὶ λέγει αὐτῷ· σωθείης, σωθείης, καματηρέ. Ὁ δὲ ἀποδεξάμενος τὸν λόγον, ἦλθε πρὸς αὐτὸν καὶ εἶπε· τί καλὸν εἶδες ἐν ἐμοί, ὅτι προσηγόρευσάς με; Ἀπεκρίθη ὁ γέρων· ὅτι εἶδόν σε κοπιῶντα, καὶ οὐκ οἶδας ὡς εἰς κενὸν κοπιᾷς. Ἔφη ἐκεῖνος· ἐγὼ ἐπὶ τῷ ἀσπασμῷ σου κατενύγην, καὶ ἔγνων ὅτι τοῦ μέρους τοῦ Θεοῦ εἶ· ἄλλος δὲ κακὸς μοναχὸς ὑπαντήσας μοι ὕβρισέ με, κἀγὼ ἔδωκα αὐτῷ πληγὰς εἰς θάνατον· καὶ ἔγνω ὁ γέρων ὅτι ὁ μαθητὴς αὐτοῦ ἐστι. Καὶ κρατήσας τοὺς πόδας τοῦ γέροντος ὁ ἱερεύς, ἔλεγεν· οὐκ ἀφήσω σε, ἐὰν μὴ ποιήσῃς με μοναχόν.

Ἦλθον οὖν εἰς τὸν τόπον ὅπου ἔκειτο ὁ μαθητὴς ὡσεὶ νεκρὸς ἀπὸ τῶν πληγῶν, καὶ ἐβάστασαν καὶ ἤνεγκαν αὐτὸν εἰς τὴν Ἐκκλησίαν τοῦ ὄρους. Καὶ ἰδόντες οἱ γέροντες τὸν ἱερέα μετὰ τοῦ ἀββᾶ Μακαρίου ἐξέστησαν· καὶ δοξάσαντες τὸν Θεόν, ἐποίησαν αὐτὸν μοναχόν· καὶ πολλοὶ τῶν Ἑλλήνων ἐγένοντο δι᾽ αὐτοῦ Χριστιανοί.

2. Ἔλεγεν οὖν ὁ ἀββᾶς Μακάριος, ὅ τ ι ὁ λ ό γ ο ς ὁ κ α κ ό ς, κ α ὶ

τ ὸ ν κ α λ ὸ ν π ο ι ε ῖ κ α κ ό ν· ὁ δ ὲ κ α λ ὸ ς λ ό γ ο ς, κ α ὶ τ ὸ ν κ α κ ὸ ν π ο ι ε ῖ κ α λ ό ν.

3. Εἰπέ τις τῶν Πατέρων· ἐὰν ὑβρίσῃ σέ τις, εὐλόγησον αὐτόν· καὶ ἐὰν μὲν δέξηται, καλῶς ἔσται ἀμφοτέροις. Ἐὰν δὲ μὴ δέξηται, αὐτὸς λαμβάνει παρὰ Θεοῦ τὴν ὕβριν, καὶ σὺ τὴν εὐλογίαν.

4. Εἶπε γέρων· τὸν Σταυρὸν τοῦ Χριστοῦ βλέπομεν, καὶ τὰ παθήματα αὐτοῦ ἀναγινώσκομεν, καὶ διατὶ κἂν ὕβριν μόνην μὴ φέρωμεν;

Ἑ ρ μ η ν ε ί α

ΔΙΑ ΤΟΝ ΑΒΒΑΝ Μακάριον τὸν Αἰγύπτιον διηγοῦντο τὰ ἑξῆς: Κάποτε ἀνέβαινεν ἀπὸ τὴν σκήτην πρὸς τὸ ὄρος τῆς Νιτρίας*· ὅταν ἐπλησίασεν, εἶπε πρὸς τὸν μαθητήν του· προχώρησε ὀλίγον. Ὁ μαθητής του ἐπροχώρησε πράγματι καὶ συνήντησε κάποιον εἰδωλολάτρην ἱερέα νὰ τρέχῃ. Τοῦ φωνάζει λοιπὸν δυνατά· αἴ, αἴ, διάβολε, ποῦ τρέχεις; Ὠργίσθη μὲ αὐτὸ ὁ εἰδωλολάτρης ἱερεὺς καὶ τὸν ἐκτύπησε δυνατὰ μὲ τὸ ραβδί του καὶ ἀφοῦ τὸν ἄφησε μισοπεθαμένον, ἐξηκολούθησε τὸν δρόμον του.

Ὀλίγον πάρα πέρα τὸν συνήντησεν ὁ Ἀββᾶς Μακάριος νὰ τρέχῃ καὶ τοῦ λέγει:

—Ὁ Θεὸς μαζί σου, εἴθε νὰ σωθῇς, κουρασμένε Γέροντα*.

Ὁ εἰδωλολάτρης ἱερεὺς μόλις ἤκουσεν αὐτὸν τὸν χαιρετισμόν, ἐπλησίασε τὸν Ἀββᾶν Μακάριον καὶ τὸν ἠρώτησε:

— Τὶ καλὸν εἶδες εἰς ἐμὲ καὶ μὲ ἐχαιρέτησες τόσον καλόκαρδα;

—Ἐπειδὴ σέ βλέπω νὰ κουράζεσαι χωρὶς νὰ γνωρίζῃς ὅτι ἀδίκως κοπιάζεις.

Καὶ ὁ εἰδωλολάτρης ἱερεὺς εἶπε πάλιν:

—Ἐγὼ ἐσυγκινήθηκα ἀπὸ τὸν χαιρετισμόν σου καὶ ἐκατάλαβα ὅτι εἶσαι ἄνθρωπος τοῦ Θεοῦ· ἐνῷ ἕνας ἄλλος κακὸς καλόγηρος, ποὺ μὲ συνήντησε προηγουμένως, μὲ ὕβρισε καὶ ἐγὼ τὸν ἐκτύπησα μέχρι θανάτου.

Ὁ Ἀββᾶς Μακάριος ἐκατάλαβεν ὅτι ἐπρόκειτο διὰ τὸν μαθητήν του. Καὶ ὁ εἰδωλολάτρης ἱερεὺς ἀφοῦ ἀγκάλιασε τὰ πόδια τοῦ Γέροντα τοῦ ἔλεγε:

— Δὲν θὰ σὲ ἀφήσω, ἂν δὲν μὲ κάμῃς μοναχόν.

Ἐν τῷ μεταξὺ ἔφθασαν εἰς τὸν τόπον ὅπου ἦτο ἐξαπλωμένος, ὡσὰν νεκρός, ὁ μαθητής, μετὰ τὸν ξυλοδαρμόν· τὸν ἐσήκωσαν καὶ τὸν μετέφεραν εἰς τὴν Ἐκκλησίαν τοῦ ὄρους. Ὅταν εἶδαν οἱ Γέροντες τὸν εἰδωλολάτρην ἱερέα μαζὶ μὲ τὸν Ἀββᾶν Μακάριον παραξενεύθηκαν· ὅταν δὲ ἔμαθαν καὶ τὴν μεταστροφήν του ἐδόξασαν τὸν Θεὸν καὶ ἔκαμαν μο-

---

* Περὶ Νιτρίας βλέπε ὑποσημείωσιν 6΄ τῆς σελίδος 81 τοῦ ἀνὰ χεῖρας Β΄ τόμου.

* Περὶ τοῦ χαιρετισμοῦ «σωθείης» βλέπε ὑποσημείωσιν τῆς σελίδος 211 τοῦ Α΄ τόμου τοῦ «Εὐεργετινοῦ».

ναχὸν τὸν πρώην εἰδωλολάτρην ἱερέα. Ἐξ ἀφορμῆς μάλιστα αὐτοῦ καὶ πολλοὶ εἰδωλολάτραι ἔγιναν Χριστιανοί.

2. Ἔλεγε λοιπὸν ὁ Ἀββᾶς Μακάριος, ὅτι ὁ κακὸς λόγος καὶ τὸν καλὸν τὸν κάνει κακόν· ἐνῷ ὁ καλὸς ὁ λόγος καὶ τὸν κακὸν τὸν κάνει καλόν.

3. Ἕνας Πατὴρ εἶπεν· ἂν κάποιος σὲ ὑβρίσῃ, εὐλόγησέ τον· καὶ ἂν μὲν τὸ δεχθῇ, θὰ εἶναι καλὸν καὶ διὰ τοὺς δύο· ἄν, πάλιν, δὲν τὸ δεχθῇ, αὐτὸς θὰ τιμωρηθῇ ἀπὸ τὸν Θεὸν διὰ τὴν ὕβριν, ἐνῷ σὺ θὰ ἀμειφθῇς διὰ τὴν εὐλογίαν.

4. Ἕνας Γέρων εἶπε: βλέπομεν τὸν Σταυρὸν τοῦ Χριστοῦ καὶ διαβάζομεν τὰ παθήματά Του· διατὶ λοιπὸν νὰ μὴ ὑποφέρωμεν οὔτε μίαν μόνον ὕβριν;

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ εἴπῃ σοί τις λόγον σκληρόν, μὴ ὑψώσῃς τὴν καρδίαν σου ἐπ' αὐτόν, ἀλλὰ σπούδασον αὐτῷ βαλεῖν μετάνοιαν πρὸ τοῦ γενέσθαι μέμψιν ἐν τῇ καρδίᾳ σου· ἐπεὶ ἡ ὀργὴ μετὰ σπουδῆς ἔρχεται. Ἐάν τίς σε ὑβρίσῃ, μὴ ἀντείπῃς αὐτῷ, ἕως οὗ σιωπήσῃ· καὶ ἐὰν ἐρευνήσας σαὐτὸν εὑρήσῃς ἃ ἤκουσας ἐν σοὶ παρ' αὐτοῦ, μετανόησον ὡς σὺ ἁμαρτήσας καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ δέχεται ἡμᾶς πάλιν.

Ἑρμηνεία

ΕΑΝ σοῦ εἴπῃ κάποιος σκληρὸν λόγον, μὴ θυμώσῃς ἐναντίον του, ἀλλὰ φρόντισε γρήγορα νὰ τοῦ βάλῃς μετάνοιαν, πρὶν νὰ τὸν κατηγορήσῃς μέσα εἰς τὴν καρδίαν σου, ἐπειδή, ἂν δὲν τὸ κάνῃς, θὰ σὲ καταλάβῃ σύντομα ἡ ὀργή. Ἂν κάποιος σὲ ὑβρίσῃ, μὴ τοῦ ἀντιμιλήσῃς μέχρι νὰ σωπάσῃ. Ἂν ἐξετάσῃς προσεκτικὰ τὸν ἑαυτόν σου καὶ εὕρῃς μέσα σου ὅτι ὅσα ἤκουσες ἀπὸ αὐτὸν εἶναι σωστά, νὰ μετανοήσῃς ὡσὰν νὰ ἡμάρτησες σύ, καὶ ἡ καλωσύνη τοῦ Θεοῦ μᾶς δέχεται πάλιν.



ΥΠΟΘΕΣΙΣ ΜΕ΄

Ὅτι οὐ δεῖ ψεύδεσθαι, ἀλλὰ ἀληθεύειν.

Ὅτι δὲν πρέπει νὰ ψευδώμεθα, ἀλλὰ νὰ λέγωμεν τὴν ἀλήθειαν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ ΓΕΡΩΝ· τί ἐστιν ἡ ζωὴ τοῦ μοναχοῦ; Καὶ ἀπεκρίθη· στόμα ἀληθινόν, σῶμα ἅγιον, καρδία καθαρά.

2. Εἶπε γέρων· τὸ ψεῦδος, ὁ παλαιὸς ἄνθρωπος τυγχάνει, ὁ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἡ δὲ ἀλήθεια, ὁ νέος ἄνθρωπος ὁ κατὰ Θεὸν κτισθείς.

3. Εἶπε πάλιν· ἡ ῥίζα τῶν καλῶν ἔργων ἐστίν ἡ ἀλήθεια, τὸ δὲ ψεῦδος τυγχάνει ὁ θάνατος.

Ἑρμηνεία

ΗΡΩΤΗΣΑΝ ἕνα Γέροντα τί εἶναι ἡ ζωὴ τοῦ μοναχοῦ; Καὶ ἐκεῖνος ἀπήντησε: στόμα ἀληθινόν, σῶμα ἅγιον, καρδία καθαρά.

2. Ἕνας Γέρων εἶπε· τὸ ψεῦδος εἶναι ὁ παλαιὸς ἄνθρωπος, ὁ ὁποῖος φθείρεται ἀπὸ τὰς ἐπιθυμίας τῆς ἀπατηλῆς ἁμαρτίας· ἐνῷ ἡ ἀλήθεια εἶναι ὁ νέος ἄνθρωπος, ποὺ ἀνεγεννήθη σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ (Ἐφεσ. δ΄, 21—25).

3. Εἶπε πάλιν ὁ ἴδιος Γέρων· ἡ ῥίζα ὅλων τῶν καλῶν ἔργων εἶναι ἡ ἀλήθεια, ἐνῷ τὸ ψεῦδος εἶναι ὁ θάνατος.

Β΄. Ἀντιόχου τοῦ Παντέκτου

ΩΣΠΕΡ τὸ τοῦ ἀληθινοῦ ἀνδρὸς στόμα ἀπὸ τῆς ἀληθείας ἁγιάζεται, ἤγουν τοῦ Κυρίου, λέγει γὰρ αὐτός, ἐγώ εἰμι ἡ ἀλήθεια, οὕτω καὶ ὁ ψευδόμενος μολύνεται

ἐκ τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου· τὸ γὰρ ψεῦδος ἐκ τοῦ πονηροῦ εἶναι σαφῶς ὁ Σωτὴρ ἀπεφήνατο.

Ἑ ρ μ η ν ε ί α

ΟΠΩΣ ἀκριβῶς τὸ στόμα τοῦ ἀνθρώπου, ποὺ λέγει τὴν ἀλήθειαν, ἁγιάζεται ἀπὸ τὴν Ἀλήθειαν, δηλαδὴ τὸν Κύριον, διότι ὁ ἴδιος λέγει· «ἐγώ εἶμαι ἡ Ἀλήθεια» (Ἰωάν. ιδ΄, 6), ἔτσι καὶ ἐκεῖνος ποὺ λέγει ψέματα μολύνεται ἀπὸ τὸν πατέρα του τὸν διάβολον· διότι τὸ ψεῦδος προέρχεται ἀπὸ τὸν σατανᾶν, ὅπως εἶπε καθαρὰ ὁ Σωτὴρ (Ἰωάν. η΄, 44).

Γ'. Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΜΗ ἐπαινέσῃς εἰ μὴ ἃ εἶδες· ἃ δὲ ἤκουσας, μὴ εἴπῃς ὡς ἰδών. Δίδαξον τὴν γλῶσσαν σου εἰς τοὺς λόγους τοῦ Θεοῦ ἐν γνώσει καὶ τὸ ψεῦδος φεύγει ἀπὸ σοῦ. Τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων τίκτει τὸ ψεῦδος· τὸ δὲ ἀνατρέψαι αὐτὸ ἐν ταπεινώσει, ποιεῖ τὸν φόβον τοῦ Θεοῦ μείζονα ἐν τῇ καρδίᾳ σου. Φύλαξον σεαυτὸν ἀπὸ τοῦ ψεύδους, ὅτι αὐτὸ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ σοῦ.

Ἑ ρ μ η ν ε ί α

ΝΑ μὴ ἐπαινέσῃς, παρὰ μόνον ἐκεῖνα τὰ ὁποῖα εἶδες· δι' ὅσα δὲ ἤκουσες, νὰ μὴ ὁμιλήσῃς ὡσὰν νὰ εἶδες αὐτά. Δίδαξε τὴν γλῶσσαν σου νὰ γνωρίζῃ τὰ λόγια τοῦ Θεοῦ καὶ νὰ τὰ λέγῃ· ἔτσι τὸ ψεῦδος θὰ φυγαδευθῇ ἀπὸ σέ. Ἡ ἀγάπη πρὸς τὴν δόξαν τῶν ἀνθρώπων γεννᾷ τὸ ψεῦδος· ὅταν ὅμως τὸ ἀνατρέψῃς μὲ ταπείνωσιν, τότε γιγαντώνεται ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν καρδίαν σου. Νὰ προφυλαχθῇς ἀπὸ τὸ ψεῦδος, διότι αὐτὸ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ μέσα σου.

Δ' Τοῦ Ἀββᾶ Μάρκου

ΣΤΟΜΑ ταπεινόφρονος λαλήσει ἀλήθειαν, ὁ δὲ ἀντιλέγων αὐτῇ ὅμοιός ἐστι τῷ ὑπηρέτῃ ἐκείνῳ, τῷ ἐπὶ σιαγόνος τὸν Κύριον ῥαπίσαντι.

Ἑ ρ μ η ν ε ί α

ΤΟ στόμα τοῦ ταπεινόφρονος θὰ λαλήσῃ τὴν ἀλήθειαν· ἐκεῖνος ὅμως ὁ ὁποῖος ἀντιλέγει εἰς τὴν ἀλήθειαν ὁμοιάζει μὲ τὸν ὑπηρέτην, ποὺ ἐρράπισε τὸν Κύριον εἰς τὴν σιαγόνα (Ἰωάν. ιη΄, 22).

Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ ἀββᾶς Ἀνούβ· ἐξ οὗ τὸ ὄνομα τοῦ μοναχοῦ ἐκλήθη ἐπ' ἐμέ, οὐκ ἐξῆλθε ψεῦδος ἐκ τοῦ στόματός μου.

2. Εἶπεν ὁ Ἀββᾶς Γρηγόριος· τὰ τρία ταῦτα ἀπαιτεῖ ὁ Θεὸς παρὰ παντὸς ἀνθρώπου ἔχοντος τὸ θεῖον Βάπτισμα· π ί σ τ ι ν ὀ ρ θ ὴ ν ἀ π ὸ τ ῆ ς ψ υ χ ῆ ς, ἀ λ ή θ ε ι α ν ἀ π ὸ τ ῆ ς γ λ ώ τ τ η ς, κ α ὶ σ ω φ ρ ο σ ύ ν η ν ἀ π ὸ τ ο ῦ σ ώ μ α τ ο ς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀνοὺβ εἶπεν· ἀπὸ τότε ποὺ ὠνομάσθηκα μοναχός, δὲν ἐβγῆκεν ἀπὸ τὸ στόμα μου λόγος ψευδής.

† ② Ὁ Ἀββᾶς Γρηγόριος εἶπεν· Ὁ Θεὸς ἀπαιτεῖ ἀπὸ κάθε ἄνθρωπον, ὁ ὁποῖος ἔλαβε τὸ Ἅγιον Βάπτισμα, αὐτὰ τὰ τρία πράγματα· ἀπὸ τὴν ψυχὴν ὀρθόδοξον πίστιν, ἀπὸ τὴν γλῶσσαν ἀλήθειαν, καὶ ἀπὸ τὸ σῶμα σωφροσύνην.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΠΟΙΟΥΝΤΩΝ ποτὲ παρέργιον τῶν ἀδελφῶν ἐν νυκτί, χειμῶνος ὄντος, τὶς αὐτῶν ὀχληθεὶς ὑπὸ τοῦ ρίγους ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ· ἕτερος δὲ διεγόγγυζε κατ' αὐτοῦ. Ἀπέστειλαν οὖν πρὸς αὐτὸν ἀδελφὸν φωνῆσαι αὐτόν. Ὁ δὲ ἀπελθὼν εὗρεν αὐτὸν δεινοπαθοῦντα καὶ λέγει αὐτῷ· λέγουσιν οἱ ἀδελφοὶ πῶς ἔχεις; καὶ περὶ τοῦ ἔργου σου μή σοι μελέτω· ἡμεῖς ποιοῦμεν. Ὁ δὲ εἶπε· μνησθείη ὑμῶν ἡ ἀγάπη· κἀγὼ ἤθελον συγκοπιάσαι ὑμῖν, ἀλλ' ἡ ἀσθένειά μου ἐμποδίζει με. Καὶ ὑποστρέψας ὁ ἀποσταλεὶς πρὸς τοὺς ἀποστείλαντας αὐτόν, εἶπεν αὐτοῖς· λίαν κοπιᾷ ὁ ἀδελφός, καὶ εἴρηκέ μοι ὅτι κἀγὼ ἤθελον συγκοπιάσαι ὑμῖν, ἀλλ' οὐ δύναμαι. Οὗτός ἐστιν ὁ ἐν τῷ ψεύδει οἰκονομίαν πληρῶν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ, μίαν χεμωνιάτικη νύκτα, μερικοὶ ἀδελφοὶ ἐκτελοῦσαν κάποιαν πρόσθετον ὑπηρεσίαν· ἕνας ἀπὸ αὐτούς, ἐπειδὴ τὸν ἐπείραξεν ἡ νυκτερινὴ παγωνιά, ἐγύρισεν εἰς τὸ κελλί του καὶ ἕνας ἄλλος ἐγόγγυζεν ἐναντίον του.

Ἔστειλαν λοιπὸν κάποιον ἄλλον πρὸς τὸν ἀδελφόν, διὰ νὰ τὸν φωνάξουν. Ὁ ἀπεσταλμένος τὸν εὑρῆκε νὰ ὑποφέρῃ καὶ τοῦ λέγει:

— Οἱ ἀδελφοὶ ἐρωτοῦν πῶς εἶσαι; Λέγουν δὲ νὰ μὴ στενοχωρῆσαι διὰ τὴν ὑπηρεσίαν σου· τὴν κάμνομεν ἡμεῖς.

Ἐκεῖνος ἀπήντησεν:

— Εἴθε ὁ Κύριος νὰ ἐνθυμηθῇ τὴν ἀγάπην σας· καὶ ἐγὼ ἤθελα νὰ κοπιάσω μαζί σας, ἀλλὰ μὲ ἐμποδίζει ἡ ἀσθένειά μου.

Ὅταν ἐπέστρεψεν ὁ ἀπεσταλμένος, εἶπεν εἰς τοὺς ἄλλους ἀδελφούς:

— Ὁ ἀδελφὸς ὑποφέρει πάρα πολὺ καὶ μοῦ εἶπεν ὅτι καὶ ἐγὼ ἤθελα νὰ κοπιάσω μαζί σας, ἀλλὰ δὲν ἠμπορῶ.

Αὐτὸς εἶναι ἐκεῖνος, ποὺ μετεχειρίσθη τὸ ψεῦδος κατ' οἰκονομίαν, διὰ νὰ μὴ κάμῃ κακόν.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΔΥΟ Γέροντες εἶχον θλῖψιν πρὸς ἀλλήλους· ἔτυχε δὲ τὸν ἕνα ἐξ αὐτῶν ἀσθενῆσαι. Ἦλθεν οὖν εἰς αὐτὸν ἀδελφὸς χάριν ἐπισκέψεως. Ὁ δὲ γέρων παρεκάλει

τὸν ἀδελφὸν λέγων· λύπην ἔχομεν ἐγὼ καὶ ὁ δεῖνα γέρων, καὶ ἤθελον ἵνα παρακαλέσῃς αὐτὸν ὅπως φιλιωθῶμεν. Ἀπεκρίθη ὁ ἀδελφός· ἐκέλευσας, ἀββᾶ; ἐγὼ παρακαλῶ. Καὶ ἐξελθὼν ὁ ἀδελφὸς διελογίζετο ἐν ἑαυτῷ πῶς μετέλθῃ τὸ πρᾶγμα· ἐφοβεῖτο γὰρ μήποτε οὐκ ἀνέξεται ὁ γέρων τῆς παρακλήσεως ἢ καὶ πλείων παροξυσμὸς γένηται.

Κατ' οἰκονομίαν δὲ Θεοῦ τὶς ἐκ τῶν ἀδελφῶν φέρει αὐτῷ πέντε σῦκα καὶ ὀλίγα συκάμινα· καὶ λαβὼν ταῦτα ὁ ἀδελφὸς ἔθετο ἐν τῇ ἰδίᾳ κέλλῃ· καὶ ἐκλεξάμενος ἓν σῦκον καὶ ὀλίγα συκάμινα, ἀπήνεγκε τῷ γέροντι πρὸς ὃν ἐμελέτα ἀπελθεῖν. Καὶ εἶπεν· Ἀββᾶ, ταῦτα τις ἐνήνοχε τῷ γέροντι τῷ δεῖνα ἀσθενοῦντι· καὶ ὡς ἔτυχον ἐκεῖ, εἶπέ μοι· δέξαι ταῦτα καὶ δὸς τῷ δεῖνι γέροντι· καὶ ἔφερον αὐτὰ πρὸς σέ. Ὁ δὲ γέρων, ὡς ἤκουσεν, ἔστη ἐνεὸς ἐπὶ πολύ. Καὶ εἶπε· ταῦτα ἐμοὶ ἔπεμψε; Καὶ ἀπεκρίθη ὁ ἀδελφός· ναί, Ἀββᾶ. Καὶ ἀπέλαβεν αὐτὰ ὁ γέρων εἰπών· καλῶς ἥκεις.

Εἶτα ἐπανελθὼν ὁ ἀδελφὸς εἰς τὸ κελλίον αὐτοῦ, ἔλαβεν ἐκ τῶν σύκων τὰ δύο καὶ ἐκ τῶν συκαμίνων ὀλίγα καὶ ἀπήνεγκε καὶ τῷ ἄλλῳ γέροντι τῷ ἀσθενοῦντι. Καὶ μετανοήσας αὐτῷ εἶπε· δέξαι ταῦτα, Ἀββᾶ, ἀπέστειλέ σοι ὁ γέρων ὁ δεῖνα. Ὁ δὲ περιχαρὴς γενόμενος, ἔφη· ἐφιλιώθημεν; Εἶπε δὲ ὁ ἀδελφός· ναί, Ἀββᾶ, διὰ τῶν εὐχῶν σου. Καὶ λέγει ὁ Γέρων· δόξα τῷ Θεῷ. Καὶ ἐφιλιώθησαν οἱ γέροντες διὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς τοῦ ἀδελφοῦ συνέσεως, ὃς συνήλασεν αὐτοὺς εἰς εἰρήνην διὰ τῶν τριῶν σύκων καὶ ὀλίγων συκαμίνων, καὶ οὐκ ἔγνωσαν οἱ γέροντες τὶ ἐποίησεν ὁ ἀδελφός.

2. Ἠρώτησέ ποτε ὁ ἀββᾶς Ἀγάθων τὸν ἀββᾶν Ἀλώνιον, εἰ ἐνδέχεταί ποτέ τινα ψεύσασθαι. Καὶ ἀπεκρίθη ὁ ἀββᾶς Ἀλώνιος, ὅτι ἐνδέχεται. Ὁ δὲ εἶπε· πότε; Καὶ λέγει αὐτῷ ὁ γέρων· ἰδοὺ δύο ἄνθρωποι ἐπὶ σοῦ φόνον ἐποίησαν καὶ ὁ εἷς ἔφυγεν εἰς τὸ κελλίον σου. Ὁ δὲ ἄρχων ζητεῖ αὐτὸν καὶ ἐρωτᾷ σε λέγων· ἐπὶ σοῦ φόνος γέγονεν; Εἰ οὖν οὐ ψεύσῃ, παραδίδως τὸν ἄνθρωπον εἰς θάνατον. Μᾶλλον οὖν ἄφες αὐτὸν ἐνώπιον τοῦ Θεοῦ χωρὶς δεσμῶν, αὐτὸς γὰρ οἶδε τὰ πάντα. Δῆλον οὖν ἐκ τούτου ὅτι ἔστι ποτὲ καὶ τὸ ψεῦδος προτιμῆσαι τῆς ἀληθείας.

Ἑρμηνεία

ΔΥΟ Γέροντες εἶχαν ἔχθραν μεταξύ των. Ἔτυχε κάποτε ὁ ἕνας ἀπὸ αὐτοὺς νὰ ἀρρωστήσῃ. Ἦλθε λοιπὸν ἕνας ἀδελφὸς νὰ τὸν ἐπισκεφθῇ. Τότε ὁ Γέρων παρακαλοῦσε τὸν ἀδελφὸν καὶ τοῦ ἔλεγεν:

—Ἐγὼ καὶ ὁ τάδε Γέροντας ἔχομεν ἐνοχληθῆ μεταξύ μας καὶ ἤθελα νὰ τὸν παρακαλέσῃς νὰ συμφιλιωθῶμεν.

Ὁ ἀδελφὸς ἀπεκρίθη:

— Μοῦ ἔδωσες διαταγήν, Ἀββᾶ; Ἐγὼ θὰ τὸν παρακαλέσω.

Μόλις ἔφυγεν ἀπὸ τὸ κελλὶ ὁ ἀδελφός, ἤρχισε νὰ σκέπτεται μέσα του πῶς θὰ μεθοδεύσῃ τὸ πρᾶγμα· διότι ἐφοβεῖτο μήπως δὲν δεχθῇ ὁ ἄλλος Γέρων τὴν παράκλησιν καὶ γίνῃ ἡ ἔχθρα μεγαλυτέρα.

Κατ' οἰκονομίαν Θεοῦ κάποιος ἄλλος ἀδελφὸς τοῦ ἔφερε πέντε σῦκα καὶ μερικὰ μοῦρα. Ὁ ἀδελφὸς τὰ ἐπῆρε καὶ τὰ ἔφερεν εἰς τὸ κελλί

του· καὶ ἀφοῦ ἐδιάλεξεν ἕνα σῦκον καὶ μερικὰ μοῦρα, τὰ ἔφερε πρὸς τὸν Γέροντα, τὸν ὁποῖον ἐσκέπτετο νὰ ἐπισκεφθῇ.

—'Αββᾶ, — τοῦ εἶπεν — αὐτὰ τὰ ἔφερε κάποιος εἰς τὸν τάδε Γέροντα, ὁ ὁποῖος εἶναι ἄρρωστος καὶ ἐπειδὴ ἔτυχε νὰ εὑρεθῶ ἐκεῖ, μοῦ εἶπε· πάρε αὐτὰ καὶ δῶσε τα εἰς τὸν τάδε Γέροντα.

Μόλις τὰ ἤκουσεν αὐτὰ ὁ Γέρων, ἔμεινε μὲ ἀνοικτὸν τὸ στόμα καὶ ἠρώτησεν:

—'Εμένα τὰ ἔστειλεν αὐτά;

— Ναί, 'Αββᾶ· ἀπήντησεν ὁ ἀδελφός.

Τότε ὁ Γέρων τὰ ἐπῆρε μὲ χαρὰν καὶ εἶπεν:

— Καλῶς ἦλθες.

Ἔπειτα ὁ ἀδελφὸς ἐπέστρεψεν εἰς τὸ κελλίον του καὶ ἐπῆρε δύο ἀπὸ τὰ σῦκα καὶ ὀλίγα ἀπὸ τὰ μοῦρα καὶ τὰ ἔφερεν εἰς τὸν ἄλλον Γέροντα, ὁ ὁποῖος ἦτο ἄρρωστος. 'Αφοῦ λοιπὸν τοῦ ἔβαλε μετάνοιαν, τοῦ εἶπε:

— Πάρε αὐτά, 'Αββᾶ, σοῦ τὰ ἔστειλεν ὁ τάδε Γέροντας.

Γεμᾶτος χαρὰν ἐρωτᾷ ὁ Γέρων:

— Λοιπόν, ἐσυμφιλιωθήκαμεν;

— Ναί, 'Αββᾶ — ἀπήντησεν ὁ ἀδελφὸς — μὲ τὰς εὐχάς σου.

— Δόξα τῷ Θεῷ! Εἶπεν ὁ Γέρων.

Ἔτσι συνεφιλιώθησαν οἱ δύο Γέροντες, μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ τὴν σύνεσιν τοῦ ἀδελφοῦ, ὁ ὁποῖος τοὺς εἰρήνευσε μὲ τὰ τρία σῦκα καὶ τὰ ὀλίγα μοῦρα, χωρὶς νὰ γνωρίζουν οἱ Γέροντες τί ἔκαμεν ὁ ἀδελφός.

2. Κάποτε ὁ 'Αββᾶς 'Αγάθων ἠρώτησε τὸν 'Αββᾶν 'Αλώνιον, ἂν ὑπάρχῃ περίπτωσις νὰ εἴπῃ κανεὶς ψέματα καὶ ὁ 'Αββᾶς 'Αλώνιος τοῦ ἀπήντησεν ὅτι εἶναι δυνατόν.

— Πότε; ἠρώτησεν.

'Ο Γέρων τοῦ ἀπήντησεν:

—Ἂς ὑποθέσωμεν ὅτι δύο ἄνθρωποι διέπραξαν φόνον ἐμπρός σου καὶ ὁ ἕνας κατέφυγεν εἰς τὸ κελλίον σου. 'Ο ἄρχων τὸν ζητεῖ καὶ σὲ ἐρωτᾷ: Ἔγινε φόνος ἐμπρὸς εἰς τὰ μάτια σου; Ἂν λοιπὸν σὺ δὲν εἴπῃς ψέματα, τὸν παραδίδεις εἰς τὸν θάνατον. Εἶναι προτιμότερον νὰ τὸν ἀφήσῃς εἰς τὴν κρίσιν τοῦ Θεοῦ, χωρὶς δεσμά, διότι Αὐτὸς τὰ γνωρίζει ὅλα.

'Απ' αὐτὸ λοιπὸν γίνεται φανερὸν ὅτι εἶναι δυνατὸν κάποτε νὰ προτιμήσωμεν τὸ ψεῦδος ἀπὸ τὴν ἀλήθειαν.

ΥΠΟΘΕΣΙΣ ΜΣΤ΄

Ὅτι μέγα τὸ τῆς συκοφαντίας ἁμάρτημα, καὶ ὅτι πρὸς δόξαν τῶν συκοφαντουμένων, εἰ ὑπομένουσιν εὐχαρίστως τοῖς συκοφάνταις καὶ ἐνταῦθα πολλάκις ἡ παρὰ Θεοῦ τιμωρία ἐπέρχεται.

Ὅτι τὸ ἁμάρτημα τῆς συκοφαντίας εἶναι μεγάλο καὶ ὅτι εἰς τὸ τέλος ἀποβαίνει πρὸς δόξαν τῶν συκοφαντουμένων, ἂν ὑπομένουν ἀγόγγυστα τοὺς συκοφάντας· καὶ ὅτι πολλάκις ἡ τιμωρία τῶν συκοφαντῶν ἐπέρχεται καὶ εἰς τὴν παροῦσαν ζωήν.

Α΄. Παλλαδίου

ΠΡΕΣΒΥΤΕΡΟΥ τινὸς θυγάτηρ παρθένος ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐκπεσοῦσα, παρὰ τοῦ φθείραντος αὐτὴν ἐδιδάχθη ἀναγνώστην τινὰ τῆς πόλεως συκοφαντῆσαι, ἔγκυος γενομένη. Ἐξεταζομένη οὖν παρὰ τοῦ πατρός, κατεῖπε τοῦ ἀναγνώστου. Ὁ δὲ ἀνήγγειλε τῷ Ἐπισκόπῳ· ὁ δὲ Ἐπίσκοπος, τὸ ἱερατεῖον συγκαλεσάμενος καὶ τὸν ἀναγνώστην εἰς μέσον ἀγαγών, ἠρώτα περὶ τοῦ πράγματος. Ὁ δὲ ἀπεκρίθη· ἐγὼ πρᾶγμα ἐν τούτῳ οὐκ ἔχω· ἀναίτιος γάρ εἰμι καὶ τῆς αἰτίας τῆς πρὸς ἐκείνην· εἰ δὲ θέλετε ἀκοῦσαι τὸ μὴ ὂν ἵνα εἴπω, πέπραχα.

Τοῦτο αὐτοῦ εἰπόντος, καθεῖλεν αὐτὸν τοῦ ἀναγνώστου. Ἐκεῖνος δὲ προσπεσὼν παρεκάλει τὸν Ἐπίσκοπον λέγων· εἰ τοῦτο σοι ἔδοξε, κῦρι Ἐπίσκοπε, διὰ τὸ εἰπεῖν με ἔπεσον τοῦ μὴ ἄξιον εἶναί με κληρικὸν τῆς σῆς ἁγιωσύνης, κέλευσον ἀπὸ τοῦ νῦν δοθῆναί μοι αὐτὴν εἰς γυναῖκα· οὔτε γὰρ ἐγὼ λοιπὸν κληρικός, οὔτε ἐκείνη παρθένος. Ὁ δὲ Ἐπίσκοπος καὶ ὁ πατὴρ αὐτῆς προσδοκήσαντες διακεῖσθαι αὐτὸν πρὸς αὐτήν, καὶ μὴ δύνασθαι ἄλλως ἀποκοπῆναι τὴν συνήθειαν, ἐξέδοντο ταύτην αὐτῷ. Ὁ δὲ παρέθετο ταύτην ἐν Μοναστηρίῳ γυναικῶν, παρακαλέσας τὴν αὐτόθι προηγουμένην ἀνέχεσθαι αὐτῆς ἕως τῆς κυήσεως. Καὶ καταλιπὼν αὐτὴν ἀπῆλθεν ἐν αὐχμηρῷ κελλίῳ καὶ καθεῖρξεν ἑαυτόν, ἀναλαβὼν σκληραγωγίαν ἀκροτάτην.

Προσῆλθε δὲ τῷ Χριστῷ ἐν συντετριμμένῃ καρδίᾳ, μετὰ πολλῶν δακρύων λέγων· Σύ, Κύριε, καρδιογνῶστα πάντων, οἶδας καὶ τὰς ἐμὰς πράξεις, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν καὶ παντὸς γιγνώσκων ἀνθρώπου ἐνθύμημα. Σὺ ἐταστὴς ὀξὺς ἐνθυμήσεων. Σὺ ἀδικουμένων βοηθὸς καὶ ἔκδικος συκοφαντουμένων ἀπαραλόγιστος. Οὐδὲν γάρ σοι ἄδικον ἀρέσκει, πᾶσα δὲ ῥοπὴ ζυγοῦ δικαιοσύνης παρὰ σοί ἐστι. Τῆς σῆς οὖν λοιπόν, δέσποτα, ἀπαραλογίστου καὶ δικαίας κρίσεώς ἐστιν ἀποφῆναι καὶ τὴν δίκην τὴν ἐμὴν εἰς πέρας ἀγαγεῖν.

Ἐν ταύταις οὖν ταῖς προσευχαῖς καὶ νηστείαις προσκαρτεροῦντος αὐτοῦ, παρέστη ὁ καιρὸς τοῦ τεκεῖν τὴν ἀθλίαν· καὶ ἡ δικαία κρίσις τοῦ Θεοῦ φέρει αὐτῇ ὀδύνην ἀπότομον καὶ ἀφόρητον, ὁράσεις τε καταχθονίων καὶ φοβεραὶ κολάσεις ἐπὶ ἑπτὰ ἡμέρας τὴν ἀθλίαν ταύτην ἰσχυρῶς ἐπολιόρκουν καὶ τὸ βρέφος τῆς γαστρὸς οὐ προέκυπτεν. Αἱ δὲ ὀδῦναι κατὰ πᾶσαν ὥραν ἀφορητότεραι προσετίθεντο. Ἤρξατο οὖν γοεραῖς φωναῖς ἀνοιμώζειν καὶ βοᾶν· οἴμοι τῇ ἀθλίᾳ! κινδυνεύω ἀπολέσθαι δυσὶ κακοῖς, πορνείᾳ καὶ συκοφαντίᾳ περιπεσοῦσα. Ὑπὸ γὰρ ἑτέρου καταφθαρεῖσα, τοῦ ἀναγνώστου κατηγόρησα. Ὡς οὖν οὐκέτι λοιπὸν ἠδύνατο ἢ ζῆσαι ἢ ἀποθανεῖν, ἢ τεκεῖν, οὔτε ἡ συνοδεία ὑπέφερε τὰς μεγάλας ταύτης οἰμωγάς, δρόμῳ ἀπελθοῦσαι ἀπαγγέλλουσι ταῦτα τῷ Ἐπισκόπῳ. Γενομένης οὖν ὑπὸ πάντων εὐχῆς ἐν τῇ Ἐκκλησίᾳ, αἱ τοῦ ἀναιτίου εὐχαὶ ταύτην ἀπρόσδεκτον ἐποίησαν.

Ἀναστὰς οὖν ὁ Ἐπίσκοπος ἐπορεύθη ἔνθα ὁ Διάκονος κατεκέκλειστο, καὶ στὰς πρὸς τῇ θύρᾳ ἐπὶ πολὺ ἔκρουεν· ἐκείνου δὲ μήτε ὑπακούσαντος, μήτε ἀποκριναμένου, ἐκέλευσεν ὁ Ἐπίσκοπος τὴν θύραν ἐπαρθῆναι. Καὶ εἰσελθὼν εὗρεν αὐτὸν κείμενον ἐπ' ἐδάφους καὶ ὡς ἀπολογούμενος ἔφη αὐτῷ· ἀδελφὲ ἀναγνῶστα Εὐστάθιε, φανερωθείσης, θείᾳ κρίσει, τῆς εἰς σὲ συκοφαντίας διὰ τῶν σῶν εὐχῶν, κατοικτείρησον λοιπὸν τὴν εἰς σὲ ἁμαρτήσασαν, ἐπὶ πολὺ ταῖς βασάνοις καταικισθεῖσαν, καὶ λῦσον τὴν ἁμαρτίαν· ταῖς γὰρ σαῖς εὐχαῖς τοιαῦτα πάσχει. Δεήθητι οὖν τοῦ Θεοῦ, ἵνα ἐλευθερωθῇ τοῦ πανωδύνου τόκου. Αὐτοῦ δὲ ἅμα τῷ Ἐπισκόπῳ ἐκτενῶς προσευξαμένου, εὐθέως ἡ ἀθλία ἠλευθερώθη τῆς ἀνάγκης κυήσασα παιδίον· ἱκέτευε δὲ τοὺς πάντας ἀφεθῆναι αὐτῇ τὴν κατὰ τοῦ δικαίου ἀνομίαν.

Καὶ ἀπὸ τότε λοιπὸν οἱ πάντες εἶχον αὐτὸν ἐν τάξει τῶν μαρτύρων· πάσης γὰρ μερίμνης ἑαυτὸν ἀποχωρίσας, εἰς ὕψος πολιτείας ἀρίστης ἀνῆλθεν, ὡς καὶ χαρίσματος πνευματικοῦ ἀξιωθῆναι. Ταῦτα δὲ διῆλθον, ἵνα γνῶμεν ποίοις κολαστηρίοις πρὸ τῆς μελλούσης ἐν τῇ γεέννῃ τιμωρίας καὶ ἐνταῦθα παραδίδονται οἱ συκοφάνται, καὶ πάλιν ποίων τιμῶν καὶ χαρισμάτων καὶ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι καταξιοῦνται οἱ συκοφαντούμενοι καὶ εἰς προσευχὰς καὶ εὐχαριστίας τρεπόμενοι καὶ τῷ Θεῷ προστρέχοντες.

Ἑρμηνεία

ΚΑΠΟΤΕ εἰς τὴν Καισάρειαν* τῆς Παλαιστίνης ἡ ἄγαμος κόρη

---

* Ἡ Καισάρεια ὑπῆρξεν ἀρχαία πόλις τῆς Παλαιστίνης μεταξὺ τῆς Τύρου καὶ τῆς Ἰόππης. Ὁ Ἀπόστολος Παῦλος ἐπέρασεν ἀπὸ τὴν πόλιν αὐτὴν πολλὰς φορὰς καὶ ἐφιλοξενήθη εἰς τὴν οἰκίαν τοῦ Ἀποστόλου Φιλίππου, ἐφυλακίσθη δὲ εἰς αὐτὴν ἐπὶ δύο ἔτη. Μετὰ τὴν κατάληψιν τῆς χώρας ὑπὸ τῶν Σαρακηνῶν καὶ κατὰ

ἑνὸς Πρεσβυτέρου διεφθάρη ἀπὸ κάποιον καὶ ἔμεινε ἔγκυος· ὁ διαφθορεύς της τὴν συνεβούλευσε νὰ συκοφαντήσῃ ἕνα ἀναγνώστην τῆς πόλεως ὡς ἔνοχον. Καθὼς λοιπὸν ἀνεκρίνετο ἀπὸ τὸν πατέρα της, κατηγόρησε τὸν ἀναγνώστην.

Ὁ πατέρας της τὸ ἀνέφερεν εἰς τὸν Ἐπίσκοπον. Ὁ Ἐπίσκοπος συνεκάλεσε τὸ Ἱερατεῖον, ἔφερεν εἰς τὸ μέσον τὸν ἀναγνώστην καὶ τὸν ἐρωτοῦσε διὰ τὴν περίπτωσιν τῆς θυγατρὸς τοῦ πρεσβυτέρου.

—Ἐγὼ δὲν ἔχω καμμίαν σχέσιν μὲ τὴν ὑπόθεσιν αὐτήν, ἀπήντησεν ὁ ἀναγνώστης.

Ὁ Ἐπίσκοπος ἠγανάκτησεν ἀπὸ τὴν ἄρνησίν του καὶ τοῦ λέγει μὲ αὐστηρότητα:

— Δὲν ὁμολογεῖς, ἄθλιε, τὸ σφάλμα σου καὶ νὰ μετανοήσῃς;

Ὁ ἀναγνώστης ἀπεκρίθη καὶ πάλιν:

—Ἐγὼ σὲ παρακαλῶ, τὴν ἀλήθειαν εἶπα, ὅτι μὲ αὐτὴν τὴν ὑπόθεσιν δὲν ἔχω καμμίαν σχέσιν, διότι εἶμαι ἀθῷος ἀπὸ τὴν αἰτίαν τοῦ ἀτυχήματος τῆς νέας· ἂν ὅμως θέλετε νὰ ἀκούσετε νὰ σᾶς εἴπω ὅτι ἔκαμα ἐκεῖνο ποὺ δὲν ἔκαμα, τότε τὸ ἔκαμα.

Ὅταν εἶπεν αὐτό, ὁ Ἐπίσκοπος τὸν καθήρεσεν ἀπὸ τὸ ἀξίωμα τοῦ ἀναγνώστου.

Τότε ὁ ἀναγνώστης προσέπεσεν εἰς τὰ πόδια τοῦ Ἐπισκόπου καὶ τὸν παρεκάλει.

—Ἀφοῦ ἔτσι ἀπεφάσισες —τοῦ ἔλεγε— ἅγιε Ἐπίσκοπε, ὅτι δὲν εἶμαι ἄξιος κληρικὸς τῆς ἁγιωσύνης σου, ἐπειδὴ εἶπα ὅτι ἡμάρτησα, πρόσταξε νὰ μοῦ δοθῇ ἀπὸ τώρα σύζυγος αὐτὴ ἡ νέα· οὔτε ἐγὼ εἰς τὸ ἑξῆς πλέον θὰ εἶμαι κληρικός, οὔτε ἐκείνη παρθένος.

Ὁ Ἐπίσκοπος καὶ ὁ πατέρας τῆς νέας ἐπίστευσαν ὅτι τὴν ἐσυμπαθοῦσε τόσον πολύ, ὥστε νὰ μὴ ἠμπορῇ νὰ τὴν ἀποχωρισθῇ· δι' αὐτὸ καὶ τοῦ τὴν ἔδωσαν ὡς σύζυγον.

Ἐκεῖνος τότε τὴν ὡδήγησεν εἰς γυναικεῖον Μοναστήριον καὶ παρεκάλεσε τὴν Ἡγουμένην νὰ τὴν δεχθῇ μέχρις ὅτου γεννήσῃ. Καὶ ἀφοῦ τὴν ἄφησεν ἐκεῖ, ὁ ἴδιος κατέφυγεν εἰς ἕνα κελλίον ποὺ εὑρίσκετο εἰς κατάξηρον τόπον, εἰς τὸν ὁποῖον ἐκλείσθη καὶ ἐπεδόθη εἰς αὐστηροτάτην σκληραγωγίαν.

Κατέφυγε λοιπὸν μὲ συνετριμμένην καρδίαν εἰς τὸν Χριστὸν καὶ Τοῦ ἔλεγε μὲ πολλὰ δάκρυα: Κύριε, Σύ, ποὺ εἶσαι καρδιογνώστης ὅλων, γνωρίζεις καὶ τὰς ἰδικάς μου πράξεις, ὅπως γνωρίζεις ὅλα πρὶν γίνουν, καθὼς καὶ τὴν σκέψιν κάθε ἀνθρώπου. Σὺ ἀλάνθαστα καὶ γρήγορα ἐλέγχεις τοὺς λογισμούς. Σὺ εἶσαι βοηθὸς τῶν ἀδικουμένων καὶ δικαιότατος ὑπερασπιστὴς τῶν συκοφαντουμένων. Διότι δὲν Σοῦ ἀρέσει κανένα

τὰς ἐκστρατείας τῶν Σταυροφόρων ἡ πόλις κατεστράφη τελείως. Σήμερον εἶναι ἐρειπωμένη.

ἄδικον. Σὺ δὲ διαθέτεις ἀκριβέστατον ζυγὸν δικαιοσύνης. Εἰς τὴν ἰδικήν Σου λοιπόν, Δέσποτα, ἀλάνθαστον καὶ δικαίαν κρίσιν ὑπάρχει ἡ δυνατότης νὰ φανερώσῃς τὴν ἀλήθειαν καὶ νὰ ἀποδείξῃς εἰς τὸ τέλος τὴν ἀθωότητά μου.

Ἐνῷ λοιπὸν ὁ ἀναγνώστης ἐπέμενεν ὑπομονητικὰ εἰς τὰς προσευχὰς καὶ τὰς νηστείας, ἔφθασε καὶ ὁ καιρὸς νὰ γεννήσῃ ἐκείνη ἡ ἀθλία. Ἡ δικαία κρίσις τοῦ Θεοῦ τῆς ἔφερεν ἀπότομον καὶ ἀβάστακτον πόνον· ἐβασανίζετο ἀπὸ σκοτεινὰ ὁράματα, καὶ ἐπὶ ἑπτὰ ἡμέρας ἡ ἀθλία ὑπέφερε φρικτὰ ἀπὸ φοβεροὺς πόνους ὡσὰν κολασμένη, καὶ ὅμως τὸ βρέφος δὲν ἔβγαινεν ἀπὸ μέσα της. Οἱ πόνοι ὅλον καὶ περισσότερον ἀνυπόφοροι ἐγίνοντο. Ἤρχισε λοιπὸν μὲ δυνατὰς κραυγὰς νὰ στενάζῃ καὶ νὰ φωνάζῃ: ἀλλοίμονον εἰς ἐμὲ τὴν ἀθλίαν· κινδυνεύω νὰ χαθῶ ἀπὸ δύο ἁμαρτίας, εἰς τὰς ὁποίας ἔπεσα, τὴν πορνείαν καὶ τὴν συκοφαντίαν. Διότι ἐνῷ μὲ διέφθειρεν ἄλλος, ἐγὼ κατηγόρησα τὸν ἀναγνώστην.

Ἐπειδὴ λοιπὸν δὲν ἠμποροῦσε πλέον οὔτε νὰ ζήσῃ, οὔτε νὰ ἀποθάνῃ, ἀλλ' οὔτε καὶ νὰ γεννήσῃ, οὔτε καὶ ἡ ἀδελφότης εἶχε τὴν ἀντοχὴν νὰ ἀκούῃ τοὺς σπαρακτικοὺς ὀδυρμούς της, ἔτρεξαν γρήγορα καὶ τὰ ἀνέφεραν εἰς τὸν Δεσπότην. Ἀμέσως τότε ἔγινε θερμὴ παράκλησις ἀπὸ ὅλους εἰς τὴν Ἐκκλησίαν· αἱ εὐχαὶ ὅμως τοῦ ἀθώου ἔκαμαν ἀπαράδεκτον αὐτὴν τὴν παράκλησιν ἀπὸ τὸν Θεόν.

Ἐσηκώθηκε λοιπὸν τότε ὁ Ἐπίσκοπος καὶ ἐπῆγεν ἐκεῖ ποὺ ἦτο κατάκλειστος ὁ Διάκονος, καὶ ἀφοῦ ἐστάθη ἐμπρὸς εἰς τὴν θύραν, ἐκτυποῦσεν ἐπὶ πολὺ νὰ τοῦ ἀνοίξουν. Ἐπειδὴ δὲ ἐκεῖνος οὔτε ἤκουε οὔτε καὶ ἀπαντοῦσε, διέταξεν ὁ Ἐπίσκοπος νὰ σπάσουν τὴν θύραν. Ὅταν εἰσῆλθε, τὸν εὑρῆκεν ἐξαπλωμένον εἰς τὸ ἔδαφος καὶ ὡσὰν νὰ ἀπελογεῖτο τοῦ εἶπε:

—Ἀδελφέ, ἀναγνῶστα Εὐστάθιε, ἡ κρίσις τοῦ Θεοῦ ἐφανέρωσε, μετὰ τὰς προσευχάς σου, τὴν εἰς βάρος σου κατηγορίαν· λυπήσου καὶ σὺ πλέον τώρα ἐκείνην, ποὺ σοῦ ἔκαμε τὸ κακόν, διότι πολὺ ἐβασανίσθη ἀπὸ τὴν τιμωρίαν καὶ συγχώρησε τὴν ἁμαρτίαν της. Ἀπὸ τὰς προσευχάς σου ὑποφέρει αὐτά. Παρακάλεσε λοιπὸν τὸν Θεὸν νὰ ἐλευθερωθῇ ἀπὸ τὸν τοκετόν, ποὺ τὴν βασανίζει μὲ φοβεροὺς πόνους.

Μόλις ὁ Ἀναγνώστης προσηυχήθη μαζὶ μὲ τὸν Ἐπίσκοπον, ἠλευθερώθη ἀμέσως ἐκείνη ἡ ἀθλία ἀπὸ τὴν ἀγωνίαν καὶ ἐγέννησε παιδί.

Ἔπειτα παρεκάλει ὅλους νὰ τὴν συγχωρήσουν διὰ τὴν ἀνομίαν ποὺ διέπραξεν εἰς βάρος τοῦ δικαίου.

Ἀπὸ ἐκεῖ καὶ ἔπειτα ὅλοι ἐθεωροῦσαν τὸν Διάκονον ὡς μάρτυρα. Ἐκεῖνος δὲ ἀφοῦ ἐγκατέλειψε κάθε κοσμικὴν μέριμναν, ἔφθασεν εἰς τὸ ὕψος ἀρκετὰ ἐναρέτου ζωῆς, ὥστε νὰ ἀξιωθῇ νὰ λάβῃ ἀπὸ τὸν Θεὸν καὶ πνευματικὸν χάρισμα.

Τὰ ἀνέφερα αὐτά, διὰ νὰ ἐννοήσωμεν καλῶς εἰς ποίας τιμωρίας, πρὶν ἀπὸ τὴν μελλοντικὴν τιμωρίαν εἰς τὴν γέενναν, παραδίδονται καὶ εἰς τὴν ζωὴν αὐτὴν οἱ συκοφάνται· καί, ἀντιστοίχως, ποίας τιμὰς καὶ χαρίσματα ἀξιώνονται νὰ λάβουν ἀπὸ τὸν Θεὸν καὶ τώρα, εἰς αὐτήν τὴν ζωήν,

καὶ εἰς τὴν μέλλουσαν ἐκεῖνοι ποὺ συκοφαντοῦνται καὶ ἐπιδίδονται εἰς προσευχάς, εὐχαριστίας καὶ προστρέχουν εἰς τὸν Θεόν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ

Ο ΜΕΓΑΣ Γρηγόριος, διὰ πάσης ἐλθὼν τῆς τῶν Ἑλλήνων παιδεύσεως, καὶ γνοὺς τῇ πείρᾳ τὸ ἀσύστατον καὶ ἀσύμφωνον καὶ ἀσθενὲς τῶν παρ' αὐτοῖς δογμάτων, μαθητὴς τοῦ Εὐαγγελίου καθίσταται· καὶ πρὶν ἀναγεννηθῆναι διὰ Βαπτίσματος, οὕτω κατώρθου τὸν βίον, ὡς μηδένα ρύπον ἐξ ἁμαρτίας ἐπὶ τὸ λουτρὸν εἰσενέγκασθαι. Διάγων τοίνυν κατὰ τὴν Ἀλεξάνδρειαν, εἰς ἣν πάντες συνέρρεον οἱ περὶ φιλοσοφίαν καὶ ἰατρικὴν ἐσπουδακότες, χαλεπὸν ἦν τοῖς ὁμήλιξι θέαμα, νέος ὑπὲρ τὴν πολιὰν τῇ σωφροσύνῃ κοσμούμενος· ὁ γὰρ τοῦ καθαρεύοντος ἔπαινος τῶν μολυνομένων ὄνειδος ἦν. Ὡς ἂν οὖν ἀπολογία τις εἴη τοῖς ἀκολάστοις τὸ μὴ μόνους αὐτοὺς τοιούτους εἶναι δοκεῖν, ἐπίνοιάν τινα μηχανῶνται τοῦ μῶμον τινὰ τῷ βίῳ τοῦ μεγάλου προστρίψασθαι. Καὶ προβάλλουσιν εἰς διαβολὴν ἐκείνου γύναιον ἑταιρικὸν ἐξ οἰκήματος ἐπὶ ἀτιμίᾳ κατεγνωσμένον.

Τοῦ δὲ κατὰ τὸ σύνηθες τοῖς λογάσι τῶν ἀνδρῶν ἐν σεμνῷ τῷ σχήματι περί τινος τῶν κατὰ φιλοσοφίαν διασκοποῦντος, πρόσεισι τὸ γύναιον λυγιζόμενόν τε καὶ θρυπτόμενον, καὶ διὰ πάντων τὸ εἶναι πρὸς αὐτὸν συνηθείᾳ δι' ὧν ἐφθέγγετό τε καὶ ἐποίει σχηματιζόμενον. Εἶτα ἔλεγε τῶν μισθωμάτων ἀποστερεῖσθαι, προστιθεῖσα καὶ τὰς ἀφορμάς, ὑπ' ἀναιδείας ὑπὲρ ὧν ᾐτιᾶτο τὴν τῶν μισθῶν ἀποστέρησιν.

Τῶν δὲ συνεγνωκότων αὐτοῦ τὸν βίον ἀγανακτούντων τε καὶ ὀργῇ κατὰ τοῦ γυναίου συγκινουμένων, οὔτε συνεταράχθη τοῖς ὑπὲρ αὐτοῦ χαλεπαίνουσιν, οὔτε τι τοιοῦτον εἶπε συκοφαντούμενος, οἷον εἰκὸς τὸν ἀχθόμενον, οὐ μάρτυρα τοῦ βίου προσεκαλέσατο, οὐχ ὅρκῳ τὸν μῶμον ἀπώσατο, οὐ τὴν κακίαν τῶν ταῦτα κατ' αὐτοῦ συσκευασαμένων διήλεγξεν. Ἀλλ' ἐν ἠρεμίᾳ τε καὶ καθεστώσῃ τῇ φωνῇ πρός τινα τῶν συνήθων ἀποστραφείς, οὕτως, ἔφη, διάλυσον αὐτῇ τὸ ἀργύριον ὡς ἂν μὴ ἐπὶ πλεῖον διοχλοῦσα τὴν προκειμένην σπουδὴν ἐπιταράσσοι.

Ἐπεὶ δὲ μαθὼν παρὰ τῆς ἑταιρίδος ὁ τοῦτο προστεταγμένος ὅσον ᾔτει παρ' αὐτοῦ ἀργύριον ἑτοίμως ἅπαν ἀπηριθμήσατο, καὶ πέρας εἶχε κατὰ τοῦ σώφρονος ἡ ἐπιβουλὴ τοῖς ἀκολάστοις, καὶ ἦν ἐν ταῖς χερσὶν ἤδη τῆς ἀτίμου τὸ κέρδος, τότε γίνεται θεόθεν ἥ τε μαρτυρία τῆς σωφροσύνης τοῦ νέου καὶ τῆς τῶν ὁμηλίκων συκοφαντίας ὁ ἔλεγχος.

Ὁμοῦ τε γὰρ τῷ ὑποδέξασθαι τῇ χειρὶ τὸ ἀργύριον πνεύματι δαιμονίῳ στρεβλωθεῖσα, καὶ βρυχηθμῷ θηριώδει παρὰ τὴν ἀνθρωπίνην φωνὴν ἀνοιμώξασα, πίπτει πρηνής, κατὰ τὸ μέσον τῶν συνειλεγμένων, θέαμα φρικτόν τε καὶ φοβερὸν τοῖς παροῦσιν ἀθρόως, τῶν τριχῶν τε διερρηγμένων, καὶ ταῖς ἰδίαις χερσὶ σπαρασσομένων καὶ τῶν ὀφθαλμῶν ἀνεστραμμένων, καὶ τοῦ στόματος τὸν ἀφρὸν παραπτύοντος, καὶ οὐ πρότερον ἀνῆκε καταπνίγον αὐτὴν τὸ δαιμόνιον, πρὶν αὐτὸν ἐκεῖνον τὸν μέγαν ἐπικαλέσασθαι τὸν Θεόν, καὶ ὑπὲρ αὐτῆς ἱλεώσασθαι. Τοιαῦτα τῆς νεότητος τοῦ θαυμαστοῦ Γρηγορίου τὰ διηγήματα ἄξια τῶν μετὰ ταῦτα βεβιωμένων αὐτῷ τὰ προοίμια.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Γρηγόριος, ἀφοῦ ἐσπούδασεν ὅλην τὴν ἑλληνικὴν φιλοσοφίαν, καὶ ἀντελήφθη πλέον ἐκ πείρας πόσον ἀβάσιμα, ἀντιφατικὰ καὶ ἀνίσχυρα ἦσαν τὰ διδάγματά της, γίνεται μαθητὴς τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ. Καὶ πρὶν ἀκόμη ἀναγεννηθῇ διὰ τοῦ Ἁγίου Βαπτίσματος, ἔζοῦσε τόσον ἐνάρετα, ὥστε νὰ μὴ εἰσαγάγῃ καμμίαν ἁμαρτίαν εἰς τὸ λουτρὸν (τοῦ Βαπτίσματος)*. Διέμενε λοιπὸν εἰς τὴν Ἀλεξάνδρειαν, εἰς τὴν ὁποίαν ἐμαζεύοντο ὅσοι ἐσπούδαζαν φιλοσοφίαν καὶ ἰατρικὴν καὶ ἦτο ἀξιοθαύμαστον θέαμα μεταξὺ τῶν συνομηλίκων του, διότι ἂν καὶ ἦτο νέος, ἐν τούτοις διεκρίνετο, περισσότερον ἀπὸ τοὺς γέροντας, διὰ τὴν σωφροσύνην του. Ὁ ἔπαινος ὅμως τοῦ ἁγνοῦ ἀποτελεῖ ἐντροπὴν διὰ τοὺς ἁμαρτάνοντας.

Διὰ νὰ ἔχουν λοιπὸν κάποιαν δικαιολογίαν οἱ διεφθαρμένοι καὶ νὰ μὴ φαίνωνται ὅτι αὐτοὶ μονάχα εἶναι ἁμαρτωλοί, μηχανεύονται κάποιο τέχνασμα, διὰ νὰ κηλιδώσουν τὴν φήμην τοῦ μεγάλου Γρηγορίου. Διὰ νὰ τὸν κατηγορήσουν, παρουσιάζουν μίαν πόρνην, ἀπὸ κακόφημον οἶκον, γνωστὴν διὰ τὴν ἀτιμίαν της.

Ἐνῷ λοιπὸν ἐκεῖνος, ὅπως συνήθιζεν, ἐσυζητοῦσε, μὲ ταπεινὸν σχῆμα, διὰ κάποιον φιλοσοφικὸν ζήτημα μὲ τοὺς λογίους τοῦ τόπου, πλησιάζει ἡ διεφθαρμένη γυναίκα, σινάμενη καὶ κουνάμενη· ἔδειχνε δὲ μὲ ὅσα ἔκαμνε καὶ ἔλεγεν, ὅτι τάχα ἦτο γνωστή του. Ἔπειτα ἔλεγεν ὅτι δὲν τὴν πληρώνει καὶ μὲ πολλὴν ἀναίδειαν προσέθετε τοὺς λόγους, τάχα διὰ τοὺς ὁποίους τῆς καθυστερεῖ τὸν μισθὸν τῆς ἀκολασίας.

Εἰς τὸ ἄκουσμα τῶν λόγων αὐτῶν ἐκεῖνοι ποὺ ἐγνώριζαν τὸν βίον τοῦ Ἁγίου ἀγανακτοῦσαν καὶ ἐκινοῦντο μὲ ὀργὴν ἐναντίον τῆς διεφθαρμένης γυναικός· ἐκεῖνος ὅμως οὔτε κἂν ἐταράχθη, ὅπως οἱ ἄλλοι ποὺ ἐθύμωναν διὰ λογαριασμόν του· οὔτε εἶπε τίποτα (νὰ διαμαρτυρηθῇ) διὰ τὴν συκοφαντίαν, κάτι, τέλος πάντων, ποὺ ταιριάζει εἰς τὰ χείλη ἑνὸς στενοχωρημένου· οὔτε ἐπεκαλέσθη τὴν ζωήν του, διὰ νὰ ὑπερασπίσῃ τὴν ἀθωότητά του· οὔτε προσεπάθησε νὰ ἀποκρούσῃ μὲ ὅρκον τὴν κατηγορίαν· οὔτε ἐκαυτηρίασε τὴν κακίαν ἐκείνων ποὺ ἐμηχανεύθησαν αὐτὴν τὴν συκοφαντίαν ἐναντίον του, ἀλλὰ μὲ ἥρεμον τρόπον, χωρὶς νὰ ὑψώσῃ τὴν φωνήν του, ἐστράφη πρὸς κάποιον φίλον του καὶ τοῦ εἶπε:

— Πλήρωσέ της τὰ χρήματα ποὺ ζητεῖ, διὰ νὰ μὴ ταράσσῃ τὴν συζήτησίν μας καὶ μᾶς ἐνοχλῇ περισσότερον.

Ἀφοῦ δὲ ὁ φίλος τοῦ Ἁγίου Γρηγορίου ἔμαθεν ἀπὸ τὸ ἀκόλαστον γυναικάριον πόσα χρήματα ἐζητοῦσεν, ἀμέσως τῆς τὰ ἐμέτρησεν ὅλα καὶ ἔτσι ἐτελείωσεν ἡ συνωμοσία τῶν ἀκολάστων ἐναντίον τοῦ ἁγνοῦ. Καὶ

---

* Κατὰ τὴν διδασκαλίαν τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας ὁ βαπτιζόμενος ἀπαλλάσσεται ὄχι μόνον ἀπὸ τὸ προπατορικὸν ἁμάρτημα, ἀλλὰ καὶ ἀπὸ τὰς ἄλλας ἁμαρτίας εἰς τὰς ὁποίας δυνατὸν νὰ ἔχῃ ὑποπέσει εἰς τὴν ζωήν του.

ἐνῷ ἡ ἄτιμος ἐκρατοῦσεν εἰς τὰ χέρια της τὸ κέρδος, τότε ἔρχεται ἀπὸ τὸν Θεὸν ἡ ἀπόδειξις τῆς ἁγνότητος τοῦ νέου καὶ ὁ ἔλεγχος τῆς συκοφαντίας τῶν συνομηλίκων του.

Συγκεκριμένα συνέβη τὸ ἑξῆς· τὴν στιγμὴν ποὺ ἔπαιρνεν εἰς τὰ χέρια της τὰ χρήματα, ἀμέσως ἐστράβωσεν ἀπὸ δαιμονικὸν πνεῦμα, ἐμούγκρισε σπαρακτικά, ὡσὰν θηρίον, πίπτει χάμω καὶ ἐξηπλώθη εἰς τὸ μέσον τῶν συγκεντρωμένων. Ἀμέσως ὅλοι οἱ παρόντες εὑρέθησαν πρὸ φρικτοῦ καὶ φοβεροῦ θεάματος· ἐξερρίζωνε μὲ τὰ ἴδια της τὰ χέρια τὰς τρίχας τῆς κεφαλῆς της, ἐξεσχίζετο, τὰ μάτια της εἶχαν γυρίσει καὶ ἀπὸ τὸ στόμα της ἔβγαζεν ἀφρούς. Δὲν ἐσταματοῦσε δὲ νὰ πνίγῃ τὴν γυναῖκα ἐκείνην τὸ δαιμόνιον, πρὶν ὁ μέγας Γρηγόριος ἐπικαλεσθῇ τὸν Θεὸν καὶ νὰ τὸν παρακαλέσῃ δι' αὐτήν.

Τὰ γεγονότα αὐτὰ ποὺ ἔγιναν κατὰ τὴν νεότητα τοῦ Ἁγίου Γρηγορίου, ἀποτελοῦν ἄξια προοίμια τῆς μετέπειτα ἀξιοθαυμάστου Χριστιανικῆς ζωῆς του*.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ Ἀκραγαντίνου

ΤΟΙΟΥΤΟΝ καὶ τὸ κατὰ τὸν μέγαν Γρηγόριον διήγημα τὸν Ἀκραγαντίνων Ἐπίσκοπον, ὃς πράως ἐνεγκὼν τὴν συκοφαντίαν, καὶ διετίαν ὅλην δεσμώτης ἐν σκοτεινῷ τινι καὶ ἀφεγγεστάτῳ καὶ πνιγηρῷ οἰκίσκῳ κατακλεισθείς, καὶ πάντα εὐχαρίστως καὶ ἀνεξικάκως ὑπενεγκών, ὕστερον ὑπὸ Θεοῦ ἐδοξάσθη μέσον συνόδου, τῆς μὲν καταψευσαμένης αὐτοῦ κόρης καὶ ἔκτοτε δαιμονώσης ὑπ' αὐτοῦ ἰαθείσης πάντων ὁρώντων, καὶ οὕτω τὴν συκοφαντίαν φανερωσάσης, καὶ τὸ ψεῦδος ἄντικρυς ὁμολογησάσης.

Τῶν δὲ περὶ Σαβῖνον καὶ Κρισκεντῖνον, τῶν ταῦτα κατὰ τοῦ ἁγίου συσκευασάντων, καὶ ἐν τῇ κέλλῃ τοῦ ἁγίου τὴν κόρην ἐπικλεισάντων, ἐκείνου τὰς μεσονυκτίους εὐχὰς ἐν τῷ ναῷ ἀποδιδόντος Θεῷ, εἶτα ἅμα φωτὶ εἰσδραμόντων καὶ ἐξαγαγόντων αὐτὴν ἐκεῖθεν καὶ κατειπεῖν τοῦ Ὁσίου παραπεισάντων, τούτων νεύσει θείᾳ τοῦ συνεδρίου ἐνώπιον λαίλαπι ζοφερᾷ περισχεθέντων ἅμα παντὶ τῷ ἐκείνων συστήματι ἐφ' ὥραν ἱκανήν.

Εἶτα μετὰ τὸ διαλυθῆναι την λαίλαπα πάντων ὀφθέντων μεμελανωμένων τὰ πρόσωπα καὶ πεπελιδνωμένων τὰ χείλη, καὶ μάλιστα τῶν ἀρχηγῶν τῆς συκοφαντίας, ὡς μήτε συσφίγγειν αὐτά, μήτε λαλεῖν ὅλως δύνασθαι καὶ φανερῶς ἐκ Θεοῦ δεξαμένων τὴν τιμωρίαν, ἣν ἐξ ἐκείνου καὶ τὸ γένος αὐτῶν διεδέξατο, ἀνίερον εἶναι κατακριθὲν καὶ λειτουργὸν ἐκ τούτου Κυρίου μὴ γίνεσθαι.

Ἑρμηνεία

ΠΑΡΟΜΟΙΟΝ εἶναι καὶ τὸ διήγημα τοῦ μεγάλου Γρηγορίου,

---

* Περὶ τοῦ θείου τούτου Γρηγορίου τοῦ θαυματουργοῦ βλέπε πλατύτερον ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ», τόμος ΙΑ' σελὶς 503.


Ἐπισκόπου Ἀκραγαντίνων*. Καὶ αὐτὸς ἐσήκωσε μὲ πραότητα τὸν σταυρὸν τῆς συκοφαντίας· παρέμεινεν αἰχμάλωτος εἰς ἕνα θεοσκότεινον καὶ ἀποπνικτικὸν οἰκίσκον, ὅπου τὸν εἶχαν φυλακίσει. Καὶ ἀφοῦ τὰ ὑπέφερεν ὅλα μὲ ὑπομονὴν καὶ ἀνεξικακίαν, ὕστερα ἐδοξάσθη ὑπὸ τοῦ Θεοῦ ἐν μέσῳ Συνόδου, ὅταν ἡ κόρη, ἡ ὁποία τὸν ἐσυκοφάντησε καὶ ἀπὸ τότε εἶχε δαιμονισθῆ, ἐθεραπεύθη ἀπὸ τὸν Ἅγιον ἐνώπιον ὅλων καὶ ἔτσι ἐφανέρωσε τὴν συκοφαντίαν καὶ ὡμολόγησε τελείως τὸ ψεῦδος της. Δὲν ἔμειναν ὅμως ἀτιμώρητοι οἱ ἄνθρωποι τοῦ Σαβίνου καὶ τοῦ Κρισκεντίνου, οἱ ὁποῖοι ἐμηχανεύθησαν τὰς συκοφαντίας αὐτὰς ἐναντίον τοῦ Ἁγίου. Ἔκλεισαν δηλαδὴ τὴν κόρην εἰς τὸ κελλὶ τοῦ Ἁγίου, ὅταν ἐκεῖνος εὑρίσκετο εἰς τὸν ναὸν καὶ ἀνέπεμπεν εἰς τὸν Θεὸν τὰς μεσονυκτίους εὐχάς. Μόλις ἐφώτισεν, ἔτρεξαν μέσα εἰς τὸ κελλί, τὴν ἔβγαλαν ἀπὸ ἐκεῖ καὶ τὴν ἔπεισαν νὰ κατηγορήσῃ τὸν Ὅσιον. Ὅταν ὅμως ἐνεφανίσθησαν εἰς τὸ συνέδριον, μέσα εἰς αὐτὸ ἐτυλίχθησαν, ἀπὸ πρόσταγμα Θεοῦ, αὐτοὶ καὶ οἱ σύντροφοί των, μὲ σκοτεινὴν ἀνεμοθύελλαν ἐπὶ ἀρκετὴν ὥραν.

Κατόπιν, ὅταν ἐπέρασεν ὁ ἄνεμος, ἐφαίνοντο ὅλοι μὲ μαυρισμένα πρόσωπα καὶ μελανιασμένα χείλη καὶ πρὸ παντὸς οἱ ἀρχηγοὶ τῆς συκοφαντίας, ἔτσι ποὺ νὰ μὴ ἠμποροῦν οὔτε νὰ τὰ κλείσουν, οὔτε νὰ ὁμιλήσουν καθόλου. Ἔτσι ὁλοφάνερα ἐτιμωρήθησαν ἀπὸ τὸν Θεόν· καὶ τὴν τιμωρίαν μάλιστα ἐκληρονόμησεν, ἀπὸ τότε, καὶ ὁλόκληρος ἡ οἰκογένειά των. Κατεδικάσθη δηλαδή, ὡς ἀνίερος καὶ δὲν ἐγένετο ἀπὸ αὐτὴν τὴν οἰκογένειαν κανένας λειτουργὸς τοῦ Κυρίου.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ περὶ ἑαυτοῦ ὁ ἀββᾶς Μακάριος λέγων, ὅτι, ὅτε ἤμην νεώτερος καὶ ἐκαθήμην εἰς κελλίον εἰς Αἴγυπτον, ἐκράτησάν με καὶ ἐποίησαν κληρικὸν εἰς τὴν πόλιν. Καὶ μὴ θέλων καταδέξασθαι, ἔφυγον εἰς ἕτερον τόπον· καὶ ἦλθε πρός με εὐλαβὴς κοσμικός, καὶ ἐλάμβανε τὸ ἐργόχειρόν μου καὶ διηκόνει μοι. Συνέβη δὲ ἀπὸ πειρασμοῦ παρθένον τινὰ εἰς τὴν πλησίον κώμην ἐκπεσεῖν καὶ συλλαβοῦσα κατὰ γαστρός, ἠρωτᾶτο τίς εἴη ὁ τοῦτο πεποιηκώς; Ἡ δὲ εἶπεν· ὁ Ἀναχωρητής. Καὶ ἐξελθόντες οἱ τῆς κώμης συνέλαβόν με καὶ ἐκρέμασαν περὶ τὸν τράχηλόν μου ἠσβολωμένας χύτρας καὶ ὠτία κούφων, καὶ πομπεύοντες περιήγαγόν με κατὰ τὰς ἀμφόδους τῆς κώμης, τύπτοντες ἅμα καὶ λέγοντες· οὗτος ὁ Μοναχὸς ἔφθειρεν ἡμῶν τὴν παρθένον, λάβετε αὐτὸν λάβετε, καὶ ἔτυψάν με παρὰ μικρὸν τοῦ ἀποθανεῖν. Ἐλθὼν δέ τις τῶν γερόντων εἶπεν· ἕως πότε τύπτετε τὸν ξένον Μοναχόν;

** Ὁ Ἀκράγας ἦτο πόλις τῆς Σικελίας κειμένη εἰς τὰ νοτιοδυτικὰ παράλια αὐτῆς περίφημος κατὰ τὴν ἀρχαιότητα. Τὰ νῦν καλεῖται ὑπὸ τῶν Ἰταλῶν Ἀγκριτζέντο. Ἐν αὐτῇ γενόμενος Ἐπίσκοπος ὁ θεῖος οὗτος Γρηγόριος ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ρινοτμήτου ἐν ἔτει 685 μ.Χ. Περὶ τοῦ θείου τούτου Γρηγορίου βλέπε πλατύτερον ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ» τόμος ΙΑ' σελὶς 594.


Ο ΑΓΙΟΣ ΓΡΗΓΟΡΙΟΣ
Ο ΑΚΡΑΓΑΝΤΙΝΩΝ
ΧΕΙΡ
ΔΗΜ. ΡΙΤΣΟΥ

Ὁ δὲ διακονῶν μοι ἠκολούθει ὀπίσω μου αἰδούμενος· ἦσαν γὰρ αὐτὸν ὑβρίζοντες καὶ λέγοντες· ἰδοὺ ὁ Ἀναχωρητής, ᾧ σὺ ἐμαρτύρεις, τί ἐποίησε. Καὶ λέγουσιν οἱ γονεῖς τῆς κόρης· οὐκ ἀπολύομεν αὐτόν, ἕως οὗ δῷ ἐγγυητὴν τοῦ τρέφειν αὐτήν. Καὶ εἶπον τῷ διακονητῇ μου καὶ ἐνηγγυήσατό με. Καὶ ἀπολυθεὶς ἦλθον εἰς τὸ κελλίον μου σὺν αὐτῷ καὶ ἔδωκα αὐτῷ ὅσα εἶχον σπυρίδια λέγων· πώλησον αὐτὰ καὶ δὸς τῇ γυναικί μου φαγεῖν. Καὶ ἔλεγον τῷ λογισμῷ· Μακάριε, ἰδοὺ εὗρες ἑαυτῷ γυναῖκα, χρὴ οὖν ἐργάζεσθαι μικρὸν περισσόν, ἵνα τρέφῃς αὐτήν. Καὶ εἰργαζόμην νύκτα καὶ ἡμέραν καὶ ἔπεμπτον αὐτῇ.

Ὅτε δὲ ἦλθεν ὁ καιρὸς τοῦ τεκεῖν τὴν ἀθλίαν, ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας βασανιζομένη καὶ οὐκ ἔτικτεν. Ἤρξατο οὖν κράζειν καὶ λέγειν· ἐλεήσατέ με τὴν ἀθλίαν· ἐλεήσατέ με τὴν δύο κακοῖς, ὁμοῦ πορνείᾳ καὶ συκοφαντίᾳ περιπεσοῦσαν. Κατεψευσάμην γὰρ τοῦ Ἀναχωρητοῦ καὶ μάτην ᾐτιασάμην αὐτόν· ἐκεῖνος γὰρ οὐδὲν ἔπραξεν, ἀλλ' ὁ δεῖνα ὁ νεώτερος οὗτός με διέφθειρεν. Ὡς οὖν τοῦτο ἤκουσεν ὁ διακονῶν μοι, τρέχει καὶ ἔρχεται πρός με καὶ ἀναγγέλλει μοι, προσθεὶς ὅτι ἰδοὺ καὶ πᾶσα ἡ κώμη ἔρχεται πρὸς σὲ τοῦ μετανοῆσαί σοι καὶ δοξάσαι σε· ἐγὼ δὲ φοβηθεὶς τὴν ἐκ τῶν ἀνθρωπίνων ἐπαίνων βλάβην, ἀνέστην εὐθὺς καὶ ἔφυγον εἰς σκῆτιν. Αὕτη ἐστὶν ἡ ἀρχὴ καὶ αἰτία δι' ἣν ἦλθον ὧδε.

2. Ἐγένετό τις γέρων φιλάδελφος καὶ ἀγαπητικὸς σφόδρα, μὴ λογιζόμενος τὸ κακὸν ποτέ. Ἀδελφὸς δέ τις κλέψας σκεύη, ἤνεγκε καὶ παρέθετο αὐτῷ, ἀγνοοῦντι ὅλως περὶ τοῦ πράγματος. Μετὰ δὲ ἡμέρας ἐγνωρίσθησαν τὰ σκεύη αὐτοῦ καὶ ἐγκληθεὶς ὁ γέρων ἔβαλε μετάνοιαν λέγων· συγχωρήσατέ μοι, μετανοῶ. Μετὰ δὲ μικρὸν ἦλθεν ὁ ἀδελφὸς ὁ κλέψας τὰ σκεύη καὶ παραθέμενος αὐτῷ, καὶ ἐποίησε διάλογον μετ' αὐτοῦ, καὶ ἔλεγε τῷ γέροντι· σὺ ἔκλεψας τὰ σκεύη; Καὶ ἔβαλεν ὁ γέρων μετάνοιαν τῷ ἀδελφῷ λέγων· συγχώρησόν μοι. Εἴ ποτε δὲ καὶ ἄλλος τις τῶν ἀδελφῶν ἔπταισε καὶ ἠρνεῖτο, αὐτὸς ἔβαλλε μετάνοιαν λέγων· συγχωρήσατέ μοι. Τοσοῦτον ἦν εὐλαβὴς καὶ ταπεινόφρων ὁ ὅσιος, μηδὲ ἕως λόγου ποτὲ πλήξας τινά.

3. Διηγήσατο γέρων, ὅτι ἐπὶ τοῦ μεγάλου Ἰσιδώρου τοῦ Πρεσβυτέρου τῆς σκήτεως, ἦν τις ἀδελφὸς Διάκονος, ὃν καὶ διὰ τὸ ὑπερβάλλον τῆς ἀρετῆς ἐποίησε Πρεσβύτερον ἐπὶ τὸ διαδέξασθαι αὐτὸν μετὰ θάνατον. Ὁ δὲ δι' εὐλάβειαν οὐχ ἥψατο τῆς χειροτονίας, ἀλλ' ἔμενε Διάκονος. Τούτῳ γοῦν κατ' ἐπιβουλὴν τοῦ ἐχθροῦ ἐφθόνησέ τις τῶν γερόντων, καὶ πάντων ὄντων ἐν τῇ Ἐκκλησίᾳ διὰ τὴν σύναξιν, ἀπελθὼν ὁ γέρων ὑπέβαλε τὸ ἴδιον βιβλίον εἰς τὸ κελλίον τοῦ Διακόνου, καὶ ἐλθὼν ἀπήγγειλε τῷ ἀββᾷ Ἰσιδώρῳ λέγων, ὅτι τὶς τῶν ἀδελφῶν ἔκλεψέ μου τὸ βιβλίον. Καὶ θαυμάσας ὁ ἀββᾶς Ἰσίδωρος εἶπεν· οὐδέποτέ τι γέγονε τοιοῦτον ἐν τῇ σκήτει.

Λέγει οὖν τῷ Πρεσβυτέρῳ ὁ γέρων ἐκεῖνος ὁ τὸ βιβλίον ὑποβαλών· ἀπόστειλον δύο τῶν Πατέρων μετ' ἐμοῦ ἵνα ἐρευνήσωμεν τὰ κελλία. Ἀπελθόντες οὖν πρῶτον μὲν ἐψηλάφησαν εἰς τὰ κελλία τῶν ἄλλων, ὕστερον δὲ ἦλθον εἰς τὸ κελλίον τοῦ Διακόνου, καὶ εὑρόντες αὐτὸ ἐκεῖ τὸ βιβλίον, ἤνεγκαν αὐτὸ τῷ Πρεσβυτέρῳ εἰς τὴν Ἐκκλησίαν, καὶ ἀπήγγειλαν ποῦ εὗρον αὐτό, παρόντος καὶ τοῦ Διακόνου καὶ ἀκούοντος. Ὁ δὲ ποιεῖ μετάνοιαν ἐπὶ παντὸς τοῦ λαοῦ τῷ ἀββᾷ Ἰσιδώρῳ λέγων·

ἡμάρτηκα· δός μοι ἐπιτίμιον. Καὶ ἔδωκεν αὐτῷ ἐπιτίμιον ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνῆσαι.

Ἐρχόμενος οὖν ὁ ἀδελφὸς εἰς τὴν σύναξιν, ἵστατο πρὸ τῆς Ἐκκλησίας καὶ ὑπέπιπτε παντὶ τῷ λαῷ λέγων· συγχωρήσατέ μοι, ὅτι ἡμάρτηκα. Μετὰ δὲ τρεῖς ἑβδομάδας ἐδέχθη εἰς τὴν κοινωνίαν καὶ εὐθέως ἐδαιμονίσθη ὁ γέρων ὁ συκοφαντήσας αὐτόν, καὶ ἤρξατο ἐξομολογεῖσθαι κράζων καὶ λέγων· ἐσυκοφάντησα τὸν δοῦλον τοῦ Θεοῦ. Καὶ γενομένης εὐχῆς ὑπὸ πάσης τῆς Ἐκκλησίας περὶ αὐτοῦ οὐκ ἐθεραπεύετο. Τότε ὁ μέγας Ἰσίδωρος λέγει ἐπὶ πάντων τῶν ἀδελφῶν· εὖξαι ὑπὲρ αὐτοῦ· σὺ γὰρ ἐσυκοφαντήθης καὶ εἰ μὴ διὰ σοῦ, οὐ θεραπεύεται· καὶ εὐξαμένου αὐτοῦ παραχρῆμα ὑγιὴς γέγονεν ὁ γέρων.

4. Ἦν τις τῶν Πατέρων ὀνόματι Νίκων εἰς τὸ ὄρος Σινᾶ· οὐ πολὺ δὲ μήκοθεν αὐτοῦ κατῴκει τις Φαραωνίτης ἔχων θυγατέρα. Ἄνθρωπος οὖν τις παραγενόμενος εἰς τὴν οἰκίαν τοῦ Φαραωνίτου, καὶ εὑρὼν τὴν θυγατέρα αὐτοῦ μόνην, ἀπόντος ἐκείνου, διέφθειρεν αὐτήν. Εἶτα ἐδίδαξεν εἰπεῖν τῷ πατρὶ αὐτῆς, ὅτι ὁ ἀββᾶς Νίκων ἐποίησέ μοι οὕτως. Ὡς οὖν ἐπανελθὼν ὁ Φαραωνίτης τὸ γεγονὸς ἔμαθε, θυμῷ καὶ λύπῃ τὴν καρδίαν ἀναφλεχθείς, λαβὼν τὸ ξίφος ἀπῆλθε πρὸς τὸν γέροντα· καὶ στὰς ἔξωθεν ἔκρουσε· καὶ ἐξελθόντος τοῦ γέροντος, ἐξέτεινεν ὁ Φαραωνίτης τὴν χεῖρα τοῦ πλῆξαι αὐτὸν τῷ ξίφει καὶ εὐθέως ἐξηράνθη ἡ χεὶρ αὐτοῦ.

Μὴ δυνηθεὶς οὖν φονεῦσαι τὸν γέροντα, ἀπελθὼν εἶπε τοῖς Πρεσβυτέροις καὶ πέμψαντες ἐκάλεσαν τὸν γέροντα. Καὶ ὡς ἦλθεν, ἐπιθέντες αὐτῷ πολλὰς πληγὰς ἤθελον διῶξαι. Ὁ δὲ παρεκάλει λέγων· ἄφετέ με ὧδε διὰ τὸν Θεόν, ἵνα μετανοήσω. Καὶ χωρίσαντες αὐτὸν τρία ἔτη τῆς τῶν ἁγιασμάτων μεταλήψεως καὶ τῆς Ἐκκλησίας, ἔδωκαν ἐντολὴν ἵνα μηδεὶς αὐτῷ παραβάλῃ· καὶ διήγαγε τρία ἔτη μετανοῶν κατὰ Κυριακὴν εἰς τὴν Ἐκκλησίαν καὶ παρεκάλει πάντας λέγων· εὔξασθε ὑπὲρ ἐμοῦ.

Ὕστερον δὲ ἐδαιμονίσθη ὁ ποιήσας τὴν ἁμαρτίαν καὶ συκοφαντήσας τὸν γέροντα καὶ μαστιζόμενος ὑπὸ τοῦ δαίμονος ὡμολόγησεν ἐν τῇ Ἐκκλησίᾳ εἰπών, ὅτι οὐδὲν οἶδεν ὁ τοῦ Θεοῦ δοῦλος, ἀλλ' ἐγὼ τὴν ἁμαρτίαν ἐποίησα, καὶ εἶπον συκοφαντῆσαι αὐτόν. Καὶ ἀκούσαντες πᾶς ὁ λαὸς ἀπῆλθον πρὸς τὸν γέροντα ἐν τῷ κελλίῳ ἡσυχάζοντα, καὶ μετενόησαν αὐτῷ λέγοντες· συγχώρησον ἡμῖν, Ἀββᾶ. Ὁ δὲ εἶπεν αὐτοῖς· συγχωρήσαι ὑμῖν ὁ Θεός, ἐγὼ δὲ οὐκέτι ὧδε μενῶ μεθ' ὑμῶν, ὅτι οὐχ εὑρέθη εἷς ἔχων διάκρισιν τοῦ συμπάθειάν τινα ἐνδείξασθαι εἰς ἐμέ. Καὶ ἀνεχώρησεν εὐθὺς ἐκεῖθεν ὁ γέρων.

Οἶμαι οὐ διὰ τοῦτο μόνον ἀναχωρῆσαι τὸν γέροντα, ὃ πρὸς αὐτοὺς εἶπεν, ἐλέγχων αὐτῶν τὸ ἀσυμπαθὲς καὶ ἀδιάκριτον καὶ πρὸς διόρθωσιν ἐκκαλούμενος, ἀλλὰ καὶ διὰ τὸ φεύγειν τὸν παρ' αὐτῶν ἔπαινον καὶ τὴν δόξαν, ἣν ἔκτοτε δοξάζειν αὐτὸν ἔμελλον, γνόντες τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς καὶ κατὰ Θεὸν ἀνδρείας καὶ γενναιότητος.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Μακάριος διηγήθη τὴν ἑξῆς περιπέτειαν, ἡ ὁποία τοῦ συνέβη: Ὅταν ἤμουν — ἔλεγε — νεώτερος ἐκαθόμουν εἰς ἕνα κελλίον εἰς τὴν Αἴγυπτον. Ἐκεῖ μὲ ἔκαμαν κληρικὸν εἰς τὴν πόλιν. Ἐπειδὴ ὅμως

δὲν ἤθελον νὰ δεχθῶ τὸ ἀξίωμα, ἔφυγα εἰς ἄλλον τόπον. Κοντά μου ἦλθεν ἕνας εὐλαβὴς κοσμικός, ἔπαιρνε τὸ ἐργόχειρόν μου καὶ μὲ ἐξυπηρετοῦσε. Συνέβη τότε ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ, νὰ παραστρατήσῃ μία παρθένος, ἀπὸ ἕνα γειτονικὸν χωρίον καὶ νὰ καταστῇ ἔγκυος.

Τὴν ἐρωτοῦσαν λοιπόν, ποῖος σοῦ ἔκανε αὐτὸ τὸ κακόν; καὶ ἐκείνη ἀπήντησεν· ὁ 'Αναχωρητής.

'Εβγῆκαν τότε ὅλοι οἱ κάτοικοι τοῦ χωρίου, μὲ συνέλαβον καὶ ἐκρέμασαν γύρω ἀπὸ τὸν λαιμόν μου μαυρισμένας χύτρας καὶ κουτάλια ξύλινα καὶ ἤρχισαν νὰ μὲ διαπομπεύουν εἰς τοὺς δρόμους τοῦ χωριοῦ, νὰ μὲ κτυποῦν καὶ νὰ λέγουν: Αὐτὸς ὁ Μοναχὸς διέφθειρε τὴν κοπέλλα μας, πάρτε τον (ἀπ' ἐδῶ), πάρτε τον. Μὲ ἐκτύπησαν δὲ τόσον, ὥστε παρ' ὀλίγον νὰ ἀποθάνω. 'Επάνω εἰς τὴν ὥραν ἔφθασε κάποιος Γέρων καὶ εἶπε πρὸς τὸν ὄχλον· ἕως πότε θὰ κτυπᾶτε αὐτὸν τὸν ξένον Μοναχόν;

'Εκεῖνος ποὺ μὲ ὑπηρετοῦσε, μὲ ἀκολουθοῦσε ἀπὸ πίσω καταντροπιασμένος, διότι καὶ αὐτὸν τὸν ὕβριζαν. Νά — τοῦ ἔλεγαν εἰρωνικὰ — ὁ 'Αναχωρητής, ποὺ τόσον τὸν ἐπαινοῦσες, τί ἔκαμεν! Οἱ δὲ γονεῖς τῆς νέας ἔλεγον· δὲν τὸν ἀφήνομεν νὰ φύγῃ, ἂν δὲν μᾶς δώσῃ ἐγγυητήν, ὅτι θὰ τὴν τρέφῃ. Παρεκάλεσα τὸν διακονητήν μου καὶ ἐγγυήθηκε διὰ λογαριασμόν μου. 'Αφοῦ μὲ ἀπέλυσαν, ἦλθα μὲ τὸν διακονητήν μου εἰς τὸ κελλίον μου, τοῦ ἔδωσα ὅσα ζεμπίλια εἶχα καὶ τοῦ εἶπα:

—Πώλησέ τα καὶ δῶσε εἰς τὴν γυναῖκα μου νὰ φάγῃ.

Καὶ ἔλεγα μὲ τὸν λογισμόν μου· Μακάριε, νὰ ποὺ εὑρῆκες γυναῖκα· πρέπει λοιπὸν τώρα νὰ ἐργάζεσαι ὀλίγον περισσότερον, διὰ νὰ τὴν τρέφῃς. Καὶ ἐργαζόμουνα νύκτα καὶ ἡμέραν καὶ τῆς ἔστελνα χρήματα.

Ὅταν ἔφθασεν ὁ καιρὸς νὰ γεννήσῃ ἡ ἀθλία, ἐβασανίζετο ἐπὶ πολλὰς ἡμέρας καὶ δὲν ἠμποροῦσε νὰ γεννήσῃ. Ἤρχισε λοιπὸν νὰ κραυγάζῃ καὶ νὰ λέγῃ· ἐλεήσατέ με, διότι περιέπεσα σὲ δύο μεγάλα κακά, τὴν πορνείαν καὶ τὴν συκοφαντίαν. Εἶπα ψέματα ἐναντίον τοῦ 'Αναχωρητοῦ καὶ ἀδίκως τὸν κατηγόρησα. Τίποτε δὲν μοῦ ἔκαμεν ἐκεῖνος· ἀλλὰ ὁ τάδε νέος μὲ διέφθειρεν.

Μόλις τὸ ἐπληροφορήθη αὐτὸ ὁ διακονητής μου, τρέχει γρήγορα, ἔρχεται εἰς ἐμένα καὶ μοῦ τὸ ἀναφέρει. Καὶ προσέθεσε· καὶ ὁλόκληρο τὸ χωριὸ ἔρχεται ἐδῶ, διὰ νὰ σοῦ ζητήσῃ συγγνώμην καὶ νὰ σὲ τιμήσῃ. 'Εγώ, μόλις ἤκουσα αὐτό, ἐφοβήθηκα διὰ τὴν ψυχικὴν βλάβην, ἡ ὁποία θὰ ἠμποροῦσε νὰ προέλθῃ ἀπὸ τοὺς ἐπαίνους τῶν ἀνθρώπων· δι' αὐτὸ ἐσηκώθηκα ἀμέσως καὶ ἔφυγα εἰς τὴν σκήτην. Αὐτὴ εἶναι ἡ ἀρχὴ καὶ ἡ αἰτία, ποὺ μὲ ἔκαναν νὰ ἔλθω ἐδῶ.

2. Ἕνας Γέρων ἦτο πολὺ φιλάδελφος καὶ γεμᾶτος ἀπὸ πολλὴν ἀγάπην· αὐτὸς ποτὲ δὲν ἐσκέπτετο τὸ κακόν. Κάποτε ἕνας ἀδελφὸς ἔκλεψε διάφορα πράγματα, τὰ ἔφερε καὶ τὰ ἐτοποθέτησεν εἰς τὸ κελλίον του, χωρὶς νὰ γνωρίζῃ ὁ Γέρων τίποτα ἀπὸ τὴν ὑπόθεσιν αὐτήν. Μετὰ μερικὰς ἡμέρας ἀνεγνωρίσθησαν τὰ κλεμμένα ἀντικείμενα καὶ ὁ Γέρων κατηγο-

ρήθη διὰ κλοπήν· τότε ἐκεῖνος, χωρὶς ἀντιλογίαν, ἔβαλε μετάνοιαν· συγχωρήσατέ με — τοὺς εἶπε —μετανοῶ.

Ἔπειτα ἀπὸ ὀλίγον ἦλθε καὶ ὁ ἀδελφός, ποὺ ἔκλεψε τὰ πράγματα καὶ τὰ ἔκρυψεν εἰς τὸ κελλί του. Ἤρχισε λοιπὸν νὰ συζητῇ μὲ τὸν Γέροντα καὶ εἰς μίαν στιγμὴν τοῦ λέγει· Σὺ ἔκλεψες τὰ πράγματα; Εἰς ἀπάντησιν ὁ Γέρων ἔβαλε μετάνοιαν εἰς τὸν ἀδελφὸν καὶ τοῦ λέγει· συγχώρεσέ με.

Καὶ ὁποιοσδήποτε ἄλλος ἀδελφὸς ἔκανε σφάλματα καὶ ἠρνεῖτο, ἔβαζεν αὐτὸς μετάνοιαν καὶ ἔλεγε· συγχωρήσατέ με. Τόσον πολὺ ὁ Ὅσιος αὐτὸς ἦτο εὐλαβὴς καὶ ταπεινόφρων, ὥστε οὔτε μὲ ἕνα λόγον δὲν ἐλύπησε ποτὲ κανένα.

3. Ἕνας Γέρων διηγήθη, ὅτι εἰς τὸν καιρὸν τοῦ μεγάλου Ἰσιδώρου, τοῦ πρεσβυτέρου τῆς σκήτης, ἔζουσε κάποιος ἀδελφός, ὁ ὁποῖος εἶχε τὸ ἱερατικὸν ἀξίωμα τοῦ Διακόνου· αὐτὸν ὁ μέγας Ἰσίδωρος, διὰ τὴν ὑπερβολικήν του ἀρετήν, τὸν ἐχειροτόνησεν ἱερέα, διὰ νὰ τὸν διαδεχθῇ, μετὰ τὸν θάνατόν του. Ἐκεῖνος ὅμως, ἀπὸ εὐλάβειαν, ποτὲ δὲν ἔκαμε χρῆσιν τοῦ ἀξιώματος τοῦ ἱερέως, ἀλλ' ἔμενε Διάκονος.

Αὐτὸν λοιπὸν τὸν ἐνάρετον ἀδελφόν, ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ, ἐφθόνησε κάποιος Γέρων· ἐπῆγε λοιπὸν εἰς τὸ κελλὶ τοῦ Διακόνου, ἐνῷ ὅλοι οἱ ἄλλοι εἶχαν συναχθῆ εἰς τὴν Ἐκκλησίαν διὰ τὴν ἀκολουθίαν, καὶ ἔκρυψε τὸ ἰδικόν του βιβλίον. Καὶ κατόπιν ἐπῆγεν εἰς τὸν Ἀββᾶν Ἰσίδωρον.

— Κάποιος ἀπὸ τοὺς ἀδελφούς, τοῦ λέγει, μοῦ ἔκλεψε τὸ βιβλίον.

— Ποτὲ δὲν συνέβη ἕνα τέτοιο πρᾶγμα εἰς τὴν σκήτην, τοῦ ἀπήντησε κατάπληκτος ὁ Ἀββᾶς Ἰσίδωρος.

Ἀπευθυνόμενος δὲ πρὸς τὸν Πρεσβύτερον, ὁ Γέρων, ποὺ ἔκρυψε τὸ βιβλίον, τοῦ λέγει:

— Στεῖλε μου δύο Πατέρας νὰ κάμωμεν ἔρευναν εἰς τὰ κελλία.

Ἀφοῦ λοιπὸν ἐπῆγαν πρῶτα καὶ ἔψαξαν τὰ κελλία τῶν ἄλλων, ἦλθον μετὰ καὶ εἰς τὸ κελλὶ τοῦ Διακόνου· καὶ ἀφοῦ εὑρῆκαν ἐκεῖ τὸ βιβλίον ἐκεῖνο, τὸ ἔφεραν εἰς τὸν Πρεσβύτερον εἰς τὴν Ἐκκλησίαν καὶ τοῦ εἶπαν ποῦ τὸ ἀνεκάλυψαν, ἐνῷ ἦτο ἐμπρὸς καὶ ὁ Διάκονος καὶ τὸ ἤκουεν. Ὁ Διάκονος τότε, ἐμπρὸς εἰς ὅλον τὸν λαόν, ἔβαλε μετάνοιαν εἰς τὸν Ἀββᾶν Ἰσίδωρον καὶ τοῦ εἶπεν·

—Ἡμάρτησα· ὅρισέ μου ἐπιτίμιον.

Ὁ Ἀββᾶς Ἰσίδωρος τοῦ ἔδωσε πράγματι ἐπιτίμιον νὰ μὴ κοινωνήσῃ ἐπὶ τρεῖς ἑβδομάδας.

Ἐρχόμενος λοιπὸν ὁ ἀδελφὸς ἐκεῖνος εἰς τὴν σύναξιν ἐστέκετο ἐμπρὸς εἰς τὴν Ἐκκλησίαν καὶ ἔκαμνε μετάνοιαν εἰς ὅλους· συγχωρήσατέ με — ἔλεγε — διότι ἔπεσα εἰς ἁμαρτίαν.

Μετὰ τὰς τρεῖς ἑβδομάδας, ἔγινε δεκτὸς εἰς τήν Θείαν Κοινωνίαν· ἀμέσως ὅμως ὁ Γέρων, ὁ ὁποῖος τὸν ἐσυκοφάντησεν, ἐδαιμονίσθη καὶ

ἤρχισε νὰ κραυγάζῃ καὶ νὰ ὁμολογῇ τὸ κακὸν ποὺ διέπραξεν. Ἐσυκοφάντησα —ἐφώναζε— τὸν δοῦλον τοῦ Θεοῦ.

Ἀμέσως ὅλον τὸ ἐκκλησίασμα ἔκαμε προσευχὴν δι' αὐτόν, ἀλλὰ δὲν ἐθεραπεύετο. Τότε ὁ μέγας Ἰσίδωρος λέγει ἐνώπιον ὅλων εἰς τὸν ἀδελφόν—Διάκονον:

—Ἐπειδὴ σὺ ἐσυκοφαντήθης ἀπ' αὐτόν, μόνον ἀπὸ σὲ θὰ θεραπευθῇ.

Μόλις, πράγματι, προσηυχήθη ὁ Διάκονος, ἀμέσως ὁ Γέρων ἐθεραπεύθη.

4. Εἰς τὸ ὄρος Σινᾶ ὑπῆρχε καὶ κάποιος, μεταξὺ τῶν Πατέρων, ποὺ ὠνομάζετο Νίκων. Ὄχι δὲ καὶ πολὺ μακριὰ ἀπ' αὐτὸν ἐκατοικοῦσε κάποιος Αἰγύπτιος, ὁ ὁποῖος εἶχε καὶ μίαν θυγατέρα. Μίαν ἡμέραν λοιπὸν ἦλθε κάποιος ἄνθρωπος εἰς τὸ σπίτι τοῦ Αἰγυπτίου· ἐπειδὴ δὲ ἀπουσίαζεν ὁ Αἰγύπτιος καὶ εὑρῆκε μόνην τὴν θυγατέρα, τὴν διέφθειρε. Κατόπιν τὴν συνεβούλευσε νὰ εἰπῇ εἰς τὸν πατέρα της, ὅτι ὁ Ἀββᾶς Νίκων τὴν ἔκαμεν ἔτσι.

Μόλις λοιπὸν ἐπέστρεψεν ὁ Αἰγύπτιος καὶ ἔμαθε τί συνέβη, ἐπλημμύρισεν ἡ καρδία του ἀπὸ θυμὸν καὶ λύπην καὶ ἀφοῦ ἐπῆρεν ἕνα ξίφος ἐπῆγεν εἰς τὸ κελλὶ τοῦ Γέροντος. Ὅταν ἔφθασεν, ἐστάθη ἀπ' ἔξω καὶ ἐκτύπησε τὴν θύραν· καὶ καθὼς ἔβγαινεν ὁ Γέρων, ἐσήκωσεν ὁ Αἰγύπτιος τὸ χέρι του, διὰ νὰ τὸν κτυπήσῃ μὲ τὸ ξίφος. Ἀμέσως ὅμως τὸ χέρι του ἐξεράθηκεν.

Ἐπειδὴ λοιπὸν δὲν ἠδυνήθη νὰ φονεύσῃ τὸν Γέροντα, ἐπῆγε καὶ τὸν κατήγγειλεν εἰς τοὺς Πρεσβυτέρους· τότε ἐκεῖνοι ἔστειλαν ἀμέσως καὶ ἐκάλεσαν τὸν Γέροντα. Ὅταν ἦλθε τὸν ἐκτύπησαν πολὺ καὶ ἠθέλησαν νὰ τὸν διώξουν ἀπὸ τὴν σκήτην. Ἐκεῖνος ὅμως τοὺς παρακαλοῦσε νὰ τὸν ἀφήσουν.

— Δι' ὄνομα τοῦ Θεοῦ, ἔλεγεν, ἀφῆστε με ἐδῶ νὰ μετανοήσω.

Καὶ ἀφοῦ τὸν κατεδίκασαν νὰ μὴ μεταλαμβάνῃ καὶ νὰ μὴ ἔρχεται εἰς τὴν Ἐκκλησίαν ἐπὶ τρία χρόνια (ἀλλὰ νὰ μένῃ χωριστά), ἔδωσαν ἐντολὴν νὰ μὴ τὸν ἐπισκεφθῇ κανείς.

Ἐπέρασαν τρία χρόνια καὶ κάθε Κυριακὴν ἔμενε γονατιστὸς εἰς τὴν εἴσοδον τῆς Ἐκκλησίας καὶ ἐπαρακαλοῦσεν ὅλους· κάμετε προσευχὴν — τοὺς ἔλεγε — δι' ἐμέ.*

Ὕστερα ἀπὸ τὸν κανόνα αὐτόν, ἐδαιμονίσθη ἐκεῖνος ποὺ ἔκανε τὴν ἁμαρτίαν καὶ ἐσυκοφάντησε τὸν Γέροντα· κάτω δὲ ἀπὸ τὰ μαστιγώματα τοῦ δαίμονος, τὰ ὡμολόγησεν ὅλα εἰς τὴν Ἐκκλησίαν. Τίποτα δὲν γνωρίζει ὁ δοῦλος τοῦ Θεοῦ — εἶπεν — ἐγὼ ἔκαμα τὴν ἁμαρτίαν καὶ συνεβούλευσα τὴν κόρην τοῦ Αἰγυπτίου νὰ τὸν συκοφαντήσῃ. Μόλις ἤκουσεν

---

* Συνήθεια εἰς τὴν ἀρχαίαν Ἐκκλησίαν· οἱ τοιοῦτοι ὀνομάζοντο «προσπίπτοντες» ἢ «γόνυ κλίνοντες».

αὐτὸ ὅλος ὁ λαὸς ἐπῆγεν εἰς τὸν Γέροντα, ποὺ ἡσύχαζεν εἰς τὸ κελλί του, τοῦ ἔβαλαν μετάνοιαν καὶ τοῦ εἶπαν:

— Συγχώρησέ μας, Ἀββᾶ.

Ἐκεῖνος τοὺς ἀπήντησεν:

— Ὁ Θεὸς νὰ σᾶς συγχωρήσῃ· ἐγὼ ὅμως δὲν θὰ μείνω πλέον μαζί σας, διότι δὲν εὑρέθη οὔτε ἕνας, ποὺ νὰ ἔχῃ διάκρισιν καὶ νὰ μοῦ δείξῃ κάποιαν συμπάθειαν.

Ἔτσι ἀνεχώρησεν ἀπ᾿ ἐκεῖ ὁ Γέρων.

Νομίζω ὅτι ὁ Γέρων δὲν ἀνεχώρησε πραγματικὰ μόνον δι᾿ αὐτό, ποὺ τοὺς εἶπε καυτηριάζων τὸ ἀσυμπαθὲς καὶ ἀδιάκριτον καὶ παροτρύνων αὐτοὺς ἐμμέσα νὰ διορθωθοῦν· ἀλλὰ τὸ ἔκαμε καὶ διὰ νὰ ἀποφύγῃ τὸν ἔπαινόν των καὶ τὴν δόξαν, μὲ τὴν ὁποίαν ἐπρόκειτο νὰ τὸν δοξάζουν, ὅταν πλέον ἐγνώρισαν τὴν καταπληκτικὴν ἀρετήν του καὶ τὴν κατὰ Θεὸν ἀνδρείαν καὶ γενναιότητά του.

Ε΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ συκοφαντηθῇς ὑπό τινος ἐν πράγματι, μὴ πτυρῇς, ἀλλὰ βάλε μετάνοιαν λέγων· συγχώρησόν μοι, ὅτι οὐκέτι ποιῶ εἴτε οἶδας τὸ πρᾶγμα εἴτε οὐκ οἶδας.

Ἑ ρ μ η ν ε ί α

ΑΝ συκοφαντηθῇς ἀπὸ κάποιον διὰ κάποιο πρᾶγμα, μὴ φοβηθῇς, ἀλλὰ βάλε μετάνοιαν καὶ εἰπέ· συγχώρεσέ με, δὲν τὸ ξανακάνω, εἴτε ἔχεις ἰδέαν δι᾿ αὐτό, ποὺ σὲ συκοφαντοῦν, εἴτε ὄχι.

ΣΤ΄. Τοῦ Ἁγίου Μαξίμου

ΟΤΑΝ ἴδωσιν ἡμᾶς οἱ δαίμονες τῶν πραγμάτων τοῦ κόσμου καταφρονοῦντας, ἵνα μὴ δι᾿ αὐτὰ τοὺς ἀνθρώπους μισήσωμεν καὶ τῆς ἀγάπης ἐκπέσωμεν, τότε συκοφαντίας καθ᾿ ἡμῶν ἐγείρουσιν, ἵνα τὴν λύπην μὴ φέροντες, τοὺς συκοφαντήσαντας μισήσωμεν. Οὐκ ἔστι πόνος βαρύτερος συκοφαντίας, κἂν τε εἰς πίστιν, κἂν τε εἰς βίον συκοφαντῆται καὶ οὐδεὶς ταύτης καταφρονεῖν δύναται, εἰ μὴ μόνος ὁ εἰς Θεὸν ἀποβλεπόμενος, ὡς ἡ Σωσάννα, τὸν μόνον δυνάμενον καὶ ἐξ ἀναγκῶν ρύσασθαι ὥς περ κἀκείνην, καὶ τοὺς ἀνθρώπους πληροφορῆσαι, ὡς καὶ ἐπ᾿ ἐκείνης, καὶ τὴν ψυχὴν τῇ ἐλπίδι παραμυθήσασθαι. Ὅσον σὺ εὔχῃ ἐκ ψυχῆς ὑπὲρ τοῦ συκοφαντήσαντός σε, τοσοῦτον καὶ ὁ Θεὸς πληροφορεῖ τοὺς σκανδαλισθέντας.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ μᾶς ἴδουν οἱ δαίμονες νὰ καταφρονοῦμεν τὰ πράγματα τοῦ κόσμου, διὰ νὰ μὴ μισήσωμεν, ἐξ αἰτίας τῶν πραγμάτων, τοὺς ἀνθρώπους καὶ ξεπέσωμεν ἀπὸ τὴν ἀγάπην, τότε ξεσηκώνουν ἐναντίον μας συκοφαντίας, διὰ νὰ μὴ ἠμπορέσωμεν νὰ σηκώσωμεν τὴν λύπην καὶ ἔτσι νὰ μισήσωμεν αὐτοὺς ποὺ μᾶς ἐσυκοφάντησαν. Δὲν ὑπάρχει περισσότερον ἀβάστακτος πόνος ἀπὸ τὴν συκοφαντίαν, εἴτε κανεὶς συκοφαντῆται εἰς τὴν πίστιν του, εἴτε εἰς τὴν ζωήν του· κανεὶς δὲν ἠμπορεῖ νὰ τὴν περιφρο-

νήση, παρὰ μόνον ἐκεῖνος ποὺ ἀποβλέπει εἰς τὴν ὑποστήριξιν τοῦ Θεοῦ, ὅπως ἡ Σωσάννα.* Διότι μόνον Ἐκεῖνος ἔχει τὴν δύναμιν νὰ μᾶς γλυτώσῃ ἀπὸ τὰς δυσκόλους στιγμάς, ὅπως καὶ ἐκείνην, καὶ νὰ πληροφορήσῃ τοὺς ἀνθρώπους διὰ τὴν ἀθωότητά μας, ὅπως καὶ τότε μὲ ἐκείνην καὶ νὰ παρηγορήσῃ μὲ τὴν ἐλπίδα Του τὴν ψυχήν μας. Ὅσον περισσότερον σὺ προσεύχεσαι ὑπὲρ ἐκείνου, ποὺ σὲ ἐσυκοφάντησε, τόσον ἀποτελεσματικώτερον πληροφορεῖ καὶ ὁ Θεὸς τοὺς σκανδαλισθέντας ἀπὸ τὴν συκοφαντίαν.

Ζ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ συμβῇ σοι συκοφαντηθῆναι, καὶ μετὰ ταῦτα φανερωθῇ τὸ καθαρόν σου τῆς συνειδήσεως, μὴ ὑψηλοφρόνει, ἀλλὰ δούλευε τῷ Κυρίῳ ἐν ταπεινοφροσύνῃ, τῷ λυτρωσαμένῳ σε ἀπὸ συκοφαντίας ἀνθρώπων, ἵνα μὴ πέσῃς πτῶμα ἐξαίσιον.

Ἑρμηνεία

ΟΤΑΝ σοῦ συμβῇ νὰ συκοφαντηθῇς καὶ κατόπιν ἀποκαλυφθῇ ἡ καθαρότης τῆς συνειδήσεώς σου, νὰ μὴ ὑπερηφανευθῇς, ἀλλὰ νὰ ὑπηρετῇς μὲ ταπεινοφροσύνην τὸν Κύριον, ποὺ σὲ ἐγλύτωσεν ἀπὸ συκοφαντίας ἀνθρώπων, διὰ νὰ μὴ πέσῃς εἰς πτῶσιν φοβεράν.



* Περὶ Σωσάνης βλέπε ὑποσημείωσιν τῆς σελ. 335 τοῦ Α' τόμου τοῦ «Εὐεργετινοῦ».

ΥΠΟΘΕΣΙΣ ΜΖ΄

Περὶ λόγου καὶ σιωπῆς, καὶ πῶς δεῖ καὶ πότε τούτοις χρᾶσθαι, καὶ ὅτι τὸ ἀργολογεῖν οὐκ ἀνέγκλητον.

Περὶ λόγου καὶ σιωπῆς, πῶς καὶ πότε πρέπει νὰ τὰ χρησιμοποιῶμεν καὶ ὅτι ἡ ἀργολογία εἶναι ἁμάρτημα.

Α΄. Παλλαδίου

ΜΕΛΛΩΝ τελευτᾶν ὁ μέγας Παμβώ, παρεστῶσιν αὐτῷ Ὠριγένει καὶ Ἀμμωνίῳ τοῖς Πρεσβυτέροις καὶ λοιποῖς ἁγίοις ἀνδράσι, τοῦτο λέγεται εἰρηκέναι, ὅτι ἀφ᾽ οὗ ἦλθον εἰς τὴν ἔρημον ταύτην οὐ μεταμεμέλημαι ἕως τῆς ἄρτι ὥρας ἐπὶ λόγῳ ᾧ ἐλάλησα, καὶ οὕτως ἀπέρχομαι πρὸς τὸν Θεόν, ὡς μὴ ἀρξάμενος θεοσεβεῖν. Διηγήσαντο δέ μοι οἱ προρρηθέντες ἄνδρες, ὅτι οὐδέποτε ἐρωτηθεὶς λόγον παρά τινος ἢ γραφικὸν ἢ ἄλλον τινὰ πραγματικόν, εὐθὺς παρ᾽ αὐτὰ ἀπεκρίνατο, ἀλλ᾽ ἔλεγε μηδέπω τὴν ἀπόκρισιν εὑρηκέναι. Πολλάκις δὲ παρῆλθε καὶ τρίμηνον καὶ οὐκ ἐδίδου ἀπόκρισιν λέγων μηδέπω κατειληφέναι. Οὕτως μέντοι καὶ τὰς ἀποφάσεις ἐδίδου περιεσκεμμένως καὶ κατὰ Θεόν, ὡς πάντας δέχεσθαι ταύτας μετὰ φόβου πολλοῦ, ὡς ἐξ αὐτοῦ τοῦ Θεοῦ.

Ἑρμηνεία

ΟΤΑΝ ἐπλησίαζε νὰ ἀποθάνῃ ὁ Μέγας Παμβὼ καὶ εὑρίσκοντο κοντά του οἱ Πρεσβύτεροι Ὠριγένης καὶ Ἀμμώνιος καὶ ἄλλοι ἅγιοι ἄνδρες, λέγεται, ὅτι εἶπεν· ἀπὸ τότε ποὺ ἦλθα εἰς αὐτὴν τὴν ἔρημον, δὲν ἔχω μετανοήσει μέχρι τώρα διὰ κάποιον λόγον, ποὺ εἶπα· καὶ ἔτσι πηγαίνω εἰς τὸν Θεόν, ὡς νὰ μὴ ἤρχισα ἀκόμη τὴν θεοσέβειαν. Καθὼς δὲ μοῦ διηγήθησαν οἱ ἄνδρες, τοὺς ὁποίους ἀνέφερα προηγουμένως, ποτὲ δὲν ἔσπευσε νὰ ἀπαντήσῃ σὲ κάποιον ποὺ τοῦ ὑπέβαλεν ἀπορίαν ἐπὶ φράσεως τῆς Ἁγίας Γραφῆς ἢ πρακτικοῦ ζητήματος· ἀλλ᾽ ἔλεγε πὼς δὲν εὑρῆκεν ἀκόμη τὴν σωστὴν ἀπάντησιν. Πολλάκις δὲ καὶ τρίμηνον ἐπέρασε καὶ δὲν ἔδιδε τὴν ζητουμένην ἀπάντησιν, καὶ ἔλεγεν ὅτι δὲν ἀντελήφθη

τὴν ἀπορίαν. Ἔτσι λοιπὸν καὶ τὰς ἀπαντήσεις ἔδιδεν ὕστερα ἀπὸ πολλὴν σκέψιν καὶ ὅπως ἤθελεν ὁ Θεός, ὥστε ὅλοι νὰ τὰς δέχωνται μὲ βαθύτατον σεβασμόν, ὡσὰν νὰ προήρχοντο ἀπὸ τὸν ἴδιον τὸν Θεόν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ Γέρων· ἔστιν ἄνθρωπος δοκῶν σιωπᾶν, καὶ ἡ καρδία αὐτοῦ κατακρίνει ἄλλους· ὁ τοιοῦτος πάντοτε λαλεῖ. Καὶ ἔστιν ἄλλος ἀπὸ πρωῒ ἕως ὀψὲ λαλῶν καὶ σιωπὴν κρατῶν, τουτέστιν ἐκτὸς ὠφελείας οὐδὲν λαλῶν.

2. Ἠρωτήθη γέρων· τί ἐστι τὸ ὑπὲρ ἀργοῦ ῥήματος διδόναι λόγον; Καὶ ἀπεκρίθη· οἷος δήποτε λόγος περὶ σωματικοῦ πράγματος λαλούμενος, ἐκτὸς τῆς ἀναγκαίας χρείας, ἀργολογία ἐστί· μόνον δὲ τὸ λαλεῖν περὶ σωτηρίας ψυχῆς οὐκ ἔστιν ἀργολογία, πλὴν καὶ ἐν τούτῳ τὸ τὰ πολλὰ σιωπᾶν κάλλιόν ἐστιν· ὡς γὰρ λαλεῖς τὸ καλόν, ἔρχεται καὶ τὸ κακόν.

3. Παρέβαλεν ἀδελφὸς πρός τινα γέροντα καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπέ μοι ῥῆμα πῶς σωθῶ; Ὁ δὲ εἶπεν αὐτῷ· ἐὰν παραβάλῃς τινί, μὴ προλάβῃς λαλῆσαι πρὶν ἐξετάσῃς. Ὁ δὲ ἐπὶ τῷ λόγῳ κατανυγείς, ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· ὄντως πολλὰ βιβλία ἀνέγνων καὶ τοιαύτην παιδείαν οὐδέποτε ἔγνων· καὶ ὠφεληθεὶς ἐξῆλθεν.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀμμώη, ὅτι ὡς ὑπῆγεν ἐν τῇ Ἐκκλησίᾳ, οὐκ ἠφίει τὸν μαθητὴν αὐτοῦ ἔγγιστα αὐτοῦ περιπατῆσαι, ἀλλ' ἀπὸ μακρόθεν· καὶ εἰ ἤρχετο ἐρωτῆσαι περὶ λογισμῶν, ὡς ἔλεγεν αὐτῷ μόνον, ἐδίωκεν αὐτὸν λέγων· μήποτε λαλούντων ἡμῶν περὶ ὠφελείας ἐγκύψῃ ξένη ὁμιλία, διὰ τοῦτο οὐκ ἐῶ σε ἔγγιστά μου.

5. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀμμοῦν, ὅτι παρέβαλε τῷ ἀββᾷ Ποιμένι καὶ λέγει αὐτῷ· ἐὰν ἀπέλθω εἰς τὸ κελλίον τοῦ πλησίον ἢ καὶ αὐτὸς παραβάλῃ διά τινα χρείαν, εὐλαβούμεθα λαλῆσαι ἀλλήλοις, μή τις ἀνακύψῃ ξένη ὁμιλία. Ἔφη αὐτῷ ὁ γέρων· καλῶς ποιεῖς· χρήζει γὰρ ἡ νεότης φυλακῆς. Ἠρώτησεν οὖν αὐτὸν ὁ ἀββᾶς Ἀμμοῦν λέγων· οἱ γέροντες τί ἐποίουν; Καὶ ἀπεκρίθη ὁ γέρων· οὐκ εἶχον ἐν ἑαυτοῖς ἕτερόν τι ἢ ξένον ἐν τῷ στόματι ἵνα αὐτῷ λαλήσωσιν. Ἐὰν οὖν γένηται, φησίν, ἀνάγκη λαλῆσαι μετὰ τοῦ πλησίον, θέλεις λαλήσω ἐν ταῖς γραφαῖς ἢ ἐν τοῖς λόγοις τῶν γερόντων; Λέγει ὁ γέρων· εἰ οὐ δύνασαι σιωπᾶν, καλόν ἐστι μᾶλλον λαλῆσαι ἐν τοῖς λόγοις τῶν γερόντων, καὶ μὴ ἐν ταῖς γραφαῖς· τὸ γὰρ ἐν ταύταις λαλεῖν οὐ μικρὸν φέρει τῷ ἀτελεῖ κίνδυνον.

6. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας· οὐκ ἔστι σοφία τὸ λαλῆσαι, σοφία δέ ἐστι τὸ γνῶναι τὸν καιρὸν ὅτε δεῖ λαλῆσαι καὶ ἀποκριθῆναι τὰ δέοντα. Γενοῦ ἄγνωστος ἐν γνώσει, ἵνα ἐκφύγῃς ἐκ πολλῶν κόπων· ἑαυτῷ γὰρ ἐγείρει κόπους ὁ ἐμφανίζων ἑαυτὸν ἐν γνώσει. Μὴ καυχῶ ἐν γνώσει σου· οὐδεὶς γὰρ οὐδὲν οἶδεν.

7. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ματώην λέγων· τί ποιήσω, ὅτι ἡ γλῶσσα μου θλίβει με; καὶ ὅταν ἔρχωμαι μέσον τῶν ἀνθρώπων, οὐ δύναμαι κατασχεῖν αὐτήν, ἀλλὰ κρίνω αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ καὶ ἐλέγχω αὐτούς· τί οὖν ποιήσω; Καὶ ἀποκριθεὶς ὁ γέρων εἶπεν· εἰ οὐ δύνασαι κατέχειν ἑαυτόν, φύγε κατὰ μόνας· ἀσθένεια γάρ ἐστιν. Ὁ δὲ καθήμενος μετὰ ἀδελφῶν, οὐκ ὀφείλει εἶναι τετραγωνιαῖος,

ἀλλὰ στρογγύλος, ἵνα πρὸς πάντας κυλίηται· ἐγὼ δὲ οὐ κατὰ ἀρετὴν κάθημαι κατὰ μόνας, ἀλλὰ κατὰ ἀσθένειαν· δυνατοὶ γάρ εἰσιν οἱ ἐρχόμενοι εἰς τὸ μέσον τῶν ἀνθρώπων.

8. Ἔλεγεν ὁ ἀββᾶς Ἰωσήφ, ὅτι καθημένων ἡμῶν ποτε μετὰ τοῦ ἀββᾶ Ποιμένος, ὠνόμασε τὸν ἀββᾶν Ἀγάθωνα· καὶ λέγομεν αὐτῷ· νεώτερός ἐστι καὶ διὰ τί καλεῖς αὐτὸν ἀββᾶν; Καὶ εἶπεν ὁ γέρων· τ ὸ σ τ ό μ α α ὐ τ ο ῦ ἐ π ο ί η σ ε ν α ὐ τ ὸ ν κ α λ ε ῖ σ θ α ι ἀ β β ᾶ ν.

9. Εἶπε γέρων· ἐὰν κτήσῃ σιωπήν, μὴ ἔχε ἑαυτὸν ὡς ἀρετὴν κατορθοῦντα, ἀλλὰ λέγε ὅτι ἀνάξιός εἰμι καὶ τοῦ λαλεῖν.

10. Διηγεῖτό τις τῶν Πατέρων, ὅτι καθημένων ποτὲ γερόντων καὶ λαλούντων περὶ ὠφελείας, ἥν τις ἐν αὐτοῖς διορατικὸς καὶ ἔβλεπε τοὺς Ἀγγέλους κατασείοντας καὶ εὐφημοῦντας αὐτούς. Ὡς δὲ ἤρχετο ἄλλη ὁμιλία, ἀνεχώρουν οἱ Ἄγγελοι, καὶ ἐκυλίοντο χοῖροι ἐν μέσῳ αὐτῶν μεστοὶ δυσωδίας, καὶ ἠχρείουν αὐτούς· ὡς δὲ ἐλάλουν περὶ ὠφελείας, ἤρχοντο οἱ Ἄγγελοι καὶ εὐφήμουν αὐτούς.

11. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὢρ, ὅτι οὔτε ἐψεύσατό ποτε, οὔτε ὤμοσεν, οὔτε κατηράσατο ἄνθρωπον, οὔτε ἐκτὸς ἀνάγκης ἐλάλησεν.

12. Ἔλεγεν ὁ αὐτὸς ἀεὶ τῷ μαθητῇ αὐτοῦ Παύλῳ· βλέπε μηδέποτε ἀλλότριον λόγον ἐνέγκῃς εἰς τὸ κελλίον τοῦτο.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων εἶπεν· ὑπάρχει ἄνθρωπος, ὁ ὁποῖος νομίζει ὅτι σιωπᾷ καὶ ἡ καρδία του κατακρίνει ἄλλους· αὐτὸς πάντοτε λαλεῖ. Καί, ἀντίθετα, ὑπάρχει ἄλλος, ὁ ὁποῖος ἀπὸ τὸ πρωῒ ἕως τὸ βράδυ λαλεῖ καὶ ὅμως κρατεῖ σιωπήν· δὲν ὁμιλεῖ, δηλαδὴ τίποτα, ποὺ νὰ μὴ εἶναι ὠφέλιμον.

2. Ἠρώτησαν ἕνα Γέροντα· τί σημαίνει, ὅτι πρόκειται νὰ δώσῃ κανεὶς ἀπολογίαν δι' ἀργὸν λόγον; (Ματθ. ιβ', 36). Ἐκεῖνος ἀπήντησεν· Ὁποιαδήποτε ὁμιλία γίνεται διὰ σωματικὰ πράγματα, ἐκτὸς ἐκείνων ποὺ εἶναι ἀναγκαῖα, θεωρεῖται ἀργολογία. Μονάχα ἡ ὁμιλία διὰ σωτηρίαν ψυχῆς δὲν εἶναι ἀργολογία· ὡστόσον καὶ εἰς αὐτὴν τὴν περίπτωσιν τὸ νὰ σιωπᾷ κανεὶς τὸν περισσότερον καιρὸν εἶναι τὸ καλύτερον. Διότι καθὼς ὁμιλεῖς διὰ τὸ καλόν, ἔρχεται καὶ τὸ κακόν.

3. Κάποιος ἀδελφὸς ἐπεσκέφθη ἕνα Γέροντα καὶ τοῦ εἶπεν:

—Ἀββᾶ, δῶσε μου μίαν συμβουλὴν πῶς νὰ σωθῶ;

Ἐκεῖνος τοῦ ἀπήντησεν:

—Ἂν ὑπάγῃς εἰς κάποιον, μὴ βιασθῇς νὰ ὁμιλήσῃς, πρὶν νὰ ἐξετάσῃς (ἐκεῖνα τὰ ὁποῖα θὰ ὁμιλήσῃς).

Ὁ ἀδελφὸς κατενύγη ἀπὸ τὸν λόγον αὐτόν, ἔβαλε μετάνοιαν εἰς τὸν Ἀββᾶν καὶ τοῦ εἶπε:

— Πραγματικὰ πολλὰ βιβλία ἐδιάβασα· πουθενὰ ὅμως δὲν ἐγνώρισα τέτοιαν διδασκαλίαν.

Καὶ ἔτσι ἔφυγεν ὠφελημένος.

4. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ἀμμώνην, ὅτι ὅταν ἐπήγαινεν εἰς τὴν

Ἐκκλησίαν, δὲν ἄφηνε τὸν μαθητήν του νὰ βαδίζῃ κοντά του, ἀλλὰ ἀπὸ μακριά. Ἂν, ἐν τῷ μεταξύ, τὸν ἐπλησίαζεν, διὰ νὰ τὸν ἐρωτήσῃ διὰ τίποτα λογισμούς του, μόλις τοὺς ἐξωμολογεῖτο, τὸν ἔδιωχνε καὶ πάλιν καὶ τοῦ ἔλεγε: δὲν σὲ ἀφήνω κοντά μου, μήπως, καθὼς ὁμιλοῦμεν διὰ ψυχικὴν ὠφέλειαν, ὑπεισέλθῃ καὶ ξένη ὁμιλία εἰς τὴν συζήτησίν μας.

5. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ἀμμοῦν, ὅτι κάποτε ἐπεσκέφθη τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ εἶπεν:

— Ἂν ὑπάγω εἰς τὸ κελλὶ τοῦ πλησίον, ἢ μὲ ἐπισκεφθῇ καὶ αὐτός, φοβούμεθα νὰ ὁμιλήσωμεν μεταξύ μας, μὴ τυχὸν ξεφυτρώσῃ ξένη ὁμιλία.

— Καλὰ κάμνεις, τοῦ ἀπήντησεν ὁ Γέρων· διότι ἡ νεότης ἔχει ἀνάγκην ἀπὸ προσοχήν.

Ὁ Ἀββᾶς Ἀμμοῦν ἠρώτησε πάλιν:

— Οἱ Γέροντες τί ἔκαμναν;

Ὁ Ἀββᾶς Ποιμὴν ἀπήντησε:

— Δὲν εἶχον ὑπ' ὄψιν των τίποτε ἄλλο ἢ ξένον εἰς τὸ στόμα των, διὰ νὰ ὁμιλήσουν δι' αὐτό.

— Ἂν παρουσιασθῇ — ἠρώτησεν ἐκ νέου ὁ Ἀββᾶς Ἀμμοῦν — κάποια ἀνάγκη νὰ ὁμιλήσω μὲ τὸν πλησίον μου, τί θὰ ἤθελες· νὰ ὁμιλήσω ἐπάνω εἰς τὰς Ἁγίας Γραφὰς ἢ ἐπάνω εἰς τοὺς λόγους τῶν Γερόντων;

Ὁ Ἀββᾶς Ποιμὴν ἀπήντησεν:

— Ἂν δὲν ἠμπορέσῃς νὰ σιωπᾷς, εἶναι καλὸν νὰ ὁμιλῇς ἐπάνω εἰς τοὺς λόγους τῶν Πατέρων καὶ ὄχι ἐπάνω εἰς τὰς Ἁγίας Γραφάς· διότι τὸ νὰ ὁμιλῇ κανεὶς ἐπάνω εἰς τὰς Ἁγίας Γραφάς, φέρει μεγάλον κίνδυνον εἰς ἐκεῖνον, ποὺ δὲν εἶναι ἀκόμη τέλειος.

6. Εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας· σοφία δὲν εἶναι τὸ νὰ ὁμιλήσῃς· σοφία εἶναι τὸ νὰ γνωρίζῃς τὸν καιρὸν πότε πρέπει νὰ ὁμιλήσῃς καὶ νὰ ἀπαντήσῃς τὰ πρέποντα. Νὰ φαίνεσαι ὅτι δὲν γνωρίζεις τίποτα, ἐνῷ ἔχεις γνώσεις, διὰ νὰ ἀποφύγῃς πολλοὺς κόπους· διότι ἐκεῖνος, ποὺ ἐμφανίζεται ὅτι ἔχει γνώσεις, φορτώνει μὲ κόπους τὸν ἑαυτόν του. Νὰ μὴ καυχᾶσαι διὰ τὰς γνώσεις σου· διότι κανεὶς δὲν γνωρίζει τίποτε.

7. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ματώην:

— Τί νὰ κάνω — τοῦ εἶπε — ποὺ ἡ γλῶσσα μου μὲ στενοχωρεῖ; ὅταν ἐπικοινωνῶ μὲ τοὺς ἀνθρώπους, δὲν ἠμπορῶ νὰ τὴν συγκρατήσω, ἀλλὰ τοὺς κρίνω διὰ κάθε καλὸν ἔργον καὶ τοὺς ἐλέγχω. Τί νὰ κάμω λοιπόν;

Ὁ Ἀββᾶς Ματώης ἀπήντησεν:

— Ἂν δὲν ἠμπορῇς νὰ συγκρατῇς τὸ ἑαυτόν σου, φύγε καὶ μένε μόνος· διότι ἔχεις ἀδυναμίαν. Ἐκεῖνος ποὺ συγκατοικεῖ μὲ ἀδελφούς, δὲν πρέπει νὰ εἶναι τετράγωνος, ἀλλὰ νὰ εἶναι στρογγυλὸς διὰ νὰ ταιριάζῃ μὲ ὅλους. Ἐγὼ δὲν κάθομαι μόνος μου ἀπὸ ἀρετήν, ἀλλὰ ἀπὸ ἀ-

δυναμίαν· διότι δυνατοὶ εἶναι ἐκεῖνοι, ποὺ ἔρχονται εἰς ἐπικοινωνίαν μὲ τοὺς ἀνθρώπους.

8. Ὁ Ἀββᾶς Ἰωσὴφ διηγεῖτο· κάποτε καθὼς ἐκαθήμεθα μὲ τὸν Ἀββᾶν Ποιμένα, ὠνόμασε τὸν Ἀγάθωνα «Ἀββᾶν»· τοῦ λέγομεν λοιπόν· εἶναι ἀκόμη νέος· διατὶ τὸν προσφωνεῖς μὲ τὸν σεβαστικὸν τίτλον Ἀββᾶς; Ὁ Γέρων μᾶς ἀπήντησε· τὸ στόμα του τὸν ἔκαμε νὰ ὀνομάζεται Ἀββᾶς.

9. Εἶπε Γέρων· ἂν ἀποκτήσῃς σιωπήν, μὴ τὸ πάρῃς ἐπάνω σου, ὅτι κατώρθωσες, τάχα, ἀρετήν· νὰ λέγῃς ὅτι εἶμαι ἀνάξιος καὶ νὰ ὁμιλῶ ἀκόμη.

10. Κάποιος ἀπὸ τοὺς Πατέρας μᾶς διηγεῖτο, πῶς κάποτε ἐκάθηντο μερικοὶ Γέροντες καὶ συνωμιλοῦσαν περὶ ψυχικῆς ὠφελείας. Μεταξὺ αὐτῶν ὑπῆρχε καὶ κάποιος μὲ προορατικὸν χάρισμα καὶ ἔβλεπεν Ἀγγέλους νὰ συγκατανεύουν μὲ αὐτὰ ποὺ ἔλεγον καὶ νὰ τοὺς ἐπαινοῦν· μόλις ὅμως ἤρχιζεν ἄλλη ὁμιλία, οἱ Ἄγγελοι ἔφευγον καὶ ἐκυλίοντο χοῖροι μεταξύ των, γεμᾶτοι βρωμιὰν καὶ τοὺς ἐβρώμιζαν. Ὅταν πάλιν ὡμιλοῦσαν περὶ ψυχικῆς ὠφελείας, ἐπανήρχοντο οἱ Ἄγγελοι καὶ τοὺς ἐπαινοῦσαν.

11. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ὢρ ὅτι οὔτε εἶπε ψέμματα ποτέ, οὔτε ὡρκίσθη, οὔτε κατηράσθη ἄνθρωπον, οὔτε ὡμίλησε χωρὶς νὰ ὑπάρχῃ κάποια ἀνάγκη.

12. Ὁ ἴδιος ἔλεγε συνεχῶς πρὸς τὸν μαθητήν του Παῦλον· πρόσεχε μήπως καμμιὰ φορὰ φέρῃς εἰς αὐτὸ τὸ κελλὶ ξένον λόγον.

Γ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΟΥ χρονιεῖ Μοναχὸς ἐν τόπῳ ἑνί, οὐδὲ εὑρήσει ἀνάπαυσιν, ἐὰν μὴ πρῶτον ἀγαπήσῃ τὴν σιωπὴν καὶ τὴν ἐγκράτειαν. Ὁ πληθύνων λόγους ἐν μέσῳ ἀδελφῶν, πληθυνεῖ μάχας καὶ πληθυνεῖ μῖσος ἑαυτῷ. Φειδόμενος δὲ χειλέων, ἀγαπηθήσεται. Ἀδελφέ, ἀθλητὴς ἀγωνιζόμενος, στόμα ἑαυτοῦ σφίγγει· καὶ σὺ σφίγγε τὸ στόμα σου ἀπὸ τῶν περισσῶν καὶ ἕξεις ἀνάπαυσιν. Ὁ πληθύνων λόγους αὐτοῦ βδελυχθήσεται, ὁ δὲ τηρῶν τὸ στόμα αὐτοῦ ἀγαπηθήσεται. Ὁ φυλάσσων τὸ στόμα ἑαυτοῦ, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ προπέτης χείλεσιν, ποιήσει ἑαυτὸν ἢ ἐγγίζει συντριβῇ, ὡς ἀλλαχοῦ γέγραπται. Παράδεισος φραγμὸν μὴ ἔχων πατούμενος ἐρημοῦται· καὶ ὃς οὐ φυλάσσει τὸ ἑαυτοῦ στόμα, ἀπολεῖ τοὺς καρποὺς αὐτοῦ. Περὶ τῆς πολυλογίας νόει, Μοναχέ, ὅτι μυρίων λόγων τὸ τέλος σιγή. Προλαβὼν οὖν κέρδος ἤτοι τὴν σιωπήν, φεύγεις τὰς ζημίας. Σιγὴ νεωτέρῳ, ὥσπερ ἵππῳ χαλινός· ὁ δὲ ἀχαλίνωτος, πολλοῖς ἐμπεσεῖται κακοῖς.

Ἑρμηνεία

ΔΕΝ θὰ μείνῃ ὁ Μοναχὸς πολὺν καιρὸν εἰς ἕνα τόπον, οὔτε θὰ εὕρῃ ἀνάπαυσιν, ἂν δὲν ἀγαπήσῃ προηγουμένως τὴν σιωπὴν καὶ τὴν ἐγκράτειαν. Ἐκεῖνος, ποὺ ἔχει πολλὰ λόγια μεταξὺ τῶν ἀδελφῶν, θὰ πολλαπλασιάσῃ τὰς φιλονικίας καὶ θὰ μεγαλώσῃ τὸ μῖσος ἐναντίον του· ὅταν ὅμως προσέχῃ τὰ χείλη του θὰ γίνῃ ἀγαπητός. Ἀδελφέ, ὅταν ἀγωνίζεται ὁ ἀθλητής, σφίγγει τὸ στόμα του· καὶ σὺ νὰ σφίγγῃς τὸ στόμα σου νὰ μὴ

λέγη περιττὰ λόγια καὶ θὰ ἔχης ἀνάπαυσιν. Ἐκεῖνος ποὺ λέγει πολλὰ λόγια θὰ γίνῃ μισητός, ἐνῷ ἐκεῖνος ποὺ προσέχει τὸ στόμα του θὰ γίνῃ ἀγαπητός. Ἐκεῖνος ποὺ προσέχει τὸ στόμα του, προφυλάσσει τὴν ψυχήν του, ἐνῷ ὁ αὐθάδης ἢ θὰ συντριβῇ ἢ θὰ πλησιάσῃ πρὸς τὴν συντριβήν, ὅπως εἶναι γραμμένον ἀλλοῦ. Κῆπος ποὺ δὲν ἔχει φράκτην καταπατεῖται καὶ ἐρημώνεται· καὶ ἐκεῖνος ποὺ δὲν προσέχει τὸ στόμα του, θὰ χάσῃ τοὺς πνευματικούς του καρπούς. Διὰ τὴν πολυλογίαν γνώριζε, Μοναχέ, ὅτι τὸ τέλος χιλιάδων λόγων εἶναι ἡ σιγή· ἂν λοιπὸν προτιμήσῃς τὸ κέρδος, δηλαδὴ τὴν σιωπήν, θὰ ἀποφύγῃς τὰς ζημίας. Ἡ σιωπὴ διὰ τὸν νέον εἶναι ὅπως τὸ χαλινάρι διὰ τὸ ἄλογον· ἐκεῖνος ποὺ δὲν ἔχει χαλινάρι, θὰ περιπέσῃ σὲ πολλὰ κακά.

Δ'. Ἀντιόχου τοῦ Παντέκτου

ΔΕΙ τὸν Μοναχὸν τῷ μὲν Θεῷ λαλεῖν πολλά, τοῖς δὲ ἀνθρώποις ὀλίγα· ἡ γὰρ πολυλογία ἀμέτρως διαφοροῦσα τὸν νοῦν, οὐ μόνον περὶ τὴν πνευματικὴν ἐργασίαν ἀργὸν αὐτὸν ἀποδείκνυσιν, ἀλλὰ καὶ τῷ τῆς ἀκηδίας αὐτὸν παραδίδωσι δαίμονι. Κατὰ πάντα οὖν συμφέρει ἡμῖν ἡ σιωπή· θησαυροὶ γὰρ βασιλικοὶ πλησθήσονται χρυσίου, καὶ νόες ἀληθινῶν Μοναχῶν θείας ἐμφορηθήσονται γνώσεως. Εἰ δέ τις λέγει, διατί ὁ Παῦλος παρέτεινε τὸν λόγον μέχρι μεσονυκτίου; εἴποιμεν ἂν πρὸς αὐτόν· πρῶτον μὲν διὰ τὸ μέλλειν ὁδεύειν αὐτόν, ἔπειτα δὲ ὅτι καὶ νεοκατήχητοι ἦσαν· ἀρχὴ γὰρ ἦν τοῦ κηρύγματος καὶ ἐδέοντο πλείονος στηριγμοῦ· πλὴν ἀλλὰ καὶ ὁ Παῦλος ἀνάπλεως ἦν τοῦ θείου Πνεύματος, καὶ οὐκ ἐκεῖνος, ἀλλὰ τὸ Πνεῦμα ἐλάλει δι' αὐτοῦ, καθὼς καὶ αὐτὸς λέγει· ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;

Οἱ δὲ πνευματοφόροι οὐχ ὅταν αὐτοὶ θέλωσι λαλοῦσιν, ἀλλ' ὅταν κινῇ αὐτοὺς τὸ ἐνοικοῦν ἐν αὐτοῖς Πνεῦμα. Οἱ δὲ τοιοῦτοι κἂν ποτε καὶ πολλὰ λαλήσωσιν, οὐδὲν βλάπτονται· ἔχουσι γὰρ τὴν τοῦ Πνεύματος χάριν φωτίζουσαν αὐτοὺς καὶ τὸν νοῦν συντηροῦσαν ἀθόλωτον, πλὴν κἀκείνοις λυσιτελεστέρα μᾶλλον ἡ εὔκαιρος καὶ εὔλογος σιωπή. Σημεῖα δὲ τοῦ τὸ Ἅγιον Πνεῦμα ἐν ἑαυτῷ ἔχοντος, ἡ πρᾳότης καὶ τὸ φιλήσυχον, καὶ ἡ ταπεινοφροσύνη ἐν σοφίᾳ πολλῇ καὶ γνώσει, καὶ τὸ ἀνορέκτως διακεῖσθαι πρὸς πᾶσαν ἡδονὴν καὶ δόξαν τοῦ κόσμου τούτου, τῶν δὲ οὐρανίων ἀκορέστως ἐπιθυμεῖν.

Ἑρμηνεία

† Ο ΜΟΝΑΧΟΣ πρέπει εἰς μὲν τὸν Θεὸν νὰ λέγῃ πολλά, εἰς δὲ τοὺς ἀνθρώπους ὀλίγα· διότι ἡ πολυλογία, περισπῶσα ἀδιάκοπα τὸν νοῦν, ὄχι μονάχα τὸν κάνει ἀργὸν ἀπὸ κάθε πνευματικὴν ἐργασίαν, ἀλλὰ καὶ τὸν παραδίδει εἰς τὸν δαίμονα τῆς ἀδιακρισίας. Εἰς ὅλας λοιπὸν τὰς περιπτώσεις μᾶς συμφέρει ἡ σιωπή· διότι τὰ βασιλικὰ θησαυροφυλάκια θὰ γεμίσουν ἀπὸ χρυσὸν καὶ ὁ νοῦς τῶν πραγματικῶν Μοναχῶν θὰ καταληφθῇ ἀπὸ τὴν γνῶσιν τοῦ Θεοῦ. Ἂν ἐρωτήσῃ δὲ κανεὶς διατὶ ὁ Ἀπόστολος Παῦλος παρέτεινε τὴν ὁμιλίαν μέχρι τὰ μεσάνυκτα (Πράξ. κ', 7); θὰ ἠμπορούσαμεν νὰ τοῦ ἀπαντήσωμεν: πρῶτον, διότι ἐπρόκειτο νὰ

ἀναχωρήσῃ ὁ Ἀπόστολος Παῦλος, ἔπειτα διότι οἱ ἀκροαταί του μόλις εἶχαν ἀρχίσει νὰ διδάσκωνται τὴν Χριστιανικὴν θρησκείαν. Ἦτο ἀρχὴ τοῦ κηρύγματος καὶ εἶχον ἀνάγκην ἀπὸ πολὺν στηριγμόν· ἐκτὸς ὅμως ἀπὸ αὐτὰ καὶ ὁ Παῦλος ἦτο γεμάτος ἀπὸ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, ὥστε δὲν ὡμιλοῦσεν ἐκεῖνος, ἀλλά, μὲ τὸ στόμα του, τὸ ἴδιον τὸ Ἅγιον Πνεῦμα, ὅπως καὶ ὁ ἴδιος λέγει· μήπως ζητεῖτε νὰ λάβετε πεῖραν καὶ ἀπόδειξιν τοῦ Χριστοῦ, ποὺ ὁμιλεῖ μέσα μου; (Β΄ Κορ. ιγ΄, 3).

Ἐκεῖνοι δὲ ποὺ ἔχουν μέσα των τὸ Ἅγιον Πνεῦμα δὲν ὁμιλοῦν ὅποτε θέλουν αὐτοί, ἀλλ' ὅποτε τοὺς κινεῖ τὸ Πνεῦμα, ποὺ κατοικεῖ μέσα των. Οἱ τοιοῦτοι δὲ καὶ ἂν κάποτε ὁμιλήσουν πολλά, δὲν βλάπτονται καθόλου· διότι ἔχουν τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, ἡ ὁποία τοὺς φωτίζει καὶ διατηρεῖ τὸν νοῦν των ἀθόλωτον· ὡστόσον καὶ δι' ἐκείνους ἡ εἰς τὴν κατάλληλον περίστασιν δικαιολογημένη σιωπὴ εἶναι πολὺ περισσότερον ὠφέλιμος. Γνωρίσματα δὲ ἐκείνου ποὺ ἔχει μέσα του τὸ Ἅγιον Πνεῦμα εἶναι ἡ πραότης, ἡ ἀγάπη τῆς ἡσυχίας, ἡ ταπεινοφροσύνη, διακρινομένη διὰ τῆς πολλῆς σοφίας καὶ γνώσεως, καὶ ἡ ἔλλειψις κάθε ἐπιθυμίας διὰ κάθε δόξαν καὶ ἡδονὴν τοῦ κόσμου, ἀντίθετα νοιώθει σφοδρὰν καὶ ἀνικανοποίητον τὴν ἐπιθυμίαν τῶν οὐρανίων.

Ε΄. Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΕΑΝ γένηται χρεία λαλῆσαι μετὰ τοῦ ἀδελφοῦ σου, μικρὸν μικρὸν λάλησον μετὰ ταπεινώσεως καὶ εὐλαβείας, ὡς τοῦ Θεοῦ προσέχοντος ἡμῖν ἀεί, καὶ μὴ θελήσῃς λαλῆσαι ἢ ἀκοῦσαί τι τῶν μὴ ὠφελούντων σε. Τὸ μὴ μετρεῖν ἑαυτόν, καὶ τὸ ἔχειν ἑαυτὸν ἄγνωστον καὶ σιωπᾶν, φανεροῖ τὸν ἄνθρωπον ὅτι οὐ σχολάζει τοῖς πάθεσι ποιῆσαι τὰ θελήματα αὐτῶν, ἀλλὰ τὰ τοῦ Θεοῦ· ὁ δὲ θέλων τὸν λόγον αὐτοῦ εἰπεῖν ἐπὶ πολλῶν, ἐκφαίνει ὅτι φόβος τοῦ Θεοῦ οὐκ ἔστιν ἐν αὐτῷ. Ὁ γὰρ φόβος τοῦ Θεοῦ φύλαξ ἐστὶ καὶ βοήθεια τῇ ψυχῇ, συνάγων τὸν νοῦν εἰς ἑαυτόν, ὅπως ἀπολέσῃ πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Τὸ φροντίσαι τῆς γλώττης δῆλον ποιεῖ τὸν ἄνθρωπον, ὅτι πρακτικός ἐστιν· ἡ δὲ ἀπαιδευσία τῆς γλώττης σημαίνει, ὅτι οὐκ ἔχει ἔνδοθεν αὐτοῦ ἀρετήν. Τὸ φυλάξαι τὸ στόμα διεγείρει τὴν διάνοιαν πρὸς τὸν Θεόν, ἐὰν ἐν γνώσει σιωπᾷ· ἡ δὲ πολυλογία τίκτει τὴν ἀκηδίαν καὶ μανίαν.

Ἀδελφέ, ἔχε τὴν ψυχήν σου πάντοτε πενθοῦσαν καὶ τεταπεινωμένην, στενάζουσαν ἐν ἑαυτῇ, καὶ ὡς ἀνάξιος ὢν καὶ ἰδιώτης σιώπα ἀεί, καὶ τὸ καθόλου μὴ λάλει μὴ οὔσης χρείας. Ἐὰν δὲ χρεία γένηταί σοι τοῦ λαλῆσαι καὶ δοκιμάσῃς πρῶτον κατὰ σεαυτόν, ὅτι χρεία εὔλογός ἐστι καὶ κατὰ Θεόν ἐστι τὸ λαλῆσαι ἤπερ τὸ σιωπῆσαι, τότε λοιπὸν ἄνοιγε τὸ στόμα σου μετὰ φόβου καὶ τρόμου, ἔχων τὸ πρόσωπον κάτω, καὶ τὸν λόγον τιμητικὸν καὶ ὑποπίπτοντα, ἵνα, ἐὰν συντύχῃς τινί, ὀλίγον λαλήσῃς τῆς ἀγάπης ἕνεκα καὶ ταχὺ σιωπήσῃς· καὶ ἐὰν ἐρωτηθῇς τι, πρὸς ἀνάγκην μόνον ὑπάκουσον καὶ μηδὲ πλέον λάλει.

Ἑρμηνεία

ΕΑΝ παρουσιασθῇ ἀνάγκη νὰ ὁμιλήσῃς μὲ τὸν ἀδελφόν σου, ὁμίλησέ του σιγὰ-σιγὰ μὲ ταπείνωσιν καὶ εὐλάβειαν, ἐπειδὴ πάντοτε μᾶς προ-

σέχει ὁ Θεός· καὶ μὴ θελήσῃς νὰ ὁμιλήσῃς ἢ νὰ ἀκούσῃς κάτι ἀπὸ αὐτὰ ποὺ δὲν σὲ ὠφελοῦν. Τὸ νὰ μὴ λογαριάζῃ κανεὶς τὸν ἑαυτόν σου, τὸ νὰ παραμένῃ ἄγνωστος καὶ νὰ σιωπᾷ, φανερώνει ὅτι αὐτὸς ὁ ἄνθρωπος δὲν φροντίζει διὰ τὰ πάθη του, καὶ νὰ κάμῃ θελήματά του, ἀλλὰ τὰ θελήματα τοῦ Θεοῦ· ἐκεῖνος δὲ ποὺ θέλει νὰ εἴπῃ τὸν λόγον του ἐνώπιον πολλῶν, φανερώνει ὅτι δὲν ὑπάρχει μέσα του φόβος Θεοῦ. Διότι ὁ φόβος τοῦ Θεοῦ εἶναι φύλαξ καὶ βοηθὸς τῆς ψυχῆς, συμμαζεύει τὸν νοῦν, διὰ νὰ ἐξαφανίσῃ ὅλους τοὺς ἐχθρούς του. Τὸ νὰ φροντίζῃ ὁ ἄνθρωπος διὰ τὴν γλῶσσαν του, φανερώνει ὅτι εἶναι πρακτικὸς (ἐνάρετος)· ἐνῷ οἱ ἀπρόσεκτοι λόγοι φανερώνουν ἄνθρωπον, ποὺ δὲν ἔχει μέσα του τὴν ἀρετήν. Τὸ νὰ προφυλάξῃ κανεὶς τὸ στόμα του ἀνυψώνει τὴν διάνοιαν πρὸς τὸν Θεόν, ἂν σιωπᾷ μὲ ἐπίγνωσιν· ἐνῷ ἡ πολυλογία γεννᾷ τὴν ἀμέλειαν καὶ τὴν ἀπερισκεψίαν.

Ἀδελφέ, φρόντιζε νὰ ἔχῃ ἡ ψυχή σου πάντοτε πένθος, νὰ εἶναι ταπεινὴ καὶ νὰ θρηνῇ διὰ τὸν ἑαυτόν της. Νὰ σιωπᾷς δὲ πάντοτε καὶ καθόλου νὰ μὴ ὁμιλῇς χωρὶς νὰ ὑπάρχῃ ἀνάγκη, ὡς νὰ εἶσαι ἕνας ἄνθρωπος ἀνάξιος καὶ ἀμόρφωτος. Ἂν παρουσιασθῇ ἀνάγκη νὰ ὁμιλήσῃς καὶ πεισθῇς πρῶτα ὁ ἴδιος ὅτι πραγματικὰ ὑπάρχει σοβαρὸς λόγος καὶ ὅτι εἶναι κατὰ Θεὸν τὸ νὰ ὁμιλήσῃς καὶ ὄχι τὸ νὰ σιωπήσῃς, τότε πλέον νὰ ἀνοίγῃς τὸ στόμα σου μὲ φόβον καὶ τρόμον· τὸ πρόσωπόν σου νὰ εἶναι κάτω, ὁ λόγος σου νὰ εἶναι σοβαρὸς καὶ ταπεινός, καὶ ὅταν συναντήσῃς κάποιον νὰ τοῦ ὁμιλήσῃς ὀλίγον, χάριν τῆς ἀγάπης καὶ γρήγορα νὰ σιωπήσῃς. Καὶ ἂν σὲ ἐρωτήσουν διὰ κάτι, κάμε ὑπακοὴν καὶ ἀπάντησε μόνον εἰς αὐτό, καὶ τίποτε πλέον νὰ μὴ ὁμιλήσῃς.

ΣΤ'. Τοῦ Ἁγίου Διαδόχου

ΩΣ ΠΕΡ αἱ τῶν λουτρῶν συνεχῶς ἐξανοιγόμεναι θύραι τὴν ἔνδον θέρμην θᾶττον ὠθοῦσι πρὸς τὰ ἔξω, οὕτω καὶ ἡ ψυχή, ὅταν πολλὰ θέλῃ διαλέγεσθαι, κἂν πάντα καλὰ λέγῃ, τὴν ἑαυτῆς μνήμην διὰ τῆς φωνητικῆς πύλης διαφορεῖ. Ὅθεν λοιπὸν στερεῖται μὲν τῶν καιρίων ἐννοιῶν, αὐτήν τε τὴν τῶν λογισμῶν συμπληγάδα ὀχληδόν πως τοῖς τυχοῦσι διαλέγεται. Ἐπειδὴ λοιπὸν οὔτε τὸ Ἅγιον Πνεῦμα ἔχει εἰς ἀφάνταστον αὐτὴν συντηροῦν διάνοιαν, φεύγει γὰρ ἀεὶ τὸ ἀγαθὸν τὴν πολυλογίαν ὡς ταραχῆς οὖσαν πάσης καὶ φαντασίας πρόξενον. Καλὴ οὖν ἡ εὔκαιρος σιωπή, οὐδὲν ἕτερον οὖσα ἢ μήτηρ ἐννοιῶν σοφωτάτων.

Ἑρμηνεία

† ΟΠΩΣ ὅταν ἀνοίγουν συνεχῶς αἱ θύραι τῶν λουτρῶν, διώχνουν γρήγορα πρὸς τὰ ἔξω τὴν ἐσωτερικὴν θερμότητα, ἔτσι καὶ ἡ ψυχή, ὅταν θέλῃ νὰ ὁμιλῇ συχνά, ἔστω καὶ ἂν ὅλα τὰ λέγῃ καλά, σκορπίζει, μὲ τὴν φωνητικὴν πύλην (τὸ στόμα), τὴν ἐσωτερικὴν περισυλλαγήν. Ἕνεκα τούτου ἡ ψυχὴ ἀπογυμνώνεται ἀπὸ τὰς θεμελιώδεις πνευματικὰς ἐννοίας, χάνει τὴν δύναμιν νὰ ἀγωνίζεται ἐναντίον τῶν λογισμῶν καὶ συνομιλεῖ μὲ

φλυαρίαν μὲ ὅσους συναντᾷ. Ἐπειδὴ λοιπὸν δι' αὐτοῦ τοῦ τρόπου (τῆς πολυλογίας) ἡ ψυχὴ ἀποδιώκει τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, δὲν ἠμπορεῖ νὰ διατηρῇ τὴν διάνοιαν καθαρὰν ἀπὸ τὰς βλαβερὰς φαντασίας. Διότι πάντοτε τὸ ἀγαθὸν φεύγει ἕνεκα τῆς πολυλογίας, ἡ ὁποία εἶναι πρόξενος πάσης ταραχῆς καὶ φαντασίας. Καλὴ λοιπὸν εἶναι ἡ εἰς τὸν κατάλληλον καιρὸν σιωπή, ἡ ὁποία δὲν εἶναι τίποτε ἄλλο, παρὰ μητέρα σοφωτάτων σκέψεων καὶ λογισμῶν.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

Ο ΥΠΟΚΡΙΝΟΜΕΝΟΣ σιωπὴν κακουργίας χάριν, τῷ πλησίον τεκταίνεται δόλον, οὗ ἀποτυγχάνων, ἄπεισι τῷ ἰδίῳ πάθει προσθέμενος ὀδύνην. Ὁ δὲ σιωπῶν ὠφελείας χάριν, ηὔξησε φιλίαν καὶ ἀπελεύσεται χαίρων, ὡς λαβὼν φωτισμὸν σκότους λυτήριον. Ὁ ἐν συνεδρίῳ λόγων ἀκρόασιν προπετῶς ἀνακόπτων, οὐκ ἔλαθε φιλοδοξίαν νοσῶν, ὑφ' ἧς ἁλισκόμενος μυρίους προβάλλεται λόγους προτάσεων, τὸν εἱρμὸν τῶν λεγομένων διαστῆσαι βουλόμενος.

Ἑρμηνεία

ΑΥΤΟΣ ποὺ σωπαίνει ὑποκριτικὰ ἀπὸ μοχθηρίαν, μηχανεύεται ἀπάτην ἐναντίον τοῦ πλησίον· ἂν ἀποτύχῃ, ξαναγυρίζει πάλιν εἰς τὸ πάθος του καὶ προσθέτει θλῖψιν εἰς τὸν ἑαυτόν του. Ἐκεῖνος ὅμως ποὺ σωπαίνει χάριν ὠφελείας, ἐμεγάλωσε τὴν φιλίαν καὶ θὰ φύγῃ χαρούμενος, ἐπειδὴ ἔλαβε τὸν φωτισμὸν ποὺ διαλύει τὸ σκοτάδι. Ἐκεῖνος ποὺ εἰς μίαν συγκέντρωσιν διακόπτει μὲ αὐθάδειαν τὴν διδασκαλίαν, δὲν ξεγελᾷ κανένα ὅτι πάσχει ἀπὸ φιλοδοξίαν, ἀπὸ τὴν ὁποίαν κυριεύεται καὶ λέγει χίλια λόγια, διότι θέλει νὰ διακόψῃ τὴν σειρὰν τῶν λεγομένων ἀπὸ ἄλλους.

Η'. Ἐν τῷ Γεροντικῷ

Ο ΑΒΒΑΣ Ἰωσὴφ ἠρώτησε τὸν ἀββᾶν Νισθερῶ λέγων· τί ποιήσω τῇ γλώσσῃ μου, ὅτι οὐ δύναμαι κρατῆσαι αὐτῆς; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἐὰν οὖν λαλήσῃς εὑρίσκεις ἀνάπαυσιν; Λέγει ἐκεῖνος· οὐχί. Ἔφη ὁ γέρων· καὶ εἰ οὐκ ἔχεις ἀνάπαυσιν, διατί λαλεῖς; μᾶλλον οὖν σιώπα· καὶ εἴ ποτε συμβῇ ὁμιλία, πολλὰ ἄκουε μᾶλλον ἢ λάλει.

2. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· ἐὰν ἧς σιωπηλὸς ἐν παντὶ τόπῳ, οὗ ἐὰν οἰκήσῃς, ἕξεις ἀνάπαυσιν.

3. Ἀδελφοὶ δύο ἀπὸ σκήτεως ἤθελον παραβαλεῖν τῷ ἀββᾷ Ἀντωνίῳ· καὶ ἀνέβησαν εἰς πλοῖον, καὶ μετ' αὐτῶν ἀνέβη καὶ γέρων τις, ὃν οὐκ ᾔδεισαν οἱ ἀδελφοί, ἀπερχόμενος καὶ αὐτὸς ὁμοίως εἰς τὸν ἀββᾶν Ἀντώνιον. Οἱ οὖν ἀδελφοὶ καθήμενοι ἐν τῷ πλοίῳ ἐλάλουν λόγους Πατέρων ἐκ τῆς Γραφῆς, ἔτι δὲ καὶ περὶ ἐργοχείρων αὐτῶν· ὁ δὲ γέρων ἐσιώπα.

Ὡς οὖν ἀπέβησαν τοῦ πλοίου καὶ ἦλθον πρὸς τὸν ἀββᾶν Ἀντώνιον, λέγει ὁ ἀββᾶς Ἀντώνιος τοῖς ἀδελφοῖς· καλὴν συνοδείαν εὕρατε τὸν γέροντα τοῦτον· εἶτα

φησὶ καὶ τῷ γέροντι· καλοὺς ἀδελφοὺς εὗρες μετὰ σοῦ, ἀββᾶ. Καὶ ἀπεκρίθη ὁ γέρων· καλοὶ μέν εἰσιν, ἀλλ' ἡ αὐλὴ αὐτῶν θύραν οὐκ ἔχει· καὶ ὁ θέλων εἰσέρχεται εἰς τὸν σταῦλον καὶ λύει τὸν ὄνον. Τοῦτο δὲ ἔλεγε, δηλονότι τὰ ἐρχόμενα εἰς τὸ στόμα αὐτῶν λαλοῦσιν.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀγάθωνος, ὅτι ἐπὶ τρία ἔτη ἔβαλε λίθον εἰς τὸ στόμα αὐτοῦ ἕως οὗ κατώρθωσε τὸ σιωπᾶν. Ὅρα ὁ ἀγωνιζόμενος καὶ ἢ μίμησαι τὴν καρτερίαν τοῦ γέροντος, ἢ μὴ δυνάμενος μιμήσασθαι ταπεινώθητι.

5. Εἶπεν ὁ ἀββᾶς Ποιμήν, ὅτι ἐὰν μνησθῇ ἄνθρωπος τοῦ γεγραμμένου ρητοῦ, ὅτι ἐκ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταχριθήσῃ, αἱρεῖται μᾶλλον τὸ σιωπᾶν.

6. Εἶπεν ὁ αὐτός, ὅτι ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Παμβώ, εἰ καλὸν ἐπαινεῖν τὸν πλησίον. Καὶ εἶπεν αὐτῷ· καλὸν μᾶλλον ἐστὶ τὸ σιωπᾶν.

7. Εἶπεν ὁ ἀββᾶς Σισώης· ἰδοὺ τριάκοντα ἔτη ἔχω μηκέτι δεόμενος τοῦ Θεοῦ περὶ ἁμαρτίας, ἤγουν ἄλλης τῆς οἵας οὖν, ἀλλὰ τοῦτο εὔχομαι λέγων· Κύριε Ἰησοῦ, σκέπασόν με ἀπὸ τῆς γλώσσης μου· καὶ ἕως τοῦ νῦν καθ' ἡμέραν πίπτω δι' αὐτῆς καὶ ἁμαρτάνω.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Ἰωσὴφ ἠρώτησε τὸν Ἀββᾶν Νισθερώ:

— Τί νὰ κάνω — τοῦ λέγει — μὲ τὴν γλῶσσαν μου, ποὺ δὲν ἠμπορῶ νὰ τὴν συγκρατήσω;

—Ἂν δηλαδὴ ὁμιλήσῃς, ἀναπαύεσαι; τὸν ἠρώτησε, μὲ τὴν σειράν του, ὁ Ἀββᾶς Νισθερώ.

—Ὄχι, ἀπήντησεν ἐκεῖνος.

Τότε τοῦ ἀπαντᾷ καὶ ὁ Ἀββᾶς Νισθερώ.

—Ἀφοῦ δὲν εὑρίσκεις ἀνάπαυσιν, διατὶ ὁμιλεῖς; προτιμότερον εἶναι νὰ σιωπᾷς. Καὶ ἂν ποτὲ παρευρεθῇς εἰς ὁμιλίαν, νὰ προτιμᾷς νὰ ἀκούῃς πολλά, παρὰ νὰ ὁμιλῇς.

2. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν· ἂν εἶσαι σιωπηλὸς σὲ κάθε τόπον ποὺ θὰ κατοικήσῃς, θὰ ἔχῃς ἀνάπαυσιν.

3. Δύο ἀδελφοὶ ἀπὸ τὴν σκήτην ἠθέλησαν νὰ ἐπισκεφθοῦν τὸν Ἀββᾶν Ἀντώνιον. Πρὸς τοῦτο ἐπεβιβάσθησαν εἰς τὸ πλοῖον· μαζί των ἐπεβιβάσθη καὶ ἕνας Γέρων, τὸν ὁποῖον δὲν ἐγνώριζαν οἱ ἀδελφοὶ καὶ ὁ ὁποῖος , ἐπίσης, ἐπήγαινεν εἰς τὸν Ἀββᾶν Ἀντώνιον. Οἱ ἀδελφοὶ ἐκάθησαν εἰς τὸ πλοῖον* καὶ ἐσυζητοῦσαν διὰ τοὺς λόγους τῶν Πατέρων ἀπὸ τὴν Ἁγίαν Γραφήν, καὶ διὰ τὰ ἐργόχειρά των· ὁ Γέρων ἐσιωποῦσεν.

Ὅταν λοιπὸν ἐβγῆκαν ἀπὸ τὸ πλοῖον καὶ ἦλθαν εἰς τὸν Ἀββᾶν Ἀντώνιον, λέγει ὁ Ἀββᾶς εἰς τοὺς ἀδελφούς· καλὴν συντροφίαν εὑρή-

---

* Ἡ μετάβασις εἰς τὸ Μοναστήριον τοῦ Μεγάλου Ἀντωνίου ἐγίνετο μὲ πλοῖον, τὸ ὁποῖον ἔπλεε τὸν Νεῖλον ποταμόν, ὡς καὶ ἐν σελίδι 431 ὑπόθεσις ΛΓ' τοῦ ἀνὰ χεῖρας Β' Τόμου εἴδομεν καὶ ἀλλαχοῦ.

κατε τὸν Γέροντα τοῦτον· ἔπειτα λέγει καὶ εἰς τὸν Γέροντα· καλοὺς ἀδελφοὺς εἶχες κοντά σου, Ἀββᾶ. Ὁ Γέρων ἀπήντησεν· εἶναι καλοὶ ἀλλ' ἡ αὐλή των δὲν ἔχει θύραν· καὶ ὅποιος θέλει εἰσέρχεται εἰς τὸν σταῦλον καὶ λύει τὸν ὄνον. Αὐτὸ τὸ ἔλεγε παραβολικά, διὰ νὰ δείξῃ ὅτι λέγουν, χωρὶς περιορισμόν, ὅσα ἔρχονται εἰς τὸ στόμα των.

4. Διὰ τὸν Ἀββᾶν Ἀγάθωνα διηγοῦντο ὅτι ἐπὶ τρία χρόνια ἔβαζε πέτραν εἰς τὸ στόμα του μέχρις ὅτου κατώρθωσε τὴν σιωπήν. Κοίταξε σὺ ποὺ ἀγωνίζεσαι· καὶ ἢ νὰ μιμηθῇς τὴν καρτερικότητα τοῦ Γέροντα, ἤ, ἂν δὲν ἠμπορῇς νὰ τὴν μιμηθῇς, γίνου ταπεινός.

5. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ἂν ὁ ἄνθρωπος ἐνθυμηθῇ τὸ ῥητὸν «ἀπ' τὰ λόγια σου θὰ δικαιωθῇς καὶ ἀπ' τὰ λόγια σου θὰ κατακριθῇς», θὰ προτιμήσῃ περισσότερον τὴν σιωπήν.

6. Ὁ ἴδιος εἶπεν ὅτι κάποιος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Παμβώ, ἂν εἶναι καλὸν νὰ ἐπαινῇ τὸν πλησίον· καὶ ὁ Ἀββᾶς ἀπήντησε· καλύτερα εἶναι νὰ σιωπᾷς.

7. Ὁ Ἀββᾶς Σισώης εἶπεν· ἔχω τριάντα χρόνια τώρα, ποὺ δὲν παρακαλῶ τὸν Θεὸν δι' ἁμαρτίαν, δηλαδὴ δι' ὁποιανδήποτε ἄλλην ἁμαρτίαν, ἀλλὰ μονάχα αὐτὸ εὔχομαι· Κύριε Ἰησοῦ—λέγω—σκέπασέ με (ἀπὸ τὴν ἁμαρτίαν) τῆς γλώσσης μου· καὶ μέχρι σήμερα καθημερινὰ πίπτω καὶ ἁμαρτάνω διὰ τῆς γλώσσης μου.

Θ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΤΟ ἀεὶ θέλειν σιωπᾶν καὶ ἡ φυλακὴ τῆς ἡσυχίας ἐκ τῶν τριῶν τούτων αἰτιῶν γίνονται· ἢ διὰ τὴν δόξαν τῶν ἀνθρώπων, ἢ διὰ τὴν θερμότητα τοῦ ζήλου τῆς ἀρετῆς, ἢ ὅτι ὁμιλίαν τινὰ θείαν ἔχει ὁ ἄνθρωππος ἐντὸς αὐτοῦ, καὶ ἡ διάνοια αὐτοῦ ἕλκεται πρὸς αὐτήν. Εἴ τις γοῦν μίαν τῶν ἐσχάτων οὐκ ἔχει, ἤτοι τὴν δευτέραν ἢ τὴν τρίτην, ἐξ ἀνάγκης τὴν πρώτην ἀσθενεῖ. Ἐὰν φυλάξῃς τὴν γλῶσσάν σου, ἕξεις παρὰ Θεοῦ τὴν χάριν τῆς καρδιακῆς κατανύξεως, ἐν ᾗ θεάσει τὴν ψυχήν σου, ἤτοι τὸ τοῦ νοὸς φῶς, καὶ τῆς χαρᾶς ἐμπλησθήσει τοῦ Πνεύματος. Ἐὰν δὲ νικᾷ σε ἡ γλῶσσά σου, οὐδέποτε δυνήσῃ ἐξελθεῖν ἐκ τῆς σκοτώσεως. Ἐὰν γὰρ οὐκ ἔχῃς καρδίαν καθαράν, ἔχε κἂν στόμα καθαρόν, ὡς ἔφη τις τῶν Ἁγίων.

Ἑρμηνεία

Τὸ νὰ θέλῃ κανεὶς νὰ ἔχῃ πάντοτε τὴν σιωπὴν καὶ τὴν περιφρούρησιν τῆς ἡσυχίας εἶναι ἀποτέλεσμα τῶν τριῶν τούτων αἰτιῶν· ἢ τῆς ἐπιθυμίας νὰ δοξασθῇ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, ἢ τῆς θερμότητος τοῦ ζήλου τῆς ἀρετῆς, ἢ ὅτι ὁ ἄνθρωπος αὐτὸς συνομιλεῖ μέσα του μὲ τὸν Θεὸν καὶ ἡ συνομιλία αὐτὴ ἀπασχολεῖ ὅλην του τὴν σκέψιν. Ἂν λοιπὸν κανεὶς δὲν ἔχῃ κάποιαν ἀπὸ τὰς τελευταίας, δηλαδὴ τὴν δευτέραν ἢ τὴν τρίτην, τότε κατ' ἀνάγκην εἶναι ἄρρωστος ἀπὸ τὴν πρώτην αἰτίαν (τὴν ἀνθρωπαρέσκειαν). Ἐὰν φυλάξῃς τὴν γλῶσσαν σου, θὰ σοῦ δοθῇ ἀπὸ

τὸν Θεὸν ἡ χάρις τῆς καρδιακῆς κατανύξεως, διὰ τῆς ὁποίας θὰ γνωρίσης τὴν ψυχήν σου, δηλαδὴ θὰ λάβης τὸ φῶς τοῦ νοὸς καὶ θὰ γεμίσης ἀπὸ τὴν χαρὰν τοῦ Ἁγίου Πνεύματος. Ἂν ὅμως σὲ νικᾷ ἡ γλῶσσα σου, ποτὲ δὲν θὰ ἠμπορέσης νὰ ἐξέλθης ἀπὸ τὴν σύγχυσιν τοῦ νοός. Ἂν δὲν κατορθώσης νὰ ἔχης καρδίαν καθαράν, τοὐλάχιστον νὰ ἔχης τὸ στόμα καθαρόν, ὅπως εἶπε κάποιος Ἅγιος.



ΥΠΟΘΕΣΙΣ ΜΗ΄

Ὅτι καὶ τὸ ἁπλῶς ὀμνύειν ἐφάμαρτον, ἡ δὲ ἐπιορκία ἀπαραίτητον ἔχει τὴν κόλασιν, καὶ ὅτι τὸν ἐπ' ἀθετήσει ἐντολῆς Θεοῦ ἐκ προπετείας γενόμενον ὅρκον ἀναλύειν δεῖ καὶ μετανοεῖν ἐπ' αὐτῷ.

Ὅτι καὶ τὸ ἁπλῶς νὰ ὁρκίζεται κανεὶς εἶναι ἁμαρτία· ἡ δὲ παράβασις τοῦ ὅρκου ἔχει ὁπωσδήποτε ὡς συνέπειαν τὴν κόλασιν. Τὸν ὅρκον, ὁ ὁποῖος γίνεται ἀπὸ προπέτειαν διὰ νὰ παραβῶμεν κάποιαν ἐντολὴν τοῦ Θεοῦ, πρέπει νὰ τὸν ἀνακαλοῦμεν καὶ νὰ μετανοῶμεν δι' αὐτόν.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΑΝΗΡ ΤΙΣ ὄνομα Κυριακός, ἐκ Φαρὰν τῆς κώμης ὁρμώμενος, θρεμμάτων ποιμὴν ἦν, καὶ τὸ ποίμνιον ἀνὰ τὰς ἐρήμους νέμων ἐκείνας, πιστεύεται παρά τινος τῆς αὐτοῦ ὡρμημένου κώμης, πένητος καὶ αὐτοῦ, δέκα τὸν ἀριθμὸν καὶ ἕτερα πρόβατα, ὥς τε καὶ αὐτὰ τοῖς ἑαυτοῦ συμποιμαίνειν. Χρόνου δὲ μεταξὺ διαγενομένου, κατειλήφει μέν τις ἀπαραίτητος τὸν πένητα χρεία· καὶ ὁ μὲν οὐδενὸς εὐπορῶν ἑτέρου, πρὸς τὸ βραχὺ ποίμνιον εὐθὺς ἀπεῖδε, καὶ πωλῆσαι καὶ αὐτὸ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ἠπείγετο.

Γνώμης δὲ ὡς ἔοικεν ὁ Κυριακὸς μοχθηρᾶς ὢν καὶ οὐδὲ μικροῦ κέρδους προτιθεὶς τὴν ἀλήθειαν, ὀκτὼ ἀπεδίδου μόνα καὶ τοσαῦτα λαβεῖν παρ' αὐτοῦ κατὰ τὴν ἀρχὴν ἰσχυρίζετο. Τοῦ δὲ καὶ τὰ ἕτερα δύο προσαπαιτοῦντος, ὁ Κυριακὸς ἔξαρνος ἦν καὶ εἰς φιλονικείαν αὐτοῖς ἐχώρει τὸ πρᾶγμα, καὶ ἄμφω σφοδρῶς ἐστασίαζον. Διαιτηταὶ δέ τινες αὐτοῖς μέσοι παραληφθέντες, ὅρκον τῷ βουλομένῳ ἐπέθεσαν, ὥς τε ταύτην διαλύσασθαι τὴν ἔριν. Τοῦ Κυριακοῦ τοίνυν ὀμόσαι προῃρημένου, ὁ πένης κατὰ τῆς τοῦ λειψάνου θήκης τοῦ μεγάλου δηλαδὴ Εὐθυμίου τὸν ὅρκον ἀπήτει, καί τις αὐτοῖς ἡμέρα ἤδη ἀφώριστο· καὶ ὁρμούμενος κατὰ τὴν ἡμέραν ἐκείνην ὁ Κυριακὸς ἢ μᾶλλον ἐπιορκήσων, κατήει μετὰ τοῦ πένητος πρὸς τὸ Μοναστήριον.

Ἐπειδὴ δὲ τὴν ἀπὸ Ἱερουσαλὴμ φέρουσαν εἰς Ἱεριχὼ ἐν ποσὶν εἶχον, ἤδη δὲ αὐτοῖς καὶ τὸ Μοναστήριον ἑωρᾶτο, ἰδὼν τὸν Κυριακὸν ὁ πένης ἔκδοτον ὅλον τῇ ἐπιορκίᾳ γεγενημένον καὶ ὥς περ ἐπ' ἄκρας γλώττης τὸν ὅρκον ἔχοντα, καὶ δείσας καθάπερ ὀμνεῖσθαι μέλλων ἢ ἐπιορκήσειν αὐτός, ἄγε δῆτα, φησίν, ἀναστρέψωμεν ἀδελφέ· ἱκανὴ γὰρ ἡμῖν εἰς πίστιν καὶ αὐτὴ μόνη ἡ πρὸς τὸν ὅρκον ὁρμή, καὶ πλεῖον οὐδὲν δεῖ προστιθέναι. Ταῦτα ὁ μὲν εἰπών, ἐδεῖτο αὐτοῦ μὴ ὀμνύναι· ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ' εἰ μὴ καὶ τὴν ἐπιορκίαν ἔργῳ τελέσειεν, ὡς ἄτοπα μᾶλλον ἐνόμιζε δρᾶν.

Ὡς οὖν εἰσῆλθεν εἰς τὸ Μοναστήριον, καὶ τὸ δεινὸν ἐκεῖνο κατὰ τῆς τοῦ λειψάνου θήκης ἐτόλμησε, καὶ τὴν ἐπιορκίαν εἰς τέλος ἤγαγεν, ὁ μὲν ἄφρων, ὡς ἀληθῶς ὤν, εἶπεν ἐν τῇ καρδίᾳ οὐκ ἔστι Θεός, μᾶλλον δὲ λήθην αὐτὸς λαβὼν τοῦ Θεοῦ, λαθεῖν ἐνόμιζεν αὐτόν. Καὶ οἴκαδε μὲν τηνικαῦτα ἐπανῆκε, καθάπερ ἑρμαίῳ τινὶ τῷ ἐκ τῆς ἐπιορκίας κέρδει ἀνοήτως ἡδόμενος, τῆς δὲ ὑστεραίας ὁ μὲν ἐπὶ τῆς κλίνης περὶ μέσας νύκτας ἤδη γρηγορῶν ἔκειτο. Ἐδόκει δὲ αὐτῷ τῆς κατὰ τὸν οἶκον πύλης αὐτομάτως διανοιγείσης, γέροντά τινα Μοναχὸν ὑπὸ νεωτέροις πέντε παραβαλεῖν, τῇ μὲν δεξιᾷ ῥάβδον ἔχοντα, φωτὶ δὲ τὴν οἰκίαν πολλῷ διαλάμποντα, βλοσυρῷ πρὸς αὐτὸν βλέμματι καὶ αὐστηρᾷ τῇ φωνῇ, τί ποτε ἄρα, φάναι, μάταιε, κατὰ τῆς Εὐθυμίου θήκης τετόλμηκας;

Τὸν δὲ φιμωθέντα ὅλως καὶ μηδὲν εὑρεῖν εἰς ἀπολογίαν δυνάμενον, ἐκδοῦναι τοῖς περὶ αὐτὸν εὐθέως ἐγκελευσάμενος τιμωρεῖσθαι. Εἶτα τεσσάρων διατεινάντων αὐτόν, τῷ πέμπτῳ ἐγχειρίσαι τὴν ῥάβδον, καὶ τύπτειν ἐπισκῆψαι σφοδρῶς, ὡς ἂν μὴ καταφρονητὴς Θεοῦ, μηδὲ ἐπίορκος, μηδὲ ἀποστερητὴς εἴη τῶν ἀλλοτρίων.

Ἐπεὶ δὲ ἱκανῶς ἔχειν τῶν πληγῶν ἐδόκει, στήσας τὴν χεῖρα τῷ νεανίσκῳ ἅπτεται αὐτοῦ τῶν τριχῶν καὶ φησί, εἰπού ἔγνως, ἀνόσιε, ὡς ἄρα ἐστὶ Θεὸς τὰ τοιαῦτα κρίνων ἐν γῇ; Ἰδοὺ ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ κακῶς ἀπεστέρησας, τίνι ἔσται; Διὰ τοῦτο δέ σοι καὶ τὴν τιμωρίαν ταύτην ἐπήγαγον, ὡς ἂν ἕτεροι βελτίους ἀπ' αὐτῆς γένοιντο, καὶ τὸν ἐκ τῆς ἐπιορκίας κίνδυνον, μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὀμνύειν ὅλως, κἂν ἀληθεύειν μέλλωσι, διαφεύγωσι.

Ταῦτα ὁ μὲν ἀπειλήσας τῷ Κυριακῷ καὶ εἰπών, μετὰ τῶν περὶ αὐτὸν εὐθὺς ᾤχετο, αὐτὸς δὲ πρός τε τὴν ὄψιν διαταραχθείς, ἄλλως τε δὲ καὶ τὰς ἐκ τῶν πληγῶν ὀδύνας φέρειν οὐκ ἔχων, ὀξυτέρᾳ ἐκέχρητο τῇ φωνῇ καὶ τοὺς πλησίον ἐπεκαλεῖτο, τὰς πληγάς τε ὑπεδείκνυε, καὶ τὴν ἐπιορκίαν θερμῶς ἐξηγόρευε, καὶ τὰ τῆς συμφορᾶς αὐτοῖς ἀνεκλαίετο. Εἶτα καὶ κομισθῆναι ὑπ' αὐτῶν πρὸς τὴν τοῦ Ἁγίου θήκην ἐδεῖτο, τάχα λέγων ὁ τὰς ἀφορήτους ταύτας δοὺς πληγάς, ῥᾷον ἂν καὶ ἰάσαιτο, μαθητὴς ὢν ἐκείνου τοῦ ἀγαθύνειν μᾶλλον ἢ κολάζειν φυσικῶς ἔχοντος, ἐπεὶ σχολῇ γ' ἂν πρὸς τηλικαύτας ὀδύνας ἰατρικαὶ τέχναι καὶ χεῖρες ἀρκέσειαν.

Ἐκεῖνοι μὲν οὖν τούτων ἀκηκοότες, ἔπειτα δὲ καὶ ὅπως ἦν βαρύτατα πεπληγὼς θεασάμενοι καὶ δείσαντες οὐ μικρῶς καὶ αὐτοί, ὅμως πρὸς τὴν ἐπιθυμίαν τοῦ ἀνδρὸς εἴκοντες, σοφίζονται τὴν ἐκκομιδὴν οὕτως. Δύο σάκκους ἀχύρου πληροῦσι, καὶ τούτους ὄνῳ τινὶ ἐκ τῶν πλαγίων εὖ ἀναθέμενοι, εἶτα μέσον αὐτὸν ἐπιτιθοῦσι, καὶ οὕτως αὐτὸν εἰς τὸ Μοναστήριον καὶ τὴν θήκην διακομίζουσιν. Οἳ καὶ τὰ κατ' αὐτὸν ἡμῖν πάντα διηγησάμενοι καὶ τὰς κατὰ τὸν νῶτον πληγὰς ὑποδείξαντες, τοσοῦτον τοῖς ἀδελφοῖς ἐμβάλλουσι δέος, ὡς μηδένα ἐξ ἐκείνου, μήτε αὐτόν τινα κατὰ τῆς τοῦ Ἁγίου θήκης ὀμνύειν ἐᾶν, μήτε ὅρκον τότε εἰς αὐτοὺς ἧκον ἑτέρῳ ἐπάγειν.

Ἐκεῖνοι μέντοι παρ' ἡμῖν τηνικαῦτα διημερεύσαντες, ὡς ἑώρων τὸν Κυριακὸν καὶ αὐτὰς τὰς ἀσθενεῖς καὶ λεπτὰς ἐλπίδας ἀφαιρούμενον τῆς ζωῆς, καὶ πρὸς θάνατον ἀφορῶντα, τῆς γαστρὸς αὐτῷ διαρρυείσης καὶ τοῦ στόματος μηδὲ μικρὸν ἐπισχεῖν δυναμένου τὸν ἔμετον, ἀναλαμβάνουσιν αὐτὸν καὶ οἴκαδε πάλιν ἀνακομίζουσιν· ὁ δὲ τὴν νύκτα μόλις διαζήσας ἐκείνην, εἰς τὴν ἑξῆς ἐτελεύτησεν.

Ἑρμηνεία

ΕΖΗ κάποτε ἕνας βοσκὸς ὁ ὁποῖος κατήγετο ἀπὸ τὸ χωρίον Φαράν* καὶ ὠνομάζετο Κυριακός. Αὐτὸς ἔβοσκε τὸ ποίμνιόν του εἰς ἐκεῖνα τὰ ἐρημικὰ μέρη. Κάποιος ἄλλος, ὁ ὁποῖος κατήγετο ἀπὸ τὸ ἴδιον χωρίον καὶ ἦτο ἐξ ἴσου πτωχός, τοῦ ἐμπιστεύεται ἄλλα δέκα πρόβατα νὰ τὰ βόσκῃ μαζὶ μὲ τὰ ἰδικά του. Ἐν τῷ μεταξὺ ἐπέρασεν ἀρκετὸν χρονικὸν διάστημα καὶ ὁ πτωχὸς ἀντιμετώπισε μίαν μεγάλην δυσκολίαν. Ἐπειδὴ λοιπὸν δὲν εἶχε τίποτε ἄλλο, ἀμέσως ἐσκέφθη νὰ πωλήσῃ τὸ μικρὸν ἐκεῖνο ποίμνιον, διότι ἐβιάζετο ἀπὸ τὴν ἀνάγκην.

Ἐπειδὴ ὅμως, ὅπως φαίνεται, ὁ Κυριακὸς ἦτο μοχθηρὸς ἄνθρωπος καὶ ἐπροτιμοῦσε τὸ παραμικρότερον κέρδος παρὰ τὴν ἀλήθειαν, μόνον ὀκτὼ πρόβατα ἐπέστρεφεν εἰς τὸν πτωχὸν καὶ ἰσχυρίζετο ὅτι ἀρχικῶς τόσα παρέλαβεν ἀπ' αὐτόν. Ὁ πτωχὸς ὅμως ἐζήτει μὲ ἐπιμονὴν καὶ τὰ ἄλλα δύο· ὁ Κυριακὸς ἠρνεῖτο καὶ ἔτσι ἤρχισαν νὰ φιλονικοῦν καὶ νὰ μαλώνουν μὲ σφοδρότητα οἱ δύο τους. Τότε παρουσιάσθησαν εἰς τὸ μέσον μερικοὶ νὰ τοὺς συμβιβάσουν· ἐπρότειναν δὲ νὰ ὁρκισθῇ ὅτι λέγει τὴν ἀλήθειαν ὅποιος ἤθελε ἐκ τῶν δύο, διὰ νὰ σταματήσῃ ἡ φιλονικία. Πράγματι λοιπὸν ὁ Κυριακὸς ἐδέχθη νὰ ὁρκισθῇ· ὁ πτωχὸς ἐζήτησε νὰ δοθῇ ὁ ὅρκος ἐνώπιον τῆς λειψανοθήκης τοῦ μεγάλου Εὐθυμίου· καθώρισαν δὲ καὶ τὴν ὡρισμένην ἡμέραν διὰ τὸν ὅρκον. Πραγματικὰ λοιπόν, κατὰ τὴν ἡμέραν ἐκείνην, κατέβαινεν ὁ Κυριακὸς πρὸς τὸ Μοναστήρι, μαζὶ μὲ τὸν πτωχόν, μὲ πρόθεσιν νὰ ψευδορκήσῃ.

Ἀφοῦ δὲ ἐπέρασαν πεζοὶ τὸν δρόμον ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Ἱεριχὼ καὶ ἔβλεπαν πλέον τὸ Μοναστήρι, ἐπειδὴ ὁ πτωχὸς εἶδε τὸν Κυριακὸν ἀποφασισμένον νὰ πάρῃ ψεύτικον ὅρκον, τὸν ὁποῖον εἶχε σχεδὸν κάτω ἀπὸ τὴν γλῶσσαν του, ἐφοβήθη, ὡσὰν νὰ ἐπρόκειτο ὁ ἴδιος νὰ ὁρκισθῇ ἢ μᾶλλον νὰ ψευδορκήσῃ καὶ τοῦ λέγει:

—Ἐμπρὸς λοιπόν, ἀδελφέ, ἂς γυρίσωμεν ὀπίσω, διότι μοῦ εἶναι ἀρκετὸν διὰ τὴν ἀξιοπιστίαν σου, ἡ ἀπόφασίς σου νὰ ὁρκισθῇς καὶ ἔτσι δὲν μοῦ χρειάζονται περισσότερα.

Ἀφοῦ εἶπεν αὐτοὺς τοὺς λόγους τὸν ἐπαρακαλοῦσε νὰ μὴ ὁρκισθῇ. Ὁ Κυριακὸς ὅμως δὲν παρεδέχετο τίποτε· ἀπ' ἐναντίας ἐνόμιζεν ὅτι δὲν θὰ ἔκανε τίποτα, ἂν δὲν ἔπαιρνε πραγματικὰ τὸν ψεύτικον ὅρκον.

---

* Ἡ Φαρὰν αὕτη ἦτο χωρίον κείμενον πλησίον τῆς Λαύρας τοῦ Ἁγίου Εὐθυμίου, ὑπάρχει δὲ καὶ ἑτέρα Φαρὰν περὶ ἧς βλέπε ἐν τῇ ὑποσημειώσει τῆς σελίδος 235 τοῦ ἀνὰ χεῖρας Β' τόμου.

Ὅταν λοιπὸν εἰσῆλθεν εἰς τὸ Μοναστήριον ἐτόλμησεν ἐμπρὸς εἰς τὴν λειψανοθήκην τοῦ Ἁγίου τὴν φοβερὰν ἐκείνην πρᾶξιν· ἐπραγματοποίησε, δηλαδή, τὴν ψευδορκίαν. Ὁ μὲν ἄφρων, ὡς πραγματικὰ ἀνόητος, εἶπεν εἰς τὴν καρδίαν του ὅτι δὲν ὑπάρχει Θεός*· ὁ Κυριακὸς ὅμως ἐξεπέρασε καὶ τὸν ἄφρονα διότι, ἐπειδὴ ἐξέχασεν ὅτι ὑπάρχει Θεός, ἐνόμιζεν ὅτι καὶ ὁ Θεὸς θὰ τὸν λησμονήσῃ. Μετὰ τὸ ἀνοσιούργημα αὐτὸ ἐπέστρεψεν εἰς τὸ σπίτι του, μὲ τὴν ἀνόητον εὐχαρίστησιν ἀπὸ τὸ κέρδος τῆς ψευδορκίας ὡσὰν νὰ ἦτο ὀπαδὸς τοῦ ψευδοῦς θεοῦ Ἑρμοῦ.

Τὴν ἐπομένην ὅμως, καθὼς ἐκάθητο ξυπνητὸς εἰς τὸ κρεββάτι του κατὰ τὰ μεσάνυκτα, τοῦ ἐφάνη ὅτι ἤνοιξε μόνη της ἡ θύρα τοῦ σπιτιοῦ του καὶ ὅτι ἐμπῆκε μέσα κάποιος Μοναχός, τὸν ὁποῖον συνώδευαν πέντε νέοι. Ὁ Μοναχὸς αὐτὸς ἐκρατοῦσε ῥαβδὶ εἰς τὸ δεξί του χέρι, ἐνῷ δὲ τὸ σπίτι ἔλαμψεν ἀπὸ πολὺ φῶς, ἐκοίταξεν ἄγρια τὸν Κυριακὸν καὶ τοῦ εἶπε μὲ αὐστηρὰν φωνήν:

— Τί εἶναι αὐτό, ποὺ ἐτόλμησες, ἄθλιε, νὰ κάμῃς εἰς τὸ λείψανον τοῦ Εὐθυμίου;

Ὁ Κυριακὸς ἔμενε τελείως ἄφωνος καὶ δὲν ἠμποροῦσε νὰ εὕρῃ τίποτα νὰ ἀπολογηθῇ. Καὶ τότε ὁ Μοναχὸς ποὺ ἐφάνηκε, τὸν παρέδωσεν ἀμέσως εἰς ἐκείνους ποὺ τὸν συνώδευαν μὲ τὴν διαταγὴν νὰ τὸν τιμωρήσουν. Τότε οἱ τέσσαρες τὸν ἐξήπλωσαν κάτω· εἰς τὸν πέμπτον (ὁ Μοναχὸς) ἔδωσε μίαν ῥάβδον καὶ διέταξε νὰ τὸν κτυπᾷ δυνατά, διὰ νὰ μάθῃ, εἰς τὸ μέλλον, οὔτε τὸν Θεὸν νὰ καταφρονῇ, οὔτε νὰ ὁρκίζεται ψευδῶς, οὔτε νὰ ἁρπάζῃ τὰ ξένα πράγματα.

Ἀφοῦ ὁ Κυριακὸς ἐδάρη ἀρκετά, ἐκράτησεν ὁ Μοναχὸς ἀπὸ τὸ χέρι τὸν νέον διὰ νὰ σταματήσῃ τὸν ξυλοδαρμὸν καὶ ἔπιασεν ἀπὸ τὰ μαλλιὰ τὸν Κυριακόν.

— Δὲν ἐκατάλαβες ἀκόμη, ἀσεβέστατε —τοῦ λέγει— ὅτι ὑπάρχει Θεός, ὁ ὁποῖος τιμωρεῖ αὐτὰς τὰς κακὰς πράξεις ἐπάνω εἰς τὴν γῆν; Νὰ αὐτὴν τὴν νύκτα ζητοῦν τὴν ψυχήν σου· αὐτὰ δὲ ποὺ ἀφήρεσες ἀπὸ τὸν πτωχὸν τόσον κακῶς εἰς ποῖον θὰ μείνουν; (Λουκ. ιϐ΄, 20). Διὰ τοῦτο σοῦ ἐπέβαλα καὶ αὐτὴν τὴν τιμωρίαν, διὰ νὰ ἠμπορέσουν οἱ ἄλλοι νὰ γίνουν καλύτεροι, ὅταν τὴν πληροφορηθοῦν καὶ ἔτσι νὰ προφυλαχθοῦν ἀπὸ τὸν κίνδυνον τῆς ἐπιορκίας· ἂν καὶ εἶναι προτιμότερον νὰ μὴ ὁρκίζωνται καθόλου, ἔστω καὶ ἂν πρόκειται νὰ εἴπουν τὴν ἀλήθειαν.

Ἀφοῦ ἐφοβέρισεν ἀρκετὰ τὸν Κυριακὸν καὶ τοῦ εἶπεν αὐτὰ τὰ λόγια, ἀμέσως ἔγινεν ἄφαντος ὁ Μοναχὸς μὲ τὴν συνοδείαν του. Ἐκεῖνος

* Ἐνταῦθα ὁ ἱερὸς συγγραφεὺς ὑπαινίσσεται τὸ Δαβιτικὸν λόγιον «εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός» καὶ παραλληλίζει τὸν Κυριακὸν πρὸς τὸν ἄφρονα. Ὅπως δηλαδὴ ἐκεῖνος ἀπὸ τὴν ἀφροσύνην του εἶπεν ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι δὲν ὑπάρχει Θεός, οὕτω καὶ ὁ Κυριακὸς λησμονήσας τὸν δικαιοκρίτην Θεὸν ἐψευδόρκησεν ἐνώπιον τοῦ λειψάνου τοῦ ἁγίου Εὐθυμίου. Ἡ δικαιοσύνη ὅμως τοῦ Θεοῦ δὲν ἐβράδυνε νὰ τιμωρήσῃ τὸν ψεύδορκον καὶ ἄδικον, ὡς βλέπομεν ἐν συνεχείᾳ.

τότε ταραγμένος ἀπὸ τὸ ὅραμα καὶ μὴ δυνάμενος νὰ ὑποφέρῃ τοὺς πόνους ἀπὸ τοὺς ξυλοδαρμούς, ἤρχισε νὰ φωνάζῃ ἀμέσως δυνατὰ καὶ νὰ καλῇ κοντά του τοὺς συγγενεῖς του. Μόλις ἔτρεξαν κοντά του, τοὺς ἔδειχνε τὰ κτυπήματα καὶ ἐξωμολογεῖτο μὲ συντριβὴν τὴν ψευδορκίαν καὶ ἔκλαιεν ἐνώπιόν των διὰ τὴν συμφορὰν ποὺ τὸν εὗρε. Κατόπιν τοὺς ἐπαρακαλοῦσε νὰ τὸν μεταφέρουν ἐμπρὸς εἰς τὸ λείψανον τοῦ Ἁγίου, διότι — καθὼς ἔλεγεν — Αὐτός, ποὺ τὸν ἐτιμώρησε τόσον πολὺ (ὁ Ἅγιος) μὲ τοὺς ἀφορήτους αὐτοὺς πόνους, γρήγορα θὰ ἠμποροῦσε καὶ νὰ τὸν θεραπεύσῃ, ἐπειδὴ ἦτο μαθητὴς Ἐκείνου, ποὺ ἐκ φύσεως προσφέρει καλωσύνην παρὰ τιμωρίαν· καὶ ἐπειδὴ οἱ ἰατροὶ καὶ ἡ τέχνη των δὲν φθάνουν νὰ θεραπεύσουν τόσον φρικτοὺς πόνους.

Οἱ συγγενεῖς του, ὅταν ἤκουσαν αὐτὰ καὶ εἶδαν κατόπιν πόσον βαρειὰ πληγωμένος ἦτο, ἐφοβήθησαν ἀρκετὰ καὶ αὐτοί. Ἀπὸ σεβασμὸν δὲ πρὸς τὴν ἐπιθυμίαν τοῦ ἀνδρός, σοφίζονται νὰ τὸν μεταφέρουν μὲ τὸν ἑξῆς τρόπον: γεμίζουν δύο σακκιὰ μὲ ἄχυρα, τὰ ὁποῖα ἔδεσαν καλὰ εἰς τὰ πλάγια τοῦ σαμαριοῦ ἑνὸς ὄνου· κατόπιν τὸν τοποθετοῦν καὶ αὐτὸν εἰς τὸ μέσον καὶ ἔτσι τὸν μεταφέρουν εἰς τὸ Μοναστήριον καὶ τὸν ὁδηγοῦν ἐμπρὸς εἰς τὸ ἱερὸν Λείψανον.

Ἐκεῖνοι λοιπόν, ποὺ μετέφεραν τὸν Κυριακόν, μᾶς διηγήθησαν ὅλα ὅσα τοῦ συνέβησαν καὶ μᾶς ἔδειξαν τὰς πληγάς, ποὺ εἶχεν (ἀπὸ τὸν ξυλοδαρμὸν) εἰς τὴν πλάτην. Τόσον δὲ πολὺ ἐφόβισαν, μὲ αὐτά, τοὺς ἀδελφούς, ὥστε, ἀπὸ τότε, νὰ μὴ ἀφήνουν κανένα, οὔτε ὁ ἴδιος νὰ ὁρκίζεται, οὔτε νὰ ἐπιβάλλουν εἰς ἄλλους ὅρκον. Κατόπιν ἔμειναν μαζί μας ὁλόκληρον τὴν ἡμέραν· ἐπειδὴ ὅμως ἔβλεπαν ὅτι ὁ Κυριακὸς ἔχανε σιγὰ-σιγὰ καὶ αὐτὰς πλέον τὰς ἐλαχίστας ἐλπίδας νὰ ζήσῃ καὶ ὅτι ἐπλησίαζε πρὸς τὸν θάνατον, ἤδη εἶχεν ἀνοίξει ἡ κοιλιά του καὶ τὸ στόμα του καὶ οὔτε δι' ὀλίγον δὲν ἠμποροῦσε νὰ συγκρατήσῃ τὸν ἐμετόν, τὸν παίρνουν καὶ τὸν μεταφέρουν πάλιν εἰς τὸ σπίτι του, ὅπου μόλις τὴν νύκτα ἐκείνην ἔζησε καὶ τὴν ἑπομένην ἀπέθανεν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ ἀββᾶς Ζωσιμᾶς ὅτι παραγενομένῳ μοι εἰς τὴν Ἁγίαν Πόλιν, προσῆλθέ τις τῶν φιλοχρίστων καὶ λέγει μοι· Ἀββᾶ, ἀδελφὸν ἔχω σύνοικον, καὶ ἐξ ἐπηρείας τοῦ πονηροῦ ἔσχομέν τινα διαφορὰν πρὸς ἀλλήλους· εἶτα ἐμοῦ μετανοοῦντος, ἐκεῖνος οὐ θέλει διαλλαγῆναί μοι· παρακλήθητι οὖν διὰ τὸν Κύριον, καὶ λάλησον αὐτῷ τὰ πρὸς εἰρήνην. Ἐγὼ οὖν, ὡς ἤκουσα, εὐθὺς καλέσας τὸν ἀδελφὸν ἐλάλησα αὐτῷ τὰ εἰς ἀγάπην συντείνοντα καὶ ὁμόνοιαν. Ὁ δὲ τὰ μὲν πρῶτα ἔδοξε πείθεσθαι, ἔπειτα δὲ διανοησάμενος λέγει μοι· οὐ δύναμαι διαλλαγῆναι αὐτῷ, ἐπειδὴ ὤμοσα εἰς τὸν Σταυρὸν τοῦ λοιποῦ ἀδιάλλακτα ἔχειν τὰ πρὸς αὐτόν.

Ἐγὼ δὲ ὑπομειδιάσας εἶπον αὐτῷ· ὁ ὅρκος σου, ἀδελφέ, τοιαύτην δύναμιν ἔχει, οἷον ἐὰν εἴπας, ὅτι μὰ τὸν τίμιόν σου Σταυρόν, Χριστέ, οὐ μὴ φυλάξω τὰς ἐντολάς, ἀλλὰ ποιήσω τὸ θέλημα τοῦ ἐχθροῦ σου τοῦ διαβόλου. Οὐ μόνον οὖν ἀδελφέ, οὐκ ὀφείλεις στῆσαι τὸ κακῶς ὁρκισθέν, ἀλλὰ καὶ μετανοῆσαι καὶ θλιβῆναι ἐπ' αὐτῷ

καὶ καταγνῶναι τῆς προπετείας σου, ἵνα μηκέτι συναρπαγῇς ὑπ' αὐτῆς. Καὶ γὰρ Ἡρώδης εἰ μετενόησε καὶ μὴ ἔστησε τὸν ὅρκον αὐτοῦ, οὐκ ἂν τὸν δεινότατον ἐκεῖνον φόνον εἰργάσατο, ἀποκεφαλίσας τὸν τοῦ Χριστοῦ Πρόδρομον. Κατανυγεὶς οὖν ἐπὶ τούτῳ ὁ ἀδελφός, μετενόησε τῷ ἀδελφῷ αὐτοῦ καὶ ἐμοί, καὶ οὕτω χάριτι Θεοῦ εἰς ἀγάπην πάλιν συνήφθησαν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ζωσιμᾶς διηγήθη τὴν ἑξῆς ἱστορίαν: ὅταν ἐπῆγα, κάποτε, εἰς τὴν Ἁγίαν Πόλιν,* μὲ ἐπεσκέφθη κάποιος φιλόχριστος καὶ μοῦ λέγει· συγκατοικῶ μὲ κάποιον ἀδελφὸν καί, ἀπὸ διαβολικὴν ἐνέργειαν, ἐδημιουργήθη μεταξύ μας κάποια ἔχθρα· τώρα ὅμως, ἂν καὶ ἐγὼ μετανοῶ, ἐκεῖνος δὲν θέλει νὰ συμφιλιωθοῦμεν. Σὲ παρακαλῶ, λοιπόν, διὰ τὸν Κύριον, ὁμίλησέ του νὰ εἰρηνεύσωμεν. Μόλις ἤκουσα αὐτά, ἐκάλεσα ἀμέσως τὸν ἀδελφὸν καὶ τοῦ εἶπα ὅσα συντελοῦν εἰς τὴν ἀγάπην καὶ τὴν ὁμόνοιαν. Ἐκεῖνος ἐφάνη εἰς τὴν ἀρχὴν ὅτι πείθεται, κατόπιν ὅμως, ἀφοῦ ἐσκέφθη, μοῦ εἶπε: δὲν ἠμπορῶ νὰ συμφιλιωθῶ μαζί του, ἐπειδὴ ὡρκίσθηκα εἰς τὸν Σταυρὸν νὰ μένω εἰς τὸ ἑξῆς ἀσυμφιλίωτος μαζί του.

Εἰς τὸ ἄκουσμα τοῦ ὅρκου αὐτοῦ, ἐγὼ ἐχαμογέλασα καὶ τοῦ εἶπα· ὁ ὅρκος σου, ἀδελφέ, ἔχει τέτοιαν δύναμιν, ὡσὰν νὰ εἶπες· Χριστέ μου, μὰ τὸν τίμιόν Σου Σταυρόν, δὲ θὰ φυλάξω τὰς ἐντολάς Σου, ἀλλὰ θὰ κάμω τὸ θέλημα τοῦ ἐχθροῦ Σου, τοῦ διαβόλου. Ὄχι μόνον λοιπόν, ἀδελφέ, δὲν ὀφείλεις νὰ κρατήσῃς τὸν ὅρκον, τὸν ὁποῖον κακῶς ἔκαμες, ἀλλὰ νὰ μετανοήσῃς καὶ νὰ λυπηθῇς δι' αὐτὸ καὶ νὰ καταδικάσῃς τὴν προπέτειάν σου, διὰ νὰ μὴ παγιδευθῇς καὶ πάλιν εἰς τὸ ἑξῆς ἀπὸ αὐτήν. Διότι καὶ ὁ Ἡρώδης, ἂν μετενόει καὶ δὲν ἐπέμενεν εἰς τὸν ὅρκον του, δὲν θὰ διέπραττεν ἐκεῖνον τὸν φοβερώτατον φόνον, μὲ τὸ νὰ ἀποκεφαλίσῃ τὸν Πρόδρομον τοῦ Χριστοῦ.

Συνεκινήθη λοιπὸν μὲ αὐτὰ ὁ ἀδελφὸς καὶ ἔβαλε μετάνοιαν εἰς τὸν ἀδελφὸν καὶ εἰς ἐμὲ καὶ ἔτσι, μὲ τὴν χάριν τοῦ Θεοῦ, συνεφιλιώθησαν.



---

* Ἁγία Πόλις λέγεται ἡ Ἱερουσαλήμ.

ΥΠΟΘΕΣΙΣ ΜΘ΄

Ὅτι δεῖ οὐ μόνον μὴ καταλαλεῖν, ἀλλὰ μηδὲ τοῦ καταλαλοῦντος ἀνέχεσθαι, μηδὲ ψιθυρίζειν ἢ γογγύζειν.

Ὄχι μόνον δὲν πρέπει νὰ καταλαλῶμεν ἐναντίον κανενός, ἀλλ' οὔτε καὶ τὸν φιλοκατήγορον νὰ ἀνεχώμεθα, οὔτε καὶ νὰ ψιθυρίζωμεν ἢ νὰ γογγύζωμεν.

Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι βαρὺ λίαν καὶ ὀλέθριόν ἐστιν ἡ καταλαλιά, ἀλλά τινων ἀνθρώπων τροφὴ καὶ ἀνάπαυσις ὑπάρχει· σὺ δέ, ὦ πιστή, μὴ τῶν ἀλλοτρίων κακῶν δοχεῖον γένῃ, ἀπέριττον δὲ τὴν ψυχὴν σεαυτῆς παρασκεύαζε. Ὑποδεξαμένη γὰρ τὴν δυσωδίαν τῶν λόγων τοῦ καταλαλοῦντος, ἀκαθαρσίας κηλῖδας τῇ προσευχῇ σου προξενήσεις διὰ τῶν λογισμῶν, καὶ ἀναιτίως μισήσεις τοὺς ἐντυγχάνοντας. Καταβαφείσης γάρ σου τῆς ἀκοῆς ὑπὸ τῆς τῶν καταλαλούντων ἀπανθρωπίας, ἀγενῶς ἅπασιν ἔσῃ ἐνατενίζουσα καὶ πάντας ἐπίσης ἀκαθάρτους ὑπολαμβάνουσα, καθάπερ καὶ ὀφθαλμὸς χρώματι ἀκριβεστέρῳ προληφθείς, ἀδιάκριτον ἔχει περὶ τὰ δρώμενα τὴν φαντασίαν.

Δεῖ οὖν φυλάττειν τὴν γλῶσσαν καὶ τὴν ἀκοήν, πρὸς τὸ μήτε λέγειν τι τοιοῦτον, μήτε ἀκούειν ἀνέχεσθαι· γέγραπται γάρ· «ἀκοὴν ματαίαν μὴ παραδέξῃ»· καὶ πάλιν· «τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον, τοῦτον ἐξεδίωκον»· καὶ αὖθις ἐν ἑτέρῳ· «ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων»· ἡμεῖς δὲ καὶ τὰ μὴ ἔργα λαλοῦμεν. Δεῖ οὖν μήτε πιστεύειν τοῖς λεγομένοις, μήτε παραδέχεσθαι ὅλως, ἀλλὰ κατὰ τὸν Προφήτην καὶ ποιεῖν καὶ λέγειν· «ἐγὼ δὲ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς».

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν, ὅτι ἡ καταλαλιὰ εἶναι πάρα πολὺ βαρὺ καὶ καταστρεπτικὸν ἐλάττωμα· ἐν τούτοις διὰ μερικοὺς ἀνθρώπους εἶναι ἡ τροφὴ καὶ ἡ ἀνάπαυσίς των. Σύ, ὦ πιστή, νὰ μὴ γίνῃς δο-

χεῖον τῶν ξένων κακῶν, ἀλλὰ νὰ διατηρήσῃς τὴν ψυχήν σου καθαράν· διότι ὅταν δεχθῇς τὰ βρωμερὰ λόγια αὐτοῦ ποὺ καταλαλεῖ (εἰς βάρος τοῦ πλησίον), θὰ προξενήσῃς, μὲ τοὺς λογισμούς, ἀκαθάρτους λεκέδες εἰς τὴν προσευχήν σου καὶ θὰ μισήσῃς, χωρὶς λόγον, αὐτοὺς ποὺ σὲ συναναστρέφονται. Διότι ὅταν ἡ ἀκοή σου θὰ γεμίσῃ ἀπὸ τὴν ἀπανθρωπίαν αὐτῶν ποὺ καταλαλοῦν, τότε ὅλους θὰ τοὺς βλέπῃς μὲ ἐχθρότητα καὶ θὰ τοὺς νομίζῃς ὅλους ὅτι εἶναι τὸ ἴδιον ἀκάθαρτοι· ὅπως καὶ τὰ μάτια μας, ὅταν θαμπωθοῦν ἀπὸ κάποιον ἰσχυρὸν χρωματισμόν, δὲν ἠμποροῦν νὰ ξεχωρίσουν ἔπειτα τὰ βλεπόμενα.

Πρέπει λοιπὸν νὰ προφυλάσσωμεν τὴν γλῶσσαν μας καὶ τὴν ἀκοήν μας, διὰ νὰ μὴ λέγωμεν τίποτε κακὸν (διὰ τὸν πλησίον μας), οὔτε νὰ παραδεχώμεθα νὰ ἀκούωμεν κάτι παρόμοιον. Διότι ἡ Γραφὴ λέγει· «νὰ μὴ δεχθῇς ἄκουσμα μάταιον» (Ἐξοδ. κγ´, 1)· καὶ ἀλλοῦ· «αὐτὸν ποὺ καταλαλεῖ κρυφὰ ἐναντίον τοῦ πλησίον, τὸν ἀπεμάκρυνα ἀπὸ κοντά μου» (Ψαλμ. ρ´, 5)· καὶ πάλιν εἰς ἄλλο σημεῖον ἀναφέρεται· «διὰ νὰ μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων» (Ψαλμ. ιστ´, 4). Ἡμεῖς ὅμως καὶ ὅσα δὲν κάμνουν οἱ ἄνθρωποι λαλοῦμεν. Πρέπει λοιπὸν οὔτε εἰς τὰ λεγόμενα νὰ πιστεύωμεν, οὔτε νὰ τὰ παραδεχώμεθα καθόλου· ἀλλά, σύμφωνα μὲ τὸν Προφήτην, καὶ νὰ κάμνωμεν καὶ νὰ λέγωμεν· «ἐγὼ ἔγινα ὡσὰν τὸν ἄνθρωπον ποὺ οὔτε ἀκούει οὔτε ἔχει εἰς τὸ στόμα του ἐλέγχους» (Ψαλμ. λζ´, 15).

Β´. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΟΝ τινές αἱρετικοὶ πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ ἤρξαντο καταλαλεῖν τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας, ὅτι παρὰ Πρεσβυτέρων ἔχει τὴν χειροτονίαν· ὁ δὲ ἐφώνησεν εὐθὺς τὸν ἀδελφόν, ὃς ἦν μετ᾽ αὐτοῦ καὶ εἶπεν· παράθες τὴν τράπεζαν καὶ ποίησον αὐτοῖς φαγεῖν, καὶ πέμψον αὐτοὺς μετ᾽ εἰρήνης.

2. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ἐστι καταλαλιὰ καὶ τί ἐστι τὸ κατακρίνειν; Καὶ ἀπεκρίθη ὁ γέρων· ἡ καταλαλιὰ καὶ ἐν τοῖς ἀφανέσι καὶ κρυπτοῖς λέγεται, τὸ δὲ κατακρίνειν ἐπὶ τοῖς φανεροῖς ἁμαρτήμασι· πᾶν οὖν ῥῆμα ὃ μὴ δύναταί τις λαλῆσαι ἔμπροσθεν τοῦ ἀδελφοῦ αὐτοῦ, καταλαλιά ἐστιν· οἷον ἐάν τις εἴπῃ, ὁ δεῖνα ὁ ἀδελφὸς καλός ἐστι καὶ ἀγαθός, ἀσύστροφος δὲ καὶ οὐκ ἔχει διάκρισιν, τοῦτο καταλαλιά ἐστιν. Ἐάν δέ τις εἴπῃ, ὅτι ὁ ἀδελφὸς ἐκεῖνος πραγματευτής ἐστι καὶ φιλάργυρος, τοῦτο ἐστι τὸ κατακρῖναι· κατέκρινε γὰρ αὐτοῦ τὰς πράξεις καὶ ὅλον τὸν βίον αὐτοῦ, τοῦτο δὲ χεῖρόν ἐστι τῆς καταλαλιᾶς.

3. Εἶπε γέρων· ἐὰν καταλαλήσῃς τοῦ ἀδελφοῦ σου καὶ πλήξῃ σε τὸ συνειδός σου, ἄπελθε, βάλε αὐτῷ μετάνοιαν καὶ εἰπέ, ὅτι κατελάλησά σου καὶ ἀσφάλισαι τοῦ λοιποῦ μὴ ἐμπαιχθῆναι· θάνατος γάρ ἐστι τῆς ψυχῆς ἡ καταλαλιά.

4. Εἶπε πάλιν· ἐὰν καταλαλήσῃ ἀδελφὸς ἀδελφοῦ ἔμπροσθέν σου, βλέπε μὴ διατραπῇς αὐτὸν καὶ εἴπῃς· ναί, οὕτως ἐστίν· ἀλλὰ ἢ σιώπα, ἢ εἰπὲ αὐτῷ· ἐγώ, ἀδελφέ, κατακεκριμένος εἰμί, καὶ οὐ δύναμαι κρῖναι ἄλλον· καὶ σώζεις καὶ σεαυτὸν καὶ ἐκεῖνον.

Ἑ ρ μ η ν ε ί α

ΜΕΡΙΚΟΙ αἱρετικοὶ ἐπεσκέφθησαν τὸν Ἀββᾶν Ποιμένα καὶ ἤρχισαν νὰ κατηγοροῦν τὸν Ἀρχιεπίσκοπον Ἀλεξανδρείας, ὅτι, τάχα, ἔχει χειροτονηθῆ ἀπὸ πρεσβυτέρους· ἐκεῖνος τότε ἐφώναξε τὸν ἀδελφὸν ποὺ εἶχε μαζί του καὶ τοῦ εἶπεν· «στρῶσε τραπέζι καὶ δῶσε εἰς αὐτοὺς νὰ φάγουν καὶ κατευόδωσέ τους νὰ φύγουν εἰρηνικά».

2. Κάποιος ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Τί εἶναι καταλαλιὰ καὶ τί εἶναι κατάκρισις;

Ὁ Γέρων ἀπήντησεν:

—Ἡ καταλαλιὰ λέγεται διὰ τὰ κρυφὰ καὶ μὴ φανερούμενα ἁμαρτήματα, ἐνῷ ἡ κατάκρισις ἀναφέρεται εἰς τὰ ὁλοφάνερα ἁμαρτήματα τοῦ ἄλλου. Κάθε λόγος λοιπόν, τὸν ὁποῖον δὲν ἠμπορεῖ κανεὶς νὰ τὸν εἴπῃ ἐμπρὸς εἰς τὸν ἀδελφόν του, εἶναι καταλαλιά· ὅπως, ἂν εἴπῃ κανεὶς ὁ τάδε ἀδελφὸς εἶναι καλὸς καὶ ἐνάρετος ἀλλὰ περίεργος καὶ χωρὶς διάκρισιν, αὐτὸ εἶναι καταλαλιά. Ἂν ὅμως κάποιος εἴπῃ ὅτι ἐκεῖνος ὁ ἀδελφὸς εἶναι πολυάσχολος καὶ φιλάργυρος, αὐτὸ εἶναι κατάκρισις, διότι κατέκρινε τὰς πράξεις του καὶ ὁλόκληρον τὴν ζωήν του· αὐτὸ δὲ εἶναι χειρότερον ἀπὸ τὴν καταλαλιάν.

3. Ἕνας Γέρων εἶπεν· ἂν καταλαλήσῃς τὸν ἀδελφόν σου καὶ σὲ ἐλέγξῃ ἡ συνείδησίς σου, πήγαινε ἀμέσως, βάλε του μετάνοιαν καὶ εἰπέ του· συγχώρεσέ με διότι σὲ κατηγόρησα. Καὶ πρόσεχε εἰς τὸ ἑξῆς νὰ μὴ ξεγελασθῇς· διότι ἡ καταλαλιὰ εἶναι θάνατος τῆς ψυχῆς.

4. Εἶπε πάλιν ὁ ἴδιος· ἂν ἕνας ἀδελφὸς κατηγορήσῃ ἐμπρός σου κάποιον ἄλλον, πρόσεξε νὰ μὴ τὸν ἐντραπῇς καὶ τοῦ εἴπῃς· ναί, ἔτσι εἶναι. Ἢ νὰ σιωπήσῃς, ἢ νὰ τοῦ εἴπῃς· ἐγώ, ἀδελφέ μου, εἶμαι ἁμαρτωλὸς καὶ δὲν ἠμπορῶ νὰ κρίνω ἄλλον. Ἔτσι προφυλάσσεις καὶ τὸν ἑαυτόν σου καὶ ἐκεῖνον.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΦΥΓΩΜΕΝ, ἀδελφοί, τὸν ψιθυρισμόν, ἵνα μὴ στερήσῃ ἡμᾶς τοῦ παραδείσου καὶ παραπέμψῃ ἡμᾶς εἰς τὴν γέενναν τοῦ πυρός· ψιθυρίσας γὰρ ὁ ὄφις ἐξέβαλε τὴν Εὔαν τοῦ παραδείσου.

Ἑ ρ μ η ν ε ί α

ΜΑΚΡΥΑ, ἀδελφοί, ἀπὸ τὸν ψιθυρισμὸν διὰ νὰ μὴ μᾶς στερήσῃ τὸν Παράδεισον καὶ μᾶς ἀποστείλῃ εἰς τὴν γέενναν τοῦ πυρός· διότι μὲ τὸ νὰ ψιθυρίσῃ ὁ ὄφις, ἔβγαλεν ἔξω ἀπὸ τὸν Παράδεισον τὴν Εὔαν.

Δ'. Ἠσαΐου τοῦ Ἀναχωρητοῦ

ΕΑΝ τις ἀδελφὸς βιασθῇ ἐπὶ τοῦ καταλαλῆσαι τοῦ ἀδελφοῦ αὐτοῦ, μὴ αἰσχυνθῇς καὶ πεισθῇς αὐτῷ καὶ ἁμαρτήσῃς εἰς Θεόν, ἀλλ' εἰπὲ αὐτῷ ἐν ταπεινώσει· συγχώρησόν μοι, ἀδελφέ, ταλαίπωρός εἰμι· καὶ ταῦτα ἃ λέγεις ἐμά ἐστι καὶ οὐ δύ-

γαμαι αὐτὰ βαστάσαι. Εἰ δὲ πολεμῇ σὺ εἰς τὸ καταλαλῆσαι τοῦ ἀδελφοῦ σου, μνήσθητι ὅτι, ἐὰν ἀκούσῃ, λυπηθῆναι ἔχει, καὶ διατρέπει ἀπαντῆσαι αὐτῷ καὶ ἀναπαύῃ.

Ἑρμηνεία

ΑΝ κάποιος ἀδελφὸς βιασθῇ νὰ κατηγορήσῃ ἐνώπιόν σου τὸν ἀδελφόν του, σὺ νὰ μὴ πεισθῇς εἰς αὐτόν, ἀπὸ ἐντροπήν, καὶ ἁμαρτήσῃς εἰς τὸν Θεόν, ἀλλὰ νὰ τοῦ εἴπῃς μὲ ταπείνωσιν· συγχώρεσέ με, ἀδελφέ, εἶμαι ἕνας ταλαίπωρος· καὶ αὐτὰ ποὺ λέγεις ταιριάζουν εἰς ἐμένα καὶ δὲν ἠμπορῶ νὰ τὰ σηκώσω. Ἄν, πάλιν, σὺ πολεμῆσαι (ἀπὸ τὸν σατανᾶν) νὰ καταλαλήσῃς ἐναντίον τοῦ ἀδελφοῦ σου, σκέψου ὅτι ἂν τὸ πληροφορηθῇ, θὰ λυπηθῇ· ἔτσι συγκρατεῖσαι ἀπὸ τὸ νὰ ἀπαντήσῃς καὶ ἡσυχάζεις.

Ε'. Ἰσαὰκ τοῦ Σύρου

ΕΠΙΜΕΙΝΟΝ ἀεὶ εὐλογῶν τῷ στόματι, καὶ οὐ μὴ λοιδορηθῇς. Ἡ γὰρ λοιδορία, λοιδορίαν γεννᾷ, καὶ ἡ εὐλογία, εὐλογίαν. Ἐν ἡμέρᾳ ὅταν ἀνοίξῃς τὸ στόμα σου καὶ λαλήσῃς κατά τινος, λογίζου σαυτὸν καὶ νεκρὸν καὶ μάταιον εἶναι ἐν πᾶσι τοῖς ἔργοις σου, οἷς ποιεῖς, κἂν δοκῇς ὅτι ἐν εὐθύτητι καρδίας ἐλάλησας πρὸς οἰκοδομήν. Οὐ γὰρ ἀνάγκη καταλύσαι τινὰ τὴν ἑαυτοῦ οἰκίαν ἐπὶ τὸ οἰκοδομῆσαι τὴν τοῦ ἑτέρου· εἰ δέ τις ἔμπροσθέν σου κινηθῇ καταλαλῆσαι τοῦ ἀδελφοῦ αὐτοῦ, στύγνασόν σου τὸ πρόσωπον καὶ τότε εὑρίσκῃ τῷ Θεῷ κἀκείνῳ παραφυλαττόμενος.

Οὐκ ἰσχύεις φράξαι τὸ στόμα τοῦ καταλαλοῦντος κατὰ τοῦ πλησίον αὐτοῦ; φύλαξον κἂν σαυτὸν μὴ κοινωνῆσαι αὐτῷ. Γνῶθι οὖν ὅτι ἐὰν ἐξέλθῃ ἐκ σοῦ πῦρ καὶ καύσῃ τοὺς ἄλλους, τὰς ψυχὰς τὰς καιομένας ἐν τῷ πυρί σου ὁ Θεὸς ἐκ τῶν σῶν χειρῶν ἐκζητήσει. Εἰ δὲ σὺ οὐ βάλλῃς τὸ πῦρ, ἀλλὰ συνευδοκεῖς τῷ ῥίπτοντι καὶ ἐν τούτῳ ἀρέσκῃ, κοινωνὸς αὐτοῦ εἶ ἐν τῇ κρίσει.

Ἑρμηνεία

ΝΑ ἐπιμένῃς πάντοτε νὰ λέγῃ καλὰ λόγια τὸ στόμα σου καὶ νὰ εἶσαι βέβαιος πὼς κανεὶς δὲν θὰ σὲ ὑβρίσῃ. Διότι ἡ ὕβρις γεννᾷ ὕβριν καὶ ἡ εὐλογία εὐλογίαν. Τὴν ἡμέραν ποὺ θὰ ἀνοίξῃς τὸ στόμα σου καὶ θὰ λαλήσῃς ἐναντίον κάποιου, νὰ σκεφθῇς πὼς εἶσαι νεκρὸς καὶ πὼς πηγαίνουν χαμένα ὅλα τὰ ἔργα ποὺ κάνεις, ἔστω καὶ ἂν ἐλάλησες μὲ καθαρὰν καρδίαν διὰ νὰ οἰκοδομήσῃς πνευματικά· διότι δὲν εἶναι ἀνάγκη νὰ γκρεμίσῃ κανεὶς τὸ σπίτι του διὰ νὰ κτίσῃ τὸ σπίτι τοῦ ἄλλου. Ἂν δὲ κάποιος τρέξῃ ἐμπρός σου διὰ νὰ κατηγορήσῃ τὸν ἀδελφόν του, δεῖξε δυσαρέσκειαν καὶ δυσφορίαν εἰς τὸ πρόσωπόν σου καὶ τότε θὰ προφυλαχθῇς καὶ ἀπὸ ἐκεῖνον καὶ ὁ Θεὸς θὰ σὲ σκεπάσῃ.

Δὲν ἠμπορεῖς νὰ κλείσῃς τὸ στόμα αὐτοῦ ποὺ κατηγορεῖ τὸν πλησίον του; Προφυλάξου, τοὐλάχιστον, νὰ μὴ συμφωνήσῃς μαζί του. Μάθε ὅτι ἂν ἐξέλθῃ φωτιὰ ἀπὸ μέσα σου καὶ καύσῃ τοὺς ἄλλους, ὁ Θεὸς θὰ ζητήσῃ ἀπὸ σὲ εὐθύνην διὰ τὰς ψυχὰς αὐτῶν ποὺ ἐκάησαν ἀπὸ τὴν φωτιάν σου.


Ὁ Ἅγιος Ἰσαὰκ ὁ Σύρος
Ἡ ἐν Θεῷ χαρὰ ἰσχυροτέρα ἐστὶ τῆς ἐνταῦθα ζωῆς.
Ράλλης Κοψίδης 1969

Ἂν πάλιν δὲν βάλῃς σὺ τὴν φωτιὰν ἀλλὰ συμφωνῇς μὲ ἐκεῖνον ποὺ τὴν ἥναψε καὶ εὐχαριστεῖσαι εἰς αὐτό, τότε κατὰ τὴν Δευτέραν Παρουσίαν θὰ κριθῇς ὡς συνένοχός του.

ΣΤ'. Τοῦ Ἁγίου Μαξίμου

ΜΗ δώῃς τὴν ἀκοήν σου τῇ γλώττῃ τοῦ καταλάλου, μηδὲ τὴν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως ἀκούων κατὰ τοῦ πέλας, ἵνα μὴ ἐκπέσῃς τῆς θείας ἀγάπης καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς. Μὴ καταδέχου κατὰ τοῦ πατρός σου λοιδορίαν, μηδὲ προθυμοποιήσῃς τὸν ἀτιμάζοντα αὐτόν, ἵνα μὴ ὀργισθῇ Κύριος ἐπὶ τοῖς ἔργοις σου καὶ ἐξολοθρεύσῃ σε ἐκ γῆς ζώντων. Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμάρτῃς, καὶ σαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων κἀκεῖνον φλυαρεῖν κατὰ τοῦ πλησίον οὐκ ἀνακόπτων. Ὁ ἀπαθῶς λέγων ἁμάρτημα ἀδελφοῦ, κατὰ δύο αἰτίας λέγει· ἢ ἵνα αὐτὸν διορθώσηται, ἢ ἄλλον ὠφελήσῃ· εἰ δὲ ἐκτὸς τούτων λέγει, εἴτε αὐτῷ, εἴτε ἄλλῳ ὀνειδίζων ἢ διασύρων αὐτὸ λέγει, καὶ οὐ μὴ ἐκφύγῃ τὴν θείαν ἐγκατάλειψιν, ἀλλ' ἢ τῷ αὐτῷ ἢ ἄλλῳ πταίσματι πάντως περιπεσεῖται, καὶ ὑπὸ ἑτέρων ἐλεγχθεὶς καὶ ὀνειδισθεὶς καταισχυνθήσεται.

Ὅταν ἴδῃς τινὰς ὑπερηφάνους μὴ φέροντας ἐπαινεῖσθαι τοὺς κρείττονας ἀκήρυκτόν τε ποιεῖν μὴ χαυνωμένους τὴν λεγομένην ἀλήθειαν, μυρίοις αὐτὴν ἀπείργοντας πειρασμοῖς καὶ ἀθεμίτοις διαβολαῖς, νόει μοι πάλιν ὑπὸ τούτων σταυροῦσθαι τὸν Κύριον καὶ θάπτεσθαι, καὶ στρατιώταις καὶ σφραγῖσι φυλάττεσθαι, οὓς ἑαυτοῖς περιτρέπων ὁ λόγος ἀνίσταται, πλέον τῷ πολεμεῖσθαι διαφαινόμενος, ὡς πρὸς ἀπάθειαν διὰ τῶν παθημάτων στομούμενος· πάντων γάρ ἐστιν ἰσχυρότερος ὡς ἀλήθεια καὶ ὢν καὶ καλούμενος.

Ἑρμηνεία

ΝΑ μὴ δώσῃς προσοχὴν εἰς τὴν γλῶσσαν τοῦ καταλάλου οὔτε νὰ χρησιμοποιήσῃς τὴν γλῶσσαν σου διὰ νὰ ἱκανοποιήσῃς τὴν ἀκοὴν τοῦ φιλοπεριέργου, μὲ τὸ νὰ ἀκούῃς εὐχαρίστως κατηγορίας ἐναντίον τοῦ γείτονος· διαφορετικὰ θὰ ξεπέσῃς ἀπὸ τὴν θεϊκὴν ἀγάπην καὶ θὰ χάσῃς τὴν αἰώνιον ζωήν. Νὰ μὴ δέχεσαι ὕβριν κατὰ τοῦ πνευματικοῦ σου Πατρός, οὔτε νὰ δίδῃς θάρρος εἰς αὐτὸν ποὺ τὸν ἀτιμάζει, διὰ νὰ μὴ ὀργισθῇ ὁ Κύριος ἀπὸ τὰ ἔργα σου καὶ σὲ ἐξολοθρεύσῃ ἀπὸ τὴν γῆν τῶν ζώντων. Νὰ κλείνῃς τὸ στόμα ἐκείνου ποὺ κατηγορεῖ ἄλλους ἐμπρός σου, διὰ νὰ μὴ ἁμαρτήσῃς διπλὰ μαζί του· θὰ συνηθίσῃς δηλαδὴ καὶ ὁ ἴδιος εἰς τὸ ὀλέθριον αὐτὸ πάθος καὶ δὲν θὰ ἐμποδίζῃς καὶ ἐκεῖνον ἀπὸ τοῦ νὰ φλυαρῇ ἐναντίον τοῦ πλησίον.

Ἐκεῖνος ποὺ λέγει μὲ ἀπάθειαν κάποιο ἁμάρτημα τοῦ ἀδελφοῦ του, παρακινεῖται ἀπὸ δύο αἰτίας· ἢ τὸ κάνει διὰ νὰ τὸν διορθώσῃ, ἢ διὰ νὰ ὠφελήσῃ κάποιον ἄλλον. Ἐκτὸς ἀπὸ αὐτὰς τὰς περιπτώσεις, τότε λέγει τὸ ἁμάρτημα τοῦ ἀδελφοῦ, εἴτε εἰς τὸν ἴδιον εἴτε εἰς κάποιον ἄλλον, διὰ νὰ τὸν προσβάλῃ, ἢ διὰ νὰ τὸν διαπομπεύσῃ· ἔτσι δὲν θὰ ἀποφύγῃ

τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ καὶ θὰ περιπέση ὁπωσδήποτε εἰς τὸ ἴδιον ἢ εἰς ἄλλο πταῖσμα καὶ ἀφοῦ θὰ ἐλεγχθῇ καὶ θὰ χλευασθῇ ἀπὸ ἄλλους θὰ δοκιμάση καὶ αὐτὸς ἐντροπήν.

Ὅταν ἴδῃς ὑπερηφάνους ποὺ δὲν ἀντέχουν νὰ ἐπαινοῦνται οἱ καλύτεροι ἀπὸ αὐτούς, νὰ ἐμποδίζουν μὲ ἐπιμονὴν νὰ διακηρυχθῇ ἡ ἀλήθεια καὶ νὰ τὴν περιορίζουν μὲ πολλοὺς πειρασμοὺς καὶ μὲ ἀδίκους συκοφαντίας, τότε νὰ σκέπτεσαι ὅτι ὁ Κύριος ξανασταυρώνεται πάλιν ἀπ' αὐτοὺς καὶ θάπτεται καὶ φυλάσσεται μὲ στρατιώτας καὶ σφραγῖδας. Ἀλλ' ὅμως ἡ ἀλήθεια θριαμβεύει, ἀφοῦ ἀνατρέψῃ ὅλα αὐτὰ τὰ ἐμπόδια, διότι λάμπει περισσότερον μὲ τὴν πολεμικὴν ποὺ τῆς γίνεται καὶ διότι ἡ πολεμικὴ αὐτὴ τὴν κάμνει περισσότερον ἰσχυρὰν ὥστε νὰ μὴ παθαίνῃ τίποτε· ἀπὸ ὅλα εἶναι περισσότερον δυνατὴ ἐπειδὴ εἶναι καὶ λέγεται ἀλήθεια.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ Γέρων· ὥς περ ὁ δεχόμενος πῦρ ἐν τῷ κόλπῳ, ὑπ' αὐτοῦ καταφλέγεται, οὕτω καὶ ὁ τὰς τῶν πολλῶν συντυχίας δεχόμενος, τὴν καταλαλιὰν οὐκ ἐκφεύξεται.

2. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· καλὸν φαγεῖν κρέα καὶ πιεῖν οἶνον, καὶ μὴ φαγεῖν ἐν καταλαλιαῖς σάρκας ἀδελφῶν.

3. Εἶπεν ὁ αὐτός· ψιθυρίσας ὁ ὄφις τὴν Εὔαν τοῦ Παραδείσου ἐξέωσε· τούτου οὖν ὅμοιός ἐστι καὶ ὁ καταλαλῶν τοῦ πλησίον· ἀπολλύει γὰρ σὺν τῇ ἑαυτοῦ καὶ τὴν ψυχὴν τοῦ ἀκούοντος.

4. Εἶπε πάλιν· ῥῆμα πονηρὸν μὴ προφερέτω τὸ στόμα σου· ἄμπελος γὰρ ἀκάνθας οὐ φέρει.

5. Ἠρωτήθη γέρων· τί ἐστι καταλαλιά; Καὶ ἀπεκρίθη· τὸ μὴ γνῶναι τὸν Θεὸν ἢ τὴν δόξαν αὐτοῦ, καὶ ὁ φθόνος ὁ πρὸς τὸν πλησίον.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπεν· ὅπως ἐκεῖνος ποὺ δέχεται εἰς τὸν κόλπον του φωτιὰν κατακαίεται ἀπὸ αὐτήν, ἔτσι καὶ ἐκεῖνος ποὺ συναναστρέφεται μὲ πολλούς, δὲν θὰ ἀποφύγῃ τὴν καταλαλιάν.

2. Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν· εἶναι προτιμότερον νὰ φάγῃς κρέατα καὶ νὰ πιῇς κρασί, παρὰ νὰ φάγῃς. μὲ τὴν καταλαλιάν. τὰς σάρκας τῶν ἀδελφῶν.

3. Εἶπεν ὁ ἴδιος Ἀββᾶς· Μὲ τὸ νὰ ψιθυρίσῃ ὁ ὄφις εἰς τὴν Εὔαν, τὴν ἔδιωξε ἀπὸ τὸν Παράδεισον. Μὲ αὐτὸν λοιπὸν τὸν ὄφιν ὁμοιάζει καὶ ἐκεῖνος, ποὺ καταλαλεῖ ἐναντίον τοῦ πλησίον του· διότι παρασύρει εἰς τὴν ἀπώλειαν μαζὶ μὲ τὸν ἑαυτόν του καὶ τὴν ψυχὴν ἐκείνου ποὺ τὸν ἀκούει.

4. Εἶπε, πάλιν, ὁ ἴδιος· τὸ στόμα σου ἂς μὴ προφέρῃ κακὸν λόγον· διότι τὸ ἀμπέλι δὲν βγάζει ἀγκάθια (Ματθ. ζ', 16).

5. Ἠρώτησαν ἕνα Γέροντα· τί εἶναι καταλαλιά; Καὶ ἐκεῖνος ἀπη-

τησε: Τὸ νὰ μὴ σέβεται κανεὶς τὸν Θεὸν ἢ τὴν δόξαν Του καὶ ὁ φθόνος διὰ τὸν πλησίον.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, μὴ ἀνέχου τοῦ καταλαλοῦντος, κἂν ἀληθῆ λέγῃ, ἵνα μὴ τοῦ αὐτοῦ ὀλέθρου κοινωνήσῃς αὐτῷ. Καὶ γὰρ ἐὰν συμβῇ τινα ἀληθῶς λέγειν κακὸν τὸν ἡμαρτηκότα βασιλέα, οὐ φέρει τις τῶν παρισταμένων ἀκροᾶσθαι τῶν λεγομένων κατὰ τοῦ βασιλέως, εἰ δὲ ἀνάσχοιτο στῆναι καὶ ἀκοῦσαι, μία τιμωρία ὁμοίως κατ' ἀμφοτέρων ἐστὶν ἐκφερομένη· καὶ ὁ μὲν φονεύεται διὰ τὴν γλῶτταν, ὁ δὲ διὰ τὴν ἀκοήν. Ἐξηγεῖταί τινα ὁ ψεύστης, καὶ κλίνεις τὸ οὖς σου πρὸς αὐτόν, καὶ τὸν θάνατον, ὃν ἐκφέρει διὰ τοῦ στόματος, ὑποδέχεται ὁ κόλπος τῆς σῆς ἀκοῆς, καὶ τὴν πικρὰν ζύμην τοῦ ψεύδους λαβών, ἐφύρασας αὐτὴν ἐν σεαυτῷ.

Πόθεν ὁ θάνατος εἴσοδον ἔσχεν ἐν τῷ ἀνθρώπῳ; Οὐχὶ δι' ἀκοῆς, δι' ἧς ἡ Εὔα τὰ τοῦ ὄφεως ἐδέξατο ῥήματα; Διὰ ταύτης ἔκτοτε καὶ μέχρι τοῦ νῦν ὁ ὄλεθρος εἰσέρχεσθαι πέφυκε. Δύναται γὰρ ὁ διάβολος ἀναιρεῖν τὸν σιγῶντα διὰ τοῦ λαλοῦντος, καὶ ὃν οὐ δύναται ἀναιρῆσαι διὰ τοῦ στόματος, ἀναιρεῖ διὰ τοῦ ὠτός· τῶν δαιμόνων λεγόντων τὴν ἀλήθειαν, οὐκ ἠνέσχετο ὁ Σωτὴρ ἀκοῦσαι.

Καὶ οἱ Ἀπόστολοι δὲ οὐ κατεδέξαντο ἀκοῦσαι τοῦ ἐγκωμιάζοντος αὐτοὺς δαίμονος, ἵνα μὴ ἡ πικρὰ φωνὴ καταβληθῇ εἰς τὴν καθαρὰν ἀκοήν, καὶ ἐκ τούτου καὶ εἰς τὸ ψεῦδος ἀπαράδεκτο γένηται· πέφυκε γὰρ ὁ δόλιος τῇ ἀληθείᾳ τὸ ψεῦδος παραμιγνῦναι, καὶ οὕτως ἀπατήσας τοὺς ἁπλουστέρους, εἰς τὸ τῆς ἀπωλείας κατακρημνίζειν βάραθρον. Καὶ ὁ ὄφις ἐσθίων γλυκύτητα, παραχρῆμα μεταβάλλει αὐτὴν εἰς πικρότητα, καὶ ἐὰν μεταπέμψῃ αὐτὴν εἴς τινα, οὐαὶ τῷ ὑποδεξαμένῳ.

Οὕτω καὶ ἐκ τῆς ἀληθείας τὸ ψεῦδος πέμπεται κώνειον θανάτου πεπληρωμένον. Ἐν γὰρ τοῖς ἡδυτάτοις αὐτοῦ λόγοις πικρία χαλεπὴ καὶ ὀλέθριος ἐγκέκρυπται, λανθάνουσα τοὺς πολλούς. Οὕτω καὶ ὁ Ἰσκαριώτης, ἐν τῷ φιλήματι τοῦ στόματος καὶ ἐν τῇ εἰρηνικῇ γλώττῃ κρύψας τὸν δόλον, κατεσκεύασε προδοσίαν κατὰ τοῦ καρδιογνώστου Δεσπότου. Καὶ εἰ πρὸς τὸν δημιουργὸν τοιοῦτος ὤφθη ὁ ψεύστης, πρὸς σὲ πηλίκος γενήσεται; Παρέδωκεν ἑαυτὸν ὁ Σωτὴρ τῷ θανάτῳ, καὶ οὐ παρέδωκε τὴν ἀκοὴν αὐτοῦ τῇ φωνῇ τοῦ ψεύστου.

Ἀνοίξας αὐτοῦ τὸ στόμα, ὄξος μετὰ χολῆς ἐγεύσατο, καὶ τὸ οὖς οὐ παρέσχεν εἰς τὸ δέξασθαι ῥήματα τοῦ μιαροῦ. Δέδωκεν αὐτοῦ τὸ στόμα ἵνα φιλήσῃ ὁ προδότης, καὶ ἀπόκρισιν οὐ παρέσχε τῷ ἀπατεῶνι. Δίδου τὸ στόμα σου τῷ ψεύστῃ φιλῆσαι, καὶ μὴ δῷς αὐτῷ τὴν σὴν ἀκοήν. Τὸ μὲν γὰρ φίλημα αὐτὸν κατακρίνει, διὰ δὲ τῆς ἀκοῆς φονεύσει σε ἡ τῶν ῥημάτων αὐτοῦ γεῦσις· βέλτιον δὲ ποιήσεις, ἐὰν παντελῶς ἐκφύγῃς τὴν ὀσμὴν καὶ τὸ γεῦμα τοῦ κωνείου.

Διατί τὸν μὲν καπνὸν φεύγεις ὀξέως, τοῦ δὲ ψεύστου ἀκούεις ἡδέως; παραιτῇ τὴν δυσωδίαν, καὶ καθέζῃ παρὰ τὸν κατήγορον; Ἕκαστον τῶν μελῶν σου ὀφείλεις δεόντως φυλάξασθαι ἀπὸ τῶν βλαβερῶν. Ἐὰν ἀθῶον σου τὸ σῶμα ὑπάρχῃ ἀπὸ τῆς πορνείας, φεῖσαί σου τοῦ στόματος ἀπὸ τῆς καταλαλιᾶς· μὴ δυνάμενον τὸ στόμα μοιχεῦσαι, δύναται ψεύσασθαι καὶ συκοφαντῆσαι, καὶ τῷ αὐτῷ περιβαλεῖν

ὀλέθρῳ. Ἐὰν γὰρ ἕν σου μέλος ὑπεύθυνον ᾖ, ὅλος κατάδικος εἶ δι᾿ ἐκείνου τοῦ καταχεκριμένου.

Ὁ στρατιώτης ἅπαν τὸ σῶμα πέφρακται ἐν θώρακι σιδηρῷ, ἀλλ᾿ ἐὰν μία τῶν λεπτοτάτων τοῦ θώρακος ὀπῶν διακοπεῖσα εἰσοικισμὸν τῷ βέλει παράσχῃ, θάνατον φέρει κατὰ τοῦ γενναίου. Οὕτω καὶ ἐπὶ τῆς τοῦ ὠτὸς θύρας, εἰ εὑρεθῇ τῷ καταλάλῳ ἀνεῳγμένη, ὄλεθρον τῷ ὑποδεξαμένῳ δεινότατον εἰσοικίζεται. Αὕτη δὲ ἡ θύρα τοιαύτη μεγάλη ἐστίν, ὡς τὸν τηλικοῦτον θάνατον δι᾿ αὐτῆς χωρῆσαι καὶ εἰσελθεῖν εἰς τὸν κόσμον, ὃς καταπίνων πάσας τὰς γενεὰς ἀκόρεστος μένει. Ἀποκλειστέον οὖν τὰ ὦτα θυρώμασι καὶ μοχλοῖς, ἵνα μὴ εἰσέλθῃ κατηγορία· μὴ καταφρονήσῃς καταλαλιᾶς ὡς μικροῦ τινος καὶ μὴ δυναμένου ἀναιρεῖν.

Λεπρὰ γέγονεν ὡς χιὼν ἡ Μαριάμ, καταγνωσθεῖσα ἐν ἑνὶ λόγῳ κατηγορίας. Καὶ εἰ ἐκείνη Προφῆτις οὖσα φρικτὴν δίκην ἔδωκε τῆς γλωσσαλγίας, ἡλίκον ἄρα τῆς τιμωρίας τοῖς διαφόρως ταῖς καταλαλιαῖς κεχρημένοις; Καὶ τὸ ὂν λαλησάσης τῆς Μαριάμ, ἀπεδοκιμάσθη ἡ ἀλήθεια, διότι μετὰ κατηγορίας ἔφρασεν. Ὡσαύτως ἐὰν χρήσηταί τις τῇ καταλαλιᾷ δικαίως, ἡ δικαιοσύνη αὐτοῦ ἀδικίας μεστή· ἢ γὰρ ἔλεγξον δικαίως ἢ μὴ λάθρα κατηγορήσῃς. Ἐξουθενεῖται γὰρ ἡ δικαιοσύνη ὅταν συγκεκέρασται αὐτῇ ἡ τῆς δολιότητος φαυλότης. Καὶ ἡ τροφὴ ἀναιρεῖ, ἐὰν ἔχῃ κεκρυμμένον τὸ κώνειον.

Διὰ τῶν φανερῶν τὰ ἀφανῆ καταμάθωμεν, διὰ Μαρίας ζωγραφουμένην κατίδωμεν τὴν ἀλήθειαν· λεπρὸν γὰρ αὐτῆς ὅλον τὸ σῶμα γέγονε προφανῶς ἐπειδὴ πάσῃ τῇ ψυχῇ ἥμαρτεν ἀφανῶς· διὰ τῆς βλάβης τῆς φανείσης ἔγνω τὴν βλάβην ἣν ὑπέμεινε λεληθότως. Διὰ τῆς ἀηδεστάτης λέπρας ἔμαθεν ὅσον κακὸν καὶ μεμισημένον ἡ κατηγορία καὶ γέγονε τὸ ὁρώμενον σῶμα κάτοπτρον ἔνδον ἀοράτου ψυχῆς· διὰ τῆς διαφθορᾶς τῆς σαρκὸς ἐδιδάχθη πῶς διαφθείρεται καρδία φιλοῦσα τὴν καταλαλιάν· διὰ τοῦ ἔξωθεν ἀνθρώπου συνῆκε τὸν ἔνδοθεν αὐτῆς ἄνθρωπον, τί πέπονθε.

Καθάπερ γὰρ ἐκείνη κατεμερίσθη κατὰ τοῦ ἀδελφοῦ αὐτῆς, οὕτω καὶ ἀπ᾿ αὐτῆς κατεμερίσθη τὸ ἴδιον σῶμα αὐτῆς, ὅπως αὐτὴ δι᾿ ἑαυτῆς μάθῃ πόσον ἀγαθὸν ἡ ἕνωσις τῆς ἀγάπης γέγονεν ἐν αὐτῇ καὶ ἀντίπαλα τὰ μέλη, ἐπειδὴ κἀκείνη ἐναντία τῷ ἀδελφῷ γέγονεν, ὡς ἂν διὰ τῆς ἐναντιώσεως τοῦ σώματος σπουδάσῃ κτήσασθαι πρὸς τὸν πλησίον εἰρήνην τε καὶ ὁμόνοιαν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, νὰ μὴ ἀνέχεσαι ἐκεῖνον ποὺ καταλαλεῖ ἐναντίον κάποιου ἄλλου, ἔστω καὶ ἂν λέγῃ τὴν ἀλήθειαν, διὰ νὰ μὴ πάθῃς καὶ σὺ τὴν ἴδιαν συμφορὰν μὲ ἐκεῖνον. Διότι καὶ ἂν συμβῇ κάποιος νὰ λέγῃ τὴν ἀλήθειαν, ὅτι εἶναι κακὸς ὁ βασιλεύς, ποὺ ἡμάρτησε, κανεὶς ἀπὸ τοὺς παρισταμένους δὲν στέκεται νὰ ἀκούσῃ τὰ λεγόμενα ἐναντίον τοῦ βασιλέως· ἂν σταθῇ καὶ ἀκούσῃ, μία τιμωρία ἀναμένει καὶ τοὺς δύο. Ὁ ἕνας φονεύεται δι᾿ αὐτὰ ποὺ εἶπε καὶ ὁ ἄλλος δι᾿ αὐτὰ ποὺ ἤκουσε. Κατηγορεῖ κάποιον ὁ ψεύστης καὶ σὺ στήνεις τὸ αὐτὶ εἰς αὐτόν· ἔτσι τὸν θάνατον ποὺ βγάζει ἀπὸ τὸ στόμα του, τὸν δέχεται ἡ ἀκοή σου καὶ ἀφοῦ πάρῃς τὸ πικρὸν προζύμι τοῦ ψεύδους, ἐζύμωσες μὲ αὐτὸ τὴν καρδίαν σου.

'Από ποῦ εἰσῆλθεν ὁ θάνατος εἰς τὸν ἄνθρωπον; Μήπως ὄχι μὲ τὴν ἀκοήν, μὲ τὴν ὁποίαν ἡ Εὔα ἐδέχθη τὰ λόγια τοῦ ὄφεως; Μὲ αὐτήν, ἀπὸ τότε μέχρι καὶ σήμερα, εἰσέρχεται πάντοτε ἡ καταστροφή. 'Ημπορεῖ βέβαια ὁ διάβολος νὰ θανατώνῃ αὐτὸν ποὺ σιωπᾷ μὲ ἐκεῖνον ποὺ ὁμιλεῖ· καὶ ἐκεῖνον ποὺ δὲν ἠμπορεῖ νὰ θανατώσῃ μὲ τὸ στόμα, τὸν θανατώνει μὲ τὴν ἀκοήν. Καὶ τὴν ἀλήθειαν, ὅταν ἔλεγαν οἱ δαίμονες, ὁ Σωτὴρ δὲν ἐδέχετο νὰ τὴν ἀκούσῃ.

Καὶ οἱ 'Απόστολοι δὲν ἐδέχθησαν νὰ τοὺς ἐγκωμιάζῃ ὁ δαίμων, διὰ νὰ μὴ ριζώσῃ ἡ φαρμακερὴ φωνὴ εἰς τὴν καθαρὰν ἀκοὴν καὶ νὰ συνηθίσῃ ἔτσι νὰ μὴ παραδέχεται καὶ τὸ ψεῦδος. Διότι ὁ διάβολος ἀνακατώνει ἐκ φύσεως τὸ ψεῦδος μὲ τὴν ἀλήθειαν, διὰ νὰ ἐξαπατήσῃ ἔτσι τοὺς ἁπλουστέρους καὶ νὰ τοὺς ρίψῃ εἰς τὸ βάραθρον τῆς καταστροφῆς. Καὶ ὁ ὄφις ἐνῷ τρώγει γλυκεῖαν τροφήν, ἀμέσως τὴν μεταβάλλει σὲ δηλητήριον, καὶ ἂν τὴν διοχετεύσῃ σὲ κάποιον, ἀλλοίμονον εἰς ἐκεῖνον ποὺ θὰ τὴν δεχθῇ.

Ἔτσι καὶ ἀπὸ τὴν ἀλήθειαν ὁ διάβολος παρασκευάζει τὸ ψεῦδος καὶ τὸ στέλλει γεμᾶτο μὲ θανατηφόρον δηλητήριον. Μέσα δηλαδὴ εἰς τὰ γλυκόλογά του εἶναι κρυμμένη φοβερὴ καὶ καταστρεπτικὴ πικρία, τὴν ὁποίαν οἱ περισσότεροι δὲν τὴν προσέχουν. Ἔτσι καὶ ὁ 'Ισκαριώτης μέσα εἰς τὸ φίλημα καὶ τὴν εἰρωνικὴν γλῶσσαν ἔκρυψε τὸ δόλωμα, μὲ τὸ ὁποῖον ἐπέτυχε νὰ προδώσῃ τὸν καρδιογνώστην Δεσπότην. Καὶ ἂν ὁ ψεύστης ἐφάνη τέτοιος ἀπέναντι τοῦ Δημιουργοῦ, εἰς ἐσένα θὰ φανῇ διαφορετικός; Ὁ Σωτὴρ παρεδόθη εἰς τὸν θάνατον, ἀλλὰ δὲν παρέδωσε τὴν ἀκοήν του εἰς τὴν φωνὴν τοῦ ψεύστου.

Ἄνοιξε τὸ στόμα του καὶ ἐδοκίμασε ξίδι μὲ χολήν· δὲν προσέφερεν ὅμως τὰ ὦτα του διὰ νὰ ἀκούσῃ τὰ λόγια τοῦ ἀκαθάρτου. Ἔδωσε τὸ στόμα του νὰ τὸ φιλήσῃ ὁ προδότης καὶ δὲν ἔδωσεν ἀπόκρισιν εἰς τὸν ἀπατεῶνα. Νὰ δίδῃς τὸ στόμα σου νὰ τὸ φιλήσῃ ὁ ψεύστης, ἀλλὰ μὴ προσέξῃς εἰς τὰ λόγια του. Διότι τὸ φίλημα τὸν καταδικάζει, ἂν δεχθῇς ὅμως καὶ τὸν ἀκούσῃς θὰ σὲ φονεύσῃ ἡ γεῦσις τῶν λόγων του. Θὰ κάνῃς πολὺ καλά, ἂν ἀποφύγῃς ὁλότελα καὶ τὴν ὀσμὴν καὶ τὴν γνῶσιν τοῦ δηλητηρίου.

Διατὶ ἀποφεύγεις γρήγορα μὲν τὸν καπνόν, τὸν δὲ ψεύστην τὸν ἀκοῦς εὐχάριστα; 'Αποφεύγεις τὴν δυσωδίαν καὶ κάθεσαι κοντὰ εἰς τὸν κατήγορον; Ἔχεις ὑποχρέωσιν νὰ φυλάξῃς προσεκτικὰ κάθε μέλος σου ἀπὸ ὅ,τι εἶναι ἐπιβλαβές. Ἂν τὸ σῶμα σου ἔχῃ διατηρηθῇ καθαρὸν ἀπὸ τὴν πορνείαν, φύλαξε τὸ στόμα σου ἀπὸ τὴν καταλαλιάν. Τὸ στόμα δὲν ἠμπορεῖ νὰ μοιχεύσῃ, ἠμπορεῖ ὅμως νὰ εἰπῇ ψέματα, νὰ συκοφαντήσῃ καὶ νὰ σοῦ προξενήσῃ τὴν ἰδίαν καταστροφήν. Διότι ἂν εἶναι ἕνα μέλος σου ὑπεύθυνον (δι' ἁμαρτίαν), εἶσαι ὁλόκληρος καταδικασμένος, ἕνεκα τοῦ μέλους ἐκείνου ποὺ ἔχει κατακριθῇ.

Ὁ στρατιώτης ἔχει φραγμένον ὁλόκληρον τὸ σῶμα του μὲ σιδε-

ρένιον θώρακα· ἀλλὰ ἂν μία πάρα πολὺ μικρὴ τρύπα ἀνοίξῃ περισσότερον καὶ ἀφήσῃ δρόμον διὰ νὰ περάσῃ τὸ βέλος, τότε φέρνει τὸν θάνατον εἰς τὸν γενναῖον. Ἔτσι συμβαίνει καὶ μὲ τὴν θύραν τῆς ἀκοῆς· ἂν εὑρεθῇ ἀνοικτὴ διὰ τὸν κατάλαλον, προξενεῖ τρομακτικὴν καταστροφὴν εἰς ἐκεῖνον ποὺ δέχεται τὴν κατάκρισιν. Αὐτὴ δὲ ἡ θύρα τῆς ἀκοῆς εἶναι τόσον πολὺ μεγάλη, ὥστε νὰ χωρέσῃ καὶ νὰ εἰσέλθῃ ἀπὸ αὐτὴν εἰς τὸν κόσμον ὁ ἀπέραντος αὐτὸς θάνατος (τῶν Πρωτοπλάστων), ποὺ καταπίνει ὅλας τὰς γενεὰς καὶ ἀκόμη μένει ἀχόρταγος. Πρέπει λοιπὸν νὰ κλείσῃς τὰ αὐτιά σου μὲ σύρτας καὶ μάνταλα, διὰ νὰ μὴ εἰσέλθῃ κατηγορία ἐναντίον συνανθρώπου σου. Μὴ περιφρονήσῃς τὴν καταλαλιὰν ὅτι τάχα εἶναι κάτι μικρὸν καὶ δὲν ἠμπορεῖ νὰ βλάψῃ.

Ἡ Μαριὰμ* ἔγινε κατάλευκος ἀπὸ τὴν λέπραν, ὡσὰν τὸ χιόνι, ἐπειδὴ ἐτιμωρήθη δι' ἕνα μονάχα λόγον. Καὶ ἂν ἐκείνη, ποὺ ἦτο καὶ προφῆτις ἐτιμωρήθη φρικτὰ διὰ τὴν ἐκ ζηλοτυπίας καταλαλιάν της, πόσον μεγάλη θὰ εἶναι ἡ τιμωρία ἐκείνων ποὺ ἀπερίσκεπτα κατακρίνουν; Καὶ μολονότι εἶπε τὴν ἀλήθειαν ἡ Μαριάμ, δὲν ἐλήφθη ὑπ' ὄψιν , ἀλλ' ἐτιμωρήθη, ἐπειδὴ ὡμίλησε μὲ διάθεσιν κατακρίσεως. Ἔτσι καὶ ἂν σωστὰ ἀκόμη κατακρίνῃ κανείς, ἡ δικαιοσύνη του αὐτὴ εἶναι γεμάτη ἀπὸ ἀδικίαν· διότι ἢ πρέπει νὰ ἐλέγξῃς δίκαια, ἢ νὰ μὴ τὸν κατηγορήσῃς κρυφὰ ὅταν δὲν θὰ εἶναι ἐμπρός. Διότι ἐξευτελίζεται ἡ δικαιοσύνη ὅταν ἀνακατευθῇ μὲ τὴν φαυλότητα τῆς πανουργίας. Καὶ ἡ τροφὴ σκοτώνει, ἂν ἔχῃ κρυμμένο τὸ δηλητήριον.

Ἂς κατανοήσωμεν ἀπὸ αὐτὰ τὰ φανερά, ἐκεῖνα ποὺ δὲν φαίνονται, καὶ ἂς διακρίνωμεν τὴν ἀλήθειαν ζωγραφισμένην εἰς τὴν περίπτωσιν τῆς Μαριάμ· ὁλόκληρον τὸ σῶμα της ἐγέμισεν ἀπὸ λέπραν, ἐπειδὴ ἡμάρτησε, χωρὶς νὰ φαίνεται, μὲ ὅλην της τὴν ψυχήν. Ἔτσι μὲ τὴν βλάβην ποὺ ἐφάνηκε, ἔμαθε τὴν βλάβην ποὺ ὑπέστη χωρὶς νὰ τὸ καταλάβῃ. Μὲ τὴν ἀηδιαστικὴν λέπραν ἔμαθε πόσον μισητὸν κακὸν εἶναι ἡ κατάκρισις· καὶ τὸ βλεπόμενον σῶμα ἔγινεν ὁ καθρέπτης τοῦ ἐσωτερικοῦ τῆς ψυχῆς ποὺ δὲν φαίνεται. Μὲ τὴν ζημίαν τῆς σαρκὸς ἐδιδάχθη πόσον ζημιώνεται ἡ καρδία ποὺ ἀγαπᾷ τὴν κατάκρισιν· ἀπὸ τὸν ἔξω ἄνθρωπον ἐννόησε τί ἔπαθεν ὁ ἐσωτερικὸς της ἄνθρωπος.

---

* Μαριὰμ καλεῖται ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἡ ἀδελφὴ τοῦ Μωϋσέως καὶ τοῦ Ἀαρών. Αὕτη ἦτο προφῆτις καὶ ὁδηγὸς τῶν γυναικῶν τοῦ Ἰσραήλ, αἱ ὁποῖαι ἔψαλλον πρὸς τὸν Θεὸν τὸν ὕμνον τῆς εὐχαριστίας μετὰ τὴν ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ πανωλεθρίαν τῶν Αἰγυπτίων, τῶν καταδιωκόντων τοὺς Ἰσραηλίτας ἐξ Αἰγύπτου μεταναστεύοντας (Ἔξοδ. ιε' 20,21). Πιθανῶς αὕτη ἦτο καὶ ἡ κομίσασα εἰς τὸν Νεῖλον καὶ παραφυλάξασα τὸ σπάρτινον κάνιστρον ἢ κιβώτιον, εἰς τὸ ὁποῖον ἦτο τὸ βρέφος Μωϋσῆς (Ἔξοδ. β' 4,5, Ἀριθ. κστ, 59. Μιχ. στ', 4). Διὰ δὲ τὴν κατὰ τοῦ Μωϋσέως ζηλοτυπίαν αὐτῆς ἐτιμωρήθη διὰ προσκαίρου λέπρας (Ἀριθ. ιβ'. Δευτερ. κδ' 9). Ἀπέθανε δὲ καὶ ἐτάφη ἐν Κάδης (Ἀριθ. κ', 1).

Διότι ὅπως ἐκείνη ἐξεχώρισε ἀπὸ τὸν ἀδελφόν της ὅταν τὸν κατέκρινε, ἔτσι καὶ τὸ σῶμα της ἐξεχώρισεν ἀπὸ τὴν ἴδιαν (μὲ τὴν τιμωρίαν), διὰ νὰ πληροφορηθῇ ἀπὸ τὸν ἑαυτόν της πόσο καλὸν εἶναι ἡ ἕνωσις τῆς ἀγάπης. Ἔγιναν ἀντίπαλα εἰς αὐτὴν τὰ μέλη της, ἐπειδὴ καὶ ἐκείνη ἔγινεν ἀντίπαλος τοῦ ἀδελφοῦ της, ὥστε ἀπὸ τὴν ἐναντίωσιν αὐτὴν τοῦ σώματος νὰ φροντίσῃ νὰ ἀποκτήσῃ τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν πρὸς τὸν πλησίον.



ΥΠΟΘΕΣΙΣ Ν΄

Πῶς δεῖ τοὺς συνόντας ἀδελφοὺς διορθοῦσθαι ἀλλήλους ἔν τισι σφαλλομένους, καὶ πότε μὲν καὶ ἐν ποίοις σφάλμασι σιωπᾶν χρή, πότε δὲ καὶ ἐν ποίοις λαλεῖν καὶ μὴ ἀποκρύπτειν.

Πῶς πρέπει οἱ ἀδελφοί, ποὺ μένουν μαζί, νὰ διορθώνουν ὁ ἕνας τὸν ἄλλον, ὅταν περιπίπτουν εἰς διάφορα σφάλματα· πότε δὲ καὶ διὰ ποῖα σφάλματα πρέπει μὲν νὰ σιωποῦν, πότε δὲ καὶ εἰς ποῖα πρέπει νὰ ὁμιλοῦν καὶ νὰ μὴ τὰ ἀποκρύπτουν.

Α΄. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

Ἐρωταποκρίσεις

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων.

α΄ Ἐπειδὴ βάλλω τὸν λόγον μου πρὸς τὸν ἀββᾶν, ἤγουν ἀπαγγέλλω τὰ τῶν ἀδελφῶν σφάλματα παρ᾽ ἐκείνου ἐπιτραπείς, ᾐσθόμην τινὰς θλιβομένους· τί οὖν ποιήσω, μὴ κάθημαι βλαπτόμενος; Ὁ μὲν γὰρ λογισμὸς οὐ καταχρίνει με τῷ σκοπῷ προσέχων, ὅτι οὐ κατὰ πάθος λέγω, φοβοῦμαι δὲ μήπως εἰς ζῆλον προκόψῃ τὸ πρᾶγμα καὶ σαλεύσῃ με.

Καὶ ἀπεκρίθη ὁ γέρων.

Ἐὰν καθαρᾷ καρδίᾳ καὶ δι᾽ ὠφέλειαν ψυχῆς καὶ ἐκκοπὴν πάθους, καὶ μὴ ψηφήσῃς ῥήματα ἀνθρώπων· τὸ γὰρ μεσάσαι, ἤγουν ἀναγγεῖλαι πρὸς τὸν ἀββᾶν ἄνευ πάθους, καλόν ἐστιν· οὐ πᾶσι γὰρ δίδοται τὸ λαλῆσαι τῷ ἀββᾷ οὐδὲ συμφέρει. Σὺ οὖν ἐὰν κατὰ Θεὸν λαλῇς, ἀφ᾽ ἑαυτοῦ οὔτε λαλεῖς οὔτε ποιεῖς τὸ ἀγαθόν, ἀλλ᾽ ὁ Θεός ἐστιν ἐν πᾶσι, καὶ τὸ ἀγαθὸν τοῦ Θεοῦ ζῆλον οὐ γεννᾷ· ἀλλ᾽ εἰ καὶ φαίνεται πρὸς ὥραν, ταχὺ σβέννυται.

β΄ Καὶ εἶπεν ὁ ἀδελφός.

Καὶ ἄλλος δέ τις ἐὰν ὀφείλῃ καὶ εἴπῃ τῷ ἀδελφῷ, ὀφείλει πληροφορῆσαι

αὐτὸν τὸν ἀδελφόν, ὅτι οὐχὶ μισῶν, ἀλλὰ ἀγαπῶν αὐτὸν εἶπεν, ἢ σιωπήσει;

Ἔφη ὁ γέρων.

Κατὰ κενοδοξίαν αὐτὸν θέλει πληροφορῆσαι, ὡς ἵνα μὴ φανῇ κατάλαλος, ἀλλὰ φαίνεται παρὰ τοῖς ἀνθρώποις δίκαιος· πρόσχῃ οὖν εἰς τὴν καρδίαν αὐτοῦ, καὶ μάθῃ εἰ κατὰ Θεὸν καὶ θέλων ὠφελῆσαι τὸν ἀδελφὸν εἶπε τῷ Ἀββᾷ, καὶ εἰ εὕρῃ οὕτως, ἀφήσει τὸ πᾶν τῷ Θεῷ, κἀκεῖνος πληροφορεῖ τὴν καρδίαν τοῦ ἀδελφοῦ ὡς οἶδεν. Ἐὰν δὲ αὐτὸς ὁ ἀδελφὸς εἴπῃ αὐτῷ, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἄλλου, ἃ ἔμαθεν εἰπόντι περὶ αὐτοῦ τῷ Ἀββᾷ, καὶ λυπῆται περὶ τούτων, τότε ὀφείλει μετὰ ταπεινώσεως πληροφορῆσαι αὐτὸν λέγων· ὁ Θεὸς οἶδεν, ἀδελφέ, ἀγαπῶν σε καὶ θέλων σου τὴν ὠφέλειαν ταῦτα ἐλάλησα.

Εἰπὲ γάρ μοι εἰ κατὰ ἄλλον τινὰ τρόπον ταῦτα εἶπον, τί ὠφελούμην ἀπὸ τούτων; οὐ φοβοῦμαι τὴν ἀπόφασιν τὴν λέγουσαν, ὅτι ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν; Μεμνημένος οὖν τοῦ λέγοντος, ὅτι ζήτησον τὸν πλησίον σου ὡς ἑαυτόν, ἐζήτησά σε διορθωθῆναι διὰ τὸν λέγοντα· ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη. Παρακαλῶ σε, ἐὰν καὶ αὐτὸς ἴδῃς μου πταῖσμα, ἔλεγξόν με καὶ σύ, ἵνα κἂν οὕτως αἰσχυνόμενος μετανοήσω περὶ τοῦ πταίσματος. Ἐὰν δὲ οὐχ ὡς θέλων διορθωθῆναι τὸν ἀδελφόν, ἀλλ' ὡς διαβάλλων αὐτὸν εἴπῃ, ὀφείλει πρῶτον καταγνῶναι ἑαυτοῦ καὶ δεηθῆναι τοῦ Θεοῦ συγχωρῆσαι αὐτῷ.

Ἔπειτα, εἰ οἶδεν ἀκριβῶς ὅτι ᾐσθάνθη ὁ ἀδελφός, ὀφείλει ἀπελθεῖν μετὰ ταπεινώσεως καὶ βαλεῖν αὐτῷ μετάνοιαν, ὁμολογῶν, συγχώρησόν μοι, ἀδελφέ, ὅτι ἐχλευάσθην ὑπὸ τῶν δαιμόνων, καὶ κατελάλησά σου καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα συγχωρήσῃ μοι ὁ Κύριος, καὶ δώῃ μοι καιρὸν μετανοίας, ὅτι πλανῶμαι. Οὐκ ἔστι γὰρ δυνατὸν διὰ πλάσματος καὶ ψεύδους πληροφορῆσαι τινὰ τῶν ἀδελφῶν, ἀλλ' ἐν ταπεινώσει διὰ τῆς ἀληθείας. Ἐὰν δὲ οὐκ ἔγνω ὁ ἀδελφός, αὐτῷ μὲν μηδὲν εἴπῃ, ἵνα μὴ βάλῃ αὐτὸν εἰς λογισμούς, ὀφείλει δὲ τῷ Θεῷ μετανοῆσαι περὶ τοῦ ἰδίου σφάλματος καὶ ἐξαγορεῦσαι αὐτὸ τῷ Ἀββᾷ.

γ' Ὁ αὐτὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων.

Ἐὰν ἀδελφὸς ἐρωτήσῃ περί τινος λόγου ἢ πράγματος, καὶ οἶδα αὐτὸ ἀκούσας ἢ καὶ πειραθείς, ἀποκριθῶ αὐτῷ ἢ οὔ; Ἐὰν δὲ μὴ ἐρωτηθῶ, ἴδω δὲ πρᾶγμα μὴ καλῶς γινόμενον, ἆρα καλὸν ἀναμνῆσαι τὸν ποιοῦντα ἅπαξ ἢ οὔ;

Ἀπεκρίθη ὁ γέρων.

Φύλαξον τοῦ μὴ εἰπεῖν κατὰ κενοδοξίαν, ἀλλὰ κατὰ ταπείνωσιν καὶ φόβον Θεοῦ· καὶ περὶ πάντων, ὧν ἠρώτησας, εἰπὲ καὶ ὑπόμνησον, χρείας γενομένης, εἰς τὸ Κοινόβιόν σου μέντοι καὶ οὐκ ἀλλαχοῦ· καὶ γὰρ οἱ τοῦ Κοινοβίου ὡς ἓν σῶμα εἰσίν, ἐὰν δὲ εὑρεθῇς ἀλλαχοῦ, ἀφ' ἑαυτοῦ μηδὲν εἴπῃς, ἀλλ' ἐὰν ἐρωτηθῇς, εἰπέ μετὰ ταπεινώσεως.

δ' Ἔφη ὁ ἀδελφός.

Ἐὰν ἴδω τὴν καρδίαν μου ἡδυνομένην τῇ κενοδοξίᾳ ἐν τῷ λέγειν ἢ τότε μὲν οὐχ ἡδυνομένην, προκατανοῶ δὲ ὅτι μέλλει μοι γίνεσθαι ὕστερον, ἆρα καλόν ἐστι σιωπῆσαι ἢ οὔ;

Ἀπεκρίθη ὁ γέρων.

Τὸ εἰπεῖν τί ποτέ τινι μετὰ ταπεινώσεως, τοῦτό ἐστι τὸ μὴ λέγειν ὡς διδά-

σκοντα, ἀλλ' ὡς ἀκούσαντα παρὰ τοῦ ἀββᾶ ἢ τῶν Πατέρων. Ἐὰν οὖν ἔχῃ ὠφέλειαν τὸ πρᾶγμα ἐν τῷ εἰπεῖν τῷ ἀδελφῷ, καὶ πολεμεῖ ἡ κενοδοξία ἐμποιοῦσα ἡδύτητα, πρόσεχε σεαυτῷ, ὅτι ἐμποδίσαι βούλεται τῇ ὠφελείᾳ τοῦ ἀδελφοῦ, καὶ ἐὰν ἀκούσῃς αὐτῆς οὐδέποτε ἐάσει ὠφεληθῆναι τινὰ ἀδελφὸν διὰ σοῦ. Ἐπιτίμησον οὖν τῇ κενοδοξίᾳ, καὶ καταφρόνησον αὐτῆς καὶ μεθ' ὃ εἴπῃς τῷ ἀδελφῷ, μετανόησον τῷ Θεῷ λέγων· συγχώρησόν μοι, Κύριε, ὅτι κενοδόξως ἐλάλησα. Ὁμοίως ποίησον, καὶ [ὅταν ἡ κενοδοξία] ὕστερον ἔρχεται.

ε' Ἔφη ὁ ἀδελφός.

Πῶς, πάτερ, ἐπέτρεψάς μοι, ἐὰν ἴδω πρᾶγμα παραλόγως, καὶ πρὶν ἐρωτηθῶ, ἵνα λέγω, τῶν Πατέρων λεγόντων πρὸ ἐρωτήσεως μὴ ἀποκρίνασθαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἀδελφέ, πρὸς τὸ μέτρον τοῦ ἀνθρώπου λαλοῦσιν οἱ γέροντες. Ἔστιν οὖν καιρὸς ἐν ᾧ τὸ ὑπηρετεῖν τῷ ἀνθρώπῳ ἁρμόζει, νέῳ ὄντι δηλονότι καὶ ἀτελεῖ, καὶ ἐν τούτῳ τῷ καιρῷ ἔργα ὀφείλει δεῖξαι διακονίας. Καὶ ἔστι καιρός, ὅταν ὁ αὐτὸς ἔλθῃ εἰς τὸ διακονεῖσθαι, καὶ ἄλλα ἐστὶ τὰ ἔργα τοῦ μέτρου τούτου· τὰ γὰρ τέλεια, τοῖς τελείοις εἴρηται, τὰ δὲ ἄλλα, τοῖς ὑπὸ νόμον οὖσιν· ὑπὸ παιδαγωγὸν γὰρ ἀκμὴν ἐξετάζονται.

στ' Ἠρώτησεν ὁ ἀδελφός.

Ποιεῖ τις μέσον πρᾶγμα μὴ ἔχον ἁμαρτίαν, ἐγὼ δὲ διὰ θέλημα ἐμὸν θλίβομαι εἰς αὐτόν, ἆρα σιωπήσω καὶ μὴ ἀναπαύσω τὴν καρδίαν μου ἢ εἴπω ὡς μετὰ ἀγάπης, καὶ μὴ μείνω ταρασσόμενος; Ἐὰν δὲ ἄλλους θλίβῃ τὸ πρᾶγμα, καὶ οὐκ ἐμέ, εἴπω διὰ τοὺς ἄλλους; εἰ μή τι δοκεῖ τοῦτο ἐργολάβημα;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν ᾖ πρᾶγμα μὴ ἔχον ἁμαρτίαν, ἀλλὰ μέσον, καὶ λαλήσῃς διὰ τὸ ἀναπαῦσαι τὴν καρδίαν σου, ἥττημά σοί ἐστι, ὅτι ἀπὸ ἀσθενείας οὐκ ἠδυνήθης βαστάσαι, ἀλλὰ μέμψαι σεαυτὸν καὶ σιώπα· ἐὰν δὲ ἄλλους θλίβῃ, εἰπὲ τῷ ἀββᾷ σου, καὶ ἢ αὐτὸς λέγει αὐτῷ ἢ λέγει σοι τί δεῖ εἰπεῖν αὐτῷ, καὶ σὺ ἀμεριμνεῖς.

ζ' Εἶπεν ὁ ἀδελφός.

Ἐὰν οὖν οὐ δι' ἑαυτόν, ἀλλὰ διὰ τὸ θλίβεσθαι ἄλλους θέλω εἰπεῖν τῷ ἀββᾷ, ὑπονοῶ δὲ ὅτι ταράσσεται ὁ ἀδελφός, τί ποιήσω; εἰ δὲ κἀγὼ σὺν ἐκείνοις ἐκ τοῦ πράγματος θλίβομαι, εἴπω διὰ τὴν ἀνάπαυσιν ἐκείνων ἢ σιωπήσω διὰ τὸ μὴ πληροφορῆσαι ἑαυτόν;

Ἀπεκρίθη ὁ γέρων.

Περὶ τῆς ταραχῆς τοῦ ἀδελφοῦ, ἐὰν εἴπῃς τῷ ἀββᾷ, σὺ πρᾶγμα οὐκ ἔχεις, ὅταν χρεία εἰπεῖν. Εἰ οὖν σε τὸ πρᾶγμα οὐ θλίβει, διὰ τοὺς ἄλλους εἰπὲ τῷ Ἀββᾷ· εἰ δὲ καὶ σὺ ὁμοίως ἐκείνοις ἐν τούτῳ θλίβῃ, κἂν μέλῃ σοι περὶ ἐκείνων, ἀλλά γε διὰ σεαυτὸν μόνον καὶ τὸ μὴ πληροφορῆσαί σου τὸ πάθος βίασαι μὴ εἰπεῖν.

η' Λέγει ὁ ἀδελφός.

Ἀλλ' ὁ λογισμὸς λέγει μοι, ὅτι ἐὰν ταραχθῇ ὁ ἀδελφός, ἐχθρός μου γίνεται, ἔχων ὅτι κατελάλησα αὐτοῦ πρὸς τὸν Ἀββᾶν.

Ἀπεκρίθη ὁ γέρων.

Οὗτος ὁ λογισμὸς πονηρός ἐστι θέλων ἐμποδίσαι τῇ διορθώσει τοῦ ἀδελφοῦ, ὡς προεῖπόν σοι· μὴ οὖν ἀκούσῃς αὐτοῦ, ἀλλὰ εἰπέ, κατὰ Θεὸν μέντοι καὶ μὴ κατὰ

καταλαλιάν· καὶ γὰρ κατὰ τῶν ἰατρῶν γογγύζουσιν οἱ θεραπευόμενοι ἄρρωστοι, ἀλλ' οἱ ἰατροὶ οὐ φροντίζουσι τοῦ πρὸς τὸ παρὸν γογγυσμοῦ, εἰδότες ὅτι ὕστερον εὐχαριστοῦσιν αὐτοῖς.

θ' Ἠρώτησεν ὁ ἀδελφός.

Ἐὰν βλέπω τὸν λογισμόν, ὅτι οὐ διὰ τὴν ὠφέλειαν θέλω εἰπεῖν, ἀλλὰ σκοπῷ τοῦ διαβαλεῖν τὸν ἀδελφόν, εἴπω ἢ σιωπήσω;

Ἀπεκρίθη ὁ γέρων.

Νουθέτησον τὸν λογισμὸν κατὰ Θεὸν εἰπεῖν καὶ μὴ κατὰ διαβολήν· ἐὰν δὲ νικᾶται τῇ καταλαλιᾷ, καὶ οὕτως εἰπέ ὁμολογῶν τῷ Ἀββᾷ τὴν σὴν καταλαλιάν, ἵνα ἀμφότεροι θεραπευθέντες, ὁ μὲν ἀπὸ τοῦ πταίσματος, σύ δὲ ἀπὸ τῆς καταλαλιᾶς.

ι' Ἔφη ὁ ἀδελφός.

Ἐὰν δὲ μὴ συγχωρῇ μοι ὁ λογισμὸς ὁμολογῆσαι τῷ Ἀββᾷ, ὅτι σκοπῷ τοῦ καταλαλῆσαι τοῦ ἀδελφοῦ λέγω, τί ποιήσω; εἴπω ἢ οὔ;

Ἀπεκρίθη ὁ γέρων.

Μηδὲν εἴπῃς αὐτῷ καὶ ὁ Κύριος φροντίζει· οὐ χρεία γάρ σε μετὰ βλάβης ψυχῆς εἰπεῖν, καὶ ὁ Θεὸς ὡς θέλει φροντίζει τῆς διορθώσεως τοῦ ἀδελφοῦ.

ια' Ἠρώτησεν ἀδελφός.

Καὶ αὐτὸς δὲ ὁ σφαλεὶς ἀδελφός, περὶ οὗ ἐγὼ ἢ ἄλλος τις εἶπε τῷ Ἀββᾷ, πῶς ὀφείλει διακεῖσθαι πρὸς τὸν εἰπόντα περὶ αὐτοῦ τοῦ Ἀββᾷ;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν πιστὸς καὶ κατὰ Θεὸν ζῶν ᾖ, εἰ καὶ κατ' ἔχθραν εἶπεν ὁ εἰπὼν περὶ αὐτοῦ, ἐκεῖνος μέντοι ὀφείλει λογίσασθαι, ὅτι θέλων ὁ ἀδελφὸς ὠφελῆσαί με ταῦτα εἶπε, καὶ πληροῦται εἰς αὐτὸν τὸ εἰρημένον· «ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ αὐτοῦ ἐκβάλλει τὰ ἀγαθά»· καὶ ταῦτα ἐνθυμούμενος, πλεῖον ὀφείλει τὸν ἀδελφὸν ἀγαπᾶν καὶ εὐχαριστεῖν αὐτῷ. Ὁ οὖν οὕτως ἀναστρεφόμενος, ταχὺ προκόπτει κατὰ Θεόν.

ιβ' Ἠρώτησεν ὁ ἀδελφός.

Καὶ τοὺς ἀδελφοὺς δὲ τοὺς ὄντας μετ' ἐμοῦ ἐν τῇ διακονίᾳ τοῦ νοσοκομείου, ἐὰν σφαλῶσι, πῶς αὐτοὺς διορθώσωμαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν προτυπώσῃς τὸ θέλημα τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ σου, οὐ ταράττῃ, ἀλλ' ἕξιν ποιεῖς ὡς οἱ Πατέρες· ἐὰν δὲ μὴ προσέχῃς καὶ συναρπαγῇς ὡς ἄνθρωπος, εἰπὲ τῷ Θεῷ μετανοῶν· συγχώρησόν μοι, δέσποτα, καὶ ἐλέησόν με· καὶ εἰπὲ τοῖς μετὰ σοῦ· βλέπετε, ἀδελφοί, ὅτι ἐκ τούτων κατακρινόμεθα καὶ ἀπόλλομεν τὰς ψυχὰς ἡμῶν· πρόσεχε δὲ μὴ κράζειν πάνυ ἐν τῷ λέγειν αὐτοῖς, ἀλλ' ἱκανῶς εἰς ἀκοὴν ὠτίου, καὶ ἐὰν συντριβῇς ἐν τούτοις, ἔρχεται ἡ κατὰ Θεὸν κατάστασις.

ιγ' Εἶπεν ὁ ἀδελφός.

Παρακαλῶ σε, Πάτερ, εἰπέ μοι πῶς ὀφείλει εἶναι ὁ τρόπος τῆς διορθώσεως καὶ πότε δεῖ μωροποιεῖν, ἤγουν μωρὸν ἑαυτὸν ποιεῖν, καὶ παραβλέπειν τὸ γινόμενον· καὶ ἐὰν ἡττηθῶ ἐν τῷ πράγματι, ἤτοι συναρπαγῶ καὶ ταραχθῶ, τί ὀφείλω ἐμαυτῷ δεσμὸν ὁρίσαι, τουτέστιν ἐπιτίμιον;

Ἀπεκρίθη ὁ γέρων.

Πρὸς τοὺς ἀνθρώπους ἀεὶ ποίει· ἐὰν ἴδῃς ὅτι συνετός ἐστι καὶ δέχεται, ἤτοι

ὁ κατὰ σοῦ ἐν τῇ διακονίᾳ ὑπὸ σὲ ταχθεὶς ἀδελφός, λέξον αὐτῷ· ἀδελφέ, ἐὰν ἀμελῶς ποιῶμεν τὸ ἔργον τοῦ Θεοῦ, ἀπώλεια ψυχῆς ἐστιν· ἄρτι καλῶς ἐγένετο τοῦτο; σπούδασον ἀπὸ τοῦ νῦν. Ἐὰν δὲ ᾖ ἀσύνετος, εἰπὲ αὐτῷ· ὅτι πίστευσον, ἀδελφέ, χρείαν ἔχεις παιδευθῆναι· οὕτως ἀμελεῖς; ἐὰν εἴπω τῷ Ἀββᾷ, ἤτοι τῷ προεστῶτι, καλῶς σε παιδεύσει.

Περὶ δὲ τοῦ μωροποιεῖν, πρὸς τὸ σφάλμα ποίει· εἰ μὲν ᾖ μικρόν, μωροποίησον· εἰ δὲ μέγα, μηδαμῶς τοῦτο ποιήσῃς· μὴ βάλῃς δὲ δεσμὸν κατὰ σοῦ περὶ τῆς ἥττης, μηδὲ πάλιν καταφρονήσῃς, ὅταν ἔρχῃ εἰς αὐτήν, παρακάλεσον δὲ τὸν Θεὸν συγχωρῆσαί σοι, εἰ δὲ καταφρονήσεις, ἀμέλεια γίνεται.

ιδ' Ἔφη ὁ ἀδελφός.

Ἐὰν δὲ σφαλέντος τινὸς τῶν σὺν ἐμοὶ ἀδελφῶν, ἢ αὐτῶν τῶν ἀρρώστων, θέλων διορθώσασθαι αὐτόν, μετὰ ταραχῆς εἴπω τὸν λόγον, ἆρα ὀφείλω βαλεῖν αὐτῷ μετάνοιαν; Ἐὰν δὲ καὶ ὀργισθεὶς ἀπέλθῃ τοῦ νοσοκομείου τί ποιήσω; Καθόλου δὲ ἐπὶ ποίοις ἁμαρτήμασι δεῖ βάλλειν μετάνοιαν; ὅτι ἡ ὑπερηφανία καὶ τὸ δικαίωμα τὸν νοῦν σκοτίζουσι, καὶ οὐ συγχωροῦσι μέμψασθαι ἑαυτόν, καὶ βαλεῖν τῷ ἀδελφῷ μετάνοιαν. Εἰ δὲ βάλῃ τις, ἡ κενοδοξία πάλιν ἀκολουθεῖ, φυσιοῦσα τὸν ποιήσαντα τὴν μετάνοιαν, ὡς καλὸν ἔργον ποιήσαντα.

Ἀπεκρίθη ὁ γέρων.

Μετὰ ταραχῆς μηδὲν λαλήσῃς· τὸ κακὸν γὰρ καλὸν οὐ γεννᾷ· ἤγουν τὸ ἀπὸ τεταραγμένης καρδίας λαλούμενον, οὐκ ἀναπαύει τὸν ἀκούοντα, οὐδὲ διορθοῦται αὐτόν, ἀλλὰ μακροθύμησον, ἕως οὗ παύσηται ὁ λογισμὸς τῆς ταραχῆς, καὶ τότε λάλησον εἰρηνικῶς, κἂν μὲν πεισθῇ, ἰδοὺ καλῶς, εἰ δὲ μή, εἰπὲ αὐτῷ· εἰ θέλεις, λέγω τῷ Ἀββᾷ, καὶ εἴ τι δοκιμάζει ποιοῦμεν καὶ οὕτως ἀναπαύῃ. Ἐὰν δὲ ὀργισθεὶς ἀπέλθῃ, εἰπὲ τῷ Ἀββᾷ, καὶ ἐπιτιμᾷ αὐτῷ· μὴ βάλῃς δὲ αὐτῷ μετάνοιαν, ἐπεὶ παρέχεις αὐτῷ ὑποψίαν, ὅτι ἀληθῶς ἥμαρτες, οὕτω λαλήσας αὐτῷ καὶ πολεμεῖ σε πλέον.

Ἐπὶ δὲ τῶν λοιπῶν ἀδελφῶν, ἤτοι τῶν μὴ ὄντων ὑπὸ σὲ ἐν τῇ αὐτῇ διακονίᾳ, πρὸς ὃ βλέπεις τὴν ἁμαρτίαν, ποίει μετὰ σπουδῆς· ἐὰν μὲν ᾖ μέγα τὸ σφάλμα ὃ ἐσφάλης, βάλε τῷ ἀδελφῷ μετάνοιαν· ἐὰν δὲ μικρόν ἐστιν, εἰπὲ πρὸς αὐτὸν στόματι καὶ τῇ μετανοίᾳ τῆς καρδίας· συγχώρησόν μοι, ἀδελφέ, σφόδρα δὲ φυλάττου τὴν ὑπερηφανίαν καὶ τὸ δικαίωμα, ἐπεὶ οὐκ ἐῶσι προκόψαι τὸν ἄνθρωπον. Ἔστι δὲ καὶ ἀπὸ κενοδοξίας βαλεῖν μετάνοιαν· καταφρονῶν οὖν τῶν τριῶν τούτων, βάλε ὅπου χρὴ μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ καὶ διακρίσεως εἰς ταῦτα ποίησον τὴν δύναμίν σου, καὶ ὁ Θεὸς βοηθεῖ σοι, εὐχαῖς τῶν αὐτοῦ Ἁγίων Πατέρων, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Ὁ Ἀββᾶς μοῦ ἔδωσεν ἐντολὴν νὰ τοῦ φανερώνω τὰ σφάλματα τῶν ἀδελφῶν. Ἐκατάλαβα ὅμως ὅτι αὐτὸ στενοχωρεῖ μερικοὺς ἀδελφούς. Τί νὰ κάμω λοιπὸν διὰ νὰ μὴ ζημιώνωμαι; Ὁ μὲν λογισμός μου δὲν μὲ κατακρίνει, διότι λαμβάνει ὑπ' ὄψιν τὸν σκοπόν, ἐπειδὴ δὲν τὰ λέ-

γω εἰς τὸν Ἀββᾶν ἀπὸ πάθος· φοβοῦμαι ὅμως μήπως αὐτὸ τὸ πρᾶγμα μὲ ὁδηγήσῃ εἰς ὑπερβολὴν καὶ μὲ ζημιώσῃ.

Ὁ Γέρων τοῦ ἀπήντησε:

—Ἂν αὐτό, ποὺ κάμνεις, τὸ κάμνεις ἀπὸ καθαρὰν καρδίαν, διὰ ψυχικὴν ὠφέλειαν καὶ διὰ τὴν ἐκκοπὴν τῶν παθῶν, τότε νὰ μὴ λάβῃς ὑπ' ὄψιν τὰ λόγια τῶν ἀνθρώπων, ἀφοῦ δὲν ζημιώνεσαι· διότι τὸ νὰ φανερώσῃς εἰς τὸν Ἀββᾶν τὰ σφάλματα τῶν ἀδελφῶν, χωρὶς ἐμπάθειαν, εἶναι καλόν. Δὲν ἔχουν ὅλοι τὴν δυνατότητα νὰ ὁμιλήσουν εἰς τὸν Ἀββᾶν οὔτε καὶ συμφέρει. Σὺ λοιπόν, ἂν ὁμιλῇς κατὰ Θεόν, οὔτε ὁμιλεῖς οὔτε ἐνεργεῖς ἀπὸ τὸν ἑαυτόν σου, ἀλλ' εἰς ὅλα εἶσαι ὄργανον τοῦ Θεοῦ· καὶ τὸ κατὰ Θεὸν ἀγαθὸν δὲν γεννᾷ ζηλοτυπίαν ἢ φθόνον καὶ ἂν πρὸς στιγμὴν ἐκδηλωθῇ εἰς τὴν ψυχήν, γρήγορα ἐξαφανίζεται.

2. Ὁ ἀδελφὸς ἠρώτησε πάλιν ἐκ νέου:

—Ἂν κάποιος ἄλλος εἴπῃ εἰς τὸν ἀδελφόν (δι' αὐτὸ ποὺ γίνεται μὲ τὸν Ἀββᾶν), πρέπει νὰ τὸν πληροφορήσῃ αὐτὸν τὸν ἀδελφόν, ὅτι ἀπὸ ἀγάπην πρὸς αὐτὸν καὶ ὄχι ἀπὸ μῖσος τὸ εἶπεν, ἢ νὰ σιωπήσῃ;

Ὁ Γέρων ἀπεκρίθη:

—Ἀπὸ κενοδοξίαν θέλει νὰ τὸν πληροφορήσῃ, διὰ νὰ μὴ θεωρηθῇ κατάλαλος, ἀλλὰ νὰ θεωρῆται δίκαιος ἀπὸ τοὺς ἀνθρώπους. Ἂς ἐξετάσῃ λοιπὸν προσεκτικὰ τὴν καρδίαν του, διὰ νὰ διαπιστώσῃ ἂν ἐνήργησε κατὰ Θεὸν καὶ ἀνεφέρθη εἰς τὸν Ἀββᾶν, ἐπειδὴ ἠθέλησε νὰ ὠφελήσῃ τὸν ἀδελφόν. Καὶ ἂν πράγματι ἔτσι εἶναι, ἂς τὰ ἀφήσῃ ὅλα εἰς τὸν Θεὸν καὶ Ἐκεῖνος, ὅπως γνωρίζει, θὰ πληροφορήσῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ. Ἂν πάλιν, τοῦ εἴπῃ αὐτὸς ὁ ἀδελφός, ἢ ὁ ἴδιος, ἢ διὰ μέσου ἄλλου, ὅτι ἔμαθεν ἐκεῖνα, ποὺ εἶπε δι' αὐτὸν εἰς τὸν Ἀββᾶν καὶ λυπῆται δι' αὐτά, τότε ἔχει ὑποχρέωσιν νὰ τὸν πληροφορήσῃ μετὰ ταπεινώσεως. Ὁ Θεὸς γνωρίζει ἀδελφέ, — νὰ τοῦ εἴπῃ — ὅτι ὡμίλησα αὐτὰ εἰς τὸν Ἀββᾶν, ἐπειδὴ σὲ ἀγαπῶ καὶ θέλω τὴν ὠφέλειάν σου.

Διότι, — εἰπέ μου,— τί εἶχα νὰ ὠφεληθῶ ἀπὸ αὐτά, ἂν τὰ ἔλεγα δι' ἄλλον σκοπόν; Δὲν φοβοῦμαι νομίζεις τὴν φοβερὰν ἀπόφασιν τοῦ Θεοῦ ὅτι ἐκεῖνος ποὺ μισεῖ τὸν ἀδελφόν του εἶναι ἀνθρωποκτόνος (Α´ Ἰωάν. γ´, 15). Ἐπειδὴ λοιπὸν εἶχα ὑπ' ὄψιν μου Αὐτόν, ποὺ λέγει προσπάθησε νὰ σώσῃς τὸν ἀδελφόν σου, ὅπως τὸν ἑαυτόν σου (Ματθ. ιθ´, 19), ἐζήτησα νὰ διορθώσω καὶ ἐσένα, πρὸς χάριν Αὐτοῦ ποὺ λέγει· ὅταν ὁ ἀδελφὸς βοηθεῖται ἀπὸ τὸν ἀδελφὸν εἶναι καὶ οἱ δύο ὡσὰν πόλις ὀχυρὰ καὶ περιτειχισμένη (Παροιμ. ιη´, 19). Σὲ παρακαλῶ, ἂν καὶ σὺ ἴδῃς κανένα πταῖσμα μου καὶ σὺ νὰ μὲ ἐλέγξῃς, διὰ νὰ αἰσθανθῶ ἔτσι ἐντροπὴν καὶ νὰ μετανοήσω διὰ τὸ πταῖσμα μου.

Ἂν πάλιν τὰ εἶπεν εἰς τὸν Ἀββᾶν ὄχι διότι θέλει νὰ διορθώσῃ τὸν ἀδελφόν, ἀλλὰ νὰ τὸν κατηγορήσῃ, ἔχει ὑποχρέωσιν νὰ καταδικάσῃ πρῶτα τὸν ἑαυτόν του καὶ νὰ παρακαλέσῃ τὸν Θεὸν νὰ τὸν συγχωρήσῃ.

Ἔπειτα, ἂν γνωρίζῃ μετὰ βεβαιότητος, ὅτι τὸ ἐκατάλαβεν ὁ ἀδελφός, ὀφείλει νὰ ὑπάγῃ νὰ τὸν συναντήσῃ, νὰ τοῦ βάλῃ μετάνοιαν μὲ τα-

πείνωσιν καὶ νὰ τοῦ ὁμολογήσῃ τὸ σφάλμα του· συγχώρεσέ με, ἀδελφὲ — νὰ τοῦ εἴπῃ — διότι ἐξεγελάσθηκα ἀπὸ τοὺς δαίμονας καὶ σὲ κατηγόρησα. Παρακάλεσε δι' ἐμὲ νὰ μὲ συγχωρήσῃ ὁ Κύριος καὶ νὰ μοῦ δώσῃ καιρὸν μετανοίας, διότι παρεσύρθην εἰς πλάνην. Δὲν εἶναι δυνατὸν νὰ πληροφορήσῃ τὸν ἀδελφὸν μὲ πλαστὸν ψεῦδος, ἀλλὰ πρέπει νὰ τὸν πληροφορήσῃ λέγων ὅλην τὴν ἀλήθειαν.

Ἂν ὅμως δὲν ἀντελήφθη τίποτε ὁ ἀδελφός, ἂς μὴ τοῦ εἴπῃ τίποτε, διὰ νὰ μὴ τοῦ βάλῃ λογισμούς· ἔχει ὅμως ὑποχρέωσιν νὰ μετανοήσῃ ἐνώπιον τοῦ Θεοῦ διὰ τὸ σφάλμα του καὶ νὰ τὸ ἐξομολογηθῇ εἰς τὸν Ἀββᾶν.

3. Ὁ ἴδιος ἀδελφὸς ἠρώτησε καὶ πάλιν τὸν ἴδιον Γέροντα:

—Ἂν ἕνας ἀδελφὸς μὲ ἐρωτήσῃ διὰ κάποιον λόγον ἢ πρᾶγμα καὶ τὸ γνωρίζω, εἴτε διότι τὸ ἤκουσα εἴτε διότι ἔχω πεῖραν δι' αὐτό, νὰ τοῦ ἀπαντήσω ἢ ὄχι; Ἂν, πάλιν, δὲν ἐρωτηθῶ, ἀντιληφθῶ ὅμως ὅτι κάτι δὲν γίνεται καλά, θὰ εἶναι ἄραγε σωστὸν νὰ ὑποδείξω, διὰ μίαν φοράν, εἰς αὐτὸν ποὺ τὸ κάμνει, ὅτι δὲν τὸ κάμνει καλὰ ἢ ὄχι;

Εἰς αὐτὸ ὁ Γέρων ἀπήντησε:

— Πρόσεξε νὰ μὴ ὁμιλήσῃς ἀπὸ κενοδοξίαν, ἀλλὰ μὲ ταπείνωσιν καὶ φόβον Θεοῦ. Καὶ δι' ὅλα ὅσα μὲ ἠρώτησας, νὰ εἴπῃς καὶ νὰ ὑπενθυμίσῃς τὰ δέοντα, ἂν παραστῇ ἀνάγκη, εἰς τὸ Κοινόβιόν σου ὅμως καὶ ὄχι ἀλλοῦ· διότι οἱ Μοναχοὶ τοῦ Κοινοβίου εἶναι ὅπως ἕνα σῶμα. Ἂν εὑρεθῇς ἀλλοῦ, τίποτε νὰ μὴ εἴπῃς ἀπὸ ἰδικήν σου πρωτοβουλίαν· ἂν ἐρωτηθῇς, ἀπάντησε μὲ ταπείνωσιν.

4. Ὁ ἀδελφὸς ἠρώτησε πάλιν:

—Ἂν ἀντιληφθῶ ὅτι ἡ καρδία μου εὐχαριστεῖται ἀπὸ κενοδοξίαν, καθὼς ὁμιλῶ, ἢ ὅτι τότε μὲν δὲν εὐχαριστεῖται, καταλαβαίνω ὅμως, ὅτι πρόκειται ὕστερα νὰ δοκιμάσω εὐχαρίστησιν, μήπως τότε θὰ πρέπει νὰ σιωπήσω ἢ ὄχι;

Ὁ Γέρων ἀπήντησε:

— Τὸ νὰ εἴπῃ κανεὶς κάτι μὲ ταπείνωσιν, σημαίνει ὅτι πρέπει νὰ ὁμιλῇ ὄχι ὡς νὰ διδάσκῃ, ἀλλ' ὡς νὰ λέγῃ αὐτὰ ποὺ ἤκουσεν ἀπὸ τὸν Ἀββᾶν ἢ τοὺς Πατέρας. Ἂν λοιπὸν ἀπ' αὐτὸ τὸ πρᾶγμα ἔχῃ ὠφέλειαν ὁ ἀδελφὸς καὶ σὲ πολεμῇ ἡ κενοδοξία μὲ τὸ νὰ σοῦ προτείνῃ εὐχαρίστησιν, πρόσεχε τὸν ἑαυτόν σου, διότι (ὁ διάβολος) θέλει νὰ ἐμποδίσῃ τὴν ὠφέλειαν τοῦ ἀδελφοῦ· καὶ ἂν ἀκούσῃς αὐτὴν τὴν συμβουλήν, οὐδέποτε θὰ ἀφήσῃ νὰ ὠφεληθῇ κανεὶς ἀδελφός. Νὰ ἐπιτιμήσῃς λοιπὸν τὴν κενοδοξίαν καὶ νὰ τὴν καταφρονήσῃς καὶ μετὰ ἀπὸ αὐτὰ ποὺ θὰ εἴπῃς εἰς τὸν ἀδελφόν, νὰ μετανοήσῃς ἐνώπιον τοῦ Θεοῦ· συγχώρεσέ με —νὰ λέγῃς— Κύριε, διότι ἐλάλησα μὲ κενοδοξίαν. Τὸ ἴδιον νὰ κάμνῃς καὶ ὅταν σοῦ ἔρχεται ὕστερα ὁ λογισμὸς τῆς κενοδοξίας.

5. Εἶπεν ὁ ἀδελφός:

— Πῶς, Πάτερ, μοῦ ἐπέτρεψες, ἂν ἴδω πρᾶγμα παράλογον, νὰ ὁμιλήσω καὶ πρὶν ἀκόμη ἐρωτηθῶ, ἐνῷ οἱ Πατέρες συμβουλεύουν νὰ μὴ ἀπαντᾷς, ἂν δὲν ἐρωτηθῇς;

Ὁ Γέρων ἀπεκρίθη:

—Ἀδελφέ, οἱ Γέροντες ὁμιλοῦν σύμφωνα μὲ τὸ μέτρον (δηλαδὴ τὴν πνευματικὴν ὡριμότητα) τοῦ ἀνθρώπου. Ὑπάρχει λοιπὸν καιρός, κατὰ τὸν ὁποῖον ἁρμόζει εἰς τὸν ἀδελφὸν τὸ νὰ ὑπηρετῇ ἄνθρωπον διὰ τῆς ὑποταγῆς καὶ ὑπακοῆς· ὅταν δηλαδὴ εἶναι νέος καὶ ἀτελὴς καὶ εἰς αὐτὸν τὸν καιρὸν ὀφείλει νὰ παρουσιάσῃ ἔργα. Ὑπάρχει, ἀντιθέτως, καὶ ἄλλος καιρός, ὅταν ὁ ἄνθρωπος αὐτὸς φθάσῃ εἰς τὴν κατάστασιν νὰ τὸν ὑπηρετοῦν, ὁπόταν καὶ τὰ μέτρα τῆς περιόδου αὐτῆς εἶναι ἄλλα. Τὰ τέλεια εἰς τοὺς τελείους λέγονται, ἐνῷ τὰ ἄλλα εἰς ἐκείνους ποὺ εὑρίσκονται ἀκόμη ὑπὸ Νόμον· διότι ἀκόμη εὑρίσκονται ὑπὸ τὴν καθοδήγησιν παιδαγωγοῦ.

6. Ἠρώτησεν ὁ ἀδελφός:

—Κάποιος κάμνει κάτι, ποὺ δὲν ἔχει χαρακτῆρα ἁμαρτίας· ἐγὼ ὅμως, διὰ τὸ θέλημά μου, στενοχωροῦμαι μὲ αὐτόν. Ἄραγε, νὰ σωπάσω καὶ νὰ μὴ ἱκανοποιήσω τὴν καρδίαν μου, ἢ νὰ ὁμιλήσω μὲ ἀγάπην διὰ νὰ μὴ ἔχω ψυχικὴν ταραχήν; Ἂν αὐτὸ τὸ πρᾶγμα στενοχωρῇ ἄλλους καὶ ὄχι ἐμένα, νὰ ὁμιλήσω χάριν τῶν ἄλλων; ἢ μήπως τοῦτο φανῇ τάχα ὡς τέχνασμα;

Ὁ Γέρων ἀπήντησεν:

—Ἂν εἶναι πρᾶγμα ποὺ δὲν ἔχει ἁμαρτίαν, εἶναι δηλαδὴ ἠθικὰ ἀδιάφορον, καὶ ὁμιλήσῃς διὰ νὰ ἀναπαύσῃς τὴν καρδίαν σου, αὐτὸ ἀποτελεῖ διὰ σὲ ἧτταν, ὅτι ἀπὸ ἀδυναμίαν δὲν ἠμπόρεσες νὰ τὸ κρατήσῃς· κατηγόρησε τὸν ἑαυτόν σου καὶ σιώπησε. Ἂν πάλιν στενοχωρῇ ἄλλους, νὰ τὸ εἰπῇς εἰς τὸν Ἀββᾶν σου· καὶ ἢ ὁ ἴδιος τοῦ τὸ λέγει, ἢ σοῦ λέγει τί πρέπει νὰ τοῦ εἴπῃς, καὶ σὺ ἡσυχάζεις.

7. Ὁ ἀδελφὸς εἶπεν:

—Ἂν λοιπὸν θέλω νὰ εἴπω εἰς τὸν Ἀββᾶν κάτι, ποὺ δὲν ἀφορᾶ τὸν ἑαυτόν μου, ἀλλ' ἐπειδὴ στενοχωροῦνται ἄλλοι, καταλαβαίνω δὲ ὅτι ταράσσεται ὁ ἀδελφὸς (περὶ τοῦ ὁποίου θέλω νὰ ὁμιλήσω) τὶ νὰ κάμω; Ἂν πάλιν καὶ ἐγώ, μαζὶ μὲ ἐκείνους, θλίβομαι δι' αὐτὸ τὸ πρᾶγμα, νὰ τὸ εἴπω (εἰς τὸν Ἀββᾶν) διὰ νὰ ἀναπαύσω ἐκείνους, ἢ νὰ σιωπήσω διὰ νὰ μὴ προσφέρω ἱκανοποίησιν εἰς τὸν ἑαυτόν μου;

Ὁ Γέρων ἀπεκρίθη:

— Ἂν εἴπῃς εἰς τὸν Ἀββᾶν διὰ τὴν ταραχὴν τοῦ ἀδελφοῦ, ὅταν εἶναι ἀνάγκη, σὺ δὲν ἔχεις εὐθύνην. Ἂν λοιπὸν δὲν σὲ στενοχωρῇ ἡ περίπτωσις, νὰ τὸ ἀναφέρῃς εἰς τὸν Ἀββᾶν διὰ νὰ ἀναπαύσῃς τοὺς ἄλλους. Ἂν δὲ καὶ σὺ τὸ ἴδιον μὲ ἐκείνους θλίβεσαι, ἔστω καὶ ἂν ἐνδιαφέρεσαι δι' ἐκείνους, ἀλλ' ὅμως διὰ τὸν ἑαυτόν σου καὶ μόνον, διὰ νὰ μὴ ἱκανοποιήσῃς τὸ πάθος σου, βίασε τὸν ἑαυτόν σου νὰ μὴ τὸ εἴπῃς.

8. Λέγει ὁ ἀδελφός:

—Ὁ λογισμός μου μοῦ λέγει, ὅτι ἂν ταραχθῇ ὁ ἀδελφός, γίνεται ἐχθρός μου, μὲ τὴν δικαιολογίαν ὅτι τὸν κατηγόρησα εἰς τὸν Ἀββᾶν.

Ὁ Γέρων ἀπεκρίθη:

—Ὁ λογισμὸς αὐτὸς εἶναι πονηρός, ἐπειδὴ θέλει νὰ ἐμποδίσῃ τὴν διόρθωσιν τοῦ ἀδελφοῦ, ὅπως σοῦ προεῖπα· μὴν τὸν ἀκούσῃς λοιπόν, ἀλλὰ ὁμίλησε, κατὰ Θεὸν ὅμως καὶ ὄχι πρὸς κατηγορίαν. Καὶ κατὰ τῶν ἰατρῶν γογγύζουν οἱ ἄρρωστοι, κατὰ τὸ διάστημα τῆς θεραπείας των· ἀλλ' οἱ ἰατροὶ δὲν ἐνδιαφέρονται διὰ τὸν τωρινὸν αὐτὸν γογγυσμόν, ἐπειδὴ γνωρίζουν, ὅτι ὕστερα ἀπὸ τὴν θεραπείαν θὰ τοὺς εὐχαριστήσουν.

9. Ὁ ἀδελφὸς ἠρώτησεν:

—Ἂν βλέπω ὅτι ὁ λογισμὸς θέλει νὰ ὁμιλήσω εἰς τὸν Ἀββᾶν ὄχι διὰ τὴν ὠφέλειαν τοῦ ἀδελφοῦ, ἀλλὰ μὲ σκοπὸν νὰ τὸν κατηγορήσω, νὰ εἴπω ἢ νὰ σιωπήσω;

Ὁ Γέρων ἀπεκρίθη:

—Συμβούλευσε τὸν λογισμόν σου νὰ τὰ εἴπῃ κατὰ Θεὸν καὶ ὄχι πρὸς κατηγορίαν· ἀλλὰ καὶ ἂν ἀκόμη νικᾶται ὁ λογισμός σου ἀπὸ φιλοκατηγορίαν, σὺ νὰ ὁμιλήσῃς εἰς τὸν Ἀββᾶν, ἐξομολογούμενος καὶ τὴν ἰδικήν σου ἀδυναμίαν, διὰ νὰ θεραπευθῆτε καὶ οἱ δύο· ὁ ἀδελφὸς ἀπὸ τὸ πταῖσμα καὶ σὺ ἀπὸ τὴν φιλοκατηγορίαν.

10. Εἶπεν ὁ ἀδελφός:

—Ἂν δὲν μὲ ἀφήνῃ ὁ λογισμὸς νὰ ὁμολογήσω εἰς τὸν Ἀββᾶν, ὅτι τὰ λέγω μὲ σκοπὸν νὰ κατηγορήσω τὸν ἀδελφόν, τί νὰ κάμω; νὰ τὰ εἴπω ἢ ὄχι;

Ὁ Γέρων ἀπήντησε:

—Τίποτε νὰ μὴ τοῦ εἴπῃς καὶ θὰ φροντίσῃ ὁ Κύριος· διότι δὲν εἶναι ἀνάγκη νὰ εἴπῃς μὲ βλάβην τῆς ψυχῆς σου καὶ ὁ Θεός, ὅπως Ἐκεῖνος θέλει, θὰ φροντίσῃ διὰ τὴν διόρθωσιν τοῦ ἀδελφοῦ.

11. Ὁ ἀδελφὸς ἠρώτησε:

— Καὶ ὁ ἴδιος ὁ ἀδελφὸς ποὺ ἔσφαλλε, διὰ τὸν ὁποῖον ἐγὼ ἢ κάποιος ἄλλος εἶπεν εἰς τὸν Ἀββᾶν, ποίαν διάθεσιν πρέπει νὰ ἔχῃ ἀπέναντι ἐκείνου ποὺ ὡμίλησεν εἰς τὸν Ἀββᾶν δι' αὐτόν;

Ὁ Γέρων ἀπεκρίθη:

—Ἐὰν εἶναι πιστὸς καὶ ζῇ κατὰ Θεόν, τότε καὶ ἂν ἀκόμα ἀπὸ ἔχθραν εἶπεν ἐκεῖνος ποὺ ἀνέφερε δι' αὐτὸν εἰς τὸν Ἀββᾶν, αὐτὸς ὀφείλει νὰ σκεφθῇ ὅτι ὁ ἀδελφὸς ἤθελε νὰ μὲ ὠφελήσῃ μὲ αὐτά, ποὺ εἶπε· ἔτσι ἐφαρμόζεται εἰς αὐτὴν τὴν περίπτωσιν τὸ λεγόμενον: «ὁ καλὸς ἄνθρωπος ἀπὸ τὸν θησαυρὸν τῆς καλῆς του καρδιᾶς ἐξάγει καλά». Καὶ ὅταν σκεφθῇ αὐτά, ὀφείλει νὰ ἀγαπᾷ περισσότερον τὸν ἀδελφὸν καὶ νὰ τὸν εὐχαριστῇ. Ἐκεῖνος λοιπὸν ποὺ συμπεριφέρεται ἔτσι, γρήγορα θὰ προκόψῃ κατὰ Θεόν.

12. Ἠρώτησεν ὁ ἀδελφός:

—Ἂν σφάλλουν οἱ ἀδελφοὶ ποὺ εἶναι μαζί μου εἰς τὴν ὑπηρεσίαν τοῦ νοσοκομείου, πῶς πρέπει νὰ τοὺς διορθώσω;

Ὁ Γέρων ἀπεκρίθη:

—Ἂν χαράξῃς βαθειὰ μέσα εἰς τὴν καρδίαν σου τὸ θέλημα τοῦ Θεοῦ, δὲν ταράσσεσαι, ἀλλὰ κάμνεις τὸ καθῆκον σου, ὅπως οἱ Πατέρες.

Ἂν δὲν προσέξῃς καὶ παρασυρθῇς ὡς ἄνθρωπος, ἐξομολογήσου μὲ μετάνοιαν εἰς τὸν Θεόν: «συγχώρεσέ με, Δέσποτα, καὶ ἐλέησέ με». Καὶ εἰς αὐτοὺς ποὺ εἶναι μαζί σου νὰ εἰπῇς: προσέχετε, ἀδελφοί μου, διότι ἀπ' αὐτὰ καταδικαζόμεθα καὶ χάνομεν τὰς ψυχάς μας. Πρόσεχε νὰ μὴ φωνάζῃς δυνατά, ὅταν τοὺς ὁμιλῇς, ἀλλὰ πολὺ σιγά, ὡσὰν νὰ ὁμιλῇς εἰς τὸ αὐτὶ τοῦ καθενὸς ξεχωριστά. Ἂν μὲ αὐτὰ ἀλλοιωθῇ ἡ καρδία σου, ἔρχεται κατόπιν ἡ κατὰ Θεὸν κατάστασις.

13. Ὁ ἀδελφὸς εἶπε:

— Πάτερ, σὲ παρακαλῶ, εἰπέ μου πῶς πρέπει νὰ γίνεται ἡ διόρθωσις καὶ πότε πρέπει νὰ προσποιοῦμαι τὸν ἀδιάφορον, νὰ κάνω δηλαδὴ τὸν κουτὸν καὶ νὰ παραβλέπω αὐτὸ ποὺ ἔγινε· καὶ ἂν νικηθῶ ἀπὸ αὐτὸ τὸ πρᾶγμα, καὶ παρασυρθῶ καὶ ταραχθῶ, ποῖον δεσμὸν ὀφείλω νὰ ὁρίσω εἰς τὸν ἑαυτόν μου, δηλαδὴ ποῖον ἐπιτίμιον νὰ ἐπιβάλω;

Ὁ Γέρων ἀπήντησεν:

—Ἀναλόγως μὲ τοὺς ἀνθρώπους νὰ ἐνεργῇς πάντοτε· ἂν ἴδῃς ὅτι εἶναι συνετὸς ὁ ἀδελφὸς ποὺ εὑρίσκεται ὑπὸ τὴν ἐξουσίαν σου καὶ ταραχθῇ ἐναντίον σου καθὼς κάμνει τὴν ὑπηρεσίαν του, εἰπέ του: ἀδελφέ, ἂν κάμνωμεν μὲ ἀμέλειαν τὸ ἔργον τοῦ Θεοῦ, θὰ χάσωμεν τὴν ψυχήν μας· αὐτὴν λοιπὸν τὴν στιγμὴν ἔγινεν ἡ ἐργασία ὅπως ἔπρεπε; Φρόντισε ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς νὰ γίνεται καλά. Ἂν ὅμως δὲν εἶναι φρόνιμος ἀλλὰ ἀπρόσεκτος νὰ τοῦ εἴπῃς: σὲ διαβεβαιῶ, ἀδελφέ, ὅτι εἶναι ἀνάγκη νὰ τιμωρηθῇς· ἔτσι παραμελεῖς τὸ διακόνημά σου; Ἐὰν τὸ εἴπω εἰς τὸν Ἀββᾶν, δηλαδὴ εἰς τὸν Ἡγούμενον, θὰ σὲ τιμωρήσῃ δικαίως.

Ὅσον ἀφορᾷ τὸ νὰ προσποιῆσαι τὸν ἀδιάφορον, νὰ τὸ κάμῃς ἀνάλογα μὲ τὸ σφάλμα· ἂν εἶναι μικρόν, κάμνε τὸν κουτόν, ὅτι δὲν κατάλαβες· ὄχι ὅμως ὅταν εἶναι μεγάλο τὸ σφάλμα. Μὴ βάλῃς εἰς τὸν ἑαυτόν σου κανένα περιορισμὸν διὰ τὴν τυχὸν ἀποτυχίαν σου, ἀλλὰ οὔτε πάλιν καὶ νὰ ἀδιαφορήσῃς· ὅταν ἡττηθῇς, παρακάλεσε τὸν Θεὸν νὰ σὲ συγχωρήσῃ· ἂν ἀδιαφορήσῃς, τότε ὑποπίπτεις εἰς ἀμέλειαν.

14. Εἶπεν ὁ ἀδελφός:

—Ἂν σφάλῃ κάποιος ἀπὸ τοὺς ἀδελφοὺς ποὺ εἶναι μαζί μου ἢ ἀπὸ τοὺς ἴδιους τοὺς ἀρρώστους, ὅταν θέλω νὰ τὸν διορθώσω, νὰ τοῦ ὁμιλήσω αὐστηρά, ἢ πρέπει νὰ τοῦ βάλω μετάνοιαν; Ἂν δὲ ὀργισθῇ καὶ φύγῃ ἀπὸ τὸ νοσοκομεῖον, τί νὰ κάμω; Γενικὰ διὰ ποῖα ἁμαρτήματα πρέπει νὰ βάζω μετάνοιαν; Διότι ἡ ὑπερηφάνεια καὶ ἡ ἐξουσία σκοτίζουν τὸν νοῦν καὶ δὲν ἀφήνουν κανένα νὰ αὐτοκατηγορηθῇ καὶ νὰ βάλῃ εἰς τὸν ἀδελφὸν μετάνοιαν. Ἂν πάλιν βάλῃ κανεὶς μετάνοιαν, ἔρχεται ἀμέσως ἡ κενοδοξία καὶ φουσκώνει ἀπὸ ὑπερηφάνειαν αὐτὸν ποὺ ἔβαλε μετάνοιαν, ὅτι τάχα ἔκαμε καλὸν ἔργον.

Ὁ Γέρων ἀπήντησεν:

—Ὅταν εἶσαι ταραγμένος νὰ μὴ εἴπῃς τίποτε· διότι τὸ κακὸν δὲν γεννᾷ καλόν· ἐκεῖνο, δηλαδή, ποὺ λέγεται μὲ ταραγμένην καρδίαν δὲν ἀναπαύει αὐτὸν ποὺ τὸ ἀκούει, οὔτε τὸν διορθώνει. Νὰ μακροθυμήσῃς

λοιπὸν ἕως ὅτου ἠρεμήσῃ ὁ λογισμός σου καὶ τότε νὰ ὁμιλήσῃς εἰρηνικά· καὶ ἂν μὲν ὁ ἀδελφὸς πεισθῇ, ἔχει καλῶς· ἂν πάλιν δὲν πεισθῇ, εἰπέ του: ἂν θέλῃς, τὸ λέγω εἰς τὸν 'Αββᾶν, καὶ ἂς κάμωμεν αὐτὸ ποὺ θὰ κρίνῃ σωστὸν καὶ ἔτσι ἡσυχάζεις. Ἂν ὅμως φύγῃ ὠργισμένος, νὰ τὸ εἴπῃς εἰς τὸν 'Αββᾶν καὶ ἐκεῖνος θὰ τοῦ ἐπιβάλῃ τιμωρίαν. Εἰς τὴν περίπτωσιν αὐτὴν νὰ μὴ τοῦ βάλῃς μετάνοιαν, διότι τοῦ γεννᾷς ὑποψίαν ὅτι ἔσφαλες πραγματικὰ μὲ τὸ νὰ τοῦ ὁμιλήσῃς ἔτσι καὶ θὰ σὲ πολεμῇ περισσότερον.

Διὰ δὲ τοὺς ὑπολοίπους ἀδελφούς, ποὺ δὲν εἶναι ὑπὸ τὴν ἐπίβλεψίν σου εἰς τὴν ἰδίαν ὑπηρεσίαν, ὅπου βλέπεις σφάλμα, κάμνε γρήγορα αὐτὸ ποὺ πρέπει. Ἂν εἶναι μεγάλο τὸ σφάλμα σου, βάλε μετάνοιαν εἰς τὸν ἀδελφόν· ἂν πάλιν εἶναι μικρόν, νὰ τοῦ εἴπῃς μὲ τὸ στόμα: συγχώρησέ με, ἀδελφέ, καὶ νοερά, μὲ τὴν καρδίαν σου, βάλε του μετάνοιαν. Νὰ προφυλάσσεσαι πάρα πολὺ ἀπὸ τὴν ὑπερηφάνειαν καὶ τὸ δικαίωμα τῆς ἐξουσίας, διότι αὐτὰ τὰ δύο δὲν ἀφήνουν τὸν ἄνθρωπον νὰ προκόψῃ· ἀκόμη καὶ ἀπὸ κενοδοξίαν ἠμπορεῖ κανεὶς νὰ βάλῃ μετάνοιαν. 'Αφοῦ λοιπὸν ἀδιαφορήσῃς δι' αὐτὰς τὰς τρεῖς περιπτώσεις, τὴν ὑπερηφάνειαν, τὸ δικαίωμα τῆς ἐξουσίας καὶ τὴν κενοδοξίαν, βάλε ὅπου πρέπει μετάνοιαν μὲ ταπείνωσιν, μὲ φόβον Θεοῦ καὶ μὲ διάκρισιν. Κάμνε ὅ,τι ἠμπορεῖς καὶ θὰ σὲ βοηθῇ ὁ Θεός, μὲ τὰς εὐχάς τῶν 'Αγίων Του Πατέρων. Εἰς Αὐτὸν πρέπει κάθε δόξα, τιμὴ καὶ προσκύνησις καὶ τώρα καὶ πάντοτε. 'Αμήν.



ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΕΥΕΡΓΕΤΙΝΟΥ